UNIVERSITY OF TORONTO
3 1761 00495571 2

Digitized by the Internet Archive
in 2008 with funding from
University of Toronto

https://archive.org/details/commentariainari23akaduoft

Aristotle

COMMENTARIA IN ARISTOTELEM GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

PA
3902
A25
1882
v. 23
pars. 1-4

VOLUMINIS XXIII

PARS I SOPHONIAE IN LIBROS DE ANIMA PARAPHRASIS

PARS II ANONYMI CATEGORIARUM PARAPHRASIS

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCLXXXIII

SOPHONIAE
IN LIBROS ARISTOTELIS
DE ANIMA
PARAPHRASIS

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

149910
15/1/26

EDIDIT

MICHAEL HAYDUCK

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCLXXXIII

PRAEFATIO

Sophoniae paraphrasis[1]) quamquam ceteris omnibus commentariis Graecis in Aristotelis de Anima libros compositis aetate multo inferior est,[2]) tamen Trendelenburgio et Torstrikio vv. ill. merito digna visa est, quam in libris illis edendis diligentissime adhiberent. nam cum Sophonias paraphrastae munere ita fungatur, ut verba philosophi integra carptim cum suis contexat (si ita vocare licet, quae ipsa quoque magnam partem aliunde petivit)[3]), certius plerumque ab eo et planius, quam vulgo fert interpretum ratio, edocemur, quae in exemplo suo scripta invenerit; eaque non parvi momenti esse vel ex eo apparet, quod nonnumquam cum praestantissimo codice E congruunt, ubi reliqui omnes libri ab eo discrepant.[4]) saepe etiam, quae ex libro suo affert (quamquam haec ad

---

[1]) Commodum visum est in hoc volumine Commentariorum Sophoniae de Anima paraphrasin una cum Anonymi paraphrasi Categoriarum in lucem edi; ceterum uterque libellus etiam separatim venibit.

[2]) Si Sophonias paraphrastes, id quod V. Rose Herm. II, 212 conicit, idem est, quem Georgius Pachymeres (ed. Bonn. II, 202) ab Andronico II Palaeologo legatum in Apuliam missum esse narrat, atque idem, ad quem Simon Constantinopolitanus (ut Leo Allatius. de ecclesiae occidentalis atque orientalis perpetua consensione, Col. Agr. 1648 p. 774 commemorat) alterum librum „de processione spiritus sancti etiam ex filio“ scripsit, ultimis saec. XIII et primis saec. XIV decenniis vixit. quod si ita est, paraphrasin certe non prius quam exeunte saeculo XIII scriptam esse putabimus. hoc autem minus convenit cum iis, quae Bandinius et Vitellius (cf. p. VII) de aetate codicis A docent; quem quamvis magni faciamus, tamen archetypo paene aequalem fuisse persuadere nobis non possumus.

[3]) Multa ex Aristotelis de Sensu et Sensili et de Coloribus libris, multa etiam ex Philopono et Iamblicho excerpsit.

[4]) V. de An. ed. Acad. p. 402a3 περὶ τῆς 406b22 ἠρέμησιν 407b9 καίτοι γε 407b14 τοῖς περὶ (ut pr. E) 407b24 εἶδος σῶμα καὶ μορφήν 407b32 καίτοι ἡ 408b19 οὖσα om. (ut pr. E) 409a26 ἐκ om. 409b11 ταύτας 411a17 εἶναι τὴν ψυχήν 411a30 αὔξην (ut pr. E) 413a13 οὕτω γε ἐπελθεῖν 423b16 ἀλλ' ἅμ' ἅμφω 426b1. 2 ἢ ζοφερόν 427b19 ἔστι τι 431b21. 22 πάντα γὰρ ἢ 431b24 τέμνει (corr. E).

verbum exscripta esse non semper pro certo dici potest) a nostris omnibus codicibus differunt; atque nonnullis eiusmodi locis, quos in adnotatione critica indicavi.[1]) ita ceteris praestare Sophoniam iudicavit Torstrikius, ut philosophi si non verba at sententia certa inde ratione possit restitui. quidquid praeterea diversitatis animadverti, infra in unum confero,[2]) quamquam pleraque iam ab editoribus occupata esse video.

---

[1]) Quos illic praetermisi hic addo: p. 53,8 (de An. 414b9) 85,23 (419b18) 149,4. 5 (434b30).

[2]) V. de An. p. 403b21 ἀπορεῖν (sed εὐπορεῖν A) 405b3 πάντῃ 405b7 ὑπάρχει 406b1 αὕτη 407a33 στάσει 407b3 φευκτέον 408a10 εὐεξέλεγκτος 411b2 κινούμεθα 411b9 διαπνεῖ τε 411b23 διὰ τέλους 414b13 καὶ κινούμεθα 415b28 προσθείς 417b23 ἔσται 419b 15 ἐν πληγῇ (sed εἰ πληγῇ A) 420b5 διωρίσθη 420b23 δὲ ἀναπνοῆς 421a19 ἔχει 421a21 πολλοῖς τῶν ζώων 422a3 διευρυνομένων τῶν νεύρων 422a29 ἀδύνατον (de An. ἀπύρηνον) 423b31 πρώτως 424a24 καὶ om. (sed habet A) 426b3 οὔσης 427a14 κεχωρισμένον 427a18. 19 καὶ τῷ αἰσθάνεσθαι 428b19 ἐλάχιστον 429a28 ὅτι om. 430a12 οὕτω ποιεῖται πάντα (de An. τῷ ποιεῖν πάντα) 431a2 πρότερον 431b25 τὰς δυνάμεις 432a2 εἶδος ἐξ εἰδῶν 432a8 ἐν φαντάσματι (φαντάσμασι AC) 432a20 μεγέθει καὶ τόπῳ ἢ λόγῳ 432b1 πάντως (sed πάντων A) 433a9 ταῦτα τὰ κινοῦντα (τὰ om. AC) 433b10 γένει 433b12 εἴδει δὲ καὶ ἀριθμῷ 435b6. 7 ἔχειν ἀνάγκη om. 435b7 πρὸ ταύτης 435b14 οἷον θερμοῦ καὶ ψυχροῦ καὶ σκληροῦ 435b23 τοῦ ἐν τῇ τροφῇ. — his addo, quae in paraphrasi a codice E discrepantia inveni: 402a2 βελτιόνων τε 10 δὲ καὶ πάντως 24 ποσὸν ἢ ποιὸν (= W) b15 πρότερον 403a12 τὸ εὐθύ (= X) 14 μέντοι ἅψεται τούτου (= VW) 19 μηνύει 29 ὁρίσαιτο ὁ φυσικός b21 προδιελθόντας (= S) 29 πρώτως 404a1 αὐτήν φησιν (= TW) 13 ἐπεισιόντων b24 καὶ ἀρχαὶ 405a7 τε om. 8 ἀποφηνάμενος b19 πλείω λέγουσι 27 μὲν τὸ 406a18 ὑπάρξει 23 καὶ φύσει b12 γε om. 14 ἂν αὐτῆς τῆς (= V) 30 αἴσθησίν τε καὶ (= TU) ibid. ἁρμονίαν (= TUW) 32 κύκλου δύο 407a11 τῶν μορίων 16 καὶ om. 29 προσλαμβάνουσαι b10 ποιεῖν κύκλῳ 28 ἥττων 408a11 πολλαὶ (πολλῶν corr. E) 19 αὐτῶν ἐν λόγῳ (= W) 21 τοῖς μιχθεῖσιν (= X) 22 τὸν om. (= W) 29 ἀπολιπούσης b15 τοῦτο ibid. οὔσης (om. E) 409a17 τὸ (post καὶ) om. 29 τὰς στιγμὰς (= VWX) 410a1 ὁτιοῦν ἄλλο 7 εἶναι 17 στοιχεῖα (τὰ στοιχεῖα E) 20 ἄρα καὶ ποσὸν (= W) 25 πάσχειν τι καὶ κινεῖσθαι 26 νοεῖν τε 29 λεχθησόμενον (= T corr. U) b3 πλέον (= SUV) ibid. ἑκάστη (= TWX) 4 συμβαίνει δὲ καὶ (= S) 6 γνωριεῖ 13. 14 δέ τι (= W) 18 ἁπάσης 27 οὐδὲ περὶ μιᾶς (= SX) 29 τοῦ ὅλου 411a 11 βελτίων 12 δ' ἄν τις (= WX) 20 τὰ om. b5. 6 ἄλλῳ μὲν — ἄλλῳ δὲ 15 ἕκαστον δύναμιν (= SW) 18 συνέξει 21 γοῦν (= SWX) 25. 26 ὁμοειδῆ — ἀλλήλοις (= W) 26 ἀλλήλοις μὲν (= W) 29 καὶ ζῶα 412a16 ἐπεὶ δ' ἐστὶ σῶμα καὶ τοιόνδε 26 δὲ (E δὴ) b4 εἰ δὴ S οὗ ὕλη 13 τὸ πελέκει εἶναι 413a5 τινὰ om. (= W) 8 ἔτι δὲ 19 τί ἐστιν (= V) ibid. ὁ (post ἐστὶν) om. (= WX) ibid. ante μέσης add. ὅτι (= V) 22 ὑπάρχει 25 φθίσις — αὔξησις ibid. τε om. (= W) b1 πᾶσι τοῖς ζῶσι 5 ὥσπερ γὰρ (= X) 414a10 τῶν δεκτικῶν (= X) ibid. ὑγιαστοῦ (= X) 23 προσδιορίσαντες (= SUX) 30 καθάπερ εἴπομεν (om. E) b5 καὶ ἐπιθυμία (= V) 33 τὸ ἐφεξῆς (= U) 415a14 ποιήσασθαι (= W) 26 γεννῆσαί τε καὶ (= W) ibid. χρήσασθαι (EW χρῆσθαι) b13 αἰτία δὲ 16 ποιεῖ 20 διχῶς (= X) 25 ψυχὴν ἔχει (= SUX) 29 ῥιζουμένοις (= T) 416a7 κωλῦσον 19 γεννητικὴ περί 20 διορίσαι (= UW) 23 γένεσιν b15 τρέφηται 16 αὐτοῦ 18 τὸ ἔχον 25 γεννητικὴ (= UV) 417a5 ἡ om. (= SU) 10 διττῶς (= T) ibid. ἀκοῦον καὶ ὁρῶν 16 λέγομεν (EV λέγωμεν) b6 εἰς ἑαυτὸ (= X) 24 ὅταν (= VWX) 418a17 ἑκάστης (= W) b12 ὑπὸ τοῦ πυρὸς (= X) 13 τοῦτο (= S) ibid. ὑπάρχει τι (= SX) 22 γινομένου (τεινομένου EV) 24 ἐνάργειαν (= TW) 419a12 εἰ (= W) ibid. θείη (= WX) 18 τι om. (= SU) 19 οὖν om. (= SU) ibid. λείπεται δὲ b4 πρῶτον om. (= V) 11 γίνεσθαι

Codices manu scriptos quattuor ad librorum de Anima paraphrasin edendam adhibui; hi sunt:

I Laurentianus VII, 35 quadratus, chartaceus, saeculi partim XIII A partim XIV (cf. Bandini Catal. I, 297). ac reliqua quidem omnia, quae in eo continentur, ut Hieronymus Vitelli Florentinus vir doctissimus me docuit, saeculo XIV, Sophoniae paraphrasis praeter unum folium (89), in quo recentior manus conspicitur, saeculo XIII scripta est; et haec pars codicis, ut aetate, ita scripturae elegantia ceteris praestat. verba non numquam tum eadem tum recentiore manu correcta sunt. quae Sophonias ex Aristotele Philopono Iamblicho affert, ea saepe in hoc libro propius ad nostra exempla accedunt quam in ceteris. quibus locis quamquam non raro codicem A secutus sum, tamen, si ab initio plane perspexissem, quam late ea res pateret, maiorem omnino ei fidem habuissem.[1])

II Parisiensis 1921, forma maxima, chartaceus, saeculi XIV. ex hoc B libro Torstrikius paraphrasin totam describendam curavit. hoc negotium qui confecit, nonnulla, quae obscurius exarata erant, incerta reliquit. ceterum hic liber plerumque emendate scriptus est neque raro rectam lectionem unus servavit.

(= X) 21 ὑπομένῃ 25 γινομένου 420a14 οὐδ' ἂν 27 ἐν om. (= T) 31 ἐπ' om. ibid. ὥστε οὐχὶ (= TW) b3 συμβαίνει (συμβαίνειν ES) 12 ante ψοφοῦσι add. ἰχθύες (= SV) 18 ἐπὶ τὴν 26 πρῶτος τόπος (= U) 32 καὶ om. 33 βήξ 421a1 τοῦτο (= X) 6 δ' αἰτίαν (= VX) ibid. ἔσται (ἐστι EW) 11 αἰσθάνεται b29 πῶμα (= W) 422a12 ἥμεν ibid. ἡσθανόμεθα 18 ἢ δυνάμει ἢ ἐνεργείᾳ (= W) 19 τηκτὸν (= SUX) 20 τοῦ τε ὁρατοῦ b1 καὶ om. 6 γὰρ ἀφῇ 8 ἰσχυροῦ χυμοῦ 19 πλείω αἰσθητὰ (= V) 423a23 ταῦτα (αὐτὰ EW) b29 περὶ στοιχείων 424a18 εἰδῶν om. (= SUX) 28 ἐκείνου 31 ἣν ἡ αἴσθησις (ἣν om. ETW) 34 τι om. (= SUX) b1 δὲ (= U) 425a7 ἰδίως om. (ETW habent) 31 αὗται (= X) b25 αἱ om. (= SWX) 27 αὐταῖς οὐ ταὐτόν 426a28 ἐστι om. b3 πικρὰ 427a12 διαιρετὸν οὐχ ἓν ὑπάρχει (= T) b5 τὸ ὅμοιον τῷ ὁμοίῳ 22 καὶ ἐὰν ᾖ 429b1 οἷον ψόφου (= LUW) 430a11 ἐκεῖνα 18 ἀμιγὴς καὶ ἀπαθὴς 21 οὐδὲ χρόνου 22 οὐχ om. (= W) 431a16 κατάφασις ἢ ἀπόφασις (= W) ibid. καὶ φεύγει 18 αὕτη b22 δὲ ἡ 26 τὰς ἐντελεχείας (= SX) 27 ταῦτα 432b1 ὁ (om. E) 4. 5 δὲ τὸ τοῦτο (= W) 24 ἐστιν om. 27 νοεῖ 28 ἡ δὲ (= LW) 433a9 δύο ταῦτα 435a6 ἀνακλᾶσθαι (= LW) b6 οἷόν τε μὴ ζῶον ἔχειν αὐτὴν (cf. W). ubi ad discrepantiam lectionis nihil addidi, Sophonias cum plerisque codicibus nostris consentit.

[1]) Si hic consensus tantummodo ad unum aliquem ex iis, quos supra dixi, pertineret, recte coniceremus eum codicem, unde A derivatus est, ex illo ipso correctum fuisse, quoniam profecto huiusmodi operae rara quidem sed aperta vestigia in codicibus nostris occurrunt. (ut in iis, quae e libro de Coloribus petita sunt, p. 82,12 cod. B συνεκβλύζον, reliqui συνεκκλύζον habent; quae utraque scriptura cum illic quoque reperiatur, alteram corrigendo illatam esse apparet. et p. 81,7 in codd. AC vel potius iam in vetustiore libro, ex quo hi originem ducunt, v. φαινόμενα superscriptis duabus litteris in φερόμενα mutatum est, quod de Col. 793b22 in plerisque codicibus legitur.) nunc autem ut in cod. A res se habet, vereor, ne immerito ei aliquot locis fidem derogaverim.

C III Laurentianus LXXI 32, quadratus, chartaceus, saeculi XIV (cf. Bandini Catal. III, 19), accurate et bene scriptus, quasi medium inter A et B locum tenet, qui plerumque cum altero ex his consentiat, raro ab utroque discedat. Codices A et C Vitelli v. d. cum Parisiensi contulit.

IV Monacensis Gr. 68, forma maxima, chartaceus, saeculi XVI, optime conservatus et scriptus, primum et tertium librum totos, secundi initium contuli. huius libri tantus cum codice C consensus est, ut in adnotatione critica singillatim eius mentionem facere supervacaneum duxerim.

V Praeterea ex Vindobonensi phil. 30 (cf. Nessel Catal. Bibl. Caes. Vindob. IV p. 22) initia omnium librorum et exitum primi libri descripta in manibus habui; quibus addita erat diversitas Laurentiani LXXXV 20 (cf. Bandini Catal. III 278). sed hi codices cum Laurentiano C ipsi quoque ita congruunt, ut facile iis careamus.

Librariorum manus primam atque correctricem alteram numeris additis distinxi. formas quasdam verborum, quae a communi usu abhorrent, ut ἔσεται, ἐσεῖται (hoc quidem ex Pythagoreorum libris paraphrastae sermoni adhaesisse videtur) νηός, ἀντιλήψαιτο, αἴσθεσθαι nonnullasque insolentiores structuras intactas reliqui, quoniam omnium librorum consensu confirmantur.

Scriptum Marienburgo
Id. Nov. MDCCCLXXXII Michael Hayduck.

SOPHONIAE
IN LIBROS ARISTOTELIS
DE ANIMA
PARAPHRASIS

ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΨΥΧΗΣ ΣΟΦΟΝΙΟΥ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΟΥ

Προοίμιον

Τοῖς τῶν Ἀριστοτελικῶν συνταγμάτων ἐξηγηταῖς ἄλλοις ἄλλως ἐπῆλθε περᾶναι τὰ τῆς ὑποθέσεως. οἱ μὲν γάρ, ὅσοιπερ αὐτὸ τοῦτο ἐξηγηταί, ἰδίως ἐκθέμενοι καὶ κατὰ μέρος τὸ κείμενον τὴν ἑρμηνείαν ἐπισυνῆψαν, σώαν τε κἀν τῇ διαιρέσει τὴν λέξιν τοῦ φιλοσόφου τηρήσαντες καὶ τὰ παρ' ἑαυτῶν προσέφερον εἰς σαφήνειαν. οὗτοι δέ εἰσιν οἱ περὶ Σιμπλίκιον καὶ Ἀμμώνιον καὶ Φιλόπονον καὶ Ἀλέξανδρον πρότερον τὸν Ἀφροδισέα καὶ ἑτέρους πλείστους, οἳ πολυστίχους συντάξεις πολλῶν γεμούσας καλῶν εἰς τὰς διαφόρους τῶν Ἀριστοτέλους κατέλιπον πραγματείας. οἱ δὲ τρόπον ἕτερον· αὐτὸν γὰρ ὑποδύντες Ἀριστοτέλην καὶ τῷ τῆς αὐταγγελίας προσχρησάμενοι προσωπείῳ, ὡς εὐσύνοπτον καὶ τὸ πᾶν ἓν εἴη καὶ μὴ διακόπτοιτο, τὴν μὲν λέξιν παρῆκαν αὐτήν, οὔτε διῃρημένην οὔθ' ἡνωμένην τοῖς ὑπομνήμασι συνταξάμενοι· μόνον δὲ τὸν νοῦν συνεσταλμένον τῇ τοῦ ἀνδρὸς περινοίᾳ ἤ που κἀν τῇ περὶ τὴν λέξιν ἀσαφείᾳ καὶ τῇ τῆς ἀπαγγελίας δεινότητι (πολὺ γὰρ τὸ νοερὸν αὐτῷ καὶ γοργόν) ἐξαπλώσαντες καὶ καθάραντες καὶ σχήμασι καὶ περιόδοις κοσμήσαντες, οὗ προσδεῖσθαι συννενοήκασιν, ὥσπερ ἂν εἰ καὶ περὶ ἰδίας πραγματείας τὸν πόνον συνθέμενοι, τὸ δόξαν αὐτοῖς συνεπέραναν. οὐκ ἐξηγηταὶ μᾶλλον ἢ παραφρασταὶ καὶ κλήσει καὶ πράγματι, οἷος ὁ εὐφραδὴς Θεμίστιος εἰς πλείονα τῶν Ἀριστοτέλους πεποίητο πρότερον καὶ Ἕλλος ὕστερον μιμησάμενος ἐν τῇ λοιμῇ καὶ ἕτεροι. καὶ οἱ μὲν μόνον σαφηνίσαι τὸ κείμενον καὶ τὸν νοῦν ἐκφάναι προήχθησαν, ὅσον ἡ λέξις ἐχώρησε, τῷ τεχνικῷ καθάπαξ ἑπόμενοι· οἱ δὲ καὶ ἐπιστασίας καὶ ἐπιβολάς, ἃς ἐφεῦρον, τὰς χρησιμωτάτας ἐπισυνῆψαν καὶ θεωρημάτων πλῆθος ἑκάστῳ τῶν κεφαλαίων προσέφερον, τῆς τε ἐπιστημονικῆς

---

1 Παράφρασις — προοίμιον B: παράφρασις εἰς τὸ περὶ ψυχῆς: σοφονίου C rubr.: om. pr. A: ab alia manu συμπλικίου ἐξήγησις εἰς τοὺς περὶ ψυχῆς λόγους. qui haec scripsit delevit alium titulum a manu antiquiore in summo margine exaratum τοῦ σοφονίου παράφρασις εἰς * * [τὸ? τὰ?] περὶ ψυχῆς 5 προθέσεως AC 6 μέρη AC 9 ἀφροδισέα sic libri 15 κἀν AB

αὐτῶν ἕξεως ἔλεγχον τοῦ τε πολυμαθοῦς καὶ τῆς διὰ πάντων ἀκρότητος, εὔπορον ἐντεῦθεν τὴν εἰς φιλοσοφίαν ὁδὸν τοῖς μετ' αὐτοὺς ὑπολείποντες, ταῖς τε ἀνακυπτούσαις ἀπορίαις γενναιοτάτας τὰς λύσεις ἐπήνεγκαν· καὶ τὸ ὅλον ὑπὲρ ἁπάντων εἰπεῖν, οἰκείως τῇ ἑαυτοῦ προθέσει ἀπήντησεν ἕκαστος. εἰ δὲ τούτων ὄντων καὶ αὐτός τι συμβαλέσθαι προήρημαι, περιττὸς ἂν δόξαιμι, μὴ ἀποχρῶσαν τὴν ἀπολογίαν εὑρών, καὶ εἰ μὴ καινόν τι τὸ παρ' ἐμοῦ, καί τί που καὶ συνεισφέρον χρήσιμον. γνοίη δ' ἄν τις, εἰ τὸ συμβὰν ἑκατέροις διάφορον σκέψοιτο. τοῖς μὲν οὖν ἐξηγηταῖς εἰ καὶ ἡ λέξις διῃρημένη τετήρητο, ἀλλ' οὖν τὸν νοῦν διεσπάσθαι ἀνάγκη καὶ μὴ πάνυ τι σώζειν τὸ συνεχές, τῷ τε μήκει τοῦ λόγου εὐπετῶς τῆς διανοίας οὐχ ἑπομένης καὶ ταῖς μεταξὺ σχολαῖς, ἃς ἀναγκαίας τὸ περὶ τὴν λέξιν ἀσαφὲς αὐτοῖς ἐνεποίησε. τίς γὰρ οὐκ οἶδεν ὥσπερ εἰ χρησμούς τινας πολλαχοῦ τὴν Ἀριστοτελικὴν οὖσαν φράσιν καὶ μαντείας δεῖσθαι: διαρθροῦντες γοῦν ἐν μέσῳ τὸ τῆς συντάξεως ἔστιν οἷς δοκοῦν ἀκατάλληλον. ἤ που δὲ καὶ παράχρησιν λέξεως καὶ συνδέσμων ἀκαιρίαν, ἔτι δὲ καὶ κώλων ἔστιν ὅτε μεταθέσεις ὅλων καὶ προσθήκην ἢ ἔλλειψιν καὶ περιόδων κατὰ τάξιν ὑπαλλαγήν, καὶ τὸ ὥσπερ ἀπερρηγμένον αὐτῶν ἐπισυνάπτοντες, τῇ τε τῶν ἀποριῶν ἐπεισαγωγῇ καὶ τῶν λύσεων πολλὰ κατατρίβουσιν, ὡς μὴ εὐχερές τισιν εἶναι κἂν ταῖς παρατροπαῖς τὸ συνεχὲς ἔχειν, ἀλλὰ κινδυνεύειν ἐπιλελῆσθαι τῇ μεταξυλογίᾳ καὶ τῆς ἀρχῆς καὶ τοῖς ἑξῆς συγκεχυμένως προσφέρεσθαι. τοῖς δὲ παραφράσασι τοῦτο μὲν οὐ πρόσεστι καθάπαξ τὴν λέξιν παρεῖσιν, ἐκεῖνο δ' οὖν ἀναγκαίως· τὸν γὰρ νοῦν ἑαυτῷ συνηγμένον καὶ ἠρτημένον, ὡς εἴρηται, μετὰ τῆς σφῶν αὐτῶν συνθέμενοι λέξεως καὶ ἐπὶ ποσόν τι παραβολαῖς καὶ παραδείγμασιν ἐπεκτείναντες εἰς σαφήνειαν, ἔτι ζητεῖν τὸ κείμενον αὐτὸ πρὸς τὸ ἐντελὲς ὑπελείποντο. οὐ γὰρ ἀπόχρη καθάπαξ ταῦτά τε ἐπιέναι κἀκεῖνα μαθεῖν, οὐδὲ ἀγαπῶμεν ἀρκεῖσθαι τοῖς παρ' ἐκείνων, εἰ μὴ καὶ τῶν πρώτων ἐξέσται τυχεῖν, τῇ λέξει τοῦ φιλοσόφου προσκείμενοι· δεῖσθαι γοῦν διὰ ταῦτα ἐξηγητοῦ καὶ πάλιν εἰς τὰ αὐτὰ φέρεσθαι καὶ διπλοῦν τὸν πόνον ἀνέχεσθαι. ἐδόκει δέ, εἴ τις ἐξηγούμενος μετὰ τοῦ φυγεῖν τὸν ἐν ταῖς ἐξετάσεσι σκεδασμὸν ἔτι καὶ τὴν λέξιν αὐτὴν ἀμηγέπη φυλάξαι διῃρθρωμένην ἰσχύσειεν, ἢ μιγνύων μέν πως εὐκρινῶς ἢ κατὰ διαστάσεις ἄλλως καὶ ὥσπερ ἐκεῖνοι τιθέμενος, συνεχῆ δὲ ταῖς διὰ μέσου τῶν ἐξηγήσεων, ὥστε συμφωνεῖν καὶ τὸ ὅλον ἓν τῷ ἑξῆς εἶναι καὶ ἑαυτοῦ ἠρτῆσθαι σπουδάσειεν, εἶτα καὶ αὐτοπροσώπως ἐκδοίη τὸ σύνταγμα. τάχ' ἄν τι καινὸν ἡμῖν ἐν τοῖς Ἀριστοτελικοῖς καταλείψειε. καὶ ῥαστώνην τινὰ τῇ ἐπὶ τῇ ἀναγνώσει ὁρέξει σπουδῇ, εἴ γε στήσει τὴν ἔφεσιν ἀρκέσας ἐν ἀμφοτέροις. καὶ μετὰ τῆς ἑρμηνείας ὥσπερ συμπεφρασμένον αὐτὸ δοὺς κατέχειν τὸ κείμενον, τῶν μὲν ἐξηγητικῶν συντομώτερον, τῶν δὲ παραφραστικῶν μακρότερον. εἰς ὅπερ καὶ ἡμᾶς ἡ προθυμία συνήλασε. καὶ πρῶτον

1 δι' ἁπάντων C 2 ἐνταῦθα A 5 τε B 7 ante χρήσιμον add. ὂν AC 10 ἑπομένην B 13 διαρθροῦν τις A 15 καὶ (ante κώλων) om. AC 18 εἶναι Diels: ἑξεῖναι libri κἂν C: καὶ B 19 μεταξὺ λῶ B 22 συνημμένον Diels 23 αὐτῶν om. A 26 τῶν πρώτων scripsi: τοῖς πρώτοις libri 28 ἐδόκει cf. V. Rose Hermes II 209

29 ἐξηγήσεσι A 30 ἀμηγέπ (post π ras. II litt.) A 33 ἑαυτῷ B σπουδάσαιτο A

ἐν τοῖς Περὶ ψυχῆς. τῆς μὲν οἰκείας (οὐκ ἐπιλελησμένους περὶ τὸν λόγον ἀνικανότητος, τῷ δὲ τῶν ψυχῶν ἐφόρῳ καὶ ἡγεμόνι τεθαρρηκότας τῷ λόγῳ δὴ καὶ θεῷ. καὶ τοῖς ἐξηγηταῖς ἑπόμενοι κἂν τοῖς πλείοσι καὶ μάλιστα φιλοπόνῳ ὅλας περικοπάς, ὡς κατὰ λέξιν εἶχεν ἐκείνοις, τοῖς ἡμετέροις ἐνέθεμεν· πολλαχοῦ δὲ καὶ αὐτὸ τὸ κείμενον, κἄν τινος σαφηνείας μετεῖχε, μένειν κατὰ χώραν ἐάσαντες ὑπερέβημεν. καὶ τῷ παθεῖν αὐτούς (πολὺν γὰρ ἐτρίβομεν χρόνον τοῖς ἐξηγηταῖς προσταλαιπωρούμενοι) τοῖς ἄλλοις ἐπῆρε φιλανθρωπεύσασθαι. εἰ δὲ προθυμησαμένοις καὶ προαιρεθεῖσιν ἤνυσταί τι, τοῖς τὰ τοιαῦτα κρίνειν παρεῖται ψηφίσασθαι.

Ἀρχὴ τοῦ πρώτου τμήματος

Ἡ περὶ ψυχῆς πραγματεία οὐ μόνον ὅτι καλλίστη καὶ θειοτάτη, ἀλλ' οἷς 11
καὶ διαφερόντως ἀνθρώποις τῶν ἄλλων οἰκεία καὶ τοῖς λογικοῖς πρεπωδεστάτη πασῶν. προὔργου πρὸς τὴν σκέψιν ἐπαίρει τοὺς φιλοπόνους καὶ τῶν ἀρίστων φιλοθεάμονας. τῶν γὰρ καλῶν καὶ τιμίων τὴν εἴδησιν ὑπολαμβάνοντες, μᾶλλον δ' ἑτέραν ἑτέρας ἢ κατ' ἀκρίβειαν ἢ τῷ βελτιόνων τε καὶ θαυμασιωτέρων εἶναι. εἰ δι' ἀμφότερα ταῦτα τὴν περὶ ψυχῆς ἱστορίαν ἐν πρώτοις θείημεν, εὐλόγως ἂν ποιοῖμεν. διαφερουσῶν γὰρ τῶν ἐπιστημῶν πρὸς ἀλλήλας κατά τε τὸ εἶδος τῆς γνώσεως ἢ τὴν τοῦ ὑποκειμένου ποιότητα ἢ καὶ δι' ἄμφω ταῦτα. κρείττων μὲν ἡ ἀύλῳ χρωμένη τῷ ὑποκειμένῳ τῆς ὑλικῷ. καὶ τῆς φθαρτῷ ἡ ἀφθάρτῳ, ἥ τε τοὺς λόγους ἀκριβοῦσα καὶ ἄρχουσα τῆς κινουμένης καὶ τὰς ἀρχὰς ἐχούσης ἑτέρωθεν. καὶ ἡ κατ' ἄμφω νικῶσα τῆς κατ' ἄμφω λειπομένης κρείττων. αὐτίκα ἀστρονομία μὲν ἰατρικῆς πολλῷ βελτίων· τῇ μὲν γὰρ ἀίδιόν τι τὸ ὑποκείμενον καὶ ἄφθαρτον, ὁ οὐρανός, τῇ δὲ φθαρτόν, τὰ ἀνθρώπινα σώματα· οἵ τε λόγοι τῶν λόγων ὀρθότεροι. ταὐτὸν δὲ πεπόνθασι καὶ μηχανικὴ πρὸς γεωμετρίαν καὶ πρὸς ἀριθμητικὴν ἁρμονική· αἱ ἀρχαὶ γὰρ αὐταῖς ἐκεῖθεν, καὶ ὡς σωματικαὶ καὶ ὑλικαὶ ὑπὸ τὰς ἀύλους καὶ ἀσωμάτους τετάχαται. τρίγωνα γὰρ καὶ τετράγωνα τῷ μὲν γεωμέτρῃ ἀύλως θεωρηθήσεται. σωματικῶς δὲ τούτοις ὁ μηχανικὸς προσχρήσαιτο. ἡ γοῦν περὶ ψυχῆς θεωρία τῇ τε σεμνότητι τοῦ ὑποκειμένου (νοητὸν γάρ τι τοῦτο καὶ ἄυλον καὶ ἀθάνατον) τῷ τε ἀκριβοῦσθαι τὰς αἰτίας. καὶ διὰ καιρίων ταύτῃ τοὺς λόγους προέρχεσθαι. καὶ πρὸ τούτων τῷ ἡμῶν αὐτῶν εἶναι καὶ συγγενῆ. τιμιωτάτη ἐπιστημῶν καὶ οἰκειοτάτη πασῶν. δοκεῖ δὲ καὶ πρὸς ἀλήθειαν ἅπασαν ἡ γνῶσις αὐτῆς μεγάλα συμβάλλεσθαι. μάλιστα δὲ πρὸς τὴν φύσιν καὶ τὰ φυσικὰ σώματα. ἔστι γὰρ οἷον ἀρχὴ τῶν ζώων καὶ αἰτία, καὶ τὸ τελέως φιλοσοφῆσαι ταύτῃ κατορθοῦται μόνῃ. τριττῆς γὰρ οὔσης τῆς φιλοσο-

---

1 οὐκ addidi 3 κἂν B 5 σαφήνειαν C 6 παθεῖν] fort. πονεῖν ἑαυτοὺς AC ἐτρίβομεν sic BC: ἐτρίβημεν A 8 τοῖς] desidero ἱκανοῖς οὖσι, V. Rose εἰωθόσι τὰ om. A 10 Ἀρχὴ — τμήματος] συμπληκίου ἐξήγησις in marg. ab alia manu A 15 εἰ τῷ B 17 τιθείημεν A 20 φθαρτά B 28 θεωρηθήσονται C[1]

φίας, θεολογικῆς, ἠθικῆς καὶ φυσικῆς. ἐν μὲν τῇ θεολογικῇ καὶ ἠθικῇ αὐτόθεν τοῦ προκειμένου ἐστὶ θεωρία ἡ περὶ ψυχῆς θεωρία· ζητοῦσα γὰρ περὶ τοῦ οἰκείου νοῦ εἰ χωριστός, εἰ ἀθάνατος, εὐθὺς ἐπιστρέφει καὶ πρὸς τὰ νοητὰ καὶ θεῖα εἴδη (πρός τι γὰρ νοῦς καὶ νοητόν) καὶ ζητεῖ τὰς ἐκεῖ τάξεις θεολογοῦσα· τῷ τε περὶ τῶν οἰκείων διεσκέφθαι δυνάμεων, ὁπόσαι τε καὶ ποῖαι, περὶ τῆς ἠθικῆς ἀρετῆς ἐστι πραγματεύεσθαι, εἴπερ ἀρετὴ κόσμος ψυχῆς, τοῦτο δ' εὐταξία τῶν ταύτης δυνάμεων, εὖ δὲ τάξαι ταύτας ἀδύνατον τὸν μὴ τὴν φύσιν ἐπεσκεμμένον αὐτῶν. πρὸς δὲ τὴν φυσικήν, ὅτιπερ ἀρχὴ τοῖς ζώοις καὶ ὡς ποιητική (κινεῖ γὰρ ταῦτα μόνῃ βουλήσει καὶ οὐ διὰ μοχλείας τινός) καὶ ὡς εἰδική (κατὰ ψυχὴν γὰρ εἰδοποιοῦνται καὶ τοῦθ' ὅπερ εἰσὶν ἔμψυχα λέγονται) καὶ ὡς τέλος· ἕνεκα γὰρ τῆς ψυχῆς τὸ σῶμα· ταύτῃ τοι καὶ ὀργανικὸν πρὸς τὰς ἐκείνης ἐνεργείας ἀπετελέσθη. ἐπιζητοῦμεν οὖν θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ' ὅσα συμβέβηκεν ἐξ ἀνάγκης περὶ αὐτήν· ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ δι' ἐκείνην καὶ τοῖς ζώοις ὑπάρχειν, οἷον θυμός, θάρρος, αἴσθησις, νόησις καὶ τὰ ὅμοια. ἀναγκαία γὰρ ἡ περὶ αὐτῶν ἐνταῦθα σκέψις πρὸς τὴν λῆψιν τοῦ ὁρισμοῦ. ἐπεὶ δ' ἅπαξ ὅρῳ περιλαβεῖν τὴν τῆς ψυχῆς οὐσίαν προτεθυμήμεθα, δεῖ πρότερον ἀμηγέπη καθόλου περὶ ὁρισμῶν ἐπισκέψασθαι· ἧττον γὰρ ἂν παρέλκον δόξοι καὶ περιττόν, εἴ τι χρήσιμον ἐκεῖθεν τοῖς προκειμένοις φανήσεται. ἀγαπητὸν γάρ, εἰ καὶ ἰδίας τούτου τυχόντος πραγματείας ἀλλὰ μὴ κατὰ πάρεργον ἄν τις εἶχεν εὐκρινές τι λαβεῖν. πάντῃ γὰρ καὶ πάντως ἐστὶ χαλεπώτατον καὶ κοινῶς ἐπὶ πάντων τῶν ὄντων καὶ ἰδίως ἐπὶ ψυχῆς ἡ τῆς ὁριστικῆς μεθόδου σκέψις καὶ τὸ γνῶναι δὴ τὴν οὐσίαν ἑκάστου καὶ ὅ τι ἐστίν. ὧδε δ' ἐπιοῦσι δῆλον· πότερον μία τίς ἐστι μέθοδος, καθ' ἣν δυνατόν ἐστι πάντων τῶν ὄντων τοὺς ὁρισμοὺς λαβεῖν καὶ ἀποδοῦναι, ἢ πολλαί; τάχα γὰρ ἄν τῳ δόξειε μία τις εἶναι κατὰ πάντων περὶ ὧν βουλόμεθα γνῶναι τὴν οὐσίαν, ὥσπερ καὶ τῶν κατὰ συμβεβηκὸς ἰδίων ἀπόδειξις, ἣν ἀποδεικτικὴν ὀνομάζομεν. καὶ εἰ τοῦτο, ζητητέον ταύτην ἥτις ποτέ ἐστιν. εἰ δὲ μὴ μία τις καὶ κοινὴ μέθοδος ἀλλὰ πολλαί, ἔτι χαλεπώτερον γίνεται τὸ πραγματευθῆναι· δεήσει γὰρ λαβεῖν περὶ ἕκαστον, τίς ὁ τρόπος τῆς διαφορᾶς καὶ πόσαι καὶ τίνες τὸν ἀριθμὸν καὶ ποῖαι. ὅταν δὲ φανερὸν γένηται ὅτι τοσαίδε, οἷον δύο, καὶ ποῖαι, ὅτι ὑπογραφὴ αὗται καὶ ὁρισμός, ἔτι πολλὰς ἂν ἀπορίας καὶ πλάνας ὁ λόγος ἔχοι. ἑτέρα γὰρ πρὸς τούτοις τρίτη πάλιν ἡμᾶς διαδέχεται ζήτησις, ἐκ τίνων δεῖ ζητεῖν, καὶ ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. καὶ τοῦτο εὑρόντες πάλιν ζητήσομεν· ἐπειδὴ γὰρ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ διαφορῶν, τί τὸ γένος τοῦ προκειμένου πράγματος καὶ τίνες αἱ διαφοραὶ καὶ πόσαι, ἃς δεῖ τῷ γένει συμπλέξαντας τὸν ὁρισμὸν ἀποδοῦναι. ἄλλαι γὰρ ἄλλων ἀρχαί, καθάπερ

---

1 μέντοι A 6 ὁποῖαι A 8 τῷ — ἐπεσκεμμένῳ corr. rec. A 9 βουλῇ B 14 εἶθ'] καὶ πρότερον A ὧν — ὑπάρχειν (15) om. A 21 εἶχεν ἄν τις A 23 ἰδίας B 24 τοῦ γνῶναι A 27 βουλευόμεθα B 29 τίς AC 30 μὴ om. C 31 τὸ] περὶ τὸ A 32 ὁποῖαι AC 33 γίνηται B ὁποῖαι A

ἀριθμοῦ καὶ ἐπιπέδου· τοῦ μὲν γὰρ τὸ διωρισμένον, τοῦ δὲ τὸ συνεχὲς ποσὸν ἐξῃρημέναι ἀρχαί, στοιχειώδεις δὲ καὶ συντεταγμέναι καὶ ὁλικαί· τοῦ μὲν ἡ μονὰς τοῦ δὲ τὸ σημεῖον, ἡ μὲν συντιθεμένη τὸ δὲ ῥυισκόμενον. καὶ οὕτω μὲν κοινῶς καὶ καθ' αὑτὴν ὑπάρχει τῇ σκέψει τὸ χαλεπόν. ἰδίως δὲ ζητοῦντες περὶ ψυχῆς ἔτι μᾶλλον ἂν δυσχεραίνοιμεν· πρῶτον γὰρ ἴσως ἀναγκαῖον διελεῖν, ἐν τίνι τῶν γενῶν ἐστιν ἡ ψυχή, δέκα ὄντων τῶν πρώτων, λέγω δὲ πότερον τόδε τί ἐστι καὶ οὐσία ἢ ποσὸν ἢ ποιὸν ἢ καί τις ἄλλη τῶν διαιρεθεισῶν κατηγοριῶν. ἄλλοι γὰρ ἄλλως περὶ αὐτῆς ἀπεφήναντο οἱ τὸν ὁρισμὸν ζητοῦντες, οἱ μὲν οὐσίαν θέμενοι, οἱ δὲ ποσόν, οἱ δὲ ποιόν· εἰσὶ δ' οἳ καὶ ἐπὶ τὸ πρός τι ἀνήγαγον. οὐσίας δὲ ὑποτεθείσης ἔτι λείπεται ζήτησις, πότερον τῶν ἐν δυνάμει ὄντων ἐστὶν ἢ μᾶλλον ἐντελέχεια, εἴτ' οὖν σῶμα (τοῦτο γὰρ τῶν ἐν δυνάμει ἀεὶ διὰ τὴν μεταβολήν) ἢ ἀσώματον· διαφέρει γὰρ οὔτι σμικρὸν οὕτως ἢ ἐκείνως· καὶ εἰ σῶμα ἁπλοῦν ἢ σύνθετον. ἐπεὶ δὲ οὐ σῶμα, πότερον χωριστὴ καὶ ἀθάνατος ἢ ἀχώριστος· καὶ πότερον πολλαὶ ἐν ἑκάστῳ ψυχαὶ ἢ μία· καὶ εἰ πολλαί, τῷ ἀριθμῷ ἢ καὶ τῷ εἴδει· καὶ εἰ τῷ εἴδει, τούτῳ μόνῳ ἢ καὶ τῷ γένει. περὶ γὰρ πάσης ψυχῆς ἡμεῖς σκοπῆσαι προεθυμήθημεν. οὐχ ὥσπερ ἕτεροι, οἳ περὶ τῆς ἀνθρωπίνης μόνης ζητεῖν ἐοίκασιν. εἰ μὲν οὖν ἕν τι κοινὸν κατηγορεῖται πασῶν, εὐλαβητέον τοῦτο ὅπως μὴ λάθῃ γένος ὄν· καὶ δεῖ συνωνύμως κατηγορεῖσθαι καὶ ἕνα ἐπὶ πάσαις ἁρμόττειν λόγον. εἰ δὲ μὴ τὸ κοινὸν γένος ἀλλ' ὁμώνυμόν τι, καὶ τοὺς λόγους δεῖ πάλιν ἑτέρους ἀνάγκῃ διαφόρους καθ' ἑκάστην εἶναι, ὥσπερ ἀνθρώπου καθὸ ἀνθρώπου ἕτερος ⟨ἢ⟩ ἵππου καὶ βοὸς ὁ λόγος. παραιτούμεθα δὲ καὶ τοὺς διὰ ταῦτα τὰς ἰδέας πρεσβεύοντας· τὸ γὰρ καθόλου καὶ ἐν ταῖς διανοίαις ζῶον ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον. εἰ δὲ μὴ πολλαὶ κατ' εἶδος, ἀλλὰ μία ἐν ἑκάστῃ φύσει, πότερον ἀμέριστος αὕτη καὶ ἀδιαίρετος ἢ μεριστή τις καὶ πολυδύναμος. καὶ εἰ μὲν μεριστὴ καὶ διαφόροις χρῆται δυνάμεσι, τίνα πρὸς ἄλληλα καὶ πρὸς τὴν ὅλην τὰ μέρη τὴν σύνταξιν ἔχει, οἷον λογικόν, θυμικόν, ἐπιθυμητικόν, ἔτι δὲ αἰσθητικὸν καὶ νοητικὸν καὶ τἆλλα. τούτοις γὰρ πᾶσι καλῶς διαιτῆσαι χαλεπόν· ἔτι καὶ τὸ διορίσαι ποῖα τούτων πέφυκεν ἕτερα ἀλλήλων. λαβόντες δὲ καὶ ταῦτα ἔτι πάλιν ἐπαπορήσωμεν, πόθεν ἀρκτέον τῆς διδασκαλίας, πότερον ἐκ τῶν μορίων ἢ ἐκ τοῦ ὅλου, καὶ δεῖ πρότερον λαβεῖν τὴν ὅλην ψυχὴν ἢ τὰ μόρια· καὶ γὰρ δόξειεν ἂν ἑκάτερον εὔλογον. τό τε γὰρ τὰ ἁπλᾶ πρὸ τῶν συνθέτων γνωρίζειν σαφέστερον, καὶ ἀθρόως ἐντυχόντι πολλάκις τῷ πράγματι μᾶλλόν τι καὶ περὶ τῶν μερῶν εἰπεῖν εὐπετὲς ἐγένετο. καὶ εἰ τὰ μόρια, ἐπεὶ ταῖς δυνάμεσιν αἱ ἐνέργειαι ἕπονται (πᾶσα γὰρ ἐνέργεια ἐκ δυνάμεως, καὶ δύναμις ἐξ οὐσίας) καὶ ἀδηλότεραι μὲν αἱ οὐσίαι καὶ δυνάμεις, δῆλαι δὲ αἱ ἐνέργειαι, σταθμώμεθα δὲ

---

4 κοινῶ C 7 τὸ δὲ B 12 τῶν om. AC 13 διαφέροι corr. A ἐκείνως ἢ ἐκείνως B 18 μόνης om. C ἓν om. C 19 λάθοι τε A 22 ante διαφόρους add. καὶ A 23 ἢ addidi 27 μὲν om. A 30 χαλεπά A τούτων ποῖα A 32 πότερον λαβεῖν B 33 τὴν om. B 34 παρὰ τῶν A¹ 36 ἐπὶ B 37 ἀδηλότεροι A

τὰς ἕξεις ἐκ τῶν ἐνεργειῶν. ὅταν περὶ τῶν μερῶν τῆς ψυχῆς ζητῶμεν. πρότερον αὐτὰ λάβωμεν ἢ τὰ ἔργα αὐτῶν, οἷον τὸ νοεῖν ἢ τὸν νοῦν, τὸ αἰσθάνεσθαι ἢ τὸ αἰσθητικόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐὰν δὲ τὰ ἔργα πρότερον ἤτοι τὰς ἐνεργείας δεῖ λαβεῖν, αὗται δὲ τῶν πρός τι, οἷον ἡ νόησις τοῦ νοητοῦ καὶ ἡ αἴσθησις τοῦ αἰσθητοῦ καὶ τοῦ φανταστοῦ ἡ φαντασία. τὸν δὲ εἰδότα τι τῶν πρός τι συννοεῖν ἀνάγκη καὶ τὸ πρὸς ὃ τοῦτο λέγεται, πάλιν ἄν τις ἀπορήσειεν, ἐάν τε τὰ ἀντικείμενα πρότερον τούτων ζητητέον, οἷον τὸ αἰσθητὸν τοῦ αἰσθητικοῦ καὶ τοῦ φανταστικοῦ τὸ φανταστὸν καὶ ἐπὶ τοῖς ἄλλοις οὕτως. εἰ γὰρ σαφηνείας δεῖ, ἐκ τῶν ἀντικειμένων δεῖ· σαφέστερα γὰρ τὰ περὶ ἃ ἐνεργοῦσι τῶν ἐνεργειῶν. ὑπεξῃρήσθω δὲ τὰ περὶ τοῦ νοῦ καὶ τοῦ νοητοῦ. νοῦ γὰρ τὸ νοητὸν δυσληπτότερον· ὁ μὲν γὰρ ἡμέτερος, τὸ δὲ ὑπὲρ ἡμᾶς. τοσούτων δ' ἂν καὶ ἔτι πλειόνων δυσχερειῶν ὁ περὶ τούτων γέμων φανείη λόγος, εἰ καθ' ἕκαστον ἐπεξίοι τις. ἡμεῖς δὲ λεληθότως καὶ τὸν διδασκαλικὸν τῆς πραγματείας τρόπον ὑπεδηλώσαμεν. ἀεὶ κἂν τῇ διαιρέσει ὡς ἀληθὲς τὸ προσληφθὲν τιθέμενοι, καὶ ὡς ἀπὸ τῶν τελευταίων ἐπὶ τὰ πρότερα βαδιούμεθα. ἀλλ' ἐνταῦθα στάντες ἐκεῖνο λέγομεν, ὡς οὐ μόνον τὸ τί ἐστι γνῶναι καὶ ἡ τοῦ ὁρισμοῦ λῆψις χρήσιμος πρὸς τὸ θεωρῆσαι τὰς αἰτίας τῶν συμβεβηκότων ταῖς οὐσίαις, ὥσπερ ἐν γεωμετρίᾳ πρὸ τῶν θεωρημάτων τοὺς ὅρους γινώσκομεν, οἷον εὐθὺ τί ἐστιν, οὗ τὰ μόρια ἐξ ἴσου καὶ οὗ τὸ μέσον τοῖς ἄκροις ἐπιπροσθῇ, καὶ καμπύλον τοὐναντίον καὶ γραμμὴ τόδε καὶ ἐπίπεδον τόδε, πρὸς τὸ κατιδεῖν πόσαις ὀρθαῖς αἱ τρεῖς τοῦ τριγώνου γωνίαι ἴσαι (στοιχεῖα γὰρ ἐκεῖνα τῶν ἑξῆς καὶ ἀρχαὶ ἀποδείξεως), ἀλλὰ καὶ ἀνάπαλιν τὰ συμβεβηκότα συμβάλλεται μέγα μέρος πρὸς τὸ εἰδέναι τί ἐστι καὶ λαβεῖν τὸν ὁρισμόν. ἐπὰν γὰρ κατὰ διάνοιαν τὰ προσόντα ἐναργῶς τῷ πράγματι συναγάγωμεν, εἴτε ἐξ αἰσθήσεως διὰ πείρας εἴτε ἐκ τῆς κοινῆς λαβόντες ἐννοίας καὶ ὁμολογίας, καὶ ἔχωμεν ἀποδιδόναι ἐντὸς καὶ κατὰ τὴν φαντασίαν περὶ τῶν συμβεβηκότων ἢ πάντων ἢ τῶν πλείστων, τότε καὶ περὶ τῆς οὐσίας ἕξομέν τι λέγειν, ὡς ἐν ἄλλοις τε πολλοῖς καὶ ἐν τοῖς Φυσικοῖς ὁ περὶ τόπου καὶ κενοῦ τεθήρευται λόγος. πᾶσα γὰρ ἐπιστήμη τρισὶ διαιρεῖται τούτοις· ἢ γὰρ αὐτὸ τὸ πρᾶγμα ζητεῖ ἢ τὰ ἐν αὐτῷ ἢ καὶ ἄμφω, καὶ ἢ καθ' αὑτὰ ἢ πρὸς ἕτερα. ὧν τὸ μὲν ὁρισμὸς τὸ δὲ ἀπόδειξις· ἄνω δὲ καὶ κάτω συμβεβηκὸς λέγοντας ἰστέον ὅτι διττόν, τὸ μὲν ὃ καὶ ἀντιδιῄρηται ταῖς οὐσίαις καὶ καθ' αὑτὸ οὐχ ὑφέστηκε καὶ οὔτε παρὸν σώζει καὶ ἀπὸν οὐ φθείρει, ὃ δὴ καὶ πρὸς ἐπιστήμην ἀσυντελές, οἷον τὸ λευκόν, τὸ μέλαν· τὸ δὲ ὃ καθ' αὑτὸ ταῖς οὐσίαις ὑπάρχει καὶ ἐξ ἀνάγκης, οἷον τὸ ζῶον τῷ ἀνθρώπῳ καὶ τῷ τριγώνῳ τὸ σχῆμα. καὶ τούτων τὰ μὲν καθ' αὑτὸ μόνον προσεῖναι τοῖς πράγμασι λέγεται, ὡς τὰ γένη καὶ αἱ ἐπὶ

---

2 πρότερον scripsi: πότερον libri λάβομεν AC 3 καὶ τὸ αἰσθητικόν AC
4 ἢ τὰς B 13 γέμειν AC 15 κἂν C ἀληθὲς τὸ προσληφθὲν scripsi: ἀληθεῖ τῷ προσληφθέντι libri 17 τὸ] τῷ C 20 οὗ μὴ τὸ μέσον B¹AC 27 ἔχωμεν scripsi: ἔχομεν codices 29 ἐν τοῖς Φυσικοῖς] Phys. Δ 4—8 30 τόπον B 33 λέγοντας scripsi: λέγοντες B: λέγουσιν CA 36 οἷον τῷ C 37 τῷ σχῆμα pr. C.

πλέον διαφοραί, τὰ δὲ καὶ πρώτως, ὡς τὰ οὐσιώδη ἴδια, οἷον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῷ ἀνθρώπῳ, καὶ τῷ τριγώνῳ τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχειν, καὶ τὸ τριχῇ διαστατὸν τῷ σώματι. ἔτι πᾶν μὲν τὸ πρώτως καὶ καθ' αὑτό, οὐ πᾶν δὲ τὸ καθ' αὑτὸ ἤδη καὶ πρώτως. ἐκ δὲ τῶν πρώτως ὑπαρχόντων καὶ καθ' αὑτὸ αἱ ἀποδείξεις προέρχονται. διττὴ δὲ καὶ ἡ ἀπόδειξις, ἥ τε κυρίως ἡ ἐκ τῶν αἰτίων πιστουμένη τὰ αἰτιατὰ καὶ ἐκ τῶν καθόλου τὰ μερικὰ καὶ ἐκ τῶν προτέρων τὰ ὕστερα, ὡς ὁ ἄνθρωπος ζῶον διὰ μέσου τοῦ λογικοῦ, καὶ ἡ τεκμηριώδης ἡ ἐκ τῶν ὑστέρων, ὡς σφαιροειδῆ τὰ οὐράνια, ὅτι καὶ ἡ σελήνη, ἡ δέ, ὅτι τοιῶσδε φωτίζεται. ἐπεὶ δὲ τὰ περὶ τούτων μετρίως διῄτηται, † ἴωμεν τοῖς ἑξῆς καὶ τὴν περὶ ψυχῆς θεωρίαν κατὰ τὸν δεύτερον τῶν ὑφηγημένων θηρῶμεν τρόπον· ἐπεὶ γὰρ ἄδηλος εὐθὺς ἁπαντῶσιν ἡ τοῦ τί ἐστι γνῶσις, διὰ τῶν φαινομένων περὶ αὐτὴν καὶ ἐναργῶν παθημάτων τὸν ὁρισμὸν ζητῆσαι προήχθημεν. ἔχει δὲ ἀπορίαν εὐθύς, πότερον ἅπαντα ταῦτα κοινὰ καὶ τοῦ ἔχοντος εἴτ' οὖν τοῦ συναμφοτέρου ψυχῆς καὶ σώματος, ἤ ἐστί τι καὶ τῆς ψυχῆς αὐτῆς ἴδιον μὴ κοινωνούσης σώματι· καὶ γὰρ τοῦτο λαβεῖν μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ. φαίνεται δὲ τῶν μὲν πλείστων οὐδὲν ἄνευ τοῦ σώματος πάσχειν οὐδὲ ποιεῖν, οἷον ὀργίζεσθαι, θαρρεῖν, ἐπιθυμεῖν, ὅλως αἰσθάνεσθαι. μάλιστα δὲ ἔοικεν ἴδιον τὸ νοεῖν· εἰ δ' ἐστὶ καὶ τοῦτο φαντασία τις ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχοιτ' ἂν οὐδὲ τοῦτο ἄνευ σώματος εἶναι. εἰ μὲν οὖν ἐστί τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον καὶ δύναται περί τι ἐνεργεῖν καὶ συνοῦσα σώματι μὴ προσχρωμένη σώματι, ἐνδέχοιτ' ἂν αὐτὴν καὶ χωρίζεσθαι· εἰ δὲ μηθέν ἐστιν ἴδιον αὐτῆς, οὐκ ἂν εἴη χωριστή, ἀλλὰ καθάπερ τόδε τὸ εὐθὺ τὸ ἐν χαλκῷ ἢ ἐν λίθῳ, ᾗ εὐθύ, πολλὰ συμβαίνει, οἷον τὸ ἅπτεσθαι τῆς χαλκῆς σφαίρας κατὰ στιγμήν (οὕτω γὰρ ἐν γεωμετρίᾳ λέγεται ἅπτεσθαι τὴν εὐθεῖαν καὶ τὸ ἐπίπεδον τῆς σφαίρας καὶ τοῦ κύκλου κατὰ σημεῖον), οὐ μέντοι ἅψεται χωρισθὲν τοῦ ὑποκειμένου τὸ εὐθὺ εἴτ' οὖν ἡ εὐθύτης αὐτή, ὅτι οὐδὲ ὑπομένει καὶ ἀχώριστος ἄλλως, ὅτι ἀεὶ μετὰ σώματος. εἰ οὖν καὶ τὰ περὶ τὴν ψυχὴν οὕτως ἔχει (ἀναλογείτω γὰρ τῇ μὲν εὐθότητι ἡ ψυχή, τὸ συναμφότερον δὲ τῷ ἀπευθυσμένῳ σώματι, τὰ δὲ αἰσθητὰ καὶ ὧν ἀντιλαμβάνεται ψυχὴ τῇ χαλκῇ σφαίρᾳ), οὐκ ἂν εἴη χωριστὴ ἡ ψυχὴ οὐδ' ἀθάνατος, ἀλλ' οἴχεται διαζυγεῖσα σώματος. μήποτ' οὖν, ὥσπερ τὸ αἰσθητὸν εὐθὺ τῆς αἰσθητῆς σφαίρας ἥπτετο καὶ τὸ νοητὸν τῆς νοητῆς (λέγεται γὰρ καὶ ταῦτα), ταῦτ' ἄρα δήπου καὶ ἡ ψυχὴ ἀπαλλαγεῖσα σώματος τῶν μὲν αἰσθητῶν εἰδῶν οὐδενὸς ἀντιλήψεται, τῶν θείων δὲ μόνων καὶ νοητῶν. ἀλλ' ὅτι μὲν ἡ λογικὴ ψυχὴ καὶ ἀθάνατος καὶ ἀνώλεθρος προϊοῦσιν ἀποδειχθήσεται· νυνὶ δ' ἐνταῦθα κείσθω. ἐκεῖνο δὲ δήπου φανερόν, ὡς τά γε τοιαῦτα πάθη τῆς ψυχῆς, οἷον φόβος, πραότης, θυμός, ἔτι δὲ δήπου χαρὰ

---

10 ἴωμεν] fort. ἐπίωμεν 22 δύνατον B 24 legendum est τῷδε τῷ εὐθεῖ τῷ aut ᾧ post λίθῳ addendum cf. Torstrikii De anima ed. p. 114 25 εὐθεῖ B 27 μέντοι καὶ A: μέντοι γε C 30 τὴν om. B 35 δήπου om. B 36 μόνον A 39 δήπου om. AC χαρὰ om. B

καὶ τὸ φιλεῖν τε καὶ μισεῖν καὶ ἕτερά που πλεῖστα μετὰ σώματός εἰσιν· ἅμα γὰρ τούτοις πᾶσιν ἐπιπάσχει τι τὸ σῶμα καὶ συνδιατίθεται. τῇ μὲν γὰρ ὀργῇ τὸ περὶ καρδίαν συγκινεῖται αἷμα, διαχεῖται δὲ τῇ ἐπιθυμίᾳ τὸ ἧπαρ καὶ ὑπ' αἰδοῦς τὸ πρόσωπον ἐρυθραίνεται, ὡς περὶ τὴν ἐπιφάνειαν
5 γυθέντος τοῦ αἵματος· ὠχρίασις δὲ τούτου ἡ πρὸς τὰ ἔνδον ἀποφυγή. μηνύει δὲ καὶ τὸ ποτὲ μὲν ὑπὸ ἰσχυρῶν καὶ ἐναργῶν παθημάτων συμβαινόντων μηδὲν παροξύνεσθαι. ἐνίοτε δὲ ὑπὸ σμικρῶν καὶ ἀμαυρῶν κινεῖσθαι, ἐὰν ὀργᾷ τὸ σῶμα καὶ οὕτως ἔχῃ ὥσπερ ὅταν ὀργίζηται. καὶ καθ' ἕνα μὲν τρόπον ἐκ τούτων δείκνυται μὴ μόνης εἶναι ταῦτα ψυχῆς, καθ' ἕτερον
10 δὲ ὅτι οἱ κεκραμένοι τοιῶσδε ἐκ φύσεως, οἷαν ἴσχει τὸ σῶμα κρᾶσιν ἐν τῇ κινήσει τῶν τοιῶνδε παθῶν, τοιοίδε εἰσὶ φύσει. ἔνθεν ἐπιτήδειοι μὲν οἵδε πρὸς θυμόν, ὅτι τοιῶσδε κέκρανται, οἱ δὲ πρὸς φόβον, ὡς μηδενὸς φοβεροῦ συμβαίνοντος ἐν τοῖς πάθεσιν γίνεσθαι τοῖς τοῦ φοβουμένου. καὶ μεθυσθέντες τινὲς ὀργιλώτεροι γίνονται ἢ δειλότεροι ἢ θρασύτεροι ἢ ἀναιδέστεροι,
15 ὅπως ἂν κράσεως ἔχοιεν. καὶ ἐκ νόσου δὲ ἄν τις γένοιτο ἐπιτηδειότερος πρὸς ὀργήν. καὶ τὰ τοιάδε σιτία τὸ συνουσιαστικὸν σβεννύουσι, καὶ τὰ τοιάδε ἀνάπτουσι. καὶ ὀργιλώτεροι μὲν οἱ μελαγχολικώτεροι, συνουσιαστικώτεροι δὲ οἱ πρὸς τὸ θερμότερον καὶ ὑγρότερον ῥέποντες, εὐφυεῖς δὲ καὶ ὀξεῖς πρὸς τὴν διάνοιαν οἷς ξηρότερος ὁ ἐγκέφαλος. ἐντεῦθεν οἱ φιλοσο-
20 φίας μεταποιούμενοι τὴν μετρίαν αἱροῦνται καὶ ξηροτέραν δίαιταν· τὸ γὰρ "παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον" καὶ "ψυχὴ ξηροτέρη σοφωτέρη" ἀληθῶς λέγεται. ἔνθεν καὶ τοῖς ἰατροῖς ἐπῆλθεν εἰπεῖν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις ταῖς τοῦ σώματος κράσεσιν. εἰ δ' οὕτω, ταῦτα τὰ πάθη δῆλον ὅτι λόγοι ἔνυλοί εἰσι καὶ οὐ καθ' αὑτά, ἐν ὕλῃ δὲ τὸ εἶναι
25 ἔχουσιν. ὥστε καὶ οἱ ὅροι τοιοῦτοι, οἷον τὸ ὀργίζεσθαι κίνησις τοῦ τοιουδὶ σώματος ἢ μέρους ἢ δυνάμεως ὑπὸ τοῦδε εἵνεκα τοῦδε· ζέσις γὰρ τοῦ περὶ καρδίαν αἵματος ὑπὸ τοῦ παροξύνοντος, δι' ὄρεξιν ἀντιλυπήσεως. δεῖ γὰρ ἐν τοῖς τοιούτοις ὅροις μετὰ τοῦ εἴδους καὶ τὴν ὕλην παραλαμβάνεσθαι. καὶ διὰ ταῦτα φυσικοῦ τὸ θεωρῆσαι περὶ ψυχῆς ἢ πάσης, εἰ πᾶσα
30 ἀχώριστος, ἢ τοιαύτης, τῆς μετὰ τῆς ὕλης. διαφερόντως δ' ἂν ὁρίσαιτο ὁ φυσικός τε καὶ διαλεκτικὸς ἕκαστον αὐτῶν, λέγω δὴ τῶν τῆς ψυχῆς παθημάτων, οἷον ὀργή τί ἐστιν· ὁ μὲν γὰρ ἐρεῖ ὄρεξιν ἀντιλυπήσεως ἤ τι τοιοῦτον, ὁ δὲ ζέσιν τοῦ περικαρδίου αἵματος ἢ τοῦ θερμοῦ. τούτων δὲ ὁ μὲν τὴν ὕλην ἀποδίδωσιν, ὁ δὲ τὸ εἶδος καὶ τὸν λόγον. χρειωδέστερος
35 δὲ παρὰ τούτους ὁ καὶ ἀμφότερα. εἰ γὰρ ἀνάγκη τὸν λόγον τόνδε τοῦ πράγματος ἐν ὕλῃ τοιᾷδε εἶναι, ὥσπερ εἰ οἰκίας ὁ λόγος οὗτος εἴη, σκέπασμα κωλυτικὸν φθορᾶς ὑπ' ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων, ὕλη δὲ αὐτοῦ λίθοι, πλίνθοι, ξύλα καὶ τὰ τοιαῦτα, οὐκ ἂν τούτων ἑκάτερος εἴη τέλειος οὐδὲ φυσικὸς κυρίως. οὔτε γὰρ ὁ περὶ τὴν ὕλην, τὸν δὲ λόγον

---

1 που om. A 3 γὰρ om. B 7 μηδὲ A 10 κεκραμμένοι BC κράσιν τὸ σῶμα AC 11 τοιοῦτοι AC 14. 17 ὀργιλότεροι BC 19 πρὸς om. AC 23 τὰς ψυχικὰς δυνάμεις A 24 παθήματα C δηλονότι libri 33 περὶ καρδίαν AC 35 περὶ AC τόδε A 37 δὲ scripsi: ἂν libri 38 καὶ πλίνθοι B

ἀγνοῶν, οὔτε ὁ περὶ τὸν λόγον μόνον, ἀλλ' ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν. ὥστε τῶν τοιουδὶ σώματος καὶ τῆς τοιαύτης ὕλης ἔργων καὶ παθῶν περὶ μὲν τῶν κοινοτέρων καὶ καθολικῶν ὁ φυσικὸς σκέψαιτο, περὶ δὲ τῶν τινῶν καὶ μερικῶν τεχνίτης, ἂν τύχῃ, τέκτων ἢ ἰατρός· τῶν δὲ μὴ χωριστῶν (μὲν), ἡ δὲ μὴ τοιούτου σώματος πάθη καὶ ἐξ ἀφαιρέσεως, ὁ μαθηματικός· ἡ δὲ κεχωρισμένα, ὁ πρῶτος φιλόσοφος. εἰ δὲ δεῖ τι καὶ σαφέστερον εἰπεῖν περὶ τούτων ἐπειγομένους καὶ κατὰ πάρεργον, ὧδ' ἂν ἔσται. τριῶν δὴ τούτων ἐν τοῖς φυσικοῖς θεωρουμένων πράγμασιν, ὕλης, εἴδους καὶ τῆς αἰτίας, καθ' ἣν ἐν τῇ ὕλῃ τὸ εἶδος ἔνεστι, πέντε περὶ ταῦτα καταγίνονται μέθοδοι, φυσική, ἡ κατὰ μέρος τέχνη, διαλεκτική, μαθηματικὴ καὶ ἡ πρώτη φιλοσοφία. ἄλλη δὲ ἄλλως ἐπιβάλλει περὶ αὐτῶν καὶ διαφόρους τὰς ἐνεργείας ἴσχουσι. καὶ φυσικοῦ μὲν ἔργον ἡ περὶ τῶν τριῶν σκέψις· πάντα γὰρ αὐτῷ ἀνεῖται. ζητήσει γάρ, τίς ἡ ὕλη τῶν προκειμένων, οἷον τί τὴν ὕλην εἰσὶ τὰ οὐράνια, πότερον ἐκ τῶν τεσσάρων ἤ τι πέμπτον σῶμα καὶ ἕτερον, καὶ τὸ εἶδος ὅτι σφαιρικά· ζητήσει δὲ καὶ τὴν αἰτίαν δι' ἣν, ἀποδώσει δὲ καὶ σύστοιχον αὐτοῖς καὶ ἐξ ἧς πρὸς τὰ πρὸ αὐτῶν ἔχουσι σχέσεως. ἐρεῖ γὰρ ἢ διότι πολυχωρητότατον σχημάτων καὶ διὰ τοῦτο τῷ τὰ πάντα ὑποδεξομένῳ καὶ περιάξοντι οὐρανῷ τὸ σφαιρικὸν πρεπωδέστατον, ἢ ὡς ἀιδίῳ τὸ μήτε ἀρχὴν ἔχον σχῆμα μήτε τέλος κατάλληλον· ἀφανῆ γὰρ ἐν κύκλῳ καὶ ἄμφω τὰ πέρατα. ὁριεῖται δὲ αὐτὸν καὶ ἐκ τῆς πρὸς τὰ ὑπὲρ αὐτὸν νοητὰ σχέσεως· εἴποι γὰρ ὡς διὰ τοῦτο κύκλῳ φέρεται, ὅτι νοῦν μιμεῖται· νοῦ γὰρ ἡ εἰς ἑαυτὸν σύννευσις. ὁ δὲ ἐν μέρει τεχνίτης ποιεῖται μὲν καὶ αὐτὸς περὶ τῶν τριῶν τὴν διατριβήν, καθὰ δὴ καὶ ὁ φυσικός, οὐχ ὡσαύτως δέ. τῷ μὲν γὰρ τό τε ὑποκείμενον μερικόν, οἷον τῷ ἰατρῷ τὰ ἀνθρώπινα σώματα, καὶ αἱ προσεχεῖς ζητοῦνται αἰτίαι, ἐκείνου τὰς ἀνωτάτω καὶ τὴν καθόλου ἐπισκεπτομένου φύσιν. ὁ δὲ διαλεκτικὸς ἀποδώσει τοὺς ὁρισμοὺς ἔκ τε τοῦ εἴδους καὶ τῆς αἰτίας, καὶ ταῦτα ἐπιπολαίως. ὁ μέντοι μαθηματικὸς τῶν ἐξ ἀφαιρέσεως εἰδῶν τοὺς ὁρισμοὺς πραγματευόμενος οὐδὲν ὑπολογιεῖται τὴν ὕλην οὐδὲ τῇ αἰτίᾳ προσχρήσεται ὡς αὐτὰ καθ' αὑτὰ περαινόμενος. ἔνυλα οὖν καὶ αὐτῷ τὰ εἴδη καὶ ἄλλως ἀχώριστα ἢ τῇ ἐπινοίᾳ, ὁποῖα τὰ κοινὰ αἰσθητά. σαρκὸς γὰρ καὶ ὀστοῦ καὶ τῶν λοιπῶν ὁμοιομερῶν ἀχώριστα τῆς ὕλης τὰ εἴδη καὶ κατ' αὐτὴν τὴν ἐπίνοιαν· τὸ γὰρ μαλθακὸν καὶ ὑγρὸν καὶ ἐρυθρὸν καὶ ἐξ ὧν ἄλλων εἰδοποιεῖται σὰρξ ἅμα τῷ νοηθῆναι συνεπινοουμένην ἔχει τὴν οἰκείαν ὕλην, ὅθεν ἀφαιρουμένης τῆς ὕλης καὶ αὐτὰ συναφῄρηνται· καὶ σαρκὸς μὲν καὶ ὀστοῦ εἶδος οὐκ ἂν ἐν ἄλλῳ γένοιτ' ἄν, ὅτι τῆς οἰκείας ὕλης ἀχώριστα· σχῆμα δὲ τὸ αὐτὸ καὶ λίθῳ καὶ ξύλῳ ὑπάρξειεν ἄν. περὶ δὲ τῶν πάντῃ χωριστῶν καὶ ἀύλων ὁ πρῶτος φιλόσοφος διαλέξεται. ἔνεισι γὰρ οἱ τῶν

3 τῶν τινῶν cf. Torstrikii ed. p. 116 4 μὲν addidi 7 ante ἐπειγομένους add. ὡς A 11 ἐπιβάλλη C διαφόρους τὰς ἐνεργείας om. pr. A, in margine add. alia m. 16 ἑξῆς C: ἑξῆς A 17 πολυχωρητότατον AC Philoponus: πολυχωρότατον erasis duabus litteris B 20 πέρα C αὐτῶν C 21 νοητὸν B 22 σύνευσις C 24 τό τε] τῷ τὸ B 27 ἐπιπολέως C 30 αὐτῷ scripsi: αὐτὰ A: αὐτῇ BC 34 τὴν οἰκεῖαν ἔχει AC 37 ὑπῆρξεν B

ἐνόλων εἰδῶν ἐν τῇ ἡμετέρᾳ ψυχῇ λόγοι, καὶ πρὸ τούτων ἐν τῷ δη-
μιουργῷ νῷ οἱ καὶ ἐξῃρημένοι. τῶν δὲ ἐν τῇ ψυχῇ λόγων οἱ μὲν εἰσι
διαστατοὶ καὶ μεριστοὶ οἱ κατὰ φαντασίαν, οἱ δὲ ἀμέριστοι καὶ ἑνιαῖοι οἱ
ἐν τῷ λογιστικῷ. τρίγωνα μὲν γὰρ καὶ τετράγωνα διαστατά, ἀνθρώπου δὲ
5 λόγος καὶ ζώου ἀμερῆ. καὶ γεωμέτρης μὲν πρὸς τὰ κατὰ τὴν φαντασίαν,
ὁ πρῶτος δὲ φιλόσοφος περὶ τῶν ἐν τῷ λογιστικῷ σπουδάσεται καὶ τῶν
ἐν τῷ δημιουργῷ. διαφέρουσι δὲ οὗτοι τῷ τοὺς μὲν εἰκόνας εἶναι τῶν
πρώτων τοὺς ἐν τῇ ψυχῇ καὶ γνωστικοὺς τῶν πραγμάτων, τοὺς δὲ ἀρχέ-
τυπα καὶ ποιητικούς. καὶ ὁπόταν μὲν περὶ τῶν ποιητικῶν διαλέγηται, ὡς
10 θεωρητικὸς ἐνεργήσει, ὡς καθαρτικὸς δὲ ὅταν περὶ τῶν ἐν τῇ ψυχῇ· ἐπι-
στρέφει γὰρ πρὸς ἑαυτὸν καὶ γινώσκει τὴν ψυχήν, καὶ τοῦτο ὄντως κάθαρσις,
ἡ δι' ἐπιστήμης τῆς ἀγνοίας καὶ τῶν παθῶν ἀπολύτρωσις. ἀλλ' ἐπανιτέον
τὸν λόγον εἰς ταῦτα ἀφ' οὗπερ ἐξήλθομεν. ἐλέγομεν οὖν ὅτι τὰ πάθη τῆς
ψυχῆς οὐ χωριστὰ τῆς φυσικῆς ὕλης τῶν ζώων, ἃ δὴ τοιαῦθ' ὑπάρχει,
15 θυμός, φόβος, καὶ οὐχ ὥσπερ γραμμὴ οὐδ' ἐπίπεδον· καὶ διὰ τοῦτο τῷ
φυσικῷ τῶν ἄλλων ἡ περὶ αὐτῶν ἀφώρισται πραγματεία.

12 Ἐπεὶ δὲ ἐπισκοποῦμεν περὶ ψυχῆς, ἀναγκαῖον προδιελθόντας τὰς τῶν
προτέρων δόξας καὶ ἅμα ἀπορούντας περὶ ὧν ἀπορεῖν δεῖ, συμπαραλαμβάνειν
καὶ ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο, ὅπως τὰ μὲν εἰρημένα καλῶς λάβωμεν,
20 εἴ τι δὲ μὴ καλῶς, τοῦτο εὐλαβηθῶμεν. μὴ λάθωμεν δὲ παρέντες καὶ ὃν
ἄνωθεν ὑφηγησάμεθα τρόπον τῆς καταλήψεως. τὸν ἐκ τῶν φαινομένων τὴν
οὐσίαν γνωρίζοντα. ἀλλ' ἔστω ἀρχὴ τῆς ζητήσεως καὶ οἱονεί τινα λήμματα
καὶ τοῖς περὶ ψυχῆς λόγοις τὰ μάλιστα δοκοῦντα ὑπάρχειν αὐτῇ κατὰ φύσιν
καὶ ἃ τοῖς πολλοῖς ὡμολόγηται. ταῦτα δὲ τὸ κινεῖσθαι, τὸ γινώσκειν τε
25 καὶ αἰσθάνεσθαι, καὶ πρὸς τούτοις τὸ λεπτότατόν τι αὐτὴν καὶ ἀσώματον
οἴεσθαι. τούτοις γὰρ καὶ μάλιστα διαφέρει τοῦ ἀψύχου τὸ ἔμψυχον, καὶ
παρὰ τῶν προγενεστέρων δὲ σχεδὸν τοσαύτας καὶ τοιαύτας δόξας περὶ
ψυχῆς παρειλήφαμεν. οἱ μὲν γὰρ πρὸς τὴν κίνησιν, οἱ δὲ πρὸς τὴν γνῶ-
σιν καὶ αἴσθησιν, οἱ δὲ πρὸς τὴν ἀσωματότητα ἀποβλέψαντες διωρικέναι
30 ταύτῃ τὴν φύσιν ᾠήθησαν. φασὶν γὰρ ἔνιοι ψυχὴν εἶναι τὸ πρώτως καὶ
μάλιστα κινοῦν· κινεῖ μὲν γὰρ καὶ ἡ βακτηρία τὸν λίθον καὶ ταύτην ἡ
χείρ, ἀλλ' οὐ πρώτως, ὡς ἐκεῖθεν κινούμενα καὶ παρὰ ψυχῆς. οἰηθέντες
δ' ὑπ' ἀπειρίας τὸ μὴ κινούμενον αὐτὸ μὴ ἐνδέχεσθαι κινεῖν ἕτερον. τῶν
κινουμένων τι τὴν ψυχὴν εἶναι ὑπέλαβον. ὅθεν Δημόκριτος πῦρ καὶ θερμὸν
35 αὐτήν φησιν εἶναι· ἀπείρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων τὰ σφαι-
ροειδῆ πῦρ καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ
φαίνονται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν. ὡς γὰρ τὰ κονιορτώδη ταῦτα
σωμάτια εἰσὶ μέν, οὐ φαίνονται δὲ διὰ τὸ μικρομερές, εἰ μήπου περιτύχοι
τῷ ἐν τῇ σκιᾷ φωτί, οὕτω κἀκεῖνα τὰ πρῶτα διὰ τὴν ὑπερβολὴν τῆς

2 οἳ καὶ C 3 τὴν φαντασίαν A 5 κατὰ om. A¹ 10 θεωρητικοὶ B
13 ἀφ' οὗπερ εἰς ταῦτα C: ὅθεν εἰς ταῦτα A 14 ὕλη C 15 οὐδ'] καὶ A 18 εὐ-
πορεῖν A cf. de Anima p. 403b 21 21 ὑφηγήμεθα AC 22 τινα] τι C κἀν
τοῖς AC 30 ταύτης C 32 κεῖθεν C 34 εἶναι om. A

λεπτότητος ἀθεώρητα· ὧν τὸ πλῆθος καὶ τὴν πανσπερμίαν στοιχεῖα τῆς ὅλης ὡρίζετο φύσεως (ἄτομοι γὰρ καὶ κενὸν κατ' αὐτὸν τῶν φυσικῶν σωμάτων καὶ πρώτων τῶν τεσσάρων δηλαδὴ στοιχείων ἀρχαί, ὥσπερ ταῦτα τῶν ἐξ αὐτῶν καὶ συνθέτων· οὕτω δὲ καὶ Λεύκιππος τίθεται) τούτων δὲ τὰ σφαιροειδῆ ψυχήν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμούς (εὐκινητότατον γὰρ ἡ σφαῖρα) καὶ κινεῖν τὰ λοιπὰ κινούμενα καὶ αὐτά, ὡς ὑπολαμβάνοντες μὴ δύνασθαι καὶ ἠρεμοῦσαν τὴν ψυχὴν ὅσον κατὰ τὴν τοπικὴν κίνησιν δυνάμεσί τισι κινεῖν τὸ σῶμα, ἀλλὰ τῷ αὐτὴν κινεῖσθαι κινεῖν. διὸ καὶ τοῦ ζῆν ὅρον τὴν ἀναπνοὴν ἔθεντο· συνάγοντος γὰρ τοῦ περιέχοντος ἡμᾶς ἔξωθεν καὶ πυκνοῦντος τὰ σώματα καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζώοις τὴν κίνησιν διὰ τὸ μηδ' αὐτὰ ἠρεμεῖν μηδέποτε, βοήθειαν γίνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων ἐν τῷ ἀναπνεῖν. κωλύει γὰρ ἡ εἰσπνοὴ αὐτά τε τὰ σφαιρικὰ καὶ τἄλλα τὰ ἐνυπάρχοντα τοῖς ζώοις ἐκκρίνεσθαι, συνανείργοντα τῇ θερμότητι τὸ συνάγον ἔξωθεν καὶ πηγνύον. ἔνθεν καὶ ὅρος ζωῆς ἡ λῆξις τῆς ἀναπνοῆς· ζῶμεν γὰρ ἕως ἂν τοῦτο ποιεῖν δυνώμεθα. ῥυσμὸς δὲ καὶ τροπὴ καὶ διαθιγή, οἷς ἀλλήλων αἱ ἄτομοι διαφέρουσιν, τὸ μὲν σχῆμα, τὸ δὲ θέσις, τὸ δὲ τάξις τῷ Δημοκρίτῳ νενόηνται. τὰ αὐτὰ δὲ τούτοις καὶ τὰ παρὰ τῶν Πυθαγορείων λεγόμενα, καὶ πρὸς τὴν αὐτὴν τείνει διάνοιαν ὅσον κατὰ τὸ πρόχειρον, εἰ μή πού τι δηλοῦται συμβολικώτερον. ἔφασαν γάρ τινες αὐτῶν ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, ἕτεροι δὲ τούτων οὐ ταῦτα, ἀλλὰ τὸ ταῦτα κινοῦν· εἴη δ' ἂν ἡ τοῦ παντὸς ψυχή. εἴρηται δὲ αὐτοῖς τοῦτο, ἐπεὶ συνεχῶς φαίνεται κινούμενα, κἂν ᾖ νηνεμία πολλή. ἐπὶ τὸ αὐτὸ δὲ φέρονται καὶ ὅσοι λέγουσι τὴν ψυχὴν τὸ αὐτὸ κινοῦν εἶτ' οὖν αὐτοκίνητον. εἶεν δ' ἂν οἱ περὶ Πλάτωνα καὶ Ξενοκράτην καὶ Ἀλκμαίωνα καὶ ἕτεροι τῶν ἐκ τοῦ Σωκρατικοῦ διδασκαλείου· ἐοίκασι γὰρ οὗτοι πάντες ὑπειληφέναι οἰκειότατον εἶναι ψυχῇ τὴν κίνησιν καὶ τὰ μὲν ἄλλα πάντα κινεῖσθαι διὰ τὴν ψυχήν, αὐτὴν δ' ὑφ' ἑαυτῆς, διὰ τὸ μηδὲν ὁρᾶν κινοῦν ὃ μὴ καὶ αὐτὸ κινεῖται. ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν καὶ εἴ τις ἄλλος εἴρηκεν ὡς τὸ πᾶν ἐκίνησε νοῦς· οὐ μὴν παντελῶς γε ὥσπερ Δημόκριτος. οὗτος γὰρ ταὐτὸν εἶναι ἄντικρυς λέγει ψυχὴν καὶ νοῦν, οὐδενὶ διαστέλλων· φάσκει γὰρ ταὐτὸ εἶναι τὸ ἀληθὲς καὶ φαινόμενον καὶ οὐ χρῆται τῷ νῷ ὡς δυνάμει τινὶ περὶ τὴν ἀλήθειαν καὶ ἑτέρῳ αἰσθήσεως· εἰ γὰρ νοῦς μὲν περὶ τὸ ἀληθὲς καὶ τὸ νοούμενον, ψυχὴ δὲ περὶ τὸ αἰσθητὸν καὶ φαινόμενον, ἓν δὲ καὶ ἄμφω αἴσθησις καὶ ἀλήθεια, καὶ νοῦς καὶ ψυχὴ τὸ αὐτό. διὸ καὶ Ὅμηρον ἐπαινεῖ ποιήσαντα ὡς Ἕκτωρ κεῖτο δ' ἀλλοφρονέων, ἀλλοφρονέοντα λέγων τὸν ὑπὸ τῆς πληγῆς

1 σπερμίαν C 2 καὶ κενὸν om. B 4 τίθεται repetit B 12 μὴ δήποτε A 13 ἡ εἰσπνοὴ om. A 14 συνανείργουσα C 16 δυνάμεθα AC 17 θέσιν A¹ 18 τάξιν A¹ 20 συμβουλικώτερον A 22 ψυχῇ A 24 αὐτὸ κινοῦν libri 26 Σωκρατικοῦ] σωματικοῦ C διδασκαλίου C: διδασκάλου B 29 λέγει om. C 34 ἑτέρῳ αἰσθήσεως scripsi: ἕτερον αἰσθήσεως A: ἑτέρων αἴσθησιν B: ἑτέρῳ αἰσθητηρίῳ C 35 ἓν] ἑνὸς A 37 ὡς C

σκοτωθέντα καὶ παραισθανόμενον Ἕκτορα. Ἀναξαγόρας δ' ἧττον διασαφεῖ περὶ αὐτῶν· ποτὲ μὲν γὰρ δοκεῖ διακρίνειν, ποτὲ δὲ εἰς τὸ αὐτὸ ἄγειν. καὶ ὅταν μὲν νοῦν μόνον αἴτιον λέγῃ τῶν ὀρθῶς καὶ καλῶς ἐχόντων, θειότερόν τι καὶ ὑπὲρ τὴν ψυχὴν τίθεται· οἷς δὲ πάλιν αὐτὸν ἐν πᾶσιν εἶναι διισχυρίζεται καὶ μικροῖς καὶ μεγάλοις ζώοις καὶ τιμίοις καὶ ἀτίμοις, φύρει ταῦτα· ὁ γὰρ κατ' ἐπιστήμην καὶ φρόνησιν νοῦς οὐ μόνον οὐκ ἐν πᾶσι τοῖς ζώοις, ἀλλ' οὐδὲ ἐν ἀνθρώποις πᾶσιν. ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι τὴν ψυχὴν ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον αὐτὴν εἶναι ὑπέλαβον καὶ τοιαῦτα περὶ αὐτῆς ἀπεφήναντο. ὅσοι δ' ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι πάλιν λέγουσιν εἶναι τὴν ψυχὴν ἐκ τῶν τοῦ παντὸς ἀρχῶν καὶ στοιχείων· καὶ οἱ μὲν πλείονας ποιοῦντες τῶν ὄντων τὰς ἀρχὰς ἐκ τούτων, ὅσαι καὶ αἱ ἀρχαί, οἱ δὲ μίαν ἐκ ταύτης μόνης. ἐπεὶ γὰρ ἡ ψυχὴ τῶν ὄντων πάντων ἐστὶ γνωστική, γινώσκεται δὲ τῷ ὁμοίῳ τὸ ὅμοιον (ἐφαρμόσαι γὰρ δεῖ τὸ γινῶσκον τῷ γινωσκομένῳ, ἵν' ἀποχρώντως κατάληψις γένηται, τοῦτο δὲ δεῖ τῆς πρὸς ἄλληλα κοινωνίας καὶ φυσικῆς οἰκειότητος), ἄπειρα δὲ καὶ τὰ κατὰ μέρος ὄντα, ἐκ τῶν ἀρχῶν τὴν ψυχὴν ὑπετίθεντο· γινώσκουσα γὰρ ἐκεῖνα διὰ τὸ συμφυὲς καὶ τὰ ἐξ ἐκείνων εἴσεται. ὅτι δὲ τὰ μὲν νοητὰ τῶν ὄντων τὰ δὲ αἰσθητά, καὶ ἐκ τῶν παρ' ἀμφοτέροις στοιχείων συνεστάναι ταύτην ᾠήθησαν. Ἐμπεδοκλῆς μὲν οὖν τέσσαρας ἀρχὰς τῶν ὄντων τὰ τέσσαρα στοιχεῖα τιθέμενος ὑλικάς, δύο δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν ποιητικάς, ἐκ τοσούτων καὶ τὴν ψυχὴν ἀπεφήνατο, οὕτω λέγων·

γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον
στοργῇ δὲ [τε] στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ·

Ὡς μὴ ἄλλως τὴν ψυχὴν τὰς ἀρχὰς νοῆσαι δύνασθαι, γῆν, ὕδωρ, ἀέρα καὶ τὰ λοιπά, εἰ μὴ γήϊνη καὶ πυρίνη καὶ ἀερίνη αὐτὴ πρότερον εἴη. τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων τὴν ψυχὴν ἐκ τῶν στοιχείων ἐν τῷ Τιμαίῳ ποιεῖ· γινώσκεται γὰρ καὶ κατ' αὐτὸν τῷ ὁμοίῳ τὸ ὅμοιον· τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι. πέντε δὲ αὐτῷ γένη τῶν ὄντων εἰσήγηται οὐσία, ταυτότης, ἑτερότης, κίνησις καὶ στάσις. οὐσίαν λέγοντι τὴν ἁπλῶς ὕπαρξιν, ταυτότητα τὴν κοινωνίαν, ἑτερότητα τὴν διαφοράν, κίνησιν τὴν ἐνέργειαν τὴν ὁποιανοῦν καὶ μεταβολήν, στάσιν τήν τε ἠρεμίαν καὶ τὴν ἐν τῷ κινεῖσθαι μονήν, καθ' ἣν καὶ τοῖς κύκλῳ φερομένοις δίδωσι στάσιν. ταῦτα δὲ καὶ διὰ πάντων ἥκουσιν· ἐξ ὧν καὶ τὴν ψυχὴν συνεστάναι λέγει. ἐξ οὐσίας μὲν τῆς τε ἀμερίστου καὶ νοητῆς καὶ τῆς περὶ τὰ σώματα μεριστῆς· οὕτω γὰρ ἔδει τὴν ἀμφότερα γνωσομένην. ἐπεὶ δὲ ἡ γνῶσις ἢ ὁμοιότητί τινι καὶ ταυτότητι ἢ ἀνομοιότητι καὶ ἑτερότητι γίνεται (τό τε γὰρ λευκὸν τῇ τε τοῦ ὁμοίου λευκοῦ παραθέσει γνωρίζομεν, πρὸς δὲ καὶ τῇ τοῦ μέλανος· τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν), διὰ τοῦτο καὶ ἐκ τῆς τοῦ ταὐτοῦ καὶ ἑτέρου τὴν ψυχὴν μεμῖχθαι λέγει φύσεως. ὅτι δὲ αὐτοκίνητος καὶ ἀεικίνητος, πρόδηλον ὅτι

3 νοῦν] οὖν C λέγει A¹ 11 τὰς om. A τοσούτων A 14 τούτῳ A
22 γαίῃ μὲν κτλ.] Empedocl. v. 333 sqq. Stein 24 δέ τε sic libri 24 νεῖκος [illegible] C 27 ἐν τῷ Τιμαίῳ] c. 8 p. 35A 30 λέγων A 33 φερομένης C

αὐτῇ κίνησιν ὑπολείπει καὶ στάσιν. ὁμοίως δὲ τούτοις καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις διωρίσθη, ἐν οἷς αἵ τε λογικαὶ συνουσίαι αὐτοῦ καὶ τὰ ἄγραφα τῶν δογμάτων ἱστόρηνται· αὐτὸ μὲν τὸ ζῶον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας συνεστάναι φησὶν καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους εἴτ' οὖν τῆς αὐτοδυάδος καὶ αὐτοτριάδος καὶ αὐτοτετράδος· καὶ τἆλλα δὲ ὁμοιοτρόπως. τέτταρα γὰρ αὐτῷ ἐκεῖ ἕτερα στοιχεῖα τῶν εἰρημένων τοῦ νοητοῦ διακόσμου πεποίηνται, ἐν ᾧ τὸ τῶν ἰδεῶν πλήρωμα· τὸ αὐτοέν, ἡ αὐτοδυάς, ἡ αὐτοτριὰς καὶ ἡ αὐτοτετράς, ἀφ' ὧνπερ καὶ ὁ αἰσθητὸς οὗτος κόσμος ἤρτηται ὡς ἀπ' αἰτίου τοῦ νοητοῦ καὶ αἱ ἀρχαὶ αὐτοῦ ἐκεῖθεν. τὸ μὲν γὰρ ἐνταῦθα σημεῖον ἀπὸ τοῦ ἐκεῖθεν ἑνός, δυὰς δὲ καὶ τριὰς καὶ τετρὰς τὰ πρῶτα γραμμῆς καὶ πλάτους καὶ βάθους ποιητικά, ἐξ ὧν τὸ σῶμα ὁ ὁρώμενος οὗτος κόσμος. ἔδει γὰρ ἐν τῷ νοητῷ κόσμῳ τὰς τοῦ αἰσθητοῦ προϋποκεῖσθαι ἀρχάς. ὡς γὰρ ὅλον τὸ ἐκεῖθεν αὐτοζῶον τοῦδε τοῦ ἐνταῦθα κοσμικοῦ ζώου παράδειγμα, οὕτω καὶ ἀρχαὶ τῶν ἀρχῶν. ἀρχὰς δὲ τῶν νοητῶν ταύτας ὁ Πλάτων ἐτίθετο, ὅτιπερ κατὰ τοὺς Πυθαγορείους καὶ αὐτὸς ἀριθμοὺς τὰ εἴδη ὠνόμαζεν, εἴτε ὡς ἀφοριστικὰ καὶ μετρητικὰ τῆς ὕλης ἀρρυθμίστου οὔσης καθ' αὑτὴν καὶ ἀσυντάκτου καὶ τόδε τι ποιοῦντα καὶ δηλωτικὰ τῶν ὑποκειμένων, εἴτε ὥσπερ οἱ ἀριθμοὶ ἐκ μιᾶς ἀρχῆς τῆς μονάδος προήχθησαν, οὕτω καὶ τὰ εἴδη ἐκ μιᾶς τῆς πάντων αἰτίας. καὶ ἔτι πᾶς ἀριθμὸς καὶ μεμερισμένος ἐστὶ καὶ ἀμερής, τὸ μὲν κατὰ τὰς ἐν αὐτῷ μονάδας, τὸ δὲ κατὰ τὴν ὁλότητα· ἀμερῆ δὲ καὶ τὰ ἐν τῷ δημιουργῷ εἴδη, μεμερισμένα δὲ τὰ ἐν τῇ ὕλῃ. ἔτι ἀριθμοὶ τὰ εἴδη καὶ οὕτως (εἴδη δὲ λέγομεν, ἃ τοῖς κυρίοις ὁρισμοῖς ἀφορίζεται)· ὡς γὰρ ἀπὸ τοῦ ἀριθμοῦ εἰ ἀφέλῃς μονάδα ἢ προσθήσεις ἢ ἕτερον αὐτοῦ μόριον, αὐτίκα ἕτερος ἀριθμὸς γίνεται, οἷον ὁ ἕξ, εἰ ἀφέλῃς μονάδα, ἕτερος ὁ πέντε γίνεται, οὕτω καὶ ἐπὶ τῶν εἰδῶν εἴτ' οὖν τῶν λόγων τῶν ὁριστικῶν, εἰ ἀφαιρήσεις ἢ προσθήσεις λέξιν, ἕτερον εἶδος ἐποίησας. ἐπεὶ δὲ καὶ στοιχεῖον τῶν ἀριθμῶν ἡ δεκάς, ταύτης δὲ ἡ τετράς, διὰ τοῦτο τὰς τῶν ἀριθμῶν ἀρχὰς καὶ τῶν ἰδεῶν ἀρχὰς ἐτίθετο. ἐκ τούτων οὖν καὶ τὴν ψυχὴν συνιστᾷ, νοῦν μὲν τὸ ἓν λέγων, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ. ἐπεὶ γὰρ τὰ εἴδη αὐτὰ ἀριθμοὶ καὶ ἀρχαὶ τῶν ὄντων ἐλέγετο, εἰσὶ δὲ ἐκ τῶν στοιχείων, κρίνεται δὲ τῇ ψυχῇ τὰ πράγματα τὰ μὲν νῷ, τὰ δὲ ἐπιστήμῃ, τὰ δὲ δόξῃ, τὰ δ' αἰσθήσει, συνεστάναι δεῖν καὶ ταύτην ἐκ τῶν τεττάρων λέγει· ἀπὸ μὲν τοῦ αὐτοενὸς τὸν νοῦν αὐτῇ ἁπλοῦν ὄντα καὶ ἀμερῆ (ἑνὰς δὲ καὶ τὰ νοητά), ἀπὸ δὲ τῆς δυάδος τὴν ἐπιστήμην· δυὰς γὰρ τὰ ἐπιστημονικὰ τὸ ποθὲν πῇ ὡρισμένως ἔχοντα· τριὰς δὲ ἡ δόξα· τριττὰ γὰρ καὶ τὰ δοξαστὰ διὰ τὸ ἀμφιρρεπές· ἀπὸ δὲ τῆς τετράδος τὴν αἴσθησιν, ὅτι περὶ τὸ σῶμα, ὃ τετράδι συντέθειται. ἐνταῦθεν οὖν ἐκεῖνο δῆλον, ὅτι οἱ τὰς ἰδέας εἰσάγοντες καὶ ταύτας ἀρχὰς

1 κίνησιν αὐτῇ AC περὶ φιλοσοφίας cf. fr. p. 1477 b 36 8 ἡ (post καὶ) om. AC 14 τοῦ δὲ BC 17 μετρικὰ A 20 αἰτίας om. A 22 ἔτι — ἐποίησας (27 om. AC 33 δὲ καὶ ἐκ AC 38 καὶ τὸ C

τῶν ὄντων ὑποτιθέμενοι τούτων πάλιν ἑτέρας ἀρχὰς ᾤοντο τὰς εἰρημένας. ἐπεὶ δὲ καὶ κινητικὸν ἐδόκει ἡ ψυχὴ εἶναι καὶ γνωστικὸν οὕτως, ἔνιοι ἐξ ἀμφοῖν ἀπεφήναντο τὴν ψυχὴν ἀριθμὸν κινοῦνθ' ἑαυτόν. διαφέρονται δὲ περὶ τῶν ἀρχῶν, τίνες καὶ πόσαι. οἱ μὲν γὰρ σωματικὰς ἐποίουν, ὡς οἱ φυσικοί, οἱ δὲ ἀσωμάτους, ὡς οἱ Πυθαγόρειοι, οἱ δὲ μικτάς· καὶ οἱ μὲν πολλὰς οἱ δὲ μίαν ἐτίθεντο. καὶ τὸ μὲν ἐπὶ πλέον τι λέγειν περὶ αὐτῶν παρεῖται (εἴρηται γὰρ ἐν τοῖς καθόλου τῶν φυσικῶν πρότερον), ἐκεῖνο δὲ φανερὸν ἐκ τῶν εἰρημένων ὅτι κοινῶς τὴν ψυχὴν ἐκ τῶν στοιχείων τιθέμενοι, μόνον δὲ πρὸς τὸ εἶδος καὶ τὸ πλῆθος διαφερόμενοι ἀκολούθως ἕκαστος τῇ παρ' ἑαυτοῦ περὶ ἀρχῶν ὑπολήψει καὶ τὰ περὶ τὴν ψυχὴν συνῆπτον. καὶ πρῶτον οὐκ ἀλόγως παρὰ πᾶσιν ἐκεῖνο εἰσήγηται· τὸ γὰρ κινητικὸν τὴν φύσιν τῶν ἄλλων τῶν πρώτων εἶναι καὶ ἀρχὴν ὑπειλήφασιν. τοῦτο δὲ εἶναί τισι τὸ πῦρ ἔδοξε· καὶ γὰρ τοῦτο λεπτομερέστατόν τε καὶ μάλιστα τῶν στοιχείων ἀσώματον. ἔτι δὲ κινεῖται καὶ κινεῖ τἄλλα πρώτως. Δημόκριτος δὲ καὶ γλαφυρωτέραν ἀπέδωκεν αἰτίαν ἀποφηνάμενος, διότι τούτων ἑκάτερον τῷ πυρί· τὰ γὰρ πρῶτα καὶ ἀδιαίρετα τῶν σωμάτων τὰ σφαιρικά, ἃ πῦρ ἔθετο καὶ ψυχήν, κινητικώτατα τῶν ἄλλων καὶ δραστικὰ διά τε τὴν μικρομέρειαν καὶ τὸ σχῆμα· τοιοῦτον δὲ καὶ πῦρ καὶ νοῦς. ἔοικε δὲ καὶ Θαλῆς, ἐξ ὧν ἀπομνημονεύουσιν, ἐκ τῶν ἀρχῶν τὴν ψυχὴν καὶ κινητικὸν ὑπολαβεῖν, εἴπερ τὸν Μάγνητα λίθον ἔμψυχον εἶπεν, ὅτι κινεῖ τὸν σίδηρον· λίθου δὲ καὶ πάντων ἀρχὴ κατ' αὐτὸν τὸ ὕδωρ. Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες ἀέρα ταύτην ὡς ἐξ ἀρχῆς καὶ στοιχεῖον· τοῦτον γὰρ ᾤετο ἔξω πυρὸς τῶν ἄλλων λεπτομερέστατον καὶ κινητικώτατον εἶναι καὶ μανώσει καὶ πυκνώσει τἄλλα γεννᾶν. καὶ ᾗ μὲν πρῶτος καὶ ἐκ τούτου γέγονε τὰ λοιπά, γνωστικὸν ἡ ψυχή, ᾗ δὲ λεπτὸς καὶ κοῦφος, κινητικόν. Ἡράκλειτος δὲ πῦρ, εἴπερ ἐξ ἀναθυμιάσεως αὐτὴν ἔλεγεν, ἐξ ἧς καὶ τἄλλα συνίστησι, καὶ ἀσώματόν τε καὶ ῥέον ἀεί. εἰ γὰρ ἐν κινήσει καὶ φορᾷ τὰ ὄντα, ὥσπερ ἐκεῖνός τε ᾤετο καὶ πολλοὶ ἕτεροι, τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεται ὡς ὁμοίῳ ὅμοιον, ἔδει τὴν ψυχὴν οὕτως ἔχειν φύσιν, συγκινεῖσθαι τοῖς οὖσι καὶ συμπαραθέειν γνωρίζουσαν. παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης, Πυθαγορικὸς ὤν, ὑπολαβεῖν ἔοικε περὶ ψυχῆς· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις, τοῦτο δ' ὑπάρχειν αὐτῇ ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι γὰρ καὶ τὰ θεῖα πάντα συνεχῶς ἀεί, σελήνην, ἥλιον, τοὺς ἀστέρας καὶ τὸν ὅλον οὐρανόν. τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς αὐτὴν ἀπεφήναντο, καθάπερ Ἵππων ὁ ἄθεος. πεισθῆναι δὲ ἔοικεν ἐκ τῆς γονῆς, ἣν ἔμψυχον ἔλεγεν, ὅτι πάντη ὑγρά, ὡς καὶ τὸ ὕδωρ τῶν ὅλων ἀρχή, ὅτι τῶν φυτῶν ἡ πρώτη καὶ ζώων τροφὴ ὑγρά. ἐλέγχει δὲ καὶ τοὺς αἷμα φάσκοντας τὴν ψυχήν,

---

3 ἀποφηνάμενοι A διαφέρονται—νοῦς (18) post πασῶν τῶν ἀρχῶν (15, 15) transponunt AC 7 τῶν φυσικῶν Phys. A, 2 sqq. 9 μόνον om. A πρὸς δὲ A 11 ἀλόγον B ἐκεῖνο παρὰ πᾶσιν AC 19 ἐξ ὧν repetit C 20 κινητικὴν C 22 ὡς om. B καὶ στοιχεῖον] στοιχείου AB 30 φύσεως A

ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ' εἶναι τὴν πρώτην ψυχήν. ἕτεροι δ' αἷμα, καθάπερ Κριτίας, τὸ αἰσθάνεσθαι τῆς ψυχῆς οἰκειότατον ὑπολαμβάνοντες· τοῦτο δ' ὑπάρχει διὰ τὴν τοῦ αἵματος φύσιν· τὰ γὰρ ἄναιμα καὶ ἀναίσθητα, οἷον ὀστᾶ, τρίχες, ὄνυχες. πάντα οὖν τὰ στοιχεῖα ἄλλο παρ' ἄλλων ὡς ἀρχὴ ψυχικὴ συνεισήνεκται, καὶ κριτήν τινα τούτων ἕκαστον καὶ προστάτην ἀπείληφε πλὴν τῆς γῆς· ταύτην δ' οὐδεὶς ἀπεφήνατο, πλὴν εἴ τις εἴρηκεν ἐκ πάντων εἶναι τῶν στοιχείων ἢ ὃς πάντα.

Ἀνακεφαλαιούμενοι δὲ τὰ εἰρημένα λέγομεν ὡς πάντες ὁρίζονται τὴν ψυχὴν τρισὶν ὡς εἰπεῖν, κινήσει, αἰσθήσει, τῷ ἀσωμάτῳ· τούτων δ' ἕκαστον ἀνάγεται πρὸς τὰς ἀρχάς. ὡς γὰρ τὰ αἴτια οὕτω καὶ τὰ αἰτιατά. ὅθεν καὶ οἱ τῷ γινώσκειν, ὡς εἴρηται, αὐτὴν ὁριζόμενοι ἢ στοιχεῖον ἢ ἐκ τῶν στοιχείων ποιοῦσιν, λέγοντες παραπλησίως ἀλλήλοις, πλὴν ἑνὸς τοῦ Ἀναξαγόρου· φασὶ γὰρ διὰ τοῦτο ἐκ τῶν ἀρχῶν, ἵνα τῷ ὁμοίῳ γινώσκῃ τὸ ὅμοιον, καὶ ἐπεὶ πάντα γινώσκει, συνιστῶσιν αὐτὴν ἐκ πασῶν τῶν ἀρχῶν. ὅσοι μὲν οὖν μίαν τινὰ λέγουσιν αἰτίαν καὶ στοιχεῖον ἕν, καὶ τὴν ψυχὴν ἓν τιθέασιν, οἷον πῦρ ἢ ἀέρα· οἱ δὲ πλείους λέγοντες τὰς ἀρχὰς καὶ τὴν ψυχὴν πλείω ποιοῦσιν. ὅσοι δ' αὖ ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ τὴν ψυχὴν ἐκ τῶν ἐναντίων συνιστῶσιν· οἱ δὲ θάτερον τῶν ἐναντίων, οἷον θερμὸν ἢ ψυχρὸν ἤ τι τοιοῦτον ἄλλο, καὶ τὴν ψυχὴν ὁμοίως τιθέασιν. διὸ καὶ τοῖς ὀνόμασιν ὁμοίως ἀκολουθοῦσιν, οἱ μὲν τὸ θερμὸν ψυχὴν λέγοντες, ὅτι διὰ τοῦτο καὶ τὸ ζῆν ὠνόμασται, οἱ δὲ τὸ ψυχρὸν διὰ τὴν ἀναπνοὴν καὶ τὴν κατάψυξιν καλεῖσθαι ψυχήν. μόνος δ' Ἀναξαγόρας τὸν παρ' αὐτῷ νοῦν ἀπαθῆ φησιν εἶναι καὶ κοινὸν οὐθὲν οὐθενὶ τῶν ἄλλων ἔχειν· μόνον γάρ φησι τῶν ὄντων αὐτὸν ἁπλοῦν εἶναι καὶ ἀμιγῆ καὶ καθαρόν, πάντων συντεθέντων ἐκ τῶν ὁμοιομερῶν. τοῦτον δὲ τὸν θεῖον εἶναι συννενοήκαμεν, ὃν καὶ ἀρχὴν τῶν ὅλων μάλιστα τίθεται· εἰ δὲ καὶ τὸν ψυχικὸν οὕτω λέγει, πῶς νοήσει τοιοῦτος ὤν, εἴπερ καθ' ὁμοιότητα τὸ γινώσκειν, αὐτός τε οὐκ εἶπε καὶ ἐκ τῶν εἰρημένων ἀσυμφανές ἐστι. πλὴν τοῦτο αὐτοῦ χάριεν, ὅτι τῶν σωμάτων ἐχώρισε, καὶ αὕτη δοξῶν ἡ καιριωτάτη· νοῦν γὰρ ἀρχὴν καὶ ποιητὴν τῶν ὄντων πρῶτος ἐπέστησε καὶ νήφων ἐφάνη παρ' εἰκῆ λέγοντας. κοινῶς δὲ περὶ πάντων εἰπεῖν δεῖ ὡς τὴν ψυχὴν ἐκ τῶν στοιχείων λέγοντες οὐχ ὡς τἄλλα λέγουσι τροπῇ καὶ μεταβολῇ (τί γὰρ τοῦ τυχόντος ζώου δεήσειεν ἢ φυτοῦ;) ἀλλὰ μοῖράν τινα καθαρὰν καὶ εἰλικρινῆ κατὰ μόνην τὴν σχέσιν πρὸς τὰς ἀρχὰς τὴν διαφορὰν ἔχουσαν, ὡς αἱ μὲν τινῶν (τῶν ἐξ ἐκείνων γάρ), ἡ δὲ οὔ· καὶ αἱ μὲν ὅλον, ἡ δὲ μέρος. τὰ μὲν οὖν παραδεδομένα περὶ ψυχῆς καὶ δι' ἃς αἰτίας λέγουσιν οὗτοι, ταῦτα. ἤδη δὲ καὶ πρὸς τὴν ἐξέτασιν τῶν λεγομένων κατὰ τὴν προτέραν ὁμολογίαν ἰτέον· ἐκεῖνο δὲ

---

3 ὑπάρχειν de An. 405b7 4 παρ' ἄλλου A: παρ' ἄλλον C 5 ἀρχὴ ψυχικὴ A 8 ὡρίζονται A 13 γινώσκει C¹ 14 συνιστᾶσιν C corr. A 18 καὶ] ὡς B συνιστᾶσιν AC 23 αὐτῶν C 24 αὐτὸν τῶν ὄντων AC 27 λέγοι A 30 ποιητὸν B 33 τυχόντως A¹ διοίσειεν A 37 οὗτοι] οὕτω de An. 405b30

ποιοῦμεν δῆλον ὡς οὐ παντάπασι τὰ τῶν ἀνδρῶν ἀθετήσομεν. οὐ γὰρ ἐκεῖνοι πάντα κακῶς εἰρήκασιν, εἰ καὶ παρὰ τὴν τῶν ἐλέγχων ἀγωγὴν τοῦτο δόξειεν· τοῖς γὰρ φαινομένοις ὁ λόγος ἐνστήσεται. οὔτε γὰρ ὅτι κίνησιν ἔδωκαν ἁπλῶς τῇ ψυχῇ μεμφόμεθα οὔτ' εἰ γινώσκειν εἶπον τὰ πράγματα· τὸ γὰρ ἀσώματον καὶ νοερὸν αὐτόθεν ἡμέτερόν ἐστιν· ἀλλ' ὅτι κίνησιν εἰπόντες οὐ διεστείλαντο τὴν ποίαν καὶ πῶς, καὶ παρῆκαν τοῖς πολλοῖς τὰς σωματικὰς δὴ ταύτας νοεῖν καὶ ἐπὶ ψυχῆς. καὶ γινώσκει μέν, οὐχ ὡς λέγεται δέ· οὐ γὰρ ἑαυτοὺς λελήθαμεν, ἅ τε ἐν ἄλλοις εἴπομεν καὶ προϊόντες ἐροῦμεν, ὡς ἔνεστι κἀν τῇ ψυχῇ κίνησις. εἰ γὰρ τὸ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπ' αὐτῆς (μανθάνει γὰρ καὶ ἐπιστήμων ἐξ ἀνεπιστήμονος γίνεται, καὶ παρὰ μέρος ἀρετήν τε καὶ κακίαν μεταβεβλημένη δέχεται), κίνησις δέ ἐστιν ἡ ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ πρόοδος, πῶς οὐ κινηθήσεται; ποῦ δὲ θήσει τις καὶ τὰς νοητικὰς αὐτῆς καὶ τελείας ἐνεργείας καὶ τὰς τῶν θεωρημάτων διεξοδικὰς ἀνελίξεις καὶ ἀπὸ προτάσεων ἐπὶ τὰ συμπεράσματα ἀγωγάς; ὥστε καὶ Πλάτωνι (οὗτος γὰρ μάλιστα οὐσιοῖ τῇ ψυχῇ τὴν κίνησιν) εἰ πρὸς ταῦτα βλέψαντι, πρὸς δὲ εἰ καὶ τὴν ζωοποιὸν αὐτῆς ὀνειρώξαντι δύναμιν αὐτοκίνητον αὐτὴν καὶ ἀεικίνητον προσαγορεῦσαι ἐπῆλθε, τοσοῦτον τοῦ ἐγκαλεῖν ἀπέχομεν, ὅσῳ καὶ προσεπαινοῦμεν καὶ ὡς τὰ ἡμέτερα πρεσβεύοντα τὸν ἄνδρα γνωρίζομεν· τέως δὲ πιεσθήτω καὶ διδότω τὰς εὐθύνας τῷ λόγῳ ὁ τῶν πολλῶν ὀλιγωρῶν καὶ μὴ διαιρῶν τὸ κατὰ τὸ φαινόμενον ἄτοπον.

13 Ἐπισκεπτέον δὲ πρότερον περὶ κινήσεως λογικώτερον· ἴσως γὰρ οὐ μόνον ψεῦδος ἂν φανείη τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι οἵαν φασὶν οἱ λέγοντες αὐτοκίνητον ἢ δυναμένην κινεῖν, ἀλλὰ καὶ ἕν τι τῶν ἀδυνάτων τὸ ὑπάρχειν αὐτῇ κίνησιν, οἵαν δίδωσιν ἐννοεῖν τὰ παρ' αὐτῶν εἰσαγόμενα. ὅτι μὲν γὰρ οὐκ ἀναγκαῖον πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, καθάπερ ᾠήθησαν, εἴρηται πρότερον ἐν τοῖς πρώτοις περὶ κινήσεως. εἰ γὰρ τὸ πρώτως κινοῦν κἀκεῖνο κινοῖτο, οὐκέτι ἐν κινήσει τὰ κινούμενα συμμεταβληθέντα τῷ αἰτίῳ. καὶ τὸ ὀρεκτὸν κινοῦν, οἷον τὸ κάλλος τὸν ἐραστήν, ἀκίνητόν ἐστιν. ἓν μὲν οὖν καὶ πρῶτον τοῦτο παρόραμα τῇ ἀρχῇ τῶν λόγων αὐτῶν· τῷ γὰρ οἰηθῆναι ἅπαν τὸ κινοῦν κινεῖσθαι, ὡς κινοῦσαν τὸ σῶμα τὴν ψυχὴν καὶ αὐτὴν τῶν κινουμένων ὑπέλαβον. δεύτερον δέ, ἐπεὶ κινεῖται πᾶν ἢ καθ' ἕτερον καὶ κατὰ συμβεβηκὸς ἢ καθ' αὑτὸ καὶ κατ' οὐσίαν, καὶ τῶν καθ' ἕτερον καὶ κατὰ συμβεβηκὸς τὰ μὲν ἔχουσιν ἰδίαν καὶ καθ' αὑτὰ κίνησιν, ὡς οἱ πλωτῆρες τὴν διὰ ποδῶν βάδισιν (αὕτη γὰρ ἀνθρώπων· τὸ γὰρ τῷ πλοίῳ συμφέρεσθαι αὐτοῖς οὐ καθ' αὑτό), τὰ δὲ οὔ, μόνῳ δὲ τῷ ἐν ἑτέρῳ εἶναι τὴν κίνησιν ἴσχοντα ὡς ἡ λευκότης (οὐ γάρ ἐστιν ἰδία λευκότητος κίνησις καὶ τῶν ἄλλων παθῶν

---

1 οὐδὲ γὰρ A 8 εἴπαμεν A 9 κἂν A 11 τε om. A 12 δυνάμεως B πρόοδον B 13 νοητικὰς scripsi: νοητὰς libri 14 καὶ τὰς ἀπὸ A 16 εἰ καὶ] καὶ εἰ AC 17 προσηγορεῦσαι C 19 πιεσθήτω καὶ om. B 20 διαρθρῶν A 24 δυναμένην] δύναμιν B ἀλλὰ — ἀδυνάτων repetit C 25 γὰρ om. B 27 ἐν τοῖς πρώτοις περὶ κινήσεως] Phys. Θ, 6 p. 258ᵇ 30 πρῶτον om. B 31 τὸ γὰρ σῶμα B 36 τὸ ἐν ἑτέρῳ BC 37 καὶ om. B

παρὰ τὴν ἐν οἷς εἰσι σώμασι), καὶ τῶν αὖ καθ' αὑτὸ κινουμένων τὰ μὲν οὐσιώδη καὶ συμπληρωτικὴν τῆς οὐσίας ἔχουσι τὴν κίνησιν καὶ ἀεὶ ὡς τὰ οὐράνια, τὰ δὲ οὔ, ἀλλὰ τὸ ποτὲ κινεῖσθαι τοιῶσδε φύσει ἔχουσιν τὴν δύναμιν, ὡς ἡ βῶλος τὸ κάτω φέρεσθαι, τοσαυταχῶς οὖν λεγομένου τοῦ κινεῖσθαι ἐπισκοποῦμεν περὶ ψυχῆς, εἰ ὅλως καθ' ἕτερον τῶν τρόπων δυνατὴ κινεῖσθαι τὸν κατ' οὐσίαν· κατὰ συμβεβηκὸς γὰρ κἂν ἡμεῖς δοίημεν. ἀλλ' εἰ ἔστιν ἡ οὐσία τῆς ψυχῆς τὸ κινεῖν ἑαυτήν, οὐ κατὰ συμβεβηκὸς αὐτῇ τὸ κινεῖσθαι ὑπάρξει, ὥσπερ τῷ λευκῷ ἢ τριπήχει. κινεῖται γὰρ καὶ ταῦτα, ἀλλὰ κατὰ συμβεβηκός· ᾧ γὰρ ὑπάρχουσιν, ἐκεῖνο κινεῖται τὸ σῶμα. διὸ καὶ οὐκ ἔστιν τόπος αὐτῶν, τῆς δὲ ψυχῆς ἔσται, εἴπερ φύσει κινήσεως μετέχει. τριῶν δὲ οὐσῶν κινήσεων φυσικῶν (παρείσθω γὰρ ἡ κατὰ τὴν οὐσίαν νῦν ὡς μᾶλλον μεταβολὴ ἢ κίνησις), τῆς ἐν ποσῷ καὶ ποιῷ καὶ ποῦ, εἶτ' οὖν φορᾶς, ἀλλοιώσεως, αὐξήσεως καὶ μειώσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας· ὅπως δ' ἂν κινηθείη κατ' αὐτὰς μόνον, εἰ φυσικῶς ἐν τόπῳ ἔσται· πᾶσαι γὰρ αὗται κατὰ τόπον. τούτῳ δ' ἕπεται τὸ σῶμα εἶναι. πῶς οὖν ἀσώματος κατ' Ἀναξαγόραν καὶ Πλάτωνα; καὶ φορὰ μὲν ὅτι κατὰ τόπον αὐτόθεν δῆλον, ἔτι δὲ αὔξησις καὶ μείωσις· ὅτι δὲ καὶ ἀλλοίωσις καὶ ἡ αἰσθητὴ καὶ παθητικὴ μεταβολή, ὧδ' ἔσται· τὸ γὰρ κινούμενον κατ' ἀλλοίωσιν καθ' αὑτὸ μεριστόν ἐστιν, τοῦτο δὲ σῶμα, τοῦτο δὲ ἐν τόπῳ. καὶ καθόλου εἰπεῖν πᾶν τὸ κινούμενον μεθίσταται ἐξ οὗ ἐστιν εἰς τὸ ἐν ᾧ ἔσται· ἔκ τινος γὰρ εἴς τι πᾶσα μεταβολή. τὸ δὲ τοιοῦτον οὔτ' ἐξ οὗ μετέβαλεν, ἐν ἐκείνῳ ἐστὶν ὅλον (οὐδέπω γὰρ μεταβάλοι), οὔτε εἰς ὅ· ἤδη γὰρ ἂν καὶ μεταβεβληκὸς εἴη καὶ οὐκέτι μεταβάλλοι. λείπεται τὸ μέν τι αὐτοῦ ἐν ἐκείνῳ εἶναι ἐξ οὗ, τὸ δὲ εἰς τὸ ἐν ᾧ ἔσται. μεριστὸν ἄρα καὶ διὰ τοῦτο σῶμα. αἰσθητὰς δ' ἀλλοιώσεις λέγομεν διὰ τὰς ψυχικάς, ἀρετὴν καὶ κακίαν, γνῶσιν καὶ ἄγνοιαν, ἃς τῷ κατὰ φύσιν διαφερούσας καὶ παρὰ φύσιν οὐδὲ κυρίως ἂν ἀλλοιώσεις λέγοιμεν ὡς καὶ ὑγείαν καὶ νόσον, γενέσεις δὲ μᾶλλόν τινας καὶ φθοράς. ἔτι εἰ φύσει κινεῖται, κἂν βίᾳ κινηθείη, κἂν εἰ βίᾳ, καὶ φύσει· ἐξ ἀμφοτέρων δὲ δῆλον ὅτι τόπον ἕξει. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει· ὁμοίως δὲ καὶ εἰς ὃ κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ. ποῖαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι αὐτοπροαιρέτου καὶ αὐτοκινήτου καὶ κατ' αὐτοὺς οὔσης, οὐδὲ πλάσσειν βουλομένοις ῥᾴδιον. αἱ γὰρ δοκοῦσαι καθόλου καὶ μάλιστα καὶ πρῶται κινήσεις αὐτῆς, κρίσις καὶ ὄρεξις, οὔποτ' ἂν βίᾳ κινηθεῖεν, ἀλλὰ τυράννου μὲν ἀσεβές τις δόγμα ἄκων ὁμολογήσειε χείλεσιν. ἐντὸς δὲ συνθέσθαι ἢ δοξάσαι βίᾳ πῶς ἔχει χώραν; δόξοι δ' ἂν κατὰ θυμὸν καὶ ἐπιθυμίαν βιάζεσθαι, ὅταν ἐρεθίζηται ὑπὸ τῶν ἔξωθεν. οὐκ ἔστι δέ· εἰ γὰρ μὴ ὁ λόγος τῷ πάθει ἐνδοίη, οὔ ποτ' ἂν ἐξαχθείη. ἀκούσιον γὰρ καὶ βίᾳ

2 ἔχον A 3 ἔχοντα A 4 τὸ συνταχῶς B 6 τὸν] τὸ γὰρ B 8 ὑπάρχει A τριπήχει parum distincte B 18 αἰσθητὸς B 19 ἑαυτὸ C 22 καὶ om. AC 23 μέν τι] μέντοι C 24 ἔσται Diels: ἐστιν BC: om. A 25 κακίαν καὶ γνῶσιν AC 27 λέγομεν C 28 κἂν βίᾳ A 29 ἕξει A 36 δοξάσαι ἢ συνθέσθαι A ἔχοι A 38 ἐνδοίη] συνθείη B¹

ἐστίν, οὗ ἡ ἀρχὴ ἔξωθεν, μηδὲν συμβαλλομένου τοῦ πάσχοντος ἢ πράττοντος· δηλοῦσι δὲ καὶ οἱ σπουδαῖοι οὐδενὶ τῶν ἐρεθιζόντων εἴκοντες. ὥστε εἰ τῇ κατὰ φύσιν κινήσει καὶ ἡ παρὰ φύσιν εἴπετο, οὐ κινεῖται δὲ παρὰ φύσιν, οὐδὲ κατὰ φύσιν ἄρα. ὑπεξῃρήσθω δὲ τὰ οὐράνια καὶ κατὰ φύσιν κινούμενα καὶ οὔποτε πρὸς βίαν ἀντιφερόμενα, ἢ οὐδὲ κατὰ φύσιν ἂν κυρίως κινεῖσθαι λέγοιτο, παρ' ὅσον ὑπὸ κρείττονός τινος δυνάμεως ἄγονται. διττὴ δ' ἡ τῶν ζώων κίνησις, καὶ ὑπὸ ψυχῆς, ὡς κινεῖ ψυχὴ βουλήσει, καὶ ὑπὸ φύσεως. ὅταν γὰρ ἵπτηται ἢ νήχηται ἢ βαδίζῃ, κατὰ ψυχὴν κινεῖται· φυσικῶς δέ, ὅταν τῇ τοῦ ἑνὸς ἐπικρατήσει τῶν ἁπλῶν ὧν σύγκειται ὑπὸ βαρύτητος κάτω φέρηται. ἔτι εἰ μὲν ἄνω κινηθείη, πῦρ ἔσται, εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τῶν σωμάτων αἱ κινήσεις αὗται. εἰ δέ, ὧν κατὰ φύσιν ἴδιαι κινήσεις αἱ αὐταί, καὶ αὐτὰ ταὐτά, ταὐτὸν ἄρα πῦρ καὶ ψυχὴ καὶ ὅλον ὅλῃ καὶ μέρος μέρει. οὐχ οὕτω δὲ λέγεται, ἀλλὰ μέρος καὶ ἐκεῖθεν. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν μεταξὺ ἀέρος καὶ ὕδατος. εἰ μὲν οὖν μηδεμίαν τῶν στοιχείων κινεῖται κίνησιν, οὐδ' ἐκ στοιχείων ὅλως. ἔτι ἐπεὶ τῶν κινούντων μόνον τὸ κατὰ φορὰν ἐν τούτῳ [δὲ] καὶ αὐτὸ κινεῖται (οὔτε γὰρ τὸ αὔξον ἢ λευκαῖνον ἀνάγκη αὔξεσθαι ἢ λευκαίνεσθαι), φαίνεται δὲ ἡ ψυχὴ κινοῦσα τὸ σῶμα, ταύτας εὔλογον κινεῖν λέγειν τὰς κινήσεις, ἃς καὶ αὐτὴ κινεῖται. εἰ δὲ τοῦτο, καὶ ἀντιστρέψασιν εἰπεῖν ἀληθὲς ὅτι ἦν τὸ σῶμα κινεῖται, ταύτην καὶ αὕτη. τοῦτο δὲ κινεῖται φορᾷ· ὥστε καὶ ἡ ψυχὴ μεταβάλοι ἂν κατὰ τὸ σῶμα ἢ ὅλη, ὅτι καὶ τὸ σῶμα ἐν τῇ ἅλσει ὅλον, ἢ κατὰ μόρια ὡς ἂν καὶ χεὶρ καὶ ποὺς κινηθείη. εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν, τούτῳ δ' ἕποιτο τὸ ἀνίστασθαι τὰ τεθνεῶτα. εἰ γὰρ μή τινι ζωτικῇ δυνάμει τῇ παρουσίᾳ τῆς ψυχῆς τὸ σῶμα συνέχεται, ἀλλὰ μόνον ὡς ὥσει καὶ μοχλείᾳ τινὶ κινεῖ, οὐδὲν κωλύει ταῦτα γίνεσθαι. οὕτω [καὶ] γάρ φησι Δημόκριτος καὶ οἱ περὶ αὐτόν, οἱ τὰς σφαιρικὰς ἀτόμους εἰσῆγον, κινεῖσθαι τὴν ψυχήν· τῷ γὰρ ἀεὶ ταύτας κινεῖσθαι διὰ τὸ πεφυκέναι μηδέποτε μένειν συνεφέλκειν τε καὶ κινεῖν τὸ σῶμα πᾶν ψυχὴν οὖσας, παραπλήσια λέγοντες Φιλίππῳ τῷ κωμῳδιοδιδασκάλῳ εἰπόντι ποιῆσαι τὸν Δαίδαλον κινουμένην τὴν ξυλίνην Ἀφροδίτην ἐγγέαντα τοῖς ἔνδον κοιλώμασιν ἄργυρον χυτόν. ἡμεῖς δὲ ἐρωτήσομεν αὐτούς, εἰ καὶ ἠρέμησιν τοῦτο ποιεῖ αὐτό. πῶς δὲ ποιήσει, χαλεπὸν ἢ καὶ ἀδύνατον εἰπεῖν· τὰ δὲ ζῶα οὐ μόνον κινούμενα φαίνεται ὑπὸ ψυχῆς ἀλλὰ καὶ ἠρεμοῦντα. τί οὖν τῆς ἠρεμήσεως αἴτιον; ἀεικίνητοι γὰρ αἱ σφαιρικαὶ ἄτομοι. ἔτι εἰ κινεῖ αὐτὴ ἑαυτήν, καὶ αὐτὴ κινοῖτο ἄν, ὥστ' εἰ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἂν ἐκσταίη τῆς οὐσίας αὐτῆς, εἴπερ καθ' αὑτὴν ἀλλὰ μὴ κατὰ

4 ὑπεξαιρήσθω AC 5 ἀντιφερόμενα] φερόμενα in rasura octo vel novem litterarum rec. A 8 ὅταν μὲν γὰρ AC ἵπταται AC καὶ νήχηται B βαδίζει AC 9 σύγκηται C 10 καταφέρεται B κινηθείη A² 16 δὲ delevi: ὡς A 18 λέγει A¹ 20 μεταβάλλοι C 21 ἅλσει in rasura om. B 23 τοῦτο AC μὴ τῇ, ut videtur, B 24 ὡς ὥσει] ως ει B 25 τινὶ om. AC κινεῖ om. B καὶ delevi 29 κωμοδιδασκάλω A: κωμωδιδασκάλω C ποιῆσαι] κινῆσαι B 31 ποιεῖ τοῦτο αὐτὸ AC 35 κινεῖτο ἂν A 36 καθ' αὑτὸ B

συμβεβηκὸς ἑαυτὴν κινεῖ. εἰ δὲ τοῦτο, καὶ φθαρείη ἄν, καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ ἀσώματος· τῷ γὰρ ἀσωμάτῳ πάσης ἄλλης ἐξῃρημένης κινήσεως ἡ κατ' οὐσίαν αὐτῷ καὶ ζωώδης ὑπολειφθήσεται. εἰ δὲ μὴ τοῦτο διὰ τὰ ἑπόμενα ἄτοπα. ἀλλὰ κατὰ συμβεβηκὸς καὶ ὑπ' ἄλλου (ὁρῶμεν γὰρ μάλιστα ὑπὸ τῶν αἰσθητῶν τὴν ψυχὴν κινουμένην· κατανοήσασα γὰρ τὸν κόσμον ἔρχεται εἰς τὴν τοῦ θεοῦ ἔννοιαν, καὶ ἐκ τῶν μερικῶν καὶ καθ' ἕκαστα εἰς τὴν τοῦ καθόλου γνῶσιν ἀνάγεται, καὶ τὸ ὀρεκτὸν ἰδοῦσα πρὸς τὴν λῆψιν ὑπὸ τῆς ἐφέσεως ὥρμησε, καὶ τὸν λυπήσαντα εἰς ὀργήν· ὅθεν καὶ εἴ τισιν ἐκ γενετῆς ἐξέλιπεν αἴσθησις, καὶ ἡ κατ' αὐτὴν ἐκλέλοιπε κίνησις), πάλιν ἰδίως πρὸς ταῦτα τῷ Πλάτωνι ἀπολογίας δεήσει· πῶς γὰρ αὐτοκίνητον τὸ ἑτεροκίνητον; ἢ πῶς καθ' αὑτὸ τὸ κατὰ συμβεβηκός; οὐ δεῖ γάρ, ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τοῦτο ὑπ' ἄλλου κινεῖσθαι, ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἢ δι' αὑτὸ ἀγαθὸν τὸ μὲν δι' ἄλλο τὸ δ' ἑτέρου ἕνεκέν ἐστι. καθ' αὑτὰ δὲ καὶ δι' αὑτὰ ἀγαθὰ τὸ φιλοσοφεῖν, τὸ ὑγιαίνειν, ἡ ἀρετή· οὐ γὰρ ἑτέρων ταῦτα χάριν σπουδάζεται. δι' ἄλλο καὶ ἑτέρου ἕνεκεν ἡ ἰατρική, πλοῦτος, ἰσχύς. ἴδωμεν δὲ καὶ ἃ ἐν τῷ Τιμαίῳ περὶ τῆς τοῦ παντὸς ὁ αὐτὸς φυσιολογεῖ ψυχῆς· ταὐτὰ γὰρ τῷ Δημοκρίτῳ καὶ εἴ τις ἄλλος εἴρηκε τῷ κινεῖσθαι κινεῖν κἀκεῖ φανείη διοριζόμενος· πλὴν ὅσον οἱ μὲν ὥσπερ ἐν εἱρκτῇ τῷ σώματι κατακλείουσιν, ὁ δὲ περιπλέκει· συνεστηκυῖαν γὰρ ἐκ τῶν στοιχείων καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς, ὅπως αἴσθησιν καὶ σύμφυτον ἁρμονίαν ἔχῃ καὶ τὸ πᾶν φέρηται συμφώνους φοράς, τὴν εὐθυωρίαν σχίσας εἰς δύο κύκλους κατέκαμψε καὶ διελὼν ἐκ τοῦ ἑνὸς κύκλου δύο δισσαχῇ συνημμένους ἑτέρους κύκλους πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φορὰς τὰς τῆς ψυχῆς κινήσεις. δεῖ δὲ εἰς σαφήνειαν καὶ τὴν λέξιν παραθέσθαι τὴν ἐν Τιμαίῳ, συντεμόντας ὅσον ἐνδέχεται· λαβὼν γάρ, φησίν, ὁ θεὸς οὐσίαν καὶ ταυτότητα καὶ ἑτερότητα τὰ τῶν ὄντων στοιχεῖα, καὶ οὐσίαν οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν μέσην τῆς τε ἀμερίστου ἀεὶ καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης καὶ τῆς περὶ τὰ σώματα μεριστῆς, εἶτα συγκεράσας πάντα ἐξέτεινε καὶ ἐποίησεν εὐθεῖαν καὶ ταύτην αὖ κατέτεμεν εἰς ἁρμονικοὺς ἀριθμούς, λέγω δὴ εἰς μονάδα καὶ δυάδα καὶ τριάδα καὶ τετράδα καὶ τὸν θ' καὶ η' καὶ κζ' ἀριθμόν, ὧν ἐφεξῆς μὲν τῶν περιττῶν ἰδίᾳ τιθεμένων καὶ αὖ πάλιν τῶν ἀρτίων ἡ γεωμετρικὴ ἀναλογία γενήσεται. καὶ σχίσας μετὰ τοῦτο κατὰ μῆκος εἰς δύο εὐθείας τὴν μίαν, εἶτα συνάψας χιοειδῶς ἀλλήλαις ἀνέκλασε καὶ ἐποίησε κύκλους δύο, τὸν μὲν μείζονα τὸν δὲ ἐλάττονα, καὶ τὸν μὲν ἔξω τὸν δὲ ἔσω, συναπτομένους ἀλλήλοις κατὰ δύο σημεῖα. καὶ ἐκίνησε τὸν μὲν ἔξω ἐπὶ τὰ δεξιά, ἐπὶ τὰ ἀριστερὰ δὲ τὸν ἔσω, καὶ ἐπεφήμισε τὸν μὲν ἔξω

---

3 ὑποληφθήσεται AC 9 ἐξέλειπεν AC 10 δεήσειε A 11 τὸ κατὰ om. B οὐδ' εἰ A 12 ἑαυτὸν B 13 τὸ μὲν—ἀγαθὰ (14) om. C 15 χάριν ταῦτα AC 16 ἡ om. AC τῷ om. AC ἐν τῷ Τιμαίῳ] Tim. 8 p. 34 B sq. 19 ὥσπερ om. B 22 φορᾶς A 24 post κύκλους add. εἶναι C 28 καὶ ἀεὶ κατὰ A 30 αὖ] οὖν A 32 καὶ ἰδίᾳ AC 34 χιοειδῶς BC Philoponus: χιοδῶς A ἀλλήλας B 35 ἔσω—ἔξω (36) B 36 ἐκείνησε A

κύκλον ταὐτοῦ. τὸν δὲ ἔσω θατέρου· καὶ τὸν μὲν ἔξω ἕνα εἴασε καὶ ἄσχιστον, τὸν δὲ ἐντὸς σχίσας ἑξαχῇ ἐποίησεν ἑπτὰ κύκλους ἀνίσους, διπλασίονι καὶ τριπλασίονι λόγῳ ὑπερέχοντας ἀλλήλων· καὶ τοὺς μὲν τρεῖς ἴσους τῷ τάχει τῆς κινήσεως ἐποίησε, τοὺς δὲ λοιποὺς τέτταρας ἀνίσους τῇ κινήσει καὶ ἀλλήλοις καὶ τοῖς τρισί· καὶ τοῦτο εἶναι τὴν τοῦ παντὸς ψυχήν. εἶτα μετὰ τοῦτο, φησί, πᾶν τὸ σωματοειδὲς τοῦ κόσμου ἐντὸς ἐναπέκλεισε καὶ συναρμόσας τὴν ψυχὴν ἐκ τοῦ μέσου διέπλεξε μέχρι τοῦ ἐσχάτου οὐρανοῦ καὶ κύκλῳ αὐτὸν ἔξωθεν πάντα περιεκάλυψε. καὶ τὰ μὲν τῆς ἐν Τιμαίῳ ψυχογονίας σχεδὸν οὕτως ἔχει. εἰ μὲν οὖν ἄλλο τι παρὰ τὰ κείμενα δίδωσιν ἐννοεῖν ἡ περὶ τοῦ ἀνδρὸς δόξα. καὶ συμβολικήν τινα τὴν περὶ ψυχῆς θεωρίαν πεποίηται (ἔσται γὰρ ἴσως τοῦτο. εἴ τις εἰς αὐτὸν ὅλον ἀπίδοι Πλάτωνα). τάχ' ἄν τις ἀπαντήσοι θεραπεία καὶ τὸ εἰκὸς ἔχει τὰ εἰρημένα· ὅσον δ' οὖν τῷ φαινομένῳ ἥκιστά γε τὰ τοιάδε περὶ ψυχῆς προσήκει. διὰ ταῦτα οἱ μὲν ἔλεγχοι ἀναγκαῖοι οὐ πρὸς Πλάτωνα μᾶλλον ἢ πρὸς τοὺς τὸ φαινόμενον καλῶς ἐκλαμβάνοντας· εἰ δέ τι καὶ κατὰ πάρεργον ἄλλο γένοιτο καὶ μεγέθους ἐκτὸς ὁ νοῦς ἀποδειχθείη καὶ μερισμοῦ. προὔργου τοῦτο ἔσται ἡμῖν. καὶ δὴ πρῶτον πῶς ἡ εὐθεῖα σχίζεται ἁπλατὲς οὖσα μῆκος: πῶς δὲ καὶ ὅλως κατατμηθεῖσα εἰς τοὺς ἁρμονικοὺς ἀριθμοὺς ὡς μία οὖσα κατὰ μῆκος ἢ σχίζεται ἢ εἰς κύκλους περιάγεται; πῶς δὲ καὶ ἡ εὐθεῖα κύκλος; ἀνομοιογενῆ γὰρ τὰ μεγέθη. ἔπειτα πῶς τῶν κύκλων ὁ εἷς μείζων γίνεται τῆς εὐθείας μήτε προσθήκην μήθ' ὑφαίρεσιν προσλαβούσης; πῶς δὲ ὅλως εἰ οἱ κύκλοι οὗτοι ψυχή, ὧν ἐντὸς τὸ σωματοειδὲς ἀπεκλείσθη ἅπαν, συναρμοσθέντες περιεπλάκησαν ἐκ τοῦ μέσου τοῦ παντὸς μέχρι τοῦ ἐσχάτου οὐρανοῦ; οὐ γὰρ δύναται τοῦτο ποιεῖν ὁ κύκλος σφαῖραν ἔξωθεν περικαλύπτειν. καὶ πρὸ τῶν ὅλων πῶς ἔχει καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος; τὴν γὰρ τοῦ παντὸς δῆλον ὅτι τοιαύτην βούλεται οἷόν ποτέ ἐστιν ὁ καλούμενος νοῦς· οὗτος γὰρ ὁ κύκλος· οὐ γὰρ δὴ οἷόν γε ἡ αἰσθητικὴ οὐδ' οἷον ἡ ἐπιθυμητική· τούτων γὰρ ἡ κίνησις οὐ κυκλοφορία, ἀλλὰ νοῦ καὶ λογικῆς ψυχῆς. αὕτη γάρ ἐστιν ἡ πρὸς ἑαυτὴν ἐπιστρέφουσα καὶ μιμουμένη κύκλον περὶ ἑαυτῆς ζητοῦσα καὶ ἑαυτὴν γινώσκουσα· ἡ μέντοι αἰσθητικὴ καὶ θυμοειδὴς καὶ ἐπιθυμητικὴ οὐ κινεῖται κύκλῳ, ἀλλ' εὐθεῖαί τινές εἰσιν. αἵ τε γὰρ ὄψεις τῶν ὀφθαλμῶν κατ' εὐθεῖαν ἐκπέμπονται καὶ κατὰ τὰ αὐτὰ παλινδρομοῦσιν ἐν ταῖς ἀνακλάσεσι, καὶ θυμὸς δὲ καὶ ἐπιθυμία πρόοδοί τινές εἰσιν εὐθείας μιμούμενοι καὶ τὰς περὶ τὸ σῶμα ἐνεργείας ἀνεπιστρόφους ἔχουσιν· οὐ γὰρ συναίσθονται ἑαυτῶν οὐδὲ ταῖς ἐνεργείαις αὐτῶν ἐφιστάνουσιν. ὁ δὲ νοῦς εἷς καὶ συνεχὴς οὕτως ὥσπερ καὶ ἡ νόησις (νοῦ γὰρ ἐνέργεια νόησις), ἡ δὲ ὥσπερ τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἕν, ὥστε καὶ ὁ νοῦς οὕτως ἔσται δήπου συνεχὴς ὡς ἀριθμός, οὐχ ὡς μέγεθος· ἢ γὰρ ἀμερὴς ἢ οὐχ ὡς μέγεθός τι συνεχής. τοσοῦτον γὰρ ἀπέχομεν τοῦ συνεχὲς ἕν ὅλως μέγεθος λέγειν τὸν νοῦν, ὥστε καὶ διωρισμένον αὐτὸν φαῖμεν ἂν εὐλογώτερον. οὐ γὰρ δήπου πάντα ἅμα νοεῖ ὥσπερ

12 ἔχοι A 14 μᾶλλον] μόνον, ut videtur, A¹ 20 μείζω A 26 οἷος AC 29 μιμουμένη κύκλον] κινουμένη κύκλῳ B καὶ (post ζητοῦσα) om. AC 36 ἐνεργεία C ταὐτὰ A¹ 40 αὐτὸν om. AC

ὁ πρώτιστος καὶ ἐξῃρημένος τοῦ παντὸς νοῦς ἅπας γενητός. ἀλλ' ἀχρόνως μέν, ἐπειδὴ μὴ ἐν χρόνῳ αὐτῷ τὸ εἶναι, ἐφεξῆς δὲ ὡς ὁ ἀριθμός· ἥδε γὰρ ἡ πρότασις μετὰ τήνδε καὶ μετ' αὐτὴν ἑτέρα. ἐπεὶ γὰρ οὐ πρὸς τὸ ἔξω ἡ ἐνέργεια αὐτοῦ ἀποτείνεται, ἀλλ' ἐν αὑτῷ ὁρῶν πάντα ὁρᾷ τῷ πάντων εἶναι ἐν αὐτῷ τοὺς λόγους καὶ πλήρωμα χρηματίζειν εἰδῶν, τῷ μὲν ὅλως πλείονα εἶναι τὰ νοήματα εἴη ἂν οἷον ἀριθμός, τῷ δὲ ταῦτα ἐφεξῆς εἶναι εἴη ἂν ταύτῃ συνεχής. ἔτι πῶς ἂν καὶ νοήσειε μέγεθος ὤν; πότερον καθ' ὅλον ἢ ἐν ὁτῳοῦν τῶν μορίων αὐτοῦ; μορίων δ' ἤτοι κατὰ μέγεθος ἢ κατὰ στιγμήν, εἰ δεῖ καὶ τοῦτο μόριον εἰπεῖν. εἰ γὰρ ὁ νοῦς κύκλος ὢν τῷ κινεῖσθαι ἐφάπτεται τοῦ νοητοῦ καὶ ταύτῃ νοεῖ (μέγεθος γὰρ ὢν οὐκ ἂν ἄλλως γνώσαιτο), ἀνάγκη πᾶσα ἢ τῷ ὅλῳ κύκλῳ καὶ ἀθρόᾳ τῇ θίξει νοεῖν ἢ κατὰ μέρος· καὶ εἰ κατὰ μέρος, ἢ κατὰ μόριον ἢ κατὰ σημεῖον ἐφαπτόμενος· καὶ εἰ κατὰ σημεῖον, ἤτοι καθ' ἓν ἢ οὐ καθ' ἕν. εἰ μὲν οὖν καθ' ἓν σημεῖον νοεῖ μόνον, περιττὰ τὰ ἄλλα· τίς οὖν χρεία τῆς κύκλῳ κινήσεως ἢ ὅλως μεγέθους; εἰ γὰρ ὁ νοῦς τῷ νοεῖν εἶναι λέγεται, τὸ δὲ ἓν σημεῖον μόνον νοεῖ, τοῦτο ἂν εἴη νοῦς. εἰ δὲ μὴ καθ' ἓν σημεῖον μόνον νοεῖ, ἤτοι κατὰ πλείονα ἢ κατὰ πάντα νοήσει. τὸ μὲν οὖν κατὰ πλείονα νοεῖν ἀποκληρωτικόν· κατὰ πόσα γὰρ καὶ διὰ τί τοσαῦτα; καὶ πάλιν τὰ λοιπὰ περιττὰ ἔσται. εἰ δὲ κατὰ πάντα τὰ σημεῖα νοεῖ, τριχῶς ἔσται· ἤτοι γὰρ ἕκαστον αὐτῶν πάντα τὰ νοητὰ νοήσει, ἢ δεῖ πρὸς ἕκαστον τῶν νοητῶν τῆς πάντων συμπνοίας καὶ οὐκ ἄλλως νοήσει τι, εἰ μὴ πάντα τὰ σημεῖα, ταὐτὸν δ' εἰπεῖν ὁ κύκλος ἅπας ἐφάψηται, ἢ τῷδε μὲν τόδε νοεῖ, ἄλλῳ δὲ ἄλλο καὶ ἑξῆς ὁμοίως, ὥσπερ τυχὸν ὁρατῶν μὲν ὄψις, ἀκουστῶν δὲ ἀκοὴ καὶ ἄλλη τῶν αἰσθήσεων ἄλλου τινὸς τῶν αἰσθητῶν. εἰ μὲν οὖν ἕκαστον ἅπαντα νοεῖ, ἄπειρα δὲ τὰ σημεῖα, πολλάκις ἢ ἀπειράκις νοήσει τὸ αὐτό. νῦν δὲ φαίνεται καὶ ἅπαξ ἐνδεχόμενον· δυνατὸν γάρ τι προσάπαξ νοήσαντα μηκέτι νοῆσαι ἢ ἐπιλαθόμενον ἢ μηκέτι τῇ διανοίᾳ προχειρισάμενον. εἰ τοίνυν ἐνδέχεται μὲν ἅπαξ τι νοήσαι, ἕκαστον δὲ τῶν σημείων πάντα νοεῖ καὶ τῇ τοῦ κύκλου περιφορᾷ ἀεὶ ἐφάπτεται, ἀνάγκη τὸ αὐτὸ καὶ ἀπειράκις νοεῖν, εἴπερ ἀίδιος ἡ περιφορά. ἄλλως τε εἰ ἄπειρα τὰ σημεῖα, τὰ δὲ ἄπειρα ἐκπεριελθεῖν ἀδύνατον, οὐδέποτε καθ' ὅλον ἑαυτὸν ὁ νοῦς νοήσει, ἀλλὰ τὸ αὐτὸ νοητὸν τὸ μέν τι αὐτοῦ τοῦ νοῦ νοήσει, τὸ δὲ οὐ νοήσει. καὶ τοῦτο μὲν οὕτως· εἰ δὲ δεῖ καθ' ἕκαστον νοητὸν τῆς πάντων θίξεως, τί ποτε ἕκαστον ἐποίησε θιγόν; δῆλον γὰρ ὡς ἕκαστον ἔδρασέ τι· τίς οὖν ἡ καθ' ἕκαστον ἀντίληψις; εἰ δέ τις εἴποι ὡς ἐπὶ συλλογισμῶν, ὅτι τὸ μὲν τῆσδε ἐφάπτεται τῆς προτάσεως, ἄλλο δὲ ἄλλης, ἡ δὲ πάντων περίοδος τὸ συμπέρασμά ἐστιν καὶ οἷον τὸ ὅλον νοητόν, τοῦτό ἐστιν ἡ τελεία νόησις, οὐκ ἐρεῖ καλῶς. εἰ γὰρ τὸ μὲν τήνδε νοεῖ τὴν πρότασιν τὸ δὲ τήνδε, τί τὸ κρῖνον καὶ λέγον ὅτι ἥδε τῆσδε ἑτέρα ἐστίν; ὅμοιον γὰρ ὡς εἰ τοῦ μὲν ἐγὼ τοῦ

2 ἀριθμός] ὁριθμός C 3 ἕτερα B 4 αὐτοῦ om. B αὐτῷ scripsi: αὐτῷ libri 7 καθόλου BC at cf. v. 30 et p. 22, 11. 23 9 ἐφάπτηται A 10 οὐ γνώσαιτο A: γνώσοιτο B 14 κινήσεως AC Philoponus: νοήσεως B 15 τῷ νοεῖν νοῦς εἶναι Philoponus 16 μόνον om. A 20 πρὸς] παρὰ B 21 ἐφάψηται AC Philoponus: ἐφάψεται B 28 καὶ (post αὐτὸ) om. A 33 θίγον libri 37 κρῖνον] κοίνον B

δὲ σὺ αἴσθοιο. καὶ τί τὸ ἐκ πασῶν ὡς ἓν συνάγον συμπέρασμα; δεῖ γὰρ τὸ αὐτὸ πάσας ἐγνωκέναι, ἵν' εἴπῃ ὅτι ἐκ τῶνδε τόδε συνάγεται. τὸ γὰρ ἐφαψάμενον τῆσδε τῆς προτάσεως οὐ γνώσεται τὴν ἑτέραν πρότασιν, ἧς ἕτερον σημεῖον ἐφήψατο. ἢ ἡ ἑτέρα ὑπόθεσις γενήσεται καὶ πάντα πάντων ἀντιλήψεται. ἔτι ἐπειδὴ τῶν προτάσεων ἑκάστη ἔστι τις καὶ ἀπόφανσις, δῆλον ἄρα, ὅταν τὴν πρότασιν ἀπόφανσιν νοῇ, ὡς ὅλον τι νοήσει μηδὲν δεόμενον τῆς τῶν ἄλλων σημείων θέσεως. ἔτι εἰ τὰ μὲν σημεῖα ἄπειρα, ὡς ἀνωτέρω ἐλέγετο, δεῖ δὲ εἰς τὸ νοῆσαί τι τῆς τῶν ἀπείρων θέσεως, τὰ δ' ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ διελθεῖν τῶν ἀδυνάτων ἐστίν, οὐδέποτε νοήσει. οὕτω μὲν καὶ τὸ δεύτερον λείπεται ζητῆσαι. μήποτε ὡς ἡ αἴσθησις, οὕτω τοι καὶ ὁ νοῦς ἄλλῳ σημείῳ ἄλλου νοητοῦ ἀντιλαμβάνεται. ἀλλ' εἰ τοῦτο, πάλιν οὐ καθ' ὅλον ἑαυτὸν πάντα νοήσει. οὐ τοῦτο δὲ ἡ ἐνάργεια ὑπαγορεύει· οὐ γὰρ δὴ ψυχὴν μὲν τυχὸν ἐθέλοντες νοῆσαι τόδε τὸ μόριον τοῦ νοῦ κινοῦμεν, ἄγγελον δ' ἄλλο, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. πῶς δ' ἂν καὶ ἐπ' αἰσθήσεως ἐφίστανεν ὁ νοῦς, ὡς ὀφθαλμὸς μὲν χρωμάτων, ἀκοὴ δὲ ψόφων καὶ ἄλλη αἴσθησις ἄλλων αἰσθητῶν ἀντιλαμβάνεται; ἔτι τὰ διαφόρων ἀντιλαμβανόμενα καὶ αὐτὰ κατ' οὐσίαν διάφορα εἶναι ἀνάγκη. διάφορα ἄρα κατ' οὐσίαν τὰ σημεῖα ἔσονται. τίς δὲ διαφορὰ οὐσιώδης σημείου πρὸς σημεῖον οὐδὲ πλάσσειν βουλομένοις ῥᾴδιον; οὕτω μὲν οὖν κατὰ σημεῖον τὸν νοῦν νοεῖν τῶν ἀδυνάτων ἐστίν. εἰ δὲ κατὰ μόρια γίνοιτο ἡ νόησις, ἢ ἀρκεῖ πάλιν ἓν τῶν μορίων εἰς νόησιν ἢ οὐκ ἀρκεῖ. εἰ μὲν οὖν ἓν μόριον τὸ νοοῦν, εἴη περιττὴ ἡ τῶν ἄλλων εἰσαγωγή· τοῦτο γὰρ ἔσται νοῦς. ἄλλως τε αὐτὸ τοῦτο τὸ μόριον ζητήσομεν, πότερον καθ' ὅλον ἐφαπτόμενον τοῦ νοητοῦ νοεῖ ἢ κατὰ μόριον, καὶ ἥξουσιν οἱ πρότερον λόγοι. ἀλλ' ὑποκείσθω νοεῖν καθ' ὅλον· τίς οὖν τῶν λοιπῶν χρεία; εἰ δὲ μὴ καθ' ἓν μόριον ἡ νόησις γένοιτο, ἐπεὶ ἐνδέχεται καὶ εἰς πεπερασμένα διελεῖν πᾶν μέγεθος καὶ εἰς ἄπειρα, εἰς πεπερασμένα μέν, ὅταν εἰς ἴσα κατὰ ποσὸν διαιρεθείη οἷον εἰς δακτυλιαῖα ἢ πηχυαῖα (πᾶν γὰρ πεπερασμένον καταμετρεῖται ὑπὸ παντὸς πεπερασμένου), εἰς ἄπειρα δέ, ὅταν εἰς ἄνισα ἢ εἰς τὰ αὐτὰ κατὰ λόγον, καὶ διεξοδεύηται δι' ὅλου διχοτομούμενον (ἐπ' ἄπειρον γὰρ ἡ διχοτομία πρόεισι, διὰ τὸ ἀεὶ μὲν εἰς μέγεθος γίνεσθαι τὴν τομήν, πᾶν δὲ μέγεθος συνεχὲς εἶναι, πᾶν δὲ συνεχὲς διαιρετόν), εἰ μὲν οὖν εἰς πεπερασμένα γένοιτο ἡ τομή, ἤτοι ἕκαστον πάντα νοήσει, ἢ οὐκ ἄλλως νοεῖ, εἰ μὴ πάντα θίγῃ, ἢ τινὰ τινῶν· καὶ τὰ αὐτὰ ἐροῦμεν πάλιν ἅπερ καὶ πρότερον. ὁμοίως δὲ καὶ εἰ ἄπειρα τὰ μόρια ὑπόκειται, τοῖς αὐτοῖς οἷς καὶ ἐπὶ τῶν σημείων λόγοις χρησόμεθα. καὶ πρὸς τούτοις εἰ ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κύκλῳ κινεῖσθαι ἢ ὅλως μέγεθος ἔχειν; καὶ ἱσταμένου γὰρ ἀντιλήψεται. εἰ μὲν οὖν κατὰ μόριον ὁπωσδήποτε νοεῖν ὑποτεθείη, τοσαῦτα ἄτοπα ἀπαντᾷ· εἰ δ' ἀναγκαῖον νοῆσαι ὅλῳ τῷ κύκλῳ θιγόντα, ἴδωμεν εἰ ἐν-

---

5 ἀπόφανσις Philoponus: ἀπόφασις libri 12 ἐνάργεια] ἐνεργεία B 22 ζητήσωμεν AC 23 πρότερον A 26 διελεῖν] διινεῖν B 27 οἷον εἰς AC Philoponus: εἰς om. B 28 πεπερωμένου A 32 πάντων B 34 εἰ εἰς ἄπειρα C 35 χρησόμεθα B Philoponus: χρησαιμεθα AC θίγειν libri ὁτοοῦν C: ὁτιοῦν B 37 ὑποτιθείη pr. A 38 θίγοντα libri εἴδωμεν A

δέχεται καὶ τίς ἡ τοῖς μορίοις θίξις· εἰ γὰρ οὐ πρότερον νοεῖ, πρὶν ἐκπεριέλθοι ὁ κύκλος, τί ποιεῖ ἕκαστον μόριον; εἰ γὰρ μὴ νοεῖ περιεργόμενα τὰ μόρια, ἡ δὲ τοῦ ὅλου κύκλου θίξις κατὰ μόρια γίνεται, οὐδ' ὅλως ἂν νοήσαι· οὐ γὰρ ἄλλῳ τινὶ ἐφάπτεται τοῦ νοητοῦ ἢ ταῖς ἑαυτοῦ μέρεσι. λείπεται
5 λέγειν ὡς ἕκαστον μὲν τῶν μερῶν μέρος γινώσκει τοῦ νοητοῦ, ὁ δὲ ὅλος κύκλος τὸ ὅλον. τίς δ' ἂν εἴη τῶν μερῶν πρὸς τὰ ἀμερῆ θίξις; πῶς γὰρ νοήσει τὸ μεριστὸν ἀμερεῖ, ἢ τὸ ἀμερὲς πῶς νοηθήσεται μεριστῷ; εἰ γὰρ μὴ οἷά τέ ἐστι τὰ μέρη τὸ ὅλον νοεῖν, ἄνευ δὲ τῆς τῶν μερῶν νοήσεως τὸ ὅλον οὐ νοεῖ (ἡ γὰρ ἄθροισις τῆς τῶν μερῶν νοήσεως ἡ τοῦ ὅλου ἐστὶ νόησις),
10 οὐδὲν ἀμερὲς ἂν δύναιτο νοεῖν· ὥστε οὐ νοήσει τὸ νοητὸν ἀμερὲς ὂν αὐτὸς ὢν μεριστός. ἔτι εἰ ἑκάστῳ μορίῳ μέρος νοεῖ, τὸ ὅλον νόημα σύνθετον ἔσται. πῶς οὖν νοήσει τὸ ἁπλοῦν νόημα; ἅπαν γὰρ οὕτω νόημα σύνθετον ἔσται. ἀλλὰ μὴν ἁπλοῦ νοήματος μὴ ὄντος οὐδὲ σύνθετον ἔσται. ἀναιρεθήσεται ἄρα καὶ νοῦς νοήματος μὴ ὄντος. ἔτι δὲ ἀναγκαῖον, ὃν ἄνω καὶ κάτω κύκλον πε-
15 ριάγομεν καὶ νοῦν εἶναι λέγομεν, τυγχάνειν αἰσθητὸν καὶ μερικόν, ἀλλὰ μὴ καθόλου μηδὲ κοινόν. εἰ γὰρ νοῦ μὲν κίνησις νόησις, κύκλου δὲ περιφορά, καὶ νοῦς ἂν εἴη κύκλος, οὗ ἡ τοιαύτη περιφορά. αἰσθητοῦ δὲ ἡ περιφορά· τὰ γὰρ καθόλου ἀκίνητα. καὶ ὁ νοῦς ἄρα κύκλος αἰσθητός. ἔτι ἀεὶ δή τι νοήσει· δεῖ γάρ, εἴπερ ἀίδιος ἡ περιφορά. ἡ γὰρ ὁμοία καὶ ὡσαύτως ἔχουσα
20 περὶ τοῦ αὐτοῦ τινός ἐστι. δεήσει οὖν τοιοῦτον εἶναι τὸ νοούμενον, ὃ οὐδέποτε νενοημένον ἔσται. τί οὖν τοῦτό ἐστιν; οὐδὲ γάρ ἐστιν ἄπειρος νόησις· τῶν γὰρ γνώσεων αἱ μὲν πρακτικαὶ αἱ δὲ θεωρητικαί, ἄμφω δὲ πεπερασμέναι. αἵ τε γὰρ πρακτικαί, ἐπεὶ πᾶσαι ἑτέρων χάριν, τυχοῦσαι τοῦ τέλους παύονται, ὥσπερ καὶ αἱ κατ' αὐτὰς πράξεις, πλὴν ἀνάπαλιν (ἐκεῖθεν γὰρ ἡ
25 πρᾶξις ἄρχεται, ἔνθα ἡ θεωρία κατέληξεν), αἵ τε θεωρητικαὶ τοῖς λόγοις ὁμοίως ὁρίζονται· λόγος δὲ πᾶς ὁρισμὸς ἢ ἀπόδειξις, καὶ ἄμφω πεπέρανται. αἱ μὲν γὰρ ἀποδείξεις ὡς ἀπ' ἀρχῆς τῶν κοινῶν ἐννοιῶν ὁδεύουσαι ὡς ἐπὶ τέλος τὸν συλλογισμὸν καὶ τὸ συμπέρασμα φέρονται, καὶ εἰ ἐπὶ πολὺ προοδεύουσαι τέως, οὐκ ἀνακάμπτουσί γε πάλιν ἐπ' ἀρχήν, προσλαμβάνουσαι δὲ ἀεὶ
30 μέσον καὶ ἄκρον ὅρον εὐθυποροῦσιν. οἷον ὁ ἄνθρωπος γελαστικόν, τοῦτο δὲ λογικόν. καὶ τὸ συμπέρασμα ὁ ἄνθρωπος λογικόν. ταύτῃ τῇ ἀποδείξει προσθεὶς ἕνα ὅρον ἐπισυνάπτω ἑτέραν ἀπόδειξιν, ἄκρον μὲν τὸν προστεθέντα ποιήσας, τὸν δὲ πρὶν ἄκρον μέσον. προστίθημι οὖν τὸ ζῶον καὶ λέγω· ὁ ἄνθρωπος λογικόν· τὸ λογικὸν ζῶον· ὁ ἄνθρωπος ζῶον. πάλιν ἐπισυνάπτω τὸ ἔμψυ-
35 χον, εἶτα τὸ σῶμα καὶ ἑξῆς οὕτως. ἡ δὲ τοιαύτη τῶν ἀποδείξεων πρόοδος ἐπ' εὐθείας γίνεται· οὐ γὰρ ὑποστρέφει πρὸς τὴν ἀρχὴν οὐδὲ δείκνυσι τὴν πρώτην πρότασιν· ἡ μέντοι περιφορὰ πάλιν ἐπ' ἀρχὴν ἀνακάμπτει. πεπέ-

---

1 οὐ om. A 3 νοήσῃ B 6 τὸν ὅλον B ἀμερῆ scripsi: μέρη libri
7 ἀμερεῖ] ἀμερὲς A 8 τὸ ὅλον νοεῖν A Philoponus: τοῦ ὅλου νοεῖν BC 12 πῶς οὖν—ἔσται om. B 14 οὐκ ὄντος AC 15 καὶ νοῦν] κινοῦν B 17 εἴη om. A 28 προσδεύουσαι A¹ 29 ἀνακάμπτουσι] ἀνάπτουσι C 32 ἐπισυνάπτων A προστεθέντα C A¹ Philoponus: προτεθέντα B A¹ 37 μέντοι] μέν τι A

ρανται δὲ καὶ οἱ ὁρισμοί, εἴπερ ἀρχὴ μὲν αὐτῶν τὰ γενικώτατα, τέλος δὲ τὰ εἰδικώτατα, ἀφώρισται δὲ καὶ τὰ μέσα. ἔτι εἰ ἡ αὐτὴ περιφορὰ πολλάκις, δεήσει καὶ πολλάκις ἢ ἀεὶ νοεῖν τὸ αὐτό· εἴτε γὰρ ὡς μήπω νενοημένον τέλειον εἴτε ὡς πολλάκις ἀνελιττόμενον. καὶ ἀμφότερα ἄτοπα, καὶ πρὸς τοὺ-
5 τοις ἡ νόησις ἔοικεν ἠρεμήσει τινὶ καὶ στάσει μᾶλλον ἢ κινήσει, ὥσπερ καὶ ἐν τῷ συλλογισμῷ· τῷ ὄντι γὰρ ὁ ζητῶν καὶ προσαπορῶν ἐν πολλῇ ταραχῇ, ἠρεμεῖ δὲ ὁ εὑρὼν καὶ νενοηκώς. πῶς οὖν ἡ νόησις κίνησις; ἀλλὰ μὴν οὐδὲ μακάριόν γε, ὃ μὴ ῥᾴδιον ἀλλὰ βίαιον. εἰ γὰρ τῷ νῷ μᾶλλον ἠρεμεῖν κατὰ φύσιν, ὡς δέδεικται, κινεῖσθαι δὲ λέγεται, οὐκ εὐμαρῶς ἀναφέρει τοῖς
10 παρὰ φύσιν τρυχόμενος. ὥστε ἐπίπονον αὐτῷ καὶ τὸ μεμῖχθαι τῷ σώματι, εἴπερ μὴ ἀπολυθῆναι δύναται, καὶ προσέτι φευκτέον, ἐπείπερ τῷ νῷ βέλτιον μὴ μετὰ σώματος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολλοῖς συνδοκεῖ. ἔτι καὶ ἐν χείρονι μοίρᾳ τὸν ἀεὶ χρόνον ἡ τοῦ παντὸς ἔσται ψυχὴ μηδὲ τὸ ἴσον ἔχουσα ταῖς ἡμετέραις ψυχαῖς, αἵ τινές ποτε τοῦ σώματος ἀπολύονται·
15 ἀίδιον γὰρ αὐτῇ τὸ συνεῖναι σώματι, εἴπερ ὁ κόσμος ἀνώλεθρος. ἀλλ' οὐχ οὕτω ταῦτα ἔχει. ἄδηλος δὲ καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ αἰτία. οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ κύκλῳ φέρεσθαι (ἀκίνητος γὰρ ταύτην, ὡς δέδεικται, πλὴν ἢ κατὰ συμβεβηκός) οὔτε τὸ σῶμα αἴτιον τῆς ἑαυτοῦ κινήσεως, ἀλλὰ ψυχὴ μᾶλλον ἐκείνῳ. οὐ μόνον δὲ τὴν ποιητικὴν αἰτίαν τῆς
20 οὐρανίου περιαγωγῆς τὴν προσεχῆ ὁ Τίμαιος ἐσιώπησεν, ἀλλ' οὐδὲ τῆς τελικῆς ἐμνημόνευσεν, οὐδ' ὅτι βέλτιον λέγεται. καίτοι ἐχρῆν εἰπεῖν διὰ τοῦτο τὸν θεὸν κύκλῳ ποιεῖν φέρεσθαι τὴν ψυχήν, ὅτι βέλτιον αὐτῇ τὸ κινεῖσθαι τοῦ μένειν, καὶ κινεῖσθαι δὲ οὕτως καὶ οὐκ ἄλλως. ἐπεὶ δὲ ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα τῶν περὶ οὐρανοῦ καὶ κινήσεως, ταύτην ἀφίεμεν νῦν.
25 ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις τοῖς περὶ ψυχῆς· συνάπτουσι γὰρ καὶ τιθέασιν εἰς σῶμα τὴν ψυχήν, οὐδὲν προσδιορίσαντες διὰ τίνα αἰτίαν καὶ πῶς ἔχοντος τοῦ σώματος. καίτοι δόξειεν ἂν τοῦτο ἀναγκαῖον εἶναι· διὰ γὰρ τὴν κοινωνίαν καὶ τὴν ποιάν τινα σχέσιν τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει, καὶ τὸ μὲν κινεῖ τὸ δὲ κινεῖται· τούτων δ' οὐδὲν ὑπάρχει
30 πρὸς ἄλληλα τοῖς τυχοῦσιν. οὐ γὰρ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος πάσχει· τί γὰρ ἂν λευκότης ὑπὸ γλυκέος πάθοι; οὔκουν οὐδὲ ἡ αὐτὴ ψυχὴ ὁμοίως εἰς [τὸ] πᾶν δράσει σῶμα· δοκεῖ γὰρ ἕκαστον σῶμα ἴδιον εἶδος ἔχειν καὶ μορφὴν οἰκείαν· εἰ δὲ εἶδος τῶν ἐμψύχων ἡ ψυχή, τὰ δὲ τῶν ζώων εἴδη διάφορα, πῶς ἂν εἴη τὸ προστυχὸν σῶμα τῆς τυχούσης ὄργανον; οἱ δὲ μόνον ἐπιχει-
35 ροῦσι λέγειν, ποῖόν τι ἡ ψυχή, περὶ δὲ τοῦ δεξομένου σώματος οὐδὲν ἔτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενόν ἐστι κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα, τὴν λογικὴν εἰς τὰ τῶν ἀλόγων καὶ ἔμπαλιν· τῷ γὰρ Ἐμπεδοκλεῖ ἐκεῖθεν ἐπῆλθεν εἰπεῖν·

ἤδη δέ ποτ' ἐγὼ γενόμην κοῦρός τε κούρη τε
θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς·

---

1 αὐτῶν om. C 2 εἰ ἡ] εἰ om. C A¹: ἡ om. A² 3 ἢ καὶ ἀεὶ AC 4 τέλεον C 13 μοῖρα C 14 ἴσον AC 19 ἀλλὰ] ἀλλ' ἡ A 31 οὐκοῦν B 32 τὸ delevi 34 προστυχεῖν C 39 ἤδη δέ] Empedocl. fragm. v. 383 ed. Stein

παραπλήσιόν τι λέγοντες ὥσπερ εἴ τις φαίη τὴν τε τεκτονικὴν εἰς αὐλοὺς ἐνδύεσθαι· δεῖ γὰρ τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὴν δὲ ψυχὴν τῷ σώματι. καὶ ἐς τόσον μὲν τὰ κατὰ τὸν Τίμαιον.

Παραδέδοται δὲ καὶ ἄλλη τις δόξα περὶ ψυχῆς πιθανὴ μὲν πολλοῖς καὶ οὐδε- 14
5 μιᾶς ἧττον τῶν λεγομένων, φθάνει δὲ λόγους ὥσπερ εὐθύνας δεδωκυῖα, διὰ τῶν οἰκείων καὶ δεδημευμένων ἐλληλεγμένη λόγων τῶν τε πρὸς Εὔδημον ἡμετέρων καὶ τῶν ἐν τῷ Φαίδωνι Πλάτωνος, οὐχ ἧττον δὲ καὶ νῦν εὐθυνθήσεται· ἁρμονίαν γὰρ αὐτήν τινες λέγουσιν. ἐπεὶ γὰρ κρᾶσις τῶν ἐναντίων ἡ ἁρμονία καὶ σύνθεσις καὶ πολυμιγέων καὶ δίχα φρονεόντων ἕνωσις, ἑώρων δὲ καὶ τὸ σῶμα ἐξ ἐναντίω
10 συγκείμενον, ἁρμονίαν τὴν ψυχὴν τοῦ συγκρίματος ὑπετόπασαν. καίτοι ἡ μὲν ἁρμονία ἢ λόγος τις καὶ ποιὰ σχέσις τῶν μιχθέντων πρὸς ἄλληλα, ὡς ἐπὶ χορδῶν φέρε εἰπεῖν τήνδε πρὸς ταύτην τὸν διπλασίονα καὶ ἄλλην πρὸς ἄλλην ἕτερον λόγον ἔχειν, ἢ σύνθεσις λίθων καὶ ξύλων ὑπὸ τέχνης ἡρμοσμένων ἢ φύσεως· πῶς δ' ἄν τι τούτων εἴη ψυχή, οὐσία οὖσα; ἔτι τὸ κινεῖν οὐκ
15 ἔστιν ἁρμονίας· κατ' οὐδὲν γὰρ εἶδος κινήσεως ἡ ἁρμονία τὰς χορδὰς κινήσειεν, ἀλλ' ὁ τεχνίτης ἔξωθεν, αὕτη δ' ἐπιγίνεται· ψυχὴ δὲ κινεῖ τὸ σῶμα, καὶ τοῦτο μάλιστα πάντες αὐτῇ ὡς εἰπεῖν ἀπονέμουσιν. ἁρμόζει δὲ μᾶλλον καθ' ὑγείας λέγειν ἁρμονίαν καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν, κάλλους, ἰσχύος, αἰσθήσεως. ἔτι ἡ ἁρμονία τοῖς ἡρμοσμένοις οὐ μάχεται, ἀλλ' ἕπεται οὕτως,
20 ὡς ἂν ἔχοι τὰ ἡρμοσμένα, ἔχουσα· ψυχὴ δὲ μάχεται σώματι καὶ ἄρχει αὐτοῦ καὶ παρεμποδίζει τὰς ἐπιθυμίας. ἔτι ἁρμονία ἁρμονίας μᾶλλον καὶ ἧττον λέγεται, ψυχῆς δὲ ψυχὴ ὁμοειδὴς μᾶλλον ἢ ἧττον οὐ λέγεται. καὶ ἀρετὴν μὲν καὶ κακίαν ἡ αὐτὴ μεταβαλλομένη δέχεται, οὖσαν τὴν μὲν ἁρμονίαν καὶ συμφωνίαν τῶν ἐν αὐτῇ μερῶν καὶ δυνάμεων, τὴν δὲ ἀναρμοστίαν. ἀπᾴδει
25 γοῦν ἁρμονίαν λέγειν ἁρμονίαν καὶ ἀναρμοστίαν εἰσδέχεσθαι καὶ ποιότητα ὑποκεῖσθαι ποιότησιν. ἔτι φανερώτατα ὁ λόγος ἐλέγχεται, εἴ τις πειραθείη ἀποδιδόναι τὰ πάθη τῆς ψυχῆς τοῖς τῆς ἁρμονίας εἴδεσιν. εἴπερ γὰρ ἡ ὅλη ψυχὴ τῇ ὅλῃ ἁρμονίᾳ ταὐτόν, καὶ τὰ μέρη τοῖς μέρεσι. μέρη δὲ ψυχῆς μὲν τυχὸν θυμός, ἐπιθυμία καὶ τἄλλα, ἁρμονίας δὲ Λύδιον, Φρύγιον καὶ τὰ λοιπά. ποῖα
30 γοῦν ποίοις ἁρμόσαιμεν; πότερον ὁ θυμὸς Λύδιος ἁρμονία ἢ Φρύγιος, καὶ πῶς οὐ γελοῖον; καὶ τὸ λέγειν δὲ τὸν νοῦν διπλασίονα λόγον ἔχειν τῶν κεκραμένων, τὸν ἡμιόλιον δὲ τὴν αἴσθησιν καὶ ἄλλον ἄλλο τῶν ἀτοπωτάτων ἐστίν. οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία. ἐπεὶ δὲ καὶ διττὸν τὸ τῆς ἁρμονίας, ὡς φθάνομεν διελόμενοι (εἰς δύο γὰρ ταῦτα ἀποβλέψαντες λέγομεν κυριώτατα μὲν τὴν σύνθεσιν
35 τῶν μεγεθῶν, οὐ τῶν μαθηματικῶν δέ, ἀλλὰ τῶν ἐχόντων θέσιν καὶ κίνησιν· ὁπόταν γὰρ οὕτως ἁρμόσωσι λίθοι, ξύλα, ὡς μηδὲν ἐντὸς συγγενὲς παραδέχεσθαι, ἁρμονία μάλιστα λέγεται· δεύτερον δὲ τὸν τῶν μεμιγμένων λόγον, ἐκεῖθεν

1 ἐς C 3 εἰς A τὸν om. B 5 ἥττων AC 6 οἰκείων] κοινῶν AC τῶν πρὸς Εὔδημον ἡμετέρων] Eudemum dialogum dicit, cf. fragm. p. 1479 b 7 ἐν τῷ Φαίδωνι Πλάτωνος] Phaedo 41 p. 92 A 12 φέρε εἰπεῖν om. A τὸν scripsi: τὴν libri 20 ἔχοι BC: ἔχῃ A Philoponus 29 ποία AC 30 ποίοις] ποίας C ἢ] ἡ B 31 κεκραμμένων AC 36 λίθοι] λίθα καὶ A

τοὔνομα φέροντες), οὐδ' ὁποτέρως εὔλογον ἂν εἴη τὴν ψυχὴν ἁρμονίαν καλεῖν. αὐτίκα γὰρ ἡ τῶν μορίων σύνθεσις λίαν εὐεξέλεγκτος· πολλαὶ γὰρ αἱ συνθέσεις αὐτῶν καὶ διάφοροι· ἄλλη γὰρ χειρὸς καὶ ποδὸς ἑτέρα καὶ τῶν ἄλλων οὕτω. ποία γοῦν τούτων ψυχή, ἢ πᾶσαι; τίνος δὲ ⟨δεῖ⟩ μέλους ἢ πῶς ὑπολαβεῖν
5 τὸν νοῦν σύνθεσιν εἶναι ἢ τὸ αἰσθητικὸν ἢ ὀρεκτικόν; ὁμοίως δ' ἄτοπον καὶ τὸ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν. ἐπεὶ γὰρ οἱ λόγοι τῶν ἐν τῷ σώματι κράσεων τῶν τε ὁμοιομερῶν καὶ ἀνομοιομερῶν πολλοὶ καὶ παντοδαποί (οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μῖξις τῶν στοιχείων, καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν. καίπερ ὅλης οὔσης τῆς αὐτῆς). συμβήσεται γοῦν πολλὰς τὸν ἕνα
10 καὶ κατὰ πᾶν τὸ σῶμα ἔχειν ψυχάς, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων τὰ μέρη, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις τοῦτο καὶ παρ' Ἐμπεδοκλέους· ἕκαστον γὰρ τῶν ἐν σώματι μερῶν ἐν λόγῳ τινί φησιν εἶναι· εἰ γοῦν τὰ εἴδη τῶν μορίων λόγος ἐστὶ κατ' αὐτὸν ὁ τῆς κράσεως, ἔστι δὲ καὶ ἡ ψυχὴ εἶδος τοῦ ὅλου ζώου, πότερον καὶ αὐτὴ
15 εἶδός ἐστι τῶν μιχθέντων, ἐξ ὧν τὸ ὅλον, ἢ ἕτερόν τι οὖσα ἐγγίνεται τοῖς μιχθεῖσιν: εἰ μὲν γὰρ ὁ λόγος ἡ ψυχὴ τῶν κεκραμένων, πῶς φησι "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν"; οὐ γὰρ τὰ στοιχεῖα ὁ λόγος. καὶ προσέτι πολλαὶ ψυχαὶ ἐν τῷ ζώῳ. εἰ δ' ἕτερόν τι οὖσα παρὰ τὸν λόγον ἐγγίνεται, πάλιν πῶς φησι "γαίῃ γαῖαν ἐγνώκαμεν"; εἰ δὲ τὰ στοιχεῖα ἡ ψυχή, τί δήποτε ἐπὶ
20 μὲν τῶν ἄλλων ὀστοῦ καὶ σαρκὸς καὶ τῶν ὁμοίων οὐ τὰ στοιχεῖα ἀλλὰ τὸν λόγον αἰτιᾶται, ἐπὶ δὲ ψυχῆς τὰ στοιχεῖα; καίτοι κρεῖττόν τι τῆς ὅλης τὸ εἶδος. ἔτι δὲ πότερον καὶ ἡ φιλία τῆς τυχούσης αἰτία μίξεως, ἣν αὐτὸς τῆς τῶν στοιχείων ἐποίει συγκρίσεως, ἢ τῆς κατὰ λόγον; καὶ εἰ ταύτης, πότερον καὶ αὐτὴ ἡ φιλία λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερον, οὐκ εὐπετές ἐστιν
25 παρ' αὐτοῦ μαθεῖν. τοσαῦτα δὲ καὶ πρὸς Ἐμπεδοκλέα ὡς ἐν παρεκβάσει διηπορήκαμεν. ἐπανιτέον δὲ πάλιν, ὅθεν παρήλθομεν· ἔχει γὰρ ἔτι ἡ τῆς ἁρμονίας δόξα πιθανὰς τὰς ἀντιλαβάς. οὐ γὰρ οὕτως ἁπλῶς παρὰ τῶν ἀντεισαγόντων ἐτίθετο. εἰ γὰρ ἕτερον, φασίν, ἡ ψυχὴ τῆς κατὰ λόγον μίξεως, τί δήποτε ἅμα τὸ σάρκα εἶναι ἀναιρεῖται καὶ αὐτὴ συναναιρεῖται; ταῦτα δὲ κἀν
30 τοῖς ἄλλοις πάσχει τοῖς ὁμοιομερέσιν· συναναιρεῖται γὰρ ἑκάστῳ ἀναιρουμένῳ καὶ τελεία φθορὰ παρακολουθεῖ τοῦ ζώου. οὐχ οὕτω δὲ ἔδει, εἴπερ ἕτερον ἦν τῆς ἁρμονίας τῆς ἐν σώματι ἡ ψυχή, ἀλλ' ὥσπερ τὸν κιθαρῳδὸν καὶ τῆς τῶν χορδῶν ἁρμονίας χαλασθείσης ἔτι παρεῖναι τῇ κιθάρᾳ οὐδὲν κωλύει, ἕτερον ὄντα τῆς κιθάρας καὶ τῆς ἁρμονίας, οὕτως ἔδει ποτὲ καὶ τῆς ἐν σώματι
35 ἁρμονίας ἀπολλυμένης ἔτι παρεῖναι τὴν ψυχήν. εἴπερ μὴ ἦν ἁρμονία. πάλιν εἰ μή ἐστιν ἡ ψυχὴ ὁ λόγος τῆς μίξεως τῆς ἐν ἑκάστῳ τῶν μορίων, τί δήποτε πάντα φθείρεται ψυχῆς ἀπολιπούσης; εἴποι δ' ἄν τις πρὸς ταῦτα, ὥσπερ

---

2 μερῶν A 4 τούτου BC δεῖ addidi μέλλους A 6 τῷ om. A[1]
14 εἶδος om. C[1] 15 ἐξ ὧν τὸ ὅλον Philoponus: ἐξ ὅλων libri 18 post ἐγγίνεται add. τί οὖσα καὶ πῶς· καὶ A 19 γαίαν AC ἐγνώκαμεν] ὀπώπαμεν supra add. B 21 τῆς ψυχῆς AC 25 ὡς] καὶ B 26 ἐπανιστέον B
27 εἰσαγόντων AC 29 ἅμα τῷ BC σαρκὶ A 30 συναιρεῖται B
37 ἀπολειπούσης AC

οὐκ ἄνευ μὲν τῆς διαφανείας τοῦ ἀέρος ἐνεργεῖ τὸ φῶς, οὐ μὴν ταὐτόν ἐστι τῇ διαφανείᾳ τὸ φῶς, οὕτω τοι καὶ ἐπὶ ψυχῆς ἔχει καὶ τῆς σωματικῆς ἁρμονίας· ἀναιρεθείσης γὰρ ταύτης ἀναιρεῖται καὶ ἡ ψυχή, μᾶλλον δὲ ἡ εἰς τὸ σῶμα τῆς ψυχῆς ἐνέργεια. ὥσπερ καὶ τοῦ ἐν τῷ ἀέρι διαφανοῦς ἀναιρεθέντος οὐ τὸ φῶς ἀναιρεῖται, ἀλλ' ἡ τούτου εἰς αὐτὸ ἐνέργεια. πάλιν δ' αὖ καὶ ψυχῆς ἀπολιπούσης ἀπολείπει εὐθὺς καὶ ἁρμονία, διότι τὸ συνέχον αὐτὴν καὶ προσανυφαῖνον ἀεὶ τὸ ἐλλιμπάνον τῶν ἡρμοσμένων αὕτη ἐστί. καὶ παρεῖναι μέντοι ἴσως τῷ σώματί ποτε καὶ μετὰ τὴν διάλυσιν οὐδὲν κωλύει, ἐνεργῆσαι δέ τι εἰς αὐτὸ τῶν οὐκ ἐνδεχομένων ἐστίν, ὡς οὐδὲ τὸν κιθαρῳδὸν εἰς τὴν ἀνάρμοστον λύραν. ἀλλ' οὔτε μήν, ἐπείπερ ἔστιν αἷς τῶν κράσεων αἱ τῆς ψυχῆς δυνάμεις ἕπονται, ἤδη καὶ ὅλῃ τῶν κράσεων ἀποτέλεσμα, ὡς ἰατροὶ λέγουσιν, ἀλλὰ κατιούσῃ μὲν πρὸς γένεσιν τῇ ψυχῇ τὰ πάθη δέδονται ἔχοντα τὸ εἶναι ἐν ὑποκειμένῳ τῷ πνεύματι, διαβαίνοντα δὲ καὶ πρὸς τὸ παχὺ τοῦτο σῶμα· οὐκ ἄνευ μέντοι τῆς τοιᾶσδε κράσεως γίνεται, ὥσπερ οὐκ ἄνευ τῶν χορδῶν ἡ ἁρμονία. ὡς γὰρ τὰ αὐτομάτως φυόμενα δεῖται μὲν πάντως τῆς τοιᾶσδε γῆς, δεῖται δὲ καὶ ὑετοῦ, οὐ μὴν τοῦτο καθάπαξ ἀπόχρη πρὸς γένεσιν, ἀλλ' ἐκεῖθεν οἱ λόγοι τούτων ἐκ τῆς ὕλης δημιουργίας προέρχονται, οὕτω τοί φαμεν κἀν τῇ τοιᾷδε κράσει ἐκ τῆς ὕλης δημιουργίας τοὺς τῶν παθῶν ἐνιέναι λόγους κατὰ τὴν ἀξίαν ἑκάστῃ τῶν λογικῶν ψυχῶν. καὶ ὥσπερ τὸ εἶδος ἐν τοῖς αὐτομάτοις γενόμενον οὔτε ἐκ τῆς μίξεως τῆς γῆς καὶ τοῦ ὕδατος ἁπλῶς ἐπεγένετο οὔτ' ἔξωθεν αὐθυποστάτως προϋφεστηκὸς ἐγγίνεται, ἀλλ' οἱ λόγοι οἱ δημιουργικοὶ ἐν τῇ τοιᾷδε τῶν στοιχείων ἐπιτηδειότητι ἐγγεννῶσιν, οὕτω δὴ καὶ τὰ τῶν παθῶν εἴδη ἐν ταῖς τοῦ σώματος τελεσιουργοῦνται κράσεσιν· οὐ γὰρ δεῖ τὰ αἴτια χείρονα ποιεῖν τῶν αἰτιατῶν. ὅτι μὲν οὔθ' ἁρμονίαν οἷόν τ' εἶναι ἢ κράσεων ἀποτέλεσμα τὴν ψυχὴν οὔτε κύκλῳ περιφέρεσθαι, δῆλον ἐκ τῶν εἰρημένων. κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι τὴν τοπικὴν κίνησιν ἔστι καὶ κινεῖν ἑαυτήν, καθάπερ εἴπομεν, οἷον κινεῖσθαι μὲν τὸ σῶμα ἐν ᾧ ἐστιν, τοῦτο δὲ κινεῖσθαι ὑπὸ ψυχῆς· ἄλλως δ' οὐχ οἷόν τε κατὰ τόπον κινεῖσθαι. εὐλογώτερον δ' ἀπορήσειεν ἄν τις περὶ αὐτῆς ὡς κινουμένης εἰς τὰ τοιαῦτα ἀποβλέψας. φαμὲν γὰρ τὴν ψυχὴν λυπεῖσθαι, χαίρειν, θαρρεῖν, φοβεῖσθαι, ἔτι δὲ ὀργίζεσθαί τε καὶ αἰσθάνεσθαι καὶ διανοεῖσθαι· ταῦτα δὲ πάντα κινήσεις εἶναι κατὰ τὸ ποιὸν δοκοῦσιν. ὅθεν οἰηθείη τις ἂν αὐτὴν κινεῖσθαι. ὅτι δὲ καὶ τοῦτο οὔτ' ἀληθὲς οὔτ' ἀναγκαῖον, δῆλον ἐντεῦθεν· εἰ γὰρ καὶ ὅτι μάλιστα δοίημεν τὸ λυπεῖσθαι ἢ χαίρειν κινήσεις εἶναι, τί μᾶλλον ἔσται ἡ ψυχὴ κινουμένη; ἡμεῖς μὲν γὰρ ζητοῦμεν. εἰ ἡ ψυχὴ αὐτὴ καθ' αὑτὴν κινεῖται. τὸ δὲ ὅμοιον ὡς κἂν εἴ τις λέγοι τὴν ψυχὴν κινεῖσθαι τῷ ὑφαίνειν ἢ οἰκοδομεῖν· βέλτιον γὰρ ἴσως μὴ λέγειν τὴν ψυχὴν ταύτας κινεῖσθαι τὰς κινήσεις, τὸ χαίρειν, τὸ ἐλεεῖν, τὸ ὑφαίνειν, τὸ μανθάνειν, ἀλλὰ τὸν ἄνθρωπον τῇ ψυχῇ εἴτ' οὖν τὸ συναμφότερον, τοῦτο δὲ μὴ ὡς ἐν ἐκείνῃ τῆς

5 ἡ] εἰ A^1C^1 6 ἀπολειπούσης AC τὸ om. C 7 αὕτη] αὐτὴ A^1: αὐτή C
8 post ποτὲ add. δὲ C 10 αἷς om. C 12 δέδενται C 17 ὅλης] ὕλης C
20 ante ἐν add. τὸ A 22 ἐπιτηδειότι B ἐγγεννῶσιν B 27 εἴπαμεν A 36 τὸ scripsi: τὰ libri λέγει AB 39 εἴτ' οὖν] εἰ τοίνυν B

κινήσεως οὔσης (οὐ γὰρ ἰδίως ταῦτα κινήσεις ψυχῆς, οὐδ' ὥσπερ ἂν εἴποιμεν τὸν ἄνθρωπον τῇ χειρὶ κινεῖσθαι ἀντιλαμβανόμενον ταύτῃ τινός, οὕτω καὶ τῇ ψυχῇ λέγομεν κινεῖσθαι), ἀλλ' ὅτι ὁτὲ μὲν μέχρις ἐκείνης ἡ κίνησις ὁτὲ δὲ ἀπ' ἐκείνης. χρῆται μὲν γὰρ ἡ ψυχὴ ὀργάνῳ τῷ ἐν ἐγκεφάλῳ λεπτοτάτῳ πνεύ-
5 ματι. ὃ δὴ καὶ σύμφυτον αὐτῇ φασιν Ἕλληνες καὶ ἀχώριστον καὶ μετὰ τὴν ἀπαλλαγὴν τοῦ σώματος ὡς ἐξ ἀιδίου προσηρτημένον· ὃ δὴ καὶ αὐγοειδὲς καλοῦσι σῶμα. δεῖ γὰρ ἔχειν αὐτὴν ὃ ζωοποιήσει ἀεί, εἴπερ μὴ μάτην φύσει ζωοποιός. τούτῳ γοῦν ἐνιδρυμένη ὡς αἰσθομένη καὶ κρίνουσα εἰσδέχεται τὰς τῶν αἰσθητῶν προσβολάς. μέσον γὰρ τοῦτο ψυχῆς ἐν τῇ κοινωνίᾳ καὶ τοῦ
10 παχέος ἵσταται σώματος, καὶ τῶν ἐξωτερικῶν εἰς ψυχὴν κινήσεων ἕδρα καὶ τελευταία περάτωσις. ἀρχὴ δ' αὖ τῶν ἐκεῖθεν εἰς τὸ σῶμα διικνουμένων ἐνεργειῶν καὶ διάδοσις. ὅθεν ἡ μὲν αἴσθησις ἀπὸ τωνδὶ ⟨τῶν⟩ αἰσθητῶν καὶ μερικῶν ἀνατρέχει πρὸς τοῦτο ἐντευξομένη τῇ ψυχῇ. ἡ δ' ἀνάμνησις αὖ αὐτόθεν πρὸς τὰς ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἢ μονάς· μνησθέντες γὰρ πολλάκις φοβεροῦ
15 τινος ὠχριάσαμεν καὶ τὸν πλοῦν ἐννοοῦντες ἐναυτιάσαμεν. καὶ σχεδὸν τὰ ἐν σώματι πάντα πάθη, ἃ τὰ μὲν κατὰ ποιάν τινα φορὰν τὰ δὲ κατ' ἀλλοίωσιν, διὰ τούτου συμβαίνει, οἷον ἐπὶ τοῦ θυμοῦ· ὁ μὲν λόγος κρίνας τὸ πνεῦμα ἐκίνησε. τὸ δὲ τὸ περὶ καρδίαν ζέσαν αἷμα διέχυσεν εἰς τὴν ἐπιφάνειαν πρὸς ἄμυναν τοῦ λυπήσαντος, ὡς ἂν βασιλεὺς μὲν στρατηγῷ, ὁ δὲ τῷ στρατιώτῃ
20 τοῦ πολεμίου τὴν σφαγὴν ἐπιτάξειε. καὶ τὸ διανοεῖσθαι δὲ οὐκ ἄνευ τινὸς κινήσεως γίνεται. ἕως ἂν τῷ σώματι ψυχὴ σύνεστιν, ἀλλ' ἢ τῇ τοῦ ἐγκεφάλου ἤ τινος ἑτέρου μορίου, ὅθεν καὶ τὰ πρόσωπα τῶν διανοουμένων ξηρότερα γίνεται. μόνος δὲ ὁ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις καὶ οὐ φθείρεσθαι. μάλιστα γὰρ ἂν ἐφθείρετο ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως· εἰ γὰρ ἦν
25 ἀχώριστος σώματος ὥσπερ δῆτα θυμὸς καὶ ἐπιθυμία, ἔδει συνακμάζειν καὶ συμφθίνειν τῷ σώματι. ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, ὅτι μὴ καὶ τοὐναντίον (φρόνησις γάρ, φησὶ Πλάτων, καὶ δόξαι ἀληθεῖς καὶ βέβαιαι ἀγαπητὸν ὅτῳ κἂν εἰς βαθὺ γῆρας ἐγγένοιντο), ἀθάνατος ἂν εἴη καὶ τῆς φθορᾶς ἀνεπίδεκτος. εἰ δὲ λήρει ὡς τὰ πολλὰ τῶν γερόντων οἱ ἔξωροι καὶ μωραίνει κἂν ταῖς μέ-
30 θαις καὶ τοῖς ὕπνοις καὶ νόσοις ἔστιν αἷς ἄνθρωπος, οὐ τῷ τὸν νοῦν αὐτόν τι πάσχειν τοῦτο προσγίνεται· ἀλλ' ὥσπερ ἐπὶ τῶν αἰσθητηρίων τῷ χρόνῳ παχυνθέντων τῶν ἐν ὀφθαλμοῖς χιτώνων οὐ κατὰ τοὺς νέους οἱ γέροντες βλέπουσιν, εἰ δὲ λάβοι ὁ πρεσβύτης ὄμμα νέον, ἴδοι ἂν ὥσπερ ὁ νέος, ὡς τῆς αἰσθητικῆς δυνάμεως ἀπαθοῦς μενούσης, οὕτω τοι καὶ τὰ ἐν τῷ γήρᾳ συμπί-
35 πτοντα οὐ τῷ τὴν ψυχήν τι πεπονθέναι, ἀλλ' ἐν ᾧ ἐστι, τὸ σῶμα δήπου, μοχθηρᾶς ὕλης ἐμπιπλάμενον τῇ ἐπὶ ποσὸν ἢ ποιὸν τῶν χυμῶν ἀμετρίᾳ ὥς

---

1 οὐ om. C 4 ante ὀργάνῳ add. πρώτῳ A ἐν om. BC 6 δὴ om. A¹: ὅπερ A² 9 προβολάς B 10 παχέως A ἕδρα AC 12 τῶν addidi 13 αὖ αὐτόθεν scripsi: ἀπ' αὐτόθι libri 15 ὠχριάσαμεν A ἐναυτιάσαμεν AB 16 φοράν τινα AC 17 συμβαίνει scripsi: συμβαίνειν libri 18 τὸ περὶ] τὸ om. B 19 τῷ στρατηγῷ AC 21 ψυχῇ AB 26 ἔχοι A 27 φησὶ Πλάτων] de Legg. II 1 p. 653 A βεβαῖαι C 28 ἐγγίνοιντο C¹ 33 πρεσβυτὴς B 36 τῆς — ἀμετρίας BC ὥς τις] ὥστε A¹

τις φλύαρος γείτων ἐκκρούει καὶ τῶν οἰκείων ἐξίστησι· καὶ οὕτω δὴ τὸ νοεῖν καὶ τὸ θεωρεῖν μαραίνεται ἄλλου τινὸς ἔσω φθειρομένου, τοῦ πνεύματος, εἰς ὃ πρώτως αἱ ψυχικαὶ δυνάμεις ἐλλάμπουσιν. αὐτὸ δ' ἀπαθές ἐστι. τὸ δὲ διανοεῖσθαι ἢ φιλεῖν ἢ μισεῖν καὶ τὰ τοιαῦτα οὐκ εἰσὶν ἐνέργειαι νοῦ (ὁ γὰρ νοῦς θειότερόν τι ἴσως καὶ ἀπαθές), ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο, ᾗ ἐκεῖνο, τοῦ συναμφοτέρου δηλαδὴ ζώου. διὸ καὶ τούτου φθειρομένου οὔτε φιλεῖ οὔτε μισεῖ οὔτε μνημονεύει· οὐ γὰρ ἐκείνου ἦν ἀλλὰ τοῦ κοινοῦ, ὃ ἀπόλωλεν. οὐ μνημονεύει δὲ ἡ ψυχὴ ἀπολυθεῖσα τοῦ σώματος, ἅθ' ἑστῶσαν τὴν γνῶσιν καὶ μὴ παραρρέουσαν ἔχουσα. ὡς αὐτοῖς ὁμιλοῦσα τοῖς πράγμασι· καὶ μνήμη μὲν τῶν πάλαι ἐγνωσμένων, ψυχῇ δὲ τότε τὸ πρότερον καὶ τὸ ὕστερον ἐπιλέλοιπεν, εἰ μήπου κατὰ τὴν προχείρισιν τῶν θεωρημάτων· ἕστηκε γὰρ ἀεὶ καὶ ἐν τῷ νῦν ἐξετάζεται. ὅτι μὲν οὖν οὐχ οἷόν τε κινεῖσθαι τὴν ψυχήν, φανερὸν ἐκ τούτου· εἰ δ' ὅλως μὴ κινεῖται, δῆλον ὡς οὐδ' ὑφ' αὑτῆς.

Πολὺ δὲ τῶν εἰρημένων ἀλογώτατον τὸ λέγειν εἶναι τὴν ψυχὴν ἀριθμὸν κινοῦντα ἑαυτόν, ὥσπερ ἔλεγε Ξενοκράτης. ὑπάρχει γὰρ αὐτοῖς ἀδύνατα πρῶτα μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα. ἴδια δ' ἐκ τοῦ λέγειν αὐτὴν ἀριθμόν. πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινουμένην; οὔτε γὰρ αἰσθήσει τοῦτο οὔτε νῷ ληπτόν. καὶ ὑπὸ τίνος; καὶ γὰρ οὐδὲ τοῦτο εὔπορον. καὶ ἐπεὶ ἅπας ἀριθμὸς ὅ τε φυσικὸς ὅ τε μαθηματικὸς πλῆθός εἰσι καὶ σωρεία μονάδων καὶ ἀνάγκη κινουμένου συγκινεῖσθαι τὰς μονάδας, πότερον αὐτὴ ἑαυτῇ ἑκάστη μονὰς αἰτία κινήσεως ἢ ἄλλη ἄλλῃ; ᾗ μὲν γάρ ἐστι κινητικὴ καὶ κινητή, διαφέρειν δεῖ· ᾗ δὲ ἀμερής, καὶ ἀδιάφορος. πῶς δὲ καὶ κινεῖται; πότερον κατ' εὐθεῖαν ἢ κύκλῳ, ἢ κατὰ ποσὸν ἢ κατὰ ποιόν; τοῦτο δὲ καὶ πόρισμα ἔσται τῷ τὴν παροῦσαν δόξαν εὐθύνοντας καὶ ποσοῦ διωρισμένου παντὸς τὴν ψυχὴν ἐκτὸς ἀποδείκνυσθαι, ὥσπερ τοῦ συνεχοῦς ἐν τοῖς πρὸς Τίμαιον πρότερον. ἐπεὶ οὖν φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν, στιγμὴν δὲ γραμμήν, καὶ αἱ τῶν μονάδων τῆς ψυχῆς κινήσεις, εἴπερ ἡ ψυχὴ ἀριθμός, θυμὸς λέγω καὶ ἐπιθυμία καὶ τἆλλα γραμμαὶ ἔσονται. εἰ γὰρ αἱ τοῦ ἐνταῦθα ψυχικοῦ ἀριθμοῦ μονάδες ταῖς στιγμαῖς ταυτισθήσονται, οὐδὲν κωλύει συμβαίνειν τὸ ἄτοπον. ἔστι δὲ στιγμὴ μονὰς θέσιν ἔχουσα (ἐν γραμμῇ γάρ), μονὰς δὲ στιγμὴ ἄθετος. αἱ ψυχικαὶ δὲ μονάδες κεῖνταί που καὶ τὴν ἐν σώματι θέσιν ἔχουσι. στιγμὴ γοῦν καὶ μονὰς ἐνταῦθα ταὐτόν. γραμμαὶ δ' ἄρα θυμός τε καὶ αἴσθησις. ἔτι ἂν ἀπ' ἀριθμοῦ ἀριθμὸν ἀφέλῃς ἢ μονάδα, λείπεται ἄλλος ἀριθμός· ἀπὸ γὰρ τοῦ δέκα ἀφελὼν μονάδα ἕτερον ἀριθμὸν περιττὸν τὸν θ' πεποίηκα· κἂν ἀριθμὸν ἀφέλῃς, ἄλλος σοι τῷ εἴδει ὁ καταλειπόμενος γίνεται· ἂν γὰρ ἀπὸ τοῦ ιε' τετραγώνου ἀφαιρήσῃς τρία, οὐκέτι ἕξεις τετράγωνον. εἰ δὲ καὶ τὸν γνώμονα ἀνέλῃς τὸν ζ', τετράγωνος μὲν γενήσεται ὁ θ', οὐ μὴν ὁ αὐτὸς τῷ εἴδει. τὰ δὲ φυτὰ καὶ πολλὰ τῶν ζώων διαιρούμενα ζῇ, ὡς ἂν τὴν

2 τοῦ] αὐτοῦ A 7 ἀπώλωλεν A C¹ 10 πάλαι] πάλιν B 11 προχείρησιν AC ἕστηκε A C¹ 16 αὐτὸν C 19 εἰσὶ] ὧν A 20 ἑαυτῇ] ἑαυτὸν C 22 ᾗ scripsi: ἡ libri ἀδιάφορα A 23 καὶ κατὰ AC 24 εὐθύνοντας B 30 μονὰς γὰρ στιγμὴ C 35 κἂν C 36 τετραγώνου] τετραγωνος, ut videtur, B ἀφαιρήσαις AC

αὐτὴν ψυχὴν τὰ μέρη τῷ εἴδει καὶ μετὰ τὴν τομὴν ἔχοντα. δηλοῦσι δὲ τῶν κλάδων οἳ βλαστάνουσι φυτευόμενοι καὶ τὰ διαιρεθέντα τῶν ἐντόμων ἐπί τινα χρόνον σπαίροντα ὡς ἐν ἑκάστοις τινὸς παραμεινάσης κινήσεως καὶ αἰσθήσεως. ἔτι δόξειεν ἂν τῇ τοῦ Δημοκρίτου τὴν Ξενοκράτους δόξαν παρόμοιον. τί γὰρ διαφέρει μονάδας λέγειν καὶ ἀριθμὸν ἢ σωμάτια μικρά, ἃς τὰς μὲν οὗτος, τὰς δὲ ἐκεῖνος ὑπετίθετο. εἰ γὰρ αἱ σφαιρικαὶ τῶν ἀτόμων τοῦ μεγέθους ἀφαιρεθεῖσαι στιγμαὶ γένωνται, μένῃ δὲ τὸ πλῆθος, οὐδὲν μᾶλλον ἐλέγχεται ὁ λόγος οὐδὲ λυμαίνεται τὴν ὑπόθεσιν τὸ τὴν τῶν ἀτόμων ἀφελέσθαι συνέχειαν· ἔσται γάρ τι πάλιν ἐν αὐταῖς τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον, ὥσπερ καὶ πρὸ τοῦ ἐν τῷ μεγέθει. οὐ γὰρ διὰ τὸ συνεχῆ σώματα εἶναι καὶ μεγέθει διαφέρειν ἢ σμικρότητι τὸ κινεῖσθαι συμβαίνειν ἔλεγεν, ἀλλ' ὅτι πλῆθος ἄλλως ἦν, καὶ τῇ πρὸς ἄλληλα πλήξει καὶ ἀντωθήσει. οὕτω δήπου καὶ Ξενοκράτης οὐκ ἐπειδὴ τὰς μονάδας ἐξ ὧν ἡ ψυχὴ ἀμερεῖς ὑπετίθετο, διὰ τοῦτο καὶ τὸ κινεῖσθαι προσένεμεν, ἀλλ' ὅτι ποσόν τι καὶ ἀριθμὸς ἦν. διὸ ἀναγκαῖον εἶναί τι τὸ κινῆσον τὰς μονάδας. εἰ δ' ἐν τῷ ζώῳ καίπερ αὐτοκινήτῳ ὄντι τὸ κινοῦν ἡ ψυχή, οὐ τὸ σῶμα, καὶ ἐν τῷ ψυχικῷ δὲ ἀριθμῷ οὕτως ἔσται· οὐ τὸ κινοῦν καὶ κινούμενον σύμπαν ψυχή, ἀλλὰ τὸ κινοῦν μόνον. δῆλον οὖν ὅτι οὐ πᾶσαι μονάδες ψυχαί, ἀλλ' αἱ κινοῦσαι μόνον ὥσπερ καὶ ἐπὶ τῶν ἀτόμων αἱ σφαιρικαί. ἔτι εἰ καὶ ἐνδέχεται ὅλως ἐκ μονάδων τὴν ψυχὴν εἶναι, δεῖ αὐταῖς κἂν τινος διαφορᾶς πρὸς τὰς ἄλλας ἐξ ὧν μὴ ψυχή. στιγμῆς δὲ μοναδικῆς τίς ἂν εἴη διαφορὰ πλὴν θέσις; οὐ γὰρ ἂν ἄλλην τις εὕροι μονάδος πρὸς μονάδα τὴν ἑτερότητα. ἔτι εἰ μὲν εἰσὶν ἕτεραι αἱ ἐν τῷ σώματι καὶ ἐξ ὧν τὸ σῶμα μονάδες (πάντα γὰρ ἐκ τῶν ἀτόμων) τῶν ψυχικῶν μονάδων καὶ στιγμῶν, ἑνοῦται δὲ ψυχὴ σώματι, ἀνάγκη καὶ ταύτας ἑνωθῆναι. ἐν τῷ αὐτῷ ἄρα ἔσονται αἱ μονάδες ταῖς μονάσιν αἱ ψυχικαὶ ταῖς σωματικαῖς, καὶ καθέξει χώραν στιγμῆς σωματικῆς ἡ ψυχικὴ καὶ ἀλλήλαις προσεφαρμόσουσιν. εἰ δὲ τοῦτο, τί κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο, καὶ ἀπείρους; ὧν γὰρ ὁ τόπος ἀδιαίρετος, καὶ αὐτά, καὶ τὸ ἀμερὲς τῷ ἀμερεῖ συντιθέμενον καὶ τὸ ὅλον ἀμερές ἐστιν. ὥστε ἢ κατὰ μίαν στιγμὴν τοῦ σώματος ἔμψυχον ἔσται τὸ ζῶον, εἰ πᾶσαι τῆς ψυχῆς μιᾷ τῇ τοῦ σώματος ἐφαρμόσαιεν ἢ καθ' ἑκάστην ψυχὴν ἕξει τὸ ζῶον. καὶ εἰ ἄπειροι ἑκατέρωθεν, ἢ πᾶσαι πάσαις ἐφαρμόσουσι κἀντεῦθεν ἄπειροι δήπου καὶ ψυχαὶ τῷ ζώῳ ἐνέσονται (κἀκεῖνο δὲ οὐ λέγω ὅτι καὶ τὸ ἄπειρον ἐνεργείᾳ γενήσεται), ἢ εἰ μὴ πᾶσαι πάσαις, οὐ καθ' ὅλον ἑαυτὸ ἔμψυχον τὸ σῶμα οὐδ' ὅλως ἔμψυχον. εἰ δὲ αὐταὶ αἱ ἐν τῷ σώματι στιγμαὶ καὶ ὁ ψυχικὸς ἀριθμὸς ἕν, ἢ κυριώτερον εἰπεῖν εἰ ὁ τῶν ἐν σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχή, διὰ τί οὐ πάντα ψυχὴν ἔχουσι τὰ σώματα; στιγμαὶ γὰρ ἐν ἅπασι δοκοῦσιν εἶναι καὶ ἄπειροι ἄτομοι. ἔτι εἴπερ χωριστὴ ἡ ψυχή, πῶς οἷόν τε χωρίζεσθαι τὰς

---

3 αἰσθήσεως καὶ κινήσεως AC 5 ἀριθμοὺς B σώματα A σμικρά AC 6 ἐτίθετο AC 7 γένονται AC μένῃ scripsi: μένει libri 8 ὁ λόγος ἐλέγχεται AC τὸ A Philoponus: τῷ BC 19 καὶ ἐπὶ in margine add. B 23 αἱ om. C 28 τῷ ἀμερὲς A 31 ἕξοι A 33 ἐνέργεια A¹C 34 ἑαυτὸ scripsi: ἑαυτῷ libri

στιγμὰς καὶ ἀπολύεσθαι τῶν σωμάτων, ἃς δὴ ψυχὴν ὑπετίθεντο; οὐ γὰρ εἰς στιγμὰς τὰς γραμμὰς διαιρήσομεν (οὐ μέρη γὰρ αὐτῶν) οὔτε εἰς γραμμὰς τὸ ἐπίπεδα. πῶς οὖν ἀριθμὸς ἡ ψυχή; εἴπετο γὰρ τούτῳ τὸ τὰς μονάδας στιγμὰς εἶναι διὰ τὴν θέσιν. συμβαίνει οὖν, καθάπερ εἴπομεν, τῇ τοῦ Ξενοκράτους δόξῃ τὸ ἄτοπον πῶς μὲν ταὐτὸ τοῖς σῶμά τι λεπτομερέστατον αὐτὴν τιθεῖσιν, πῶς δὲ τοῖς ὡς Δημόκριτος. ἐκεῖνοι μὲν γάρ, ἵνα καὶ πάλιν τὰ αὐτὰ προσθῶμεν, τὸ λεπτομερὲς προσλαμβάνοντες, ἵνα δι' ὅλου χωρεῖν τοῦ σώματος δύνηται (ἔστι γὰρ ἐν παντὶ τῷ αἰσθανομένῳ ψυχὴ σώματι), δύο τε σώματα ἐν τῷ αὐτῷ εἶναι καὶ σῶμα διὰ σώματος χωρεῖν ὑπολείπουσιν· οὗτοι δὲ ἀριθμὸν λέγοντες ἔν τε τῇ μιᾷ στιγμῇ τοῦ σώματος πλείστας ψυχικὰς ἢ καὶ πάσας προσεφαρμόζουσι, κἀντεῦθεν ἢ μιᾷ στιγμῇ τοῦ παντὸς σώματος τὴν ψυχὴν εἶναι ἀνάγκη, ἢ πᾶν μέρος ἰδίαν ἔχειν. πῶς δὲ καὶ κινήσει ταῖς σφαίραις Δημόκριτος, ὥς γε εἴρηται, ἢ Ξενοκράτης τῷ ἀριθμῷ: τὸ αὐτὸ γὰρ ἀδύνατον ἕψεται τοῖς ταὐτὰ λέγουσιν. τί γὰρ διαφέρει σφαίρας λέγειν μικρὰς ἢ μονάδας μεγάλας, ἢ ὅλως μονάδας φερομένας; ἀμφοτέρως γὰρ ἀναγκαῖον κινεῖν τὸ ζῶον τῷ κινεῖσθαι ταύτας. εἴτε γὰρ τῶν σφαιρῶν ἀφέλῃς τὸ συνεχὲς τοῦ μεγέθους, στιγμαὶ μοναδικαὶ ἔσονται, εἴτε αἱ στιγμικαὶ μονάδες προσλάβωσι μέγεθος, Δημοκρίτειοι σφαῖραι γενήσονται· οὐ γὰρ τὸ ποιάς τινας εἶναι διαφέρει, ἀλλ' ὅτι πλῆθος καὶ κινεῖται. ἡμεῖς δὲ πρὸς τὴν τοῦ Δημοκρίτου δόξαν τὴν Ξενοκράτους ἐλαύνοντες εἰς ταὐτὸν στιγμὴν μονάδα καὶ ἄτομον συνηγάγομεν καὶ ὡς ἑνὶ δι' ὅλου κατεχρησάμεθα. τοῖς μὲν δὴ συμπλέξασιν εἰς τὸ αὐτὸ κίνησίν τε καὶ ἀριθμὸν ταῦτα συμβαίνει καὶ πολλὰ ἕτερα. οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς ἀδύνατον τοιοῦτον εἶναι, ἀλλ' οὐδὲ κατὰ συμβεβηκὸς ἀριθμὸν ψυχῇ ἐνεῖναι, ὥσπερ τὴν κίνησιν δήπου συνεχωρήσαμεν. δῆλον δ' εἴ τις ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμούς, αἰσθήσεις, ἡδονάς, λύπας καὶ ὅσα ἄλλα τοιαῦτα. ποῖος γὰρ ἀριθμὸς αἴσθησις; ποῖος δὲ λόγος ἢ διάνοια; ὥσπερ γὰρ εἴπομεν πρότερον, οὐδὲ μαντεύσασθαι ῥᾴδιον ἐξ αὐτῶν. μὴ δὲ καὶ συκοφαντῶμεν τὸν ἄνδρα, τοσοῦτον ἀνεπιστημοσύνης αὐτῷ περιάπτοντες, ὃ κἂν τοῖς ἰδιώταις ἀκνήσαιμεν, ἕως ἂν * * καὶ πρὸς ἄλλο τι σκοπῶν τῇ ψυχῇ τὸν λόγον ἀπέδωκεν. ἢ που γὰρ ἂν ἐκείνοις ἐδέησε τοιοῦτον ἀριθμὸν τῆς ψυχῆς κατειπεῖν, οἳ κἂν τὰ αἰσθητὰ μὴ τῶν νοητῶν ἐξαρτήσαιεν, οὐκ ἀποχρῶσαν ἐπιστήμην ἤγηνται. ὥστε εἰ ὁ μὲν ὡς εἶδος εἰδῶν καὶ λόγον ἐκ λόγων καὶ οὐσίαν αὐτόζωον καὶ αὐτενέργητον τὴν ψυχὴν θεώμενος ἀριθμὸν προσεῖπε καὶ κίνησιν, ἡμεῖς δὲ τῷ φαινομένῳ τοὺς ἐλέγχους προσήψαμεν, οὔτε ἀλλήλοις ἠναντιώμεθα καὶ ἀμφότεροι καθήκοντας τοὺς λόγους συνεπεράναμεν.

Τριῶν οὖν τρόπων παραδεδομένων, καθ' οὓς ὁρίζονται τὴν ψυχήν, οἱ μὲν τὸ κινητικώτατον ἀπεφήναντο τῷ κινεῖν ἑαυτήν, οἱ δὲ σῶμα τὸ λεπτομερέστατον ἢ

1 στιγμὰς v. Torstrikii ed. p. 126 2 γραμμὰς] στιγμὰς AC 4 τοῦ om. AC 5 δόξα B 6 καὶ πάλιν—ἵνα (7) om. C 12 ἐνεῖναι A post κινήσει add. τὸ σῶμα AC 15 ἀναγκαίως B 16 σφαῖρας B 18 ποιάς τινας scripsi: ὁποῖαί τινες libri 21 ἑνὶ scripsi: ἑνὸς libri 27 ἢ scripsi: ἡ libri 29 αὐτὸ C κἂν AB 30 ἀκνήσωμεν B ἕως ἂν] lacunam indicavi: ἴσως ἂν Diels

ἀσωματώτατον τῶν ἄλλων· ταῦτα δὲ τίνας ἀπορίας καὶ ὑπεναντιώσεις ἔχει, σχεδὸν ἤδη διεληλύθαμεν. λείπεται ἐπισκέψασθαι, πῶς λέγεται τὸ ἐκ στοιχείων αὐτὴν εἶναι· λέγουσι μὲν γάρ, ἵνα αἰσθάνηται τῶν ὄντων ἕκαστον καὶ γνωρίζῃ. ἀναγκαῖον δὲ συμβαίνειν πολλὰ καὶ ἀδύνατα τούτῳ τῷ λόγῳ. τίθεν-
5 ται γὰρ γνωρίζειν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ ἂν εἰ τὴν ψυχὴν τὰ πράγματα τιθέντες. οὐκ ἔστι δὲ μόνα τὰ ἁπλᾶ, οὐδὲ τῶν στοιχείων μόνον ἡ ψυχὴ γνωστική, ἀλλὰ καὶ πολλὰ ἕτερα, μᾶλλον δ' ἴσως ἄπειρα, τὰ ἐκ τῶν στοιχείων συγκείμενα, διάφορά τε ἀλλήλοις καὶ τοῖς στοιχείοις. ἐξ ὧν μὲν οὖν ἐστιν ἕκαστον τῶν συνθέτων, ἔστω γινώσκειν τὴν ψυχήν, ἐπείπερ ἐξ ἐκείνων· ἀλλὰ
10 τὸ σύνολον καὶ τὸ σύνθετον ἅπαν τίνι γνωριεῖ ἢ αἰσθήσεται, οἷον τί ἄνθρωπος ἢ ἵππος ἢ βοῦς ἢ σὰρξ ἢ ὀστοῦν; ὁμοίως δὲ καὶ ὁτιοῦν ἄλλο τῶν συνθέτων. οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ στοιχεῖα οὐδὲ ἁπλῶς κραθέντα τούτων ἕκαστον γέγονεν, ἀλλὰ λόγῳ τινὶ καὶ διαφόρῳ συνθέσει, ἧς ἡ ψυχὴ μὴ μετέχουσα πῶς εἴσεται; καθάπερ καὶ Ἐμπεδοκλῆς φησι περὶ τοῦ ὀστοῦ·

15 ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χράνοισι
τῶν δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ ἐγένοντο·

δηλῶν διὰ τούτων ποιᾷ τινι κράσει τὸ ὀστοῦν γενέσθαι· ὀκτὼ δὲ παραλαβὼν μοίρας εἰς τὴν τῶν ὀστῶν γένεσιν, ὧν τέσσαρας μὲν πυρός, πλείονας
20 ἴσως διὰ τὸ ξηρόν τε καὶ λευκόν, δύο δὲ γῆς, ἀέρος καὶ ὕδατος, ὃ καὶ νῆστιν αἴγλην προσηγορεύκει, ἀνὰ μίαν, ἐν τῇ γῇ τὴν τούτων χωνείαν τίθεται, ἣν ὡς κατὰ τοὺς Πυθαγορικοὺς κύβον οὖσαν καὶ ἐναρμόνιον ἐπίηρον κατωνόμασεν. ὁ κύβος δὲ ἐναρμόνιον διὰ τοὺς λόγους τῶν ἐν αὐτῷ ἀριθμῶν· ιβ' μὲν γὰρ ἔχει πλευράς, η' δὲ γωνίας, ς' δὲ ἐπίπεδα· τούτων δ' ἐφεξῆς
25 τιθεμένων ιβ' η' ς' ἡ διὰ πασῶν ἐπιτελεῖται ἁρμονία ἐξ ἐπιτρίτου καὶ ἡμιολίου τὴν σύνθεσιν ἔχουσα. κύβοι δὲ τῶν ἀριθμῶν ὁ η' ὁ κζ' καὶ οἱ ὅμοιοι, τετράγωνοι δὲ δ' καὶ θ' καὶ οἱ ὅμοιοι. γένεσις δὲ αὐτῶν· πᾶς ἀριθμὸς πολλαπλασιασθεὶς κατὰ τὰς ἐν αὐτῷ μονάδας τετράγωνον ποιεῖ, πᾶς δὲ τετράγωνος κατὰ μίαν τὴν ἑαυτοῦ πλευρὰν πολλαπλασιασθεὶς κύβος γίνεται.
30 πέντε δὲ καὶ αἱ ὠνομασμέναι ἐν ἁρμονικῇ συμφωνίαι. αἱ μὲν τρεῖς ἁπλαῖ, ἡ ἐν ἐπιτρίτῳ καὶ ἡμιολίῳ, αἳ καὶ διὰ τεσσάρων καὶ διὰ πέντε λέγονται, καὶ ἡ διὰ πασῶν καὶ ἐν διπλασίονι, ἃς καὶ ὁ κύβος ἔχει· λοιπαὶ δὲ σύνθετοι δύο ἡ διὰ πασῶν καὶ διὰ τεσσάρων ἅμα ἢ καὶ διὰ πέντε, καὶ ἡ δὶς διὰ πασῶν. ποιεῖ μὲν οὖν καὶ Ἐμπεδοκλῆς τὴν σύνθεσιν ἐν λόγῳ τῶν μερικῶν, καὶ διὰ
35 ταῦτα ἧττόν τι ὄφελος εἶναι τὰ στοιχεῖα ἐν τῇ ψυχῇ, εἰ μὴ καὶ οἱ λόγοι

1 ἀσωματότατον BC ἀπεναντιώσεις AC 4 γνωρίζει A post ἀδύνατα add. καὶ A τῷ τούτῳ λόγῳ A 9 συντεθέντων A 10 τί] τὶς B 11 ὁτοῦν AC 14 Ἐμπεδοκλῆς φησι] Empedocl. fragm. v. 199 sqq. ed. Stein 15 εὐρυστέρνοις B 17 ὑφαίστοιο A 18 γεγενῆσθαι AC 19 μοίρας παραλαβὼν A τέσσαρας—πλείονας A^2: τέσσαρα—πλείονα A^1BC 20 ἀέρος δὲ A^2 21 αἴγλη A χωνείας C 27 καὶ (post δ') om. AC 30 ἐναρμονικῇ AC αἱ μὲν—ἐπιτρίτῳ] οὐσῶν μὲν τῶν τριῶν ἁπλῶν· τῆς ἐν ἐπιτρίτῳ A^1 31 αἳ] ἢ A^1 ἡ om. A^1 33 διὰ πασῶν καὶ om. A. ἢ om. A

ἐνέσονται τῶν συνθέσεων. γνωριεῖ γάρ, ὡς πολλάκις λέγομεν, τὸ ὅμοιον ἕκαστον, τὸ δ' ὁστοῦν ἢ τὸν ἄνθρωπον οὐδέν, εἰ μὴ καὶ ταῦτα ἐνέσται. τοῦτο δ' ὅτι ἀδύνατον, οὐδὲν δεῖ λέγειν. τίς γὰρ ἀπορήσειεν, εἰ ἔνεστι λίθος ἐν τῇ ψυχῇ ἢ ἄνθρωπος; εἴπερ δὲ τὰ στοιχεῖα τοῦ λίθου καὶ τοῦ ἀνθρώπου ἐν τῇ ψυχῇ, τί κωλύει καὶ ἐπὶ τῶν ἄλλων οὕτως; οὐ γὰρ ἄλλο τι τυγχάνει τὴν φύσιν τῶν πραγμάτων ἕκαστον, εἰ μὴ τὰ στοιχεῖα μετὰ τῆς ποιᾶς συνθέσεως. εἰ μὲν γὰρ οἱ λόγοι τῆς συνθέσεως οἷον ἡμιόλιος τυχὸν ἢ ἄλλος ὁστισοῦν ἐπεφύκεσαν καθ' αὑτούς, κἂν πιθανῶς τὸ πλάσμα προὔβαινε καὶ τὴν ψυχὴν γινώσκειν τὰ πράγματα ὑπελάβομεν καὶ μόνον τοὺς λόγους κατέχουσαν· νυνὶ δὲ οἱ τῆς συνθέσεως λόγοι τοῖς συντεθεῖσιν ἀχώριστοι. ἀνάγκη οὖν τῷ λέγειν οὕτω γινώσκειν αὐτὴν τὴν ψυχὴν εἶναι λίθον καὶ ἵππον καὶ τὰ παρὰ ταῦτα πάντα, ὁμοίως δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ μὴ ἀγαθόν· ἀνάγκη γὰρ κατὰ τὰ αὐτὰ ἐνεῖναι τῇ ψυχῇ καὶ τὰς στερήσεις, ὥσπερ καὶ τὰς ἕξεις. ἔτι δὲ πολλαχῶς λεγομένου τοῦ ὄντος (σημαίνει γὰρ τὸ μὲν οὐσίαν, τὸ δὲ ποσόν, τὸ δὲ ποιὸν ἢ καί τινα ἄλλην τῶν διαιρεθεισῶν κατηγοριῶν) πότερον, ἐπείπερ πάντων ἡ ψυχὴ γνωστική, ἐξ ἁπάντων ἔσται ἢ ἔκ τινων ἢ ἐξ ἑνός; εἰ δὲ μηδὲν τούτων, πότερον ἐκ τῶν κοινῶν στοιχείων ἢ ἐκ τῶν ἰδίων ἑκάστης, ἵν' ἐκεῖνα γινώσκουσα καὶ τὰ ἐξ αὐτῶν γνωριεῖ; καὶ στοιχεῖα μὲν κοινὰ τῶν πασῶν οὐ δοκεῖ· οὐ γὰρ ὑπ' ἀρχαῖς ἑτέραις αὗται πρῶται τῶν ὄντων οὖσαι ἀρχαί· οὐ γὰρ αὐτῶν κοινὸν γένος τὸ ὄν. εἰ δὲ ἑκάστῃ γε ἴδια δοίημεν, οἷον τῇ οὐσίᾳ φέρε εἰπεῖν τὴν ὕλην καὶ τὸ εἶδος, ποσῷ δὲ τὸ συνεχὲς καὶ τὸ διωρισμένον, εἴτ' οὖν τὴν μονάδα καὶ τὴν στιγμὴν ὡς συγκατατεταγμένα καὶ ὁλικά, ὥσπερ ἐπὶ λίθου ἄλλως μὲν ἀρχὴ ἡ οὐσία, ἄλλως δὲ τὰ στοιχεῖα, πάλιν πότερον ἐξ ἁπάντων τῶν παρ' ἑκάστης ἰδίων ἢ παρὰ τῶν τῆς μιᾶς μόνης οἷον εἰπεῖν τῆς οὐσίας. τοῖς αὐτοῖς δὲ πάλιν καὶ ἐν ἀμφοτέροις ἀπόροις ὁ λόγος ἐνέχεται. εἴτε γὰρ ἐκ τῶν τῆς οὐσίας μόνης, πῶς γινώσκει τῶν ἄλλων ἕκαστον; εἰ δ' ἐκ τῶν παρ' ἑκάστῃ πασῶν, ἔστιν ἄρα καὶ ποσὸν καὶ ποιὸν καὶ οὐσία. ἀλλ' ἀδύνατον ἐκ τῶν τοῦ ποσοῦ στοιχείων οὐσίαν εἶναι καὶ μὴ ποσόν· κἂν τοῖς ἄλλοις οὕτω. τοῖς δὴ λέγουσιν ἐκ πάντων ταῦτά γε καὶ τοιαῦθ' ἕτερα συμβαίνει. ἄτοπον δὲ καὶ τὸ φάναι μὲν ἀπαθὲς εἶναι ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον (τί γὰρ ἂν ὑγρὸν ὑπὸ τοῦ ὁμοίου πάθοι ὑγροῦ;) αἰσθάνεσθαι δὲ τοῦ ὁμοίου τὸ ὅμοιον καὶ γινώσκειν τῷ ὁμοίῳ τὸ ὅμοιον· τὸ δ' αἰσθάνεσθαι πάσχειν τε καὶ κινεῖσθαι τιθέασιν, ὁμοίως δὲ καὶ τὸ γινώσκειν τε καὶ τὸ νοεῖν. τοῦτο δ' ἴσως αὐτοῖς καὶ τοῦ ἀποικισθῆναι τῆς ἀληθείας ὑπαίτιον παρεθὲν ἐν ἀρχαῖς ἀνεπίσκεπτον· οὐ γὰρ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος πάσχει· οὔτε γὰρ τὰ πάντη ἕτερα οὔτε τὰ πάντη ταὐτὰ πάθοιεν ἢ δράσειεν ἄλληλα (τί γὰρ φωνὴ ὑπὸ θερμοῦ πάθοι ἢ πῦρ ὑπὸ πυρός;) ἀλλὰ τὰ πῇ μὲν ὅμοια πῇ δὲ ἀνόμοια

---

2 ἔσται B 8 πλᾶσμα A 12 ὁμοίως δὲ om. B 13 δὲ] ἐπειδὴ A
16 ψυχικὴ, ut videtur, A¹ ἢ καὶ ἐξ ἑνός AC 18 γνωριῇ AC 21 τὸ (ante διωρισμένον) om. B 22 συγκαταταγμένα C 23 τὰ δ στοιχεῖα A
24 παρὰ τῶν] fort. τῶν παρὰ τῶν (post παρὰ) om. A¹ 25 ante τῆς add. τῶν A 27 καὶ ποιὸν καὶ ποσὸν C 29 γε] τε A 34 αἴτιον B παραιθὲν A 37 πάθοι ὑπὸ θερμοῦ A

κατὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ. τὸ γὰρ ἐνεργείᾳ θερμὸν ὁρᾷ, πάσχει δὲ τὸ ψυχρὸν δυνάμει θερμὸν ὂν καὶ ἄγεται τὸ δυνάμει εἰς τὸ ἐνεργείᾳ ὑπὸ τοῦ ἐνεργείᾳ τοιούτου ὄντος. πολλὰς οὖν ἀπορίας καὶ δυσχερείας ἔχοντος τοῦ λέγειν, καθάπερ Ἐμπεδοκλῆς καὶ εἴ τις ἄλλος εἴρηκεν, ὡς τοῖς σωματικοῖς στοι-
5 χείοις ἕκαστα γνωρίζεται καὶ τῷ ὁμοίῳ τὸ ὅμοιον, καίπερ ἱκανῶς ἐληλεγμένου, τοῖς φθάσασιν ἔτι μαρτυρήσει καὶ τὰ ἑξῆς λεχθησόμενα. μάλιστα γὰρ ὅσα ἐστὶν ἐν τοῖς τῶν ζώων σώμασιν ἁπλῶς γῆς, οἷον ὀστᾶ, νεῦρα, τρίχες, οὐδὲν αἰσθάνεσθαι δοκεῖ, ὥστε οὐδὲ τῶν ὁμοίων. καίτοι προσῆκεν· εἰ γὰρ διὰ τοῦτο γαίῃ γαῖαν ὀπώπαμεν, ὅτι τὸ ὅλον ὑπὸ τοῦ ὁμοίου γινώσκεται, τὰ μᾶλλον
10 ἐγγίζοντα τῇ γῇ μᾶλλον αὐτὴν ἔδει γινώσκειν. ἔπειτα δὲ καὶ ἑκάστῃ τῶν ἀρχῶν ἄγνοια πλέον ἢ σύνεσις ὑπάρξει· γνώσεται μὲν γὰρ ἓν μόνον ἑκάστη τὸ συγγενές, πολλὰ δὲ ἀγνοήσει, τάς τε ἑτέρας ἀρχὰς καὶ τὰ σύνθετα. συμβαίνει δὲ καὶ Ἐμπεδοκλεῖ ἀφρονέστατον εἶναι τὸν παρ' αὐτῷ θεόν· μόνος γὰρ τῶν στοιχείων οὐ γνωριεῖ τὸ νεῖκος, μηδὲν ἔχων ἐκείνου, τὰ δὲ θνητὰ
15 πάντα· ἐκ πάντων γὰρ ἕκαστον. καὶ πρότερον ὅλως διὰ τίνα αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα, εἴπερ πᾶν ἢ στοιχεῖον, ὡς γῆ ὕδωρ ἀήρ, ἢ ἐκ στοιχείου ἑνός, ὥσπερ ὁ κρύσταλλος ἐκ μόνου τοῦ ὕδατος, ἢ ἐκ πλειόνων ἢ καὶ πάντων, ὡς λίθοι καὶ ζῶα καὶ φυτά· ἀναγκαῖον γάρ ἐστι πᾶν ἢ ἕν τι γινώσκειν ἢ τινὰ ἢ πάντα. ἔτι εἰ ἐκ τῆς τῶν στοιχείων συνδρομῆς ἡ ψυχή,
20 ταῦτα δὲ διεκέκριτο πρότερον καὶ ὅλης ἐπεῖχε λόγον, ἀπορήσειεν ἄν τις, τί τὸ ἑνοποιοῦν τὰ στοιχεῖα συνιόντα εἰς τὴν τῆς ψυχῆς γένεσιν· κυριώτατον γὰρ ἐκεῖνο τὸ συνέχον, ὅ τί ποτ' ἂν φανείη, καὶ πρῶτον. ψυχῆς δ' εἶναί τι κρεῖττον καὶ ἄρχον ἐν τῇ συνθέσει ἀδύνατον· αὕτη γὰρ ἡ καὶ τὰ διεστῶτα συνάψασα· ἀδυνατώτερον δ' ἔτι τοῦ νοῦ. τοῦτον γὰρ εὔλογον, ὅτι χωριστός,
25 καὶ προγενέστερον καὶ κατὰ φύσιν κύριον εἶναι· καὶ εἴπερ τὸ τίμιον ἐν τοῖς πρώτοις, τὸ μάλιστα τιμιώτατον ἐν τοῖς μάλιστα πρωτίστοις. φανερὸν οὖν ὅτι νοῦς ἀρχή, τῶν μὲν πάντων ὁ ἐξῃρημένος καὶ δημιουργὸς καὶ ἀίδιος, τῶν δὲ συνθέτων ὁ ψυχικός.

Ὡς μὲν οὖν ἄν τις ἰδίως πρὸς ἕκαστον τῶν ἀποφηναμένων περὶ ψυχῆς
30 ἐπισκέψαιτο τοσαῦτα· κοινὸν δὲ πάντων παρόραμα, ὅτιπερ ἑξῆς καὶ οἱ διὰ τὸ γνωρίζειν καὶ αἰσθάνεσθαι τὴν ψυχὴν τὰ ὄντα ἐκ τῶν στοιχείων ποιοῦντες καὶ οἱ τὸ κινητικώτατον αὐτὴν εἶναι λέγοντες οὐ περὶ ἁπάσης ψυχῆς τὸν λόγον προάγουσι. καίτοι γε ἐχρῆν τοὺς φιλοσοφεῖν ἐσπουδακότας μὴ ἐν μέρει ζητεῖν τῶν ὄντων τὴν ἀλήθειαν. κίνησιν γὰρ τὴν κατὰ τόπον μόνην τῶν
35 ἄλλων καὶ αἴσθησιν ὑπολαβόντες περὶ ψυχῆς, οἷς μὴ ταῦτα παρῇ, ἐλλελοίπασιν. καὶ ἴσως κατά τι οὐκ ἀπὸ λόγου· καὶ γὰρ αὔξησιν μὲν καὶ ἀλλοίωσιν οὐδὲ κυρίως ἄν τις εἴποι ψυχῆς κινήσεις ὡς κἀν τοῖς ἀψύχοις ἐνούσας. λίθοι γὰρ αὔξονται καὶ τὰ ὑπὸ γένεσιν καὶ φθορὰν πάντα ἀλλοιώσεως μέτοχα. εἰ δέ ποτε καὶ κατ' αὐτὰς κινοῦνται τὰ ἔμψυχα, ἀλλ' οὐχὶ καὶ ὑπὸ ψυχῆς οὐδὲ

---

5 τῷ] τὸ C τῷ ὁμοίῳ v. Torstrikii ed. p. 128 6 γὰρ] μὲν γὰρ A
10 αὐτὴν A Philoponus: αὐτὰ BC 17 ὁ om. AC 18 καὶ (ante ζῶα) om. A ἕν] ἓν C 20 διεκέκριντο A 24 δέ τι BC 26 ante τιμιώτατον add. τὸ C 33 τοῖς — ἐσπουδακόσι A¹ 36 ἄπο BC A²

προαιρετικῶς ἢ κατ' οἰκείαν ὁρμήν τε καὶ βούλησιν (οὔτε γὰρ αὔξεταί τε ἑκὼν οὔτ' ἀλλοιοῦται, ἀλλ' ὑπό τινων ἔξωθεν ἢ αἰσθητῶν ἢ νοητῶν καὶ ὑπὸ τοῦ πρώτου καὶ προσκρινομένου καὶ αὔξοντος), τὴν δὲ τοπικὴν μόνην καὶ καθὸ ἔμψυχα καὶ παρὰ ψυχῆς. ταύτῃ τοι δήπου περὶ μόνης τῆς αἰσθητικῆς καὶ
5 κατὰ τόπον κινητικῆς ἐπ' ἴσης τοῖς πᾶσι διείληπται. φανεῖεν δ' ἂν καὶ κατὰ τοῦτο ὑστερηκέναι αὐτό. οὔτε γὰρ τὰ αἰσθανόμενα πάντα κινητικά· φανεῖεν γὰρ εἶναί τινα μόνιμα τῶν ζώων καὶ μεταβατικῆς ἐστερημένα κινήσεως, καὶ παρερχόμεθα τὰ φυτὰ ὡς μετὰ τῆς αἰσθήσεως καὶ τὴν τοπικὴν ἀφῃρημένα κίνησιν. ἀλλὰ τῶν κατὰ τόπον κινητικῶν ζώων τὰ πολλὰ διάνοιαν οὐκ ἔχει.
10 εἰ δέ τις καὶ ταῦτα συγχωρήσειε καὶ τὸν νοῦν μὴ ἕτερόν τι λέγειν ψυχῆς μηδὲ τοῦ αἰσθητικοῦ, ἀλλὰ μέρος μὲν ἐκείνης, ταὐτὸν δὲ τούτῳ, οὐδ' οὕτως ἂν εἶεν περὶ πάσης διειληφότες ψυχῆς οὐδὲ περὶ ὅλης οὐδὲ περὶ μιᾶς. οἱ γὰρ τὰς καθολικωτάτας καὶ διὰ πάντων ἡκούσας ἐμψύχων δυνάμεις, θρεπτικήν, αὐξητικὴν καὶ γεννητικήν, πρῶτον ἐν τοῖς φυτοῖς ἐνούσας παραδραμόντες (μία
15 δ' ἐν ἑκάστῳ τῶν ἀτόμων ψυχὴ πλείοσι δυνάμεσιν ἢ μορίοις κεχρημένη, περὶ ὧν διαλαβεῖν παρήκασι) πῶς ἂν ἢ περὶ μόνης τῆς ἀνθρωπίνης ἢ ὅλως διαλαβόντες εἶεν αὐτῆς: τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καλούμενος λόγος· φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν ἀνέμων. οὐχ οἷόν τε δὲ τοῖς φυτοῖς τοῦτο συμβαίνειν οὐδὲ τῶν ζώων
20 ἐνίοις, εἴπερ μὴ πάντα ἀναπνεῖ· τὰ ἔντομα γὰρ οὐκ ἀναπνεῖ καὶ τὰ ἔνυδρα. ἔτι καὶ τοῦτο λέληθε τοὺς τὴν ψυχὴν διὰ τὸ γνωστικὸν ἐκ τῶν στοιχείων ποιοῦντας, ὡς οὐ δεῖ ἐξ ἁπάντων· ἱκανὸν γὰρ θάτερον μέρος τῆς ἀντιθέσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντικείμενον. καὶ γὰρ τῷ εὐθεῖ καὶ τὸ εὐθὺ γνωρίζεται τῷ ἐφαρμόζειν καὶ τὸ μὴ εὐθὺ τῷ μὴ ἐφαρμόζειν· κριτὴς γὰρ ὁ κανὼν
25 ἀμφοῖν· τὸ δὲ καμπύλον οὔθ' ἑαυτοῦ οὔτε τοῦ εὐθέος γνωστικὸν διὰ τὴν ἀοριστίαν. οὕτως ἐπὶ ὄψεως καὶ τυφλότητος, ἀγνοίας καὶ γνώσεως, νόσου καὶ ὑγείας· οὐ γάρ ἐστιν ἀγνοίας ἢ τυφλότητος ἢ νόσου ἑτέρα τις μάθησις ἢ ἡ τῶν ἀντικειμένων κατάληψις. ἀλλ' ἐν μὲν τοῖς καθ' ἕξιν καὶ στέρησιν ὡς τὰ εἰρημένα, αὐτόθεν δῆλον καὶ ὁ λόγος ἀδήριτος· ἐν δὲ τοῖς ἐναντίοις, θ καὶ
30 ἄμφω εἴδη καὶ διάφορα πράγματα καὶ οὐ τόδε τοῦδε μᾶλλον ὕπαρξις, τίς ἂν ἐκ τοῦ ἑνὸς καὶ τοῦ θατέρου γνῶσις ἐγγένοιτο; οἷον χρώμασι μὲν λευκὸν καὶ μέλαν, χυμοῖς δὲ γλυκὺ καὶ πικρόν, ἐν δὲ τοῖς στοιχείοις ὑγρὸν καὶ ξηρόν, θερμὸν καὶ ψυχρόν· οὐδὲν γὰρ τούτων τοῦ ἑτέρου στέρησις ἢ ἀπόπτωσις. ἢ ἐπείπερ τῶν ἀντικειμένων ἡ αὐτὴ ἐπιστήμη, ταῖς δὲ ἀντικειμέναις ποιότησιν
35 ἢ δυνάμεσιν, ἔτι δὲ ἐνεργείαις καὶ ἕξεσι πρὸς ἄλληλα καὶ τὰ εἰρημένα συνέστηκεν, ὁ τὸ ἓν τῶν ἀντικειμένων γνοὺς καὶ τὸ ἕτερον εἴσεται. ὁ γὰρ τὸ

---

2 ἢ καὶ ὑπὸ A 3 τὴν δὲ] τήν τε C 5 φανεῖαν B 10 λέγει AC
12 οἱ] εἰ C 14 παραδραμέντες C 16 διαλαβεῖν] διηλέχθαι A 17 καλούμενος] immo καλουμένοις 18 φερομένη C 19 συμβαίνει C 20 ἐνίοις] ἐνὶ C
23 αὐτό τε C 24 τὸ ἐφαρμόζειν C τὸ μὴ] τοῦ μὴ C[1] 25 εὐθέως C 27 ἢ (ante ἡ) om. B 28 ὡς τὰ] ὡς ἐπὶ (?) τῶν A[2] 29 εἰρημένων A[2] ἀδήριτος scripsi: ἀδήρητος libri 32 χυμῶν C γλυκὺς καὶ πικρός AC 35 ἢ] καὶ AC
36 εἴσεται] γνώσεται C, qui tamen in marg. habet εἴσεται

λευκὸν εἰδὼς διάκρισιν ὄψεως καὶ τὸ μέλαν σύγκρισιν αὐτῷ τούτῳ γνώσεται, ὅ τε τὴν ὑγείαν συμμετρίαν τῶν χυμῶν ὁρισάμενος καὶ τὴν νόσον ἀσυμμετρίαν ἅμα συνελογίσατο· ὥστε κἂν τοῖς στοιχείοις, ἐπεὶ τὰ μὲν αὐτῶν δραστικὰ καὶ ποιητικὰ καὶ εἴδους ἐπέχει λόγον, τὸ πῦρ ὁ ἀήρ, τὰ δὲ παθητικὰ καὶ ὑλικά, ὕδωρ καὶ γῆ, ἠναντίωνται δήπου καὶ ταῖς ποιότησιν, ὃς τὸ πῦρ οἶδεν ὅτι θερμὸν καὶ ξηρὸν δυνάμει, καὶ τὸ ὕδωρ νενόηκεν ὑγρὸν καὶ ψυχρόν· οὕτως ὁ ἀέρα καὶ γῆν. ἀλλὰ καὶ ὁ ἓν γνοὺς τὰ πάντα εἴσεται, ὡς πάσας τῶν στοιχείων ἑκάστου ἔχοντος τὰς παρ' ἄλλοις ποιότητας ἢ ἐνούσας ἢ ταῖς οὔσαις ἀντικειμένας.

Ἐσχάτη δὲ δόξα καὶ τελευταία περὶ ψυχῆς ἥδε· ἐν γὰρ τῷ ὅλῳ τινὲς αὐτὴν μεμῖχθαί φασι, καὶ ἅπαν σῶμα ἔμψυχον εἶναι ὑπέλαβον, ὅθεν καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν. εἰς τοῦτο δ' ἄν τις ἔλξοι καὶ τοὺς Στωικοὺς σῶμα τὸ θεῖον ὑπολαβόντας καὶ πανταχοῦ παρεῖναι καὶ σωματικῶς, ἀλλ' οὐ μόναις ταῖς ἐνεργείαις. κἀκεῖνο δὲ πρὸς τοῦτο τείνει·

μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα
καὶ λιμένες.

πάντες γὰρ οὗτοι θεὸν ἢ θεῖόν τι τὴν ψυχὴν ὑπειλήφασι. τοῦτο δὲ ἔχει ἀπορίας τινάς· τί δήποτε ἐν παντὶ σώματι ψυχῆς ἐνούσης τὰ μέν ἐστι ζῶα τὰ δὲ οὔ, ἀλλ' ἐν μὲν τῷ ἀέρι οὖσα ἡ ψυχὴ οὐ ποιεῖ ζῶον, ἐν δὲ τοῖς μικτοῖς ποιεῖ, καὶ ταῦτα βελτίων εἶναι ἐν τούτοις δοκοῦσα. ἐπιζητήσειε δ' ἄν τις καὶ τοῦτο, διὰ τίνα αἰτίαν ἡ ἐν τῷ ἀέρι ψυχὴ τῆς ἐν τοῖς ζώοις βελτίων τε καὶ ἀθανατωτέρα ὑπ' αὐτῶν λέγεται, καίπερ ὁμοίως τοῖς ἐν συνθέσει καὶ τῶν ἁπλῶν ἀλλοιουμένων καὶ φθειρομένων. συμβαίνει δὲ ἀμφοτέρως ἄτοπον καὶ παράλογον· καὶ γὰρ ζῶον ἢ τὸ πῦρ ἢ τὸν ἀέρα λέγειν ἐμπλήκτων, καὶ τὸ μὴ λέγειν ζῶα ψυχῆς ἐνούσης παραλογώτατον. ὑπολαβεῖν δ' ἐοίκασιν εἶναι τὴν ψυχὴν ἐν τούτοις, ἐπεὶ τὰ μέρη τῶν στοιχείων ὁμοειδῆ τοῖς ὅλοις· ταῦτα δὲ (εἰ) ἔμψυχα (συντεθέντα γὰρ ποιεῖ ζῶον), καὶ τὰ ὅλα ἔμψυχα. οὐχ οὕτω δὲ ἔχει. ἀνάγκη γὰρ τὴν ἐν τῷ ὅλῳ τῷ ἀέρι ψυχὴν ἢ ὁμοειδῆ εἶναι ἑαυτῇ ἢ ἀνομοιοειδῆ. ὁ δὲ ἀὴρ διασπώμενος ὁμοειδής. εἰ μὲν οὖν ὁμοειδής, ἐπειδὴ τῷ ἀπολαμβάνεσθαί τι τοῦ ἀέρος ἐν τοῖς ἐμψύχοις ἔμψυχα γίνεται, ἔδει πάντα τῆς αὐτῆς ψυχῆς μετέχειν. ἀλλὰ μὴν τοῦτο ψεῦδος. ψευδὴς ἄρα καὶ ἡ ὑπόθεσις· οὐ γὰρ ταὐτὸν τὸ θρεπτικὸν τῷ αἰσθητικῷ. εἰ δὲ ἀνομοιομερὴς εἴη, ἢ πάντα τὰ μόρια αὐτῆς διὰ παντὸς διήκει τοῦ ἀέρος, ἢ ἕκαστον μέρος τι τοῦ ἀέρος ἐμπεριείληφεν. εἰ μὲν οὖν πάντα τὰ ψυχικὰ μόρια ἐν ὁτῳοῦν μορίῳ ἀερίῳ εἰσίν, ἔδει πάντα ὁμοίως ἔμψυχα εἶναι καὶ πάντα μετέχειν καὶ λόγου καὶ αἰσθήσεως καὶ θυμοῦ καὶ ἐπιθυμίας. ἀλλ' οὐ τὸ δεύτερον· οὐδὲ τὸ πρῶτον

3 συνελογήσατο C ὥστε scripsi: ὡς δὲ libri 5 ὃς] ὡς C 7 ἕκαστον C 8 παρ' ἄλλας C οὔσαις] ἐνούσαις C 11 τις] τε C 12 ὑπολαμβάνοντας AC 13 κἀκεῖνο] καὶ τὸ τοῦ Ἀράτου A Philoponus v. Arat. Phaen. 2—4 18 εἰσι A 20 ἐπιζητήσει C 21 τῆς] τοῖς C 22 ἀθανατώτερος B 24 ἢ (post ζῶον) om. A ἢ (post πῦρ) om. A¹ 25 ἐνούσας C 27 εἰ addidi 28 τῷ (ante ὅλῳ) om. A 30 τοῦ ἀπολαμβάνεσθαι C 31 ψεῦδος] ψευδὴ B 32 τῷ θρεπτικῷ A¹ 33 διήκει] διοίκει A¹ τι] τῇ C 35 ἀέρια A¹

ἄρα. εἰ δὲ ἕκαστον μόριον τῆς ψυχῆς μέρος τι τοῦ ἀέρος ἀπείληφεν, ἕδει ἄλλο ζῶον ἄλλης ψυχῆς μετέχειν, τὸ μὲν τῆς θυμικῆς μόνον, τὸ δὲ τῆς ἐπιθυμητικῆς, τὸ δὲ τῆς λογικῆς καὶ ἄλλο ἄλλης, εἴπερ τῷ ἀπολαμβάνεσθαί τι τοῦ ἀέρος ψυχὴν ἔχει. νυνὶ δὲ ὁρῶμεν τινὰ μὲν πασῶν τῶν ψυχικῶν δυνά-
5 μεων μετέχοντα, τὰ δὲ πλειόνων, τὰ δὲ μιᾶς. ὥστ' εἰ πάντα ἐπιοῦσιν ἀδύνατον φαίνεται, καὶ τὸ οὕτω λέγειν περὶ ψυχῆς ψεῦδος. φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὡς οὔτε τὸ γινώσκειν ὑπάρχει τῇ ψυχῇ τῷ ἐκ τῶν στοιχείων εἶναι οὔτε τὸ κινεῖσθαι αὐτὴν οὕτω καλῶς που καὶ ἀληθῶς λέγεται.

Ἐπεὶ δὲ τῆς ψυχῆς ἐστι τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαί τε καὶ δοξάζειν, ἔτι
10 καὶ τὸ ἐπιθυμεῖν καὶ τὸ βουλεύεσθαι καὶ ὅλως αἱ ὀρέξεις, γίνεται δὲ καὶ ἡ κατὰ τόπον κίνησις τοῖς ζώοις ὑπὸ ψυχῆς (κινεῖ γὰρ ταῦτα ὥσπερ ἂν εἰ καὶ κυβερνήτης τὴν ναῦν), ἔτι δὲ αὔξη τε καὶ ἀκμὴ καὶ φθίσις ὑπ' αὐτῆς, πότερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον ὑπάρχει καὶ πάσῃ νοοῦμέν τε καὶ κινούμεθα καὶ τῶν ἄλλων ἕκαστον ποιοῦμέν τε καὶ πάσχομεν, ὡς εἶναι μὲν ὅ τί ποτε τὴν φύσιν
15 καὶ τὴν οὐσίαν μίαν καὶ τὴν αὐτὴν ἁπλῆν καὶ ἀμέριστον, διαφόρους δὲ ποιεῖσθαι τὰς ἐνεργείας, ἢ πολυμερῆ καὶ διοικεῖν μορίοις ἑτέροις ἕτερα: καὶ δὴ πότερον τὸ ζῆν ἕν τινι τούτων ἐστί, καὶ τοῦτό ἐστι τὸ φυτικόν, ἢ καὶ ἐν πλείοσιν ἢ καὶ ἐν πᾶσιν, ἢ καὶ ἄλλο τι τὸ αἴτιον; ἴσον δὲ ἀμφοτέρως τῷ λόγῳ τὸ ἄπορον. εἴτε γὰρ μίαν εἴπομεν φέρε εἰπεῖν τὴν ἐν ἀνθρώπῳ πᾶσαν,
20 διαφόρους δὲ ἔχειν τὰς ἐνεργείας, καὶ τοῦτό ἐστιν αὐτῇ τὸ θυμοῦσθαι καὶ λογίζεσθαι καὶ αἰσθάνεσθαι καὶ τἄλλα πάσχειν τε καὶ ποιεῖν, τῷ πολυδύναμον εἶναι, ὡς καὶ τὸ πῦρ εἴποις φωτίζειν καὶ ξηραίνειν καὶ καίειν καὶ ἄνω φέρεσθαι, ἑνὸς ὄντος αὐτοῦ τὴν φύσιν καὶ τὴν οὐσίαν, καὶ τὸ μῆλον εὐῶδες ἐρυθρὸν καὶ γλυκύ, καὶ τοιόνδε σχῆμα ἔχει καὶ ἄλλ' ἄττα διάφορα, αὐτὸ δὲ τῇ οὐσίᾳ
25 ταὐτόν. πῶς ὁ νοῦς χωριστός, πῶς φθαρτὸν τὸ αἰσθάνεσθαι; καὶ πρὸ τούτων πῶς λογικὴ καὶ ἄλογος, καὶ τὸ μὲν ἄρχει τὸ δὲ ἄρχεται; εἰ δὲ μὴ μίαν ἀλλὰ μεριστήν, ὡς ἄλλῳ μὲν νοεῖν ἄλλῳ δὲ ἐπιθυμεῖν, πῶς ἔσται τὸ ζῶον ἕν; πῶς ἑαυτῷ συνεχές τε καὶ συμπαθές; εἰ δὲ τοῦτο, ἀνάγκη καὶ τὰ εἰδοποιοῦντα μόρια τῆς ψυχῆς αὐτὰ ἡνῶσθαι πρότερον· εἰ δὲ ἥνωνται, τί τὸ ἑνῶσαν καὶ τί
30 τὸ συνέχον τὴν φύσιν, εἰ μεριστή; ἀλλ' ἆρα μὴ τὸ σῶμα; πολλοῦ δεῖ, ὃ ψυχῆς μᾶλλον δεῖται συνέχεσθαι· ἐξελθούσης γὰρ διαπνεῖ τε καὶ σήπεται. ἢ γοῦν ὑφ' ἑτέρου τὰ μόρια ἥνωνται ἢ ὑφ' αὑτῶν· ὑφ' αὑτῶν μὲν ἀδύνατον, ὅτι τὰς φύσεις διάφορα· εἰ δ' ὑπ' ἄλλου, ἢ ἓν τοῦτο πάλιν ἀνάγκη εἶναι ἢ πολυμερές. καὶ εἰ πολυμερές, ὑπόλοιπον ζητεῖν πάλιν, τί τὸ ἐκεῖνο ἑνοῦν
35 καὶ ὅπως, κἀκεῖνο τί· καὶ οὕτως ὁ λόγος βαδιεῖται εἰς ἄπειρον. εἰ δὲ τὸ συνέχον ἕν, ἐκεῖνο μάλιστα ἂν εἴη ψυχή. εἰ δὲ τοῦτο, τί δήποτε μὴ καὶ τὴν ψυχὴν αὐτόθεν ἓν λέγομεν; εἰ γὰρ τὸ ἑνοῦν τὰ διακεκριμένα ἓν δεῖ εἶναι

---

3 ante τὸ add. καὶ B τῷ scripsi: τὸ libri 5 μετέχοντα] μεταθέντα C
6 φαίνεσθαι C ψεῦδος] ψευδῆ B 7 τῷ] τὸ C² 8 ἢ ἀληθῶς C
9 δοξάζειν A 13 πᾶσι C 19 εἴτε] εἴς τε C 20 ἴσχειν A 21 καὶ ἄλλα C 22 ὡς κἂν A: ὡς κἂν C 23 ἓν ὂν αὐτὸ A¹ μῦλον A εὐωδῆ B 24 αὐτοῦ BA² 25 ταὐτοῦ BA² 27 ἄλλο μὲν C ἄλλο δὲ C² 28 ἑαυτὸ C 30 ἄρα C 35 ἓν τὸ συνέχον AC 37 διακεκριμμένα AC

αὐτίκα, ἑνοῖ δὲ ψυχὴ τὸ σκεδαστὸν τοῦ σώματος, πῶς οὐκ αὐτόθεν εὔλογον μίαν αὐτὴν ὑποτίθεσθαι καὶ μὴ δεῖσθαι τρίτου τοῦ καὶ ταύτην συνέχοντος; οὕτω μὲν οὖν ὁ λόγος δυσχερὴς ἑκατέρωθεν. ἢ μήποτε φύσει μὲν καὶ οὐσίᾳ οὐχ ἓν ἀλλήλοις τὰ μόρια, ἑνώσει δὲ ἄκρᾳ καὶ σχέσει καὶ συμπαθείᾳ. διαβαίνει γάρ τι καὶ ἐκ τοῦ λόγου πρὸς τὰ πάθη καὶ τοῖς πάθεσιν ὁ λόγος συνδιατίθεται· τό τε γὰρ εἴκειν τῷ λόγῳ καὶ ὑποτετάχθαι τὰ πάθη ἐκεῖθεν ἥκει τῇ συλλήψει ἐλλάμποντος, τό τε πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν ἐμποδίζεσθαι τῇ κοινωνίᾳ τῶν παθῶν ἐπιγίνεται· καὶ οὕτως ἡ ψυχὴ μία, ὡς εἰ καὶ τὸν ὅλον ἄνθρωπον μιᾶς οὐσίας λέγοιμεν, καὶ ἁπλῶς ὡς τὰ ἐξ ὕλης καὶ εἴδους τὸ ἓν ἔχουσιν. ὕλης γὰρ κἀντεῦθεν πρὸς τὴν λογικὴν ἐπέχει λόγον ἡ ἄλογος, καὶ πρὸς ταύτην ἡ φυτική. καὶ πρὸς ἐκείνην τὸ σῶμα· καὶ ὥσπερ ἐν τοῖς ἐξ ὕλης καὶ εἴδους οὐ δεῖ ζητεῖν, τί τὸ ἑνῶσαν φύσει τὸ ἡνῶσθαι καὶ οἴκοθεν ἔχοντα, ὡς αὐτομάτως καὶ ἐξ οὐδεμιᾶς προσεχεστέρας αἰτίας τὸ εἶδος τὴν ὕλην δέχεσθαι, ὁπόταν καὶ ἐπιτήδειος γένηται, οὕτω τοι κἀν ταῖς ψυχαῖς εἶδος μὲν ἡ λογικὴ καὶ μορφή, ὕλη δὲ ταύτης προσεχὴς καὶ ὡς ὑποκείμενον ἔγγιον ἡ ἄλογος, τῆς δὲ ἡ φυτική, εἶτα τὸ σῶμα. καὶ τὸ μὲν φύσει πρότερον καὶ τὸ ὕστερον οὐκ ἐκβεβήκασιν, ἔχονται δὲ ἀλλήλων ἐν ταῖς συναγωγαῖς καὶ τὸ ὅλον ἕν, τῆς ἀνωτάτω τὸ κῦρος καθάπαξ ἐχούσης ἐν τῷ συνθήματι, ὡς ἐπὶ τῆς ἀνθρωπίνης ἔχει. συννεύει γὰρ ὁ λόγος τὰ πάντα πρὸς ἑαυτὸν καὶ λογοποιεῖ ἐλλάμπων τὰς ὑποβεβηκυίας ζωάς, καὶ διοικεῖ καὶ συνέχει τῷ σώματι ὡς ἐπὶ τῆς Ἡρακλείας λίθου, ἐξ ἧς καὶ ἀλλήλων ἤρτηνται τὰ σιδήρια. ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν μορίων, τίνα ἔχει ἕκαστον δύναμιν ἐν τῷ σώματι. εἰ γὰρ ἡ ὅλη ψυχὴ τὸ ὅλον σῶμα συνέχει, πλείους δὲ ὤφθη αὕτη τὰς δυνάμεις ἔχειν καὶ τὰ μέρη διάφορα, προσήκει καὶ τῶν μορίων ἕκαστον συνέχειν τι τῶν τοῦ σώματος μερῶν ἢ μελῶν, ὡς καί τινες τῶν πρὸ ἡμῶν διωρίσαντο διανείμαντες ἄλλοις ἄλλα μορίοις μόρια τὰ τῆς ψυχῆς τοῖς τοῦ σώματος, ὥσπερ ὁ Τίμαιος ἐν ἐγκεφάλῳ μὲν ἐγκατοικίζει τὸ λογιστικόν, τῇ δὲ καρδίᾳ τὸ θυμικόν, ἐν ἥπατι δὲ τὸ ἐπιθυμητικόν. τοῦτο δὲ ἀδύνατον· ποῖον γὰρ μέρος τοῦ σώματος ὁ νοῦς ἢ πῶς συνέξει, χαλεπὸν καὶ πλάσαι. θυμῷ μὲν γὰρ καὶ ἐπιθυμίᾳ καὶ ἄλλῳ τινί, οὗ κινουμένου κινεῖταί τι καὶ τοῦ σώματος, κἄν τις ἀληθῆ τὸν λόγον ὑπονοήσειε· νοῦς δὲ μηδενὶ προσχρώμενος ἐν τῇ ἐνεργείᾳ μορίῳ τοῦ σώματος ἅτε χωριστὸς καὶ ἀνώλεθρος πῶς συνέξει σῶμα; ἔτι δὲ μᾶλλον ἐντεῦθεν ἔσται κατάδηλον· οὐ μόνον γὰρ μορίῳ μόριον οὐκ ἀποκεκληρωμένον ἐσεῖται τῷ τῆς ψυχῆς τὸ τοῦ σώματος, ἀλλὰ καὶ πάντα ἢ καὶ τὰ πλεῖστα διὰ πάντων ἥκειν φανήσεται. τό τε γὰρ θρεπτικὸν καὶ αὐξητικόν, ἔτι δὲ καὶ αἰσθητικὸν καὶ κινητικὸν ἐν παντὶ τῷ σώματι· τούτων γὰρ καὶ πούς καὶ χεὶρ μετέχει καὶ κεφαλή· καὶ τὰ μὲν τοῖς ἐμψύχοις πᾶσι, τὰ δὲ μόνοις τοῖς ζώοις. φαίνεται γοῦν καὶ τὰ φυτὰ διαιρούμενα ζῆν, καὶ τῶν ἐντόμων ζώων διαιρουμένων σύνεστι κἀν τοῖς μορίοις ἡ αἰσθητικὴ καὶ

[illegible] ἡ οὐσίᾳ om. B 4 σχέσις, ut videtur, B 12 ἡνῶσθαι scripsi: ἑνῶσθαι libri 21 ἐξ ἧς] ἐξῆς C σιδήρια AC Philoponus: σίδηρα B 22 τῶν om. BC δύναμιν ἕκαστον AC 24 ἑκάστου A² 26 ἀλλήλοις B 27 ὁ Τίμαιος Plato Tim. cap. 31. 32 29 ἢ πῶς ὁ νοῦς A 31 κἀν C 34 ἐσεῖται sic libri τῷ τοῦ A 35 ἢ καὶ] καὶ om. AC 36 καὶ (ante αἰσθητικὸν) om. AC

κινητικὴ ψυχή, πλὴν διαφόρως ἡνωμένοις ἢ διῃρημένοις· ἐκεῖ μὲν γὰρ μία ἡ ψυχή, ὥσπερ τῷ εἴδει, οὕτω καὶ τῷ ἀριθμῷ καὶ τῇ συνεχείᾳ· νυνὶ δὲ εἴδει μὲν ταὐτὸ τοῖς τμήμασι, τῷ δὲ ἀριθμῷ συνδιέσχισται· ἑκάτερον γοῦν τῶν μορίων αἴσθησιν ἔχει καὶ κινεῖται κατὰ τόπον ἐπί τινα χρόνον. εἰ δὲ μὴ διὰ τέλους, οὐδὲν ἄτοπον· ὄργανα γὰρ οὐκ ἔχουσι τὰ ταῖς ψυχικαῖς ὑπηρετοῦντα δυνάμεσι καὶ τροφῆς εἰσαγωγὰ καὶ δεκτικὰ καὶ πεπτικά, στόμα τυχόν, κοιλίαν, ἧπαρ, οἷς τὸ ἀπορρέον τοῦ σώματος ἀνυφαίνεται, καὶ διὰ τοῦτο τὴν φύσιν οὐ σώζουσιν· ἀλλ' οὐδὲν ἧττον ἐν ἑκατέρῳ τῶν μορίων τοῦ σώματος ἅπαντα ἐνυπάρχει τὰ τῆς ψυχῆς, καὶ ὁμοειδῆ εἰσιν ἀλλήλοις τὰ διαιρεθέντα σωμάτια καὶ τῇ ὅλῃ, ἀλλήλοις μὲν ὡς οὐ χωριστὰς τὰς ψυχικὰς δυνάμεις συνούσας ἔχοντα, ἀλλὰ πάσας ὅλα, τῆς δὲ πρότερον καὶ ὅλης ψυχῆς ὡς διαιρετῆς εἰς ὁμοειδῆ. μήποτε δὲ καὶ ὁ λόγος ἔχει τι πρόσαντες· ἐπὶ μὲν γὰρ τῶν φυτῶν καί τινων ζώων, ἴσως εὐθυπορῶν προέβαινεν· ὅτε δὲ τὰς ἐν τοῖς τελειοτέροις τῶν ζώων αἰσθήσεις καὶ κινήσεις προχειριζόμεθα, μὴ μᾶλλόν τι τὸν ἐγκέφαλον ἰδίως τῶν ἄλλων ἐπαιτιώμεθα, μὴ οὐχ ἧττον ἄτοπα λέγειν δόξαιμεν. εἰ γοῦν τις διαφορὰ κἀκείνων πρὸς ταῦτα φανείη, αὕτη καὶ τοῖς ἠπορημένοις ἔσται λύσις· ἄλλως ἐπὶ τῶν φυτῶν καὶ ἑτέρως ἐπὶ τῶν ζώων καὶ τούτων ἐν τοῖς τελειοτέροις ἡ ψυχὴ ἑνοῦται τῷ σώματι. ἐκείνοις μὲν γὰρ ἡ οἰκεία ψυχὴ ὡς ὑποκειμένοις ἀμέσως ἐχρήσατο, καὶ ὅλῳ τῷ φυτῷ, ῥίζῃ καὶ στελέχεσι καὶ κλάδοις, ἰσομοίρως ἑαυτὴν ἡ φυτικὴ ψυχὴ ἐγκατέμιξε καὶ διένειμε, τοῖς ζώων δὲ σώμασι καὶ μᾶλλον τῷ ἀνθρωπίνῳ μεσότητι χρησαμένη τῷ ἐν ἐγκεφάλῳ πνεύματι· καὶ παντὶ μὲν ἐκείνῳ καὶ δι' ὅλου πάσας τὰς δυνάμεις ἐνέθετο πρώτως, δι' ἐκείνου δὲ δευτέρως μετοχετεύει τῷ σώματι δι' ὀργάνων σωματικῶν, τῶν νεύρων ἴσως, τὴν ζωήν, τὴν κίνησιν καὶ τὴν αἴσθησιν. εἴ που γοῦν ἐν τῷ μέσῳ βλαβείη τὸ πνεῦμα ἐπιπορευόμενον, τὰ ἐφεξῆς τῆς ἐνδιδομένης καὶ καταλλήλου ἐνεργείας ἀφίησιν ἔρημα, ὡς οὐ πρώτως ἐνούσης αὐτοῖς τῆς ψυχικῆς δυνάμεως. ὥστε τὰ μὲν μετὰ τοῦ ἐγκεφάλου καὶ ἃ συνέχεται τῷ πνεύματι μόρια τῶν ψυχικῶν κατακορῆ τυγχάνουσιν μεταδόσεων, τὰ δὲ διασπασθέντα νενέκρωται· διὰ ταῦτα τοῖς διαιρεθεῖσι τῶν φυτῶν ἡ ψυχὴ σύνεστιν, ἐνίοις δὲ τῶν ζώων οὔ. οὐ καινοτομοῦμεν δὲ κἂν τοῖς φυτοῖς ψυχὴν ἐνεῖναι ἰσχυριζόμενοι· τί γὰρ ἄν τις τὸ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν ὀνομάσειε; φανερὸν δὲ ὅτι καὶ ταύτης μόνης ὡς καθολικωτέρας καὶ ζῶα κοινωνεῖ καὶ φυτά, καὶ τῆς μὲν αἰσθητικῆς ἀρχῆς αὕτη χωρίζεται, οὐδὲν δὲ ταύτης ἄνευ μετέχει αἰσθήσεως.

8 ante οὐδὲν add. οὖν AC 9 σώματϊ B 12 ἔχοι A 13 ὅταν AC
16 αὐτὴ B 17 ἐν om. A 19 στελέχοις AC 21 ἐν om. C
25 τῆς om. B 26 ἑνούσης A 27 μὲν om. A 30 κἂν A τὴν ψυχὴν C

Ἀρχὴ τοῦ δευτέρου τμήματος.

III Ἐπειδὴ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ' ὅσον ἕκαστος ἀπεφήνατο τῶν πρότερον, εἴρηται σχεδόν, νῦν ὥσπερ ἐξ ὑπαρχῆς πάλιν ἐπανίωμεν πειρώμενοι διορίσαι ἀμωσγέπως, τί ἐστι ψυχὴ καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς. εἰ δὲ μὴ ὁρισμὸν εὑρεῖν εὐχερές, ὡς τοῦ φύσει προτέρου καὶ ὑστέρου ἐνόντος κἀν ταῖς ψυχαῖς. ἀλλ' ἡμῖν γε ἀρκέσει κἀν τῷ παρόντι τὸ δι' ὑπογραφῆς καὶ μετρίως ἀποδοῦναί τινα λόγον τοῖς ὁμωνύμοις κοινότατον. εὐπετὲς δ' ἂν εἴη τοῦτο, εἰ οὕτω τῇ διαιρέσει χρησαίμεθα. τῶν ὄντων τὸ μὲν οὐσία, τὸ δὲ συμβεβηκός· καὶ τοῦ συμβεβηκότος τὸ μὲν ποσόν, τὸ δὲ ποιόν, τὸ δὲ πρός τι ἢ ἄλλη τις τῶν ἀπηριθμημένων ἐννέα κατηγοριῶν. οὐκ ἂν ἕν τινι τούτων ὡς ἐν γένει εἴη ψυχή, οὐδὲ ὅλως συμβεβηκός. οὔτε γὰρ ποσόν· φθάνομεν γὰρ ἀποδεδειχότες μήτε τὸ συνεχὲς ἐπὶ ψυχῆς ἀληθεύεσθαι ἐν τοῖς διηπορημένοις πρὸς Τίμαιον μήτε τὸ διωρισμένον ἐν οἷς ἀντελέγομεν Ξενοκράτει. ποιὸν δὲ ἢ πρός τι πῶς ἂν εἴη; τὰ γὰρ αὐτὰ ἂν εἴποι τις κἀν τούτοις, ὅσα καὶ περὶ ἁρμονίας. εἰ δὲ μηδὲν τούτων, σχολῇ γ' ἂν εἴη τι τῶν ἄλλων, οἷς γένεσις ἡ μετὰ τῆς οὐσίας τουτωνὶ συμπλοκή. λείπεται τοίνυν τὴν ψυχὴν ὡς εἰς γένος ἐν τῇ οὐσίᾳ ζητεῖν. ἐπεὶ δὲ καὶ αὕτη γένος ἕν τι τοῦ ὄντος οὖσα τριττὴν ἄλλως ἐδέξατο τὴν διαίρεσιν (τὸ μὲν γὰρ αὐτῆς ὡς ὕλη, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἀρρύθμιστον ὂν καὶ ἀσύντακτον, τὸ δὲ ἕτερον τὸ εἶδος καὶ ἡ μορφή, καθ' ἣν ἤδη λέγεται τόδε τι καὶ ἕκαστον τῶν ὄντων ὀνόματος κεκοινώνηκε καὶ τῶν ἑτέρων διώρισται ὑφεστηκὸς καθ' αὑτό, καὶ τρίτον τὸ ἐκ τούτων, οἷον τὰ σύνθετα σώματα), ἐν τίνι τούτων ἡ ψυχή, καὶ ἐπεὶ οὐ τὸ σύνθετον, ποτέρῳ τῶν ἁπλῶν καὶ εἰ μᾶλλον εἶδος, ὧδ' ἔσται δῆλον. ἡ μὲν οὖν ὕλη δύναμις· οὐδὲν γάρ ἐστι τῶν εἰδῶν ἀφωρισμένως, ἀλλὰ δυνάμει πάντα· καὶ οὔτε ὕλη του τὸ ἀνεπίδεκτον ἐκείνου (οὐκ ἂν γὰρ σκευῶν κεραμικῶν ὕλη λίθοι· οὐδὲ γὰρ πέφυκεν) οὔτε τὸ μηκέτι δυνατὸν τῷ ἤδη ἐνεργείᾳ τὸ εἶδος ἔχειν· ὁ κέραμος γὰρ οὔτ' ἄλλου γένοιτ' ἂν ὕλη οὐθ' ἑαυτοῦ· ἔστι γάρ. λείπεται τὴν ἀληθινὴν καὶ πρώτην ὕλην ἐκτὸς τούτων καὶ δυνάμει ἐννοεῖσθαι. ἀλλ' ὕλη μὲν τοῦτο· τὸ δὲ εἶδος ἐντελέχεια εἴτ' οὖν τοῦ πράγματος ὡς ὑποκειμένου τελείωσις. ᾧ γὰρ ἑκάστῳ τὸ εἶναι, τοῦτο δὴ αὐτοῦ καὶ ἡ τελειότης· κατὰ δὲ τὸ εἶδος ἑκάστῳ τὸ εἶναι· ἐν τούτῳ ἄρα δὴ καὶ τὸ τέλειον. διττὸν καὶ τὸ τῆς ἐντελεχείας, τὸ μὲν ὡς ἐπιστήμη τὸ δὲ ὡς θεωρία, εἴτ' οὖν τὸ μὲν καθ' ἕξιν, ὃ καὶ χρόνῳ καὶ φύσει πρότερον, τὸ δὲ κατ' ἐνέργειαν ὕστερον. τριττὸν δὲ καὶ τὸ σῶμα, τὸ μὲν φυσικὸν ὡς λίθοι καὶ ἄνθρωποι, τὸ δὲ τεχνητὸν ὡς κλίνη καὶ ἱμάτιον· οὐ γάρ τι σῶμα ᾗ σῶμα τεχνη-

1 Ἀρχὴ—τμήματος AC: Τοῦ αὐτοῦ εἰς τὸ δεύτερον τμῆμα B 2 παρὰ] περὶ C
3 ἐπανίομεν A 6 καὶ τοῦ ὑστέρου AC 16 ἡ om. B 18 διαίρεσιν] διαιρετικὴν B 23 ὧδε δ' ἔσται AC 25 τοῦ τὸ C: τοῦτο B 26 κεραμεικῶν A
32 καὶ om. B 34 δὲ om. A

τόν· ἔτι δὲ καὶ μαθηματικὰ σώματα λέγεται τρίγωνα καὶ τετράγωνα, τὰ ἐξ ἀναλήψεως καὶ ἀφαιρέσεως τῶν αἰσθητῶν ἐν τῇ ψυχῇ συνιστάμενα. τὰ μὲν οὖν ἄλλα παρείσθω· οὐσίαι δὲ μάλιστα δοκοῦσι τὰ φυσικά· ταῦτα γὰρ καὶ τῶν ἄλλων ἀρχαί. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγω τὴν δι' αὑτοῦ τροφήν τε καὶ αὔξησιν. οὐ γὰρ ἡ πρόσθεσις αὔξησις, ἐπεὶ μηδ' ὑφ' αὑτοῦ μηδ' ἠλλοίωται, οἷον εἴ τις τῷ ἐν ἀμφορεῖ ἐπιβάλοι ὕδατι καὶ αὐξήσειεν· οὐδὲ τῷ εἰς πλεῖον τὸ πῦρ αἴρεσθαι τρέφεται, ἀλλὰ τοῦτο μὲν μᾶλλον γένεσις, τρέφεται δὲ οἷς δι' ὀργανικῶν μορίων κατὰ πᾶν μέρος ἡ τροφὴ προσφέρεται καὶ ἀλλοιουμένη προσφύεται. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δὲ οὕτως ὡς συνθετή. καὶ τὰ μὲν ἁπλᾶ σώματα ἐκ τῆς ἁπλῶς ὕλης καὶ τοῦ εἴδους εἰσί, τὰ δὲ πρὸς τούτοις καὶ ἔμψυχα ὥσπερ δεύτερα ὑποκείμενα χρηματίζουσι τῆς ἐν αὐτοῖς ἐνούσης ζωῆς εἶδος οὔσης αὐτῶν. ἄγοντες δὲ τὴν διδασκαλίαν ἀπὸ τῶν σαφεστέρων ἐπὶ τὰ δυσληπτότερα τοσαῦτα δήπουθεν προσελάβομεν. ἐπεὶ δ' ἐστὶ σῶμα καὶ τοιόνδε σῶμα τὸ ζωὴν ἔχον (σύνθετον γὰρ ἐκ ζωῆς καὶ σώματος, καὶ τὸ μὲν ὥσπερ ὑποκείμενον καὶ ὕλη, τὸ δὲ ὡς ἐν ὑποκειμένῳ καὶ οἷον εἶδος καὶ μορφή), οὐκ ἂν φθάνοιμεν διαπορῆσαι, πότερον τούτων ψυχή, καὶ ταύτην λαβόντες εἴημεν· τὴν γὰρ ἐν τῷ τοιούτῳ σώματι ζωὴν ψυχὴν εἶναι ἀνάγκη. τὸ μὲν γὰρ σῶμα πῶς ἂν εἴη ψυχή; οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου καὶ ἐν ἑτέρῳ ὄντων αὐτὸ ὂν ὑποκείμενον καὶ ὕλη. λείπεται τὴν ψυχὴν οὐσίαν εἶναι προσομολογεῖν ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. οὐσία δὲ ἡ ἐντελέχεια. τοιούτου ἄρα σώματος ἡ ψυχὴ ἐντελέχεια καὶ εἶδος. ἔτι ᾧ διαφέρει ἀλλήλων τὰ ὁμογενῆ, τοῦτο εἶδος αὐτῶν· τὰ σώματα ὄντα ὁμογενῆ διαφέρει ἀλλήλων τῷ ἐμψύχῳ καὶ ἀψύχῳ· ἡ ψυχὴ ἄρα τοῖς ἐμψύχοις εἶδος οὖσα καὶ ἐντελέχεια. διττὴ δὲ ἡ ἐντελέχεια, ὡς εἴρηται, ἡ μὲν ὡς ἐπιστήμη ἡ δὲ ὡς τὸ θεωρεῖν. φανερὸν οὖν εἶναι ἐν σώματι ἐντελέχειαν τὴν ψυχὴν ὡς ἐπιστήμην. ἐν γὰρ τῷ ὑπάρχειν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν· ἀνάλογον δὲ ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν. καὶ εἴδους δ' ἄν τις ἴδοι καὶ ἐντελεχείας ἐν τούτῳ διαφοράν· πᾶν μὲν γὰρ εἶδος ἐντελέχεια, οὐκ ἔμπαλιν δέ· ἡ γὰρ ἐνέργεια ἐντελέχεια μέν, οὐκ εἶδος δέ. καὶ πρότερον μὲν καὶ ὕστερον ἐπὶ τοῦ αὐτοῦ εἴδους ἑνὸς ὄντος οὐκ ἂν εἴποις, ἐντελέχειαν δέ. προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ μὲν ἐπιστήμη τοῦ θεωρεῖν, ἡ δὲ δύναμις τῆς ἐνεργείας. ἐν ἄλλῳ μὲν γὰρ καὶ ἄλλῳ προήγησαιτ' ἂν πολλάκις ἡ ἐνέργεια τῆς δυνάμεως, ὡς ἐν διδασκάλῳ καὶ μαθητῇ· προτέρα γὰρ ἡ τελεία τοῦ διδάσκοντος ἐνέργεια τῆς ἀτελοῦς δυνάμεως τοῦ μανθάνοντος· ἐπὶ τοῦ αὐτοῦ δὲ ἐν ταῖς ἐν γενέσει καὶ φθορᾷ οὐκ ἐγχωρεῖ φύσεσιν. ἐν οἷς καὶ τῆς ἕξεως χωρίζεται ἡ ἐνέργεια (οὐ γὰρ ἀεὶ θεωρεῖ ὁ γεωμέτρης), ἀλλ' ἐν τοῖς θείοις καὶ ἀιδίοις σύνδρομος τῇ μὲν οὐσίᾳ ἡ δύναμις, ταύτῃ δὲ ἡ ἐνέργεια, καὶ ἀλλήλων καθάπαξ ἀχώριστοι· εἰ μήπου τις κἂν

---

1 τὰ] καὶ τὰ B 2 ἀναλήσεως A[1] τῇ om. A 4 post μὲν add. δὲ A 7 ἔρεσθαι A 10 fort. συνθετὸς B 17 πότερον scripsi: ποτέρῳ libri 24 οὖσα] οὐσία AC 25 ὡς καὶ εἴρηται A 31 εἴδους C ἐντελέχεια B

τοῖς θνητοῖς πρὸς τὸ καθόλου βλέψας σύνδρομα καὶ ὧδε λέγει· ἐν γὰρ τῷ παντὶ ἕξις ἀεὶ καὶ ἐνέργεια. καὶ εἴπερ δεῖ ὡς ἐν τῷ παντὶ ὅλως ἕτερον ἑτέρου προτετιμῆσθαι, τὰ τέλεια τῶν ἀτελῶν προκέοιντο ἄν· τά τε γὰρ προακτικὰ τῶν αἰτίων κατὰ τελείαν ἐστῶτα ἐνέργειαν τὰ ὑφειμένα παράγουσιν, ἥ τε τοῦ παντὸς δημιουργία ἐκ τοῦ παντελῶς τελείου παρηγμένη συντέτακτο. τούτων οὕτως ἐχόντων ὁλοσχερώτερον ἡμεῖς τὴν ψυχὴν ὑπογράφοντες λέγομεν· ψυχή ἐστιν ἡ πρώτη ἐντελέχεια σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος· τοιοῦτον δὲ ὃ ἂν ᾖ ὀργανικόν. πρόσκειται τὸ φυσικὸν διὰ τὰ τεχνητά, τὸ δυνάμενον ζῆν διὰ τὸ τὸ ἐν ἀρχαῖς σπέρμα καὶ τὸ νεκρόν. τὸ δὲ ὀργανικὸν διὰ τὰ ἁπλᾶ καὶ φυσικά· ἦν γὰρ ἂν τῷ πυρὶ ψυχὴ ἡ θερμαντικὴ δύναμις, πρώτη οὖσα αὐτοῦ ἐντελέχεια, εἴπερ ἦν ὀργανικόν· νυνὶ δὲ ποῖα ἐν πυρὶ θερμότητος ὄργανα; ἡ γοῦν ψυχὴ ποικίλως ἐνεργοῦσα διαφόροις ὀργάνοις προσχρήσεται τοῦ σώματος· διὸ τὸ μὴ τοιοῦτον, ὁποῖον τῶν ἁπλῶν, οὐδὲ ψυχῆς μετείληφεν. ἐπεὶ δὲ διαφορὰ κἀν ταῖς ψυχαῖς, καὶ ἡ μὲν τῶν φυτῶν ἁπλουστέρα καὶ ὑφειμένη, ποικιλωτέρα δὲ ἡ αἰσθητικὴ καὶ ὑπὲρ αὐτήν, ἔτι δὲ μᾶλλον ἡ πασῶν ἀνωτάτω καὶ λογική, ἀναλογοῦσι πρὸς τὰς ἐνεργείας καὶ τοῖς σωματικοῖς ὀργάνοις προσχρήσονται. ἐντεῦθεν ἁπλούστερον μὲν καὶ ἧττον ὀργανικὸν τὸ σῶμα τῶν φυτῶν τοῦ τῶν ἀλόγων ζώων, ἧττον δὲ τοῦτο τῶν λογικῶν. ὄργανα μὲν τὰ τῶν φυτῶν μέρη τῆς φυτικῆς ψυχῆς, ἀλλὰ παντελῶς ἁπλᾶ. οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον τοῦ καρποῦ, αἱ δὲ ῥίζαι ἀναλογοῦσι τῷ στόματι· ἄμφω γὰρ ἕλκει τὴν τροφήν, ἐν μὲν τοῖς ζώοις τὸ στόμα, αἱ δὲ ῥίζαι τοῖς φυτοῖς.

Τοσαῦτα περὶ τοῦ τῆς ψυχῆς ὅρου παρεκβατικώτερον εἰπόντες, ἐπαναλαμβάνοντες καὶ ὥσπερ ἐπιδιορθούμενοι σαφέστερον ἐκτίθεμεν καὶ συνοπτικώτερον. εἰ γὰρ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ· διὸ οὐ δεῖ ζητεῖν, εἰ ἓν ἡ ψυχὴ καὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τὸν κηρὸν καὶ τὸ σχῆμα, οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ οὗ ὕλη. ὡς γὰρ ἐπὶ τοῦ σφαιρικοῦ κηροῦ οὐ ζητοῦμεν, τί τὸ ἑνῶσαν τὸ σχῆμα καὶ τὸν κηρόν, πάθους ὄντος τοῦ σχήματος ἐν τῷ κηρῷ καὶ φύσει καὶ ἀπραγματεύτως ἐγγινομένου, ὡς δὲ καὶ ἐπὶ πάσης ὕλης ἐπιτηδείας καὶ παντὸς εἴδους, οὕτω τοι κἀν τῷ σώματι καὶ τῇ φυσικῇ ψυχῇ. προστίθεμεν φυσικὴν τὴν λογικὴν ὑπεξαίροντες· εἰ δέ που καὶ συλλαμβάνοιτο καὶ εἶδος αὕτη καλοῖτο σώματος, ἀλλ' οὐχ ἡ καθ' αὑτὴν καὶ ἀπολελυμένη καὶ ἄφετος καὶ συνεστραμμένη πρὸς νοῦν. ἀλλὰ καθὸ συνδέδεται σώματι καὶ σχέσιν ἔχει. καὶ συμφθείρεσθαι δ' ἂν εἰ λέγοιτο σώματι κατὰ τοῦτο, ὥσπερ τὸ εἶδος, τῷ οἴχεσθαι τὰς πρὸς τὸ σῶμα ἐνεργείας αὐτῆς οἰχομένου σώματος, ὥσπερ τὴν ἐν

4 ἔστε et 1011. etiam δημιουργίας B 6 ὁλοσχερώτερον cf. Roeper Philol. I 661. Nauck Ab. IV 200 7 τοιοῦτον scripsi: τοιούτου libri 16 ἀναλογοῦσι C 19 ψυχῆς in mrg. add. C¹ 24 ἐκδίδομεν A 26 post διὸ add. καὶ AC 28 οὐ om. C 29 καὶ (post σχῆμα) repetit B 30 ἐπιτη A: ἐπιτήδι' C 31 τῇ φυσικῇ ψυχῇ scripsi: τῆς φυσικῆς ψυχῆς libri προτίθεμεν C 33 οὐχ ἡ] οὐχ ἢ A: οὐχὶ C ἀπολελοιμένη C 34 πρὸς τὸν νοῦν B¹ καθὼς C 35 εἰ om. C¹ σώματι om. AC τῷ] τὸ B

τῇ κιθάρᾳ παρὰ τοῦ τεχνίτου τῆς ἁρμονίας ἐγγινομένην ἐνέργειαν κατεαγεισῶν τῶν χορδῶν, οὐδὲν ἄτοπον· αὐτὴν μέντοι τὴν θεωρητικὴν αὐτῆς δύναμιν καὶ ἐνέργειαν καὶ τὴν νοερὰν οὐσίαν διεφθάρθαι λέγειν καὶ λελύσθαι σώματι, παντελῶς ἐμπλήκτων. ἔστιν οὖν ἡ ψυχὴ καὶ τὸ σῶμα ἕν, ὡς ἂν ὕλη καὶ εἶδος. ἐπεὶ δὲ τὸ ἓν καὶ τὸ εἶναι πλεοναχῶς λέγεται (ἢ γὰρ τῷ γένει ἢ τῷ εἴδει ἢ ἀριθμῷ ἢ δεσμῷ ἢ κόλλῃ, καὶ ὅσα ἄλλα ἐν τοῖς πρώτοις διωρισάμεθα, καὶ τὸ εἶναι δὲ καὶ τὸ ὂν ἢ δυνάμει ἢ ἐνεργείᾳ), τὸ κράτιστον ἐν τούτοις καὶ τελεώτατον ἡ ἐντελέχειά ἐστι. καθόλου μὲν οὖν καὶ ὡς ἐν κεφαλαίῳ εἰπεῖν εἴρηται, τί ἐστι ψυχή· οἱ γὰρ ὁρισμοὶ ὁλοσχερώτερον καὶ συνοπτικώτερον ἐδήλουν τὴν φύσιν αὐτῆς, ὅτι οὐσία ἡ κατὰ τὸν λόγον. τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ σώματι. τοῦτο δὲ εἶδος σώματος φυσικοῦ ὀργανικοῦ δυναμένου ζῆν. εἰ δὲ δεῖ που διὰ τὸ σαφὲς καὶ ὑποδείγμασι χρήσασθαι, διπλᾶ προσθήσομεν, ἵν' ᾖ καὶ φιλότιμον, τὸ μὲν τεχνικὸν καὶ ἐξ ἀναλογίας, τὸ δὲ φυσικὸν καὶ ψυχῆς ἐγγύτερον. ὥσπερ γὰρ εἰ ἦν ὁτιοῦν τῶν ὀργάνων φυσικὸν σῶμα οἴκοθεν ἐνεργοῦν καὶ μὴ ὡς νῦν τῷ τεχνίτῃ, οἷον ὁ πρίων, ἦν ἂν τὸ πρίονι εἶναι εἴτ' οὖν τὸ τοιῶσδε δύνασθαι τέμνειν καὶ ἐνεργεῖν ἡ οὐσία αὐτοῦ καὶ ἡ ψυχὴ τοῦτο, ἧς ἀπελθούσης ἀργὰ ἂν ἄλλως καὶ νεκρὰ τὰ καταλελειμμένα, ξύλον τοιόνδε καὶ σίδηρος ἔμελλε λείπεσθαι καὶ οὐκέτ' ἂν ἦν πρίων ἀλλ' ἢ ὁμωνύμως, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς καὶ τοῦ σώματος· ὃ δὲ ἀνομοιοῖ τὸ παράδειγμα, ὅτι νῦν ὁ πρίων καὶ ψυχὴν οὐκ ἔχων καὶ μὴ ἐνεργῶν οὐδὲν ἧττόν ἐστι πρίων καὶ [οὐ] συνωνύμως, ζῶον δὲ οὐδαμῶς ψυχῆς ἀπολιπούσης. τοῦτο δέ, ὅτιπερ ἐκεῖνος οὐ φυσικὸν οὐδὲ κινούμενον ἐξ αὑτοῦ· οὐκ ἔστι δὲ τοιούτου σώματος ἡ ψυχὴ τὸ τί ἦν εἶναι καὶ λόγος, ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος κινήσεως καὶ στάσεως ἀρχὴν ἐν ἑαυτῷ· ὁ δὲ πέλεκυς ἢ πέλεκυς κινεῖται οὐκ ἐξ αὑτοῦ, ἀλλ' ἔξωθεν τῷ χρωμένῳ, ὡς καὶ πάντα τὰ τεχνητὰ ἀρχὴν ἔχοντα καὶ στάσεως καὶ κινήσεως, οὐκ ἐν αὐτοῖς μέντοι, ἐν τοῖς δημιουργήμασι δὲ ἢ ἐν τοῖς κινοῦσι. καὶ τοῦτο μὲν τοιοῦτον· τὸ δὲ ἕτερον (δεῖ γὰρ σκοπεῖν καὶ ἐπὶ τῶν μερῶν, ἔχοι γὰρ ἂν οὕτω κατά τι τὸ καθόλου)· εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῶον αὐτὸς καθ' αὑτὸν δίχα τοῦ προσκεῖσθαι τῇ ὁλομελείᾳ τοῦ σώματος, ἦν ἂν τούτου ψυχὴ ἡ ὄψις καὶ ἡ ὁρατικὴ δύναμις καὶ ἐνέργεια· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ λόγον. ὁ γὰρ ὀφθαλμὸς αὐτός, τὸ ὑγρόν, τὸ λευκόν, οἱ διάφοροι χιτῶνες ὕλη ὄψεως, ἡ δ' ὄψις καὶ ἡ ὅρασις εἶδος καὶ οὐσία, ἧς ἀπολιπούσης οὐκέτι ὀφθαλμὸς ἔσται· οὐ γὰρ ποιήσει τὰ ἑαυτοῦ· οὐκ ὄψεται γάρ. εἰ δὲ καλοῖτο, ὁμωνύμως ἂν καλοῖτο καὶ οὐ κυρίως, ὡς ἂν εἰ καὶ τὸν λίθινον ὀφθαλμὸν φαῖμεν ἢ τὸν ἐν χρώμασιν. οὕτω τοι καὶ χεὶρ καὶ ποὺς καὶ εἴ τι ἄλλο μέρος τοῦ σώματος, ὅταν μὴ τὴν οἰκείαν καθ' ἣν ἐστιν ἐνέργειαν ἀποδίδωσιν, ἢ οὐδὲ κοινωνήσειε τοῦ ὀνόματος ἢ οὐ κυρίως. ὃ οὖν ἐπὶ ἑνὸς μέρους, τοῦτο δεῖ λαβεῖν καὶ ἐπὶ ὅλου τοῦ ζῶντος σώματος·

1 τῇ om. A¹ κατεαγεισῶν scripsi: κατεαγουσῶν libri 5 τῷ ante εἴδει om. AC 6 ἐν τοῖς πρώτοις] Metaph. Δ, 6. 7 1,1 7 τῷ εἶναι C 9 ὁλοσχερέστερον B 10 αὐτῇ AC 14 ὁτιοῦν AC 21 οὐ delevi ἀπολειπούσης AC 23 καὶ ὁ λόγος A 27 μὲν] μέντοι B 29 ὁ om. C 31 κατὰ τὸν λόγον A 33 ἀπολειπούσης AC 35 φαῖμεν ὀφθαλμὸν AC

ἀνάλογον γὰρ ἔχει ὡς τὸ μέρος πρὸς τὸ μέρος. ἡ ὅλη αἴσθησις πρὸς ὅλον τὸ αἰσθητικὸν ᾗ τοιοῦτον. ἐπεὶ γὰρ τῶν αἰσθητηρίων ἕκαστον κατά τινα τῆς ψυχῆς αἰσθητικὴν χαρακτηρίζεται δύναμιν, ἐξαιρουμένης τῆς ἁφῆς δι' ὅλου ἡκούσης τοῦ σώματος, ὡς ἂν ἑκάστη αἴσθησις πρὸς τὸ ὑποκείμενον αὐτῇ αἰσθητήριον ἔχοι, οὕτως ἡ ὅλη ψυχὴ πρὸς ὅλον τὸ σῶμα ἕξει, καθὸ αἰσθητικόν· οὐ γάρ, καθὸ βαρὺ ἢ κοῦφον ἢ τοσόνδε ἐστὶν ἢ τοιόνδε χρῶμα ἢ σχῆμα ἔχει ἢ ποῦ ὂν ἢ ποτέ, εἰδοποιεῖται ὑπὸ ψυχῆς, ἀλλὰ καθὸ φυσικὸν δυνάμει ζωὴν ἔχον. ἔστι δὲ τὸ δυνάμει ὂν σῶμα ὥστε ζῆν οὔτε τὸ πρότερον ἔχον ψυχὴν καὶ ἀποβεβληκὸς νῦν, ὥσπερ τὸ νεκρωθέν, οὔτε τὸ κατ' ἐπιτηδειότητα δυνατόν, μήπω δέ, ὥσπερ τὸ σπέρμα καὶ ὁ καρπός, ἀλλὰ τὸ ἤδη ἔχον ζωὴν καὶ ἐνεργόν, ὡς τὰ τῶν ζώων σώματα. ἀπορήσειε δ' ἄν τις, πῶς δυνάμει τὸ ἐνεργείᾳ ζῶν. λέγομεν δέ, ὥσπερ ὁ ὀφθαλμὸς δυνάμει ἐστὶν ὁρατικὸς αὐτὸς καθ' ἑαυτόν, οὐχ ὁρᾷ δὲ ἐνεργείᾳ ἄνευ τῆς τοῦ φωτὸς ἐλλάμψεως, καὶ εἴ τις δὲ ὁρῶντος ἐνεργείᾳ τοῦ ὀφθαλμοῦ λέγει ὁρατικὸν εἶναι δυνάμει, ἀληθεύει (αὐτὸς γὰρ κατὰ τὴν ἑαυτοῦ οὐσίαν μόνην τὴν εἰς τὸ ὁρᾶν ἔχει ἐπιτηδειότητα, τῆς ἐνεργείας ἐξ ἑτέρου τοῦ φωτὸς παραγινομένης), οὕτω τοι καὶ ἐπὶ τοῦ ὅλου σώματος καὶ τῆς ψυχῆς αὐτὸ μὲν τὸ σῶμα, ὅσον ἀφ' ἑαυτοῦ, τὴν ἐπιτηδειότητα μόνην ἔχει, ἡ μέντοι κατ' ἐνέργειαν ζωὴ ὡς τελείῳ ὀργάνῳ ἐκ τῆς ψυχῆς παραγίνεται. ἐπεὶ δὲ διττὴν ἄνω τὴν ἐντελέχειαν ἐμανθάνομεν, τὸ μὲν αὐτῆς ἕξιν τὸ δὲ ἐνέργειαν ὀνομάζοντες, ἄμφω δὲ τῷ σώματι, καὶ ὕπνος καὶ αἴσθησις, ψυχῆς ἐνούσης ἐγγίνεται, εἴη ἂν ὡς μὲν ἐκεῖ ἡ πρίσις καὶ ἡ ὅρασις ἐντελέχειαι κατ' ἐνέργειαν, ἡ μὲν τοῦ πρίονος ἡ δὲ τοῦ ὀφθαλμοῦ, οὕτως ὧδε ἡ ἐγρήγορσις ἐντελέχεια· ὡς δ' αὖ ἡ ὄψις καὶ ἡ δύναμις τῆς εὐκαίρου χρείας τοῦ ὀργάνου κατὰ δύναμιν ἐκεῖ, οὕτως ἐν τῷ σώματι ὧδε τῷ δυνάμει ὄντι ἡ ψυχή· καὶ ὥσπερ ὁ ὀφθαλμὸς οὐχ ἡ κόρη μόνη μετὰ τῶν χιτώνων καὶ ὑγρῶν ἐστιν οὐδ' αὖ ἡ ὄψις μόνη, ἀλλ' ὁμοῦ τὸ ἅπαν ὁ ὀφθαλμός, οὕτως ἡ ψυχὴ καὶ τὸ σῶμα οὐδὲν ἀνὰ μέρος ζῶον, ἀλλὰ τὸ συνάμφω. τούτων οὕτω διωρισμένων οὐκ ἄδηλον ὡς ἤτοι μέρη τῆς ψυχῆς τῆς ἐν θνητοῖς ζώοις ἢ καὶ ὅλη, εἰ μὴ μεριστή, οὐκ ἔστι χωριστὴ τοῦ σώματος, οὗ ἐστι ψυχή. ἔνια γὰρ τῶν τῆς ψυχῆς μορίων ἐντελέχειαι αὐτῶν τῶν μερῶν ἐστι τοῦ σώματος· ἡ γὰρ θρεπτικὴ δύναμις αὐτοῦ τοῦ τρεφομένου ἐστὶ τελειότης σώματος, ὁμοίως καὶ ἡ αὐξητικὴ καὶ ἡ γεννητική. ἔτι μέντοι καὶ ἡ αἰσθητικὴ αἰσθητηρίου τινὸς τυγχάνει τελείωσις, καὶ τὸ ὀρεκτικὸν αὐτὸ συνέχει τι μόριον σώματος. εἰ οὖν οὕτω ταῦτα καὶ τελειωτικά πώς εἰσιν, οὐκ ἂν χωρισθήσονται. τί δὲ καὶ χωρισθέντα ἐνεργήσουσιν; τί γὰρ ἡ θρέψις θρέψει ἢ αὐξήσει ἡ αὔξησις ἢ ἡ αἴσθησις αἰσθανθήσεται; ἀλλ' ὥσπερ ταῦτα καὶ τὰ τούτοις ὅμοια, ὧν αἱ ἐνέργειαι ἀχώριστοι καὶ εἴδη τῶν ὑποκειμένων τυγχάνει καὶ τελειότητες, ἀχώριστά εἰσι σώματος, οὕτως οὐδὲν κωλύει ἔνια χωριστὰ εἶναι, οἷον ἴσως τὸν νοῦν αὐτόν, ὅ τί ποτε καὶ ἔστι, τὴν θεωρητικὴν καὶ οὐσιώδη δύναμιν καὶ ἐνέργειαν. οὐ γὰρ δοκεῖ γε οὗτος σώματος ἐντελέχεια οὐδενὸς οὐδὲ καθάπαξ

1 πρὸς τὸ ὅλον A 9 ἐπιτηδειότητος A 17 ἀφ' ἑαυτοῦ] ἐφ' ἑαυτῷ Philoponus 22 ἐντελέχεια A 28 τοῖς ἐν C 30 ἐντελέχεια A 36 ἡ om. AC 38 σώματα B

μεμῖχθαι σώματι. μὴ καὶ δοκῶμεν ἀφιλοσόφως τῷ λόγῳ προσφέρεσθαι καὶ τὴν σκιὰν αὐτῶν ὃ λέγεται δεδοικότες, τῇ λογικῇ ψυχῇ οὐχ ὁλοτελῶς αὐτόθεν ἀποφαινόμενοι τὸ ἀθάνατον. ἀλλὰ δειλιῶμεν καὶ ἐνδοιάζωμεν τῷ τῆς ἐντελεχείας ὀνόματι προστριβόμενοι. τὸ δέ ἐστιν ἄδηλον, εἰ μᾶλλον οὕτως ἡ ἀν-
5 θρωπίνη ψυχὴ ἐντελέχεια σώματος, ὥσπερ ὁ πλωτὴρ τοῦ πλοίου, ἢ ὥσπερ ἐλέγετο πρότερον. καὶ τῶν μὲν ἐνεργειῶν, αἷς ἐπὶ τῶν οἰάκων καθημένη τοῦ σώματος διῴκει τοῦτο καὶ χειμαζόμενον συνεῖχεν, ἀπολυθεῖσα τοῦ βυθοῦ τῆς γενέσεως παύσαιτο, αὐτὴ δὲ ἔσται πρὸς αὐτὴν ἄσχετος καὶ ἀπόλυτος, ἑστῶσα ἐν ἀκυμάντῳ λιμένι γαληνιῶσα, θεωροῦσα τὸ ὂν ἐν αἰῶνι τὴν οὐσίαν
10 ἔχουσα καὶ τὴν νόησιν. ὡς μὲν οὖν εἰπεῖν τύπῳ περὶ πάσης ψυχῆς εἰρήσθω τὸν τρόπον τοῦτον.

Πειρατέον δὲ οὕτω γε πάλιν ἐπελθεῖν περὶ αὐτῆς. διδασκαλικώτερον δὲ II 2
τὴν τῆς ψυχῆς ἱστορίαν μετιόντες καὶ δήπου τοῖς διδασκαλικοῖς τῶν τρόπων ἑπόμενοι (τὸ δὲ ἄρχεσθαι ἐκ τῶν ἀσαφῶν μὲν τῇ φύσει, φανερωτέρων δὲ
15 ἡμῖν· τοῦτο γὰρ σαφὲς καὶ κατὰ τὸν λόγον γνωριμώτερον γίνεται) τοῦ διότι τὸ ὅτι προεκτεθείκαμεν. ὅτι μὲν γάρ ἐστι ψυχὴ δεδειγμένον ἔχομεν· ἐντελέχεια γὰρ σώματος φυσικοῦ ὀργανικοῦ· διότι δὲ καὶ ὅπως ἐντελέχεια, λείπεται προσεξετάζειν τοῖς ἐφεξῆς. οὐ γὰρ μόνον τὸ ὅτι δεῖ ἔχειν τὸν ὁριστικὸν λόγον, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων ἔχουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ὑπάρχειν
20 δεῖ. τοῖς δυσὶ δὲ τούτοις κἀκεῖνα τὰ τέτταρα τῶν προβλημάτων ὑπάγεται, εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι· τά τε γὰρ πρῶτα τρία ὡς περὶ τὴν τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ στρεφόμενα εὕρεσιν τῷ ὅτι περιελήφθησαν, ταὐτὸν δὲ τῷ διότι τὸ διὰ τί ἐστι τὸ τάξει τελευταῖον καὶ ἔσχατον. οὐχ ὥσπερ δὲ τὸ ὅτι διὰ τοῦ βραχυτάτου ἐνδειξάμενοι ἀπηλλάγημεν. οὕτω καὶ
25 περὶ τοῦ διότι ὀλίγα εἰπόντες ἀρκέσομεν· ἀλλ' εἰ καὶ ἐν ὅλοις τοῖς ἐφεξῆς δυσὶ βιβλίοις περὶ αὐτοῦ πραγματευομένοις γένοιτό τι διαλαβεῖν ἱκανόν, ἀγαπᾶν χρή. εἰ γὰρ τὴν ὅλην ψυχὴν ἑρμηνεῦσαι δεῖ, ὅπως ὅλου τοῦ σώματος ἐντελέχεια, καὶ ὅπως τὰ μέρη τῶν μερῶν, πρότερον δεῖ. εἰ δὲ ταῦτα τριττά, τὰ μὲν λογικὰ τὰ δὲ αἰσθητικὰ τὰ δὲ φυτικά, δεήσει περὶ τοῦ καθ' ἕκαστον
30 ἰδίως ἐπελθεῖν· καὶ πρῶτον περὶ τῶν φυτικῶν, τί θρεπτικὸν καὶ τίνων καὶ ὅπως, καὶ πρὸ τούτων τί τὸ τρέφον, τί τὸ γεννητικὸν καὶ τίνων καὶ διὰ τί· οὕτω καὶ περὶ τοῦ αὐξητικοῦ. εἶτα ὁ τῶν αἰσθήσεων καὶ αἰσθητηρίων ἀνακύψει λόγος διεξιόντων, πῶς καὶ τούτων ἡ ψυχὴ ἐντελέχεια, ὑπὲρ ὧν ὅσον μὲν ἐργῶδες καὶ σαφὲς καὶ δι' ὀλίγων εἰπεῖν, προϊοῦσι γνωσθήσεται· αἵ τε
35 λογικαὶ δυνάμεις ὅλον τὸ τρίτον καὶ τελευταῖον τοῦ συντάγματος ἰδιώσαντο. καὶ ὡς πρὸς μὲν τὴν διδασκαλίαν, ὥσπερ εἴρηται, καὶ τὴν τῆς γνώσεως ἀναγωγὴν ἀρίστη τάξις ἡ ἀπὸ τῶν σαφεστέρων καὶ συντρόφων τῇ αἰσθήσει ἐπὶ

1 δοκοῦμεν A 2 αὐτῶν scripsi: αὐτῶν libri 3 ἐνδοιάζωμεν scripsi: ἐνδοιάζομεν libri 6 καθήμενος B: καθημένου C 8 αὕτη A² 10 οὖν om. B 12 δὲ om. A ἐπελθεῖν πάλιν AC 13 τὸν τρόπον B 15 post ἡμῖν fort. intercidit μάλιστα διδασκαλικόν ἡμῖν τοῦτο [γὰρ] σαφὲς Diels 16 δεδεγμένον A¹ 18 τοῖς] τῆς A¹ 23 τῷ διὰ τί B 32 ἀνακύπτει C² 35 ἰδιάσαντο A

τὰ δυσληπτότερα προοδεύουσα· ἐπεὶ ἄλλως γε τίς οὐκ οἶδεν ἐν τῷ παντὶ
προηγεῖσθαι μὲν τὰ τέλεια τῶν ἀτελῶν καὶ τὰ ἀρχηγικώτερα καὶ μᾶλλον αἴτια
τῶν ἐκεῖθεν ἠρτημένων: οὐκοῦν πρότερον νοῦς, εἶτα αἴσθησις, εἶτα φυτικόν, ἃ
τοῖς ζώοις ἀνάπαλιν συντετάχαται. οὕτω κἂν τὸ διότι τοῦ ὅτι πρότερον λέ-
5 γοιτ' ἂν ἐν τοῖς τῆς φύσεως λόγοις· ὧν γὰρ ἐκείνη ποιεῖ, τοὺς λόγους, καθ'
οὓς, φθάνει προαποκειμένους ἔχουσα· τύχῃ γὰρ καὶ αὐτόματον πρὸς τὴν φύσιν
ἀντιδιέσταλται. δεῖ δὲ μὴ λανθάνειν καὶ καθ' ὅσους τρόπους τὸ σαφὲς καὶ τὸ
ἀσαφὲς ἡμῖν ἐκλαμβάνεται. ἔστι μὲν γὰρ τὸ καθόλου καὶ συγκεχυμένον, ὡς
ἐν τῇ Φυσικῇ λέγεται, τοῦ μερικοῦ καὶ διηρθρωμένου μᾶλλον γνωριμώτερον
10 ἡμῖν καὶ σαφέστερον, οἷον τὸ ἁπλῶς εἰδέναι σῶμα τοῦ ὅτι τοιόνδε, οἷον οὐράνιον ἢ ἐπίγειον καὶ τοίως ἢ τοιῶσδε κέκραται, καὶ τὸ ἁπλῶς ζῶον τοῦ τοιοῦδε. ἔτι σαφέστερον καὶ τὸ τῇ αἰσθήσει πρῶτον, ὕστερον δὲ τῇ φύσει, ὡς τὰ μερικὰ τῶν καθόλου καὶ τὰ κατὰ σύνθεσιν τῶν ἁπλῶν· καὶ τρίτον τὸ ὅτι τοῦ διότι. καὶ γὰρ ὅτι ἔχομεν ψυχὴν καὶ ὅτι ἀθάνατος εὐχερέστερον τοῖς πολλοῖς
15 εἰδέναι, παρακολουθήσαι δὲ τῷ ταῦτα κατασκευάζοντι λόγῳ ἔστιν οἷς καὶ τῶν ὑπὲρ τοὺς πολλοὺς ἐργωδέστατον. τούτων οὕτω διαιτηθέντων πάλιν ἐπαναλαβόντες λέγομεν, ὡς δεῖ τῷ ὅρῳ προσκεῖσθαι καὶ τὴν αἰτίαν τοῦ πράγματος καὶ μὴ ὥσπερ νῦν οἱ πλεῖστοι τῶν ὅρων ἔχουσιν· ὥσπερ γὰρ συμπεράσματα τὸ ὅλον οἱ λόγοι τῶν ὅρων εἰσὶ καὶ πλέον οὐδέν. λαμβανομένων γὰρ τῶν ὅρων
20 τῶν μὲν ἐκ τῆς ὕλης, ὡς κἂν ταῖς ἀρχαῖς διωρίσθη, τῶν δὲ ἐκ τοῦ εἴδους τῶν δὲ ἐκ τοῦ συναμφοτέρου κρείττων μὲν τοῦ ἐξ ὕλης ὁ εἰδικός (τελεώτερος γὰρ διὰ τὴν αἰτίαν), κρείττων δ' ἀμφοτέρων ὁ ἐξ ἀμφοῖν· τελεώτατος γάρ, τό τε πρᾶγμα ἔχων καὶ τὴν αἰτίαν αὐτοῦ. μεταγόμενοι δὲ πρὸς συλλογισμὸν ὁ μὲν ἔσται συμπέρασμα, ὁ δὲ μέσος ὅρος, ὁ δὲ παρὰ τοσοῦτον συλλογισμὸς
25 τέλειος καὶ αὐτάρκης ἀπόδειξις, παρ' ὅσον τῇ θέσει παρήλλακται. ἄλλως γὰρ ὁρᾷ ἑνὸς ὁ ὅρος συνείρεται καὶ ἑτέρως ἡ ἀπόδειξις ἐκδιαλελυμένων τῇ ἐκθέσει τῶν ὅρων ἐν τῷ συλλογισμῷ πλέκεται, ἥ τε τάξις τῆς ἀγωγῆς ἑτέρα. σαφηνεῖ δὲ τεθὲν τὸ παράδειγμα· θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. οὗτος ἐκ τοῦ συνάμφω· ὃν εἰ διαλύσαιμεν, ὁ μὲν ἔσται
30 ὕλης, ζέσις τοῦ περὶ καρδίαν αἵματος, ὁ δὲ μόνον εἶδος, θυμός ἐστιν ὄρεξις ἀντιλυπήσεως. συλλογιζομένων δὲ οὕτω θέσεως ἕξουσιν· ὁ θυμούμενος ὀρέγεται ἀντιλυπῆσαι. τοῦ τοιούτου δὲ ζεῖ τὸ περὶ καρδίαν αἷμα· τοῦ θυμουμένου ἄρα ζεῖ τὸ περὶ καρδίαν αἷμα. ὅλος μὲν ὁ συλλογισμὸς ὅρος καὶ ἀπόδειξις, τῶν μερῶν δὲ ὁ μὲν μέσος ὁρισμός, ὃν ἐξ αἰτίας καὶ εἴδους ἐλέγομεν, ὁ ἐξ
35 ὕλης δὲ τὸ συμπέρασμα. καὶ καθόλου δέ, ὡς κἂν τοῖς Ἀναλυτικοῖς λέγεται, πᾶς ὅρος ἢ ἀπόδειξις θέσει διαφέρουσα ἢ ἀρχὴ ἀποδείξεως, εἰ μέσος καὶ αἴτιος, ἢ συμπέρασμα ἀποδείξεως, εἴπερ ὕλη καὶ ὑποκείμενον. οὕτω δὲ σαθρῶς

1 εἶδεν C 2 μᾶλλον αἴτια] αἰτιώτερα A 3 φυτικόν scripsi: φυτόν libri
4 ἀναπλοῦν τετάχαται B κἂν scripsi: κἀν libri 9 ἐν τῇ Φυσικῇ] Phys. A, 1 p. 184ᵃ21 10 σαφέστατον A 14 διότι] διόλου B 16 διατηθέντων B
21 τελεώτερον A¹ 22 ἀμφότερον A 25 παρήλλεκται C 26 συνείρηται A
30 τῆς ὕλης AC εἶδος] an εἴδους? 33 σύλλογος B ἀπόδεξις B
35 δὲ (post καθόλου) om. AC κἂν A κἀν τοῖς Ἀναλυτικοῖς] Anal. post. B, 10 p. 94ᵃ11

ἔχει καὶ τοῖς ἐκείνως ὁριζομένοις. τί ἐστι τετραγωνισμός. τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον· οὗτος γὰρ ἐκ μόνης τῆς ὅλης ὢν συμπέρασμά ἐστι τῆς ὅλης ἀποδείξεως. ἀλλ' ὁ λέγων, τί ἐστι τετραγωνισμός, ὅτι μέσης εὕρεσις. τούτου μὲν κρείττων. ὅτι τοῦ πράγματος λέγει τὸ αἴτιον. χρείων δὲ
5 τοῦ συνάμφω καὶ τῆς τελείας ἀποδείξεως, οἷον τετραγωνισμός ἐστι τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον ποιῆσαι δι' εὕρεσιν μέσης ἀνάλογον. καὶ τέλειος μὲν ὅρος τοῦτο. ἀποδείξις δὲ ὁ αὐτὸς οὕτως· ὁ τετραγωνίσαι βουλόμενος μέσην ἀνάλογον ζητεῖ εὑρεῖν· ἡ μέση εὑρεθεῖσα ἴσον ἑτερομήκει ὀρθογώνιον καὶ ἰσόπλευρον ποιεῖ· ὁ ἄρα τετραγωνίζων ἴσον ἑτερομήκει ὀρθογώνιον καὶ ἰσό-
10 πλευρον ποιεῖ. ἡμεῖς δ' ἂν τοῦτο καὶ πρῶτον ἐθήκαμεν τὸ παράδειγμα καὶ μόνῳ ἠρκέσθημεν ἀκριβοῦντι τὴν τῶν κειμένων διάνοιαν, εἰ μὴ ἐκεῖνο δήπουθεν εὐλαβήθημεν θορυβῆσαι καὶ ξενοφωνῆσαι τοῖς ἀγεωμετρήτως ἡμῖν ἐντυγχάνουσιν· ὅθεν τῷ θυμῷ τὸν τάραχόν πως προκαταστέλλομεν. ἔτι δὲ καὶ ταῖς ἐπαγωγαῖς ἐπάσαντες διαλυσόμεθα τέλεον. ἔστι δὲ τετράγωνον μὲν
15 ὁ ἰσόπλευρόν τέ ἐστι καὶ ὀρθογώνιον. ἑτερόμηκες δὲ ὁ τετράπλευρον μὲν καὶ ὀρθογώνιον, οὐκ ἰσόπλευρον δέ. πλευρὰ δὲ ἐν τούτοις ἐπὶ πλευρὰν πολλαπλασιασθεῖσα, ἡ πλάγιος πρὸς τὴν κατ' εὐθεῖαν, τὸ ὅλον γίνεται. οἱ γοῦν τὸ ἑτερόμηκες τετραγωνίσαι βουλόμενοι μέσην ἀνάλογον ζητοῦσι· καὶ ἐπεὶ ἑτερόμηκές ἐστι τὸ τὰς ἀπαντικρὺ πλευρὰς ἴσας ἀλλήλαις ἔχον. ἀνίσους δὲ πρὸς
20 τὰς ἑτέρας καὶ θέσει διαφόρους, εἰ τὰς μὲν αὐτοῦ ἀνὰ ἡ πηχῶν φέρε θήσομεν τὰς δὲ ἀνὰ β', τὴν μέσην τῶν η' καὶ β' εὑρεθεῖσαν ἀνάλογον εὐθεῖαν ἐκείνην εἶναι τὴν μέσην ὑποληπτέον, ἣν ζητοῦμεν. αὕτη δὲ τὰ δ'· ὡς γὰρ τὰ δ' πρὸς τὰ η', τὰ β' πρὸς τὰ δ'. τὸ γοῦν ἀπὸ ταύτης ἀναγραφὲν τετράγωνον ἴσον ἔσται τῷ προρρηθέντι ἑτερομήκει. ὃς γὰρ η' ις'· οὕτω γὰρ
25 ἐκείνῳ αἱ πλευραὶ εἶχον· καὶ τετράκις δ' ις'. ὅπερ ἦν τὸ ἐκ τῆς ἀνάλογου τετράγωνον. ἀλλ' αὕτη μὲν ἡ ἀναλογία ἐν διπλασίονι λόγῳ· ἐν ἡμιολίῳ δὲ οὕτω. τετράκις θ' λς'· τοῦτο ἑτερόμηκες. μέσος δὲ ἀνάλογος τῶν θ' καὶ δ' ὁ γ'· ἐλήφθη γὰρ ἀπὸ μὲν τῶν δ' τὸ ἥμισυ, ἀπὸ δὲ τῶν θ' τὸ τρίτον, καὶ συγκραθέντα πρὸς ἄλληλα τὸν ς' πεποιήκασι μέσον ὄντα καὶ ἀνάλογον. ὅταν γὰρ
30 τρεῖς ἀριθμοὶ ἀνάλογοι ὦσι, τὸ ἀπὸ τῶν ἄκρων ἴσον ἔσται τῷ ἀπὸ τοῦ μέσου.

Τοσαῦτα παρειπόντες διὰ σαφήνειαν πάλιν ἐπανιόντες λέγομεν. τὴν ἀρχὴν ἐντεῦθεν τῆς σκέψεως ποιησάμενοι. τὸ ψυχὴν ἔχον σῶμα πρὸς τὸ μὴ ἔχον οὐκ ἄλλῳ ἢ τῷ ζῆν διορίζομεν. τὸ δὲ ζῆν εἰς πλείω τὸν ἀριθμὸν βλέψαντες εἴποιμεν· κἂν εἰ μόνον ἓν ὑπάρχει τι τούτων, ζῆν αὐτὸ λέγομεν. καὶ γὰρ
35 ζωαὶ καὶ αἴσθησις καὶ νοῦς καὶ ἡ κατὰ τόπον κίνησις καὶ στάσις, ἔτι δὲ καὶ ἡ κατὰ τὸ τρέφειν καὶ αὐξάνεσθαι καὶ φθίνειν κίνησις· διὸ καὶ τὰ φυόμενα πάντα ζωῆς τινος δοκεῖ μετέχειν· αὐτὰ γὰρ ἐν αὐτοῖς φαίνεται τοιαύτην δύναμιν ἔχοντα καὶ ἀρχήν, δι' ἧς αὔξησίν τε λαμβάνει καὶ φθίσιν κατὰ τοὺς

1 ἐκείνοις A[1] 6 ὀρθογώνιον ποιῆσαι AC Philoponus: post ὀρθογώνιον add. ἰσότητα B 9 ὁ ἄρα—ποιεῖ (10) in mrg. add. B 12 ἡμῖν] ὑμῶν C 14 τέλειον A 17 fort. πλαγία B 25 ἐκεῖναι B τετράκις scripsi: τέτραϊ libri 30 ἀπὸ τῶν scripsi: ὑπὸ τῶν libri τῷ] τὸ C 33 ἢ τὸ ζῆν A 34 κἂν AC 35 αἰσθήσεις B 36 post τὰ add. μὲν B 37 αὐτοῖς scripsi: αὐτοῖς libri

ἐναντίους τόπους. οὐ γὰρ ἄνω μὲν τρέφεται, κάτω δ' οὔ, ἀλλὰ καὶ κάτω καὶ ἄνω καὶ πάντῃ. τούτῳ γὰρ τὴν πρόσθεσιν τῆς αὐξήσεως διεστέλλομεν, ὅτι ἡ μὲν εἰς πᾶν τὸ σῶμα καὶ κατὰ πάσας τὰς διαστάσεις, ἡ δὲ ἐν μέρει καὶ ἐφ' ἑνί. ὥσπερ ἐν τῷ σωρῷ ἐπιβαλὼν σῖτον ἕτερον οὐχ ἅπαντα ηὔξησας, ἀλλ' ἐκεῖνο τὸ μέρος τὸ δεδεγμένον τὴν πρόσθεσιν. ταῦτά τε οὖν ἐν τοῖς φυτοῖς ὁρᾶται· τρέφεται γὰρ καὶ διὰ τέλους ζῇ, ἕως ἂν δύναται λαμβάνειν τροφήν. δύναται δὲ τὸ θρεπτικὸν τῶν ἄλλων χωρίζεσθαι καὶ καθ' αὑτὸ εἶναι, ὡς ἐν τοῖς φυτοῖς ὁρᾶται, αἰσθήσεως ἀμοιροῦσι καὶ λόγου· τούτου δὲ τἆλλα χωρισθῆναι καὶ ταῦτα ἐν τοῖς θνητοῖς ἀδύνατον. ἐπὶ μὲν γὰρ τοῖς θείοις ἴσως καὶ ἄχρηστος παντάπασιν ἡ θρεπτικὴ δύναμις μὴ οὔσης αὐξήσεως ἢ μειώσεως· ἀπροσδεᾶ γὰρ ἐκεῖνα καὶ θνητῆς πάσης δυσχερείας ἀνώτερα. ἀνθρώποις δὲ καὶ ἀλόγοις καὶ πρὸ τούτων φυτοῖς, οἷς πολλῶν ἐπιδεᾶ, καὶ τὸ τῆς τροφῆς διὰ τὴν ῥοὴν καὶ ἀπορροὴν αὐτόθεν ἀναγκαιότατον, προσαναφαῖνον τὸ ἀπορρεῦσαν ἐν σώματι κἂν τῇ ὅλῃ πασχούσῃ τὰ ἑαυτῆς τὸ εἶδος συνέχον ἐν τῇ ταυτότητι. καὶ μέντοι καὶ θυμὸς καὶ ἐπιθυμία τοῖς θνητοῖς προσριφήσεται, ἐφ' οἷς καὶ τὸ βλάπτον καὶ ὠφελοῦν, τῇ μὲν ἵνα διώκῃ τὸ σῶζον, τῷ δὲ τὸ βλαβερὸν ἀποκρούηται. τὸ μὲν οὖν ἁπλῶς ζῆν διὰ ταύτην ὑπάρχει τὴν ἀρχήν. τῆς τροφῆς λέγω, πᾶσι τοῖς ζῶσιν εἰς πάντα φθάνουσαν. τὸ δὲ ζῶον, ἐπείπερ αἱ τέλειαι τῶν προσηγορίων τοῖς τελειοτέροις ἐπάγονται τῶν εἰδῶν, ἐκλήθη πρῶτον διὰ τὴν αἴσθησιν, ὥστε καὶ εἴ τι μὴ κινοῖτο μήδ' ἀλλάττοι τόπον, ἔχει δὲ αἴσθησιν, ζῶον ἂν εἶναι φαῖμεν, καὶ οὐ μόνον κατὰ τὸ ἁπλοῦν τοῦ ζῆν σημαινόμενον. φαίνεται δὲ πολλὰ τοιαῦτ' εἶναι τῶν ζώων μόνιμα καὶ μόνης τῆς ἁπτικῆς κοινωνοῦντα αἰσθήσεως. αὕτη γὰρ κοινοτάτη αἰσθήσεων καὶ φύσει πρώτως ἐνυπάρχει πᾶσι· τὸ γὰρ συνεισφερόμενον καὶ μὴ συνεισφέρον καὶ συναναιροῦν ἀναιρούμενον οὕτως ἂν καλοῖτο. ὥσπερ γὰρ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς καὶ πάσης αἰσθήσεως, ⟨ὡς⟩ εἶναι καθ' αὑτό, οὕτως αὕτη πάλιν τῶν ἄλλων αἰσθήσεων· πάντα γὰρ τὰ ζῶα ἔχοντα φαίνεται τὴν ἁπτικὴν μόνην αἴσθησιν. δι' ἣν δὲ αἰτίαν ταὐτόν τι τούτων ἑκατέροις συμβέβηκεν, ὕστερον ἐροῦμεν ἐπὶ τέλους κατὰ σχολήν· νυνὶ δ' ἐπὶ τοσοῦτον εἰπόντες ἀρκέσομεν, ὡς ἐπείπερ τὸ σώζεσθαι τοῖς ζῶσι διὰ τὸ τρέφεσθαι, τροφὴ δὲ ὑγρὸν καὶ θερμὸν καὶ τὰ τούτοις ἐναντία, τοῖς μὲν οὖν φυτοῖς διὰ τὸ μόνιμον ἀπέχρησεν εἰς τροφὴν τὸ προστυχὸν ἔγγιον, οἰκεῖον ὄν, τὰ δὲ κατὰ τόπον κινητικὰ καὶ ἄποθεν τὸ θρέψον ἐκποριζόμενα ἐνδεᾶ τῆς κατὰ τὴν ἁφὴν διακρίσεως τοῦ ὠφελοῦντος καὶ βλάπτοντος. ταῦτ' ἄρα τῶν ἄλλων κοινότατα καὶ ἀναγκαιότατα, τροφὴ μὲν εἰς σωτηρίαν, ταύτης δὲ ἁφῇ τὰ ζῶα μετέχουσιν. αὐτῶν δὲ τούτων καὶ τῶν ἄλλων πάντων ἀρχὴ καὶ αἰτία ψυχὴ καὶ ἐν τούτοις ὥρισται, θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. ὃ δὲ πρότερον ἠπορήσαμεν οὐδὲν κωλύει καὶ πάλιν ἐπαπορήσασθαι τῆς ἀκολουθίας διδούσης· πότερον γὰρ τῶν ἀπηριθμημένων ἕκαστόν ἐστι ψυχὴ καὶ ἀλλήλων

2 τοῦτο AC 12 ἐπιδεᾶ] an ἐπιδεῆ? 15 καὶ (ante θυμὸς) om. A προσρριφθήσεται AC 21 ἔχοι B 22 τοιαῦτ' εἶναι πολλὰ AC 24 πρώτω συνυπάρχει C 26 ὡς addidi 29 ἐπὶ τέλους] καὶ A: καὶ ἐπὶ τέλους C. 35 ἁφῇ] ἁφὴ ἧς B 36 καὶ τὰ ζῶα C

ἀπέσχισται, ὡς ἂν εἰ καὶ πολλαὶ ψυχαὶ ἦσαν, ἢ μιᾶς τὰ πάντα μόρια ψυχῆς; καὶ εἰ τοῦτο, πότερον ὥστ' εἶναι χωριστὰ μόνῳ λόγῳ καὶ ἐννοήματι, ὅλα δὲ τῇ περιχωρήσει διὰ πάντων ἓν καὶ τῷ ὑποκειμένῳ ταὐτά, ἢ καὶ τόπῳ; ὥσπερ καὶ ποιεῖν ἐλέγομεν Τίμαιον, ἄλλοις ἄλλα συντάττοντα τοῖς σωματικοῖς τὰ
5 ψυχικά. καὶ περὶ μέν τινων οὐ χαλεπὸν ἰδεῖν, ὡς οὐ τοπικῶς ἀλλήλων διήρηνται, ἀλλὰ διὰ παντὸς ἰσομοίρως τοῦ ὑποκειμένου σώματος ἥκουσιν, οἷον τροφὴ καὶ αὔξησις ἐπὶ τοῖς φυτοῖς, αἴσθησις δὲ καὶ κίνησις ἐν τοῖς ζώοις. περὶ δὲ τῶν ἄλλων τὸ ἀληθὲς εἰπεῖν ἔχει ἀπορίαν. τὰ μὲν γὰρ φυτὰ φαίνεται διαιρούμενα ζῆν καὶ χωριζόμενα ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν αὐτοῖς ψυχῆς
10 ἐντελεχείᾳ μὲν καὶ τῷ ὑποκειμένῳ μιᾶς ἐν ἑνὶ ἑκάστῳ τῶν φυτῶν, δυνάμει δὲ πολλῶν· καὶ περί τινας δὲ ἄλλας διαφόρους τῆς ψυχῆς δυνάμεις ὁρῶμεν συμβαῖνον ἐν τοῖς διατεμνομένοις τῶν ζώων τισί· καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν τοῖς ἐντόμοις ἔχει διαιρεθεῖσι καὶ κίνησιν τὴν κατὰ τόπον. προσβιάσαιτο δ' ἄν τις καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, λύπη τε
15 καὶ ἡδονὴ παρακολουθεῖ, ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέ πω φανερόν, εἴτε παντὶ τῷ ὑποκειμένῳ συμπέφυκε σώματι ἢ ἑνὶ τῶν μερῶν κατακεκλήρωτο. ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι ὥσπερ τοῦ φθαρτοῦ τὸ ἀίδιον. ὅτι μὲν οὖν οὐκ ἔστι ταῦτα οὕτω μόρια τῆς ψυχῆς,
20 ὥστ' εἶναι χωριστὰ καθάπερ φασί τινες, δῆλα ἐκ τούτων καὶ τῶν πρότερον εἰρημένων· τῷ δὲ λόγῳ ὅτι ἕτερα, φανερόν· αἰσθητικῷ γὰρ εἶναι καὶ δοξαστικῷ ἕτερον, εἴπερ καὶ τοῦ αἰσθάνεσθαι τὸ δοξάζειν, ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν εἰρημένων ἕκαστον. ὃ δὲ περὶ τῶν ἄλλων αἰσθήσεων ὑποθράττει, ὡς οὔτε ἐν σώματι παντὶ καὶ ἴδιον ἑκάστῃ τὸ συγγενὲς αἰσθητήριον ἢ πάσαις
25 κατὰ κοινοῦ μόνος ὑπέστρωται ὁ ἐγκέφαλος, ὅθεν προέρχονται διαιρούμεναι καὶ πρὸς ὃν ἐπιστρέφουσι κατὰ τὸ ἀμερὲς συναπτόμεναι. ὑπερβαίνομεν ἐπειγόμενοι. ἐκεῖνο δὲ λέγομεν ὃ καὶ πολλάκις εἰρήκαμεν, ὡς ἐνίοις μὲν τῶν ζώων ὑπάρχει τὰ ψυχικὰ μέρη πάντα, ἐνίοις δὲ ἐλάττω, τοῖς δὲ ἓν μόνον. τὸ δὲ αὐτὸ τοῦτο συμβάν ἐστι καὶ περὶ τὰς αἰσθήσεις· τὰ μὲν γὰρ ἔχει
30 πάσας, τὰ δὲ ἐλάττους, τὰ δὲ μίαν, ὡς εἴρηται, τὴν ἀναγκαιοτάτην, ἁφήν. ταῦτα γοῦν καὶ τὴν διαφορὰν τοῖς ζῶσιν ἐποίησε καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον καὶ τὸ τιμιώτερον καὶ τὸ ἀτιμότερον ἐπεισήγαγε κεφάλαιον. ὥσπερ ⟨γὰρ⟩ νῷ πᾶσα τῶν ὄντων ἡ τάξις καὶ πρόοδος (πᾶν γὰρ τὸ καλῶς ἔχον ἢ ὂν ὀρθός ἐστι λόγος, οὗτος δ' ἐκεῖθεν), οὕτω τοι καὶ τοῖς ζῶσι ψυχῇ. φανερὸν οὖν ἄλλως,
35 ὅτι νοῦς καὶ ψυχῆς καὶ ὄντος ὑπερεκτέταται.

Ἐπεὶ δὲ ὥσπερ ᾧ ἐπιστάμεθα λέγεται διχῶς (τὸ μὲν γὰρ ἐπιστήμην εἶναι

---

1 ἦσαν om. A 2 εἰ om. B 4 Τίμαιον] Tim. 31. 32 9 τῆς] τοῖς C 15 ἐπιθυμίας B 16 τῷ om. A¹ ὑποκειμένου C: τοῦ ὑποκειμένου A 17 κατεκλήρωτο A 19 οὕτω ταῦτα A 20 δῆλον AC 21. 22 αἰσθητικὸν—δοξαστικὸν A 22 τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν AC

23 τῶν (post ἄλλων) om. A 24 ἢ] fort. τὴν B 30 ἐλάττους] ἐλάττ$^{\omega o}$ C: ἐλάττω AB 32 τὸ (ante ἀτιμότερον) om. A ἀτιμώτερον C γὰρ addidi 34 ψυχῇ correxi: ψυχή libri

φαμέν, τὸ δὲ ψυχήν· καὶ γὰρ καὶ τῇ ἐπιστήμῃ καὶ τῇ ψυχῇ ἐπίστασθαι λέγομεν, καὶ τὸ μὲν ὡς ὕλη καὶ ὑποκείμενον, τὸ δὲ ὡς εἶδος· ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν τὸ μὲν ὑγεία καὶ εἶδος, τὸ δὲ τοῦ σώματός τινι μορίῳ, οἷον ὀφθαλμῷ, ἢ καὶ ὅλῳ τῷ σώματι), οὕτω καὶ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα διττόν, τὸ μὲν τῇ ψυχῇ, τὸ δὲ τῷ ὀργανικῷ σώματι, φανερὸν οὖν ὅτι ὡς εἶδος ἡ ψυχὴ ἐν τῷ συνθέτῳ καὶ οὐχ ὡς ὑποκείμενον καὶ ὕλη, καὶ καλῶς οὕτως αὐτὴν ἐν τοῖς ἄνω ἡμεῖς ὡρισάμεθα εἶδος προσειπόντες καὶ ἐντελέχειαν τοῦ φύσει ὀργανικοῦ σώματος. τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων ἢ ἀνάλογόν γε εἴδει καὶ ὕλῃ τὴν σύστασιν ἐχόντων, διπλῶς καὶ τῷ σημαινομένῳ τῶν αὐτῶν ὀνομάτων πολλάκις ἐν τοῖς τοιούτοις προσχρώμεθα, τὸ μὲν πρὸς τὴν ὕλην, τὸ δὲ πρὸς τὸ εἶδος ἀποσκοπούμενοι. ἀλλὰ κύριον μὲν τὸ τοῦ εἴδους καὶ πρῶτον, δεύτερον δὲ τὸ τῆς ὕλης· τῷ γὰρ τοῦ εἴδους μετεσχηκέναι λέγεται τοῦθ' ὅπερ λέγεται. οἷον λευκοὶ καὶ τῇ λευκότητι λεγόμεθα καὶ τῇ ἐπιφανείᾳ, καὶ θερμοὶ καὶ ψυχροὶ ταῖς τοιαῖσδε ποιότησι καὶ τῷ σώματι, καὶ ὑγιεῖς καὶ ἐπιστήμονες ὡσαύτως· ἀλλὰ τούτων ἡ μὲν λευκότης καὶ θερμότης καὶ ὑγεία καὶ ἐπιστήμη εἶδός τι καὶ μορφὴ καὶ λόγος, τὸ δὲ θερμὸν σῶμα καὶ λευκὸν καὶ ψυχρὸν καὶ ὑγιαῖνον καὶ ἡ ψυχὴ οἷον ὑποκείμενα καὶ ὕλη· καὶ αἱ μέν πως οἷον ἐνέργειαι καὶ τελειότητες τῶν δεκτικῶν, ἡ μὲν ἐπιστήμη τοῦ ἐπιστημονικοῦ, ἡ δὲ ὑγεία τοῦ ὑγιαστοῦ καὶ αἱ λοιπαὶ ὁμοίως, τὰ δὲ οἷον τὰ δεδεγμένα καὶ διατιθέμενα, τὸ σῶμα καὶ ἡ ψυχή· δοκεῖ γὰρ ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ τὴν τῶν ποιητικῶν ἐνεῖναι ἐνέργειαν. καίπερ μιᾶς οὔσης τῆς τοῦ ποιοῦντος καὶ πάσχοντος ἐνεργείας, ἀρχομένης μὲν ἀπὸ τοῦ ποιοῦντος, στηριζομένης δὲ ἐν τῷ πάσχοντι, ὅμως τῷ τὸν μὲν ἐπὶ τῆς οἰκείας μένειν ἀκίνητον τελειότητος, τὸν δὲ ἀλλοιοῦσθαι καὶ μεταβάλλειν ἀγόμενον πρὸς τὸ τέλειον, μᾶλλον τὸ κινεῖσθαι προστίθεμεν. οὐ γὰρ ὁ ὑγιάζων ἢ διδάσκων ἰατρὸς καὶ ἐπιστήμων, καθὸ ὑγιάζει ἢ διδάσκει, ὁ μὲν κινεῖται πρὸς ὑγείαν, ὁ δὲ πρὸς ἐπιστήμην, ἀλλ' ὁ νοσῶν καὶ ὁ μανθάνων πρὸς τὰς οἰκείας ἄγονται ἐξαλλαττόμενοι καὶ μεταποιούμενοι τελειότητας, καθ' ἃς δυνάμει εἰσίν, ὑπὸ τῶν ἐνεργείᾳ ὄντων· ὥσθ' ὑγείαν ἐνταῦθα καὶ ἐπιστήμην οὐ τὴν ἐν τοῖς κινοῦσι καὶ πρώτοις, ἀλλὰ τὴν ἐν τοῖς διατιθεμένοις καὶ πάσχουσι λέγομεν. εἰ οὖν οὕτω ταῦτα, ἡ δὲ ψυχὴ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ κινούμεθά ἐστι πρώτως, ἡ ψυχὴ ἄρα ὡς εἶδός τι καὶ λόγος ἐστὶν ἐν τῷ συνθέτῳ, ἀλλ' οὐχ ὡς ὑποκείμενον καὶ ὕλη, ὥσπερ εἴρηται. ἔτι τριχῶς λεγομένης τῆς οὐσίας, ὧν τὸ μὲν ὕλη, τὸ δὲ εἶδος, τὸ δὲ ἐξ ἀμφοῖν τούτων καὶ σύνθετον, ἡ μὲν ὕλη δύναμις, ὡς ἐλέγετο πρότερον, τὸ δὲ εἶδος ἐντελέχεια. ἀλλ' αὕτη σώματός τινος· οὐ γὰρ τοῦ ἁπλῶς, ἀλλὰ τοῦ τοιοῦδε τοῦ ὀργανικοῦ. ἐπεὶ δὲ τρία εἴδη τῶν ψυχῶν ἐν τῇ ὕλῃ φύσει τῶν ἐμψύχων κατενοήσαμεν κατὰ τὸ φύσει πρότερον καὶ ὕστερον διαφέροντα, καὶ τὸ μὲν πᾶσι, τὸ δὲ τισί, τὸ δὲ ἑνὶ μόνῳ τῷ ἀνθρώπῳ νοῦς καὶ λόγος ἐγγίνεται, κατὰ κοινοῦ μὲν ἐντελεχείας

---

1 οὕτω δὲ καὶ C 8. 9 ὕλῃ καὶ εἴδει AC 11 κύριον] incertum B 16 λευκὸν σῶμα καὶ θερμὸν AC 20 διατιθεμένῳ A² τὸ σῶμα—διατιθεμένῳ om. A 21 καίπερ] fort. καίπερ γὰρ 22 στηριζομένης B 36 τὸ ἁπλῶς A

τῶν ὑποδεδεγμένων σωμάτων αὐτὰς ὠνομάκαμεν. ὁ τρόπος δὲ διαφέρει. τὴν μὲν γὰρ φυτικὴν καὶ αἰσθητικήν, ὡς ἂν εἰ καὶ τὸ ἁπλῶς εἶδος τὸ φυσικὸν ἢ τεχνητὸν ἐν τῇ προστυχούσῃ ὕλῃ ἐγγίνεσθαι εἴποιμεν, οἷον τὸ τοῦ λίθου καὶ ἀνδριάντος. οὕτως εἴδη καὶ ἐντελεχείας καὶ ταύτας διοριζόμεθα συγγεννωμένας τοῖς ὑποκειμένοις καὶ συναπολλυμένας· τὴν δὲ λογικὴν ψυχὴν ἑτέρως. εἴπερ τοῦ πλωτῆρος μεμνήμεθα χωριστοῦ ὄντος κἂν τῇ νηὶ μὴ μέρους ὄντος αὐτῆς. ὅθεν καὶ ὥσπερ ἐκείνης ἀπολλυμένης οὐδὲν ἧττόν ἐστιν ἄνθρωπος. πλὴν μέν τοι ἄλλως τὸ εἶναι αὐτῷ πλωτῆρι ἐφθαρτο συνεχόμενον τῇ νηὶ καὶ ταῖς περὶ τὸν πλοῦν ἐνεργείαις αὐτοῦ. αἷς καὶ κυβερνήτης ἐτύγχανε. μόνας δὲ τὰς οἰκείας ὑπολείπεται ἔχων καὶ φυσικάς, καθ' ἃς ἄνθρωπος, οὕτω τοι καὶ περὶ τῆς λογικῆς ψυχῆς λέγομεν μένειν μὲν καὶ μετὰ τὴν διάλυσιν οὐδὲν ἧττον καθ' αὑτήν. μὴ μέντοι ψυχὴν κυρίως ἢ ἐντελέχειαν τυγχάνειν σώματος· φθείρεται γὰρ αὐτῆς τοῦτο· τί γὰρ ζωοποιήσει, ἢ τίσιν ὀργάνοις αἴσθησιν ὀρέξει καὶ κίνησιν συμφθαρεῖσι τῷ σώματι; ἔσται δὲ νοῦς ὕλη τῶν οἰκείων καὶ συγγενῶν ἀντιλαμβανομένη τρανέστερον. δεῖ γὰρ αὐτήν ποτε, ἃ νῦν περιφαντάζεται καὶ ἐν σκιαῖς ὁρᾷ καὶ ὥσπερ οἱ χειμαζόμενοι σκοπουμένη πόρρωθεν, τὰ θεῖα λέγω καὶ νοητά, καὶ συγγενέσθαι τούτοις ἀμέσως καὶ κατὰ νοῦν ἐνεργῆσαι, καὶ μὴ μάτην τοῦτο αὐτῇ δεδόσθαι παρὰ τῆς φύσεως. διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν, οἷς δοκεῖ ὅτι οὔτε ἄνευ σώματος ἡ ψυχή, καθὸ εἶδος καὶ ἐντελέχεια, εἴπερ μηδὲ ἁπλῶς εἶδος ἄνευ ὕλης ἢ κυβερνήτης ἄνευ νηός, οὔτε σῶμά τι ἡ ψυχή· ἀλλὰ σῶμα μὲν οὐκ ἔστι, σώματος δέ τι· εἶδος γὰρ αὐτοῦ καὶ οὐσία ἡ κατὰ λόγον· καὶ διὰ τοῦτο ἐν σώματι τοιούτῳ ὀργανικῷ καὶ δυνατῷ ζῆν καὶ τὸ ὅλον εἰπεῖν ψυχικῷ, ἀλλ' οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα τὸ τυχὸν ἐνήρμοζον αὐτήν, οὐδὲν προσδιορίσαντες, ἐν τίνι καὶ ποίῳ τὴν ποίαν, ὡς μὴ δέον κατάλληλον ταῖς διαφόροις ἐνεργείαις καὶ εἴδεσιν ἀποδιδόναι τὰ ὄργανα· ἄλλο μὲν γὰρ ἔσται τὸ τῆς λογικῆς ὄργανον τοῦ τῆς ἀλόγου καὶ ἀμφοτέρων τὸ τῆς φυτικῆς, αἵ τε χρησόμεναι ταῖς ἐνεργείαις καὶ ταῖς φύσεσιν ἕτεραι· τά τε ὑπουργήσοντα τοσοῦτον πρὸς ἄλληλα τὸ διάφορον ἕξουσιν, ὅσον τὸ οἰκεῖον πρὸς τὰς συγγενεῖς ψυχὰς καὶ κατάλληλον. φύρουσι δὲ ταῦτα οἱ τὰς μετεμψυχώσεις καὶ τὰς παλιγγενεσίας εἰσάγοντες· καὶ ἧττον μὲν οἱ μόνοις τοῖς ὁμοειδέσι τὴν μετάβασιν ὁριζόμενοι καὶ τὴν αὐτὴν λογικὴν διάφορα μὲν ἀλλάττειν σώματα, ἀνθρώπινα δέ· ὅσοι δὲ καὶ πρὸς τὴν ἄλογον ἢ ἀναίσθητον ἀποικίζουσιν, ὥσπερ ἵππον καὶ βοῦν τὸν ποτὲ ἄνθρωπον γίνεσθαι, μᾶλλον δὲ κοῦσιν ἄλογοι καὶ ἀναίσθητοι, οὕτω πρὸς τὰ ἐναργῆ παντελῶς ἐσκοτωμένοι. οὐδὲ γὰρ φαίνεται τὸ τυχὸν εἶδος πρὸς τὸ τυχὸν ἐγγίνεσθαι ὑποκείμενον· οὔτε γὰρ ὄψις γεύσεται οὔτε γλῶσσα ὄψεται οὔτε ὀσμαῖς ἀκοὴ ὑποκείσεται οὔτε φωνῶν ἡ ὄσφρησις αἰσθανθήσεται. ἀλλ' οὐδ' ὁ χαλκὸς οὗτος ὄστρακον ἢ τὸ ἀνάπαλιν ἔσεται. τοῦτο δὲ γίνεται καὶ κατὰ λόγον· ἑκάστου γὰρ ἡ ἐν-

---

8 πλωτῆρι scripsi: πλωτὴρ libri ταῖς] τῶν A 9 τὸν] τῶν A ἐνεργειῶν A 14 ἔστι B καὶ om. B 20 νηός sic libri 22 κατὰ τὸν λόγον A 23 πρότεροι A 27 τὸ om. A χρησάμενοι A 28 ὑπουργήσαντα A 30 τὰς om. A 33 ὥσπερ] ὡς AC 36 ὄψεις A¹ ὀσμαῖς] ὀσμῆς C¹ 37 χαλκεὺς B ὄστρακος AC 38 ἔσεται sic libri ἕκαστον B

τελέχεια ἐν τῷ δυνάμει ὑπάρχοντι τοιούτῳ καὶ τῇ οἰκείᾳ ὕλῃ ἐγγίνεσθαι πέφυκεν.

Ὅτι μὲν οὖν ἐντελέχειά τις ἐστὶν ἡ ψυχὴ τοῦ δυνάμει ἔχοντος εἶναι τοιούτου σώματος, καὶ διότι, φανερὸν ἐκ τούτου· νυνὶ δέ που καιρὸς καὶ περὶ τῶν μερῶν ἐπελθεῖν, ὅπως ἕκαστον ἐντελέχεια ἑκάστῳ τῶν τοῦ σώματος λέγεται. οὐ γὰρ καθάπαξ ἐπὶ τῷ καθόλου ἵστασθαι δεῖ, ἀλλὰ καὶ τὰ μέρη ζητεῖν καὶ διαιρούμενον ἐφοδεύειν κατ' εἴδη· οὐκοῦν τίνες τε αἱ δυνάμεις τῆς ψυχῆς καὶ τίσι καὶ πόσαι ὑπάρχουσι καὶ δι' ἥντινα τὴν αἰτίαν, καὶ πῶς διαλαβεῖν ἀναγκαῖον, ποῖαί τε χωρισταὶ καὶ τίνων καὶ ποῖαι ἀχώριστοι· καὶ ὅτι ταῖς μὲν κρείττοσιν αἱ χείρους ἕπονται, τὸ ἀνάπαλιν δ' οὔ.

II 3 τῶν οὖν εἰρημένων δυνάμεων τῆς ψυχῆς τοῖς μὲν ἐνυπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνη. δυνάμεις δ' εἴπομεν θρεπτικόν, ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν. ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον· τοῦτο γὰρ αὐτοῖς καὶ αὔξην παρέχει καὶ γέννησιν· ἑτέροις δὲ τοῖς ἀλόγοις αὐτό τε καὶ τὸ αἰσθητικόν, τοῖς ἀνθρώποις δὲ πρὸς τούτοις καὶ νοῦς. ἔνθα δὲ τὸ αἰσθητικόν, καὶ τὸ ὀρεκτικὸν πάντων. κοινὸν δέ τι τὸ τῆς ὀρέξεως· καὶ γὰρ καὶ ἐπιθυμίᾳ καὶ θυμῷ, ἔτι δὲ βουλήσει ὄρεξις ἕπεται, καὶ μόνοις τοῖς τρισὶ τούτοις ὁρίζεται καὶ ὁμωνύμως πρόσεστιν. ἡ μὲν γὰρ ὄρεξις τοῦ ἐπιθυμητικοῦ πρὸς λῆψιν τοῦ ἡδέος, ὁ δὲ τοῦ θυμικοῦ πρὸς ἄμυναν τοῦ λυπήσαντος, ἡ δὲ τοῦ βουλευτικοῦ καὶ λογικοῦ πρὸς τὴν τῶν πρακτέων τελείωσιν. ἔτι πᾶσα μὲν αἴσθησις ἡδέος ἐστὶ καὶ λυπηροῦ· ἐν οἷς δὲ τοῦτο, καὶ ὄρεξις. πάντα δὲ τὰ ζῶα, εἰ καὶ μὴ πάσας ἤ τινάς, κἂν μίαν τῶν αἰσθήσεων τὴν ἁφὴν ἔχει. ᾧ δ' αἴσθησις ὑπάρχει ἁπλῶς, τούτῳ ἡδονή τε καὶ λύπη ἢ τὸ ἡδύ τε καὶ λυπηρόν· οἷς δὲ ταῦτα, καὶ ἐπιθυμία· τοῦ γὰρ ἡδέος ἐστὶν ὄρεξις αὕτη πρώτως, ἡ δὲ ἡδονὴ παρακολούθημα· ὅθεν καὶ τὰ προσπεφυκότα τῶν ζώων μόνης τῆς ἁφῆς κοινωνοῦντα ὁρᾶται συστελλόμενα καὶ διαχεόμενα, ὧν τὸ μὲν ἡδέος ἐστί, τὸ δὲ λυπηροῦ. ἀλλὰ τοῖς τοιούτοις τῶν ζώων μόνην τὴν ἁφὴν ἔχουσι καὶ μόνη ἐπιθυμία ὑπάρχει, τοῖς δὲ πάσας καὶ θυμός, τοῖς λογικοῖς δὲ πρὸς τούτοις καὶ βούλησις, νοῦ καὶ λόγου οὖσα ἀπότεγμα. ἔτι τὰ ὀπωσοῦν αἰσθητικὰ πρώτην τὴν ἁφὴν ἔχειν ἀνάγκη· τρέφεσθαι γὰρ ἀνάγκη, αὕτη δὲ τροφῆς αἴσθησις. αἰσθάνεται μὲν γὰρ τῶν τεττάρων, θερμοῦ, ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, ἐξ ὧν καὶ τὸ ζῶον συνέστηκεν· ἐξ ὧν δὲ συνέστηκεν, ἐκ τούτων καὶ τρέφεται, ὡς κἂν ὁμοίοις τὸ ὅμοιον. ἡ ἁφὴ ἄρα τροφῆς αἴσθησις καὶ διὰ τοῦτο καὶ πᾶσι σύνεστι. καὶ πεῖνα μὲν καὶ δίψα ἔνδειαι τροφῆς, ἡ μὲν ξηροῦ καὶ θερμοῦ, ἡ δὲ ὑγροῦ καὶ ψυχροῦ, ἐπείπερ τὸ ἀπορρέον δεῖται πληρώσεως. καὶ εἴπερ ποτὲ διψῶντες τῷ ὑγρῷ καὶ θερμὸν προσεμίξαμεν, οὐ καθ' αὑτὸ τὸ θερμὸν ὡς ποτὸν προσελάβομεν, ὥσπερ οὐδ' οἶνος ὑγρότητι ἔστιν ὅτε πεῖναν κατέπαυσεν (ἡ γὰρ ἂν μᾶλλον ὕδωρ), ἀλλ' ᾗ θερμός. θερμὸν δὲ καὶ ξηρὸν

3 δύναμιν A: fort. recte 6 τῷ scripsi: τὸ libri 10 τοῖς μὲν A 14 αὔξησιν C 15 αὐτό γε AC 16 πάντως A: fort. recte 19 ἡ δὲ C 30 ἀπότευγμα A 31 τρέφεσθαι — ἀνάγκη om. C 32 ὑγροῦ καὶ ξηροῦ A 39 ἢ] ἢ C

καὶ τὰ ἕτερα οὐ τῇ θίξει κρίνομεν μᾶλλον ἢ τῇ δυνάμει. οὐ πάντοτε δὲ ἡ δίψα καὶ ἄμφω, ἀλλ' ἔστιν ὅτε ψυχροῦ μόνου. οἱ γοῦν πυρέττοντες δεόμενοι ψύξεως, καίπερ ὑγρῶν πολλάκις πλήρεις ὄντες τὰς γαστέρας, διψῶσιν· οἷς καὶ ψυχρὸς πολλάκις ἀὴρ ἐπήρκεσεν. ἔτι πρὸς τὰς κενώσεις ἢ πληρώσεις καὶ τὰς
5 ἐφέσεις ἔχομεν· οἱ μὲν γὰρ καὶ ποτοῦ καὶ τροφῆς τοῖς σώμασιν ἐνδεεῖς ἄμφω τῶν ἐναντίων κατὰ τὸ αὐτὸ τὴν ἐπιθυμίαν ἔχομεν· εἰ δὲ τοῦτο παρὰ μέρος, κἀκεῖνο κατὰ λόγον. ἀλλὰ τρεφόμεθα μέν, ὡς εἴρηται, τοῖς κατὰ τὴν ἁφὴν αἰσθητοῖς, τοῖς δὲ ἄλλοις τῶν αἰσθητῶν τῶν παρ' ἑτέραις αἰσθήσεσιν, ὄψει ὀσφρήσει καὶ ἀκοῇ οὔ· οὐδὲν γὰρ εἰς τροφὴν τούτων συμβάλλεται πλὴν ἢ
10 κατὰ συμβεβηκός, οἷον ψόφος, χρῶμα, ὀσμή. ἡ μὲν γὰρ κατὰ τὴν ἁφὴν αἴσθησις τῆς τροφῆς ὡς καθ' αὑτήν· ὅτι μέντοι λευκὸς ἢ ἡδὺς ὁ οἶνος ἢ εὔοσμος ἢ ὁ ἄρτος, κατὰ συμβεβηκὸς ὀρεγόμεθα. ἡ δὲ γεῦσις αὐτόθεν ἁφή· ὅθεν καὶ οἱ χυμοί, πικρόν, γλυκύ, ἁλμυρόν, τῶν ἁπτῶν εἰσιν οἷον ἀρτύματα καὶ ἡδύσματα. ἔθρεψαν μὲν γὰρ ἂν τὰ ἁπτὰ καὶ χωρὶς προσφερόμενα τῆς ἐν
15 τῷ λάρυγγι συναισθήσεως, τῇ κατὰ τὴν γλῶσσαν μόνῃ διακρίσει ἀρκούμενα, οὐκ ἂν δὲ μέγας ἦν ὁ δεσμός, ἀλλ' ᾤχετο καθάπαξ ψυχὴ καὶ τοῖς προστυχοῦσι λυπηροῖς ἐδυσχέρανεν. νυνὶ δ' ἡ φύσις ὡς περόνῃ τῇ ἡδονῇ τὴν ψυχὴν τῷ σώματι συνεδήσατο. ἀγαπητὴν δὲ καὶ τὴν ἐξ ἀλλήλων γένεσιν ἡ ἡδονὴ καὶ διαδοχὴν ἐνεποίησεν, ἣν καὶ ταύτης χωρὶς οὐδὲν ἐκώλυε γίνεσθαι. καὶ
20 ταῦτα μὲν ἐπὶ τοσοῦτον· διασαφητέον δὲ ὕστερον περὶ αὐτῶν· νυνὶ δ' ἐπὶ τοσοῦτον διωρίσθω, ὅτι τῶν ζώων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. περὶ δὲ φαντασίας ὡς μήπω περὶ αὐτῆς εἰποῦσιν ἄδηλον ἔτι. τοῖς τε γὰρ σπόγγοις καὶ ἄλλοις τῶν ὀστρακοδέρμων εἰ εὐθύς, ὥσπερ ἁφῆς μετεδώκαμεν, οὕτω καὶ φαντασίαν ὑποληψόμεθα, οὐκ ἂν εἴη ἐπεσκεμμένον. ἐνίοις δὲ πρὸς
25 τούτοις καὶ τὸ κατὰ τόπον κινητικόν, ἑτέροις δὲ καὶ τὸ διανοητικὸν καὶ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι ζῶον τοιοῦτον ἕτερόν ἐστιν ἢ τιμιώτερον.

Ἐπεὶ δὲ τὸ φύσει πρότερον καὶ τὸ ὕστερον, ὥσπερ ἐν τοῖς σχήμασιν, οὕτως ὁρᾶται κἀν ταῖς ψυχαῖς, τῶν δὲ τοιούτων τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, δῆλον ὡς οὐδ' ὁ κατὰ τοὔνομα λόγος φύσεώς ἐστι λόγος. ἀλλ' ὁμώνυμος
30 καὶ αὐτός. τῶν γὰρ ὁμωνύμων ἢ ἀφ' ἑνὸς καὶ πρὸς ἓν καὶ οἱ ὅροι κατάλληλοι, ὡς ἐν τοῖς Τοπικοῖς ἐλέγετο ὑγιεινὸν τὸ συμμέτρως ἔχον πρὸς ὑγείαν· οὔτε γὰρ κατὰ τὸ αὐτὸ σιτίον καὶ ἀέρα καὶ περίπατον ὑγιεινὸν ἐλέγομεν οὔτε τὸν λόγον ὁμοίως τούτοις κατὰ ταὐτὸ συνετάττομεν. τοιοῦτος καὶ ὁ τοῦ σχήματος τοῖς γεωμέτραις ἀποδοθεὶς λόγος, τὸ ὑπό τινος ἢ τινῶν ὅρων περιεχόμενον, καὶ ὁ τῆς ψυχῆς παρ' ἡμῶν ἐντελέχειαν τιθεμένων φυσικοῦ ὀργανικοῦ
35 σώματος. καὶ τὸν αὐτὸν τρόπον τῷ γεωμετρικῷ ὁ παρὼν εἰς ἂν εἴη καὶ ὅμοιος· οὔτε γὰρ ἐκεῖ σχήματα παρὰ τὸ τρίγωνόν ἐστι καὶ τὰ ἐφεξῆς οὐδ'

3 πλήρης A 4 ἀὴρ πολλάκις AC 5 οἱ] εἰ AC 6 εἰ δὲ] καὶ διὰ B
9 πλὴν εἰ A 11 καθ' αὑτή AC ὅτι μέντοι] ὅτι δὲ A: τὸ μὲν C ἢ ἡδὺς ὁ] ὁ ἡδὺς A 13 ἀρτήματα C A[1] 17 ὡς περόνῃ] ὥσπερον (ras. IV literarum) A
19 ἣν] ἧς BC 21 διωρίσθαι B 22 ὡς—εἰποῦσιν] εἰ πᾶσιν A 23 εἰ] καὶ B 24 ὑπολειψόμεθα A 26 post ἢ add. καὶ A 29 οὐδ' ὁ] οὐδὲ B
31 ἐν τοῖς Τοπικοῖς] Top. A, 15. 107 b 8 ἔχον] ἔχειν B 35 τιθεμένοις AC

ἔστι τις τοιαύτη φύσις ἰδία κατὰ τὸ κοινὸν ἱσταμένη καὶ καθ' αὑτήν, οὔτ' ἐνταῦθα ψυχὴ παρὰ τὰς εἰρημένας. διὸ ὡς ἂν ἐπὶ τῶν σχημάτων γένοιτο λόγος κοινός, ὃς ἐφαρμόσει μὲν πᾶσι τοῖς κατὰ μέρος, ἴδιος δὲ οὐδενὸς ἐσεῖται καθόλου σχήματος, οὕτω καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. ἔν τε γὰρ τοῖς σχήμασιν καὶ ἐν ταῖς ψυχαῖς ἀεὶ ἐν τῷ ἐφεξῆς ὑπάρχει τὸ πρότερον, οἷον ἐν τετραγώνῳ μὲν τὸ τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. οὐ γὰρ ὥσπερ ἐν τοῖς ὡς γένος διαιρουμένοις εἰς εἴδη ὁ κατὰ τὸ κοινὸν ἀποδιδόμενος λόγος καὶ πᾶσι κατὰ τὸ αὐτὸ καὶ ὁμοίως ὑπάρχει τοῖς εἴδεσι καὶ ἴδιος οὐδενί, ἀλλ' ἑνὸς τοῦ καθόλου καὶ γενικοῦ, οὕτως ἔχει καὶ ἐπὶ τῶν εἰρημένων· ὁ μὲν γὰρ τοῦ ζώου ὁρισμὸς ἐξ ἴσου καὶ ἀνθρώπῳ καὶ ἵππῳ καὶ βοὶ καὶ τοῖς λοιποῖς ἐφήρμοσεν εἴδεσιν, ἐπεὶ μὴ τὸ φύσει πρότερον ἐν τούτοις καὶ ὕστερον. οὔτε γὰρ ἑνὸς ἀναιρεθέντος ἀνῄρηται τὰ λοιπὰ οὔτε τῶν ὅλων τὸ κοινόν· ἀνθρώπου γὰρ ἀναιρεθέντος οὐδὲν ἧττον μένει τὰ λοιπά, καὶ τῶν κατὰ μέρος ὑπολειπόντων πάντων ζώων ἔτι τὸ κοινὸν γένος τὸ ζῶον καὶ καθ' αὑτὸ ὡς οὐσία ἔμψυχος αἰσθητικὴ ἐπινοεῖται. ἐνταῦθα δὲ οὔτε κατὰ τὸ αὐτὸ πᾶσιν οὔθ' ὁμοίως ὁ λόγος τῶν καθόλου ταῖς κατ' εἶδος ψυχαῖς ἐφήρμοσεν ἢ τοῖς σχήμασιν. ἀλλ' ὁ μὲν τῷ τριγώνῳ πρώτως, ὁ δὲ τῇ φυτικῇ· ὑπόστασις γὰρ ταῦτα τῶν ἐφεξῆς καὶ ἀναιρεῖ ἀναιρούμενα· καὶ τὸ κοινὸν ἀμφοτέροις οὐδὲν παρὰ τὰ καθ' ἕκαστα. ὅθεν οὐ μόνον ὅλοις οἰχομένοις συνοίχεται, ἀλλὰ καὶ τὰ παρ' ἑκατέροις ἑνί, τῷ τριγώνῳ καὶ θρεπτικῷ. τά τε γὰρ ἄλλα σχήματα, ὥσπερ τῷ τριγώνῳ συντέθειται, οὕτω τούτῳ καὶ ἀναλύονται, αἵ τε ψυχαὶ τῷ θρεπτικῷ καὶ συνέχονται καὶ συμφθείρονται. εἰ οὖν οὕτω ταῦτα, ἐνδεῖ δὲ πρὸς ἀρκοῦσαν διδασκαλίαν, ὥς γε εἴρηται, ἡ ψιλὴ τῶν ὁρισμῶν ἔκθεσις συνεσπειραμένη καὶ ὡς ἐν κεφαλαίῳ τὸ πρᾶγμα περιλαμβάνουσα, οὐκ ἐν τοῖς ὁμωνύμοις μόνον, οἷς καὶ ἧττον διὰ κυρίων ὁ λόγος εἶσιν, ἀλλ' οὐδ' ἐν τοῖς φυσικοῖς καὶ κατὰ γένος ἀφωρισμένοις, γελοῖοι ἐσόμεθα ζητήσαντες ἐπὶ τῆς ψυχῆς καὶ εὑρόντες τὸν κοινὸν λόγον, ὃς οὐδενός ἐστι τῶν κατὰ μέρος ὅλως, καὶ ὁλοσχερώτερόν πως αὐτὴν ὁρισάμενοι ἀποχρῶσαν διδασκαλίαν νομίσαντες εὐθὺς ἀπαλλάττεσθαι. ἀλλὰ μὴ τοῦτον μὲν ἀφεῖναι δεῖ, τὸν δὲ κατὰ μέρος καὶ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος ἑκάστῃ τῶν ψυχῶν προσήκοντα ἕτερον ἑτέρᾳ πειρᾶσθαι τοῖς ἐξ ἀρχῆς συνάγειν καὶ πράγματ' ἔχειν κατ' εἴδη διαιροῦντας, τάς τε καθ' ἕκαστον αἰτίας ἐπισκεπτομένους καὶ τοὺς τρόπους διερμηνεύοντας. ὥσπερ γὰρ τὸν γεωμέτρην, οὕτως ἔχειν δήπουθεν καὶ τὸν φυσικὸν δεῖ· ἐκείνῳ τε γὰρ οὐκ ἀπέχρησεν ἐν τῷ καθόλου τὸ σχῆμα ὁρίσασθαι παρεῖναι τί ἐστι τρίγωνον ἢ τετράγωνον, καὶ τούτῳ μετὰ τοῦ κοινῶς εἰπεῖν περὶ ψυχῆς καὶ τὰς κατὰ μέρος ἐπελθεῖν δεῖ. ὥστε καθ' ἕκαστον ζητητέον, τίς ἑκάστου ψυχή, οἷον τίς φυτοῦ καὶ τίς ἀνθρώπου ἢ θηρίου. καὶ διὰ τίνα δ' αἰτίαν τὸ ἐφεξῆς οὕτως ἔχουσι σκεπτέον. ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστι, τοῦ δὲ αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν

1 ἱσταμένους B 7 ὡς γένη A τὸ] τὸν BC 19. 20 ἀλλὰ καὶ τῷ A 25 εἶσιν scripsi: ἴσιν BC: ἴεισιν A 28 ante ἀποχρῶσαν add. ὡς AC 30 καὶ (ante ἄτομον) om. B 31 ἕτερα BC ἐξ ἀρχῆς] ἐξῆς A ἔχει A 34 δεῖ om. A [illegible] B [illegible]τελεύσεσθαι A 37 φυτικοῦ B καὶ (ante τίς) om. A

τοῖς φυτοῖς. πάλιν δὲ ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δὲ ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ τῶν ζώων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν οὔτ' ὀσμῆς ὅλως αἴσθησιν. καὶ τῶν αἰσθητικῶν τὸ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ' οὐκ ἔχει. τελευταῖα δὲ καὶ ἐλάχιστα ἔχει λογισμὸν καὶ διάνοιαν, οἷον ἄνθρωπος ἢ εἴ τι ἕτερον τοιοῦτον ὑπάρχει. καὶ οἷς μὲν ὑπάρχει λόγος, τούτοις καὶ τὰ λοιπὰ πάντα τῶν εἰρημένων· οἷς δὲ ἐκείνων ἕκαστον, οὐ πᾶσι καὶ λογισμός, ἀλλὰ τοῖς μὲν τῶν ζώων οὐδὲ φαντασία, τὰ δὲ ταύτῃ μόνῃ ζῶσι. περὶ δὲ τοῦ θεωρητικοῦ ἕτερος λόγος. ὡς γὰρ ἐπὶ τῶν βαθμίδων ἔχει τῆς κλίμακος (ὁ τῆς δεκάτης ἐπιβὰς καὶ ἄκρας καὶ πασῶν ἐπέβη, πρώτης, τρίτης καὶ τῶν ἑξῆς, ὁ δὲ τῆς πρώτης ἢ δευτέρας μόνης οὐκ ἐξ ἀνάγκης καὶ τῶν μετ' αὐτάς), οὕτω καὶ ἐνταῦθα· τὸ μὲν γὰρ λογικὸν καὶ αἰσθητικὸν καὶ θρεπτικὸν πάντως· οὐκ ἔμπαλιν δὲ ἀνάγκη. καὶ ἐπ' αὐτῆς δὲ τῆς αἰσθήσεως ἰδίως οὕτως ἔχει. τὰ μὲν γὰρ ὄψεως ἢ ἀκοῆς μετέχοντα πάντως καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς· τὰ δὲ τούτων οὐ πάντως ἐκείνων. σπόγγοι μὲν γάρ, ὥς φασι, καὶ ἀκαλῆφαι μόνης τῆς ἁφῆς κοινωνοῦσιν, ὡς ἁπτόμενα ὅλῳ τῷ σώματι τοῦ περικεχυμένου ἔξωθεν ὑγροῦ τὴν τροφὴν προσπορίζεσθαι, καὶ οὐ δι' ἑνὸς γευστικοῦ μορίου τοῦ στόματος. χῆμαι δὲ καὶ ὄστρεια πρὸς τῇ ἁφῇ καὶ τὴν γεῦσιν ἔχει· μία γάρ τις ἐν αὐτοῖς ἡ τῆς τροφῆς εἴσοδος, ἔχει δέ τι καὶ ὁ ἀναλογεῖ κοιλίᾳ καὶ στόματι· ὄσφρησιν δὲ οὐκ ἔχει· οὐ γὰρ φαίνεται ἁλισκόμενα τῷ δελέατι. πορφύραι δὲ καὶ κήρυκες ἐπεὶ ἕπονται δελεαζόμενα, μετέχοι ἂν καὶ ὀσφρήσεως· ἥκιστα δὲ ἀκοῆς· οὐ γὰρ φαίνεταί τι ὑπὸ τῶν ψόφων πάσχοντα. ὁ ἀσπάλαξ δὲ καίπερ ἀκοὴν ἔχων ὄψεως ἀπεστέρηται ἢ τελέως, ἢ οὐ κυρίως ἔχει. τέλεια δὲ τῶν ζώων κατὰ τὴν αἴσθησιν τὰ καὶ ὄψιν ἔχοντα. ὑπὲρ δὲ τὰς αἰσθήσεις προσεχῶς τέτακται τὸ ὀρεκτικόν, ὃ καὶ ἀναγκαίως πάσαις ταῖς αἰσθήσεσιν ἕπεται, κἂν ᾖ μία μόνη. ὑπὲρ δὲ τοῦτο τὸ φανταστικόν, ὅπερ οὐ παντὶ τῷ κατὰ τόπον πρόσεστι κινουμένῳ· μύρμηξι μὲν γὰρ καὶ μελίτταις καὶ τοῖς ὁμοίοις, ἔτι δὲ καὶ τοῖς ὑπὲρ ταῦτα, καὶ ἁπλῶς οἷς τισιν οὐκ ἀόριστος οὐδ' ἀνεπίστροφος κίνησις, ἀνάγκη παρεῖναι φαντασίαν, πρὸς ἣν ποιοῦνται τεταγμένην τὴν κίνησιν· σκώληκες δὲ καὶ μυῖαι καὶ ὅσα ἄλλα ἀτάκτως καὶ ἀορίστως ὁρῶνται κινούμενα καὶ μάλιστα τὰ ἐκ σήψεως ἐπετείως γινόμενα ἢ οὐ δοκοῦσιν ὅλως ἔχειν ἢ ἀμυδράν τινα. οὕτω τοι καὶ ἐπὶ τῶν λογικῶν δυνάμεων. καὶ εἴπερ ἔμψυχα τὰ οὐράνια σώματα κατὰ τὸν Ἑλληνικὸν ἀναπλασμόν, δεῖ τελεωτέραν εἶναι καὶ ὑπὲρ τὴν ἀνθρωπίνην τὴν ἐν αὐτοῖς ψυχήν· ὥστε διανοίᾳ μὲν χρήσονται συστοίχῳ ταῖς ἐν αὐτοῖς ζωαῖς, διὰ δὲ τὸ ὅλως περικεῖσθαι σώματα καὶ δόξῃ τῇ ὡς συμπέρασμα, ἢ δήπου καὶ διανοίας ἀποτελούτησις. οὐκ ἂν δήπου τοσοῦτον ὁ λόγος ἔχοι τὸ προσκορὲς ἀναγκαζομένων τὰ αὐτὰ πολλάκις λέγειν διὰ τὸ σαφές. ἔχοι δ' ἂν ἡ τάξις αὕτη τοῖς οὖσι καὶ κατὰ λόγον. μᾶλλον γὰρ * * τὰ ἐγγύτερα τῆς μιᾶς τῶν πάντων ἀρχῆς. ὡς γὰρ ἐπὶ

---

2 ἁφή τε AB 3 τὰ μὲν A 4 τελευταῖον A 5 τοιοῦτον ἕτερον AC
13 ἔχοι A 16 ἁπτομένων A 17 οὐ om. B 18 ὄστρια C 21 μετέχει ἂν C 22 ψήφων A 25 ὀρεκτὸν B 27 τόπων A 29 τεταγμένα C 31 ἐπετιώς A: ἐπετίς C 39 lacunam significavi: fort. excidit ὄντα vel τιμια

τῶν ἀριθμῶν οἱ τῆς μονάδος ἐγγύτεροι τῇ δυνάμει μᾶλλον τῶν πορρωτέρω ἀναγκαῖον ὄντες αὐτῶν. ἥττους δὲ τῷ ἀριθμῷ, καὶ τούτῳ ἀλλήλων καὶ ἐλαττοῦνται καὶ ὑπερέχουσι, τῷ τε πλήθει καὶ τῇ δυνάμει, κατὰ τὸ ἐγγὺς καὶ τὸ πόρρω, οὕτω τοι καὶ τὰ ὄντα πάντα ἐκεῖθεν προελθόντα τὰ μὲν ἐγγύτερα, ἤτοι τῷ πλήθει συνέρχονται. τοσούτῳ τῇ δυνάμει τῶν ἐφεξῆς ὑπερέχουσιν, καθ' ὅσον δὲ τῆς ἀρχῆς ἀφιστάμενα πρὸς τὴν ὕλην νενεύκασιν, ἴσην τὴν προσθήκην ποιοῦνται καὶ τὴν ὑφαίρεσιν. ἐντεῦθεν τοῖς οὖσι τὸ κρεῖττον καὶ τὸ χεῖρον. ἔνθεν ἡ λογικὴ τῆς ἀλόγου καὶ πάσης τῆς ἀναισθήτου φύσεως τιμιωτέρα, ταύτης δὲ ὡς ἐνοειδεστέρα μᾶλλον ἡ νοερά· κατὰ γὰρ τὴν ἐν τῇ προόδῳ τῶν ὄντων πρὸς θεὸν ἐγγύτητα καὶ ἀπόστασιν τὸ βέλτιον ἔνεστι καὶ θειότερον. ὅθεν ἄγγελοι μὲν ἀνθρώπων, οἱ δὲ ἀλόγων, τὰ δὲ φυτῶν, τὰ δὲ ἀψύχων κατ' ἀξίαν καὶ δύναμιν προβεβήκασιν.

Ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος, λέγω δὴ ὁ περὶ τῶν τῆς ψυχῆς μορίων, οὗτος οἰκειότατος καὶ περὶ ψυχῆς, δῆλον. ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν ἐπικαιροτάτην ποιήσασθαι λαβεῖν ὁρισμῷ τί ἐστιν ἕκαστον αὐτῶν. εἰδὼς οὕτω περὶ τῶν ἐχομένων καὶ ἑπομένων συμβεβηκότων αὐτοῖς ἐπισκέψασθαι. ἐπεὶ δὲ ἐν τοῖς ἑξῆς ἀπὸ τῆς οὐσίας, δυνάμει, ἐνεργείᾳ καὶ τῷ πρὸς ὃ ἡ ἐνέργεια, τὸ πρότερον καὶ τὸ ὕστερον διττὸν ὁρᾶται καὶ ἔμπαλιν (χρόνῳ μὲν γὰρ ἡ δύναμις τῆς ἐνεργείας πρεσβύτερον ἐπὶ τοῦ αὐτοῦ, αὕτη δὲ τοῦ ἀντικειμένου καὶ πρὸς ὃ λέγεται, τῇ φύσει δὲ καὶ τῷ λόγῳ τῷ πρὸς ἡμᾶς ὕστερα· ὧν γὰρ ἐν τῷ ὁρισμῷ προσλαμβάνομέν τινα, ταῦτα πρῶτα ἐκείνων· τὴν γοῦν ὄψιν ὁριζόμενοι συλλαμβάνομεν καὶ τὴν ὅρασιν, λέγοντες αὐτὴν δύναμιν τοῦ ὁρᾶν, καὶ ἐν τῷ λόγῳ δὲ τῆς ὁράσεως καὶ τοῦ ὁρατοῦ ἀναγκαζόμεθα φάσκοντες αὐτὴν ἀντίληψιν χρωμάτων· τὸ ἀνάπαλιν δ' οὔ), εἰ οὖν οὕτω ταῦτα, καὶ χρὴ λέγειν, τί ἕκαστον αὐτῶν, οἷον τί τὸ νοητικὸν ἢ αἰσθητικὸν ἢ θρεπτικόν, τὰς δυνάμεις αὐτάς, πρότερον ἔτι λεκτέον τί τὸ νοεῖν καὶ τὸ αἰσθάνεσθαι· πρότεραι γάρ εἰσιν, ὥς γε εἴρηται, τῶν δυνάμεων αἱ ἐνέργειαι καὶ αἱ πράξεις κατὰ φύσιν καὶ λόγον. ἀλλὰ καὶ τούτων ἔτι πρότερα τὰ ἀντικείμενα καὶ ἐν οἷς αἱ ἐνέργειαι· καὶ δεῖ τεθεωρηκέναι περὶ ἐκείνων πρότερον ἀνάγκῃ καὶ διὰ τὴν αὐτὴν αἰτίαν, οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ· ὥστε πρῶτον περὶ τούτων λεκτέον. λέγομεν δὴ οὖν ἀρξάμενοι πρῶτον περὶ τροφῆς καὶ γεννήσεως· ἡ γὰρ θρεπτικὴ καὶ τοῖς ἄλλοις ὑπάρχει καὶ πρώτη καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν. ἧς ἔργον γεννῆσαί τε καὶ τροφῇ χρήσασθαι· φυσικώτατον γὰρ καὶ σκοπιμώτατον τέλος τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα, ὥσπερ τὰ νεογνὰ αἵ τε στεῖραί τε καὶ εὐνοῦχοι (πήρωμα δέ τι καὶ ἀμφοτέρων τῶν φύσεων αἱ ἡμίονοι), ἢ τὴν γένεσιν αὐτόματον ἔχει καὶ ἀσυνδύαστον, ὡς μυῖαι καὶ ψύλλαι, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῶον μὲν ζῶον, φυτὸν δὲ φυτόν,

---

2 ἀριθμῷ] ποσῷ A^2 4 ἐκεῖ C 8 τῆς (post πάσης) om. AC 13 λόγον B 18 τῷ] τὸ BC 19 αὕτη] αὐτὸ B 20 τὰ πρὸς B 21 πρῶτα] immo ἕτερα 25 οὖν om. C 26 τὸ νοεῖν καὶ om. B 30 ἀνάγκῃ καὶ] ἂν δέοι A 31 οὖν om. C 34 ἧς] οἷς B 36 τε (post στεῖραι) om. A ἐνοῦχοι A 37 αἱ] οἱ A ἀσυνδοίαστον AC

ἵνα δὴ τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν, ᾗ δύνανται· πάντα γὰρ ἐκείνου ὀρέγονται, κἀκείνου ἕνεκα πράττει, ὅσα κατὰ φύσιν. καὶ ἄγγελοι μὲν καὶ ψυχαὶ λογικαὶ καὶ τῷ ἀριθμῷ τοῦ ἀιδίου μετέχουσιν· τὰ δὲ παρὰ ταῦτα καὶ ἐν γενέσει καὶ φθορᾷ τῷ εἴδει, τοῦτο δὲ τῇ διαδοχῇ. ἀπορήσειεν ἄν τις, εἴπερ φυσικώτατόν ἐστι τὸ ποιῆσαι οἷον αὐτό, ἕκαστον δὲ τοῦ ὁμοίου γεννητικόν· συμβήσεται ἢ καὶ ἐν τῇ ἀλόγῳ ἐνεῖναι τὴν γεννητικὴν δύναμιν, καὶ τὴν αἴσθησιν γεννᾶν αἴσθησιν καὶ τὸν θυμὸν θυμόν, καὶ ἐπὶ τῶν ἄλλων οὕτως, ἢ τὴν φυτικὴν γεννᾶν τὴν ἄλογον, ὡς εἶναι τὸ κρεῖττον παρὰ τοῦ χείρονος· τοῦτο δὲ ἄτοπον. μήποτ' οὖν, ὥσπερ τῶν αὐτομάτων ζώων τε καὶ φυτῶν ἡ γένεσις οὐκ ἐκ προϋποκειμένης ψυχῆς τῇ διαδοχῇ γίνεται, ἀλλὰ τῆς ὅλης ἐπιτηδείου γενομένης ὑπὸ τῆς ὅλης δημιουργίας ἐνίενται ἐν αὐτῇ τῶν βοτανῶν καὶ τῶν ζώων τὰ εἴδη καὶ αἱ ἐν αὐτοῖς ψυχικαὶ δυνάμεις, οὕτω καὶ ἐπὶ τῆς ἀλόγου ψυχῆς ἐν τοῖς ζώοις γίνεται, ἐκ τῆς ὅλης δημιουργίας ὑφισταμένης αὐτῆς. ἡ γόνιμος οὖν δύναμις τῆς ἀλόγου ψυχῆς οὐκ ἐν τῇ μερικῇ, ἀλλ' ἐν τῇ ὅλῃ φύσει, ἥτις γίνεται τῆς διαμονῆς τῶν ψυχικῶν εἰδῶν αἰτία. οὐδεμία δὲ περὶ τῆς λογικῆς ψυχῆς ἐν τούτῳ ἀπορία κατ' ἀριθμὸν ἐχούσης ἀιδιότητα, οὐδὲ προσδεὴς γονιμότητος. ἀλλ' εἰ πάντα τοῦ ἀεὶ ἐφίεται καὶ ἀγαθοῦ, καὶ διὰ τοῦτο τοῖς ἐμψύχοις ἡ γεννητικὴ ἐνέσπαρται δύναμις, πῶς ἐπὶ τῶν ἀψύχων ὁ λόγος εὐοδωθήσεται; οὐδὲ γὰρ τὴν γεννητικὴν ἔχει δύναμιν. λέγομεν οὖν ὅτι ἔνεστι κἀνταῦθα κατὰ τὰ μέτρα αὐτῶν τὴν τοιαύτην θεωρῆσαι ἐνέργειαν. ὡς γὰρ ἐν τοῖς ἐμψύχοις οὐχ ὁμοία ἡ ἔφεσις τοῦ τοιούτου, ἀλλ' ἐν μὲν τοῖς ζώοις τοῖς κινουμένοις κατὰ τόπον καὶ ὄρεξις ὑπὸ τῆς φύσεως ἐντέθειται παρορμῶσα καὶ διεγείρουσα πρὸς τὴν τοιαύτην ἐνέργειαν, καὶ ἐν αὐτοῖς δὲ τούτοις διαφορὰ πλείστη (ὁ μὲν γὰρ ἄνθρωπος καὶ ἐφιστάνει τῷ γινομένῳ δι' ὅ, αὐτομάτως δ' ἐν τοῖς φυτοῖς ἐπιγίνεται), οὕτως οὐδὲν θαυμαστόν, εἰ καὶ ὑφειμένως πως καὶ τὰ ἄψυχα τῆς τοιαύτης μετέχειν φανῶσι δυνάμεως. τὰ γὰρ στοιχεῖα φθαρτὰ ὄντα καὶ παθητὰ καὶ ὑπ' ἀλλήλων δρῶντα καὶ πάσχοντα, τό τε ἐπικρατοῦν ἕλκει τὸ ἕτερον καὶ πρὸς ἑαυτὸ μεταβάλλει, καὶ τοῦ ἐνταῦθα ὑπὸ θερμοῦ φθαρέντος ψυχροῦ ἀλλαχοῦ ἡ ἀνταπόδοσις γίνεται ἐπικρατοῦντος τοῦ ψυχροῦ διὰ τὸ παραμένειν τὰ εἴδη. καὶ τὰ μέταλλα δὲ φθειρόμενα πάλιν ἀνταποδίδοται· εἰ γὰρ καὶ μὴ ὅδε ὁ λίθος γεννᾷ ἑαυτῷ ὅμοιον, ἀλλ' ἥ γε τοῦ ὅλου μετάλλου ὁλότης γεννητικήν πως ἔχει τινὰ δύναμιν· καὶ ἔοικεν ὁ λίθος οὗτος τινὶ τῶν ἐν τοῖς ζώοις μορίων, αὐτὴ δὲ ἡ τοῦ μετάλλου ὁλότης ὅλῳ τῷ ζώῳ. καὶ γὰρ τοῖς ζώοις ἐν τοῖς ὅλοις ἡ γεννητικὴ δύναμις, οὐκ ἐν τοῖς μορίοις, καὶ καθάπερ σαρκός τινος ἀφαιρεθείσης ἀντ' αὐτῆς ἡ φύσις ἑτέραν ἐγέννησεν, οὕτω κἀν τοῖς μετάλλοις ἀντὶ τοῦ ἀφαιρεθέντος ἀποδίδοται ἕτερον. ἐπεὶ δ' ἅπαξ τοῦ τελικοῦ αἰτίου μεμνήμεθα καὶ τοῦ οὗ ἕνεκα, βραχέα ἄττα

1 μετέχουσιν AC ἐκείνου om. B 4 fort. ἀπορήσειε δ' 9 τούτοις B δὲ] δὴ BC 12 αἱ A Philoponus: om. BC τῆς] τοῖς C 17 γονιμότατος A 20 θεωρῆσαι] τεθεᾶσθαι A 23 παρορμῶσα] παροιστρῶσα A 26 φανῶ C 28 ἕλκοι C 32 γεννητικήν] κινητικόν B κινητικόν 33 μετάλλου ὁλότης in margine add. B 35 post καθάπερ add. ἐκεῖ A αὐτοῦ AC ἑτέραν ἡ φύσις A

περὶ τούτου διαλαβεῖν ἀναγκαῖον. διττὸν γὰρ τοῦτο, τὸ μὲν οὗ, τὸ δὲ ᾧ, οἷον τέλος μὲν τῷ οἰκοδόμῳ κατὰ τὴν οἰκίαν τὸ σκέπασμα ποιῆσαι κωλυτικὸν ὄμβρων καὶ καυμάτων, ἀλλ' ὡς οὗ· ἐπεὶ δὲ ἡμῖν τοῦτο ποιεῖ τοῖς ἐπιτάξασιν καὶ μισθωσαμένοις, ἔχοι ἂν καὶ ἡμᾶς ἄλλο τέλος ὡς ᾧ. ὡς γοῦν ἐπὶ τῶν τεχνητῶν, οὕτω καὶ ἐπὶ τῶν φύσει συνεστώτων ἔχει. ἡ μὲν γὰρ ἔφεσις ἁπλῶς τοῦ θείου, δι' ἣν ἕκαστον ποιεῖ τῶν ἐμψύχων ἄλλο οἷον αὐτό, τὸ οὗ· ἐπεὶ δὲ τῶν χρησαμένων ψυχῶν τὰ σώματα ὄργανα, καὶ ταύταις ἡ φύσις ἐπλάσατο, ἔχονται καὶ αὗται τέλος ὡς ᾧ. ἀναλογείτω γοῦν ὁ μὲν οἰκοδόμος τῇ φύσει, ἡ δὲ τῶν ὄμβρων καὶ καυμάτων ἀπαλέξησις τῇ ἐφέσει τοῦ ἀγαθοῦ, ὁ δὲ τῆς οἰκίας κύριος τῇ ψυχῇ, τῷ σώματι δὲ ἡ οἰκία. ἔχοι δ' ἂν οὕτω καὶ ἐπὶ τῶν φυτῶν· τό τε γὰρ σπέρμα ὄργανον ἐπ' αὐτῶν καὶ τὰ σώματα τῶν ἐν αὐτοῖς ψυχῶν. ἥ τε τῆς ἀιδιότητος ἔφεσις καὶ ἐν ἐκείνοις. ἐπὶ δὲ τῶν ἀψύχων οὐκ ἂν εἴη οὕτω προχωρῶν ὁ λόγος, οἷον ἐν τοῖς μετάλλοις. ἓν γὰρ ἐπὶ τούτοις τὸ οὗ ἕνεκα ἡ τοῦ ἀγαθοῦ ἔφεσις καὶ ἀεί, τὸ δὲ ᾧ οὐκ ἔστιν, ὡς μή τινων ὀργανικοῖς χρωμένων τοῖς ἐν τούτοις σώμασιν, ἀλλὰ προσεχῶς μὲν ὑπὸ ψύξεως συνεστώτων καὶ θερμότητος ἐπὶ τῇ ὑγρότητι καὶ ξηρότητι, ἐπιγραμμένως δὲ ὑπὸ τῆς ὅλης δημιουργίας· εἰ μήπου τις οὕτω διττὸν τὸ τέλος καὶ ἐπ' αὐτῶν θεωρεῖ, τὸ μὲν οὗ διὰ τὴν κοσμοποιίαν, τὸ δὲ ᾧ ἐπὶ τῷ κοσμῆσαι τὴν ὅλην, καθὸ καὶ πᾶν εἶδος ἐγγίνεται. τοσαῦτα παρεκβατικώτερον ἅπαντες πάλιν τῆς ἀκολουθίας ἐχώμεθα. ἐπεὶ γάρ, ὡς εἴρηται, κοινωνεῖν ἀδυνατεῖ τοῦ ἀεὶ καὶ τοῦ θείου τῇ συνεχείᾳ, διὰ τὸ μηδὲν ἐνδέχεσθαι τῶν φθαρτῶν τὸ αὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν, ᾗ μετέχειν ὡς ἕκαστον δύναται, ταύτῃ κοινωνεῖ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον· καὶ διαμένει οὐκ αὐτὸ ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ ἕν, εἴδει δὲ ἕν.

Ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος ἀρχὴ καὶ αἰτία. τούτων δὲ πολλαχῶς λεγομένων ὡς ποιητικόν, ὑλικόν, εἰδικὸν καὶ τελικόν, ἔξω τοῦ ὑλικοῦ κατὰ τοὺς ἄλλους τοὺς διωρισμένους τρεῖς τρόπους ἡ ψυχὴ αἴτιον σώματι· καὶ γὰρ ὅθεν ἡ κίνησις αὐτή, καὶ ὡς οὗ ἕνεκα, ἔτι δὲ καὶ ὡς οὐσία καὶ εἶδος τῶν ἐμψύχων σωμάτων. καὶ πρῶτον μὲν ὅτι οὐσία καὶ εἶδος, δῆλον· ὃ γὰρ αἴτιον τοῦ εἶναί τισι, τοῦτο καὶ οὐσία καὶ εἶδος αὐτῶν, τὸ ζῆν δὲ τοῖς ζῶσι τὸ εἶναι ἐστί, τούτου δὲ αἰτία καὶ ἀρχὴ ψυχή· ἔτι παντὸς τοῦ δυνάμει ὄντος ἡ ἐντελέχεια εἶδος καὶ λόγος ἐστίν, ἡ δὲ ψυχὴ τοῦ δυνάμει ζωὴν ἔχοντος σώματος ἐντελέχεια· ἡ ψυχὴ ἄρα οὐσία καὶ εἶδος τοῦ τοιούτου σώματος. φανερὸν δ' ὡς καὶ οὗ ἕνεκα καὶ ὡς τέλος αἰτία ψυχὴ σώματι· ἱκανῶς γὰρ ἀνωτέρω διείληπται. ὥσπερ γὰρ ὁ νοῦς ὁ πρακτικὸς ἕνεκά του ποιεῖ ἃ ποιεῖ (πάντα γὰρ αὐτῷ πρὸς τὸ τέλος νένευκεν, οἷον τῷ οἰκοδομοῦντι πρὸς τὴν οἰκίαν), τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ τοῦτ' ἐστὶν αὐτῇ τέλος. τοιοῦτον δὲ ἐν τοῖς ζώοις ἡ ψυχὴ καὶ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ καὶ ἔμψυχα σώματα τῆς ψυχῆς ὄργανα, καὶ καθάπερ ἐπὶ τῶν ζώων, οὕτω καὶ ἐπὶ τῶν

1 τούτου] αὐτοῦ AC 5 ἔχοι C 6 ἐπεὶ] ἐπὶ B 8 ἀναλογεῖ τῷ B
12 αὐτοῖς scripsi: αὐταῖς libri ἐπὶ] ἐπεὶ A¹ 16 θερμότητος] θερμότατον B 18 αὐτῶν] αὐτῷ AC 20 ἐχόμεθα AC 22 ὡς om. AC
23 κοινωνεῖν A 31 σώματι] σώματος A

φυτῶν· πρὸς γὰρ τὰς ἑκάστης ψυχῆς ἰδιοτρόπους ἐνεργείας καὶ ἡ διοργάνωσις τῶν δεξομένων σωμάτων ἐπηκολούθησε. διχῶς δὲ τὸ οὗ ἕνεκα, ὡς ἐλέγομεν, τό τε οὗ καὶ τὸ ᾧ· τὸ δεύτερον δὲ τῇ ψυχῇ προσηρμόττομεν· ἀλλὰ καὶ ὡς ποιητικόν, οὐκ οὐσίας μέντοι, ὅθεν δὲ ἡ κατὰ τόπον κίνησις, αἰτία τοῖς
5 ζῶσι ψυχή. οὐκ ἐν πᾶσι δὲ κατάρχει τοῖς ζῶσιν, ὡς πολλάκις εἴρηται, ἡ δύναμις αὕτη. ἔσται οὖν τὰ περὶ τὴν οὐσίαν τέσσαρα εἴδη τῶν κινήσεων, ἡ κατὰ τόπον, ἡ ἀλλοίωσις, ἡ αὔξησις καὶ ἡ φθίσις διὰ ψυχήν. καὶ ὡς μὲν ἡ κατὰ τόπον βουλήσει ψυχῆς τοῖς ζώοις προσγίνεται, οὐ δεῖται κατασκευῆς διὰ τὸ ἐναργές. ὅτι δὲ καὶ ἀλλοίωσις καὶ αὔξησις ἐν τοῖς ἐμψύχοις κατὰ
10 ψυχήν, ἔνθεν· ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ· δυνάμει γὰρ οὖσα ἄγεται εἰς ἐνέργειαν· αἰσθάνεται δ' οὐδὲν ὃ μὴ ψυχὴν ἔχει. ὁμοίως δὲ καὶ περὶ αὐξήσεως καὶ φθίσεως ἔχει· οὐδὲν γὰρ φθίνει οὐδ' αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δ' οὐδὲν ὃ μὴ κοινωνεῖ ζωῆς, οὐ κοινωνεῖ δὲ ζωῆς ὃ μηδὲ ψυχῆς. καὶ οὕτω μὲν αὐξήσεως ἐν τοῖς ἐμψύχοις ποιητικόν τι
15 τὴν ψυχὴν ἡμεῖς ὁριζόμεθα· Ἐμπεδοκλῆς δὲ οὐ καλῶς ποιεῖ ἐν τούτοις αὐτοῖς τὰς ῥοπὰς τῶν στοιχείων ἐπαιτιώμενος. εἴρηκε γὰρ τοῦτο προσθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν ῥιζουμένοις διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν, ἄνω δὲ διὰ τὸ πῦρ ὡσαύτως. πρῶτον μὲν τὸ ἄνω καὶ τὸ κάτω οὐ καλῶς λαμβάνει· οὐ γὰρ ταὐτὸ τοῖς ἄλλοις τὸ ἄνω καὶ κάτω καὶ
20 τῷ παντί, εἴπερ οὕτω δεῖ λέγειν ἐπὶ τοῦ κόσμου (τὸ δέ ἐστι πέριξ καὶ μέσον), ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζώων, οὕτως αἱ ῥίζαι τῶν φυτῶν. εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα καὶ ταὐτὰ τοῖς ἔργοις. ἄνω δὲ ἡ κεφαλὴ τοῖς ζώοις, ἐπείπερ ἐκεῖθεν διὰ τοῦ στόματος ἡ τῆς τροφῆς εἴσοδος. ὡς γὰρ ἔμπροσθεν λέγομεν, ἐφ' ὃ ἡ αἴσθησις, καὶ δεξιόν, ὅθεν ἡ κίνησις, οὕτω καὶ ἄνω, ὅθεν ἡ
25 τροφή, εἴτε καὶ ταυτίζεται τὸ τοῦ παντὸς ἄνω ὡς ἂν ἐπ' ἀνθρώπου, ἢ καὶ ἔστι διάφορον ὡς ἐπὶ τῶν ἀλόγων καὶ τῶν φυτῶν. πρὸς δὲ τούτοις τί τὸ συνέχον εἰς τἀναντία φερόμενον τὸ πῦρ καὶ τὴν γῆν; διασπασθήσεται γὰρ τὸ φυτόν, εἰ μή τι ἔσται τὸ κωλῦσον καὶ καθέξον· εἰ δὲ ἔστι, τοῦτο δὲ ἡ ψυχή, αὕτη καὶ αἰτία αὐτῷ τοῦ αὔξεσθαι καὶ τοῦ τρέφεσθαι. καὶ τί δεῖ
30 ἐγκαλεῖν Ἐμπεδοκλεῖ. ὃς μόνοις φυτοῖς καὶ μόνης αὐξήσεως καὶ ἐν μέρει τὸ πῦρ ᾐτιάσατο; ἀλλ' εἰσί τινες, οἷς καὶ δοκεῖ τὴν πυρὸς φύσιν ἁπλῶς καὶ μόνον αἰτίαν εἶναι πάσης τροφῆς καὶ αὐξήσεως. ὑπήχθησαν δὲ τῷ μόνον φαίνεσθαι τῶν σωμάτων καὶ τῶν στοιχείων τρεφόμενον καὶ αὐξόμενον· διὸ καὶ ἐν τοῖς ζώοις ὑπέλαβον τοῦτο εἶναι τὸ ἐργαζόμενον. ἐπὶ μὲν γὰρ τῶν
35 ἄλλων ἐναργῶς ὁ πλεονασμὸς πρόσθεσίς ἐστι· γῇ γὰρ γῇ καὶ ὕδωρ ὕδατι προστιθέμενον ὁμοίῳ ὅμοιον μᾶλλόν τι τὸ ὅλον γίνεται· ὧδε δὲ ἀνομοιοειδῶν προστιθεμένων, ξύλων ἢ τῶν τοιούτων, ὥσπερ ἐπὶ τῶν κυρίως τρεφομένων συμβαίνει τὰ τῆς τροφῆς καὶ αὐξήσεως. οὐχ οὕτω δὲ ἔχει, ἀλλὰ γένεσις μὲν πυρὸς τοῦτο κυρίως λέγοιτ' ἄν, τροφὴ δὲ ἢ αὔξησις οὐ πάνυ τοι· οὔτε γὰρ

4 μέντοι] μέντι BC 5 κατάρχει] incertum B 6 περὶ] πρὸς A¹: παρὰ A²
9 καὶ αὔξησις—10 ἀλλοίωσις om. C 14 μὴ δὲ libri ποιητικόν τι om. B
15 ἐν τούτοις ποιεῖ B 19 τὸ κάτω A 24 ἄνω ὅθεν] ἄνωθεν A¹ 32 μόνην A 36 ἀνομοειδῶν A¹ 39 πάνυ τι AC: fort. recte

ὀργανικόν. οὔτε παραμένει τὸ εἶδος τῷ ἀριθμῷ ταὐτὸν κἂν ἐπὶ βραχύ. ἔτι εἰ
καὶ συνεισφέρειν τὸ πῦρ πρὸς τὴν ἐν τοῖς ζώοις τροφήν τε καὶ αὔξησιν, συναί-
τιον μέν πως ἔσται καὶ ὄργανον (συνεισφέρει γὰρ πέττον τὴν τροφήν, ὑφ' ἧς
ἡ αὔξησις), οὐ μὴν ἁπλῶς γε αἴτιον. τί γὰρ μᾶλλον ἄν τις τῇ ψυχῇ ἀπο-
δοίη; τοσοῦτον γὰρ δέοι τὸ πῦρ τοῦ κυρίως αἴτιον εἶναι τροφῆς ἢ αὐξήσεως,
ὅτι καὶ χεῖρον ἢ κατὰ τὰ ὀργανικά. λόγῳ μὲν γὰρ τῷ τεχνικῷ τὸ ὄργανον
φθαρτόμενον οὐκ ἂν ἁμάρτοι τοῦ τέλους, παρεθὲν δὲ τῷ τεχνίτῃ βλάβης οὐδ'
ἂν τινὰ γένοιτο αἴτιον· τί γὰρ ποιήσει μηδενὸς κινοῦντος; τὸ δὲ πῦρ αὐτενέρ-
γητον ὂν βλάψει μᾶλλον ἢ ὠφελήσειεν· ἑψομένου γὰρ τοῦ σιτίου ἢ τοῦ φαρ-
μάκου εἴπερ μὴ ὑπὸ τοῦ μαγειρικοῦ ἢ ἰατρικοῦ κυβερνοῖτο, φθείροιτο ἂν τῷ
ἕψοντι πυρὶ καὶ τοῦ εἴδους ἐκσταίη. ἔτι ἡ μὲν τοῦ πυρὸς αὔξησις εἰς ἄπειρον,
ἕως ἂν ᾖ τὸ καυστὸν καὶ ἀφθονία χορηγουμένης ὕλης· τῶν δὲ φύσει
συνεστώτων πέρας ἐστὶ μεγέθους καὶ αὐξήσεως, καὶ μέτρῳ τοσῷδε ἑκάστῳ
προσήκοντι τὰ τῶν ἐμψύχων ὥρισται σώματα· ταῦτα δὲ ψυχῆς, ἀλλ' οὐ
πυρός, καὶ λόγου μᾶλλον ἢ ὕλης.

Ἐπεὶ δὲ τὰ μὲν προσδιορθούμενοι τὰ δὲ ἀποπεμπόμενοι ἐν τῷ μέσῳ
ἱκανῶς ἠσχολήμεθα, πάλιν τῆς ἀρχῆς ἁψόμεθα. ἦν δὲ ὁ λόγος περὶ τῆς
θρεπτικῆς δυνάμεως. οὐ δεῖ δὲ λανθάνειν, ὡς ἐπὶ μὲν τῶν ἄλλων ταῦτα κε-
χώρισται (ἕτερον γὰρ τῷ εἴδει τροφὴ καὶ τρεφόμενον καὶ ὁρῶν καὶ ὁρώμενον
καὶ τὰ λοιπά), ἐπὶ δὲ τοῦ γεννῶντος καὶ γεννωμένου ταὐτόν· ὅμοιον γάρ.
οὕτω δέ πως ἔχει καὶ ἐπὶ τοῦ αὐξομένου καὶ αὔξοντος· ἔνδον γάρ. ὃ δὲ περὶ
αὐξήσεως καὶ γεννήσεως εἰρηκέναι φθάνομεν, ὡς κἂν τῷ παρόντι μετρίως
ἔχοντι ἐξαρκούμενοι. τὸ πάλιν λέγειν ὑπερτιθέμεθα· ἄλλως τε, ἐπείπερ ταῦτα
ἔργα καὶ τέλη τοῦ θρεπτικοῦ γεννῆσαι καὶ αὐξῆσαι, ὅσα ἂν περὶ τροφῆς εἴποιμεν,
ταῦτα καὶ ὑπὲρ αὐτῶν λέγομεν. δεῖ γὰρ ἑκάστῳ τοῦ ἀεὶ εἶναι, τοῦτο δὲ ἐν
τοῖς ζώοις διὰ γεννήσεως. γέννησις δὲ προσδεὴς αὐξήσεως· ἔστι γάρ τι μέτρον
τοῖς σώμασιν. ὃ φθάσαντα ἐντελῶς ἔχει πρὸς γέννησιν· τροφῇ δὲ τὰ ἔμψυχα
καὶ αὔξονται καὶ συνίστανται τελειούμενα. ἐπεὶ οὖν ἡ αὐτὴ δύναμις τῆς ψυχῆς
θρεπτικὴ καὶ γεννητικὴ καὶ αὐξητική, περὶ τροφῆς ἀναγκαῖον διορίσαι μόνης
(εἴη ἂν ἐν τούτῳ καὶ τὰ περὶ ἐκείνων διωρισμένα), καὶ πρῶτον· τῶν γὰρ
ἄλλων ψυχικῶν δυνάμεων προτεθήσεται. ἀφορίζεται δ' αὕτη πρὸς τὰς ἄλλας
δυνάμεις τῷ ἔργῳ τούτῳ τῷ τρέφειν. δύο δὲ περὶ τροφῆς δόξαι τοῖς παλαιο-
τέροις εἰσήγηνται. ἡ μὲν τῷ ὁμοίῳ τρέφεσθαι λέγουσα, ἡ δὲ τῷ ἐναντίῳ.
ἄμφω δ' ὡς μὲν ἀληθῆ, ὡς δὲ ψευδῆ· καὶ κατά τι ταὐτὸν καὶ διάφορον οἱ
τῶν ἑκατέρων δοξῶν προϊστάμενοι λέγουσι. θεωρητέον τοῦτο δὴ τοῖς ἑξῆς.
δοκεῖ γὰρ εἶναι ἡ τροφὴ τὸ ἐναντίον, ὡς ἀπαθοῦς ὄντος τοῦ ὁμοίου. πάσχει
δὲ τὸ τρέφον ὑπὸ τοῦ τρεφομένου πεττόμενον καὶ μεταβάλλει κινούμενον·
πᾶσα δὲ μεταβολὴ ἢ εἰς τὸ ἐναντίον ἢ εἰς τὸ μεταξύ. πάσχει δὲ ἡ τροφὴ
ὑπὸ τοῦ τρεφομένου, ἀλλ' οὐ τοῦτο ὑπὸ τῆς τροφῆς, ὅτιπερ οὐδ' ὁ τέκτων

4 οὐ μὴ A^1 ἀποδώη A 8 αὐτενέργητον scripsi: ἀντενέργητον libri
10 ἰατροῦ C 17 ἁψώμεθα A 21 κἀπὶ AC ὃ δὲ] ὅδε B 23 ἔχον-
τος A 27 φθάσασιν ἐντελεχῶς B 30 πρῶτον] ὡς πρώτον A^2 γὰρ ex-
punxit A^2 31 προτεθήσονται B 38 εἰς (ante τὸ μεταξύ) om. A

ὑπὸ τῆς ὕλης, ἀλλ' ὑπ' ἐκείνου αὕτη· ὁ δὲ τέκτων μεταβάλλει μόνον εἰς ἐνέργειαν ἐξ ἀργίας. ποιητικὸν γάρ τι καὶ ἀπαθὲς τὸ τρεφόμενον, ἐπεὶ τὸ μὲν τὸ αὐτὸ κατ' εἶδος μένει, τὸ δὲ μεταβάλλει· καὶ ὥσπερ ὁ τεχνίτης μὴ μεταβαλὼν κατὰ πάθος κινεῖται πρὸς ἐνέργειαν, τὴν τῆς ἐν αὐτῷ δυνάμεως τελειό-
5 τητα. οὕτω κἀνταῦθα οὐ τὸ τρέφεσθαι πάσχειν, ἀλλὰ τῆς θρεπτικῆς τελειότης δυνάμεως· τοῦτο δὲ τῆς μεταβολῆς οὐδὲ κίνησις ἂν καλοῖτο κυρίως ἀλλ' ἢ γένεσις τελειότητος. οὐ πᾶν δὲ παντὶ τῷ ἐναντίῳ, ὥσπερ καὶ γίνεται, οὕτω καὶ τρέφεται, ἀλλ' ὅσα μὴ μόνον γένεσιν ἐξ ἀλλήλων ἔχει, ἀλλὰ καὶ αὔξησιν. γίνεται γὰρ πολλὰ ἐξ ἀλλήλων, ἀλλ' οὐ πάντως καὶ τρέφει, οἷον ὑγιὲς ἐκ κάμ-
10 νοντος καὶ μέλαν ἐκ λευκοῦ, ὧν οὐδὲν οὐδενὸς τροφή. ὕδωρ δὲ εἰς πῦρ μεταβαλὸν καὶ θρέψαι λέγεται, ὅτι καὶ ηὔξησεν· ἔλαιον γὰρ καὶ κηρός, οἷς τὸ πῦρ τρέφεται, ὕδωρ ἐστὶ πεπονθός τι· καὶ ξύλα δὲ καὶ εἴ τι ἄλλο τῷ ὁπωσοῦν μετέχειν ὑγρότητος καίεται. τὰ γὰρ πάντη κατεξηραμμένα οἷα τὰ σεσηπότα οὐδὲν ὑπὸ πυρὸς πάσχειν δύναται. οὐχ ὥσπερ δὲ τῷ ὑγρῷ τρέφε-
15 σθαι τὸ πῦρ λέγομεν, ἤδη καὶ ἀντιστρέψαντες τροφὴν ὕδατος τὴν εἰς αὐτὸ μεταβολὴν τοῦ πυρὸς εἴποιμεν. λόγος δὲ ὅτι τὸ μὲν ὑλικώτερον, τὸ δὲ εἰδικώτερον, καὶ τὸ μὲν δραστικώτατον καὶ λεπτομερέστατον, τὸ δὲ οὐχ οὕτω. τὸ δὲ αὐξόμενον τὸ εἶδος ἐστίν, οὐχ ἡ ὕλη, ὥσπερ ἐν ἄλλοις εἴρηται. τὸ γὰρ αὐξόμενον ἓν εἶναι τῷ ἀριθμῷ πρότερον δεῖ· ἡ δὲ ὕλη ἀπόρρυτος ἀεὶ καὶ
20 ἐπίρρυτος οὖσα καὶ διὰ τοῦτο μὴ ὑπομένουσα ὡς τὸ διὰ σωλῆνος ἰὸν ὕδωρ πῶς ἔσται αὐξόμενον; ἔν τε ταῖς μεταβολαῖς καὶ ταῖς κράσεσι τὴν ἐπὶ τὸ κρεῖττον γένεσιν μὲν ἁπλῶς, φθορὰν δέ τινα ὀνομάζομεν· ἐπικρατούντων δὲ τῶν χειρόνων τὸ ἔμπαλιν. διὰ ταῦτα οὐ τὸν αὐτὸν τρόπον φαίνεται εἶναι ἀλλήλων τροφή, ἀλλὰ τῷ πυρὶ μὲν τὸ ὕδωρ τροφή, τὸ δὲ πῦρ οὐ τρέφει τὸ
25 ὕδωρ. ἐν μὲν οὖν τοῖς ἁπλοῖς σώμασι ταῦτ' εἶναι δοκεῖ μάλιστα τὸ μὲν τροφή, τὸ δὲ τρεφόμενον. καὶ τοιαῦτα μὲν οὖν οἱ τῷ ἐναντίῳ τρέφεσθαι ἰσχυριζόμενοι λέγουσιν· οἱ δὲ τοσοῦτον δέουσι λέγειν τρέφειν τὸ ἐναντίον, ὅτι μηδὲ τὸ οἰκεῖον, εἰ μὴ ἀκριβέστατον· οὔτε γὰρ ἡ ἐν τῇ γαστρὶ χυλοποίησις οὔτε ἡ ἐν ἥπατι ἐξαιμάτωσις, οὐδ' ἡ ἀνάδοσις οὐδ' ἡ πρόσθεσις αὔξησις ἢ
30 τροφή, εἰ μὴ παρ' ὅσον ἡ πρόσφυσις καὶ ὁμοίωσις· σαρκὶ γὰρ ἡ σὰρξ τρέφεται καὶ ὀστοῦν ὀστῷ καὶ τὰ λοιπὰ τῶν ὁμοιομερῶν οὕτως. ἐπεὶ δ' ἑκατέρως τῷ λόγῳ τὸ ἄπορον, ἣν ἂν διαφορὰν ἐπὶ τῆς τροφῆς εὕρωμεν, αὕτη καὶ λύσις ἔσται, καὶ πρὸς ταύτην οἱ λόγοι διαιτηθήσονται. ἡμῖν δὲ ὡς εἴθος διαπορεῖν καὶ περὶ τῶν ἐναργῶν, οὕτω τὸν λόγον προάγομεν. πότερον δέ ἐστιν ἡ τροφὴ
35 τὸ τελευταῖον προσγινόμενον ἢ τὸ πρῶτον. ἔχει διαφοράν, καὶ αὕτη λύσις· ἐπεὶ γὰρ ἄμφω τροφαὶ ὁ ἄρτος καὶ τὸ αἷμα, ἡ μὲν πρώτη, ἡ δὲ τελευταία, καὶ ἡ μὲν ἄπεπτος, ἡ δὲ πεπεμμένη, ἀμφοτέρως ἂν ἐνδέχοιτο τὴν τροφὴν λέγειν καὶ ἐναντίαν τῷ τρεφομένῳ καὶ ὁμοίαν· ᾗ μὲν ἄπεπτος, τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεται, ᾗ δὲ πεπεμμένη, τῷ ὁμοίῳ τὸ ὅμοιον. ὥστε φανερὸν

---

5 τῷ τρέφεσθαι AC 6. 7 ἢ γένεσις A 7 οὕτω om. B 9 ἐκκάμνοντες B 11 μεταβαλὼν AC 13 κατεξηραμένα B 16 εἰδικώτατον B 18 ὥσπερ] ὡσ κἀν A ἐν ἄλλοις de Gener. et corr. A, 5 p. 321b sq. 29 ὕπατι A 32 εὕρομεν AC 38 ὅμοιον A

ὅτι λέγουσι τινὰ τρόπον ἀμφότεροι καὶ ὀρθῶς καὶ οὐκ ὀρθῶς. ἐπεὶ δὲ οὐδὲν τρέφεται μὴ μετέχον ζωῆς (ἐλάθομεν γὰρ ἡμεῖς καταχρώμενοι τῷ τοῖς πολλοῖς φυρεσθαι τροφὴν καὶ αὔξησιν ἀνωτέρω κατηγοροῦντες τοῦ πυρός), τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον, ᾗ ἔμψυχον· οὐ γὰρ τῷ τρέφεσθαι ἔμψυχον, ἀλλ' ὅτι ἔμψυχον τρέφεται· ὥστε καὶ ἡ τροφὴ πρὸς ἔμψυχον ἔσται καὶ οὐ κατὰ συμβεβηκός. ἔστι δ' ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι· ᾗ μὲν γὰρ ποσόν τι τὸ προσφερόμενον, αὐξητικόν, ᾗ δὲ τόδε τι καὶ οὐσία, τροφή· σώζει γὰρ τὴν οὐσίαν, καὶ μέχρι τούτου τὸ πρᾶγμά ἐστιν, ἕως ἂν τρέφηται. ἐπεὶ γὰρ τὸ τρεφόμενον καὶ εἰδός ἐστι καὶ πεπόσωται (ζῶον γὰρ τυχὸν ἢ φυτόν, καὶ τοσόνδε), κατὰ τὰ αὐτὰ δὲ καὶ ἡ τροφή, ἄρτος τυχὸν ἢ οἶνος, καὶ τοιοῦτος, ᾗ μὲν εἶδος, σώζει τὸ εἶδος προστιθεμένη ᾧ προστίθεται, ᾗ δὲ ποσόν, τὴν κατὰ μέγεθος τοῦ τρεφομένου ποιεῖται ἐπίδοσιν· καὶ ὅταν μὲν εἴη τὸ εἰσαγόμενον πλέον τοῦ ἀπορρέοντος, πρὸς οἷς τρέφεται καὶ αὔξεται, ὅταν δὲ ἔλαττον, φθίνει· στάσις δὲ τοῦ ὄγκου καὶ σωτηρία μόνη τοῦ εἴδους, ὅταν ἴσον. ἔστι δ' ὅτε καὶ πλείονος τῆς τροφῆς οὔσης οὐκ αὔξεται τὸ σῶμα ὡς ἤδη ἀπακμαζόντων τῷ χρόνῳ τῶν μορίων καὶ σκληροτέρων ἢ ὅσον τροφῇ ἐπεκτείνεσθαι γεγονότων· ὅθεν παισὶ μὲν ὑγροτέροις οὖσιν εὐεκτότερα τὰ ὀστᾶ καὶ τάχιστα αὔξεται, πρεσβυτέροις δὲ τοὐναντίον. ὥσπερ δὲ ἡ θρεπτικὴ δύναμις καὶ τρέφει καὶ αὔξει κατ' ἄλλο καὶ ἄλλο, οὕτω καὶ γεννήσεως ἡ αὐτὴ ποιητικὴ οὐ τοῦ τρεφομένου καὶ παρόντος (ἤδη γάρ ἐστιν αὐτοῦ ἡ οὐσία), ἀλλ' οἷον τὸ τρεφόμενον· γεννᾷ δ' οὐδὲν αὐτὸ ἑαυτό, ἀλλὰ σώζει μόνον. πρός τε δὲ τῆς τροφῆς τὴν ποσότητα καὶ ποιότητα καὶ τὸ σπέρμα περίττωμα τροφῆς ὂν ἢ μειοῦται ἢ αὔξεται· ὥστε ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχή, τὴν θρεπτικὴν λέγω, δύναμίς ἐστιν οἵα σώζειν τὸ ἔχον αὐτὴν ἢ τοιοῦτον, ἡ δὲ τροφὴ παρασκευάζειν ταύτῃ ἐνεργεῖν τὰ οἰκεῖα. διὸ τὸ στερηθὲν τροφῆς οὐ δύναται εἶναι. ἀλλὰ θρεπτικὸν τοῦτο· τἆλλα δέ, εἴπερ δεῖ καὶ ταῦτα ὁρίσασθαι, ἔστιν αὐξητικὸν δύναμις ψυχῆς ἄγουσα εἰς τελείωσιν εἴδους τοῦ ἔχοντος αὐτήν, εἰς ὃ γεγονὸς δύναται ἐκτελεῖν πάσας τὰς ἐνεργείας τὰς φυσικάς· γεννητικὸν δὲ δύναμις καὶ αὐτὸ ψυχῆς οἵα τε οὖσα παρασκευάζειν τὸ ἔχον αὐτὴν ποιεῖν ἕτερον οἷον αὐτὸ κατ' ἔφεσιν τῆς ἐν τῷ πρώτῳ ἀιδιότητος. ἐπεὶ δ' ἐστὶ τρία τὸ τρεφόμενον καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον, τὸ μὲν τρέφον ἐστὶν ἡ ψυχή, τὸ δὲ τρεφόμενον τὸ ἔχον αὐτὴν σῶμα, ᾧ δὲ τρέφεται, ἡ τροφή. ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους καὶ τοῦ ἔργου ἅπαντα προσαγορεύειν δίκαιον, τέλος δὲ τῆς θρεπτικῆς τὸ γεννῆσαι οἷον αὐτό, εἴη ἂν ἁπλῶς ἡ πρώτη ψυχὴ καὶ φυτικὴ γεννητικὴ οἷον αὐτό· καὶ οὗτος δεύτερος ὁρισμὸς αὐτῆς. ἔτι ἔστιν ᾧ τρέφεται διττόν, τὸ μὲν ὡς ὕλη οἷον ἡ τροφή, ὥσπερ εἴρηται, τὸ δὲ ὡς ὄργανον· καὶ τοῦτο αὖ διττόν, ὥσπερ καὶ ᾧ κυβερνᾷ ὁ πλωτήρ, ἡ χεὶρ καὶ τὸ πηδάλιον, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ κινούμενον μόνως. τῷ μὲν οὖν ἐμφύτῳ θερμῷ καὶ ᾧ τροφὴ πέττεται ἀναλογείτω ἡ χείρ, κινουμένῳ μὲν ὑπὸ ψυχῆς, κινοῦντι δὲ τὰ ὀργανικὰ τῆς τροφῆς μέλη, στόμα, ὀδόντας, κοιλίαν, ἧπαρ καὶ

---

6 τροφὴ AC 11 σώζειν A 16 ᾗ] ἢ A τροφὴ A 24 λέγω] ὀγω A¹ 25 παρασκευάζει A: fort. recte 28 τὰς φυσικὰς ἐνεργείας AC γεννητικὴ B 40 καὶ ἧπαρ A

τἆλλα ἃ κινεῖται μόνως, οὐ κινεῖ δέ, ὥσπερ καὶ τὸ πηδάλιον. εἰ δέ τις δοίη κινεῖν τὴν ναῦν, ἔσται τι ἴσως καὶ αὐτὰ κινοῦντα, τὴν τροφήν. φανερὸν οὖν ὅτι πᾶν ἔμψυχον ἀνάγκη ἔχειν θερμότητα· ἔργον γὰρ πέψις θερμοῦ. τόπῳ μὲν οὖν τί ἐστι τροφὴ εἴρηται· διασαφητέον δὲ ὕστερον περὶ αὐτῆς ἐν τοῖς
5 οἰκείοις λόγοις· ἐν γὰρ τοῖς Περὶ ζώων γενέσεως, ὅταν τὸ σπέρμα περίττωμα τροφῆς λέγωμεν καὶ περὶ τῆς ἁπλῶς τροφῆς διαληψόμεθα.

Διωρισμένων δὲ τούτων λέγομεν κοινῇ περὶ πάσης αἰσθήσεως. ὥσπερ 115
δὲ ἁπλῶς περὶ πάσης ψυχῆς ἐν τοῖς κατ' ἀρχὰς ἐζητήσαμεν καὶ κοινόν τινα λόγον ὁλοσχερώτερον ἐπὶ κεφαλαίου ἀποδεδώκαμεν, εἶτα πρὸς τὰς κατ' εἴδος
10 τὴν σκέψιν πεποιήμεθα, οὕτω κἀνταῦθα πρὸ τῶν κατὰ μέρος αἰσθητῶν καὶ αἰσθήσεων περὶ τῆς ὅλης αἰσθήσεως καὶ τοῦ ἁπλῶς αἰσθητοῦ εἰπεῖν ἐπιβάλλομεν, εἴ πως ἀμωσγέπως, ὥσπερ ἐκεῖ, ἀποδοῦναι κοινόν τινα λόγον ἰσχύσαιμεν. συλλαμβάνομεν δὲ κατὰ τὸ εἰωθὸς καὶ ὅσα συντείνει πρὸς τὴν λῆψιν τοῦ ὁρισμοῦ, ὅθεν καὶ ἀναγκαίως ὁ λόγος παρεκταθήσεται διὰ τὰς ἐν μέσῳ
15 ἀσχολίας. καὶ πρῶτον ὅτι ἡ αἴσθησις ἐν τῷ κινεῖσθαι καὶ πάσχειν συμβαίνει. καθάπερ εἴρηται. δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι· τῇ τε γὰρ τῶν αἰσθητῶν ἀντιλήψει τοίως ἢ τοίως διατιθεμένη ἀλλοιοῦσθαι δόξειεν ἄν· τοῦτο δὲ κίνησις. ἐπεὶ δ' ἅπαξ τὸ πάσχειν καὶ κινεῖσθαι τὴν αἴσθησιν ἐνεδώκαμεν, κοινῶς περὶ τοῦ ποιεῖν καὶ πάσχειν ἐπαπορήσωμεν, ἵν' ἔχοιμεν καὶ ἰδίως τι
20 λέγειν περὶ αἰσθήσεως. πότερον τῷ ἐναντίῳ πάσχει τὸ ἐναντίον καὶ ποιεῖ, ἢ ὑφ' ὁμοίου τὸ ὅμοιον, ὡς φασί τινες; ἢ καὶ ἄμφω πῶς μὲν πῶς δ' οὐ τῷ δυνάμει καὶ ἐνεργείᾳ, ὡς μικρῷ πρόσθεν διεστειλάμεθα. καὶ ἐν τοῖς καθόλου λόγοις ἱκανῶς ἐπεστήσαμεν, πῶς τοῦτο δυνατὸν καὶ ὅπως ἀδύνατον· οὐδὲν δὲ κωλύει καὶ νῦν ἐπὶ βραχὺ διελθεῖν. οὔτ' οὖν τὰ πάντη ταὐτὰ οὔτε τὰ ἕτερα
25 πάντη πάθοι ἢ δράσοι πρὸς ἄλληλα. ἀλλὰ τὰ ἐνεργείᾳ μὲν ἕτερα δυνάμει δὲ ταὐτὰ πάσχει ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ κινούμενα· τί γὰρ πάθοι φωνὴ ὑπὸ χρώματος ἢ ὄψις ὑπὸ ὀδμῆς; τί δὲ ὕδωρ ὑφ' ὕδατος ἢ πῦρ ὑπὸ πυρός; ὕδωρ δὲ πυρὶ καὶ πῦρ ὕδατι δρῶσι καὶ πάσχουσι δυνάμει ὄντα ταὐτά· δυνάμει δὲ ταὐτὸν καὶ τῷ αἰσθητῷ αἴσθησις, ἐνεργείᾳ δ' οὔ. ἔτι καὶ τοῦτο
30 ζητήσωμεν· ἔχει [καὶ] γὰρ ἀπορίαν ἀρκοῦσαν, ἣν κάλλιον ἢν εἰ μετὰ πολλὰ προτεθείκαμεν, ἀλλὰ μὴ νῦν ὑπὸ προθυμίας ὀλιγωρήσαντες· τί δήποτε καὶ τῶν αἰσθήσεων αὐτῶν οὐ γίνεται αἴσθησις, καὶ διὰ τί ἄνευ τῶν ἔξω οὐ ποιοῦσιν αἴσθησιν, ἐνόντος πυρὸς καὶ τῶν ἄλλων στοιχείων, ὧν ἐστιν αἴσθησις καὶ τῶν καθ' αὑτὸ προσόντων καὶ οὐσιωδῶς αὐτοῖς, ὡς ἁφὴ θερμότητος καὶ
35 ψυχρότητος καὶ τῶν ἐναντίων, καὶ τῶν κατὰ συμβεβηκός, ὡς ἕτεραι. ἔδει γάρ, εἴπερ ἀντιληπτικὴ τῶν αἰσθητῶν αἴσθησις, αἰσθητὰ δὲ καὶ τὰ αἰσθητήρια, δι' ὧν αἰσθανόμεθα, καὶ τούτων ἀντιλαμβάνεσθαι, καὶ τὸν ὀφθαλμὸν αὐτὸν ὁρᾶν ἔδει καὶ μηδενὸς ἔξωθεν παρόντος. λύεται δέ, ὅτι τὸ αἰσθητικὸν οὐκ ἔστιν

---

1 κινεῖτ' ὥσπερ A¹ 3 γὰρ om. C 4 τί scripsi: τίς libri 5 Περὶ ζώων γενέσεως] De An. gener. A, 18 p. 724ᵃ 14 sqq. 8 ἐζητήσαμεν B: ἐξαιτήσαμεν A 9 ἀποδώκαμεν C εἴδη AC 10 ἐπεποιήμεθα A 14 παρεκταθήσεται libri 22 ἐν τοῖς καθόλου λόγοις de Gener. et corr. A, 7 p. 323ᵇ 26 ἀπὸ τοῦ] ἀποῦ C 28 καὶ δρῶσι AC 29 αἴσθησιν B 30 καὶ delevi 37 ὁρᾶν αὐτὸν A

ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον. πᾶν δὲ τὸ δυνάμει προάγεται ὑπό τινος ἐνεργείᾳ ὄντος· καὶ καθάπερ τὸ καυστὸν δυνάμει οἷον ξύλον ἢ ἔλαιον οὐ καίεται αὐτὸ καθ' αὑτὸ ἄνευ τοῦ καυστικοῦ (ἕκαιε γὰρ ἂν αὐτό, καὶ οὐδὲν ἐδεῖτο τοῦ ἐντελεχείᾳ πυρὸς ὄντος), οὕτω τοι κἀνταῦθα. ἀναλογεῖ γὰρ τῷ μὲν καυστῷ ἡ αἴσθησις, τῷ δὲ πυρὶ τὸ αἰσθητόν. ὅτι δὲ δυνάμει μόνον ἡ αἴσθησις τῇ ἀπουσίᾳ τῶν αἰσθητῶν, δῆλον ἐκεῖθεν· ἐπεὶ γὰρ τὸ αἰσθανόμενον λέγεται διττῶς (τό τε γὰρ δυνάμει ἀκοῦον καὶ ὁρῶν ἀκούειν καὶ ὁρᾶν λέγομεν, κἂν τυχοι κοιμῶμενον, καὶ τὸ ἤδη ἐνεργοῦν), διχῶς ἂν καὶ ἡ αἴσθησις λέγοιτο, ἡ μὲν ὡς δύναμις, ἡ δὲ ὡς ἐνέργεια. πάσχει δὲ πᾶν δυνάμει καὶ κινεῖται ὑπὸ
10 τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος. διὸ ἔστι μὲν ὡς ὑπὸ τοῦ ὁμοίου πάσχει ἡ αἴσθησις τοῦ αἰσθητοῦ, ἔστι δ' ὡς ὑπὸ τοῦ ἀνομοίου, καθάπερ εἴπομεν· πάσχει γὰρ τὸ ἀνόμοιον, πεπονθὸς δὲ ὅμοιον γίνεται. ἀλλὰ τί ταῦτα πρὸς τὸ ζητούμενον; ἐοίκαμεν γὰρ πόρρω βάλλειν ἢ καθ' ἑαυτῶν· εἰ γὰρ ἡ αἴσθησις δύναμις, τελειοῦται δὲ τῇ θίξει τοῦ αἰσθητοῦ, αἰσθητὸν δὲ τὸ ἐν τῷ
15 ὀφθαλμῷ ὑγρὸν τά τε χρώματα καὶ οἱ διάφοροι χιτῶνες, πῶς ἔγγιον ὄντα οὐ μᾶλλον τελειοῦσι τὴν ὅρασιν, ἵν' ὁρατὰ χρηματίσωσιν; ἢ μὴ μόνης εἶναι τὴν αἰσθητικὴν ἐνέργειαν αὐτῆς τῆς αἰσθητικῆς δυνάμεως, ἀλλὰ τοῦ συνάμφω, τοῦ αἰσθητηρίου καὶ τῆς δυνάμεως· δεῖσθαι δὲ καὶ τοῦ μεταξὺ πᾶσαν αἴσθησιν· μέσον δὲ ὁρῶντος καὶ ὁρωμένου τὸ διαφανές, ὅτε πεφωτισμένον ᾖ. πῶς οὖν
20 ἡ ὄψις αὐτὴ γυμνὴ περί τι ἐνεργήσει μὴ ἔχουσα ὄργανον καὶ ἀμέσως; εἰ οὖν δεήσει τὴν ὄψιν τὸν ὀφθαλμὸν ἰδεῖν, δεήσει καὶ ὀργάνου. τί δὲ οἰκειότερον ὀφθαλμοῦ τῇ ὄψει ὄργανον; ὀφθαλμὸς δὲ τὸ ὑγρὸν καὶ λευκὸν καὶ τἆλλα· ὥστε εἰ τὸν ὀφθαλμὸν ὀφθῆναι δεῖ, ἑτέρου ὀφθαλμοῦ ἀοράτου χρεία, καὶ εἰ κἀκεῖνον, ἄλλου· καὶ τοῦτο εἰς ἄπειρον. καὶ ὁ τοιοῦτος ἐπὶ πάσης
25 αἰσθήσεως προχωρήσει λόγος· οὐ γάρ ἐστιν ἡ αἴσθησις ὁ πολύτιμος νοῦς αὐτὸς καθ' ἑαυτὸν ἐνεργῶν, μηδενὸς τῶν σωματικῶν προσδεόμενος πρὸς τὴν τῶν νοουμένων ἀντίληψιν, καὶ ἐντὸς καὶ ὅτε καὶ ὅπως βούλεται πρὸς ἑαυτὸν ἐπιστρέφων αὐτὸς αὑτῷ ταμίας καὶ τῆς ἠρεμίας καὶ τῆς κινήσεως· ἀλλ' ἐκτὸς ἐνεργεῖ καὶ μεθ' ἑτέρου τοῦ σώματος, καὶ ὅτε τὰ αἰσθητὰ πάρεισι, πρὸς
30 ἑαυτὴν ἀνεπίστροφος. ἔνθεν καὶ τῇ τῶν αἰσθητῶν ὑπερβολῇ φθείρεται. σώματι γὰρ προσχρῆται συγγενεῖ τοῦ πάθους καὶ κάμνει πονοῦσα καὶ ὕπνου δεῖται· οὗτος γὰρ ἀργία αἰσθήσεως. ὧν οὐδὲν περὶ τὴν ἄυπνον καὶ ἄυλον καὶ νοερὰν ὁρᾶται φύσιν. οὔπω δὲ τέλος ἱκόμεθα μύθων, ἀλλ' ὅσῳ καρτερώτερον ἀπηντήσαμεν, τοσούτῳ δυσχερεστέρως ἀπαλλαττόμεθα. πῶς γὰρ διω-
35 σόμεθα, εἴ τις εἰς πυρετοὺς ἡμᾶς ἐμβάλῃ ἢ ἐπιρρεύσει τοῖς ὀφθαλμοῖς ἴκτερον ἢ ἐπίχυμα, εἶτ' ἄγχων καὶ μηδ' ἀναπνεῖν ἐῶν ἐριστικώτερον ἐρωτᾷ, εἰ αὐτῶν συνῃσθήμεθα, οὕτω τε φύσιν ἔχοντες, ἢ μή. εἰ μὲν οὖν ἀπαλλαγῆναι σπεύδοντες μηδὲ συναισθέσθαι ἰσχυρισόμεθα τὴν ἀρχήν, οὐκ ἂν τούτῳ μόνῳ ἀρκέ-

7 διχῶς AC 19 ᾖ] εἰ C 20 εἰ οὖν—21 ὀργάνου in marg. add. B
23 τὸ B: τ̈ C 24 εἰς om. C 27 βούληται A 28 αὐτῷ C 29 ante πρὸς add. καὶ AC 30 ἡ—ὑπερβολῇ C 35 ἡμᾶς εἰς πυρετοὺς AC ἐμβάλοι A
36 αὐτῶν scripsi: αὐτῶν libri 37 τε] περὶ C A¹: παρὰ A² 38 τούτῳ] οὕτω B

σαιμεν γέλωτος. ἀλλ' οὐδὲ τοὺς ἄλλους λάθοιμεν οὕτως ἀναισθήτως ἔχοντες· εἰ δ' ὁμολογήσαιμεν, τί δ' ἂν ἔτι μεμφοίμεθα εὐκαίρως ἡμᾶς ὀνειδίζοντι αὐτοὺς ἑαυτοῖς ἀντιλέγοντας καὶ οὕτω παρὰ πόδας ἄνω βαλλομένους κάτω; εἰ γὰρ τούτῳ μὴ αἰσθάνεσθαι τῶν οἰκείων ὀργάνων τὴν αἴσθησιν ἠτιώμεθα τῷ μὴ χωριστῶς ἐνεργεῖν, δεῖσθαι δὲ καὶ τοῦ μεταξύ. πῶς ἀφῇ μὲν τῆς ἐντὸς τοῦ πυρετοῦ θερμότητος αἰσθανόμεθα, ὠχρὰ δὲ τοῖς ἰκτεριῶσι τὰ ἔξω φαίνεται, αὐτὸ τοῦτο τοῦ αἰσθητηρίου πάσχοντος, καὶ κωνώπια ὡς πρὸ τῶν ὀφθαλμῶν ὁρῶμεν τὰ ἐντὸς συνεστῶτα τῶν ἐπιχύσεων, ἢ διχοτομουμένην τὴν κόρην, ὅταν τινὶ νεφέλη διείργηται; ταῦτά τε εἴποιεν καὶ ἕτερ' ἄττα· ἔτι δὲ προσφέροιεν ἂν καὶ τὰ τῆς γλώττης παθήματα, ὡς παρὰ φύσιν ἐχούσης τῆς ἐνούσης ὑγρότητος ἐπαισθάνεται, οἷον πικρότητος ἐν πυρετοῖς, κατὰ φύσιν δ' οὔ. τίς οὖν εἰς ταῦτα θεραπεία, καὶ πῶς ἀπαλλαγῶμεν; ἆρ' οὖν, εἰ πρὸς ἰατροὺς οὕτως ἔχοντες ἐλθοιμεν, ἕξομέν τινα τοῖς παροῦσι βοήθειαν; ἐκεῖνοι γὰρ λέγουσιν ἀκριβῶς τὴν φύσιν ἐπισκεψάμενοι, ὡς πυρέττοντες ἑαυτῶν αἰσθανόμεθα οὐ τῶν νεύρων ἢ τῶν σαρκῶν τεθερμασμένων, ἐν οἷς πρώτοις ἡ ἁπτικὴ σύνεστιν αἴσθησις, ἀλλὰ τῶν ὑγρῶν, αἵματος, φλέγματος καὶ τῶν ὑπολοίπων. τί γοῦν ἄτοπον, εἰ κατὰ φύσιν μὲν ἐχόντων διὰ τὸ ὁμαλὸν καὶ οἰκεῖον τῆς ἐν ὅλῳ τῷ σώματι κράσεως μηδενὸς τῶν τοιούτων αἰσθάνεσθαι, ὥσπερ οὐδ' οἱ τὴν κρᾶσιν θερμότεροι ἑαυτῶν ὡς θερμοτέρων αἰσθάνονται, ἐν ταῖς ὑπερβολαῖς δέ, ὥσπερ ἐκτὸς ἑστώτων τῶν τοιούτων τῆς φύσεως, ὡς ἀλλοτρίων ἐντὸς τὴν φύσιν ἐν τοῖς οἰκείοις μένουσαν ἐπαισθάνεσθαι. εἰ γὰρ αὐτὰ τὰ νεῦρα καὶ τὴν σάρκα τεθερμάνθαι ἐλέγομεν, εἶτα ἑαυτῶν ἐπαισθάνεσθαι, ἦν ἴσως ἄλογον· ἄλλων δὲ πασχόντων γνωρίζειν τὴν αἴσθησιν οὐδὲν κωλύει. καὶ σημεῖον ὡς εἰ καθάπαξ τὸ ζῶον θερμαίνοιτο καὶ ὁμαλῶς τὸ δύσκρατον ἔχοι, μηδενὸς τῶν μερῶν ὑγιαίνοντος, ἵν' εἴη τῶν πασχόντων κριτήριον, φθορὰ τοῦτο καὶ τοῦ ζώου διάλυσις γίνεται. ἀλλ' ἐπὶ μὲν ἁφῆς οὕτως ὁ λόγος εὐώδωται, ἄλλου φανέντος τοῦ πάσχοντος καὶ ἄλλου τοῦ κρίνοντος· ἐπὶ δὲ γλώσσης καὶ ὀφθαλμοῦ, αὐτῶν πασχόντων καὶ αὐτῶν γνωριζόντων, καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων οὐκ ἀποχρήσει ταῦτα. ἢ κοινότερον τὸν λόγον ποιήσαντες ἴσως ἂν ἀρκέσαιμεν. οὐδὲν οὖν ἕτερόν ἐστιν αἴσθησις, ὡς καὶ μετὰ μικρὸν δηλωθήσεται, ἢ κρίσις ὑπὸ τῆς αἰσθητικῆς δυνάμεως τοῦ ἐν τῷ αἰσθητηρίῳ ἐγγινομένου πάθους ὑπὸ τῶν αἰσθητῶν· οὐδὲν δὲ ὑφ' αὑτοῦ πάσχει, ἀλλ' ὑφ' ἑτέρου καὶ ἀνομοίου. ταῦτ' ἄρα κατὰ φύσιν μὲν ἐχόντων τῶν αἰσθητηρίων οὐκ αἰσθανόμεθα αὐτῶν, ἅτε μηδενὸς ἐν αὐτοῖς ἐγγινομένου πάθους· ὅταν δέ τινι παρὰ φύσιν χυμῷ ἐνσκήψαντι παραχθείη τὸ αἰσθητήριον, εἰκότως τοῦ πάθους ἡ αἴσθησις ἀντιλήψαιτο· οὐδὲν γὰρ μᾶλλον τὸ ἔξωθεν αἰσθητὸν τοίως ἢ τοίως τὸ αἰσθητήριον διατίθησιν ἢ ἐν τοῖς τοιούτοις τὸ πάθος ἔνδον· ὅθεν καὶ οὐ μᾶλλον τοῦ ἐκτὸς ἢ τοῦ ἐντὸς ἡ κριτικὴ δύναμις αἰσθανθήσεται. οὐχ ὁρῶμεν δὲ καὶ μύοντες ταῦτα, καίπερ ἐντὸς ἔχοντες, διὰ τὸ δεῖσθαι τοῦ μεταξὺ καὶ

---

1 λάθοιμεν scripsi: λάθωμεν B: λάθομεν AC 4 τῷ] τοῦ B 6 θερμότητα A¹ 9 προφέροιεν C 12 ἆρ' οὖν] ἄρ' οὖν AC: ambigue B 17 ὁμαλὲς AC 18 αἰσθάνεσθαι] συνέσθεσθαι A 24 ἔχοιε A 26 εὐόδωται AC 31 κρίσης C 32 πάσχει ὑφ' αὑτοῦ AC 36 ἀντιλήψαιτο sic libri: fort. ἀντιλήψεται 38 ἡ κριτικὴ] ἢ κριτικὸς B

τῷ τὴν ὄψιν μὴ ἄνευ φωτὸς ἐνεργεῖν· οὐδὲ γὰρ ἐν σκότῳ τὰ ἐκτὸς παρακείμενα ὄψεται. ἔξωθεν γοῦν ἐνεργοῦσα μετὰ φωτὸς τὸ μὴ καλῶς ἔχειν τὸ αἰσθητήριον τῇ τῆς ἐνεργείας γινώσκει διαφορότητι· ὅθεν καὶ τοῖς ἔξω τὸ οἰκεῖον περιάπτει πάθος, ὥσπερ ἡ γεῦσις τοῖς σιτίοις τὴν ἰδίαν πικρότητα, οἵ τε σκοτοδινιῶντες οἴονται κύκλῳ τὰ ἔξω φέρεσθαι αὐτοὶ στρεφόμενοι. ὡς γὰρ τὸ κεχρωσμένα τῶν σπέκλων ἐρυθρῷ ἢ κυανῷ βάμματι πάντα τὰ δι' αὐτῶν ὁρώμενα ὁμόχροα ἑαυτοῖς δείκνυσιν, οὕτω δὴ καὶ ὅταν φθάσῃ τῶν αἰσθητηρίων ἕκαστον ὑπό τινος νόσου προκαταληφθῆναι. πᾶσι τοῖς ἄλλοις αἰσθητοῖς, ὧν ἐστι κριτικόν, τὴν ἰδίαν ποιότητα περιτίθησιν. ἢ καὶ δυσχεράνειεν ἄν τις· τὰ δ' ἄν ἔτι καὶ τοῖς πολλοῖς ἐγκαλέσομεν αὐτοὶ τὰ πράγματα φύροντες· χωρὶς γὰρ ὄντων κινήσεως πάθους καὶ ἐνεργείας, ἡμεῖς ὡς καθ' ἑνὸς τούτοις χρώμεθα καὶ ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν καὶ κινεῖσθαι καὶ ἐνεργεῖν λέγομεν, ὡς ἂν καὶ τὸ περὶ τὴν αἴσθησιν ποτὲ μὲν κίνησιν, ποτὲ δὲ πάθος, ἔστιν οἷς καὶ ἐνέργειαν ὀνομάζοιμεν. ἀλλὰ πᾶσα μὲν κίνησις καὶ ἐνέργεια, οὐκ ἔμπαλιν δέ· καὶ πᾶν πάθος κίνησις, οὐκ ἀντιστρέφει δέ. δεῖ γὰρ διαιρεῖν· καὶ ἡ μὲν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀτελὴς ἐλέγετο πρόοδος. ἐνέργεια δὲ πρὸς ταύτῃ καὶ ἡ τελεία προβολὴ τῆς ἕξεως, ἥ τε ἀθρόα ὁμοῦ καὶ μὴ συμπροϊοῦσα τῇ κινήσει μηδὲ τῷ χρόνῳ συρρέουσα. ὥσπερ ἡ τοῦ φωτὸς ἐν τῷ παντὶ προβολὴ καὶ διάδοσις ἄχρονος (ἅμα γὰρ τῷ φανῆναι φωτιστικόν, καὶ ἀθρόως ᾧ [δ'] ἂν προσβάλοι, ἀστράπτεται) καὶ ἐν παντὶ μέρει χρόνου ταῖς ἐνεργείαις ὁμοίως ἔχει ἑστῶσα καθ' ἕν. ὡς ἂν καὶ ἐπὶ τῶν αἰσθήσεων εἴποιμεν (καὶ κατὰ ταὐτὸ γὰρ τό τε ὅμμα διήραμεν καὶ τῶν ὁρατῶν ἀντελάβομεν) ἥ τε μεριστὴ καὶ τῷ χρόνῳ συμπαροδεύουσα, οἷα τὰ τοῦ διανοητικοῦ ἐνεργήματα καὶ κινήματα τὰ ἀπὸ προτάσεως ἐπὶ τὰ συμπεράσματα τέλεια μὲν τῇ ἕξει, οὐκ ἀθρόα δὲ τῇ ἐνεργείᾳ, ἀλλὰ τὸ μὲν πρῶτον, τὸ δὲ μετ' αὐτό, καὶ ἔσχατον τὸ συμπέρασμα. διττὸν δὲ καὶ τὸ πάσχειν, ὡς προϊόντες ἐροῦμεν. πρότερον δὲ διαιρετέον περὶ δυνάμεως καὶ ἐντελεχείας (νῦν γὰρ ἁπλῶς λέγομεν περὶ αὐτῶν). ἵν' ἐπιόντες τοὺς τρόπους. ὅπῃ περ ἡ αἴσθησις δύναμις, εὕρωμεν καὶ εἰ τὴν ἀπὸ τῆς δυνάμεως αὐτῆς εἰς τὴν ἐνέργειαν ἔγερσιν ἀλλοιοῦσθαι κυρίως ἢ πάσχειν καλεῖν δεῖ, ἀλλὰ μή τι ἕτερον. λέγεται μὲν οὖν δυνάμει καὶ τὸ κατ' ἐπιτηδειότητα μόνην φυσικήν· ἔστι γάρ πως οὕτως ἐπιστῆμόν τι, ὡς ἂν εἴποιμεν ἄνθρωπον ἐπιστήμονα δυνάμει καὶ τὸ παιδίον φύσει ἐπιστήμης δεκτικόν· ἕτερον δὲ ὡς ἤδη λέγομεν ἐπιστήμονα τὸν ἔχοντα τελείαν τὴν ἐπιστήμην. οἷον εἰπεῖν τὴν γραμματικήν. ἀργοῦντα δὲ ἢ καθεύδοντα. φανερὸν οὖν ὡς οὐ τὸν αὐτὸν τρόπον ἑκάτερος τούτων δυνατός ἐστιν, ἀλλ' ὁ μὲν ὅτι τὸ γένος τοιοῦτον καὶ ἡ ὕλη, ὁ δὲ ὅτι βουληθεὶς δυνατὸς θεωρεῖν καὶ ἐνεργεῖν, ἂν μή τι κωλύσοι τῶν ἔξωθεν. τρίτος δὲ παρὰ τούτους ὁ καθ' ἐνέργειαν καὶ ἤδη θεωρῶν ἐντελεχείᾳ ὢν καὶ κυρίως ἐπιστάμενος τόδε τὸ Α. ἀμφότεροι

6 σπέκλων B 9 ἢ καὶ AC 10 ἐγκαλέσαιμεν AC 11 γὰρ τῶν ὄντων C 16 εἰς] πρὸς AC 20 δ' delevi 21 καὶ (ante κατὰ) om. A 23 ἐνεργήματος καὶ κινήματος B 24 προτάσεων A 28 εὕρομεν AC 31 ἔστι μὲν γὰρ A 34 φανερὸν οὖν κτλ. v. Torstrikii ed. p. 141 35 τὸν αὐτόν] ταυτὸν τὸν A: ταυτὸν C

μὲν οὖν οἱ πρῶτοι κατὰ δύναμιν ἐπιστήμονες, ἀλλ' ὁ μὲν πρώτως, ὁ δὲ δευτέρως. καὶ ὁ μὲν διὰ μαθήσεως ἀλλοιωθεὶς καὶ πολλάκις ἐξ ἐναντίας μεταβαλὼν ἕξεως, ὁ δὲ ἐκ τοῦ ἔχειν τὴν αἴσθησιν τελείαν ἢ τὴν γραμματικὴν μὴ ἐνεργεῖν δέ· καθ' ὃ μόνον καὶ τὸ αἰσθητικὸν δυνάμει λέγομεν καὶ τὴν αἴσθησιν
5 δύναμιν. καὶ ἔτι ἄλλον τρόπον δυνάμει ὁ ἤδη ἐνεργῶν ὁ διδάσκων γραμματικὸς καὶ ὁ ὁρῶν τόδε τὸ λευκόν. οὐκ ἔστι δὲ ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ τὸ μὲν φθορά τις ὑπὸ τοῦ ἐναντίου, ὡς τὸ ξύλον πάσχει καιόμενον ὑπὸ τοῦ πυρός, καὶ τὸ μέλαν ὅτε λευκαίνεται, τὸ δὲ σωτηρία μᾶλλον τοῦ δυνάμει ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ οὕτως ὁμοίου ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν, ὡς τό
10 τε παιδίον πάσχει μανθάνον καὶ τελειούμενον εἰς γραμματικὴν ὑπὸ τοῦ ἐνεργείᾳ γραμματικοῦ, ὅ τε καθ' ἕξιν ἐπιστήμων γινόμενος ἐνεργείᾳ θεωρῶν, ὃ πρότερον ἐλέγομεν ἄνω δυνάμει καὶ δεύτερον· ὅπερ οὐδὲ κυρίως πάσχειν ἂν ἢ ἠλλοιῶσθαι λέγοιτο. πῶς γὰρ πάθος ἢ ἀλλοίωσις ἡ τοῦ εἴδους πλήρωσις καὶ τελείωσις; εἰς ἑαυτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντελέχειαν. ἢ τῷ πτωχεύειν
15 ὀνομάτων κοινωνήσει μὲν τοῦ ὀνόματος, διοίσει δὲ τῇ φύσει, καὶ ἕτερον τοῦτο γένος πάθους ἔσται καὶ ἀλλοιώσεως. οὐκοῦν καλῶς ἔχει λέγειν τὸ καθ' ἕξιν φρονοῦν ἢ ἐπιστάμενον, οἷον τὸν καθεύδοντα γεωμέτρην, ὅταν ἐγείρηται καὶ ἐνεργείᾳ φρονῇ καὶ ἐπίστηται, παθεῖν τι ἢ ἠλλοιῶσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. ἀλλ' οὐδὲ διδασκαλίαν τοῦτο λεκτέον, ἀλλ' ἑτέραν ἐπω-
20 νυμίαν ἔχειν δίκαιον. οὕτως οὐδὲ τὸ δυνάμει αἰσθητικόν, ὅταν ἐνεργείᾳ αἰσθάνηται, πάσχειν κυρίως ἢ ἠλλοιῶσθαι λέγειν δεῖ. τὸ δὲ ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ, τὸ πρῶτον λέγω δυνάμει, τὸ κατ' ἐπιτηδειότητα μόνην καὶ ἀτελές, ἤτοι οὐδὲ πάσχειν φατέον οὐδ' αὐτό, ὥσπερ εἴρηται, ἢ ὁμώνυμόν τι καὶ δύο τρόπους
25 εἶναι πάθους καὶ ἀλλοιώσεως, τήν τε ἐπὶ τὰς στερητικὰς διαθέσεις μεταβολὴν καὶ τὴν ἐπὶ τὰς ἕξεις καὶ τὴν φύσιν. τούτων οὖν οὕτως ἐχόντων οὐκ ἂν εἴη κυρίως ἡ τῆς δυνάμει αἰσθήσεως διέγερσις καὶ μεταβολὴ εἰς ἐνέργειαν πάθος ἢ ἀλλοίωσις, ὥσπερ ἐλέγετο· εἰ γοῦν καὶ ἔτι λέγοιμεν, καταχρηστικῶς ἂν λέγοιμεν καὶ οὐ κυρίως.

30 Ἀλλ' ἐπειδὴ μηδενὸς τῶν καλλίστων καὶ τοῖς τοιούτοις προσηκόντων λόγοις ἐλλελεῖφθαι φιλοτιμούμεθα τῷ πονήματι, ἄνωθεν καὶ τὴν τοῦ δυνατοῦ διαίρεσιν προθέντες ἐντελέστερον ἐπεξέλθωμεν καὶ ὡς ἑτέροις ἐκδέδοται, κἂν τινος διὰ τὴν παλιλλογίαν ὑπαίτιοι μέμψεως, καὶ τοῦτο δεχόμεθα. τοῦ δυνατοῦ τὸ μὲν ἤδη ὂν κατ' ἐνέργειαν, ὡς ὅταν τὸν βαδίζοντα λέγωμεν δύνασθαι
35 βαδίζειν καὶ τὸν ἥλιον δύνασθαι κινεῖσθαι ἢ φωτίζειν, τὸ δὲ κατὰ δύναμιν καὶ ἐπιτηδειότητα μόνην, ὡς ὅταν λέγωμεν τὸν καθήμενον δύνασθαι βαδίζειν καὶ τὸν βαδίζοντα μὴ βαδίζειν. πάλιν τοῦ κατ' ἐνέργειαν τὸ μὲν εἶναι συμφυὲς τῷ πράγματι τῷ δύνασθαι αὐτὸ λεγομένῳ καὶ εἰδοποιὸν αὐτοῦ, τὸ δὲ ἐπίκτητον καὶ οὐκ ἀεὶ παρὸν τῷ ὑποκειμένῳ. καὶ τοῦ μὲν συμφυοῦς καὶ

1 ἐπιστήμονες] ἐπιστήμη B 4 ἐνεργεῖ A 6 ὁ om. C 7 ἐναντίον B
12 ὅπερ] ὃ A οὐδὲ scripsi: οὔτε libri 16 γένους πάθος BC 18 ἐπίσταται A
21 λέγειν δεῖ om. A 27 δυνάμεως αἴσθησις C διέγερσις om. C 30 ἐπεὶ A
32 ἐπεξέλθομεν AC 33 παλιλογίαν B 37 καὶ τὸν — βαδίζειν om. C

εἰδοποιοῦ, ὡς εἴρηται, τῶν ὑποκειμένων τὸ μὲν εἶναι ἀίδιον καὶ ἐν ἀιδίοις πράγμασιν ὑφιστάμενον, ὡς τὸ κινεῖσθαι κύκλῳ τὸν οὐρανὸν ἢ τὴν γῆν ἐν τῷ μέσῳ τετάχθαι τοῦ παντὸς ἢ τὸν θεὸν ἀγαθὸν εἶναι, τὸ δὲ οὐκ ἀίδιον μὲν οὐδ' ἐπ' ἀιδίων θεωρούμενον ὑποκειμένων. ἕως μέντοι ἂν ὦσι τὰ ὑποκείμενα, συνυπάρχον αὐτοῖς, ὡς ὅταν λέγωμεν τόδε τὸ πῦρ δύνασθαι θερμαίνειν καὶ τήνδε τὴν χιόνα ψύχειν, τοῦ λοιποῦ δηλαδὴ σημαινομένου τοῦ κατ' ἐνέργειαν, τοῦ μὴ συμφυοῦς τοῖς ὑποκειμένοις, θεωρουμένου ἐπὶ τῶν ἐκ δυνάμεως εἰς τὴν ἐνέργειαν μεταβεβηκότων, ὡς ἐλέγομεν ἐπὶ τοῦ τὸν καθήμενον δύνασθαι βαδίζειν. τοῦ δ' αὖ ἐπ' ἀιδίων πραγμάτων λεγομένου τὸ μὲν θεωρεῖσθαι ἐν ταῖς παντάπασιν ἐξῃρημέναις τῆς ὕλης οὐσίαις, ὡς ἀγαθότητα τοῦ θεοῦ καὶ τὴν νόησιν, τὸ δὲ ἐκείνου προσεχῶς ἐξῃρτημένον καὶ ὑφεστηκὸς ἐν σώμασι μέν, ἀλλ' ἁπλοῖς καὶ μηδὲν ἔχουσιν ἐναντίον καὶ κατὰ μόνην τὴν κύκλῳ κίνησιν ἀεὶ κινουμένοις πάσης τε θνητῆς δυσχερείας ἀπηλλαγμένοις. πάλιν δὲ τοῦ κατὰ δύναμιν τὸ μὲν εἶναι οἷον μεταβάλλειν εἰς τὴν ἐνέργειαν, ὡς ὅταν λέγωμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, * * ἂν μή τι τῶν ἔξωθεν ἐμποδὼν γένηται. τὸ δὲ εἰς ἐνέργειαν μὲν οὐδέποτε ἀχθησόμενον, κατ' αὐτὸ δὲ μόνον τὸ δυνάμει τὸ εἶναι ἔχον, ὡς ἐπὶ τῆς εἰς ἄπειρον τομῆς τῶν μεγεθῶν καὶ πάντων ἁπλῶς τῶν συνεχῶν καὶ τῆς ἐπὶ πλέον προόδου τῶν ἀριθμῶν. καὶ περὶ μὲν τοῦ δυνατοῦ τοσαῦτα. ἔστι δέ πως ἄλλως τὸ αἰσθάνεσθαι, ὥσπερ καὶ τὸ νοεῖν· ἄμφω γὰρ κατὰ λῆψιν τῶν εἰδῶν τὸ μὲν νοητῶν τὸ δὲ αἰσθητῶν, καὶ ὥσπερ ἐκεῖ ταὐτὸν ὁ νοῦς τῷ νοητῷ ὁ κατὰ δύναμιν καὶ ἐνέργειαν τῷ δυνάμει καὶ ἐνεργείᾳ, οὕτως ὧδε ἡ αἴσθησις τῷ αἰσθητῷ. ὡς γὰρ ὁ κηρὸς δυνάμει λέγεται ὅπερ τὸ σφραγιστήριον, γίνεται δέ πως καὶ ἐνεργείᾳ ὅπερ ἐκεῖνος τῷ ἐκτυποῦσθαι, οὐχ ὅλον δὲ τοῦτο γέγονεν ὁ κηρὸς ὅπερ ἡ σφραγὶς κατὰ τὴν ὕλην, ἀλλ' ὅσον τὸ ἐκτύπωμα δέξασθαι αὐτοῦ κατὰ τὴν ἐπιφάνειαν. οὕτω δεῖ καὶ ἐπὶ τοῦ νοῦ νοεῖν καὶ αἰσθήσεως, ὅταν λέγωμεν τὸν μὲν ὅπερ τὰ νοητά, τὴν δὲ ὅπερ τὰ αἰσθητὰ γίνεσθαι. οὔτε γὰρ ἄγγελος ὁ νοῦς ἢ λίθος αὐτὰ νοῶν, οὔτε λευκὴ ἡ ὄψις ἢ μέλαινα τὰ τοιάδε ὁρῶσα χρώματα. ἀλλὰ μόνα τὰ εἴδη ὁ μὲν τῶν νοητῶν ἡ δὲ τῶν αἰσθητῶν ἀόλως καὶ γνωστικῶς ἐν αὐτοῖς ὑπεδέξαντο. ὥστε ἔσται αἴσθησις ψυχῆς δύναμις μερικὴ γνωστική, διά τινος ἀλλοιώσεως καὶ μεταβολῆς ὁμοιουμένη τοῖς αἰσθητοῖς· αἰσθητὸν δὲ τὸ τοῖς στοιχείοις ἐνὸν καὶ τοῖς κατὰ μέρος σώμασιν οὐσιωδῶς ἢ καὶ κατὰ συμβεβηκὸς μερικὸν ὄν, δι' οὗ καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις ὑπ' αὐτοῦ πάσχουσα ὁμοιοῦται. πρότερον δυνάμει οὖσα ὁμοία αὐτῷ. καὶ τοῦτο τῷ μακρῷ λόγῳ μόλις συνεπεράναμεν· οὗ δὲ σκώμματος διὰ τὸ παράδειγμα δεῖ δεικνύουσιν ἀδηλοτέρῳ τὸ ἄδηλον. καὶ τοῖς ἄλλοις κοινούμεθα, οἷς ἧττον εὐπορία τῶν ἐμφανῶν. πρὸς τὰ ἀφανῆ καὶ ἀκριβέστερα καταφεύγουσι καὶ μαθηματικῶς ἐν ὑλικοῖς χρωμένοις ταῖς ἀποδείξεσιν.

2 ὑφισταμένου B 5 συνυπάρχοντα B 6 ψύχον B 8 τοῦ τὸν] τοῦτον B 9 αὖ om. A λεγούμενου A 11 ὑφεστηκὼς A 15 lacunam indicavi 20 νοητὸν B 21 αἰσθητὸν B 22 τὸ δυνάμει C^2 27 τὰ δὲ A 29 αἰσθητῶν αἰσθητῶς C 31 γνωστικὴ μερικὴ AC 36 κινούμεθα A^1 37 ἐμφανῶς A^1 38 μαθηματικαῖς A

Ἐπεὶ οὖν περὶ αἰσθήσεως ἁπλῶς ζητοῦντες τὰ πρὸς τοῦτο συμπαρελάβομεν, πῶς τε τὸ ποιεῖν καὶ πάσχειν λέγεται καὶ ποσαχῶς τὸ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ἔτι πρὸ τούτων τινὰ τῶν φερομένων περὶ αἰσθήσεως διῃτήσαμεν καὶ κοινόν τινα λόγον ἐκ τούτων αἰσθητοῦ καὶ αἰσθήσεως συνηγάγομεν, ἤδη πάλιν ἐχόμεθα τῶν ἑξῆς καὶ περὶ τῶν κατ' εἴδη αἰσθητῶν καὶ αἰσθήσεων τὸν λόγον ποιούμεθα. μικρὰ δ' ἄττα πρότερον περὶ τὴν τῆς αἰσθήσεως γένεσιν καὶ ὅπως τὸ ζῶον αἰσθητικὸν τὴν ἀρχὴν ὑπῆρξε. διαλαβεῖν ἀναγκαῖον. ἐπεὶ οὖν τριττόν πως τὸ δυνατὸν ὥρισται πρότερον, τὸ μὲν κατὰ μόνην ἐπιτηδειότητα. τὸ δὲ κατὰ τελείαν ἕξιν. τὸ δὲ κατὰ τὴν ἐνέργειαν. καὶ τούτοις ἡ τῶν ἐν γενέσει καὶ φθορᾷ φύσις ἐξάγεται, ὅπως καὶ ἐπ' αἰσθήσεως ταῦτα συμβαίνει. σκεπτέον. τοῦ μὲν οὖν αἰσθητικοῦ ἡ πρώτη μεταβολὴ γίνεται ὑπὸ τοῦ γεννῶντος· τὸ γὰρ σπέρμα καὶ τὰ καταμήνια καὶ ὅλως ἡ τοῦ ζῴου ὕλη ἔνδον ἐν τῷ γεννῶντι, αἰσθητικὸν οὕτω δυνάμει, ὡς κἂν τὸ ἀρτιγενὲς παιδίον γραμματικόν· ἄμφω γὰρ κατὰ τὸ πρῶτον καὶ ἀτελὲς δυνάμει λέγεται. ἄγεται δὲ τὸ μὲν ὑπὸ τοῦ διδασκάλου εἰς ἕξιν ἐπιστημονικήν. τὸ δὲ ὑπὸ τῆς ἐν τῇ μητρὶ φύσεως εἰς τὴν καθ' ἕξιν αἴσθησιν. ὅταν γὰρ ἀποκυηθῇ. ἤδη τὴν ἕξιν ἔχει· ἡ γὰρ κύησις ἀλλοίωσίς τίς ἐστι καὶ μεταβολὴ τοῦ πεφυκότος αἰσθάνεσθαι ἐπὶ τὴν καθ' ἕξιν αἴσθησιν. καὶ ἔστιν οὕτω τότε τὸ αἰσθάνεσθαι. ὥσπερ καὶ τὸ ἐπίστασθαι τῷ καθεύδοντι γεωμέτρῃ. ἀλλ' ἡ μὲν ἐκ τοῦ πρώτου δυνάμει ἐπὶ τὴν ἕξιν μεταβολὴ ἐν τῇ κυήσει ὑπὸ τῆς ἐν τῷ γεννῶντι φύσεως, ὥσπερ εἴρηται, γίνεται, ἡ δὲ ἐκ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν ὑπὸ τῶν αἰσθητῶν. διὸ ἅμα τῷ γεννηθῆναι, ἂν παρῇ τὸ αἰσθητόν, ἀντιλαμβάνεται τὸ τεχθέν· ὅθεν εὐθὺς κλαυθμυρίζεται εἰς ἀσυνήθη καὶ ψυχρὸν ἀέρα ἐμπίπτον. καὶ ἀνιώμενον οὐ μόνον τῇ ἁφῇ τῷ περιέχοντι. ἀλλὰ καὶ τῇ ὄψει ὑπὸ τοῦ φωτός. τοῦτο δ' ἂν πάθοι καὶ ἐν ταῖς ἄλλαις αἰσθήσεσιν, εἴ γε πάρεισιν αὐτῷ καὶ τὰ τούτων αἰσθητά. ἔστιν οὖν τὸ καθ' ἕξιν αἰσθάνεσθαι ὥσπερ τὸ ἁπλῶς ἐπίστασθαι· τὸ δὲ κατ' ἐνέργειαν ὁμοίως λέγεται τῷ θεωρεῖν. διαφέρει δέ, ὅτι τοῦ μὲν τὰ ποιητικὰ τῆς ἐνεργείας ἔξωθεν, τὸ ὁρατὸν τὸ ἀκουστόν, ὁμοίως δὲ καὶ τὰ λοιπὰ τῶν αἰσθητῶν. αἴτιον δὲ ὅτι τῶν καθ' ἕκαστον ἡ κατ' ἐνέργειαν αἴσθησις. ἡ δ' ἐπιστήμη τῶν καθόλου· ταῦτα δὲ ἐν αὐτῇ πως ἔσται τῇ ψυχῇ. διανοηθῆναι μὲν γὰρ ἐπ' αὐτῷ, ὅταν βούληται, αἰσθάνεσθαι δὲ οὐκ ἐπ' αὐτῷ· ἀναγκαῖον γὰρ παρεῖναι τὸ αἰσθητόν. ὁμοίως δὲ τοῦτ' ἔχει κἂν ταῖς ἐπιστήμαις ταῖς τῶν αἰσθητῶν. καὶ διὰ τὴν αὐτὴν αἰτίαν. ὅτι τὰ αἰσθητὰ τῶν καθ' ἕκαστα καὶ μερικὰ καὶ ἔξωθεν, ὥσπερ ὁ πολιτικὸς καὶ ὁ μηχανικὸς καὶ οἱ κατὰ μέρος τεχνῖται. τούτοις γὰρ ἡ μὲν καθόλου περὶ τὰς τέχνας θεωρία ἐπ' αὐτοῖς, ἡ δὲ ἀπὸ τῶν τεχνῶν ἐπὶ τὰ καθ' ἕκαστα οὐκ ἐπ' αὐτοῖς· δεῖ γὰρ τῆς ὕλης καὶ τῶν ὀργάνων. ἀλλὰ περὶ μὲν τούτων διασαφῆσαι καιρὸς γένοιτ' ἂν καὶ εἰσαῦθις· ἐν τῷ τρίτῳ γὰρ περὶ τοῦ πρακτικοῦ νοῦ καὶ ὅπως ἐκεῖνος ἴσχει τὰς ἐνεργείας διαληφθήσεται. οὐκ ἂν δὲ

---

5 ἐχώμεθα A 6 ἄττα AC 11 συμβαίνοι AC 12 γὰρ om. C
23 κλαυθμυρίζεται AC Philoponus: κλαυθμηρίζει B 27 τὸ θεωρεῖν AC
31 πῶς A 33 ταῖς (ante τῶν) om. C 38 εἰσαῦθις] εἰσόνθεσις A¹ ἐν τῷ τρίτῳ] de An. Γ, 7

παρέλθωμι καὶ ἃ περὶ τῆς λογικῆς ψυχῆς ἐν τούτοις φιλοσοφοῦσιν Ἕλληνες. ὡς
διττὸν καὶ ἐπὶ ταύτῃ τὸ δυνάμει καὶ ἐνεργείᾳ. προστιθέασι δὲ καὶ τὸ τῆς
μεταβολῆς αἴτιον· ἔξω μὲν γάρ φασιν οὖσαν σώματος κεχωρίσθαι πάντῃ τοῦ
πρώτου δυνάμει, νοῦν οὖσαν καθαρῶς καὶ πάντα τὰ νοητὰ καθ' ἕξιν ἔχουσαν·
5 ἐλθοῦσαν δὲ εἰς γένεσιν κατὰ τὰ αὐτὰ τῷ ἐπιστήμονι πάσχειν, εἴπερ ὑπὸ
νόσου ἢ χρόνου οὗτος ἢ λήθου φθαρείη τὴν ἐπιστήμην, καὶ γίνεσθαι κατὰ τὸ
πρῶτον δυνάμει. ἄγεσθαι δὲ εἰς ἕξιν ὑπὸ τοῦ διδασκάλου ἢ ὑπὸ τῶν αἰσθη-
τῶν αὐτὴν ζητοῦσαν καὶ εὑρίσκουσαν, εἶτα εἰς ἐνέργειαν, ποιητικὴν αἰτίαν καὶ
παρ' αὐτῇ τὴν βούλησιν ἔχουσαν. καὶ ταῦτα μὲν ἐκεῖνοι· νῦν δὲ διωρίσθω
10 τοσοῦτον, ὅτι οὐχ ἁπλοῦ ὄντος τοῦ δυνάμει λεγομένου, ὡς πολλάκις εἴρηται,
ἀλλὰ τοῦ μὲν ὥσπερ ἂν εἴποιμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, τοῦ δὲ ὡς
τὸν ἐν ἡλικίᾳ ὄντα, οὕτως ἔχει τὸ αἰσθητικόν. ἐπεὶ δ' ἀνώνυμος αὐτῶν ἡ
διαφορά (οὐ γὰρ ἰδίων εὐποροῦμεν ὀνομάτων ἐπί τε τοῦ πρώτου καὶ δευτέ-
ρου, ἀλλ' ἄμφω δυνάμει λέγομεν), διώρισται δὲ περὶ αὐτῶν, ὅτι ἕτερα καὶ
15 πῶς ἕτερα, χρῆσθαι ἀναγκαῖον τῷ πάσχειν καὶ ἀλλοιοῦσθαι ὥσπερ ἂν εἰ καὶ
κυρίοις ὀνόμασι. τὸ δὲ αἰσθητικὸν δυνάμει ἐστὶν οἷον τὸ ⟨αἰσθητὸν⟩ ἤδη
ἐντελεχείᾳ, καθάπερ εἴρηται· πάσχει μὲν οὖν οὐχ ὅμοιον ὄν, πεπονθὸς δὲ
ὡμοίωται καὶ ἔστιν οἷον ἐκεῖνο.

II 6 Τούτων οὕτω διωρισμένων καιρὸς καὶ τὸν καθ' ἑκάστην αἴσθησιν προχει-
20 ρίσασθαι λόγον. λεκτέον δὲ περὶ τῶν αἰσθητῶν πρῶτον, εἶτα περὶ τῆς δυνά-
μεως· σαφέστερον γὰρ τῆς ἐνεργείας καὶ τῆς δυνάμεως κατὰ τὴν διδασκαλίαν
τὸ εἰς ὃ ἡ ἐνέργεια. τῶν οὖν αἰσθητῶν τὰ μὲν καθ' αὑτά, τὰ δὲ κατὰ συμ-
βεβηκός. τῶν δ' αὖ καθ' αὑτὸ τὸ μὲν ἴδιόν ἐστιν ἑκάστης αἰσθήσεως καὶ
ταῖς ἑτέραις ἀμέθεκτον, τὸ δὲ κοινὸν πασῶν ἢ ταῖς πλείοσι. λέγω δὲ ἴδιον
25 μὲν ὃ μὴ ἐνδέχεται * * ἀπατηθῆναι, οἷον ὄψις χρώματος καὶ ἀκοὴ ψόφου
καὶ γεῦσις χυμοῦ καὶ ἁτμῶν ὄσφρησις· πλείους δὲ καὶ τῆς ἁφῆς αἱ διαφοραί,
οἷον θερμότης ὑγρότης καὶ αἱ ἐναντίαι, βάρος ἀντιτυπία καὶ τἆλλα. κρίνει
γοῦν ἑκάστη αἴσθησις ἀσφαλῶς περὶ τούτων τὸ ἑαυτῆς οἰκεῖον καὶ οὐκ ἀπα-
τᾶται· οὐ γάρ ποτε ὅτι χρῶμα τόδε ἡ ὄψις ἀπατηθήσεται, ἢ ψόφος ἡ ἀκοή,
30 ἀλλὰ τίς ἡ οὐσία τοῦ κεχρωσμένου καὶ ποῦ· τὸ γὰρ χολοβαφὲς χρυσὸν οἰη-
θείη ἄν ποτε, καὶ εἰ † ὀστρειόλεπα ἐν τῷ δεξιῷ ἠχήσειε τοῦ οἰκήματος ὑπο-
λάβοι ἐν τῷ ἀριστερῷ ἠχῆσαι χρυσίνους. τὰ μὲν οὖν τοιαῦτα λέγεται ἴδια
ἑκάστης· κοινὰ δὲ ἢ ἐν πλείοσι κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος.
τὰ γὰρ τοιαῦτα οὐδεμιᾶς ἐστιν ἴδια, ἀλλὰ κοινά, τινὰ μὲν πάσαις, ὡς ἀριθμὸς
35 καὶ κίνησις καὶ στάσις, πλὴν γεύσεως, μέγεθος δὲ καὶ σχῆμα ταῖς τρισίν,
ἀκοῇ ὄψει καὶ ἁφῇ. ἀλλὰ τὰ μὲν καθ' αὑτὸ αἰσθητὰ οὕτω· διττὸν δὲ καὶ
τὸ κατὰ συμβεβηκὸς αἰσθητόν, αἵ τε οὐσίαι (οὐ γὰρ αἰσθητή τινος οὐσία,

3 φασιν] φυσιν A^1 5 ὑπὸ] ἀπὸ B 8 ante εἰς add. καὶ A 9 αὐτῇ scripsi: αὐτῆ libri 16 αἰσθητὸν ex Aristotele addidi 19 προκεχειρίσθαι A
23 τὸ om. B 25 ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι de An. 418 a 11 27 ὑγρότης scripsi: ψυχρότης libri 29 ἢ ἡ B 30 χρυσὰ C 31 ὀστρειόλεπα] fort. ὄστρεια (vel ὄστρακα) λεπτὰ
2 ἴδια B 35 τοῖς B

ἀλλὰ λογισμῷ ληπτή, οἷον τοῦ λίθου· τούτου γὰρ οὐ τὸ σχῆμα, οὐ τὸ χρῶμα οὔτε ὁ ὄγκος ἢ τὸ βάρος καὶ ἡ ἀντιτυπία καὶ ὅσων ἄλλων ἐν αὐτῷ ἡ αἴσθησις ἅπτεται, οὐσία αὐτῷ, ἀλλὰ τῇ οὐσίᾳ ἐπισυμβάντα. καὶ εἰ τόδε τὸ λευκὸν εἴη Διάρους υἱός, κατὰ συμβεβηκὸς γνωρίζομεν τῇ ὁράσει τὸν ἄνθρω-
5 πον, ὅτι τῷ λευκῷ συμβέβηκε τοῦτο, οὗ αἰσθάνεται. ἡ μὲν γὰρ ὄψις καθ' αὑτὸ καὶ προηγουμένως τοῦ χρώματος ἀντελάβετο, ἡ δὲ ψυχὴ τὴν οὐσίαν συνέγνωκε· διὸ καὶ οὐδὲν πάσχει ἡ τοιοῦτον ὑπὸ τοῦ αἰσθητοῦ τοῦ κατὰ συμβεβηκὸς ἡ ὅρασις)· αἵ τε οὖν οὐσίαι, ὥς γε εἴρηται, κατὰ συμβεβηκὸς αἰσθηταὶ καὶ τὰ παρ' ἑκάστην ἴδια ταῖς λοιπαῖς. ἑωρακότες γάρ τι ξανθὸν οἷον
10 στύρακα λέγομεν ἑωρακέναι τι εὐῶδες, καὶ πάλιν ὀσφρανθεὶς λέγω ὅτι ξανθοῦ ὠσφράνθην, καὶ ἠχήσαντος ἀργύρου φημὶ λευκοῦ ἀκηκοέναι. ἔτι διαφέρει τὰ ἴδια αἰσθητὰ τῶν τε κατὰ συμβεβηκὸς καὶ τῶν καθ' αὑτὸ κοινῶν δὲ πρῶτον μὲν ὡς τούτων μὲν ἕκαστον μιᾷ τινι ἑκάστῃ τῶν αἰσθήσεων ἀφορίζεται, τὰ δὲ πλείοσι. καὶ περὶ μὲν τῶν κοινῶν πρόδηλον· τὸν γὰρ ἀριθμὸν εἴτ' οὖν
15 τοὺς δέκα ἀστραγάλους καὶ ἡ ὄψις αἴσθοιτ' ἂν καὶ ἡ ἁφὴ καὶ αἱ ἕτεραι, καὶ ἐπὶ τῶν ἄλλων οὕτως. φανερὸν δὲ καὶ περὶ τῶν κατὰ συμβεβηκός· ἀπὸ διαφόρων γὰρ αἰσθήσεων τῆς αὐτῆς οὐσίας αἰσθοίμεθ' ἄν. καὶ γὰρ καὶ ἰδόντες ἔγνωμεν τὸν Σωκράτην καὶ ἀκούσαντες καὶ ἁψάμενοι. τό τε μέλι καὶ γευσάμενοι ἔγνωμεν καὶ ἰδόντες καὶ ὀσφρανθέντες ἢ καὶ ἁψάμενοι. δεύτερον δὲ ὅτι
20 περὶ μὲν τὰ ἴδια αἰσθητά, κατὰ φύσιν ἐχουσῶν τῶν αἰσθήσεων καὶ ἐξ ὧν πεφύκασι τόπων ἀντιλαμβάνεσθαι προσβαλουσῶν τοῖς αἰσθητοῖς, οὐκ ἀπάτη γίνεται περὶ αὐτά. περὶ δὲ τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ καὶ τὰ κοινὰ πολλὴ ἡ ἀπάτη· λευκὸν γὰρ ὁρῶντες ἀμφιβάλλομεν, εἰ λίθος ἢ ἵππος, καὶ φωνῆς ἀκούοντες τίνος καὶ ὅθεν πλανώμεθα, καὶ τῶν σχημάτων κατὰ ποιάν τινα
25 σχέσιν τῶν ἀποστάσεων τὰ μὲν πολύγωνα περιφερῆ, εὐθύγραμμα δὲ τὰ στρογγύλα, τά τε κινούμενα ἑστῶτα καὶ τὰ ἑστῶτα πολλάκις κινούμενα φαίνεται. πλείστη δὲ κἂν τοῖς μεγέθεσι κατὰ τὸ πόρρω καὶ ἔγγιον ἡ διαφορά, πρόδηλος δὲ καὶ ἡ περὶ τὸν ἀριθμὸν ἀπάτη. ἴσως δ' ἄν τις καὶ κατὰ μικρὸν ἀπάτη προϊοῦσι κἂν τοῖς ἰδίοις θεωρηθήσεται. ἔτι τοῖς μὲν καθ' αὑτὸ αἰσθη-
30 τοῖς ἐπιπάσχουσιν αἱ αἰσθήσεις, ἐν δὲ τοῖς κατὰ συμβεβηκὸς οὔ. καὶ ὅτι τὰ μὲν ἴδια αἰσθητὰ ὁρῶσι περὶ τὰς ἰδίας αἰσθήσεις πρόδηλον· ὅτι δὲ καὶ τὰ κοινά, φανερὸν ἐντεῦθεν· τό τε γὰρ ὀξυγώνιον ἄλλως ὁρᾷ τὴν ὄψιν (ἀνιᾷ γάρ), ἥδει δὲ τὸ ἀμβλυγώνιον, καὶ μᾶλλον τὸ λεῖον ἢ τὸ ἀγώνιον· προφανῆ δὲ καὶ τὰ περὶ τῆς ἁφῆς, ὡς διαφόρως περὶ τὰ διάφορα τῶν σωμάτων δια-
35 τίθεται σχήματα. καὶ ὄψις δὲ καὶ ἀκοὴ ἄλλως ἑστῶτος αἴσθονται ἢ κινουμένου, εἰ καὶ τὰς διαφορὰς ἑρμηνεῦσαι ἀδυνατοῦμεν. ἔτι τὸ μέγεθος δόξει ὁρᾶν τι καὶ εἰς τὴν ὄψιν καὶ εἰς τὴν ἁφήν· ὑπὸ γὰρ τοῦ μείζονος χρώματος ἢ μείζονος θερμοῦ μᾶλλον συγκρίνεται ἢ διακρίνεται τὰ αἰσθητήρια, ἡ ἁφὴ καὶ ὄψις. ἀθρόαι γὰρ οὖσαι αἱ δυνάμεις ῥώννυνταί μᾶλλον καὶ ἑαυτῶν δυνα-

---

2 ὄγγος A ὅσων ἄλλων] ὅσω μᾶλλον C 4 διάρρους AC 11 ὀσφράνθην AC 16 καὶ (ante περὶ) om. C 21 προσλαβουσῶν B ἀπάτη γίνεται] ἀπατῶνται A 22 περὶ τὰ δὲ B 23 post ἵππος add. ἢ ἄνθρωπος A 29 κἂν] καὶ B 33 προφανὲς C

μακρότεραι γίνονται, ὡς ἐπὶ τῶν βαρῶν ἔστιν ἰδεῖν· συνιόντα γὰρ τὰ βάρη βαρύτερα γίνεται ἢ ὅταν ᾖ διακεκριμένα. καὶ πρὸς τούτοις τὰ μὲν τῇ ὄψει καὶ ἀκοῇ καὶ γεύσει ὑποκείμενα παρὰ τῆς συνηθείας ὠνόμασται (τὰ μὲν γὰρ χρώματα ἐκαλέσαμεν, τὰ δὲ ψόφους, τὰ δὲ χυμούς), τὰ δὲ τῇ ἁφῇ καὶ ὀσφρήσει ἀνώνυμα· ἁπτὰ γὰρ λέγομεν καὶ ὀσφραντὰ παρονομάζοντες, εἰ μή τις τὴν ὀσμὴν καὶ ἐπὶ τῆς ὀσφρήσεως θεῖτο. καὶ ἑκάστη μὲν τῶν ἄλλων αἰσθήσεων περὶ μίαν ἔχει ἀντίθεσιν, οἷον ὄψις περὶ λευκὸν καὶ μέλαν (τὰ γὰρ ἄλλα μεταξύ), γεῦσις δὲ περὶ γλυκὺ καὶ πικρόν, καὶ ἀκοὴ περὶ βαρὺ καὶ ὀξύ, καὶ περὶ τὸ εὐῶδες καὶ δυσῶδες ἡ ὄσφρησις. ἡ μέντοι γε ἁφὴ περὶ πλείους ἔχει τὰς ἀντιθέσεις μὴ δυναμένας ὑπὸ μίαν κοινήν τινα συναχθῆναι· θερμῶν γὰρ καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν καὶ λείων καὶ τραχέων καὶ βαρέων καὶ κούφων καὶ τοιούτων ἄλλων ἀντιλαμβάνεται, ἃ οὐχ ὑπ' ἄλληλά εἰσιν οὐδὲ πρὸς μίαν κοινήν τινα περιαλείονται. ἀπορήσειεν ἄν τις, εἰ αἱ οὐσίαι τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν, ὡς ἄνωθεν εἴρηται (συλλογισμῷ γὰρ ληπταὶ δι' αἰσθήσεως, τοῦτο δὲ λόγος), πῶς ἔγνω κύων καὶ βοῦς τὸν κτησάμενον καὶ ὅπως τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. ἢ οὐχ ὡς οὐσιῶν αἴσθονται (οὐδὲν γὰρ ζῶον τῶν ἀλόγων αἴσθησιν ἔχει οὐσίας), ἀλλ' ὡς τοιῶνδε σχημάτων ἢ χρωμάτων ἡδέων ἢ λυπηρῶν προσγεγονότων συνήθων τῇ αἰσθήσει αὐτῶν.

Τούτων οὕτω συμπεπερασμένων βαδιούμεθα ἤδη πρὸς τὸν περὶ ἑκάστης αἰσθήσεως λόγον, ὡς ἱκανῶς τὰ πρὸς τοῦτο προευκρινήσαντες. εἰ δ' ὥσπερ τιμιωτέραν τῶν ἄλλων καὶ πολυτελεστέραν καὶ τῇ τάξει κἀνταῦθα πρώτην τὴν ὅρασιν τάξαιμεν, οὐ καινοτομοῦμεν. ἐπεὶ οὖν διττὰ τὰ καθ' αὑτὰ αἰσθητά, τὰ ἴδια κυρίως εἰσὶν αἰσθητὰ καὶ πρὸς ἃ ἡ οὐσία πέφυκεν ἑκάστης αἰσθή-
117 σεως. ἔστι δὲ ὁρατὸν τοῦτο, οὗ ἡ ὄψις ἀντιλαμβάνεται· διττὸν δέ, τὸ μὲν χρῶμα, τὸ δὲ ὁ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν, οἷον τὰ πυρώδη ὡς πυγολαμπίς, μύκης, κέρας· δῆλον δὲ ἔσται ὃ λέγομεν προελθοῦσι μάλιστα. νῦν δὲ τὸ ὁρατὸν κυρίως ἐστὶ χρῶμα. τοῦτο δὲ τὸ ἐγγινόμενον ἐπὶ τοῦ καθ' αὑτὸ ὁρατοῦ, λέγω δὴ τῆς ἐπιφανείας. πολλαχῶς δὲ τοῦ καθ' αὑτὸ λεγομένου (τά τε γὰρ ἐν τῷ ὁρισμῷ κείμενα καθ' αὑτὸ πρόσεστι τοῖς ὑποκειμένοις, οἷον τὸ ζῶον τὸ λογικὸν τῷ ἀνθρώπῳ, καὶ ὧν ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον προσλαμβάνεται, οἷς ἐνυπόκειται, ὡς τῷ ἀριθμῷ καθ' αὑτὰ τὸ περιττὸν καὶ τὸ ἄρτιον· τοῖς γὰρ ἀμφοτέρων λόγοις ὁ ἀριθμὸς προσλαμβάνεται· καὶ ἡ σιμότης τῇ ῥινί· τῷ γὰρ λόγῳ τοῦ σιμοῦ τὴν ῥῖνα προσειλῆφθαι ἀνάγκη), οὐ καθ' ἕτερον οὖν τῶν τρόπων καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν λέγομεν, ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ πρώτως τὸ αἴτιον τοῦ ὁρατὴν εἶναι, καὶ οὐχ ὥσπερ τὸ σῶμα ὁρατὸν δι' αὐτήν, καὶ ὑποκείμενον τοῦ καθ' αὑτὸ ὁρατοῦ χρηματίζουσαν. χρῶμα δὲ τοῦτο, οὗ καὶ αἱ ὄψεις ἀντιλαμβάνονται, τὸ ἐν ἐπιφανείᾳ καὶ ἐξεπιπολῆς, οὐ τὸ ἐν βάθει. εἰ γὰρ καὶ δοκοῦμεν τοὺς διαφανεῖς τῶν λίθων δι' ὅλου τοῦ βάθους κεχρωσμένους ὁρᾶν, ἀλλὰ τῆς

2 διακεκριμένα A 3 γὰρ om. A 4 καλέσαντες A 6 ὀδμὴν C 9 καὶ εὐώδες AC 16 οὐσία A 18 συνηθῶν B 23 ἢ] καὶ B 26 ἔσται erit: ἐστιν libri 34 ante ὁρατὸν add. τὸ BC 35 ὁρατὴ A 37 χρηματίζουσα A 39 τῶν] τοὺς A¹ ἐγρωσμένους B

ὄψεως ἡ ἀπάτη· τῷ μὲν γὰρ διαφανεῖς εἶναι βαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις ἢ αἱ τῶν χρωμάτων ἐνέργειαι. σημεῖον δὲ ὡς εἰ ὕελος ἢ λίθος τῶν τοιούτων μιᾷ ἐπιφανείᾳ χρωσθείη, δόξειε δ' ἂν ἡμῖν τὸ ὅλον σῶμα κεχρῶσθαι διὰ βάθους. καθ' αὑτὴν μὲν ὁρατὴ διὰ ταῦτα ἡ ἐπιφάνεια, τὸ δὲ ἐν αὐτῇ καὶ πρὸ αὐτῆς ὁρατὸν χρῶμα. ἄμφω δὲ πέρατα, τὸ μὲν τοῦ ὡρισμένου σώματος, τὸ δὲ τοῦ διαφανοῦς· ἔστι γὰρ χρῶμα τὸ τοῦ διαφανοῦς ἐν σώματι ὡρισμένῳ πέρας· ὥστε τῷ μὲν ὑποκειμένῳ ταὐτὸν χρῶμα καὶ ἐπιφάνεια, τῷ λόγῳ δὲ διάφορον. πᾶν δὲ χρῶμα κινητικὸν εἶτ' οὖν τελειωτικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. τότε δὲ τὸ διαφανὲς κατ' ἐνέργειαν, ὅταν πεφωτισμένον ᾖ, δυνάμει δὲ ὅταν ἀφώτιστον. διόπερ οὐχ ὁρατόν τι ἄνευ φωτός, ἀλλὰ πᾶν τὸ ἑκάστου χρῶμα ἐν φωτὶ ὁρᾶται. διὸ περὶ φωτὸς λεκτέον καὶ πρὸ τούτου περὶ τοῦ διαφανοῦς καὶ τοῦ χρώματος. διαφανὲς οὖν λέγομεν, ὅπερ ὁρατὸν μέν ἐστιν, οὐ καθ' αὑτὸ δὲ ὁρατὸν ὡς ἁπλῶς εἰπεῖν, ἀλλὰ δι' ἀλλότριον χρῶμα τὸ φῶς. τοιοῦτον δέ ἐστιν ἀὴρ καὶ ὕδωρ καὶ πολλὰ τῶν στερεῶν, οἷον λίθοι, ὕελοι, κέρατα καὶ τὰ ὅμοια· οὐ γὰρ ᾗ ὕδωρ οὐδ' ᾗ ἀὴρ οὐδ' ᾗ ἕκαστον τῶν τοιούτων, διαφανῆ, ἀλλ' ὅτι ἐστί τις φύσις οὐκ ἰδίως ἀφωρισμένη καὶ καθ' αὑτὴν ἐστηκυῖα, ἀλλ' ἐν ἑτέροις ἐγγινομένη. ἔν τε γὰρ τοῖς ἁπλοῖς τούτοις σώμασι τῶν στοιχείων, ἀέρι καὶ ὕδατι, ἃ καὶ ἀόριστα λέγεται, καὶ ἐν τοῖς συνθέτοις καὶ ὡρισμένοις, καὶ ἐν τῷ ἀιδίῳ δὲ τῷ ἄνω σώματι ἡ τοῦ διαφανοῦς φύσις ἐφήπλωται. αἵ τε γὰρ σφαῖραι διαφανεῖς καὶ τὸ μεταξὺ ἅπαν (πῶς γὰρ ἂν αἱ ὄψεις εἰς τὸν οὐρανὸν ἱκνοῦντο;) τὰ δὲ ἄστρα οὔ. οὐ μέντοι ἐπ' ἴσης ἑαυτὴν τοῖς δεξομένοις ἡ διαφάνεια κατενείματο, ἀλλὰ μᾶλλον μὲν τοῖς ἁπλοῖς, ἧττον δὲ τοῖς ἄλλοις· καὶ τούτοις αὖ ἀνίσως· λίθοι γὰρ λίθων διαφανέστεροι, ἔτι δὲ ὕελος. ὥσπερ οὖν τῶν σωμάτων ἀνάγκη τι εἶναι ἔσχατον, οὕτω καὶ ταύτης, καὶ τοῦτο δὴ τὸ χρῶμα. ἣν γὰρ ἔξω φύσιν ἐν τοῖς ἀορίστοις χρωματιζομένην ὁρῶμεν, ταύτην καὶ ἐντὸς ἐν τοῖς ὡρισμένοις ὑπολαμβάνειν δεῖ. φαίνεται δὲ καὶ ἀὴρ καὶ θάλασσα χρωματιζόμενα· καὶ γὰρ ἡ αὐγὴ τοιοῦτον. ἀλλ' ἐκεῖ μὲν διὰ τὸ ἐν ἀορίστῳ οὐ τὴν αὐτὴν ἐγγύθεν καὶ προσιοῦσι καὶ πόρρωθεν ἔχει χρόαν οὔθ' ὁ ἀὴρ οὔθ' ἡ θάλασσα· ἐν δὲ τοῖς σώμασιν ἐὰν μὴ τὸ περιέχον ποιᾷ μεταβάλλειν, ὥρισται καὶ ἡ φαντασία τῆς χρόας. δῆλον ἄρα ὅτι τὸ αὐτὸ κἀκεῖ κἀνθάδε δεκτικὸν τῆς χρόας. τὸ ἄρα διαφανὲς καθ' ὅσον ἐνυπάρχει τοῖς σώμασιν, χρώματος ποιεῖ μετέχειν· ὑπάρχει δὲ μᾶλλον καὶ ἧττον, καὶ τὰ χρώματα κατὰ λόγον λαμπρότερα ἢ ζοφωδέστερα. ἐπεὶ δ' ἐν πέρατι ἡ χρόα, τούτου ἂν ἐν πέρατι εἴη. πᾶν μὲν ⟨οὖν⟩ χρῶμα ἐν ἐπιφανείᾳ γε καὶ σὺν ἐπιφανείᾳ, οὐ μὴν πᾶσα ἐπιφάνεια σὺν χρώματι, ὅτι μηδὲ πᾶν σῶμα διαφανὲς ὡρισμένον. τὸ μὲν γὰρ ἀόριστον διαφανὲς ὥσπερ οὐδ' ἐπιφάνειαν οἰκείαν τε καὶ ὡρισμένην ἔχει (ὁρίζεται γὰρ τοῖς περιέχουσι καὶ συσχηματίζεται). οὕτως οὐδ' οἰκεῖον ἔχει χρῶμα. ἀλλ' ἔστι τῶν ἀλλοτρίων χρωμάτων διάκονόν τε καὶ δεκτικὸν ὥσπερ καὶ σχημάτων. οἷος

---

11 ἑκάστω A 15 στερρῶν A 17 γὰρ om. A 22 ἡ διαφάνεια] καὶ διαφάνη B 27 καὶ ὁ ἀὴρ A 34 ἂν καὶ πέρατι C εἴη scripsi, cf. de Sens. et sens. 439 b 10: ἡ libri μὲν om. B 35 οὖν addidi χρῶμα scripsi: σῶμα libri

ὁ ἀὴρ καὶ τὸ ὕδωρ. καὶ εὐλόγως ἡ φύσις ἄχρουν ἐποίησε τὸ τὰ ἀλλότρια διακονῆσον χρώματα, ὡς μὴ τὸ οἰκεῖον τῇ μίξει κωλύῃ τοῦ ἀλλοτρίου τὴν ἀκριβῆ μήνυσιν. τὸ δὲ ἐν τοῖς ὡρισμένοις σώμασι καὶ στερεοῖς διαφανὲς ὥσπερ καὶ σχήματι καὶ ἐπιφανείᾳ ὥρισται, οὕτω καὶ τούτῳ, καὶ ἔστι πέρας διὸ τοῦτο τὸ χρῶμα τοῦ ὡρισμένου διαφανοῦς. τὰ δὲ ἐν βάθει τῶν ὡρισμένων διαφανῶν οὕτως ἔχει χρῶμα ὡς ἐπιφάνειάν τε καὶ σχῆμα. ὃ δὲ ἐν ἀέρι καὶ ὕδατι φῶς καὶ σκότος, τοῦτο ἐν τοῖς ἄλλοις τῶν σωμάτων λευκὸν καὶ μέλαν. ἐπεὶ δὲ λέγεται καὶ τὸ φῶς κινεῖν τὸ διαφανές, λέγεται δὲ καὶ τὸ χρῶμα, σκεπτέον τὸν τρόπον ὅπως. τὸ μὲν γὰρ ὅτι ἐνεργείᾳ ποιεῖ διαφανές, οὕτω τελειωτικὸν αὐτοῦ λέγεται, τὸ δὲ ὅτι τὴν διαπορθμευτικὴν αὐτοῦ δύναμιν εἰς ἐνέργειαν ἄγει· διατίθεται γάρ πως ὑπὸ τοῦ χρώματος ἀναματτόμενόν πως αὐτὸ καὶ τῇ ὄψει διαδιδόν· καὶ τὸ μὲν φῶς, ᾗ διαφανές, τελειοῖ, τὸ δὲ χρῶμα, ᾗ διαπορθμευτικὸν καὶ ἀπαγγελτικόν. ἔχει δὲ πρός τι ἀπορίαν ὁ περὶ τῶν τοιούτων λόγος, εἴπερ ὁρατὸν ὁ ἀὴρ καὶ ἁπλῶς τὸ διαφανὲς ὑπὸ τοῦ φωτὸς καὶ μηδενὸς προσδεῖται. εἰ γὰρ ἔν τινι σκεύει ἀποθοῖο λύχνον, τοῦ φωτὸς ἀνιόντος ἀπὸ τῆς ὀπῆς ἄνω, εἴπερ ἀποβλέψειας εἰς τὸν ὑπὲρ τοῦτον ἀέρα, οὐκ ὄψει πεφωτισμένον, εἰ μή τι στερεὸν ἀντιβαίνοι οἷον ὄροφος ἢ ἑτερόν τι· ὥστε δόξειεν ἂν μὴ δι' αὐτὸν μᾶλλον τὸν ἀέρα ἢ τῷ ἀντιβαίνειν τὰ στερεὰ ὁρατὸν ὑπὸ τοῦ φωτὸς εἶναι. ὃ δὲ ἐπὶ τοῦ μερικοῦ, τί κωλύει καὶ ἐπὶ τοῦ καθόλου λέγειν; μήποτε γὰρ διὰ τὸ τῷ ἡλιακῷ φωτὶ πανταχόθεν ἀντιβαίνειν στερεὰ σώματα ταύτῃ τοι ὁρατὸν τὸν ὑπὲρ ἡμᾶς ἀέρα γίνεσθαι. ὅπῃ γὰρ ἂν ἀποβλέψαιμεν, στερεοῖς τισιν ἐντυγχάνομεν, γῇ καὶ θαλάσσῃ καὶ ὄρεσιν· καὶ εἴ τις δὲ προσβιάζων ὑποθοῖτο, εἰ μετεωρισθῇ, τὸν ὑπὲρ τὸν ἥλιον καὶ τὸν ἀνωτάτω κατοπτεῦσαι χῶρον, οὔτι που ἴδοι, ἕως ἂν μὴ στερεοῦ τινος τῷ ἄνω φωτὶ ἀντίβασις γένοιτο. εἰ δ' ἐστί τι ὃ περιτειχίζει καὶ τοῦτο, ἡ ἐξωτάτη καὶ ἀπλανὴς σφαῖρα, αὐτός τε ὄψεται καθαρῶς καὶ ὁ ὑπὲρ σελήνης τόπος πεφωτισμένος ἔσται διηνεκῶς. ἀλλὰ τὸ μὲν διαφανὲς τοῦτο· φῶς δὲ ἡ τοῦ διαφανοῦς ἐνέργεια ᾗ διαφανές· δυνάμει δὲ ἐν ᾧ τοῦτό ἐστι, καὶ τὸ σκότος. τὸ δὲ φῶς οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς, ὅταν ᾗ ἐντελεχείᾳ διαφανὲς ὑπὸ τοῦ πυρὸς ἢ τοιούτου οἷον τὸ ἄνω σῶμα· καὶ γὰρ τοῦτο ὑπάρχει τι ἓν καὶ ταὐτό.

Μέλλοντας δὲ τὸν περὶ φωτὸς καὶ ὄψεως ποιεῖσθαι λόγον τοσοῦτον ἀναγκαῖον προσδιορίσασθαι, ὡς οὔτε καθάπαξ, ὅ τί τις περὶ φωτὸς ἁπλῶς ἀπεφήνατο, συλληψόμεθα καὶ τὰ καίρια οὐ παρήσομεν, οὔτε μὴν πρὸς πάσας τὰς ἐνστάσεις ἀπαντῆσαι παρεσκευάσμεθα. ὅθεν εἰ μὴ κατὰ πάντα ἀποχρώντως ἔχοι, μὴ θαυμάζειν χρή· πολλὰς γὰρ ἔχει τὰς ἀντιλήψεις καὶ τὰς λύσεις ἐργωδεστέρας· μόνον γὰρ τῶν ἄλλων καὶ ἀπορώτατον, ὡς εἰπεῖν, καὶ φανότα-

2 κωλύῃ scripsi: κωλύει libri 3 στερροῖς C post διαφανὲς add. δὲ A
4 σχῆμα καὶ ἐπιφάνεια A τοῦτο A: τοῦτῳ C 13 ᾗ] ἢ C 15 προσδεῖσθαι A ἀπόθοιο AC: θοῖεν B 18 αὐτὸν scripsi: αὐτὸν libri τῷ] τοῦ B
19 τοῦ (ante φωτὸς) om. AC 24 τὸν om. A ἴδοι B 25 ἀντίασις A
26 σελήνην A 32 μέλλοντες C: μέλλοντα A 36 ἔχοι] ἔχειν B

τον, τὸ μὲν τῷ λόγῳ, τὸ δὲ τῇ αἰσθήσει. εὐθὺς γὰρ πότερον τὸ φῶς σῶμά ἐστιν ἢ ἀσώματον: πῶς ποτε καὶ τὸ ὁρᾶν γίνεται, πότερον κατά τινων ἀκτίνων σωματικῶν ἐκπομπὴν ἀπὸ τῶν ὀμμάτων, ὥσπερ οἱ μαθηματικοὶ λέγουσιν, ἢ τῇ εἰσδοχῇ τῆς τῶν ὁρωμένων ποιότητος, ὥσπερ οἱ φυσικοί; ἢ ἕτερόν τι μᾶλλον καὶ τρίτον, καὶ τοῦτ' ἔσται δήπου κατὰ συναύγειαν; εἰ μὲν οὖν σῶμα τὸ φῶς, οὐ μόνον σῶμα διὰ σώματος ἔσται χωρῆσαν τὸ τοῦ φωτὸς τοῦ ἀέρος, ἀλλὰ καὶ κίνησιν σωματικὴν ἄχρονον τοῖς οὖσιν ὑποληψόμεθα· ἅρα γὰρ ⟨τῷ⟩ ὑπὲρ τὸν ὁρίζοντα γενέσθαι τὸν ἥλιον ἀθρόως φωτίζεται τὸ περίγειον. ἔτι εἴπερ σῶμα καὶ κινεῖται, κατά τινα τῶν σωματικῶν καὶ φυσικῶν κινήσεων κινηθήσεται· αὗται δὲ ἢ εὐθεῖα ἢ κύκλῳ, καὶ τῆς εὐθείας ἡ μὲν ἄνω, ἡ δὲ κάτω. τὸ δὲ φῶς καὶ ἄνω καὶ κάτω καὶ τοῖς ἐν μέσῳ ἰσοτίμως ὁρᾶται κινούμενον· ἀθρόως γὰρ ὁ οἶκος ἅπας ἀφθέντος λύχνου φωτίζεται. οὔτε μὴν κύκλῳ· ἐν γὰρ τοῖς ἀπομήκεσι τῶν στεγασμάτων ἡ τοῦ φωτὸς συμπρόεισιν ἔλλαμψις. ἐχρῆν δήπου καὶ τὸν ἀέρα παχύτερον εἶναι φωτιζόμενον ἢ ἐν σκότει. ἀλλ' οὐδὲ τοὺς ἀπαρτῶντας τῷ ἡλίῳ τὰς σωματικὰς τοῦ φωτὸς ἀκτῖνας ἀποδεχόμεθα, ὡς ἂν συμπροϊούσας φωτίζειν καὶ μὴ γίνεσθαι κίνησιν ἄχρονον· τί δ' ἂν εἴποιεν περὶ σελήνης ἢ τῶν ἄλλων πυρῶν (ὁμοίως γὰρ ἅπαντα φωτίζει), ἢ ὅταν ἐν σκότει τῇ παρατρίψει φωτίσαιμεν; οὔκουν οὐδὲ τοὺς σῶμα μὲν τιθεμένους, ἄυλον δὲ διὰ τὸ κεχωρίσθαι· οὕτω δ' ἂν καὶ ὁ οὐρανὸς ἐν κέγχρῳ συναχθήσεται. καὶ οὐ δι' ἀέρος μόνον, ἀλλὰ καὶ διὰ γῆς καὶ τῶν στερροτέρων ἔδει χωρεῖν, καὶ ἦν ἂν ἡμέρα καὶ ὑπὸ γῆν ὄντος τοῦ ἡλίου. ἔτι δοκεῖ τὸ φῶς ἐναντίον εἶναι τῷ σκότει· ἔστι δὲ τὸ σκότος στέρησις τῆς τοιαύτης ἕξεως ἐκ τοῦ διαφανοῦς· ἡ δὲ τούτου παρουσία τὸ φῶς. ὥστε δῆλον, εἰ μή τι σῶμα τὸ σκότος, οὐδὲ τὸ φῶς, καὶ οὐκ ὀρθῶς Ἐμπεδοκλῆς οὐδ' εἴ τις ἄλλος οὕτως εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ γινομένου ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθάνοντος· τοῦτο γάρ ἐστι καὶ παρὰ τὴν τοῦ λόγου ἐνάργειαν καὶ παρὰ τὰ φαινόμενα· ἐν μικρῷ μὲν γὰρ διαστήματι λάθοι ἄν, ἀπ' ἀνατολῆς δὲ ἐπὶ δυσμὰς τὸ λανθάνειν μέγα λίαν τὸ αἴτημα. τί οὖν τὸ φῶς καὶ πῶς φωτίζεται τὰ ὁρώμενα; λέγομεν οὖν ἐνέργειάν τινα ἐκπέμπεσθαι ἀσώματον ἐκ τοῦ φωτιστικοῦ σώματος εἰς τὰ διαφανῆ πεφυκότα ταύτην δέχεσθαι, καὶ οὕτω τὸ φωτίζειν γίνεσθαι. ὡς γὰρ τὸ πῦρ καὶ πόρρω που κείμενον ἡμῶν οἶδε θερμαίνειν οὐ τῷ αὐτὸ φοιτᾶν πρὸς ἡμᾶς, ἀλλὰ τῷ αὐτὸ μὲν τὸν προσεχῆ ἀέρα θερμαίνειν πεφυκότα πάσχειν ὑπὸ τοῦ πυρός, ἐκεῖνον δὲ θερμανθέντα γίνεσθαι τοιοῦτον, ὡς δύνασθαι τὰ παρακείμενα αὐτῷ θερμαίνειν, καὶ τούτου μέχρι παντὸς γινομένου τὰ πορρωτάτω τοῦ πυρὸς θερμαίνεσθαι, οὕτω τοι καὶ τῶν διαφανῶν σωμάτων ἐφεξῆς κειμένων συνεχῆ συμβαίνει τὴν διάδοσιν γίνεσθαι. αἵ τε γὰρ σφαῖραι ἅπτονται ἀλλήλων, καὶ τῆς ἔσχάτης ὁ περὶ ἡμᾶς ἀὴρ ἐφεξῆς ὤν, καὶ τούτου τὸ

---

7 καὶ om. C ὑπολειψόμεθα AC 8 τῷ addidi post ἥλιον add. καὶ A 17 περὶ] ἐπὶ AC 19 κεχωρῆσθαι A 21 στεροτέρων B 25 γινομένης C 32 οὐ τῷ—33 θερμαίνειν om. C 33 τῷ] τὸ A 35 τοῦτο A γινομένου] γίνεσθαι καὶ οὕτω A 36 θερμαίνεται A 37 συνεχῆ—γίνεσθαι om. A

ὕδωρ. προσεχῶς οὖν ὁ ἥλιος εἰς τὸ παρακείμενον, σῶμα ὂν καὶ ἁπτόμενον αὐτοῦ, δράσας ποιεῖ αὐτὸ ἐνεργείᾳ διαφανές, κἀκεῖνο τοιοῦτον γινόμενον ὁμοίου ποιητικὸν τῷ μετ' αὐτὸ γίνεται, κἀκεῖνο ἄλλῳ· καὶ οὕτω μέχρι τῶν ἐσχάτων ἀέρος καὶ ὕδατος ἡ ὁμοία φωτιστικὴ ἐνέργεια ἀφικνεῖται, οὐ τῆς τοῦ ἡλίου ἐνεργείας εἰς τὰ ἔσχατα φοιτώσης ἀμέσως, ἀλλὰ τῶν πλησίων καὶ πρώτως πασχόντων δυναμένων καὶ εἰς τὰ δεκτικὰ τὴν αὐτὴν ἐνεργεῖν ἐνέργειαν. οὐ θαυμαστὸν δέ, εἰ ἀθρόα ἡ ἐν ἅπασιν ἐνέργεια γίνεται, ὁπότε ἀσώματος. ὥσπερ γὰρ εἰ σχοίνου τις μακρᾶς καὶ διατεταμένης τὸ ἄκρον κινήσειεν, ἡ πᾶσα σχοῖνος ἀχρόνως συγκινεῖται, διὰ τὴν τῶν μορίων συνέχειαν τοῦ πρώτου κινοῦντος τὸ μετ' αὐτό, τοῦτο δὲ τὸ ἐχόμενον, ταῦτα λέγειν ⟨δεῖ⟩ καὶ περὶ τῆς τοῦ φωτὸς ἐνεργείας καὶ διαδόσεως γίνεσθαι, τῷ ἐφεξῆς ἀλλήλων τὰ τοῦ κόσμου σώματα ἅπτεσθαι. ἔστιν οὖν τὸ φῶς οὔτε πῦρ οὔτε ὅλως σῶμα οὐδ' ἀπορροὴ σώματος οὐδενός (εἴη γὰρ ἂν σῶμά τι καὶ οὕτως), ἀλλ' ἡ τοῦ διαφανοῦς ἐνέργεια ᾗ διαφανές. ὡς ἄνωθεν εἴρηται, ἥ τις ἐγγίνεται ὑπὸ ποιητικοῦ πρώτως μὲν τοῦ ἡλίου (τούτῳ γὰρ ὁ θεὸς τὴν πηγὴν τοῦ φωτὸς ἐναπέθετο), δευτέρως δὲ καὶ ὅσα τῷ μετασχεῖν ἀπορροίας τινὸς τῆς ἐξ ἐκείνου φωτιστικὰ γέγονεν, ὡς σελήνη καὶ ἄστρα καὶ πῦρ. ἀλλ' ἐοίκαμεν ἐν σκότει τὸν περὶ φωτὸς πεποιῆσθαι λόγον· τοσαῦτα γὰρ εἰπόντες ἔτι δεδοίκαμεν, μὴ σκιὰν ἀντὶ φωτὸς κατέχοιμεν. εἰ γὰρ μὴ σῶμα, πῶς ἐν τοῖς ἐνόπτροις αἱ ἀνακλάσεις γίνονται; τοῦτο δὲ κἀν τοῖς περὶ ὄψεως ἀπορηθήσεται. τίς δὲ καὶ ἡ τοῖς πυρείοις τῶν ἀκτίνων παράτριψις καὶ θέρμανσις καὶ ἕψις; πόθεν δὲ καὶ τῶν ἀκρωρειῶν αἱ πεδιάδες θερμότεραι, εἴπερ μὴ τῇ διπλώσει τῶν ἀκτίνων ὁ ἀὴρ ἐθερμαίνετο; τοῦτο δὲ σώματος. καὶ τοῦτο δὴ παρέντες κατὰ σχολὴν ἐπισκέψασθαι τὸν ὅμοιον τρόπον καὶ περὶ ὄψεως διαλάβωμεν· εἰ μὲν οὖν κατ' ἐκπομπὴν μόνην σωματικῶν τινων ἀκτίνων τὸ ὁρᾶν γίνεται, αἱ αὐταὶ κἀνταῦθα τῶν ἀπορίων, αἵπερ καὶ περὶ φωτός. πῶς γὰρ οἷόν τε ἅμα ἀναβλέψαντας μόνῳ τῷ ὀπτικῷ πνεύματι τοῦ οὐρανοῦ ἀντιλαβέσθαι καὶ σῶμα τὸ βραχύτατον τοσαύτην ἀχρόνως κινηθῆναι διάστασιν; τό τε γὰρ ἀπὸ γῆς μέχρις οὐρανοῦ δύο ζωδίων ἐδείχθη διάστημα, ὅπερ ἕκτον τοῦ ὅλου κύκλου τοῦ τὸν οὐρανὸν διεζωκότος. ἡ γὰρ ἀπὸ τοῦ κέντρου ἴση τῇ τοῦ ἑξαγώνου πλευρᾷ· ἑξάγωνος δὲ πλευρὰ τῶν δύο ζωδίων ἐστὶ τὸ διάστημα. ἡ δὲ ἀπὸ τοῦ κέντρου ἡμίσεια τῆς διαμέτρου· τριπλασιεφέβδομος ἡ περίμετρος τῆς διαμέτρου. ἔτι ἐπεὶ ἀναβλέψαντες τὸ τεταρτημόριον ὁρῶμεν τοῦ οὐρανοῦ, εἰ αἱ ὄψεις σῶμα, ἀνάγκη διὰ τοῦ ἀέρος ἰούσας ἢ διὰ τούτου χωρεῖν, καὶ ἔσται πάλιν σῶμα χωροῦν διὰ σώματος, ἢ τέμνειν αὐτόν. καὶ εἰ τοῦτο, οὐκ ἔδει συνεχῆ ὁρᾶν τὸν οὐρανὸν οὔτε τι ἄλλο τῶν ὁρατῶν. καὶ πρὸς τούτοις πόσον ἂν εἰς τοσούτου σώματος

1 ὄν] ὢν BC 3 post μέχρι add. καὶ AC 4 ἀφικνεῖται ἐνέργεια AC 5 πλησίως BC 6 δυναμένων A Philoponus: διαβαίνειν BC ἐνεργεῖν A Philoponus: om. BC 7 πᾶσιν A 10 τῷ μετ' αὐτό B δεῖ addidi 14 ἄνωθεν om. C ἥτις] εἴ τις A ὑπὸ τοῦ ποιητικοῦ C 16 ὅσα] ὑπὸ τῷ A² φωτιστικῶν γεγονότων A² 17 περὶ τοῦ φωτὸς AC 20 ἐν τοῖς πυρείοις A 21 ἡ θέρμανσις A ἡ ἕψις A 30 ἑξαγώνου δὲ AC 32 τριπλασιεφέβδομος — διαμέτρου A Philoponus: om. BC 35 αὐτήν C

ἐκπομπὴν ἡ κόρη διήρκεσε περιληψομένη τὸν οὐρανόν: οὕτως οὐκ αὐτάρκης ἑαυτῇ μόνῃ ἡ ὄψις ἐξιοῦσα ὁρᾶν. εἰ δὲ τῇ εἰσδοχῇ τῆς τῶν ὁρωμένων ποιότητος τὸ ὁρᾶν, ὡς ἂν οἱ φυσικοὶ λέγοιεν διαβαίνειν τὰς τῶν χρωμάτων ἐνεργείας διὰ μέσου τοῦ διαφανοῦς πρὸς τὴν ὄψιν καὶ ἀπαγγέλλειν αὐτῇ τῶν ἰδίων ὑποκειμένων. λέγω δὴ τῶν χρωμάτων, τὴν αἴσθησιν, πῶς τὸ πλῆθος τῶν ὁρωμένων γινώσκεται καὶ τὸ μέγεθος ἢ τὸ διάστημα πάντων ἐπικειμένων τῷ ὄμματι, κἀκείνου μόνου καὶ τοσούτου αἰσθομένης τῆς ὄψεως, ὅσον τὴν κόρην ἐπλήρωσε; διὰ τί δὲ καὶ εἰ πλήρης ὁ ἀὴρ τῶν τοιούτων εἰδώλων, οὐ πανταχόθεν ὁρῶμεν, ὥσπερ δὴ καὶ ἀκούομεν καὶ ὀσφραινόμεθα: πῶς δὲ καὶ οὐ σύγχυσις τῶν χρωμάτων καὶ ἐπιμιξία τοῦτο: τῷ γὰρ ἅπαξ τὸν ἀέρα τὰ χρώματα δέχεσθαι, μὴ ὥσπερ κατὰ μῆκος, οὕτω καὶ κατὰ πλάτος πάσχειν λέγειν παράλογον. πῶς δὲ καὶ ἀνάκλασις ὄψεως γίνεται, εἰ μή τι ἐκπέμπεται; μήποτ' οὖν ἐξιέναι μέν τι τῶν ὀμμάτων δεῖ λέγειν (τοῦτο δὲ αὐγοειδὲς καὶ ὀπτικὸν πνεῦμα), πρὸς τὴν τῶν ὁρατῶν ἀντίληψιν, μὴ μέντοι καθάπαξ ἀρκεῖν, ὥσπερ οἱ ἀπὸ μαθημάτων λέγουσιν, ἀλλὰ δεῖσθαι καὶ τοῦ ἐκτὸς φωτὸς χειραγωγήσοντος καὶ συναντιληψομένου, καὶ οὕτω κατὰ συναύγειαν τὴν ὄψιν ὁρᾶν. τά τε γὰρ πολλὰ τῶν ἀπόρων ἐν τούτῳ λυθήσεται, καὶ σύμφωνα τοῖς φαινομένοις μᾶλλον ἔσται, εἴπερ τὰ πρότερα. ὅτι μὲν γὰρ ἐξέρχεταί τι τῶν ὀφθαλμῶν, τὸ τῶν ὀπτικῶν νεύρων πρὸς τὰ τῶν ἄλλων αἰσθητηρίων διάφορον παρίστησιν ἐναργῶς. σωλῆνες γὰρ ὥσπερ ταῦτα καὶ πόροι, ναστὰ δέ πως τὰ τῶν ἄλλων καὶ ἄτρητα. οὐχ ὁρῶμεν δὲ ἐν σκότῳ, ὅτι κοινωνίαν δεῖ τῶν φώτων εἶναι καὶ ὅτι κατὰ συναύγειαν τοῖς ὄμμασιν ἡ ἐνέργεια. πολλὴ γὰρ ἡ ἀμφοτέρων τῶν φώτων σχέσις πρὸς ἄλληλα καὶ οἰκείωσις τοῦ ὀπτικοῦ καὶ τοῦ ἔξωθεν· ζητεῖ γὰρ ἄλληλα καὶ ἑνοῦσθαι σπεύδει, καὶ τὸ μεῖζον ἕλκει τὸ ἔλαττον, τὸ δ' ἕπεται τῆς οἰκείας ὁλότητος ἐφιέμενον. ὅθεν ἐν νυκτὶ καὶ πόρρωθεν ὄντα τὸν πυρσόν, εἰ μή τινι ἐπικρύπτοιτο, κατὰ ἄρρητον ὁρῶμεν ταχυτῆτα· καὶ οἱ ἐπὶ πλέον ἡλίῳ προσδιατρίψαντες ἢ λαμπροῖς ἑτέροις ἠρέμα τὰς ὄψεις ἀμαυροῦνται, συνεκφερουμένου τοῦ ὀπτικοῦ καὶ μερικοῦ πρὸς τὴν ἐκτὸς ὁλότητα. καθ' αὑτὴν μὲν γὰρ ἡ ὄψις οὐκ ἰσχύει μέχρι πολλοῦ διιέναι. ἐμπίπτουσα δὲ τῷ περιέχοντι διαφανεῖ καὶ τῇ πρώτῃ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη διαδίδωσιν ἄχρι πλείστου συνεχοῦς ἑαυτήν, ἕως οὗ καταλάβῃ τὸ ὁρατόν, συνεκτεινομένη τῷ περὶ τὸν μεταξὺ ἀέρα φωτὶ καθὰ συγγενεῖ. ὅ τε γὰρ ἀὴρ ἄχροος ὢν καὶ διαφανὴς εὐδιάχυτός τε καὶ εὐαλλοίωτος ὡς οὐδέν, καὶ ἡ ὄψις δὲ καθαρῶς ὑπάρχει φωτοειδής. καὶ ὅπερ τὸ τοῦ λύχνου φῶς ἐν οἴκῳ δρᾷ σκοτεινῷ (τῇ πρώτῃ γὰρ εἰσόδῳ τὸν ἐν αὐτῷ ἀέρα φωτίζει ὁμοῦ), τοῦτο δὴ καὶ τὴν ὄψιν νοητέον ποιεῖν ἐν τῷ μεταξὺ ταύτης τε καὶ τοῦ ὁρατοῦ πεφωτισμένῳ ἀέρι· τῇ πρώτῃ γὰρ προσβολῇ τοῦτον ἀλλοιοῦν ἰσχύει, δυναμουμένη τῷ ἐκτὸς φωτὶ καὶ συνεργοῦσα τούτῳ διὰ τὴν οἰκείωσιν. συνᾴδει

---

6 τὸ (ante διάστημα) om. A 7 μόνον B 9 ὀσφρανόμεθα C 10 τὰ om. B 13 μέντι A τὸ αὐγοειδὲς AC 24 τῶν ἔξωθεν A 27 τὴν ταχυτῆτα AC 28 συνεκφερουμένου C 29 αὐτὴ AC 30 διαφανῆ A 35 αὐτῇ BC

δὲ τῷ περὶ τῆς ἐκπομπῆς τοῦ ὀπτικοῦ πνεύματος καὶ ἡ ἀποδιδομένη αἰτία τοῦ διπλᾶ ὁρᾶν ἐν τῇ παραθέσει τῶν ὀφθαλμῶν ἢ φυσικῶς ἢ τῇ τῶν δακτύλων ἐπεμβολῇ καὶ τῷ μὴ ὑπὸ μίαν καὶ τὴν αὐτὴν εὐθεῖαν τὰς κόρας εἶναι. κωνικῶς γὰρ καὶ κατὰ τρίγωνα ὁρώσης τῆς ὄψεως, ὅταν οἱ κῶνοι ἐξ ἀμφοτέρων τῶν ὀμμάτων ἐξίωσι καὶ προσβάλωσιν αἱ ὄψεις τοῖς ὁρατοῖς, ποιοῦσι τρίγωνα βάσιν μὲν ἔχοντα κοινὴν τὴν αἰσθητήν, πλευρὰς δὲ τὰς τοῖς κωνικοῖς ἄξοσι παρ' ἑκάτερα ἐφεστώσας ὄψεις, καθ' ἃς καὶ τῶν ὁρατῶν αἱ κρίσεις γίνονται· ἄξονες δὲ δύο περὶ τοὺς δύο κώνους, περὶ οὓς αἱ λοιπαὶ ὄψεις εἰσίν. δῆλον οὖν ὡς, εἰ μὲν ἀπαρέγκλιτος εἴη ἡ διὰ τῶν κέντρων τῶν κρυσταλλοειδῶν ἐν τοῖς ὄμμασιν ἀγομένη εὐθεία, αἱ ἐκ τῶν δύο κώνων ἴσον ἀφεστηκυῖαι τῶν ἀξόνων ὄψεις κατὰ τὰ αὐτὰ σημεῖα προσβαλοῦσιν, ὡς ἐφαρμόζειν ἀλλήλοις τὰ πέρατα τῶν ὄψεων τῶν ἴσων παρ' ἑκατέρου τῶν ἀξόνων ἐφεστηκυιῶν. ἐπειδὰν δὲ μὴ ἀπαρέγκλιτοι ὦσιν οἱ κῶνοι, ὥσπερ ὅταν ἡ θέσις διαστραφείη τῆς ὄψεως, αἱ ἴσον ἀφεστηκυῖαι τῶν ἀξόνων ἑκατέρου τοῦ κώνου οὐ τοῖς αὐτοῖς προσβαλοῦσι σημείοις, καὶ εἰκότως οὐχ ὡς ἑνὸς τοῦ ἑνὸς ἀντιλαμβάνονται, ἀλλ' ὥσπερ κἂν εἰ δύο εἴη τὰ αἰσθητὰ καὶ πλείονα, διὰ τὸ ἄλλας προσπίπτειν ὄψεις κατὰ μηδὲν συμβαλλούσας ἀλλήλαις καὶ τὰς γωνίας διαφόρους γίνεσθαι· συμβαίνει γὰρ εἰς τὸ αὐτὸ αἰσθητὸν ἐξ ἑκατέρου κώνου ὄψεις προσβάλλειν μὴ ἴσον τῶν ἀξόνων ἀφεστηκυίας, καὶ ἐπεὶ διάφοροι πρὸς τὰ αὐτὰ σημεῖα τοῦ αἰσθητοῦ αἱ γωνίαι γίνονται, εἰκότως καὶ δύο αἱ κρίσεις· καὶ διὰ τοῦτο καὶ δύο τὸ ἓν αἰσθητὸν δοκεῖ.

Ἔστι μὲν οὖν χρώματος δεκτικὸν τὸ ἄχρουν, ψόφου δὲ τὸ ἄψοφον, ὀσμῆς δὲ τὸ ἄνοσμον· ταῦτα δὲ ὁ ἀὴρ πρώτως καὶ δευτέρως τὸ ὕδωρ. εἰ γὰρ εἴχέ τι τούτων ὁ ἀὴρ οἰκεῖον παρεμφαινόμενον ἐκώλυεν ἂν τὸ ἀλλότριον, ὥσπερ ἐπὶ τῆς ἀχρωματίστου ὑέλου καὶ τῆς κεχρωσμένης ἔστιν ὁρᾶν· ἡ μὲν γὰρ πάντα τὰ ἀλλότρια διαπορθμεύσει χρώματα, καὶ μᾶλλον ὅσῳ καὶ μᾶλλον διειδής· ἡ δὲ οὔτε πάντα οὔτ' ἀκριβῶς, ἀλλ' ἓν μόνον προφανεῖ τὸ προκαταλαβόν. ἔτι δὲ καὶ ἐντεῦθεν μᾶλλον· τὰ γὰρ ἐνθαδὶ κείμενα χρώματα διάφορα ὄντα πολλάκις καὶ ἐναντία οἵ τε ἔμπροσθεν καὶ οἱ ὄπισθεν καὶ ἁπλῶς οἱ κατὰ πᾶν ὄντες μέρος ἐπόψονται καὶ διὰ τοῦ αὐτοῦ μορίου τοῦ ἀέρος, ὅπερ, εἰ αὐτὸς ἐχρώννυτο, οὐκ ἂν ἐγίγνετο· οὐ γὰρ ἐδύνατο ἅμα τοῖς ἐναντίοις χρώννυσθαι. καὶ ἡ μὲν ὄψις τοίως ἢ τοίως διατιθεμένη ὑπὸ τῶν χρωμάτων πάσχει, τὸ δὲ μεταξὺ διαφανὲς ἀπαθὲς μένει. ἄχρουν οὖν τὸ διαφανὲς καὶ ἀόρατον ἢ τὸ μόλις ὁρώμενον, οἷον δοκεῖ τὸ σκοτεινόν. τοιοῦτον δὲ τὸ διαφανές, ἀλλ' οὐχ ὅταν ᾖ ἐντελεχείᾳ διαφανές, ἀλλ' ὅταν δυνάμει· ἡ γὰρ αὐτὴ φύσις ὁτὲ μὲν φῶς ὁτὲ δὲ σκότος ἐστίν. οὐ πάντα δὲ ἃ ὁρατά ἐστιν ἐν φωτί

---

1 τῷ] τὸ AC 6 τὴν αἰσθητήν] τὸ αἰσθητόν Philoponus 7 ante ἐφεστώσας add. ἐξ ἴσου Philoponus 8 οὓς] ἃς B 12 τῶν ἴσων — ἐφεστηκυιῶν] τῶν ἴσον παρ' ἑκάτερα ἀφεστηκυιῶν Philoponus ἀφεστηκυιῶν A 13 θέσις] λέξις A¹: τάξις A² 16 ἢ πλείονα AC 17 συμβαλούσας B τὰς] ἔτι τῷ A² γίνεσθαι] ποιεῖν A¹ 19 πρὸς τὰ αὐτὰ] ἀπὸ τῶν αὐτῶν A Philoponus σημείων AC Philoponus 23 δεύτερον A 25 ante ἐπὶ add. καὶ C 27 καταλαβόν B 35 ἡ ἐντελέγεια B 36 ἃ om. AC

ἐστιν, ἀλλὰ μόνον ἑκάστου τὸ οἰκεῖον χρῶμα· ἔνια γὰρ ἐν τῷ μὲν φωτὶ οὐχ ὁρᾶται, ἐν δὲ τῷ σκότει ποιεῖ αἴσθησιν, οἷον τὰ πυρώδη φαινόμενα καὶ λάμποντα (ἀνώνυμα δὲ ταῦτα ἑνὶ ὀνόματι, εἰ μή τις κοινὸν τὸ λαμπρὸν θείη), οἷον μύκης, κέρας, κεφαλαὶ ἰχθύων καὶ λεπίδες καὶ ὀφθαλμοί· ἀλλ' οὐδενὸς ὁρᾶται τὸ οἰκεῖον χρῶμα τούτων. ἐξ οὖν, ὡς κοινῶς εἰπεῖν, τυγχάνει τὰ ὁρατά· ὧν τὰ μὲν ἐν φωτὶ μόνως ὁρᾶται, ἃ δὴ καὶ καλεῖται χρώματα, τὰ δὲ μόνως ἐν σκότει, οἷον τὰ προειρημένα πυρώδη· νικᾶται γὰρ τὸ τούτων λαμπρὸν μειζοτέρῳ τῷ φωτί· τὰ δὲ καὶ ἐν σκότει καὶ ἐν φωτί, ὡς σελήνη καί τινες τῶν ἀστέρων καὶ τὸ πῦρ. ὁρατὸν δὲ καὶ τὸ ἐνεργείᾳ διαφανὲς ὁ πεφωτισμένος δηλαδὴ ἀήρ. ἔτι δὲ καὶ τὸ σκότος ὁρατὸν τὸ καὶ δυνάμει διαφανές· τῇ γὰρ ὄψει κρίνομεν ἀποφατικῶς. ἕκτον ἐπὶ τούτοις γένος τῶν ὁρατῶν ὁ ἥλιος τὸ μάλιστα πάντων φανότατον. ὃν οὔτε ἐν σκότῳ ὁρατὸν θείημεν (ἀφανιστικὸς γὰρ αὐτοῦ) οὔτε ἐν ἡμέρᾳ· αὐτὸς γὰρ τῆς ἡμέρας δημιουργός. δι' ἣν μὲν οὖν αἰτίαν τὰ προρρηθέντα πυρώδη ἐν νυκτὶ ἢ ὅλως ὁρᾶται μήτε πῦρ ὄντα μήτε χρῶμα ἔχοντα, ἄλλος λόγος· πέφυκε γὰρ ὁ ἀὴρ ὑπὸ παντὸς λαμπροῦ φωτίζεσθαι. περὶ δὲ τῶν ἀστέρων ὁρωμένων ἐν νυκτὶ ἀπορήσειεν ἄν τις· εἰ γὰρ αἰτία τοῦ μὴ ἐν ἡμέρᾳ φαίνεσθαι τὸ κρύπτεσθαι τῇ περιουσίᾳ τῆς ἡλιακῆς λαμπρότητος, πῶς ἐν νυκτὶ ὁρῶνται οὐδὲν ἧττον ὄντες ἐν φωτί; τὸ γὰρ κωνικὸν τῆς γῆς ἀποσκίασμα, ὃ δὴ νύξ ἐστιν, οὐχ ὑπερβαίνει τὴν τῆς σελήνης σφαῖραν, ἀλλ' αὐτοῦ που μυουριζόμενον ἀπολήγει, διηνεκῶς δὲ ὁ ὑπὲρ σελήνην φρυκτωρεῖται τόπος. ἢ πρὸς τοῦτο ἐκεῖνο ἀποχρήσει ῥηθέν, ὡς κεχυμένου περὶ ἡμᾶς τοῦ κώνου τῆς σκιᾶς τῆς γῆς τὸν μὲν παρ' ἑκάτερα πεφωτισμένον ἀέρα οὐχ οἷόν τε ὁρᾶν, τὰ μέντοι ἄστρα ὁρᾶν, ἰσχυροποιουμένης τῷ πολλῷ σκότει τῆς ὄψεως καὶ μὴ διακρινομένης, ὡς κἂν ἐν νυκτὶ πόρρωθεν ὄντες τοῦ πυρσοῦ αὐτὸν μὲν ὁρῶμεν, τὸν δὲ περὶ αὐτὸν πεφωτισμένον οὐχ ὁρῶμεν ἀέρα. ἤρκεσε γὰρ τῇ ὄψει πρὸς τὴν τούτων αἴσθησιν τὸ διὰ τοσούτου προελθεῖν σκότους, ὅπου γε καὶ ἐν σταθερᾷ μεσημβρίᾳ ὄψεταί τις ἀστέρας, εἴπερ εἰς φρέαρ κατέλθοι βάθος ἀξιόλογόν τι ἔχον· τὸ γὰρ αὐτὸ κἀκεῖ αἴτιον, δυναμουμένης τῆς ὄψεως καὶ περικλωμένης τῇ μέχρι τοῦ στομίου τοῦ ἀέρος παχύτητι καὶ ζοφερότητι. ἐν γὰρ ταῖς τοιαύταις τοῦ ἀέρος καταστάσεσιν μᾶλλόν τι τῇ ὄψει ἡ ἐνέργεια· ἔνθεν ἀνατέλλων ἢ δύνων ὁ ἥλιος ἀνεμποδίστως ὁρᾶται καὶ μείζων ἑαυτοῦ, ὡς διὰ νοτεροῦ καὶ ἠρέμα παχέος τοῦ ἀέρος τοῦ προσγείου ὁρώμενος.

Τούτων οὕτω διωρισμένων μικρὸν ἔτι περὶ γενέσεως καὶ διαφορᾶς χρωμάτων φιλοσοφήσωμεν, ὡς ἂν ἐντελέστερον οὕτω τὸν περὶ ὄψεως καταθῶμεν λόγον. ἁπλᾶ μὲν οὖν τῶν χρωμάτων ἐστίν, ὅσα τοῖς στοιχείοις συνακολουθεῖ, οἷον πυρὶ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ. ἀὴρ μὲν οὖν καὶ ὕδωρ καθ' αὑτὰ τῇ φύσει λευκά, τὸ δὲ πῦρ ξανθόν, καὶ ἡ γῆ δέ ἐστι φύσει λευκή, παρὰ δὲ τὴν βαφὴν πολύχρους

1 ἐστιν om. AC ἐν μὲν τῷ AC 4 μήκης AC 6 τὸ μὲν B 8 ὡς ἡ σελήνη C 15 μήποτε πῦρ A 17 μὴ καὶ ἐν A 18 πῶς καὶ ἐν AC 20 μυουριζούμενον B 25 κἀν C 27 σταθηρᾷ B 30 ζοφερότητι scripsi: ζοφότητι libri 33 τοῦ προσγείου ἀέρος AC 36 συνακολουθῆναι A[1] 38 ξανθόν] καὶ ὁ ἥλιος ξανθά AC: cf. de Color. 791 a 3

φαίνεται. δῆλον δὲ τοῦτο ἐπὶ τῆς τέφρας· ἐκκαυθέντος γὰρ τοῦ τὴν βαφὴν
πεποιηκότος ὑγροῦ λευκὴ γίνεται, οὐ παντελῶς δὲ διὰ τὸ καπνῷ βεβάφθαι
μελανι ὄντι. τὸ δὲ μέλαν χρῶμα συνακολουθεῖ τοῖς στοιχείοις. εἰς ἄλληλα
μεταβαλλόντων· τὰ δὲ ἄλλα ἐκ τούτων εὐσύνοπτα· τῇ μίξει γὰρ κεραννυ-
5 μένων ἀλλήλοις γίνεται. τὸ δὲ σκότος ἐκλείποντος τοῦ φωτὸς γίνεται. τριχῶς
γὰρ τὸ μέλαν ἡμῖν φαίνεται. ἢ γὰρ ὅλως τὸ μὴ ὁρώμενόν ἐστι τῇ φύσει
μέλαν. ἢ ἀφ' ὧν μηδὲν ὅλως φέρεται φῶς πρὸς τὰς ὄψεις· τὸ γὰρ μὴ ὁρώ-
μενον, ὅταν ὁ περιέχων τόπος ὁρᾶται, φαντασίαν ποιεῖ μέλανος. φαίνεται δὲ
καὶ ταῦτα ἡμῖν μέλανα, ἀφ' ὅσων ἀραιὸν καὶ ὀλίγον ἰσχυρῶς ἀνακλᾶται τὸ
10 φῶς. διὸ καὶ αἱ σκιαὶ μέλαιναι φαίνονται· ὁμοίως δὲ καὶ τὸ ὕδωρ, ὅταν
τραχυνθῇ, καθάπερ καὶ ἡ τῆς θαλάσσης ῥύκη· διὰ γὰρ τὴν τραχύτητα τῆς
ἐπιφανείας ὀλίγων τῶν αὐγῶν προσπιπτουσῶν καὶ διασπωμένου τοῦ φωτός,
τὸ σκιερὸν μέλαν φαίνεται. καὶ τὸ νέφος ὅταν ᾖ πυκνὸν ἰσχυρῶς. καὶ τὸ
ὕδωρ καὶ ὁ ἀήρ, ὅταν μὴ παντελῶς διαῦνον τὸ φῶς ἔχωσι, διὰ τὸ βάθος
15 μέλανα δοκεῖ. ὥστε τὸ σκότος οὐ χρῶμα, ἀλλὰ μόνον φωτὸς στέρησις. τὸ
δὲ μέλαν χρῶμα συμβαίνει γίνεσθαι. ὅταν ὁ ἀὴρ καὶ τὸ ὕδωρ τὰ μεμιγμένα
τοῖς σώμασιν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. καθάπερ ξύλα καὶ ἄνθρακες σβεσθέντος
τοῦ πυρός. διὸ καὶ τοῦ καπνοῦ μελάντατος γίνεται ὁ ἀπὸ τῶν πιόνων καὶ
λιπαρῶν, οἷον ἐλαίου καὶ πίττης καὶ ῥαδός, διὰ τὸ μάλιστα ταῦτα καίεσθαι
20 καὶ συνέχειαν ποιεῖν. μέλανα δὲ καὶ ταῦτα γίνεται, δι' ὅσων ῥεῖ τὸ ὕδωρ,
ὅταν βρυωθέντων τὸ πρῶτον ἀναξηρανθῇ τὸ ὑγρόν, καθάπερ καὶ τὰ ἐν τοῖς
τοίχοις κονιάματα καὶ οἱ καθ' ὕδατος λίθοι· καὶ γὰρ οὗτοι βρυωθέντες ὕστερον
ἀποξηραινόμενοι γίνονται μέλανες. τὰ μὲν οὖν ἁπλᾶ τῶν χρωμάτων ταῦτα
καὶ τοσαῦτά ἐστι. τὰ δὲ ἀλλὰ ἐκ τούτων τῇ κράσει καὶ τῷ μᾶλλον καὶ
25 ἧττον γινόμενα πολλὰς καὶ ποικίλας ποιεῖ χρωμάτων φαντασίας· κατὰ μὲν
τὸ μᾶλλον καὶ ἧττον, ὥσπερ τὸ φοινικοῦν καὶ τὸ ἀλουργόν, κατὰ δὲ τὴν κρᾶσιν.
ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν, ὅταν μιχθέντα φαιοῦ ποιήσῃ φαντασίαν. διὸ
τὸ μέλαν καὶ σκιερὸν τῷ φωτὶ μιγνύμενον φοινικοῦν. τὸ γὰρ μέλαν μιγνύ-
μενον τῷ τε τοῦ ἡλίου καὶ τῷ τοῦ πυρὸς φωτί (φῶς γὰρ καὶ τὸ τοῦ πυρὸς
30 χρῶμα) θεωροῦμεν ἀεὶ γινόμενον φοινικοῦν. καὶ τὰ μέλανα πυρωθέντα πάντα
εἰς χρῶμα μεταβάλλοντα φοινικοῦν· αἵ τε γὰρ καπνώδεις φλόγες καὶ οἱ ἄν-
θρακες, ὅταν ὦσι διακεκαυμένοι, φαίνονται χρῶμα ἔχοντες φοινικοῦν. τὸ δ'
ἀλουργὸν εὐανθὲς γίνεται καὶ λαμπρόν, ὅταν τῷ μετρίῳ λευκῷ καὶ σκιερῷ
κραθῶσιν ἀσθενεῖς αἱ τοῦ ἡλίου αὐγαί. διὸ καὶ περὶ ἀνατολὰς καὶ δύσεις ὁ
35 ἀὴρ πορφυροειδής ἐστιν ὅτε φαίνεται, περὶ ἀνατολὴν καὶ δύσιν ὄντος τοῦ ἡλίου·
ἀσθενεῖς γὰρ οὖσαι τότε μάλιστα πρὸς σκιερὸν ὄντα τὸν ἀέρα προσβάλλουσιν.
φαίνεται δὲ καὶ ἡ θάλασσα πορφυροειδής, ὅταν τὰ κύματα μετεωριζόμενα

14 ἔχουσι AC 22 τοίχοις] στοιχείοις C βρϋωθεντες C 24 καὶ τῷ scripsi, cf. de Col. 792 a 4: κατὰ τὸ libri 26 καὶ τὸ ἧττον C 27 διὸ] διὰ A 29 καὶ τῷ] καὶ τὸ A¹: καὶ τοῦ A² ἀπὸ τοῦ πυρὸς AC, cf. de Color. 792 a 11 30 θεωρούμενον C 31 αἵ τε—32 φοινικοῦν. om. C 33 post ὑβ τόανθὲς add. μὲν A 34 κραθῶσιν] κραθωσιν AC

κατὰ τὴν ἔγκλισιν σκιασθῇ· πρὸς γὰρ τὸν ταύτης κλισμὸν ἀσθενεῖς αἱ τοῦ ἡλίου αὐγαὶ προσβάλλουσαι ποιοῦσι φαίνεσθαι τὸ χρῶμα ἀλουργόν. ὃ καὶ ἐπὶ τῶν πτερωμάτων θεωρεῖται γινόμενον· ἐντείνομενα γάρ πως πρὸς τὸ φῶς ἀλουργὸν ἔχει τὸ χρῶμα. ἐλάττονος δὲ τοῦ φωτὸς προσβάλλοντος ζοφερόν, ὃ καλοῦσιν ὄρφνιον. καὶ σχεδὸν τὰ αἴτια κοινῶς τῆς τῶν χρωμάτων γενέσεως ἔν τε τοῖς ἔξω καὶ ἀορίστοις τῶν σωμάτων καὶ ἐν τοῖς ὡρισμένοις ταῦτά ἐστι μάλιστα, τό τε ἀπὸ τοῦ ἡλίου φῶς καὶ τὸ ἀπὸ τοῦ πυρὸς καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ· κεραννύμενα γὰρ τῷ μᾶλλον καὶ ἧττον πάσας ὡς εἰπεῖν τὰς χρόας ἀποτελεῖ. ἐπιληπτέον δὲ καὶ ἀπὸ τῶν ἄλλων χρωμάτων ταῖς αὐγαῖς κεραννυμένων τὴν ὁμοιότητα· οἱ γὰρ ἄνθρακες καὶ ὁ καπνὸς καὶ τὸ θεῖον καὶ τὰ πτερώματα κεραννύμενα τὰ μὲν ταῖς τοῦ ἡλίου αὐγαῖς, τὰ δὲ ταῖς τοῦ πυρός, πολλὰς καὶ ποικίλας ποιοῦσι μεταβολὰς χρωμάτων. τὰ δὲ καὶ τῇ πέψει θεωρητέον, γινόμενα ἐν φυτοῖς καὶ καρποῖς καὶ τριχώμασι καὶ πτερώμασι καὶ τοῖς τοιούτοις πᾶσι. δεῖ δὲ μὴ λανθάνειν τὸ πολυειδὲς καὶ τὸ ἄπειρον τῶν χρωμάτων, διὰ πόσα συμβαίνει γίνεσθαι· εὑρήσομεν γὰρ ἢ διὰ τὸ τῷ φωτὶ καὶ ταῖς σκιαῖς ἀνίσως καὶ ἀνωμάλως λαμβάνεσθαι (καὶ γὰρ αἱ σκιαὶ καὶ τὸ φῶς κατὰ τὸ μᾶλλον καὶ ἧττον πολὺ διαφέρουσιν αὐτῶν, ὥστε καὶ καθ' αὑτὰς καὶ μετὰ τῶν χρωμάτων μιγνύμεναι ποιοῦσι μεταβολὰς χρωμάτων), ἢ τῷ τὰ κεραννύμενα τῷ πλήθει καὶ ταῖς δυνάμεσι διαφέρειν, ἢ τῷ λόγους ἔχειν μὴ τοὺς αὐτούς. πολλὰς γὰρ καὶ τὸ ἀλουργὸν ἔχει διαφορὰς καὶ τὸ φοινικοῦν καὶ τῶν ἄλλων ἕκαστον τῶν ὡρισμένων (ἑπτὰ γὰρ τῶν χρωμάτων ὥρισται καὶ πλέον οὐδέν, λευκόν, μέλαν, φοινικοῦν, ἀλουργόν, πράσινον, κυανοῦν, φαιόν, τὸ δὲ ξανθὸν ὑπάγεται τῷ λευκῷ)· κατὰ γὰρ τὸ μᾶλλον καὶ ἧττον καὶ κατὰ τὴν πρὸς ἄλληλα μῖξιν καὶ εἰλικρίνειαν αὐτῶν ἡ πολυσχιδὴς ἑτερότης γίνεται. ποιεῖ δὲ διαφορὰν καὶ τὸ λαμπρὸν ἢ στίλβον εἶναι τὸ μιγνύμενον ἢ τοὐναντίον αὐχμηρὸν καὶ ἀλαμπές. ἔστι δὲ τὸ στίλβον οὐκ ἄλλο τι ἢ συνέχεια φωτὸς καὶ πυκνότης. τὸ γὰρ χρυσοειδὲς γίνεται, ὅταν τὸ ξανθὸν καὶ τὸ ἡλιῶδες πυκνωθὲν ἰσχυρῶς στίλβῃ. ἔστι δὲ καὶ ἃ λειούμενα τρίψει καὶ δυνάμεσί τισιν ἀλλοίας ἴσχει καὶ ποικίλας τὰς χρόας. καὶ πρὸς τούτοις ἐκεῖνο ἰστέον, ὡς οὐδὲν τῶν χρωμάτων ὁρῶμεν εἰλικρινὲς οἷόν ἐστιν, ἀλλὰ πάντα κεραννύμενα ἀλλήλοις. καὶ γὰρ ἂν μηδενὶ τῶν ἄλλων, ταῖς γε τοῦ φωτὸς αὐγαῖς καὶ ταῖς σκιαῖς κεραννύμενα ἀλλοῖα, καὶ οὐχ οἷά ἐστι, φαίνεται. διὸ καὶ τὰ ἐν σκιᾷ θεωρούμενα καὶ ἐν φωτὶ καὶ ἡλίῳ, καὶ σκληρᾷ αὐγῇ ἢ μαλακῇ, καὶ κατὰ τὰς ἐγκλίσεις οὕτως ἢ οὕτως, καὶ κατὰ τὰς ἄλλας διαφοράς, ἀλλοῖα φαίνεται καὶ οὐχ οἷά ἐστι. καὶ ταῖς πρὸς τῷ πυρὶ καὶ τῇ σελήνῃ, καὶ ταῖς τῶν λύχνων αὐγαῖς, διὸ καὶ τὸ φῶς ἑκάστου τούτων ἀλλοιοτέραν ἔχει χρόαν. καὶ τῇ πρὸς ἄλληλα δὲ μίξει τῶν χρωμάτων· δι' ἀλλήλων γὰρ φαινόμενα χρώζεται, ὥσπερ ἂν εἰ καὶ γραφεῖς ποιῶσι. καὶ τὰ βαπτόμενα δὲ πάντα

---

10 post καπνὸς add. καὶ ὁ ἰὸς A: cf. de Color. 792 b 27 17 αὐτῶν scripsi: αὐτῶν BC: αὐτῷ A 24 πολυσχιδὴς scripsi: πολυσχεδὴς libri 26 συνεχεία C 27 πυκνότητος B 28 στίλβοι A 29 τισιν] τισὶ δὲ A 31 μηδενὶ scripsi, cf. de Color. p. 793 b 14: μηδὲν libri 32 ἀλλ' οἷα AC τὰ] τὴν A 35 ταῖς] τῇ A 37 φαινόμενα] φερόμενα B^2C^2 cf. de Color. 793 b 22

τὰς χρόας ἀπὸ τῶν βαπτόντων λαμβάνει. πολλὰ μὲν γὰρ τοῖς ἄνθεσι βάπτεται τοῖς φυομένοις, πολλὰ δὲ ῥίζαις, πολλὰ δὲ φλοιοῖς ἢ φύλλοις ἢ καρποῖς. ἔτι δὲ γῇ μὲν πολλά, πολλὰ δὲ ἀφρῷ, πολλὰ δὲ καὶ μελαντηρίᾳ. τὰ δὲ καὶ τοῖς ζώων χυλοῖς. καθάπερ καὶ τὸ ἁλουργὲς τῇ πορφύρᾳ. τὰ δὲ οἴνῳ, τὰ δὲ καπνῷ. τὰ δὲ κονίᾳ. τὰ δὲ θαλάττῃ, ὥσπερ τὰ τριχώματα τῶν θαλαττίων· πολλὰς δὲ καὶ αἱ στύψεις ἐν τῇ βαφῇ ποιοῦσι διαφορὰς καὶ μίξεις. καὶ οἱ καρποὶ δὲ πεπαινόμενοι μεταβάλλουσιν εἰς τὸ κατὰ φύσιν χρῶμα· καὶ γὰρ λευκοὶ καὶ φαιοὶ καὶ ξανθοὶ καὶ μελανοειδεῖς καὶ φοινικοῖ καὶ οἰνωποὶ καὶ κροκοειδεῖς καὶ σχεδὸν ἁπάσας ἔχοντες γίνονται τὰς τῶν χρωμάτων διαφοράς. ὅτι δὲ τὰ πλεῖστα γίνονται τῶν χρωμάτων πλειόνων κεραννυμένων ἀλλήλοις, δηλονότι ὅτι καὶ τὰς ἐν τοῖς φυτοῖς χρόας ἀνάγκη τὰς αὐτὰς ἔχειν κράσεις· διὰ ταύτην γὰρ τὸ ὑγρὸν διηθούμενον καὶ μεθ' ἑαυτοῦ συνεκβλύζον ἁπάσας λαμβάνει τὰς τῶν χρωμάτων δυνάμεις. καὶ τούτου συνεψομένου περὶ τὰς τῶν καρπῶν πέψεις ὑπό τε τοῦ ἡλίου καὶ τῆς τοῦ ἀέρος θερμότητος ἕκαστα καθ' αὑτὰ γινόμενα τῶν χρωμάτων. τὰ μὲν θᾶττον τὰ δὲ βραδύτερον. καθάπερ καμβάνει καὶ περὶ τὴν βαφὴν τῆς πορφύρας. γίνεται δὲ καὶ τὰ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ δέρματα καὶ ἵππων καὶ βοῶν καὶ προβάτων καὶ ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἁπάντων καὶ λευκὰ καὶ φαιὰ καὶ πυρρὰ καὶ μέλανα ὑπὸ τῆς φύσεως διὰ τὴν αὐτὴν αἰτίαν· τῷ γὰρ πολυειδῶς ἐν τῇ μίξει τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ πεπέφθαι καὶ ἐξηράνθαι πολυειδῆ καὶ τὰ χρώματα γίνεται. λευκὰ μὲν ὅταν ἔτι ὑπὸ τῆς πέψεως τὸ ὑγρὸν τὸ οἰκεῖον ἔχον χρῶμα καταξηρανθῇ. μέλανα δὲ τοὐναντίον, ὅταν αὐτῶν ἐν τῇ γενέσει τὸ περὶ τὸν χρῶτα ὑγρὸν. καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι. παλαιούμενον καὶ χρονιζόμενον διὰ τὸ πλῆθος καταμελανθῇ· πάντων γὰρ τῶν τοιούτων ὅ τε χρὼς καὶ τὰ δέρματα γίνεται μέλανα. φαιὰ δὲ καὶ ξανθὰ καὶ πυρρὰ καὶ τὰς ἄλλας ἔχοντα χρόας. ὅτα φθάνει καταξηραινόμενα πρότερον ἢ τελέως μεταβάλλειν ἐν αὐτοῖς εἰς τὸ μέλαν χρῶμα τὸ ὑγρόν. οἷς δὲ ἀνωμάλως τοῦτο συμβῇ καὶ τὰ χρώματα τοιαῦτα γίνεται ποικίλα· διὸ καὶ πάντα τοῖς δέρμασι καὶ τῷ χρώματι συνανακολουθεῖ, ἐπεὶ καὶ τῶν ἀνθρώπων τῶν ἐμπύρρων καὶ τὰ τριχώματα γίνεται λευκόπυρρα, τῶν δὲ μελάνων μέλανα. οὕτως ἅπαντα τὰ τριχώματα καὶ τὰ πτερώματα τοῖς δέρμασι συνακολουθεῖ, καὶ τὰ κατὰ μέρος καὶ τὰ κατὰ σῶμα ὅλον. ὁμοίως δὲ τούτοις ὁπλαὶ καὶ χηλαὶ καὶ ῥύγχη καὶ κέρατα· καὶ γὰρ ταῦτα τῶν μελάνων γίνεται μέλανα. τῶν δὲ λευκῶν λευκά, διὰ τὸ καὶ τούτοις ἅπασι διὰ τοῦ δέρματος τὴν τροφὴν εἰς τὴν ἐκτὸς περιοχὴν διηθεῖσθαι. ἀνακεφαλαιούμενοι δὲ τὰ εἰρημένα λέγομεν ὡς ἐνδέχεται καὶ παρ' ἄλληλα τιθέμενα τὸ λευκὸν καὶ τὸ μέλαν, ὥστε ἑκάτερον εἶναι ἀόρατον διὰ

1 βαπτόντων A cf. de Color. p. 794 a 16: βαπτῶν BC post γὰρ add. ἂν C
3 μελαντηρίῳ C 4 ζώων χυλοῖς C: ζώοις χιλλοῖς A 6 στύψεις scripsi: στίψεις libri 8 post μελανοειδεῖς add. καὶ σκιοειδεῖς AC: cf. de Color. 795 a 33
12 ἑαυτῆς, ut videtur, B συνεκκλύζον C: συνεκκλύζων A, cf. de Color. 795 b 6
13 συνεψημένου B 16 βαφὴν] γραφὴν C 18 πυρὰ A 22 αὐτὸν C ἐν] ἐκ A 29 ἐμπύρρων scripsi: ἐμπύρων libri 30 γίνεται — τριχώματα om. C λευκόπυρα B 32 ῥέγχη B 33 μέλατνα A διὰ τὸ A, cf. de Color. 797 b 21: ὁ om. BC 35 ante καὶ add. μὲν A 36 ἀόρατον] ἀόριστον A

σμικρότητα, τὸ δ' ἐξ ἀμφοῖν ὁρατὸν γίνεσθαι· καὶ ἐπεὶ οὔτε λευκὸν οὔτε μέλαν οἷόν τε ἀκραιφνὲς τοῦτο εἶναι, ἔχειν δέ τι χρῶμα ἀνάγκη, μικτόν τι τοῦτο καὶ ἕτερον εἶδος χρόας, παρ' οἷς συνετέθη. ὃ δὲ ἐπὶ τούτων, καὶ ἐπὶ τῶν ἄλλων χρωμάτων κεραννυμένων οὐδὲν κωλύει γίνεσθαι. ἔστι μὲν οὖν οὕτως ὑπολαβεῖν πλείους γίνεσθαι χρόας, πολλὰς δὲ καὶ τῷ λόγῳ· τρία γὰρ πρὸς δύο, καὶ τρία πρὸς τέτταρα, καὶ κατ' ἄλλους ἀριθμοὺς ἔστι παρ' ἄλληλα κεῖσθαι, τὰ δὲ ὅλως μὲν κατ' οὐδένα λόγον, καθ' ὑπεροχὴν δέ τινα καὶ ἔλλειψιν ἀσύμμετρον, καὶ τὸν αὐτὸν δὴ τρόπον ἔχειν ταῦτα ταῖς συμφωνίαις· τὰ μὲν γὰρ ἐν ἀριθμοῖς εὐλογίστοις χρώματα ἥδιστα, καθάπερ ἐκεῖ αἱ συμφωνίαι, οἷον τὸ ἀλουργόν, τὸ φοινικοῦν, τὸ χρυσοειδὲς καὶ ὀλίγα ἄττα τοιαῦτα, δι' ἥνπερ αἰτίαν καὶ αἱ συμφωνίαι ὀλίγαι. τὰ δὲ ἄλλα χρώματα οὐκ ἐν ἀριθμοῖς. ἢ καὶ πάσας μὲν δεῖ λέγειν ἐν ἀριθμοῖς εἶναι τὰς χρόας, ἀλλὰ τὰς μὲν τεταγμένας, τὰς δὲ ἀτάκτους. εἷς μὲν οὖν τῆς τῶν χρωμάτων γενέσεως τρόπος οὗτος, ἕτερος δὲ τὸ φαίνεσθαι δι' ἀλλήλων, οἷον ἐνίοτε οἱ γραφεῖς ποιοῦσιν· ἑτέραν χρόαν ἐφ' ἑτέραν ἐναργεστέραν ἐπαλείφουσιν, ὥσπερ ὅταν ἐν ὕδατι ἢ ἐν ἀέρι βούλωνταί τι ποιῆσαι φαινόμενον. τὰ δὲ ὅλως οὐκ ἐν λόγῳ, ἀλλ' ἐν μίξει καὶ κράσει τῇ τῶν στοιχείων καὶ φυσικῶς ἐν τοῖς συνθέτοις τῶν σωμάτων πᾶσιν. ὃς δὴ καὶ κυριώτερος τῶν ἄλλων καὶ πολυειδέστερος· ὅσα γὰρ ἔξωθεν ἢ ποιᾷ κράσει ἢ σχέσει ἢ τέχνῃ χρωμάτων εἴδη γίνεται, ταῦτα ἐκ περιττοῦ ἔνδον ἡ φύσις ποιεῖ ἔν τε τοῖς ἁπλοῖς τῶν σωμάτων καὶ συνθέτοις.

Τοσαῦτα καὶ περὶ χρωμάτων ὡς ἐν παρεκβάσει διαλαβόντες πάλιν ἐπανιόντες λέγομεν. φανερὸν οὖν ὅτι τὸ μὲν ἐν φωτὶ ὁρώμενον χρῶμα. διὸ οὐχ ὁρᾶται ἄνευ φωτός· τοῦτο γὰρ καὶ ἦν αὐτῷ τὸ χρώματι εἶναι, τὸ κινητικῷ εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς· ἡ δ' ἐντελέχεια τοῦ διαφανοῦς φῶς ἐστιν. σημεῖον δὲ τοῦ τὰ χρώματα ἐν φωτὶ ὁρᾶσθαι καὶ διὰ μέσου τοῦ διαφανοῦς· εἰ γάρ τις θείη τὸ ἔχον χρῶμα ἐπ' αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται, οὐχ ὡς οὐκ ὄντος τοῦ ὀπτικοῦ αἰσθητηρίου, ἀλλ' ὡς τοῦ μεταξὺ μὴ ὄντος, λέγω δὴ τοῦ διαφανοῦς. τὸ μὲν γὰρ χρῶμα κινεῖ τὸ διαφανές, λέγω δὴ τὸν ἀέρα, ὑπὸ τούτου δὲ συνεχοῦς ὄντος κινεῖται τὸ αἰσθητήριον. οὐ γὰρ καλῶς τοῦτο λέγει Δημόκριτος οἰόμενος, εἰ γένοιτο κενὸν τὸ μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβῶς, καὶ εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη· τοῦτο γὰρ ἀδύνατόν ἐστιν. πάσχοντος γὰρ τοῦ αἰσθητικοῦ γίνεται τὸ ὁρᾶν· ὑπ' αὐτοῦ μὲν τοῦ ὁρωμένου χρώματος ἀδύνατον, λείπεται δὲ ὑπὸ τοῦ μεταξύ, ὥστ' ἀναγκαῖον εἶναί τι μεταξύ· κενοῦ δὲ γενομένου οὐχ' ὅτι ἀκριβῶς, ἀλλ' ὅλως οὐδὲ ὀφθήσεται. δι' ἣν μὲν οὖν αἰτίαν τὸ χρῶμα ἀναγκαῖον ἐν φωτὶ ὁρᾶσθαι, εἴρηται. τὸ πῦρ δὲ ἐν ἀμφοῖν ὁρᾶται, καὶ ἐν σκότῳ καὶ ἐν φωτί, καὶ τοῦτο ἐξ ἀνάγκης· τὸ γὰρ διαφανὲς ὑπὸ τούτου γίνεται διαφανές· ἔνθα γὰρ πῦρ, ὁ περὶ αὐτὸ ἀὴρ πεφώτισται, ὡς καὶ ὁρᾶσθαι χρώματα. ὃ γοῦν ἑτέροις, παρέχει πολλῷ μᾶλλον

---

2 μικτόν A^2, cf. de Sensu et sens. p. 439 b 24: μικρὸν BC 3 εἶδος χρόας ἕτερον AC
4 κεραννυμένων om. B 7 κεῖσθαι scripsi, cf. de S. et s. p. 439 b 29: κινεῖσθαι libri
10 ἄττα AC 16 βούλονταί C 18 πολυειδέστατος AC 24 κινητῷ B
30 αἰσθητήριον] αἰσθητικόν A 32 καὶ ἡ μύρμηξ C 33 post γὰρ add. τι AC

αὐτῷ· χρῶμα γὰρ πυρὸς φῶς. ὁ δ' αὐτὸς λόγος καὶ περὶ ψόφου καὶ ὀσμῆς ἐστιν· οὐδὲν γὰρ ἁπτόμενον τοῦ αἰσθητηρίου ποιεῖ αἴσθησιν, ἀλλ' ὑπὸ μὲν ὀσμῆς καὶ ψόφου τὸ μεταξὺ κινεῖται. ὑπὸ δὲ τούτων τῶν αἰσθητηρίων ἑκάτερον. ὅταν δὲ ἐπ' αὐτό τις ἐπιθῇ τὸ αἰσθητήριον τὸ ψοφοῦν ἢ τὸ ὄζον, οὐδεμιαν αἴσθησιν ποιήσει. ἔστι δὲ οὐχ ἡ ῥὶς τὸ τῶν ὀσφραντῶν αἰσθητήριον, ἀλλ' ἡ ἐντὸς μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόφυσις, οὐδὲ τὸ οὖς ἀκουστικὸν πρῶτον, ἀλλ' ἡ ἐντὸς μῆνιγξ ἢ τὸ ἐν αὐτῇ πνεῦμα. περὶ δὲ ἁφῆς καὶ γεύσεως ἔχει μὲν ὁμοίως· κἀκεῖναι γὰρ διὰ τοῦ μεταξὺ ποιοῦνται τὴν αἴσθησιν· οὐ φαίνεται δέ, ἐπείπερ οὐκ ἔξωθεν, ὥσπερ ὁ ἀὴρ τῶν ἄλλων, ἀλλὰ τῇ περιπεφυκυίᾳ σαρκὶ τῶν ἁφῆς καὶ γεύσεως αἰσθανόμεθα. ἔτι δὲ πρότερον ἔσται δῆλον. τὸ μὲν οὖν μεταξὺ χρωμάτων καὶ ψόφων ἀὴρ κυρίως, ὀσμῆς δὲ ὁ καὶ κοινόν τι πάθος ἐπ' ἀέρος καὶ ὕδατος. ὡς γάρ, ὁ διαφανές, ἐν χρώματι, οὕτω τὸ ἔχον ὀσμὴν ἐν ἀμφοτέροις ὑπάρχει τούτοις, ἀνώνυμον μὲν τοῖς παλαιοτέροις, ἀτμὸς δὲ καὶ δίοσμον τοῖς μεταγενεστέροις ὠνόμασται. φαίνεται γὰρ καὶ τὰ ἔνυδρα τῶν ζώων ἔχειν αἴσθησιν ὀδμῆς καὶ ψόφων (ἔστι γάρ πως καὶ τὸ ὕδωρ διηχὲς καὶ δίοσμον, ὡς καὶ ὁ ἀήρ), ἀλλ' ὁ μὲν ἄνθρωπος καὶ τῶν πεζῶν ὅσα ἀναπνεῖ, ἀδυνατεῖ ὀσμᾶσθαι μὴ ἀναπνέοντα, τὰ δὲ ἔνυδρα ὀσμᾶται μέν, οὐκ ἀναπνεῖ δέ· ἡ δὲ αἰτία καὶ περὶ τούτου ὕστερον λεχθήσεται.

II 8 20 Νυνὶ δὲ περὶ ψόφου καὶ ὀσφρήσεως διορίσωμεν, κατὰ τὸν ὑφηγημένον τρόπον περὶ τῶν ἀντικειμένων διαλαβόντες πρότερον. ἔστι δὲ διττὸς ὁ ψόφος, ὁ μὲν ἐνεργείᾳ, ὁ δὲ δυνάμει, ὡς καὶ τὸ ὁρατὸν τό τε ἐν σκότει καὶ τὸ ἐν φωτί. τῶν γὰρ σωμάτων τὰ μὲν οὔ φαμεν ἔχειν ψόφον, οἷον σπόγγον καὶ ἔριον, τὰ δὲ ἔχειν, οἷον χαλκόν, λίθον, καὶ τούτων μάλιστα ὅσα στερεώτερα καὶ λειότερα. ταῦτα δέ, ὅταν μὴ πρὸς ἄλληλα φέρηται, δυνάμει ψοφητικὰ καὶ κατὰ μόνην ἐπιτηδειότητα. ὅταν δὲ καὶ πρὸς ἄλληλα κρούηται, ἤδη καὶ ἐνεργείᾳ γίνεται. ψόφος γὰρ κατ' ἐνέργειαν οὐδὲν ἕτερόν ἐστιν ἢ ἡ μεταξὺ αὐτῶν καὶ τῆς ἀκοῆς τοιῶσδε ἐγγινομένη πληγὴ ἀέρος. ἔστι δὲ οὗτος ἀεί τινος πρός τι καὶ ἔν τινι, ἐν ἀέρι ἢ ὕδατι· πληγὴ γάρ ἐστιν ἡ ποιοῦσα. διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γίνεσθαι ψόφον· ἕτερον γὰρ τὸ τυπτόμενον καὶ τύπτον· ὥστε τὸ ψοφοῦν πρός τι ψοφεῖ. πληγὴ δ' οὐ γίνεται ἄνευ φορᾶς. ὥσπερ δὲ εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος· οὐδένα γὰρ ποιεῖ ψόφον ἔρια ἐν πληγῇ, ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα καὶ κοῖλα· ὁ μὲν γάρ, ὅτι λεῖος· τὰ δὲ κοῖλα τῇ ἀνακλάσει πολλὰς ποιεῖ πληγὰς μετὰ τὴν πρώτην, ἀδυνατοῦντος βραδύνειν τοῦ κινουμένου. δεῖ μὲν οὖν πρὸς τὸ γενέσθαι ψόφον δύο σκληρῶν καὶ λείων σωμάτων ἀθρόαν συνέμπτωσιν γενέσθαι πρὸς ἄλληλα. ἐν γὰρ τούτοις ὁ ἐναπεκρυβανούμενος ἀὴρ ἀθρόως ἐκθλιβόμενος καὶ βιαίως ποιεῖ τὸν ἦχον.

---

1 ἐστιν] αὐτῷ libri 5 οὐδὲ μίαν C 6 ἀπόφασις A 7 αὐτῇ] ἐστιν AC 12 δ δὴ καὶ A ὡς γὰρ—13 τούτοις] cf. de An. 419 a 33 ὥσπερ τὸ διαφανὲς χρώματι, οὕτω τῷ ἔχοντι ὀσμὴν ὁ ἐν ἀμφοτέροις ὑπάρχει τούτοις 17 τῶν] τῷ C τὰ δὲ ἔνυδρα κτλ. v. Torstrikii ed. p. 145 25 δὲ om. A post ὅταν add. μὲν AC 30 γενέσθαι A 32 οὐθένα A cf. de An. p. 419 b 14: οὐδὲν B: οὐθὲν C ψόφος C 33 ἐν πληγῇ] εἰ πληγῇ A

οὔτε γοῦν τὰ μαλακά, ὥσπερ εἴρηται, τῶν σωμάτων ψοφεῖ οὔτε τὰ σκληρά. μὴ ἀθρόως δὲ προσκρουόμενα ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. φθάνει γὰρ κατὰ μέρος οἷον θρυφθῆναι ὁ ἀήρ. διὸ δεῖ τῆς σφοδρᾶς τῶν σκληρῶν σωμάτων συνεμπτώσεως, ἵνα πολὺς ἀὴρ ἐναποληφθῇ μεταξύ, ὃς ἐναπολαμβανόμενος καὶ ἀθρόως ἐξωθούμενος ποιεῖ τὸν ψόφον· φθάνουσα γὰρ ἡ πληγὴ τὴν ἔξοδον αὐτοῦ ἀποκλείει καὶ ἐκπυρηνίζει. τὰ δὲ μαλακὰ οὐ ψοφεῖ, διότι οὐχ οἷά τέ ἐστιν ἀθρόον ἐξωθῆσαι τὸν ἐναπολαμβανόμενον ἀέρα· διὰ γὰρ τῶν πόρων (μανὰ γάρ εἰσι τὰ μαλακά), κατακερματισθεὶς ἔξεισι. δεῖ δὲ καὶ λειότητος τοῖς πληττομένοις, καὶ μάλιστα πρὸς τὸ πλείονα γενέσθαι τὸν ψόφον· ἀθρόως γὰρ ὁ ἀὴρ ἐκ τούτων ἐκθλίβεται. ἐν δὲ τοῖς μὴ λείοις ἐν τοῖς κοιλώμασι κατακερματίζεται πλείοσιν οὖσι, καὶ οὐκ ἀθρόος ἔξεισι. τὰ δὲ ἠχεῖα καὶ τὰ κύμβαλα πληττόμενα ἐπίμονον ποιεῖ τὸν ψόφον. τοῦτο δὲ διὰ τὴν κοιλότητα· ὁ γὰρ ἐναποληφθεὶς ἀὴρ τῇ κοιλότητι εἰλούμενος ἐπὶ πολὺ καὶ ἐξελθεῖν μὴ δυνάμενος παρατείνει τὸν ψόφον. καὶ σημεῖον ὡς, ἂν μὴ ἠρτημένος ᾖ ἀπὸ λεπτοῦ ἱμάντος, ἀλλὰ κατέχηται τῇ χειρὶ κωλυόμενον κραδαίνεσθαι ὑπὸ τῆς πληγῆς, οὐ παρατείνει τὸν ἦχον. τοῦτο δὲ ὅτι μὴ κινούμενον τὸ ἠχεῖον οὐ κινεῖ τὸν ἐντὸς ἀέρα. οὐ μόνον δὲ στερρότητος καὶ λειότητος χρεία πρὸς τὸ ποιὸν ἢ ποσόν τινα τὸν ἦχον γενέσθαι τοῖς πληττομένοις καὶ πλήττουσιν, ἀλλὰ καὶ τῆς τοιᾶσδε φύσεως. διὰ τοῦτο ἧττον μὲν διηχὲς τὸ ξύλον· ὁ γὰρ ἐν αὐτῷ ἀὴρ γῇ σύμμικτος· μᾶλλον δὲ χαλκός, διὰ τὸ τὸν ἐν αὐτῷ ἀέρα ὑγρῷ συμπεφύρθαι. ἐντεῦθεν κατασκευάζειν εἰώθασι καὶ τὰ ὀξύβαφα ἐκ πλειόνων, ὡς ἂν τῇ τε διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσι, συγκατασπαρθῇ δὲ καὶ ἀὴρ μᾶλλον ἐν ταῖς συμμίξεσιν. ἔτι ἀκούεται ἐν ἀέρι καὶ ὕδατι. οὐκ ἔστι δὲ ψόφου καθάπαξ κύριος ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ, ἀλλὰ δεῖ καὶ στερεῶν πληγὴν γενέσθαι πρὸς ἄλληλα καὶ πρὸς τὸν ἀέρα. τοῦτο δὲ γίνεται, ὅταν ὑπομένῃ πληγεὶς ὁ ἀὴρ καὶ μὴ διαχυθῇ. διὸ καὶ ἂν ταχέως καὶ σφοδρῶς πληγῇ, ψοφεῖ· δεῖ γὰρ φθάσαι τὴν κίνησιν τοῦ ῥαπίζοντος τὴν θρύψιν τοῦ ἀέρος, ὥσπερ ἂν εἰ σωρὸν ἢ ὁρμαθὸν ψάμμου ἀπὸ χωνείας τινὸς τύπτῃ τις φερόμενον τάχει. ἠχὼ δὲ γίνεται, ὅταν ἀπὸ τοῦ ἀέρος ἑνὸς γινομένου διὰ τὸ ἀγγεῖον τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ, ὥσπερ σφαῖρα. ὠθοῦντος γὰρ τοῦ προσδιαλεγομένου σχεδὸν μὲν πάντα τὸν κύκλῳ καὶ περὶ αὐτὸν ἀέρα ἢ μάλιστα τὸν ἔμπροσθεν, τὸν [δὲ] ὠθούμενον ὅταν ἐνεχθῆναι γένηται ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷά εἰσι τὰ ἄντρα, συνεχῆ ὄντα καὶ μείναντα ἀσκέδαστον διὸ τὸ περισχεθῆναι, ὠθεῖται πάλιν ἐκεῖθεν εἰς τὸ ἔμπαλιν, ὥσπερ ἡ ῥιπτομένη κατὰ τοῖχον σφαῖρα, καὶ οὕτω χωρεῖ ἐπὶ τὸν πλήξαντα ἀνακλώμενος εἰς τοὐπίσω μετὰ τῆς οἰκείας ἐνεργείας,

---

4 ἐναποληφθῇ B Philoponus: ἐναπολειφθῇ AC 6 μαλάκια A 7 ἀθρόου B
9 ἀθρόως] ἀθρόος AC² 13 ἐναποληφθεὶς C Philoponus: ἐναπολειφθεὶς AB 17 στερότητος BC 21 ὑγρῷ] γῇ B ὀξύβαφα Diels cf. Bellermanni anon. de mus. p. 28: ὀξύβαρα libri 28 ἀπὸ χωνείας τινὸς om. A χωρείας C: χώνης Philoponus
τύπῃ B: τύπτει AC: τύπτοι de An. p. 419 b 24 31 ὁ προσδιαλεγούμενος A¹
32 καὶ μάλιστα A τῶν ἔμπροσθεν A τοῦ δὲ ὠθουμένου A² δὲ expunxi: δὴ Diels 33 γένοιτο A 34 συνεχὴν A¹ ante ὠθεῖται add. εἶτα A²
35 κατατοίχων A 36 χωρεῖ] χωρήσαντα A² ἀνακλώμενον B

λέγω δὴ τοῦ ψόφου· καὶ οὐ πάντως αὐτοῦ τοῦ πληγέντος δήπουθεν πρῶτον ἀέρος φερομένου μέχρι καὶ τοῦ ἀγγείου καὶ πάλιν αὐτοῦ τούτου ἀνακλωμένου μέχρι τοῦ πληξαντος, ἀλλὰ τῇ ἐφεξῆς μεταλήψει καὶ μεταδόσει τῆς ἐνεργείας γινομένης· ὁ πρῶτος γὰρ πληγεὶς καὶ σχηματισθεὶς τὸν μετ' αὐτὸν ἔπληξε καὶ τοῦ πάθους μετέδωκε, κἀκεῖνος πάλιν τὸν ὑπ' αὐτόν, καὶ τοῦτο δι' ὅλου ἔν τε τῇ πρώτῃ πέμψει καὶ ἀνακλάσει. ἔναρθρος δὲ γίνεται ἡ ἠχώ, ὅτι περ ὁ πρῶτος ὑφ' ἡμῶν πληγεὶς ἀὴρ πρῶτος καὶ ἀνέστρεψε φέρων τὴν πρώτην συλλαβήν, καὶ ὁ δεύτερος τὴν δευτέραν καὶ ἑξῆς οὕτω, καὶ οὕτως ἡ τάξις τῆς διαλέκτου φυλάττεται. ἔοικε δὲ ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ συμβαίνει γε ἐπὶ τοῦ ψόφου ὅπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ ἀνακλᾶται καὶ ἀπὸ παντὸς σώματος πεφωτισμένου (οὐδὲ γὰρ ἐγίνετο ἂν πάντη φῶς ἔξω τοῦ ἡλιουμένου, καὶ οὔτε τὰ ὑπόστεγα οὔτε τὰ τῶν οἴκων ἐντὸς ἐφωτίζετο, εἰ μήπω ἐκ τῶν κύκλῳ πεφωτισμένων καὶ ἔγγιον καὶ πρὸς αὐτὰ τὸ φῶς διεδίδοτο κατ' ἀνάκλασιν), ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος καὶ χαλκοῦ ἤ καί τινος ἄλλου, ὡς σκιὰν ποιεῖν, ᾗ τὸ φῶς ὁρίζεται. οὕτω τοι καὶ ἠχὼ μὲν δυνατὸν πάντοτε καὶ ἀπὸ πάντων γίνεσθαι, μὴ σαφῆ δὲ μηδ' εὔγνωστον πᾶσαν, πλὴν τῆς ἀπὸ τῶν λείων καὶ κοίλων γινομένης τόπων. διὰ ταῦτ' οὖν ὀρθῶς τοῖς πάλαι φυσιολόγοις τὸ κενὸν κύριον τοῦ ἀκούειν ἐλέγετο. ἐδόκει γὰρ αὐτοῖς εἶναι κενὸν ὁ ἀήρ, οὗτος δέ ἐστιν ὁ ποιῶν ἀκούειν, ὅταν κινηθῇ συνεχὴς καὶ εἷς. ἀλλὰ διὰ τὸ ψαθυρὸς εἶναι οὐ γεγωνεῖ, ἂν μὴ λεῖον ᾖ τὸ πληγέν· τότε γὰρ εἷς γίνεται ἅμα διὰ τὸ ἐπίπεδον. αὐτὸ μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὔθρυπτον· ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις ψόφος. καὶ ψοφητικὸν μὲν οὐχ ἁπλῶς πᾶν τὸ τύπτον καὶ τυπτόμενον, ἀλλὰ τὸ κινητικὸν ἑνὸς ἀέρος συνεχοῦς μέχρις ἀκοῆς. τοιαῦτα δὲ μόνα, ὡς πολλάκις εἴρηται, τὰ στερεὰ καὶ λεῖα. τῇ δὲ ἀκοῇ ἐστί τις συμφυὴς ἀὴρ καὶ τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι, συνεχὴς ὢν τῇ τε ἔνδοθεν μήνιγγι καὶ τῷ ὑμένι καὶ τῷ ἔξωθεν ἀέρι, ὅπως αἰσθάνηται πάσας τὰς διαφορὰς τῆς κινήσεως. πάσχων γὰρ ὑπὸ τοῦ ἔξωθεν κινουμένου ἀέρος καὶ δεχομένου τὰς τῶν ψόφων ἐνεργείας διαπορθμεύει ἐπὶ τὸ πρῶτον αἰσθητήριον, τὸ ἀκουστικὸν πνεῦμα τὸ ἐν αὐτῇ τῇ μήνιγγι ἱδρυμένον. νεῦρον δὲ πεποροποιημένον ἡ μῆνιγξ, ἐν ᾗ τὸ πνεῦμα ἀπ' ἐγκεφάλου μέχρι τῆς ἕδρας τῶν ὤτων προϊὸν ὡς κἀν ταῖς ἄλλαις αἰσθήσεσιν. πρόεισι δὲ ὡς ἀπὸ πλατυτέρου τοῦ ἔξωθεν ἐπὶ στενώτερον τὸ ἔνδοθεν. οὐ δεῖ δὲ νομίζειν τοῦτον τὸν ἐν τοῖς ὠσὶν ἀέρα, ἐπείπερ ἀκίνητος καὶ ἀνεξόδευτος, ἤδη καὶ ἄφθαρτον καὶ ἀεὶ τῷ αὐτῷ ἀριθμῷ ἕνα εἶναι, ἀλλ' ἔστι κατὰ μέρη γενητὸς καὶ φθαρτός, ὡς καὶ τὸ ὅλον σῶμα· εἰ δὲ καθ' ὅλον ἑαυτὸν πάθοι καὶ φθαρείη, ἀπόλλυται ἡ ἀκουστικὴ δύναμις. ὥσπερ δὲ τὸ ὀπτικὸν πνεῦμα οὐ πανταχόθεν ἔχει ὑγρόν,

---

4 μεταςχηματισθεὶς B 13 μήπου AC 17 πᾶσαν om. A: πᾶσι C κοίλων καὶ λείων A γινομένην A 18 πάλαι] πάλιν B 20 γεγονεῖ B μὴ] μὲν B 21 γὰρ] δὲ A 22 τούτου de An. 420a8: τούτων libri 26 ἀκίνητον C 27 πασῶν τῶν διαφορῶν A² 28 δεχόμενος AC: fort. recte 29 ἐπὶ] κπο A¹ 30 πεποιημένον B 31 μῆνιξ C 32 ὡς (ante ἀπὸ) om. AC 33 τοῦ ἔνδοθεν BC 34 ἀκίνητον καὶ ἀνεξόδευτον B 37 πάντοθεν A

ἵνα καὶ ἐν ἄλλῳ μέρει τοῦ σώματος ὄψεται, ἀλλ' ἐν μόνῳ τῷ ὀφθαλμῷ καὶ τῇ κόρῃ τοῦτό ἐστιν, οὕτω καὶ ἐπὶ τῆς ἀκοῆς οὐ πάντη τὸ ζῶον ἀκούει. οὐδὲ πάντη διέρχεται ὁ ἀήρ· οὐ γὰρ πανταχοῦ ἔχει ἀέρα τὸ κινησόμενον μέρος καὶ ἔμψυχον, ἀλλ' ἐν ὠσὶ μόνοις· ὃς εἰ καὶ συνάπτεται τῷ ἐκτός, ἀλλὰ τοῖς ἐσχάτοις μόνοις, οὐ μήν γε δι' ὅλου μίγνυται. οὐ γὰρ εἴσεισι δι' ὅλου αὐτοῦ ὁ περιέχων ἀήρ (ἤδη γὰρ ἂν ἐξέκρουε καὶ ἐκένου καὶ τὴν ἀκοὴν ἔφθειρεν, ὅπερ κἀν τοῖς μεγάλοις τῶν ψόφων καὶ ὑπερβάλλουσι γίνεται· σφόδρα γὰρ ὁ ἐκτὸς πληγεὶς τὸν ἐντὸς ἀπεσφαίρισεν), ἀλλὰ μέχρι τοῦ ἀκροτάτου, ᾧ καὶ συνάπτεται, τὰς ἐνεργείας τῶν ψόφων ἀποκομίσας αἰσθέσθαι ἐκεῖνον ἀφίησι. διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρχεται πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα τὸ ὕδωρ· ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας. ὅταν δὲ τοῦτο συμβῇ, οὐκ ἀκούει. οὐδ' ἂν ἡ μῆνιγξ κάμοι, ὥσπερ τὸ ἐπὶ κόρῃ δέρμα. ἀλλὰ σημεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν αἰεὶ ὥσπερ τὸ κέρας· αἰεὶ γὰρ οἰκείαν τινὰ κίνησιν ὁ ἀὴρ κινεῖται ὁ ἐν τοῖς ὠσίν, εἰ μὴ ἄλλην, αὐτὴν γοῦν τὴν ζωτικὴν καὶ διαπορθμευτικήν· καὶ εἴπερ τῷ δακτύλῳ τὸ οὖς ἐπιπωμάσαντες αἰσθανοίμεθά τινος βόμβου, ὑγιαίνειν αὐτὸ φήσομεν. ἡ γὰρ τοῦ δακτύλου πίλησις ὠθεῖ ἔξωθεν ἀέρα, ὃς στενούμενος καὶ προσκρούων τῷ συμφυεῖ ποιεῖ τὸν βόμβον· οὐκ ἂν δέ, εἰ μὴ ὑγιῶς εἶχεν, ἤσθετο. καὶ ὁ ἐν τοῖς κέρασι δὲ τοῖς κοίλοις ἀπειλημμένος ἀὴρ ἠχόν τινα πληττόμενος τῷ ἔξωθεν ἀέρι ποιεῖ προσκρούων. καὶ διὰ τοῦτό φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἐντὸς ὡρισμένῳ ἀέρι. ἐπεὶ δὲ οὐχ ἁπλῶς πᾶσα ἡ τινὸς πρός τι καὶ ἔν τινι πλῆξις ψόφος (δῆλον γάρ, εἴπερ ὁ ψόφος ἡ κίνησίς ἐστιν ἀέρος δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον, ὅνπερ τὰ ἀφαλλόμενα ἐκ τῶν λείων, ὅταν τις κρούσῃ), οὐ πᾶν ψοφήσει τὸ τυπτόμενον ἢ τύπτον, ὥσπερ καὶ εἴρηται, ἀλλὰ δεῖ πρὸς τῷ ποιὸν εἶναί τι καὶ ποσόν τι ἔχειν. οὐ γὰρ μόνον σπόγγοι καὶ ἔρια οὐ ψοφεῖ, ὅτι μὴ ποιά τινα, ἀλλ' οὐδ' ὅτε πατάξει τις βελόνῃ βελόνην· προσδεῖται γὰρ τοῦ ποσοῦ, ὡς ἂν τῇ τοσῇδε τῶν πληττομένων ὁμαλότητι καὶ στερεότητι ἀθροῦν τὸν ἀέρα ἀφάλλεσθαι καὶ σείεσθαι, καὶ μὴ ὥσπερ ἀπὸ τῶν τραχέων καὶ ἀνωμάλων· οὐ γὰρ ἀθρόως ἐκεῖθεν ἐκπέμπεται κατακερματιζόμενος. αἱ δὲ διαφοραὶ τῶν ψόφων τῷ κατ' ἐνέργειαν ψόφῳ δηλοῦνται, οὐκ ἐν τῷ κατὰ δύναμιν· ὃ γὰρ οὐκ ἔστι, σχολῇ γ' ἂν ἕξει διαφοράν. ὡς γὰρ ἄνευ φωτὸς χροιαὶ οὐχ ὁρῶνται, ὡς οὐκ ἐν τῷ δυνάμει διαφανεῖ, ἀλλ' ἐν τῷ ἐνεργείᾳ, οὕτως οὐδ' ἄνευ τοῦ ἐνεργείᾳ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ, αἳ δὴ πρῶται καὶ γενικώταται ἐν ἤχῳ διαφοραί. πλὴν τοσοῦτον τὸ τῶν ψόφων τοῦ τῶν χρωμάτων ἐνδεῖ παραδείγματος, καθ' ὅσον ἐκεῖ μὲν ἕτερα τὰ χρώματα τοῦ ἀέρος, κινοῦντα δὲ αὐτὸν μόνας διαπορθμεύειν τὰς ἐνεργείας, ἐνταῦθα δὲ οὐχ ἕτερον οἱ ψόφοι τοῦ κατ' ἐνέργειαν διηχοῦς ἀέρος, ἀλλ' ἐν αὐτῷ τὴν σύστασιν

---

5 οὐ μήν γε] καὶ οὐ A² 6 ἂν om. A ἐκείνου A¹ 8 ἀλλὰ del. A² ᾧ] οὗ A¹BC 11 οὐδεὶς B 15 τῷ] τὸ C post οὖς add. ἢ τῇ χειρὶ AC ἐπιπωμάσαντες AC Philoponus: ἐπιπωματίσαντες B αἰσθανόμεθα A 21 πᾶσα διατινὸς A 22 ἡ om. A τοῦ δυναμένου A 23 ὥσπερ A 25 τῷ] τὸ AC 26 ὅταν πατάξῃ A 28 στερότητι AC ἄρθρουν C 30 ante τῷ add. ἐν A 31 ἕξοι A 32 διαφανῆ C

ἔχουσι. λέγεται δὲ τὸ ὀξὺ καὶ τὸ βαρὺ κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν. ὀξὺ γὰρ ἐκεῖ τὸ ταχέως ἐνεργοῦν, οἷον τὸ μαχαίριον. ὅτι ταχέως κεντεῖ, βαρὺ δὲ τὸ βραδέως, καὶ οὐ κεντοῦν ἀλλ' ὠθοῦν, ὡς ὁ ὅπερος· καὶ ψόφων ὀξὺν μὲν διὰ ταῦτα τὸν ταχέως ἰόντα ἐπὶ τὴν αἴσθησιν καὶ παραμένοντα λέγομεν, βαρὺν δὲ τὸν βραδέως καὶ μὴ μένοντα. ὡς κἂν ἐπὶ τῶν χορδῶν ἴδοι· αἱ μὲν λεπταὶ καὶ μᾶλλον τεταμέναι, οἷον ἡ νεάτη πληγεῖσα, ὡς μὴ πολὺν ἔχουσαι ἀέρα τὸν ἀντιπίπτοντα. ἔτι δὲ καὶ τὸ ἐπείγεσθαι μᾶλλον τὸν οἰκεῖον τόπον καταλαβεῖν, τὴν εὐθύτητα, καὶ τεινόμεναι ἀπὸ τῶν περάτων ἐν ὀλίγῳ χρόνῳ ὀξύτατα τὸ διηχὲς τοῦ ἀέρος κινοῦσι, πρὸς δὲ καὶ τὴν αἴσθησιν. σωζουσι δὲ καὶ τὸν ἦχον ἐπὶ πολύ· σφοδρῶς γὰρ ὑπ' αὐτῶν πληγεὶς ὁ ἀὴρ ἀντιπλήττει πολλάκις καὶ ἀντιπλήττεται. ὅθεν καὶ ἧττον παλλόμεναι ἀποκαθίστανται. ὅπερ ἐπὶ τῶν παχέων καὶ ἀνειμένων οὐκ ἔστιν ἰδεῖν, καὶ μᾶλλον τῆς ὑπάτης· βραδὺ γὰρ τὸν ἀέρα κινεῖ καὶ σχολαιότερον ἀποκαθίσταται φθάνουσα τὴν εὐθύτητα. καὶ ἐπὶ τῶν τόξων δὲ τὰ σκληρὰ καὶ μᾶλλον τεταμένα ῥοῤῥωτέρω τὸ βέλος ἀφίησιν. ἡ γὰρ νευρὰ τῶν δακτύλων ἀφεθεῖσα ἥττον τὸν οἰκεῖον καταλαμβάνει τόπον αὐτῆς, τὴν εὐθύτητα, καὶ τὸ βέλος διὰ τὸ ἐν ὀλίγῳ ὠθῆσαι χρόνῳ ἐπὶ πλέον ἀπέτεινε· μείζονος γὰρ δυνάμεως τὸ ἐν ὀλίγῳ τὸ αὐτὸ κινῆσαι χρόνῳ, ὅπερ ἐν πλείονι. ἔστιν οὖν ὀξὺ τὸ ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολὺ κινοῦν τὴν αἴσθησιν. βαρὺ δὲ τὸ ἐν πολλῷ ὀλίγον. ὥστε οὐχὶ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ (οὐ γὰρ αὐτὸς ὁ ψόφος βραδὺς ἢ ταχὺς λέγεται, εἴπερ ἐνέργειά τις ἀσώματος καὶ ἀκίνητος), ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ διὰ τὴν βραδυτῆτα· ὥστε συμβαίνει τὸ μὲν ταχὺ τὸ δὲ βραδὺ εἶναι. περὶ μὲν οὖν ἁπλῶς ψόφου ταύτῃ διωρίσθω· ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· οὐδὲν γὰρ φωνεῖ ἄψυχον, ἀλλὰ καθ' ὁμοιότητα φωνεῖν λέγεται, οἷον αὐλοὶ καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν καὶ μέλος καὶ διάλεκτον ἔχει· ἔοικε γὰρ ὅτι καὶ ἡ φωνὴ ταῦτ' ἔχει. οὐ πάντα δὲ τὰ ζῶα φωνὴν ἔχει· τῶν γὰρ ἀναίμων οὐδὲν ἔχει. ἀλλ' οὐδὲ τὰ ἔναιμα πάντα, οἷον ἰχθύες. καὶ τοῦτ' εὐλόγως, εἴπερ ἀέρος κίνησίς τις ὁ ψόφος (ἀλλ' οἱ λεγόμενοι φωνεῖν ἐν τῷ Ἀχελῴῳ ἰχθύες ψοφοῦσι τοῖς βραγχίοις ἢ τοιούτῳ τινὶ ἑτέρῳ), φωνὴ δέ ἐστιν ζώου ψόφος οὐ τῷ τυχόντι μορίῳ (οὐ γὰρ ὁ διὰ τῆς χειρὸς ψόφος φωνή), ἀλλ' ὁ διὰ τῶν φωνητικῶν ὀργάνων, καὶ οὐ δι' ἐκείνων ἅπας (οὐ γὰρ ἡ βῆξ φωνὴ ἢ ὁ πταρμός), ἀλλ' ὁ μετὰ φαντασίας καὶ τοῦ σημῆναί τι. ἔτι ἐπεὶ ψοφεῖ πᾶν τύπτοντός τινός τι καὶ ἔν τινι, τοῦτο δ' ἐστὶν ἀήρ, εὐλόγως ταῦτα φωνοίη μόνα ὅσα δέχεται τὸν ἀέρα. ἤδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις ἐπὶ ἔργα δύο, καθάπερ τῇ γλώττῃ ἐπὶ τὴν γεῦσιν καὶ τὴν διάλεκτον, ὧν τὸ μὲν ἀναγκαῖον ἡ γεῦσις (διὸ καὶ ὑπάρχει πλείοσι), τὸ δὲ τοῦ εὖ εἵνεκα ἡ ἑρμηνεία, ὡς καὶ τῷ πνεύματι πρός τε τὴν θερμότητα τὴν ἐντὸς ὡς ἀναγκαίαν (ἡ δ'

---

1 ante τὸ ὀξὺ add. καὶ AC 3 καὶ οὐ om. B 5 βαρύδε A 6 τεταγμέναι A 7 πολὺν] πολλὴν A ἔχουσα B τὸν ἀντιπίπτοντα ἔχουσαι ἀέρα AC τὸ] an τῷ? 8 ἀπὸ scripsi: ὑπὸ libri 19 ὀλίγον] ὀλίγῳ C 20 παχὺ B 22 διὰ τάχους B 36 ἐπὶ] ἐπί τε AC 38 ὡς scripsi: ὡς libri ἀναγκαῖον AC

αἰτία ἐν ἄλλοις εἴρηται) καὶ πρὸς τὴν φωνήν, ὅπως τὸ εὖ ὑπάρχῃ. τρία δὲ ταῦτα περὶ τὴν τοῦ ἀνθρώπου θεωρεῖται φωνήν (ἄνθρωπος γὰρ κυρίως ἔχει φωνὴν ἔκφανσιν οὖσαν νοῦ), ῥυθμός, ἁρμονία καὶ λέξις. ἔστι δὲ ὁ μὲν ῥυθμὸς περὶ τὸν μακρὸν καὶ βραχὺν χρόνον τῆς ἐκφωνήσεως καὶ τὴν ποιὰν τάσιν· 5 ὅθεν οἱ μετρικοὶ τὰ τῶν φωνηέντων ἐν χρόνῳ ἐκφωνούμενα πλείονι μακρὰ κατωνόμαζον, βραχέα δὲ τὰ ἐν ἐλαχίστῳ, καὶ τῇ τούτων πρὸς ἄλληλα συνθέσει τὸ εὔρυθμον τῶν ἐπῶν ἐπονοῦντο· ἡ δὲ ἁρμονία περὶ τὴν τοῦ ὀξέος καὶ βαρέος συμμετρίαν, ἡ δὲ λέξις περὶ τὴν τῶν συλλαβῶν διατύπωσιν, ἐξ ἧς ἡ τῶν λεγομένων διασημαίνεται ἔννοια. διαφέρει δὲ ῥυθμὸς μέτρου τῷ γενικώ- 10 τερον καὶ τῷ εἰδικώτερον· πᾶν γὰρ μέτρον ῥυθμός, οὐ τὸ ἔμπαλιν δέ· καὶ ἐπὶ τῶν κροτούντων ἢ χερσὶν ἢ ποσὶν ὁ ῥυθμὸς λέγεται. ὅταν γὰρ ἡ ταχεῖα καὶ βραδεῖα τῶν ποδῶν ἄρσις καὶ θέσις λόγον ἔχῃ πρὸς ἄλληλα, ῥυθμὸς γίνεται. ἐντεῦθεν ἡ τοιάδε τῶν συλλαβῶν τῶν πρὸς μέτρου γένεσιν παραλαμβανομένων συμπλοκὴ πόδες ἐκλήθησαν, ὡς ὄντος τοῦ ῥυθμοῦ συμμέτρου 15 χρόνῳ ἐν ᾧ ἡ κίνησις γέγονεν. ὄργανον δὲ ἀναπνοῆς ὁ φάρυγξ. ἔστι δὲ τοῦτο τὸ μόριον ἕνεκα τοῦ πνεύμονος· ἔνθερμος γάρ, καὶ τούτῳ τῷ μορίῳ πλέον ἔχει τὸ θερμὸν τὰ πεζὰ τῶν ἄλλων. δεῖται δὲ τῆς ἀναπνοῆς καὶ ὁ περὶ τὴν καρδίαν πρῶτος τόπος. διὸ ἀνάγκη εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα καὶ τὸν ἔνδον καταψύχειν τόπον τό τε περίττωμα τοῦ θερμοῦ ἀποκρίνειν 20 καὶ ὕλην τῷ καταλελειμμένῳ γίνεσθαι. τῶν δὲ πεζῶν τοῖς μὴ ἔχουσι πνεύμονα οἷον τοῖς ἐντόμοις ἡ ἔμψυξις τοῦ ἐμφύτου θερμοῦ δι' αὐτῶν τῶν ἐντομῶν γίνεται, τοῖς βραγχίοις δὲ τῷ ὕδατι [καὶ] τὰ ἔνυδρα τὸ ἐντὸς καταψύχουσιν. οὕτως οὖν ἀναγκαῖον τὸ τῆς ἀναπνοῆς πρὸς τὸ εἶναι συμβάλλον· πρὸς δὲ τὸ εὖ εἶναι διὰ τὴν φωνὴν καὶ διάλεκτον. ἐκ δὲ τῶν εἰρημένων συνά- 25 γοντες τὴν φωνὴν ὁριζόμεθα· ἡ γὰρ πρὸς τὴν καλουμένην τραχεῖαν ἀρτηρίαν τοῦ ἀναπνεομένου ἀέρος πληγὴ ὑπὸ τῆς ἐν τούτοις τοῖς μορίοις ψυχῆς φαντασιώδης καὶ ἕνεκά του φωνή ἐστιν. οὐ γὰρ πᾶς ζώου ψόφος φωνή ἐστι, καθάπερ εἴρηται· ἔστι γὰρ καὶ τῇ γλώσσῃ ψοφεῖν, καὶ οἷον ποιοῦσιν οἱ βήττοντες· ἀλλὰ δεῖ ἔμψυχόν τε εἶναι τὸ τύπτον καὶ μετὰ φαντασίας τινός· 30 σημαντικὸς γὰρ δή τις ψόφος ἐστὶν ἡ φωνή, καὶ οὐ τοῦ ἀναπνεομένου ἀέρος, ὥσπερ ἡ βήξ· ἀλλὰ τούτῳ τύπτει τὸν ἐν ἀρτηρίᾳ πρὸς αὐτήν· σημεῖον δὲ τούτου· οὐδεὶς γὰρ δύναται φωνεῖν ἅμα ἀναπνέων ἢ ἐκπνέων, ἀλλὰ κατέχων τούτῳ κινεῖ. ὕλη δὲ τῆς φωνῆς ὁ εἰσπνεόμενος ἀήρ, ποιητικὸν δὲ αἴτιον ἡ φύσις, ὀργανικὸν δὲ ἡ τραχεῖα ἀρτηρία, τελικὸν δὲ ἡ περί τι σημασία. τῆς 35 δὲ διαλέκτου ὕλη μέν, ὡς εἴρηται, ἡ φωνή, ποιητικὸν δὲ ἡ λογικὴ ψυχή, ὀργανικὸν δὲ γλῶττα, ὑπερῴα, ὀδόντες καὶ χείλη, τελικὸν δὲ ἡ σημασία τῶν νοημάτων. εὐφωνία δὲ καὶ κακοφωνία καὶ ὀξύτης καὶ βαρύτης παρὰ τὴν ποιὰν

---

1 ἐν ἄλλοις] de Respir. 11 sqq. ὅπως] ὅπερ A ὑπάρχει A 3 ἔμφασιν B
4 βραχὺ A 7 εὔρρυθμον AC 8 βαρέως C 9. 10 τῷ — τῷ] τὸ — τὸ AC
11 τραχεῖα B 12 ἔχει A 13 ante ἡ add. καὶ A 15 χρόνου AC
ὁ om. B 17 πλεῖον AC 20 ὕλην scripsi: ὕλη libri 22 γίνεται om. B
fort. δ' ἐν τῷ ὕδατι καὶ delevi 25 παχεῖαν A 26 fort. φαντασιώ-
δους B 33 τῆς] τις B 36 ὑπερῶα AC: ὑπερῶ B

σύστασιν καὶ κατασκευὴν τῆς ἀρτηρίας γίνεται· λεία γὰρ οὖσα καὶ ὁμαλὴς ἐνμελής. τραχυνθεῖσα δὲ ἄρρυθμος· καὶ στενωτέρα μὲν ὀξύν, εὐρυτέρα δὲ βαρὺν τὸν ἦχον ἐργάζεται. ὅθεν νέοι μὲν καὶ γυναῖκες εὔφωνοι καὶ ὀξύφωνοι, καὶ εὐκοῦχοι· γέροντες δὲ τοὐναντίον. φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. οὐκ ἔχουσι δὲ τοῦτο τὸ μόριον, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' ἀναπνέουσι. δι' ἣν δ' αἰτίαν, ἕτερος ἔσται περὶ αὐτῶν λόγος.

119 Περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ ἑξῆς ἂν εἴη λέγειν. εἰ γὰρ καὶ κατὰ τὴν διδασκαλίαν ταξιν αὐτῇ τὴν μέσην τῶν ἄλλων αἰσθήσεων ἀπονείμωμεν, οἵαν κἀν ταῖς ἐνεργείαις καὶ τῷ ὑποκειμένῳ παρὰ τῆς φύσεως ἔλαβε, πρεπῶδες ἂν ποιήσαιμεν. οὔτε γὰρ οὕτω ταῖς ἐνεργείαις πρόεισι πόρρωθεν, ὥσπερ ὄψις καὶ ἀκοή, οὔθ' οὕτως ἐγγύτατα, ὥσπερ γεῦσις καὶ ἁφή· τῇ θίξει γὰρ αἰσθάνονται. μέση δὲ καὶ κατὰ τὸ ὑποκείμενον· ὄψει μὲν γὰρ ὑπόκειται χρώματα καὶ φῶς, ἢ πῦρ ἢ ὄντα πύρινα, ψόφοι δὲ ἀκοῇ ἀέρος ὄντες, ἁφῇ δὲ τὰ γεωδέστερα, καὶ τῇ γεύσει χυμοί· τῇ δὲ ἀτμοὶ καὶ ὅ φασι δίοσμον, μεταξὺ τυγχάνοντα ἀέρος καὶ ὕδατος. οὐκ ἔστι δὲ ῥᾴδιον διορίσαι ὁμοίως τοῖς εἰρημένοις αἰσθητοῖς, οἷον ψόφῳ καὶ χρώματι καὶ τοῖς ἄλλοις, καὶ τί ἐστιν ὀσμή. ἐπὶ μὲν γὰρ ἐκείνων οὐ μόνον τί τὸ γένος τῶν αἰσθητῶν, ἀλλὰ καὶ τῶν εἰδῶν ἐγινώσκομεν ἕκαστον, ὡς ἐπὶ ὄψεως χρῶμα μὲν τὸ κοινόν, λευκὸν δὲ καὶ μέλαν τὰ μερικά· καὶ ψόφου δὲ διαφοραὶ ὠνομάσθησαν τὸν μὲν τούτων ὀξὺν τὸν δὲ βαρὺν διελομένοις. πολλὰ δὲ καὶ τὰ τῶν γευστῶν εἴδη καὶ πρός τι κοινὸν τὸν χυμὸν ἀφορίζεται. καὶ τῆς ἁφῆς δέ, εἰ μὴ τὸ κοινόν, ἀλλ' οὖν τά γε εἴδη οὐδὲν ἧττον ἐφεύρηται καὶ ὠνόμασται θερμὸν καὶ ψυχρὸν καὶ τὰ ὅμοια. μόνης δὲ τῆς ὀσφρήσεως οὔτε τοῦ κοινῶς ὑποκειμένου τὸ ὄνομα ἔχομεν οὔτε τῶν ὑπ' αὐτό· ὀσφραντὸν γὰρ λέγοντες παρωνύμως λέγομεν, καὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες οὐκ εἰσι τῆς τοῦ ὀσφραντοῦ δηλωτικὰ φύσεως, ἀλλὰ τῆς ἐγγινομένης ἐν αἰσθήσει ποιᾶς ὑπ' αὐτῶν διαθέσεως. αἴτιον δὲ ὅτι οὐκ ἔχομεν ἀκριβῆ ταύτην τὴν αἴσθησιν. ἀλλὰ χείριστα ὀσμᾶται πολλοῖς τῶν ζώων ὁ ἄνθρωπος καὶ οὐδεμίαν ἄνευ τοῦ ἡδέος καὶ λυπηροῦ δύναται αἰσθάνεσθαι ὀσμήν. ὡς τοῦ αἰσθητικοῦ ὄντος οὐκ ἀκριβοῦς. ὥσπερ οὖν τοῖς σκληροφθάλμοις εἰκὸς ἀδήλους εἶναι τὰς τῶν χρωμάτων διαφορὰς καὶ συγκεχυμένας, ἀλλὰ τῷ φοβερῷ καὶ ἀφόβῳ διορίζειν μόνον, οὕτω καὶ περὶ τὰς ὀσμὰς τοῖς ἀνθρώποις· τῇ γὰρ οὐσίᾳ τῶν ὀσφραντῶν μὴ ἐπιστήσαντες, ἅτε μὴ αἴσθησιν λαβόντες, οὐδὲ ὀνομάσαι αὐτὰ ἠδυνήθημεν, ἀλλ' ἢ ἐκ παραφράσεως καὶ ἀπὸ τῶν ὑποκειμένων, ὡς ὅταν κρόκου ὀσμὴν ἢ στύρακος εἴποιμεν, ἢ κατὰ μεταφορὰν τὴν ἐκ τῶν γευστῶν (τὰς μὲν γὰρ αὐτῶν γλυκείας τὰς δὲ πικρὰς προσηγορεύκαμεν), ἐπεὶ καὶ ἔοικέ τι καὶ ἀνάλογον ἔχειν πρὸς γεῦσιν καὶ ὅμοιά πως τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς· ἀλλὰ τὴν γεῦσιν ἔχομεν ἀκριβεστέραν διὰ τὸ εἶναι ἁφήν τινα, ταύτην δὲ ἔχει τὴν αἴσθησιν ἀκριβεστάτην

---

1 οἱ om. C 7 λέγει A 8 ἀπονείμομεν AC 12 ὑπόκειται scripsi: ὑποκείσεται libri 15 τυγχάνον A 17 τοῦ αἰσθητοῦ A 20 διελομένοις scripsi: διελόμενοι libri 21 εἰ καὶ μὴ AC 24 παρωνύμα B 29 οὐκ om. B 35. 36 πικρὰς τὰς δὲ γλυκείας AC καὶ (ante ἀνάλογον) om. A

ὁ ἄνθρωπος. ἐν μὲν γὰρ ταῖς ἄλλαις πολλοῖς τῶν ζώων λείπεται (κύνες γὰρ ὀσφραντικώτεροι καὶ ἀετοὶ ὀξυδερκέστεροι), κατὰ δὲ τὴν ἁφὴν πολλῷ τῶν ἄλλων διαφερόντως ἀκριβοῖ. διὸ καὶ φρονιμώτατος τῶν ζώων ἐστί. σημεῖον δέ· καὶ γὰρ αὐτῶν τῶν ἀνθρώπων οἱ μὲν εὐφυεῖς οἱ δὲ ἀφυεῖς παρ' οὐδὲν ἕτερον αἰσθητήριον ἢ παρὰ ταύτην, ὡς ὁλικὴν εἰπεῖν αἰτίαν. ὧν μὲν γὰρ ἡ σὰρξ μαλακή, εὐφυεῖς, ἀφυεῖς δὲ τὴν διάνοιαν, ὧν σκληρά. τῶν ἄλλων δηλαδὴ τῶν αὐτῶν φυλαττομένων, ἀγωγῆς ἡλικίας καὶ φύσεως· ὁ γὰρ ἐν τούτοις ἐξετασθεὶς μαλακώτερος εὐφυέστερος, ὡς τῶν περιττωμάτων διαφορουμένων ἐν τούτοις μᾶλλον λεπτότερον τὸ ἐν ἐγκεφάλῳ πνεῦμα καὶ φανταστικὸν ὑπολείπεσθαι. ἔτι διττόν πως τὸ τῶν ὀσφραντῶν· τὸ μὲν γάρ ἐστι κατὰ τοὺς χυμοὺς τεταγμένον αὐτῶν, ὥσπερ εἴπομεν, καὶ τὸ ἡδὺ καὶ τὸ λυπηρὸν κατὰ συμβεβηκὸς ἔχουσι· διὰ γὰρ τὸ τοῦ θρεπτικοῦ εἶναι πάθησιν, ἐπιθυμούντων μὲν ἡδεῖαι αἱ ὀσμαὶ τούτων εἰσί, πεπληρωμένοις δὲ καὶ μηδὲν δεομένοις οὐχ ἡδεῖαι οὐδὲ αἱ ὀσμαί· τὸ δὲ ὅπερ ἐπὶ τῶν ἀνθῶν καὶ τῶν ἄλλως ἀρωματωδῶν αἱ καὶ καθ' αὑτὰς ἡδεῖαι τῶν ὀσμῶν εἰσιν· οὐδὲν γὰρ μᾶλλον οὐδ' ἧττον πρὸς τὴν τροφὴν παρακαλεῖ, οὐδὲ συμβάλλεται πρὸς ἐπιθυμίαν τροφῆς οὐδέν. καὶ τοῦτο μὲν τὸ εἶδος τοῦ ὀσφραντοῦ καὶ ἴδιον ἀνθρώπου ἐστίν· ἡ δὲ κατὰ τοὺς χυμοὺς τεταγμένη καὶ τῶν ἄλλων ζώων ἐστί. κἀκείνων μὲν διὰ τὸ κατὰ συμβεβηκὸς ἔχειν τὸ ἡδὺ διήρηται τὰ εἴδη κατὰ τοὺς χυμούς. (ἑπτὰ δὲ οὗτοι, ὥστε καὶ ταῦτα), ταύτης δὲ οὐκέτι, διὰ τὸ τὴν φύσιν αὐτῆς καθ' αὑτὴν εἶναι ἡδεῖαν ἢ λυπηράν. αἴτιον δὲ τοῦ εἶναι ἀνθρώπου τὴν τοιαύτην ὀσμὴν διὰ τὴν περὶ τὸν ἐγκέφαλον ψύξιν. ψυχροῦ γὰρ ὄντος τούτου τὴν φύσιν καὶ τοῦ αἵματος τοῦ περὶ αὐτὸν ἐν τοῖς φλεβίοις ὄντος λεπτοῦ μὲν καὶ καθαροῦ, εὐψύκτου δέ (διὸ καὶ ἡ τῆς τροφῆς ἀναθυμίασις ψυχομένη διὰ τὸν τόπον τὰ ῥευματικὰ νοσήματα ποιεῖ), τοῖς ἀνθρώποις πρὸς ὑγείας βοήθειαν τὸ τοιοῦτον τῆς ὀσμῆς εἶδος ἡ φύσις πεποίηται· οὐδὲν γὰρ ἄλλο ἔργον αὐτῆς ἢ τοῦτο. ἀναφερομένων γὰρ τῶν ὀσμῶν περὶ τὸν ἐγκέφαλον διὰ τὴν ἐν αὐταῖς τῆς θέρμης κουφότητα, ὑγιεινοτέρως ἔχει τὰ περὶ τὸν τόπον τοῦτον· ἡ γὰρ τῆς ὀσμῆς δύναμις θερμὴ τὴν φύσιν ἐστίν. ἔτι τὸ τοῖς χυμοῖς συγκατατεταγμένον τῶν ὀσφραντῶν τὸ μὲν συμφωνεῖ, τὸ δὲ οὔ. ἔστι γὰρ ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρὸς καὶ οἱ ἕτεροι, οὕτω καὶ ὀσμαί· καὶ γὰρ γλυκεῖα καὶ πικρὰ καὶ αὐστηρὰ καὶ ὁριμεῖα καὶ ἁλυκὴ καὶ λιπαρὰ καὶ στύφουσα ὀσμὴ κατὰ τοὺς χυμοὺς τῶν ὑποκειμένων ὀνομαζόμεναι· οὐ μέντοι γε ὁμοίως ἐπὶ πᾶσιν ὁ λόγος ἥκει, ἀλλὰ τὰ μὲν ἔχει τὴν ἀνάλογον ὀσμὴν καὶ χυμόν, ὥσπερ εἴρηται, τὰ δὲ διαλλάττει. κρόκου μὲν γὰρ καὶ μέλιτος ὅ τε χυμὸς ἥ τε ὀσμὴ τὰ αὐτά (καὶ γλυκέα γάρ) καὶ θύμου καὶ σκορόδου· ἄμφω γὰρ ὁριμέα· ἁλὴ δὲ καὶ στύραξ τὴν γεῦσιν πικραί, γλυκεῖς δὲ τὴν ὀσμήν. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. τοῦτο δὲ διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς

---

8 μαλακότερος AC 12 πάθησιν] cf. de Sens. et sens. 443 b 21, ubi plerique habent πάθη 14 αἱ libri 24 ἡ A, cf. de Sens. et sens. p. 444 a 12: om. BC 28 τοῦτον om. B 31 ante γλυκεῖα add. καὶ AC 32 ἁλικὴ BC στίφουσα A ante ὀσμὴ add. ἐστὶν AC 36 καὶ (ante γλυκέα) om. A 37 τὴν μὲν γεῦσιν AC πικροὶ AC

ὀσμάς. ὥσπερ τοὺς χυμούς. καθάπερ εἴρηται· ὅθεν καὶ ἀπὸ τούτων εἴληφε τὰ ὀνόματα καθ' ὁμοιότητα τῶν πραγμάτων.

Ὅπερ δὲ ἐπὶ τῶν ἄλλων αἰσθήσεων (ἑκάστη γὰρ ἀμφοτέρων αἰσθάνεται τῆς τε οἰκείας ἕξεως καὶ στερήσεως, ἔτι δὲ καὶ τῶν οἰκείων ὑπερβολῶν· ὅρασις μὲν γὰρ ὁρατοῦ καὶ ἀοράτου. ἀκουστοῦ δὲ καὶ ἀνηκούστου ἀκοή· τό τε γὰρ φῶς καὶ τὸ σκότος ὄψει αἰσθητόν. καὶ ψόφος καὶ σιγὴ ἀκοῇ), οὕτω καὶ ἐπ' ὀσφρήσεως· ἡ γὰρ αὐτὴ καὶ ὀσφραντοῦ καὶ ἀνοσφράντου κριτική. οὐ πᾶν δὲ ἁπλῶς τὸ ἄνοσμον κρίνει, ὥσπερ οὐδὲ ἡ ὄψις τὸ ἀόρατον ἅπαν, ἀλλὰ τὸ συστοιχον καὶ μόνην τῆς οἰκείας καταφάσεως τὴν ἀπόφασιν· λόγου γὰρ ὅτι ἡ φωνὴ ἀόρατος. οὐχ ὁράσεως. ἔτι τριττὸν τὸ ἀνόσφραντον, ὥσπερ καὶ τὸ ἀόρατον· ἢ τὸ μηδ' ὅλως ἔχον ἢ τὸ ἀμυδρῶς ἢ τὸ ὑπερβαλλόντως καὶ φθαρτικόν, ὡς ἐκεῖ τὸ ὑπέρλαμπρον. ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξὺ ποιουμένη τὰς ἐνεργείας. ἀέρος καὶ ὕδατος· καὶ γὰρ τὰ ἔνυδρα φαίνεται καὶ ὀσμῆς αἰσθανόμενα. ὥσπερ ἐλέχθη πρότερον, καὶ τὰ ἔναιμα ⟨καὶ τὰ ἄναιμα⟩, ὥσπερ καὶ τὰ ἐν ἀέρι· καὶ γὰρ ἔνια τούτων πόρρωθεν ἁπαντᾷ πρὸς τὴν τροφὴν αἰσθανόμενα τῆς ὀσμῆς. κύνες καὶ ἔνια τῶν πτηνῶν. πλὴν ὁ τρόπος διάφορος τῇ διόδῳ τῶν ὀσφραντῶν πρὸς τὰ τῆς ἀκοῆς καὶ ὄψεως αἰσθητά· ὀσμὴ γὰρ ὀσμὴν ἐκκρούει τὴν ἐλάττω ἡ μείζων, χρῶμα δὲ χρῶμα οὔ· καὶ μετά τινος ἀπορροίας τὸ ὀσφραντὸν ἐπὶ τὸ αἰσθητήριον πρόεισιν, ὅθεν ἐπὶ τῶν δυσωδῶν ῥάκους ταῖς ῥισὶν ἐπιθεμένου εἴρχθη μὲν ἡ ὀσμή, τῷ δὲ ἀέρι ἡ εἴσοδος οὐκ ἐκωλύετο. ἀπορήσειεν ἄν τις, εἰ μὴ μόνα τὰ πεζὰ τῶν ζώων ὄσφρησιν ἔχει, ἀλλ' ἤδη καὶ τὰ ἔνυδρα, πῶς τὰ μὲν ἄλλα καὶ μὴ εἰσπνέοντα ὀσφραίνεται, ὁ δὲ ἄνθρωπος καὶ ὅσα πνεύμονα ἔχει ζῶα οὐκ αἰσθάνεται τοῦ ὀσφραντοῦ μὴ εἰσπνέοντα· κατέχοντα γὰρ τὸ πνεῦμα ἢ ἐκπνέοντα οὐκ ὀσμᾶται οὔτ' ἐγγὺς οὔτε πόρρω, οὐδ' ἂν ἐπιθῇ τις εἰς τὸν μυκτῆρα ἐντὸς τὸ εὐῶδες (καὶ τὸ μὲν ἐπ' αὐτῷ τῷ αἰσθητηρίῳ τιθέμενον ἀναίσθητον εἶναι κοινὸν πάντων, τὸ δὲ ἄνευ τοῦ εἰσπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον τῶν ἐχόντων πνεύμονα· καὶ τοῦτο δὲ πειρωμένῳ δῆλον)· ὡς ⟨εἰ⟩ τὰ μὴ ἔχοντα πνεύμονα μὴ ἀναπνεῖ, αἰσθάνεται δὲ τοῦ εὐώδους καὶ τοῦ δυσώδους, ἑτέραν τινὰ αἴσθησιν ὑπολείπεται ἔχειν παρὰ τὰς εἰρημένας. ἀλλ' ἀδύνατον, εἴπερ τῆς ὀσμῆς αἰσθάνεται· ὧν γὰρ ἐνέργειαι αἱ αὐταί, τούτων καὶ τὸ κρῖνον ἕν· ἡ δὲ τοῦ εὐώδους καὶ τοῦ δυσώδους αἴσθησις ὄσφρησίς ἐστιν. ἔτι φαίνεται καὶ ταῦτα φθειρόμενα ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν, ὑφ' ὧνπερ καὶ τὰ ἔχοντα πνεύμονα, οἷον ἀσφάλτου καὶ θείου, ὡς τῆς αὐτῆς οὔσης ὧδε κἀκεῖσε τῆς συναισθήσεως. ὥστε ὀσφραίνεσθαι μὲν τὰ τοιαῦτα λέγειν δεῖ, μὴ ἐν τῷ ἀναπνεῖν δέ, καὶ ἔοικε τοιοῦτόν τι συμβῆναι περὶ τὴν ὄσφρησιν ὅπερ ἐπὶ τῆς ὄψεως ἔν τισιν· ὡς γὰρ ἐκεῖ τὰ μὲν σκληρόφθαλμα τῶν ζώων βλεφάρων οὐ δεῖται εἰς φυλακὴν καὶ προκάλυμμα, αὐτόθεν ἔχοντα τὴν ἀσφάλειαν ὄντα δυσπαθῆ τῇ σκληρότητι, καὶ εὐθὺς

---

5 ἀνακούστου B ἡ ἀκοή AC 9 λόγου] λόγος κρίνει Philoponus 10 τριττὸν δὲ τὸ A 14 καὶ τὰ ἄναιμα addidi: ὁμοίως δὲ καὶ τὰ ἔναιμα καὶ τὰ ἄναιμα de An. p. 421b10 15 ἐν τῷ ἀέρι AC 18 μείξω A 20 fort. ἐπιτιθεμένου τὴν ὀσμὴν A¹ 21 ἐκώλυτο AC ἔχοι A 25 τῷ μὲν A 26 αὐτὸ A 28 ὡς εἰ scripsi: ὡς B: ἤγουν C: εἰ οὖν A 31 κρῖνον] κρίνειν B 35 μὲν] μέντοι AC

ὁρᾷ, ὅτι ἂν τεθῇ ἐν τῷ διαφανεῖ, τὰ δὲ μαλακόφθαλμα ἀντὶ παντὸς φυλακτηρίου προβάλλει τὰ βλέφαρα ὥσπερ τι πῶμα καὶ ἔλυτρον, ἅπερ ἂν μὴ ἀνασπάσῃ καὶ κινήσῃ, οὐχ ὁρᾷ τὸ ζῶον, οὕτω τοι καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον τοῖς μὲν ἀκάλυφον εἶναι τοῖς μὴ ἔχουσι πνεύμονα, ὥσπερ τὸ ὄμμα τοῖς σκληροφθάλμοις, τοῖς δὲ τὸν ἀέρα δεχομένοις ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων ἀνακαλύπτεται, διευρυνομένων τῶν νεύρων καὶ τῶν πόρων. τὰ γὰρ ἐπὶ τῇ βάσει τῆς ῥινὸς ὑπὸ τὸν ἐγκέφαλον ἰσθμοειδῶν ὀστέων συμμεμυκότων καὶ πεφραγμένων τῇ τῶν ὑγρῶν ἐπιρρεύσει διανοίγει ὁ ἀὴρ εἰσπνεόμενος καὶ διίστησιν. ὅθεν τὰ ἀναπνεόντα ἐν τῷ ὑγρῷ οὐκ ὀσμᾶται, ὅτι ἀνάγκη ἀναπνεύσαντα ὀσφρανθῆναι, τοῦτο δὲ ποιεῖν ἐν τῷ ὑγρῷ ἀδύνατον.

Ἔστι δὲ ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ· ὕλη γὰρ ἑκατέρου ἑκάτερον. οὔτε δὲ ξηρὸν οὕτω λέγομεν τὸ παντελῶς ἐστερημένον ὑγρότητος (τὸ γὰρ ἄνθος ὑγρὸν καὶ εὐῶδες), οὔτε ὑγρὸν τὸ ξηρότητος τῆς ὁπωσοῦν ἀνεπίδεκτον οἷον τὸ ὕδωρ (ἄνοσμα γὰρ τὰ τοιαῦτα καὶ ἄχυμα), ἀλλ' ἐν ἑκατέροις τὸ μᾶλλον τοῦτο ἢ ἐκεῖνο. καθόλου γὰρ πᾶς χυμὸς καὶ ὀσμὴ ἐν ποιᾷ τινι κράσει τῶν στοιχείων πρὸς ἄλληλα γίνεται. εἰλικρινῆ γὰρ καὶ καθ' ἑαυτὰ μένοντα ἄνοσμά τε καὶ ἄχυμα· καὶ τῶν ἐν συνθέσει δὲ τὰ μᾶλλον ἁπλᾶ μᾶλλον ἄνοσμα καὶ ἄχυμα, οἷον λίθος ἄνοσμον, ὅτι καὶ ἄχυμον, ὀσμώδη δὲ τὰ ξύλα, ὅτι καὶ ἔγχυμα, καὶ τούτων [ἔτι] ἧττον τὰ ὑδατώδη. καὶ τῶν μεταλλευομένων δὲ χρυσὸς μὲν ἄοσμον, ἄχυμον γάρ, ὀσμώδη δὲ χαλκὸς καὶ σίδηρος. ὅταν δὲ καὶ τούτων τὸ ὑγρὸν ἐκκαυθῇ, πάντων αἱ σκωρίαι ἀνοσμότεραι γίνονται. ὃ δὲ ἐν μόνῳ ὕδατι χυμός, τοῦτο ἐν ἀέρι καὶ ὕδατι ὀσμή. κοινὸν δὲ κατὰ τούτων λέγομεν τὸ διαφανές, ἔστι δὲ ὀσφραντὸν οὐχ ᾗ διαφανές, ἀλλ' ᾗ πλυτικὸν καὶ ῥυπτικὸν ἐγχύμου ξηρότητος. εἰ οὖν τις θείη τὸν ἀέρα καὶ τὸ ὕδωρ ἄμφω ὑγρά, εἴη ἂν ἡ ἐν ὑγρῷ τοῦ ἐγχύμου ξηροῦ φύσις καὶ πλύσις ὀσμή. τὸ δὲ ὀσφραντικὸν αἰσθητήριον δυνάμει τοιοῦτον. ἀμβλύνει δὲ τοὺς χυμοὺς καὶ τὰς ὀσμὰς τὸ ψυχρὸν κατὰ λόγον· τὸ γὰρ θερμὸν τὸ κινοῦν καὶ δημιουργοῦν ἡ ψύξις καὶ ἡ πῆξις ἐκδιώκει. ποτὲ δὲ τὸ αὐτὸ ξηρὸν καὶ ἀμφοτέρων παραίτιον, ἐν μὲν ὕδατι θερμῷ πλυνθὲν χυμοῦ, ἐν δ' ἀέρι πυρὶ θυμιώμενον τῆς ὀσμῆς. τοσαῦτα καὶ περὶ ὀσφρήσεως.

Περὶ δὲ γεύσεως, ἐπειδήπερ ἁφή τίς ἐστι (τῇ θίξει γὰρ αἰσθάνεται), ἔσται καὶ τὸ γευστὸν ἁπτόν τι· καὶ τοῦτο αἴτιον τοῦ μὴ εἶναι τοὺς χυμοὺς αἰσθητοὺς καὶ διὰ μέσου ἀλλοτρίου σώματος, ὥσπερ καὶ τὰ τῶν ἄλλων αἰσθήσεων ὑποκείμενα. δυσὶ γὰρ ἐκεῖναι τοῖς μεταξὺ ἐποιοῦντο τὴν αἴσθησιν, τοῖς τε ἀλλοτρίοις ἀέρι καὶ ὕδατι, καὶ τοῖς συμπεφυκόσιν αἰσθητηρίοις· ἡ μέντοι γε ἁφὴ καὶ γεῦσις ἑνὶ καὶ συμφυεῖ τῇ σαρκί. ἔτι τὸ σῶμα, ἐν ᾧ τὸ γευστὸν ὁ χυμὸς ὡς ἐν ὕλῃ, τὸ ὑγρόν ἐστι· τοῦτο δὲ ἁφῆς. ὥστε τῇ γεύσει ἅψις ἕπεται, καὶ οὐ διὰ τοῦ μεταξύ· εἰ δέ ποτε γευόμεθα καὶ διὰ τοῦ μεταξύ,

---

1 ὅτι Diels: εἴ τι libri 2 ἅπερ ἂν] ἂν περ B 6 τὰ] πᾶν B 7 ἰσθμοειδῆ AC ὀστέα C: ὅστε A συμμεμυκότα AC 8 πεφραγμένα C 13 ξηρότητος] ξηρότατον B 19 ἔτι delevi, cf. de Sensu et sens. p. 443 a 16 ἧττον ἔτι AC καὶ τὰ ὑδατώδη AC 26 ὀσφραντὸν B 29 πλυθὲν C

ὡς κἂν ἐν ὕδατι ᾖμεν, ᾐσθανόμεθα ἂν ἐμβληθέντος τοῦ γλυκέος καὶ διὰ τοῦ μεταξύ, ἀλλ' οὐχ οὕτως ὥσπερ ἂν εἰ καὶ τῶν χρωμάτων ἢ τῶν ψόφων αἰσθοίμεθα. ἐκείνων γὰρ οὐ τῷ μίγνυσθαί τι τῇ οὐσίᾳ, τῷ ἀέρι καὶ ὕδατι, τούτου δὲ τῇ μίξει· * * εἰ γὰρ μὴ κίνησις ἀρκοῦσα καὶ ἀμφοτέρων ἐν τῇ μίξει
5 τοῦ ὕδατος καὶ τοῦ μέλιτος γένηται, οὐκ ἂν ἐσεῖται μελίκρατον. οὔκουν ὁρῶμεν ταῖς ἀπορροίαις τῶν ὁρατῶν (ἦν γὰρ ἂν ἐν τῷ μέσῳ καὶ χρόνος καὶ κίνησις, εἴπερ αἱ ἀπόρροιαι σώματα) οὐδὲ μίγνυται τὸ χρῶμα τῷ ἀέρι. καὶ γευσαίμεθα γλυκέος διὰ τοῦ μεταξὺ ὄντες ἐν ὕδατι τῷ ἀνακεκρᾶσθαι τὰ σώματα. καὶ τὸ μὲν μεταξὺ οὐδέν ἐστι κοινὸν γεύσει πρὸς ὄψιν καὶ ἀκοήν· ὅτι δὲ χρώματι
10 καὶ ψόφῳ καὶ χυμῷ τὸ ὁρατὸν καὶ ἀκουστὸν καὶ γευστὸν ἀφορίζεται. κεκοινώνηκεν. ἥνωται γὰρ γεῦσις ἁφῇ μὲν τῷ ἀμέσως ποιεῖσθαι τὴν αἴσθησιν, ὄψει δὲ καὶ ἀκοῇ τῷ τὸ κοινὸν ἔχειν ὠνομασμένον καὶ εἰς ἃ τὸ γένος διῄρηται· ὡς γὰρ ἐκεῖ χρῶμα καὶ ψόφος, χυμὸς ὧδε· ὡς δὲ λευκὸν καὶ μέλαν ἢ ὀξὺς καὶ βαρύς, γλυκὺ καὶ πικρὸν καὶ τὰ ἕτερα. οὐδὲν δὲ ποιεῖ χυμοῦ αἴσθησιν
15 ὑγρότητος ἄνευθεν. ὡς καὶ πρότερον εἴρηται. ἀλλ' ἢ δυνάμει ἢ ἐνεργείᾳ πᾶν ἔγχυμον μετέχει ὑγρότητος. οἷον τὸ ἁλμυρὸν ἐνεργείᾳ μὲν ξηρόν, δυνάμει δὲ ὑγρόν· τηκτόν τε γὰρ αὐτὸ καὶ τῆς γλώττης συντηκτικόν. οἱ γὰρ ἅλες αὐτοί τε γευόμενοι τήκονται ὡς δυνάμει ὑγροί, καὶ τὴν τῆς γλώττης ὑγρότητα ἐξικμάζουσι προσθέντες τὴν παρ' αὐτῶν. καὶ εἴ τι δὲ τῶν ἄλλων ξηρῶν
20 γευστὸν ᾖ, οἷον ἄρτος, πέπερι καὶ τὰ ὅμοια, οὐχ ᾗ ξηρά, ταύτῃ γευστά εἰσιν, ἀλλὰ τὰ μὲν τῷ δυνάμει μετέχειν ὑγρότητος τὰ δὲ τῷ προσκτᾶσθαι τῷ ὑγρῷ πλησιάσαντα, τῷ τε ἔξωθεν καὶ τῷ ἐν τῷ στόματι· ὅθεν τὰ ὑπερκαυθέντα ὡς φυσικῆς καὶ ἐπεισάκτου ὑγρότητος ἀνεπίδεκτα ἢ ἀμυδρῶς ἢ παντελῶς ἄγευστα. ὥσπερ δὲ ἡ ὄψις αἰσθητική, ὡς καὶ πρόσθεν ἐλέγετο, τοῦ τε ὁρατοῦ,
25 οἷον τοῦ ἐν φωτὶ χρώματος, καὶ τοῦ ἀοράτου (ὅ τε γὰρ σκότος ἀόρατος κατὰ στέρησιν καὶ ὁ ἥλιος ὑπερβάλλων λαμπρότητι, ἄμφω δὲ ὅμως τῇ ὄψει κρίνεται), καὶ ἡ ἀκοὴ ψόφου καὶ σιγῆς καὶ μεγάλου ψόφου (ὡς γὰρ ὁ μικρὸς ἀνήκουστος, τρόπον τινὰ καὶ ὁ μέγας δήπου καὶ βίαιος), οὕτω τοι καὶ γεῦσις γευστοῦ καὶ ἀγεύστου. ἔτι ἐπεὶ ἀόρατον τὸ μὲν φύσει λέγεται, ὡς τὸ ἀσώματον καὶ
30 ἄχρουν, οἷον ἡ φωνή, ἡ ψυχή, τὸ δὲ ἂν πεφυκὸς μὴ ἔχῃ ἢ φαύλως, καθάπερ ὁ ἐσκοτισμένος ἀὴρ καὶ τῶν χρωμάτων ὅσα ἢ τῇ ἀποστάσει ἢ τῷ συγχεῖσθαι μὴ καθαρὰν τῇ ὄψει τὴν ἀντίληψιν δίδωσιν, ὡς κἂν τὸ ἀδύνατον ἢ τὸ ἄπουν τό τε μηδ' ὅλως, ὡς οἱ ἰχθύες, ἢ τὸ κακῶς, ὡς ἡ νυκτερίς, διττόν τι ἔσται δήπουθεν καὶ τὸ ἄγευστον. τό τε μηδαμῶς ἔχον χυμὸν ἢ μικρὸν καὶ φαῦλον.
35 καὶ τὸ φθαρτικὸν ἔχον τῆς γεύσεως, οἷον τὰ τῶν δηλητηρίων ἄκρατα. ἐπεὶ δὲ ἡ γεῦσις ἁφή, ἁφὴ δήπου φθείρεται φθειρομένης γεύσεως. τὸ δὲ ζῶον τῇ ἁφῇ ὥρισται· ἀνάγκη ἄρα τῆς γευστικῆς φθαρείσης δυνάμεως καὶ τὸ ζῶον

1 κἂν εἰ ἐν de An. 422 a 11 3 ἐκείνων μὲν γὰρ A 4 lacunam indicavi: fort. excidit αὕτη δὲ οὐκ ἄνευ κινήσεως 7 μίγνυται] τῷ μίγνυσθαι A τῷ] τὸ C post ἀέρι add. καὶ ὕδατι A 8 τὸ] τῷ A 15 ὡς καὶ προείρηται C 16 τὸ om. AC ἁλμηρὸν B 19 ξηρὸν C 21 ἀλλὰ scripsi: ἀλλ' ἢ libri προκτᾶσθαι B 23 ἢ καὶ παντελῶς AC 29 φύσει] φύσις B 31 ἢ (post ὅσα) om. C 34 τε] μὲν, ὅ A 35 τῆς repetit B ἐπεὶ δὲ — 37 ἁφῇ om. C

ἀπόλλυσθαι. ἔτι ἄνωθεν διαιρουμένοις ἔσται τῶν γευστῶν τὸ μὲν ποτὸν τὸ δὲ ἄποτον· δοκεῖ γὰρ ἀρχὴ ταῦτα εἶναι καὶ πρώτη διαίρεσις. γεῦσις γάρ τις ἀμφότερα, ἀλλὰ τὸ μὲν φαύλη καὶ φθαρτική, τὸ δὲ τελειωτικὸν καὶ κατὰ φύσιν, τὸ ποτόν. τούτου δὲ τὸ μὲν γλυκύ, τὸ δὲ πικρόν, τὸ δὲ ἁλμυρόν, τὸ δὲ δριμύ, τὸ δὲ αὐστηρόν, τὸ δὲ στρυφνόν, τὸ δὲ ὀξύ· τὸ δὲ λιπαρὸν γλυκύ τι. ἑπτὰ δὲ οἱ χυμοί, ὅσα καὶ τὰ χρώματα, λευκόν, μέλαν, φαιόν, φοινικοῦν, ἁλουργόν, πράσινον, κυανοῦν· τὸ δὲ ξανθὸν τῷ λευκῷ συντέτακται. ἁπλᾶ μὲν οὖν πως καὶ ὡρισμένα χυμοὶ καὶ χρώματα ταῦτα· ἡ δὲ τούτων πρὸς ἄλληλα μῖξις καὶ τὸ μᾶλλον καὶ ἧττον τήν τε τῶν χυμῶν ἀπειρίαν καὶ τὰ τῶν χρωμάτων ἐγέννησαν. ἐπεὶ δὲ κοινὸν ἁφῆς καὶ γεύσεως τὸ ποτόν (ὑγρὸν γάρ ἐστιν ἔγχυμον, οὗ τὸ μὲν ἁπτὸν τὸ δὲ γευστόν), ἀνάγκη τὸ αἰσθητήριον αὐτοῦ μήτε ὑγρὸν εἶναι ἐντελεχείᾳ μήτε ἀδύνατον ὑγραίνεσθαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. ἔτι πάσχει ἡ γεῦσις ὑπὸ τοῦ γευστοῦ, ᾗ γευστόν, καὶ διὰ τοῦτο ἀνάγκη τὸ γευστικὸν αἰσθητήριον ὑγραίνεσθαι δύνασθαι καὶ ὑγρὸν μὴ εἶναι. σημεῖον δὲ τὸ μήτε κατάξηρον οὖσαν τὴν γλῶτταν αἰσθάνεσθαι μήτε λίαν ὑγράν· αὕτη γὰρ ἀφὴ γίνεται τοῦ πρώτου ὑγροῦ· ὥστε εἰ τοιαύτη, οὐκ ἂν φθάνοι ὑπὸ τῆς ἐν τοῖς χυμοῖς παθεῖν ὑγρότητος, πάσχουσα ὑπὸ τῆς ἐν αὐτῇ καὶ οἰκείας, ὥσπερ ὅταν τις προγευματίσας ἰσχυροῦ χυμοῦ γεύηται ἑτέρου, καὶ τοῖς ἰκτεριῶσιν ἢ πυρέττουσι πικρὰ τὰ προσφερόμενα φαίνεται ὡς τοιαύτης αὐτοῖς πεπληρωμένης τῆς γλώττης. οὔτ' αὖ ὅταν ἄγαν κατάξηρος ᾖ· ἧττον γὰρ πάσχει ὑπὸ τοῦ ὑγροῦ καὶ διὰ πλείονος χρόνου. τὰ δὲ ἀπηριθμημένα τῶν χυμῶν εἴδη ὥσπερ καὶ τὰ τῶν χρωμάτων ἁπλᾶ μὲν τὰ ἐναντία, ὥσπερ ἐκεῖ τὸ λευκὸν καὶ τὸ μέλαν, οὕτως ὧδε τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐχόμενα δὲ τοῦ μὲν τὸ λιπαρόν, τοῦ δὲ τὸ ἁλμυρόν· μεταξὺ δὲ τούτων τὰ ἕτερα. καὶ σχεδὸν αὗται μόναι δοκοῦσι διαφοραὶ χυμῶν. ἐπεὶ δὲ χυμῶν μὲν ὑποκείμενον τὸ ὑγρόν, ὑγροῦ δὲ τὸ ὕδωρ πηγή, ἢ ἐν τῷ ὕδατι καθάπαξ τοὺς χυμοὺς ἐνεῖναι δεῖ λέγειν, καὶ τοῦτο διττῶς, ὥσπερ τε Ἐμπεδοκλῆς πάντα ἐν πᾶσιν ὑποθέμενος τὰ γένη τῶν χυμῶν ἐν ὕδατι προσομολογεῖν, ἀναίσθητα δὲ διὰ τὴν σμικρότητα, ἢ τοιαύτην ὅλην ἐναποκεῖσθαι τῷ ὕδατι οἷον πανσπερμίαν χυμῶν, καὶ ἅπαντα μὲν ἐξ ὕδατος εἶναι, μᾶλλον δὲ γίνεσθαι ἄλλα ἐξ ἄλλων (ἄμφω δὲ ψευδῆ, ὡς κύριον τῶν χυμῶν καὶ μόνον τὸ ὕδωρ ὑπολειπόμενον, τὸ δὲ καθ' αὑτὸ εἶναι ἄχυμον βούλεται)· τρίτη δὲ δόξα τὸ μηδεμίαν διαφορὰν τοῦ ὕδατος ἔχοντος τὸ ποιοῦν αἴτιον εἶναι, τὸ θερμὸν μετὰ τῆς γεώδους ξηρότητος. φαίνονται δὲ καὶ οἱ χυμοί, ὅσοιπερ ἐν τοῖς καρποῖς, ἐνεῖναι πρότερον δυνάμει καὶ ἐν τῇ γῇ. ὥσπερ οὖν οἱ ἐναποπλύνοντες ἐν τῷ ὑγρῷ τὰ χρώματα καὶ τοὺς χυμοὺς τοιοῦτον ποιοῦσιν ἔχειν τὸ ὕδωρ, οὕτω καὶ ἡ φύσις ἐν τοῖς φυτοῖς καὶ τοῖς ζώοις τὸ ὕδωρ διὰ τοῦ ξηροῦ καὶ γεώδους διηθοῦσα καὶ τῷ θερμῷ κινοῦσα καὶ μεταβάλλουσα ποιόν τι τὸ ὑγρὸν παρα-

8 ὡρισμέναι A 9 καὶ τὸ ἧττον C 19 φαίνηται B 20 post γλώττης add. ὑγρότητος A κατάξηρεν AB ᾖ om. B 28 ὑποθέμενος] ὑπέθετο A¹ καὶ τὰ γένη A 31 ὑπολειπόμεναι in ras. A: ὑπολειπόμενα C 32 post ἄχυμον add. εἶναι B 37 καὶ τοῦ γεώδους AC 38 διηθῶσα A¹

σκευάζει. καὶ ἔστι τοῦτο χυμὸς τὸ γινόμενον ὑπὸ τοῦ εἰρημένου ξηροῦ ἐν τῷ ὑγρῷ πάθος· ἀπόπλυνσις γὰρ ξηροῦ τροφίμου ἐν ὑγρῷ πεφθέντος τῷ θερμῷ ὁ χυμός. τὸ μὲν οὖν θερμὸν αὐξάνει καὶ δημιουργεῖ τὴν τροφὴν καὶ τὸ μὲν κοῦφον ἕλκει ἄνω, τὸ δὲ ἁλμυρὸν καὶ πικρὸν καταλείπει. ὃ γὰρ ἐν τοῖς ἔξω σώμασι ποιεῖ τὸ ἔξωθεν θερμόν, τοῦτο ἐν τῇ φύσει καὶ τῶν φυτῶν καὶ τῶν ζώων τὸ ἔνδον. τρέφεται δὲ τὰ τρεφόμενα προηγουμένως μὲν τῷ γλυκεῖ, συμμίγνυνται δὲ οἱ ἄλλοι χυμοὶ εἰς τὴν τροφὴν τὸν αὐτὸν τρόπον τῷ ἁλμυρῷ καὶ ὀξεῖ, ἀντὶ ἡδύσματος· ταῦτα δὲ τῷ ἀντισπᾶν τῷ λίαν εἶναι τρόφιμον καὶ ἐπιπολαστικὸν τὸ γλυκύ.

III 10 Οὕτω διῃρημένων καὶ τῶν περὶ τῆς γεύσεως λέγειν περὶ ἁπτοῦ καὶ ἁφῆς ὑπολείπεται. δυσὶ δὲ προβλήμασι τὸν περὶ αὐτῆς πλεῖστον λόγον διεξοδεύσομεν, εἰ πολλαὶ καὶ μὴ μία, καὶ εἰ ἡ σὰρξ αἰσθητήριον. ἐπ' ἄμφω δὲ τοὺς λόγους γυμνάσαντες, ἡμεῖς γοῦν τοῖς πιθανωτέροις ἑψόμεθα, καὶ τὰ πολλὰ τῷ δευτέρῳ πρὸς ἀπόδειξιν τοῦ προτέρου προσχρησόμεθα. οὕτω δὲ προάγομεν· πότερον μία αἴσθησις ἡ ἁφὴ ἢ πλείους: εἰ μὲν μὴ μία ἀλλὰ πλείους, ἀνάγκη καὶ τὰ ἁπτὰ πλείω αἰσθητὰ εἶναι. τί δὲ καὶ τὸ τοῦ ἁπτικοῦ αἰσθητήριον; πότερον ἡ σὰρξ καὶ ἐν τοῖς ἄλλοις τὸ ἀνάλογον, ἢ οὐ, ἀλλὰ τοῦτο μέν ἐστι τὸ μεταξύ, ὥσπερ ἐν ταῖς ἄλλαις τὸ διαφανὲς ἢ διηχὲς ἢ δίοσμον, τὸ δὲ πρῶτον αἰσθητήριον ἄλλο τί ἐστιν ἐντός, καὶ τοῦτο ἢ τὸ πνεῦμα, ὃ πασῶν κοινόν, ἢ τὸ τῆς ζωτικῆς ἀρχῆς μόριον. καὶ δὴ μίαν μὲν αἴσθησιν τὴν ἁφὴν λέγειν οὐκ ἀνάγκη, ὅτι περ μιᾶς ἐναντιώσεως μία δήπου καὶ αἴσθησις καὶ τὸ ἔμπαλιν· ὄψις γὰρ λευκοῦ καὶ μέλανος μόνη μόνης, καὶ ἀκοὴ βαρέος καὶ ὀξέος, καὶ τὸ μὲν πικρὸν τὸ δὲ γλυκὺ τὸ τῆς γεύσεως· πλείους δὲ τῆς ἁφῆς αἱ ἀντιθέσεις. ὀκτὼ γὰρ αἱ πᾶσαι καὶ οὐχ ὑπάλληλοι οὐδ' ὑπὸ μίαν συνάγονται, θερμότης ψύξις, ξηρότης ὑγρότης, σκληρότης μαλακότης, κουφότης βαρύτης, καὶ αἱ λοιπαί. οὐκ ἄρα μία ἡ τῶν ἁπτῶν αἴσθησις. ἔτι τῇ μιᾷ αἰσθήσει ἓν καὶ τὸ ὑποκείμενον, ὄψει μὲν χρῶμα, ἀκοῇ δὲ ψόφος· περὶ ἓν γάρ τι γένος ἑκάτερον ἰδίως συμφέρεται· ἁφῇ δὲ οὔτι που τὸ γένος ὡρισμένον, εἰς ὃ καταγίνεται· οὐ γὰρ ἕν. οὐ μία δήπου οὐδὲ κατὰ τοῦτο ἡ ἁπτικὴ αἴσθησις. ἔτι δηλοῖ τὸ πλείους ἁφὰς εἶναι καὶ ἡ ἐπὶ τῆς γλώσσης ἁφή· ἁπάντων γὰρ τῶν ἁπτῶν, θερμοῦ ψυχροῦ καὶ τῶν ἄλλων αἰσθάνεται. ἔτι δὲ καὶ χυμοῦ κατὰ τὸ αὐτὸ μόριον· ὥστε καθάπερ ὧδε, εἰ μὲν καὶ ἡ ἄλλη σὰρξ χυμοῦ ἠσθάνετο, μία ἂν ἐδόκει ἡ ἁφὴ καὶ ἡ γεῦσις (τίνι γὰρ διακρίνοιτο:) νυνὶ δὲ τῷ μὴ ἀντιστρέφειν κεχώρισται. οὕτω καὶ ἁφῆς διαφόρους εἶναι τὰς αἰσθήσεις οὐδὲν κωλύει, τῷ δὲ δι' ἀλλήλων ἥκειν καὶ πάσας πάντων καὶ τῶν πασῶν ἑκάστην ἀντιλαμβάνεσθαι συγκεχύσθαι καὶ εἰς ἓν φύρεσθαι. οὕτω δὲ πρὸς ταῦτα ἀνθυποφέρεται· εἰσὶ γὰρ οἳ λέγουσιν ὡς εἰσί πως πλείους αἱ ἀντιθέσεις κἂν ταῖς ἄλλαις αἰσθήσεσιν. οὐ γὰρ μόνον ὀξύτης καὶ βαρύτης ἐν ἀκοῇ, ὥσπερ ἐλέγετο, ἀλλὰ καὶ μικρότης καὶ μέγεθος, καὶ φωνὴν λείαν

---

5 καὶ (post φύσει) om. AC τῶν ζώων καὶ τῶν φυτῶν AC 10 τῶν] τῷ A^1 13 πιθανοτέροις AC 23 τῶν τῆς γεύσεως A^2: τὰ τῆς γεύσεως C 26 καὶ βαρύτης AC 31 ἄλλων] λοιπῶν A 35 τῷ δὲ scripsi: τὸ δὲ libri

καὶ τραχεῖαν ἠκούσαμεν, καὶ τοιαῦται διαφοραὶ ἕτεραι· καὶ περὶ ὄψιν δὲ οὐ μόνον χρῶμα λευκὸν καὶ μέλαν, ἀλλὰ καὶ σφοδρὸν καὶ ἀμυδρόν. εἰ δὲ ταῦτα, τί κωλύει, ὥσπερ ἐπ' ἐκείνων μίαν συνεωρῶμεν ἐν πλείσταις ἐναντιώσεσιν αἴσθησιν, οὕτω τοι καὶ περὶ ἁφῆς τίθεσθαι; ἢ τοῦτο μὲν καὶ παραλογισμός
5 ἐστιν· οὐ γὰρ κυρίως ἐπὶ φωνῆς τὸ λευκὸν ἢ τὸ μέλαν οὐδὲ τὸ μέγα καὶ μικρὸν λέγεται ἢ τραχὺ καὶ λεῖον, οὔτ' ἐπὶ χρώματος τὸ σφοδρὸν καὶ ἀμυδρόν. μόνη γὰρ ἀκοῇ συγγενὴς ἡ τοῦ ὀξέος καὶ βαρέος ἀντίθεσις. ὄψει δὲ ἡ τοῦ λευκοῦ καὶ μέλανος. ἐκεῖνο δὲ δεῖ λέγειν, ὃ πρὸς τὸ δεύτερον ἀντιτίθεται. ὡς ἕν τι καὶ τὸ τῆς ἁφῆς ὑποκείμενον. εἰ δ' ὅτι μὴ δῆλον, εἰ ἕν, μηδ'
10 ὠνόμασται, τί δεῖ μᾶλλον περὶ ἁφῆς ταῦτα ζητεῖν ἢ περὶ ὀσφρήσεως; προσβιάσαιτο δ' ἄν τις κἀνταῦθα κοινόν πως τὸ ἀντιτυπὲς ὑποθέσθαι, μὴ τὸ ἀντιδιεσταλμένον τῷ μαλακῷ, ἀλλ' ἁπλῶς τὸ τῷ μαθηματικῷ ὡς φυσικόν. ὥσπερ ἐκεῖ τὸ δίοσμον. ἔτι εἰ, διότι τὸ γευστικὸν καὶ ἅπτεται, ἔστιν ἐγχωροῦν καὶ ἁφὰς εἶναι πλείονας, οὐκ ἐπὶ γλώσσης μόνον τοῦτο προσίσταται, ἀλλὰ καὶ
15 ἐπὶ τῶν ἄλλων. ὡς γὰρ αὕτη μετὰ τοῦ ἰδίου καὶ τῶν τῆς ἁφῆς συναισθάνεται, καὶ ὀφθαλμὸς ὁρᾷ καὶ θερμαίνεται ἢ ψύχεται, καὶ ἀκοὴ δὲ ὁμοίως καὶ ὄσφρησις· κοινὸν γάρ τι τοῖς αἰσθητηρίοις τὸ ἁπτικόν, ὡς τούτῳ τὸ αἰσθητικὸν ἅπαν σῶμα συνέστηκε. καὶ τὸ μὲν πρῶτον τῶν ἠπορημένων οὕτως εὐθύνθη τοῖς λόγοις. πότερον δὲ ἡ σὰρξ αἰσθητήριον ἢ δι' οὗ; τοῦτο γὰρ
20 ζητηθῆναι προβέβληται δεύτερον. πῶς μὲν οὖν θεωροῦσι τοῦτο ἐσεῖται πρῶτον, πῶς δ' οὔ. εἰ μὴ γὰρ ἡ σὰρξ πρῶτον αἰσθητήριον, † ἥττονος ἔδει ἢ ἀχρόνως τὴν ἅψιν γίνεσθαι. οὐ γὰρ ἐπ' ἀκοῆς οὕτως· οὐ γὰρ ἅμα τῷ πληγῆναι τὰ νέφη τὸν ψόφον ἠκούσαμεν, ἀλλ' ἦν τις μεταξὺ καὶ χρόνος καὶ κίνησις, ὅσον ἡ βροντὴ τῆς ἀστραπῆς καθυστέρησεν· ἅμα γὰρ τὸ πληξαν πνεῦμα τῇ τε
25 ῥήξει τὸν ἦχον καὶ τῇ πυρώσει τὴν λάμψιν ἐποίησεν. ὅρασις δὲ ἀκοῆς καὶ ψόφου φῶς ταχινώτερα. τί δ' ἄν τις καὶ ἄλλο εἴποι ταύτην παρείς; οὐ γὰρ ἕτερον ὁρῶμεν ἔξω σαρκός. ἔτι δ ἄν τις καὶ ἐπ' ἄλλων ἴδοι παρατηρήσας καὶ κοινὸν ταῖς αἰσθήσεσι. τὸ μὴ ποιεῖσθαι ἄμεσον τὴν ἐνέργειαν. τοῦτο καὶ ἐπὶ τῆς σαρκὸς ὄψεται· οὐ γὰρ ἄμεσος ταύτῃ τῶν ἁπτῶν ἡ θίξις. ἀλλ' ἔστι
30 τὸ μεταξὺ ἢ ὕδωρ ἢ ἀήρ. ὡς γάρ, εἰ βάψαις ἐν ὕδατι ἢ ἐν ἐλαίῳ τὸν δάκτυλον, εἶτα τοῦ λίθου ἅπτῃ, ἐστί τι μεταξὺ αὐτὸ δὴ τὸ ὑγρόν, οὕτω τοι καὶ ἐπὶ τῶν ἐν ἀέρι ἁπτομένων πάντων ἀὴρ ἐν μέσῳ δι' ὅλου συνείληπται. καὶ ὕδωρ τοῖς ἁπτομένοις ἐν ὕδατι, εἰ καὶ λανθάνει τὴν αἴσθησιν τῇ βραχύτητι. τοῦτο δὲ καὶ τοῖς πάλαι ἠπόρηται, ὅπως ἅψις γίνεται, καὶ εἰ διεροῦ
35 διερόν ἐστι κυρίως ἁπτόμενον· εἰ γὰρ ἅπαν σῶμα βάθος ἔχει, τοῦτο δ' ἐστὶ τὸ τρίτον μέγεθος. ὧν δ' ἐστὶ δύο σωμάτων μεταξὺ σῶμα, ταῦτ' ἀδύνατον ἀλλήλων ἅπτεσθαι. τὸ δὲ ὑγρὸν ἄνευ σώματος οὐκ ἔστιν οὐδὲ τὸ διερόν. ἀλλ' ἀναγκαῖον ἢ ὕδωρ εἶναι ἢ ὕδωρ ἔχειν, οὐκ ἂν εἴη διεροῦ διερὸν κυρίως ἁπτό-

---

2 φαιδρὸν B 4 ἁφῆς] αὐτῆς B 7 γὰρ om. B 8 δεῖ om. A
10 δεῖ] δὴ A 12 φυσικός B 14 post γλώσσης add. τοῦτο B 19 τοῖς λόγοις εὐθύνθη AC 21 fort. ἡττόνως ἔδει καὶ μὴ ἀχρόνως 26 ταχεινότερα B 30 βάψαις] fort. βάψας 31 ἁπτὴ C 33 λανθάνοι A
34 ὅπως] ὅπερ C 37 τὸ δὲ] ὅτι δὲ C

μενον. ὡς δὲ καὶ τὰ ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι μὴ ξηρῶν τῶν ἄκρων ὄντων ἀναγκαῖον ὕδωρ ἔχειν μεταξύ, οὐ ἀνάπλεα τὰ ἔσχατα. εἰ δὲ τοῦτο, ἀδύνατον ἄλλο ἄλλου ἐν ὕδατι ἅψασθαι. τὸν αὐτὸν τρόπον καὶ ἐν ἀέρι. ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ ὥσπερ τὸ ὕδωρ πρὸς τὰ ἐν αὐτῷ τῷ ὕδατι.
5 λανθάνει δὲ ἡμᾶς ἥ τε ἅψις τῶν ἐν τῷ ὕδατι ζώων καὶ δοκεῖ ἄμεσος καὶ μᾶλλον ἡ τῶν ἐν ἀέρι διὰ τὴν τοῦ μέσου βραχύτητα καὶ λεπτότητα. καὶ τοῦ σκληροῦ οὖν καὶ τοῦ μαλακοῦ δι' ἑτέρου ἂν αἰσθανοίμεθα, ὥσπερ δήπου καὶ τοῦ ὁρατοῦ καὶ τοῦ ψόφον ἔχοντος· ἀλλ' ὅτι τὰ μὲν πόρρωθεν ἐναργές, τὰ δὲ διὰ τὸ λίαν ἐγγὺς λανθάνει. καὶ ὥσπερ καὶ δι' ὑμένος περιπεφυκότος τῇ
10 σαρκὶ ἁπάντων ἂν αἰσθανοίμεθα τῶν ἁπτῶν, καὶ εἰ τὸ διεῖργον ἐλάνθανεν, οὕτως ἔχει ἐπὶ τῆς γεύσεως καὶ ἁφῆς ἐν ἀέρι καὶ ὕδατι· δοκοῦμεν γὰρ αὐτῶν θιγγάνειν καὶ μηδὲν εἶναι μέσον διὰ τὸ πολὺ τῆς ἐγγύτητος. πλὴν διαφέρει τοῖς μέσοις τὰ ἁπτὰ τῶν ὁρατῶν καὶ ψοφητικῶν. ὅτιπερ ἐκείνων ᾐσθανόμεθα τῷ τὸ μεταξὺ πάσχειν τι, εἶτα ποιεῖν εἰς ἡμᾶς, τῶν μέντοι ἁπτῶν καὶ γευστῶν
15 οὐχ ὑπὸ τοῦ μεταξὺ πάσχοντος ἢ ποιοῦντος ἀντιλαμβάνομεν, ἀλλ' ἅμα σὺν τῷ μεταξύ, ὥσπερ οἱ διὰ τῆς ἀσπίδος πληγέντες· οὐ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν, ἀλλ' ἅμα ἀμφοῖν συνέβη παθεῖν. ἧττον δὲ καὶ οὗτοι τῶν λόγων ἀκίνητοι· εἰ γὰρ διὰ τοῦτο ἡ σὰρξ αἰσθητήριον, διὰ τὴν ἄχρονον αἴσθησιν, τί μᾶλλον ἐπὶ ἁφῆς τοῦτο δεῖ λέγειν ἢ ἐπὶ ὄψεως; ἀμφοῖν γὰρ ἡ αἴσθησις
20 ἄχρονος, ὥσπερ δήπου καὶ ἐπὶ πάσης ἡ γένεσις. οὐ γάρ ἐστιν αἰσθήσεως γένεσις· οὐ γὰρ κατὰ μικρὸν καὶ ἐν παρατάσει τὸ τέλειον, ἀλλ' ἅμα τε ᾔσθετο καὶ αἰσθάνεται καὶ ὁρᾷ καὶ ἑώρακε, καὶ ὁ μὲν χρόνος παρατείνας ἠλλοίωται, αἴσθησις δὲ ἡ αὐτὴ τῇ φύσει τῇ προτέρᾳ ἡ δευτέρα· ἐν μέντοι τῇ γενέσει οὐ ταὐτὸν οὐσίᾳ τοῖς ὑστέροις τὰ ἐν ἀρχῇ. καὶ πρὸς τούτοις εἴ τις ὑμένα
25 προσφύσει περὶ τὸν δάκτυλον, οὐδὲν ἧττον ἅμα τῇ θίξει τῶν ὑποκειμένων αἰσθήσεται. καὶ οὐ δήπου κἂν τῷ ὑμένι τὸ αἰσθητήριον. οὕτως οὐδ' ἂν εἴη διὰ ταῦτα τὸ πρῶτον τῆς ἁφῆς ἡ σὰρξ αἰσθητήριον, ἀλλὰ τὸ δι' οὗ. ὃ γὰρ προσφυὲν ποιεῖ τὸ ἀλλότριον, μᾶλλον ἂν τὸ οἰκεῖον καὶ συμφυές. οὐδὲν γὰρ τὸ κωλῦον ἐντὸς μὲν εἶναι τὸ αἰσθητήριον, εἴτε καρδία τοῦτό ἐστιν, εἴτε καὶ
30 ἕτερον, τὴν σάρκα δὲ εἶναι μεταξὺ περικειμένην καὶ συμφυῆ. εἰ γὰρ ἐκεῖ περὶ τὴν σάρκα παρατεινόμενος ὁ ὑμὴν εὐθὺς παρεῖχε τὸ ἅπτεσθαι, πόσῳ μᾶλλον θᾶττον διικνοῖτο ἂν ἡ αἴσθησις, εἰ συγγενὲς ὑποτεθείη τὸ μεταξύ. ἔτι οὐ πάνυ τοι ἀληθὲς καὶ τὸ τὰ ἁπτόμενα πάντα λέγειν διὰ μέσου τινὸς ἅπτεσθαι· ἐπ' ἄπειρον γὰρ οὗτος ὁ λόγος βαδιεῖται. εἰ γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ
35 ἁπτά (αἰσθανόμεθα γοῦν αὐτῶν ὡς θερμῶν καὶ ψυχρῶν), πότερον ἁπτομένων τούτων ἡμῶν ἐστί τι μεταξὺ ἢ οὔ; εἰ μὲν μὴ ἔστιν, ἔχομεν εὐθὺς ὃ ζητοῦμεν· εἰ δὲ ἔστιν, ἡμεῖς καὶ περὶ ἐκείνου ταῦτα εἴποιμεν. καὶ περὶ τοῦ μετ' αὐτὸ καὶ ἔτι· καὶ οὐχ ἅψεταί τί τινος, πρὶν ἡμεῖς στῶμεν ἀπείρως τὸν λόγον

---

3 τὸν δὲ αὐτὸν AC 4 ὕδωρ πρὸς τὴν A 11 ἐπί τε τῆς A 20 ἐπὶ πάσαις A: ἐπίτασις B 27 ἡ γὰρ σὰρξ BC 30 εἶναι τὸ μεταξὺ A 31 ὁ ὑμὴν] ὑμῖν A πόσον C 32 διϊκνεῖτο B 33 τοι] τι AC 34 γὰρ καὶ ὁ ἀὴρ AC: fort. recte 37 τὰ αὐτὰ AC 38 τι om. C

διεξοδεύσαντες. θαυμαστὸν δὲ καὶ τὸ οἴεσθαι κινεῖν τῇ χειρὶ τὸν λίθον τῇ ἐπιπολαζούσῃ ὑγρότητι, ὅταν ἱδρῶμεν ἢ ὕδατι νίζωμεν, τῷ οὕτω φαύλῳ καὶ μαλακῷ τόσον ὄγκον μετὰ βαρύτητος καὶ στερρότητος. καὶ πρὸς τούτοις τῷ κυρίως αἰσθητηρίῳ τὸ αἰσθητὸν ἐν χρῷ ἐπιθέμενον κατέχει ἀναίσθητον. καίπερ τοσούτου ἐναπειλημμένου ἀέρος τῷ μεταξύ, ὅσος κἂν τῇ ἁφῇ. εἰ γάρ τις τὸ λευκὸν θείη ἐπὶ τοῦ ὄμματος ἔσχατον ἢ τὸ ψοφοῦν ἐπ' αὐτὴν τὴν ἀκοήν, οὐκ αἰσθήσεται. λείπεται οὖν ἐντὸς εἶναι τὸ αἰσθητήριον, ᾧ ἂν προσθησόμενα οὐκ αἰσθήσεται, ταῦτα δέ, γλῶσσα καὶ σάρξ, εἶναι δι' ὧν, ὥσπερ ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ τὴν ὄσφρησιν. ἀλλ' οὗτοι μὲν οἱ λόγοι ἰδιαζόντως ἑκατέρῳ τῶν προβλημάτων ἐπήχθησαν· οἱ δὲ κοινοὶ καὶ διάλληλον δεῖξιν ἔχοντες καὶ παρὰ μέρος τὰ ζητούμενα ὡς ὁμολογούμενα προσλαμβάνοντες, ἔτι δὲ ὡς τοῖς πρώτοις ἐπιχειροῦντες ἀμφότερα οὗτοι. εἰ τῆς μιᾶς αἰσθήσεως ἓν καὶ τὸ αἰσθητήριον. ἓν δὲ ἁφῆς αἰσθητήριον (ἓν γὰρ ἡ σάρξ), μία ἄρα καὶ ἡ ἁπτικὴ αἴσθησις. τούτου δὲ ἔνστασις πρῶτον μὲν ὅτι οὐ καλῶς λαμβάνει. ὃ γὰρ ἀποδειχθῆναι ἔδει προσείληπται ὡς ὁμολογούμενον. ἀδήλου γάρ. εἰ ἡ σὰρξ αἰσθητήριον, αὐτόθεν ἠξίωται. εἶτα πῶς ἕν; εἰ μὲν τῇ συνεχείᾳ, οὐδὲν κωλύει πολλὰ εἶναι· τῇ δυνάμει καὶ διάφορα αἰσθητήρια παρ' ἑαυτῇ κατέχειν τῶν διαφόρων αἰσθήσεων· εἰ δὲ καὶ τῇ δυνάμει, τίς ἡ ἀνάγκη; ἡ γὰρ αὐτὴ σὰρξ καὶ λευκὴ καὶ μαλακή, καὶ θερμὴ καὶ ὑγρά· καὶ οὐ δήπου ταῦτα πάντα ἕν. εἰ δὲ μὴ δῆλα μηδὲ τόπῳ χωρίζεται, οὐδὲν πρᾶγμα. ὡς γὰρ ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ, ἑνὶ ἂν ἐδοκοῦμεν αἰσθάνεσθαι ὀσμῆς καὶ ψόφου καὶ χρώματος, καὶ μίαν τινὰ αἴσθησιν εἶναι ὄψιν τε καὶ ἀκοὴν καὶ ὄσφρησιν, νυνὶ δὲ τῷ κεχωρισμένον εἶναι, δι' οὗ αἱ κινήσεις γίνονται, ἡ τῶν αἰσθητηρίων ἑτερότης γινώσκεται. οὕτω καὶ ἐπὶ σαρκὸς ἔχει καὶ τῆς ἁπτικῆς αἰσθήσεως. τῷ γὰρ κύκλῳ εἶναι καὶ συμφυὲς τὸ τῶν διαφόρων ἁφῶν αἰσθητήριον ἡ σὰρξ τὸ πλείους εἶναι τὰς ἁπτικὰς αἰσθήσεις ἄδηλον τίθεται. ὃ δὲ αἴτιον τοῦ δι' ὧν μὲν αἱ ἄλλαι χωριστὰ εἶναι, προσπεφυκὸς δὲ δι' οὗ ἡ ἁφή· ἐπεὶ γὰρ ἀδύνατον ἐξ ἑνὸς τῶν ἁπλῶν ἀέρος ἢ ὕδατος ἢ πυρὸς συστῆναι τὸ ἔμψυχον σῶμα (δεῖ γὰρ στερεὸν εἶναι τὸ διατρῖψον ἐν γῇ), λείπεται ἐκ γῆς καὶ τῶν τοιούτων εἶναι μικτόν, οἷον βούλεται εἶναι ἡ σὰρξ ἢ τὸ ἀνάλογον, ἐφ' οἷς μὴ ἔχει σάρκα τῶν ζώων. συντέθειται μὲν οὖν ἐκ πάντων, εἰδοποιεῖται δὲ κατὰ τὴν τοῦ ἑνὸς ἐπικράτειαν· στερεὸν γὰρ καὶ ἀντιτυπές, ὅτι μᾶλλον γῆινον. ὥστ' ἀνάγκη τὸ σῶμα μεταξὺ εἶναι τοῦ ἁπτικοῦ προσπεφυκός, δι' οὗ πλείους οὖσαι αἱ τῆς ἁφῆς αἰσθήσεις γενήσονται. ὅτι δὲ οὐδὲ ταῦτα κινεῖν ἀδύνατον, δηλώσει τὰ παρὰ πόδας. εἰ μὲν γὰρ πολλὰ τὰ αἰσθητήρια μιᾶς οὔσης τῆς σαρκὸς ζητοῦμεν, τίς αὐτοῖς ἡ διάκρισις καὶ πόθεν οὗτοι κατέλαβον; εἰ δ' ἄδηλα τῷ δι'

3 ὄγγον A στερότητος C τῷ μὲν κυρίως A 5 τῷ] τὸ A^1: ἐν τῷ A^2 ὅσης B 6 ἐπὶ τὸ τοῦ A 7 ante εἶναι add. μὲν A 11 ἔχοντες scripsi: ἔχουσι libri 18 καὶ om. C 20 πάντα ταῦτα A 27 χωρισταὶ AB 29 ἢ (ante ὕδατος) om. A 31 ἢ] καὶ A ἔχη AC 32 δὲ om. A^1 36 αἰσθητήρια] ἁφῆς αἰσθητικὰ C post σαρκὸς add. αἰσθητηρίου C

ἀλλήλων ἥκειν καὶ πάντα πάντων ἀντιλαμβάνεσθαι. κατ' αὐτὸ μάταιον· τί γὰρ ἔδει πολλῶν, ἀρκούντος ἑνός, εἴπερ ἡ φύσις τῆς χρείας καὶ φεύγει τὸ περιττόν: ἑνὶ γὰρ μᾶλλον ὀργάνῳ ἐνεργείαις πλείοσι προσχρήσαιτο ἢ πολλοῖς πρὸς μίαν. τὰ αὐτὰ δήπου καὶ ἐπὶ τῶν ἁφῶν, εἰ πλείους. εἰ μὲν γὰρ ἑκάστη αἴσθεται τὰ πασῶν, ἀπόχρη μία· εἰ δὲ ἄλλη ἄλλων, καὶ διάφορον ἴσχουσι τὴν ἐνέργειαν. τίς ἡ ἀπόδειξις: γελοῖος δὲ καὶ ὁ συμφυὴς ἀὴρ εἰς ὑπόδειγμα· οὐ γὰρ ὥσπερ ἡ σὰρξ καὶ δι' ὅλου τοῦ αὐτοῦ καὶ κατὰ τὸ αὐτὸ τῶν ὅλων ἐφήπτετο, κἀκεῖνος ἂν ἀπὸ παντὸς ἑαυτοῦ ἢ διὰ τοῦ αὐτοῦ πάσαις παρεῖχεν αἰσθάνεσθαι. ἀκοῇ λέγω καὶ ὄψει καὶ ὀσφρήσει. ἀλλ' ἡ κατ' εὐθὺ πρὸς ἕκαστον αἰσθητήριον προσβολὴ καὶ τότε τὴν κρίσιν ἐτίθετο, ὡς οὐδὲν μᾶλλον πρότερον ἢ ὕστερον διακεκριμένα τὰ αἰσθητήρια. ἀλλ' εἰ καθάπαξ τοῖς λόγοις λόγους εἰσφέρομεν καὶ τοῖς δευτέροις τοὺς πρώτους ἐκκρούομεν, λήσομεν ἑαυτοὺς εἰς οὐδὲν τὴν σχολὴν κατατρίβοντες· οὐ γὰρ ἔσται πέρας, παντὸς τοῦ προσληφθέντος ἐν τοῖς μέσοις τῶν πραγμάτων καὶ τὸν ἀντίθετον συνεισφέροντος. μήποτε δὲ καὶ μίαν καὶ πολλὰς δεῖ λέγειν τὴν ἁπτικὴν αἴσθησιν καὶ τὰς ἄλλας, καὶ τὴν σάρκα ἔστιν ὡς αἰσθητήριον ἔστιν ὡς μεταξὺ καὶ τἄλλα· ἐζήτηται δὲ οἰκείως ἐν τῇ ἁφῇ ὡς ἐκδηλοτέρᾳ πρὸς τοῦτο καὶ τῶν ἄλλων ὁλικωτέρᾳ. εἰ γὰρ ἡ ψυχὴ μᾶλλον ἓν οὖσα τὸν μερισμὸν οὐκ ἐκπέφευγε (πῶς γὰρ ἂν ἅμα, εἰ μὴ ἁπλοῦν καὶ ἀμέριστον, κατὰ τὸ αὐτὸ τὸν τοῦ λευκοῦ καὶ μέλανος ἐπεσκόπει λόγον;) καὶ τῷ τῷ ὄγκῳ συνεκτετάσθαι τοῦ σώματος μεμέρισταί πως, ὡς κἂν ὁ τοῦ σχήματος πάθοι λόγος ἑνοειδὴς ὢν δήπου καὶ καθόλου καὶ ἀδιάστατος, τοῖς δὲ καθ' ἕκαστα καὶ αἰσθητοῖς σώμασι μερίζεται διιστάμενος, οὕτω δ' ἂν καὶ τὰς τῆς ψυχῆς δυνάμεις ἔχειν οὐδὲν κωλύει τάς τε αἰσθητικὰς καὶ τὰς ζωτικὰς καὶ διαφερόντως τὴν ἁπτικήν. καὶ τί δεῖ τοῦτο ἐπὶ τῆς ἀλόγου διαπορεῖν, ὅπου γε ἡ λογικὴ ψυχὴ ὡς πρὸς ἑστῶτα τὸν νοῦν ἐξεταζομένη μερίζεται καὶ πρός τι χρονικὴν ὑπομένει τὴν κίνησιν; καὶ περὶ μὲν ἁφῆς τοσαῦτα.

Ἁπτὰ δέ εἰσιν αἱ διαφοραὶ τοῦ σώματος ᾗ σῶμα, αὗται δὲ αἷς τὰ στοιχεῖα εἰδοποιεῖται καὶ διορίζεται, αἱ δύο μόναι συζυγίαι τῶν ἁπτῶν ἀντιθέσεων, θερμὸν ψυχρόν, ὑγρὸν ξηρόν, περὶ ὧν καὶ πρότερον εἴρηται ἐν τοῖς περὶ στοιχείων. ὡς ἐπὶ παντὸς ἥκουσαι σώματος καὶ δρῶσαι πρὸς ἀλλήλας καὶ πάσχουσαι καὶ κατ' αὐτὰς τὰ στοιχεῖα· ὅθεν φθορᾶς ἁπάσης καὶ γενέσεως αἴτια. εἰσὶ μὲν γὰρ καὶ αἱ τῶν χρωμάτων καὶ τῶν ψόφων διαφοραί, ἔτι δὲ καὶ τῶν ἄλλων αἰσθήσεων ἐν τοῖς σώμασιν, ἀλλ' οὐ, καθὸ σῶμα, χρῶμα ἔχει (οὐ γὰρ ἅπαν), ἀλλ' ἢ ὁρατόν, καὶ γευστὸν καὶ ἀκουστὸν καὶ ὀσφραντὸν ὁμοίως· καὶ οὔτε τι πρὸς ἀλλήλας ἢ δρῶσιν ἢ πάσχουσιν οὐθ' ὑπ' αὐτῶν τὸ σῶμα, ἀλλ' αἱ τῆς ἁφῆς μόνης, καὶ πρὸς αὐτὰς ἰδίως καὶ πρὸς τὴν σάρκα κοινῶς. καὶ τούτων

2 ἀρκούντως A¹ 3 ἐνεργειῶν πλειόνων A 5 ἔχουσι A 7 οὐ γὰρ ὥσπερ] ὡς γὰρ BC 8 ἂν om. A 8. 9 πάσας—ἀκοῇ—ὄψει—ὄσφρησιν A¹ 15 τὰς ἁπτικὰς αἰσθήσεις B² 17 ἐζήτηται scripsi: ἐξήτηται libri 17. 18 ἐκδηλοτέρᾳ—ὁλικωτέρᾳ scripsi: ἐκδηλοτέρας—ὁλικωτέρας libri 19 καὶ κατὰ A . λευκοῦ] ἁπλοῦ BC 20 ἐπεσκόπουν B τῷ τῷ] τοῦ τῷ C: τῷ A¹ 22 αἰσθητοῖς—(24) τάς τε om. C 28 ᾗ] ἢ B οἷς B 30 ἐν τοῖς περὶ στοιχείων] de Gener. et Corr. B, 2. 3. 36 ἢ (ante ὁρῶσιν) om. A 37 αὐτὰς scripsi: αὐτὰς libri

οὐχ ὁμοίως πᾶσαι· οὔτε γὰρ τὸ ἁπτικὸν αἰσθητήριον ὑπὸ πάσης ἁπλοϊκῆς ὁμοίως ποιοῦται αἰσθήσεως, οὔτε ἴσην τὴν ἐπ' ἀλλήλαις δρᾶσιν ἢ πεῖσιν ἔχουσιν. οὐκοῦν ὑπὸ βαρύτητος ἢ κουφότητος, οὐδὲ λεαίνεται ἢ τραχύνεται τοιούτοις ὁμιλοῦσα ἡ σάρξ, ἀλλ' ἢ γνωστικῶς αὐτῶν μόνα τὰ εἴδη δέχεται· θερμοῦ δὲ προσβαλόντος ἢ ὑγροῦ ἢ ψυχροῦ καὶ ξηροῦ ἅμα τε ἔπαθεν ὁλικῶς διατεθεῖσα, θερμανθεῖσα καὶ ψυχρανθεῖσα, καὶ τὸ εἶδος ἐγνώρισε· καὶ τὸ μὲν ὡς φυσικὸν σῶμα τοῖς ἐξ ὧν συνέστηκε συμπαθές, τὸ δὲ ὡς αἴσθησις κριτική. τί δὲ καὶ κουφότης πάθοι ὑπὸ βαρύτητος; οὐδενὸς γὰρ μεταδοίη τοῖς παρακειμένοις ἑκάτερον. κατὰ ταῦτα καὶ αἱ λοιπαί. φανερὸν οὖν ὡς μόνα τῶν ἁπτῶν θερμὸν καὶ ξηρὸν καὶ τὰ ἀντικείμενα τῶν τε στοιχείων ὁριστικὰ καὶ τῷ δρᾶν καὶ πάσχειν τἄλλα πάντα καὶ γεννῶσι καὶ φθείρουσι· τῶν δ' ὑπολοίπων ἐξ συζυγιῶν τῶν ἁπτῶν αἱ μὲν ὡς μηδὲν ποιοῦσαι πρὸς ἀλλήλας ἢ πάσχουσαι οὐδὲν πρὸς γένεσιν ἢ φθορὰν συνεισφέρουσιν, αἱ δὲ ταῖς εἰρημέναις συγκλείονται. αὗται δὲ κουφότης καὶ βαρύτης, λειότης καὶ τραχύτης, λεπτότης καὶ παχύτης, πυκνότης καὶ μανότης, σκληρότης ⟨καὶ⟩ μαλακότης, γλισχρότης καὶ κραυρότης. ἔστι δὲ ὑγρὸν μὲν τὸ τῷ οἰκείῳ ὅρῳ δυσόριστον, τῷ δὲ ἀλλοτρίῳ εὐόριστον· ξηρὸν δὲ τὸ ἔμπαλιν· καὶ θερμὸν μὲν τὸ τὰ ὁμογενῆ καὶ ἑτερογενῆ διακρῖνον, ψυχρὸν δὲ τὸ συγκρῖνον ἀμφότερα· καὶ λεῖον μὲν καὶ μαλακὸν τὸ μὲν οὗπερ ἐξ ἴσου τὰ τῆς ἐπιφανείας συνάπτονται μόρια, τὸ δὲ ὃ εὐένδοτον δι' ὑγρότητα· γλίσχρον δὲ καὶ λεπτὸν καὶ πυκνὸν τὸ μὲν ὃ μετὰ πάθους ἔχει ὑγρότητα, τὸ δὲ ὃ τῶν πόρων ἀναπληστικὸν διὰ τὴν τῶν μερῶν σμικρότητα καὶ διαίρεσιν, τὸ δὲ οὗ τὰ μόρια σύνεγγυς· τοῖς δὲ ἐναντίοις τὰ ἐναντία. καὶ γλίσχρον μὲν καὶ μαλακὸν τῷ ὑγρῷ συνυπάγονται, ξηρῷ δὲ τὰ ἀντικείμενα. βαρὺ δὲ καὶ κοῦφον τὸ μὲν ἐπὶ τὸ μέσον φέρεται, τὸ δὲ ἀπὸ τοῦ μέσου. ταῦτα δὲ καὶ τῶν ἄλλων κοινότατα· ἅπαν γὰρ σῶμα βαρὺ ἢ κοῦφον. μήποτε δὲ μόνῃ τῇ τοῦ μέσου πρὸς τὸ πέριξ σχέσει καὶ τῇ παρὰ τόπον θέσει τὸ βαρὺ καὶ τὸ κοῦφον γνωρίζεται. ἡ γὰρ πρὸς τὸ κάτω καὶ τὸ ἄνω καὶ ἡ ἐκ τῶν οἰκείων πρὸς τοὺς ἀλλοτρίους τόπους τῶν σωμάτων μετάβασις τὸ βαρὺ καὶ τὸ κοῦφον ἐγγέννησε· τὸ γὰρ ἐν τοῖς οἰκείοις μένον καὶ μὴ κινούμενον οὔτε κοῦφον οὔτε βαρύ ἐστιν. ἁπτὰ μὲν οὖν ταῦτα· τὸ δὲ αἰσθητήριον αὐτῶν τὸ ἁπτικόν, ἐν ᾧ ἡ καλουμένη ἁφὴ ὑπάρχει πρώτως, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον. τὸ γοῦν ποιοῦν ἐνεργείᾳ αὐτὸ αἰσθητικὸν δυνάμει ὂν τὸ αἰσθητόν ἐστι. πάσχει δὲ οὐδὲν ὑπὸ τοῦ πάντῃ ὁμοίου· τὸ δὲ ἅπτεσθαι καὶ αἰσθάνεσθαι πάσχειν τί ἐστιν. οὐκ ἔσται ἄρα τῶν ὁμοίων ἁφή. διὸ τοῦ ὁμοίως θερμοῦ ἢ ψυχροῦ ἢ σκληροῦ ἢ μαλακοῦ οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν ἢ τῶν ἐνδειῶν· ὀγιαίνοντες γὰρ καὶ τοῦ περιέχοντος μήτε καύμασιν ἰσχυροῖς μήτε κρυμοῖς ὑπερβάλλοντος καὶ ἐν ἰσότητι τῆς ἐκτὸς οὔσης τῇ ἐν σώματι κράσει οὔτ' οἰκείας οὔτ' ἀλλοτρίας ψυχρότητος ἢ θερμότητος αἰσθοίμεθ' ἄν. εἰ δ' ἢ τῶν ἐν σώματι στοιχείων ἑτέρου ἕτερον ὑπερβάλοι ἢ ὁ ἀὴρ ἀνω-

1 ἁπλοϊκῆς] ἁπτικῆς A 2 ποιοῦται] πορεύεται BC ἀλλήλαις BC 3 λεαίνεται AC 12 ἁπτῶν scripsi: ἁπτικῶν libri 15 καὶ (ante μαλακότης) addidi 18 διακρίνειν B 26 τῇ (post μόνῃ) om. B 27 κατὰ B 29 ἐγέννησαν A 31 καὶ ἐν ᾧ AC, de An. 423ᵇ30 37 κρυμοῖς B 38 κράσεως A αἰσθοίμεθ' ἄν] αἰσθησόμεθα A¹

μάλως πρὸς τὸ σῶμα ἕξει, αἰσθοίμεθ' ἄν· πυρέττοντες γὰρ ἡμᾶς αὐτοὺς θερμοτέρους συνέγνωμεν, ὡς ἑνὸς τῶν χυμῶν προελθόντος θερμότητι, κἀν τοῖς ἀλεεινοτέροις δὲ ἢ κρυμωδεστέροις γεγονότες τόποις ἢ καταστάσεσιν, ὅπως ὁ ἀὴρ ἔχει, διέγνωμεν καὶ ἐπὶ τῶν ἄλλων οὕτως, ὡς ἂν τοῦ αἰσθητηρίου διὰ τὴν αἴσθησιν οἷον μεσότητός τινος ὄντος τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως καὶ διὰ τοῦτο κρίνοντος τὰ αἰσθητὰ εἰς ἑκάτερον κλίναντα. τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων, θερμὸν πρὸς τὸ ὑπερβάλλον ψυχρότητι, ψυχρὸν δ' αὖ πρὸς τὸ πλεονάσαν θερμότητι. οὐχ ὁμοίως δὲ τὸ μέσον ἐπὶ τῆς ἁφῆς καὶ τῶν ἄλλων αἰσθήσεων. αἱ μὲν γὰρ οὐκ ἐξ ὧν ἄκρων αἰσθάνονται κέκρανται· οὐδὲ γὰρ ὄψις ἐκ λευκοῦ καὶ μέλανος, οὐδ' ἐξ ὀξέος καὶ βαρέος ἡ ἀκοή· μῖξις δὲ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων ἡ ἁπτική, ἣν ἄν τις καὶ κυρίως προσείποι μεσότητα. ὥσπερ δὲ τοῦ τε ὁρατοῦ καὶ ἀοράτου ἦν πως τὸ κρῖνον ἡ ὄψις, ὁμοίως δὲ καὶ αἱ ἄλλαι τῶν ἀντικειμένων, οὕτω καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ καὶ ἀνάπτου· ἄναπτον δὲ τό τε μικρὰν ἔχον πάμπαν διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ εὔκρατος ἀήρ, καὶ αἱ ὑπερβολαὶ τῶν ἁπτῶν· ἄναπτοι γὰρ ὥσπερ τὰ φθαρτικά. φανερὸν οὖν ὡς διττῶς μεσότης ἅπασα αἴσθησις· τὸ μὲν ὅταν ἕξις ἄμφω τὰ ἀντικείμενα ἔχουσα, τὸ δὲ ὅταν ἕξιν καὶ στέρησιν. καθ' ἑκάστην μὲν οὖν αἴσθησιν εἴρηται ὡς τύπῳ εἰπεῖν.

II 12 Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης, οἷον ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον· λαμβάνει γὰρ τὸ χαλκοῦν ἢ χρυσοῦν σημεῖον, ἀλλ' οὐχ ᾗ χαλκὸς ἢ χρυσός. ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστη, οἷον ὑπὸ τοῦ ἔχοντος χρῶμα ἡ ὄψις, ἢ χυμὸν ἢ ψόφον ἡ γεῦσις καὶ ἀκοὴ ⟨πάσχει⟩, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται ἀλλ' ᾗ τοιονδί, κατὰ λόγον. εἰ γὰρ καθὸ χρυσῆ ἡ σφραγὶς ἢ σιδηρᾶ ὡμοίωται τῷ κηρῷ, γένεσις ἂν τοῦτο ἐλέγετο καὶ φθορά, γένεσις μὲν χρυσοῦ καὶ σιδήρου, φθορὰ δὲ κηροῦ. οὐκοῦν ὡς λευκῆς γινομένης τῆς αἰσθήσεως ἢ γλυκείας ἢ εὐώδους ἢ δυσώδους, ὅταν τοιούτων αἰσθάνηται, ἡ ἀντίληψις γίνεται, ἀλλ' ὡς ἀύλως καὶ γνωστικῶς καθαρῶς τοὺς λόγους αὐτῶν ἀποματτομένης, καὶ τοῦτ' ἂν διαφέροι τῶν ἄλλων τὰ κατ' αἴσθησιν ὑπὸ τῶν αἰσθητῶν πάσχοντα· τῶν γὰρ ἁπλῶς ὑπ' αὐτῶν πασχόντων, ὡς ὑπὸ σωμάτων σώματα, καθάπερ ἀὴρ καὶ ξύλα ὑπὸ πυρός, τῷ τοῖς μὲν κατὰ τὸ εἶδος μόνον τὴν μετάληψιν καὶ τὴν πάθησιν γίνεσθαι, τοῖς δὲ καὶ [τὸ] τὴν ὕλην προσπάσχειν (πάσχει γὰρ καὶ κατ' οὐσίαν ὑπὸ τοῦ πυρὸς τὸ ξύλον)· τῶν δ' αὖ δεχομένων τὰ εἴδη ἀπαθῶν δὲ τὴν ὕλην οἷον ἐνόπτρων καὶ ἐκμαγείων τῷ τὰ μὲν ζωτικὴν ποιεῖσθαι τοῦ εἴδους τὴν μέθεξιν καὶ συγγινώσκειν τὸ πάθημα καὶ εἰδέναι τὸ πάθημα ὅ τι, τὰ δὲ οὔ. ἐπεὶ γὰρ τὸ

1 ἕξοι AC ἡμᾶς om. A: ἡμεῖς C αὐτοὺς] ἑαυτοὺς A 3 κρυμμοδεστέροις B
4 ἔχη A: ἔχοι C 6 κλίναντος C 7 post θερμὸν add. μὲν A 12 προσείπη C
15 πάμπαν ἔχον A 17 ἕξις] ἕξεις AC 25 πάσχει addidi ἢ τοιονδί A
καὶ κατὰ A 28 καὶ δυσώδους AC 29 καθαροὺς A 30 διαφέροι scripsi:
διαφέρη BC: διαφέρει A 31 τῶν μὲν γὰρ A 34 τὸ delevi: τὸ καὶ AC
35 post δεχομένων add. μὲν AC 37 τὸ πάθημα (post εἰδέναι) del. A

αἰσθητὸν σῶμα, τοῦτο δ' ἐξ ὕλης καὶ εἴδους, εἰ μὲν κατ' ἄμφω δρᾷ, καὶ κατ' ἄμφω πάσχει τὸ πάσχον, οὐκ ἔστι τοῦτο αἰσθάνεσθαι, ἀλλὰ πάθος ἁπλῶς ἐν σώματι ὑπὸ σώματος, κἂν ἐν ἐμψύχοις ἢ ἀψύχοις· εἰ δὲ καθ' ἓν τὸ εἶδος, εἰ μὲν ζωτικῶς τὸ μεταλαβὸν καὶ κατὰ κρίσιν μετέσχηκεν, αἰσθη-
5 τικὸν καλεῖται καὶ αἴσθησις, εἰ δὲ μόνον ἄζων καὶ κρίσεως ἄνευ ἐδέξατο τὴν τοῦ εἴδους ἐμφέρειαν, κάτοπτρον καὶ ἀνάκλασις. τεκμηριοῖ δὲ τὸ λεγόμενον τὰ γινόμενα· τὰ γὰρ εὐώδη ἢ δυσώδη οὐ τῷ εἴδει μόνῳ δρῶσι τὸν ἀέρα καὶ τὰ ἱμάτια, ὡς ἂν εἰ καὶ τὴν ὄσφρησιν. ἀλλὰ καὶ τῷ σώματι· οὐχ ἑτέρῳ γὰρ ἡ ὀσμὴ παραμόνιμος ἢ τῷ προσμεμῖχθαι καὶ οὐσίᾳ τινί. κατὰ ταῦτα καὶ
10 τὰ χρωννύμενα τῶν ἱματίων πάσχει, καὶ οἱ χυμοὶ δὲ ὑλικώτεροι ἄλλοι ἄλλως τὸ σῶμα διατιθέασιν· οὐ γὰρ κατ' αὐτὸ ⟨τὸ εἶδος⟩ τὰ γλυκέα τῶν ὑδάτων καὶ ἁλμυρὰ τοῖς σώμασι προσφερόμενα δράσουσιν. ὃ δὲ προσίσταται ἐπὶ τῆς ἁφῆς, ὅτι θερμοὶ καὶ ψυχροὶ γινόμεθα τοιούτων αἰσθανόμενοι καὶ ξηροὶ καὶ ὑγροί, οὐ καθ' ἓν ἄμφω. ἀλλ' ἡ μὲν αἴσθησις γνωστικῶς καὶ ὑπὸ μόνου ἐπεπόνθει τοῦ
15 εἴδους· ἡ μέντοι σὰρξ οὖσα τὸ αἰσθητήριον ὑπὸ τοῦ συναμφοτέρου πάσχει τῷ φθάνειν ἅπαν σῶμα ὑπὸ τῶν εἰρημένων ἁπτῶν ποιοτήτων συντεθεῖσθαι καὶ διὰ ταῦτα πάσχειν. καὶ οὐ θαυμαστόν γε ἄλλως μέν γε ὑπὸ τῶν αἰσθητῶν τὴν αἴσθησιν διατίθεσθαι ἄλλως δὲ ὡς σῶμα τὸ αἰσθητήριον· ἄλλο γὰρ τὸ χρώμασιν ἢ θερμοῖς ἢ χυμοῖς εἶναι, καὶ ἄλλο τὸ αἰσθητοῖς. ὅθεν ἀναιρεῖται
20 μὲν αἰσθητὸν ἀναιρουμένης αἰσθήσεως, χρῶμα δὲ μένει καὶ θερμὸν καὶ χυμὸς καὶ ψόφος. τὸ δὲ κοινὸν πασῶν αἰσθητήριον, ἐν ᾧ πρώτως ἡ τοιαύτη δύναμις καὶ εἰς ὃ τὰ τῶν αἰσθητηρίων πέρατα κατὰ ταὐτὸ συννενεύκασι, τὸ πνεῦμά ἐστι τὸ καὶ τῇ ἀλόγῳ ψυχῇ ὑποκείμενον καὶ πρῶτον τῆς λογικῆς ὄργανον. τοῦτό ἐστι μέν πως τὸ αὐτὸ καὶ ἓν τῇ αἰσθητικῇ δυνάμει, ἔστι δ' ὡς οὔ·
25 τῷ μὲν γὰρ ὑποκειμένῳ καὶ ἀριθμῷ ἕν, τὸ αἰσθητικὸν δ' εἶναι καὶ τὸ σῶμά τι ἕτερον· καθὸ μὲν γὰρ πάντῃ εἴη ἐν σώματι τὸ πνεῦμα τὸ αἰσθανόμενον, μέγεθος ἔχει· οὐ μέντοι τό γε αἰσθητικῷ εἶναι ⟨οὐδ'⟩ ἡ αἴσθησις μέγεθός ἐστιν. ἀλλὰ λόγος τις καὶ δύναμις ἐκείνου. φανερὸν δὲ ἐκ τούτου καὶ διά τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις, οἷον τὰ ὑπέρλαμπρα τὴν
30 ὄψιν καὶ τὴν ἀκοὴν οἱ τῶν ψόφων σφοδρότεροι. ἂν γὰρ ᾖ ἡ κίνησις ἰσχυροτέρα, τοῦ αἰσθητηρίου ἐν συμμετρίᾳ ὄντος λύεται ὁ λόγος (τοῦτο δὲ ἦν αἴσθησις). ὥσπερ καὶ ἡ συμφωνία καὶ ὁ τόνος σφόδρα κρουομένων τῶν χορδῶν. ἐπεὶ γὰρ τὸ αἰσθάνεσθαι ἐν κινήσει, διττῶς ἂν πάθοι τὸ αἰσθητήριον· τοῦτο μὲν ὑπὸ τῆς τῶν αἰσθητῶν ἐνεργείας ὡς αἰσθητήριον, τοῦτο δὲ ὡς σῶμα ὑπὸ σώμα-
35 τος· οἷον τὸ ὄμμα ὡς μὲν αἰσθητικὸν συγκριθήσεται καὶ διακριθήσεται ὑπὸ

---

5 μόνον, ut videtur, B: μόνην AC 8 εἰ καὶ] καὶ om. C 9 τινί] τινός A 10 ὑλικώτερον A 11 τὸ εἶδος addidi 13 αἰσθόμενοι AC 15 τὸ] τοῦ A^2 post αἰσθητήριον add. εἶναι A^2 16 ἁπτῶν scripsi: ἁπτικῶν libri 17 γε (post μὲν) om. AC 18 ante γὰρ add. καὶ A 19 χυμοῖς ἢ θερμοῖς AC 24 τὸ] καὶ B 25 τῷ αἰσθητικὸν B^2 τῷ σῶμά τι B 27 τῷ γε B οὐδ' addidi, cf. de An. p. 424 a 26 μεγέθει A^1C: ἐν μεγέθει A^2 30 ᾖ] ἢ A^1 33 τοῦτο μὲν—(34) αἰσθητήριον in margine add. B τοῦτο μὲν] ἓν μὲν A 34 αἰσθητηρίου B τοῦτο δὲ] τὸ δὲ A

χρώματος, ὡς δὲ σῶμα ὑπὸ πυρὸς θερμανθήσεται ἢ καυθήσεται· καὶ ἡ ἀκοὴ ὑπὸ μὲν τῶν ψόφων ὡς αἰσθητικόν, ὑπὸ δὲ τῆς σφοδρᾶς τοῦ ἀέρος καὶ μεγάλης κινήσεως ὡς σῶμα πείσεται· τοῖς γὰρ μεγάλοις τῶν ψόφων ἀναλόγου γενομένης καὶ τῆς κινήσεως, τῇ ταύτης πληγῇ βλάπτεται ὁ ἀκουστικὸς ἐν
5 τοῖς ὡσὶν ἀὴρ προσπεφυκώς· καίπερ (γὰρ) οὐ ταὐτὸν ψόφος καὶ ἀέρος κίνησις, ὅμως οὐκ ἄνευ κινήσεως. δῆλον οὖν καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται. ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται. αἴτιον δὲ τὸ μὴ ἔχειν μεσότητα μηδὲ τοιαύτην ἀρχήν, ἥτις τὰ εἴδη μόνα τῶν αἰσθητῶν δέχεται, ὥσπερ ἐν τοῖς ζώοις τὸ πνεῦμα καὶ τὰ
10 αἰσθητήρια· καὶ διὰ τοῦτο μετὰ τῆς ὕλης πάσχει καὶ σωματικῶς διατίθεται· τὸ γὰρ οὕτω πάσχον οὐ κατὰ τὴν τοῦ ποιοῦντος ἀλλὰ κατὰ τὴν οἰκείαν ὕλην μεταβαλλόμενον τρέπεται. καὶ καθόλου πᾶν ποιοῦν τοῦ μὲν εἴδους μεταδοίη τῷ πάσχοντι, τῆς ὕλης δ' οὔ· μία γὰρ αὕτη καὶ κοινή. ἐπεὶ δὲ ὅλως τὸ πάσχειν ὑπὸ τῶν ἁπτῶν καὶ τοῖς ἀψύχοις τῶν σωμάτων ἐνδέδοται, ἀπορήσειεν
15 ἄν τις, εἰ καὶ κατ' ἄλλα οὕτως ἔσται· ἆρα γὰρ πάθοι ἂν ὑπ' ὀσμῆς τὸ μὴ δυνάμενον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν; ἢ τοῦτο μὲν καὶ τὴν ἀρχὴν ἀπορεῖν οὐκ ἔδει· εἰ γὰρ ἡ ὀσμὴ τοῦ ὀσφρανθῆναι καὶ τοῦ ἀκούειν ὁ ψόφος καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος, ὀσφραίνεται δὲ ὄσφρησις καὶ ὄψις καὶ ἀκοὴ ὁρᾷ καὶ ἀκούει, τὸ μὴ τὰς τοιαύτας ἔχον ἀρχὰς πῶς ἂν
20 τὰ αὐτὰ ὑπὸ τῶν αὐτῶν κατὰ ταὐτὸ πείσεται; εἰ γὰρ καὶ τὰ αἰσθάνεσθαι δυνατὰ οὐχ ἁπλῶς ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον διατίθεται, καὶ οὐ πρὸς τοῦ τυχόντος ἀλλ' ἢ παρὰ τοῦ οἰκείου καὶ ἰδίου, σχολῇ γ' ἂν τὰ ἀναίσθητα. δῆλον δὲ καὶ τῇ ἐναργείᾳ· ὁρῶμεν οὖν οὔτε τὸ φῶς ἢ τὸ σκότος οὔτε ὅλως χρῶμα ἢ ψόφον, καθὸ ὁρατὰ ἢ ἀκουστά, ποιοῦντα εἰς τὰ μὴ ὁρατικὰ ἢ μὴ
25 ἀκουστικὰ τῶν σωμάτων τι. εἰ δέ τι ἐν φωτὶ ἢ ψόφῳ τῶν τοιούτων πάσχειν δοκεῖ, οὐχ ὑπὸ τούτων ἀλλ' ὑπ' ἐκείνων, ἐν οἷς ταῦτα ὑπόκειται· ὁ γὰρ μετὰ βροντῆς ἀὴρ σφοδρότερος κινηθεὶς τὸ ξύλον διίστησιν. οἱ μέντοι χυμοὶ καὶ τὰ ἁπτὰ προδηλότατα ποιοῦσιν εἰς τὰ σώματα· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα, εἰ ἀλλοιοῖτο; πλὴν οὐχ ὡς αἰσθητὰ εἰς αἰσθητικά, ἀλλ'
30 ὡς ἁπλῶς εἰς σώματα σώματα. μήποτε δὲ κατά τι καὶ ἐπὶ τῶν ἄλλων ὁ λόγος ἥξει· χρῶμα μὲν γὰρ καὶ ψόφος ἐν ἀέρι καὶ ὕδατι δρᾷ, διὰ δὲ τὸ τῶν δεξαμένων ἀόριστον μὴ παραμένοντος τοῦ πάθους οὐ δοκοῦσι ποιεῖν. ὀσμὴ δὲ δοκεῖ οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ἐν στερεωτέροις, τῷ μᾶλλον παραμένειν ὡς ὁλικώτερον, οἷον ὁ ἀὴρ ὄζει ὡς παθών τι· οὐδὲν γοῦν ἐστι τὸ ὀσμᾶσθαι
35 παρὰ τὸ τὸν ἀέρα πάσχειν τι. ἀλλ' οὖν διαφέρει· τὸ μὲν γὰρ ὀσμᾶσθαι αἰσθάνεσθαί ἐστι καὶ αἰσθητικοῦ· ὁ δὲ παθὼν ἀὴρ τοῦτο ταχέως μὲν αἰσθητὸς γίνεται, αἰσθητικὸς δ' οὔ· οὐ γὰρ ἐν τούτῳ ἑαυτοῦ ὡς ἀλλοιουμένου συνήσθετο. πάσχει μὲν οὖν ἕκαστον τῶν ἀψύχων ὑπὸ τῶν αἰσθητῶν οὐχ

---

2 αἰσθητικόν scripsi: αἰσθητικῶν libri 4 τῆς] τοῖς A 5 post ἀὴρ add. καὶ AC γὰρ addidi 8 ἥτις] οἵαν A¹: ἱκανὴν οὖσαν A² 9 δέχεσθαι A 13 αὐτὴ B 15 κατ' ἄλλα] τἄλλα A ἆρα B 19 ἀκοὴ καὶ ὁρᾷ B 21 ᾗ] ἢ AC 23 ἐναργία A: ἐνεργείᾳ BC 32 παραμένοντος] παρόντος C τὸ πάθος BC 34 οὐδὲν—(35) πάσχειν τι in marg. habet B

ὡς αἰσθανόμενον, ἀλλ' ὡς καθ' αὑτό, καὶ αὐτὸ γινόμενον αἰσθητόν· κατὰ γὰρ τὴν οὐσίαν αὐτὴν τὸ πάθος ὑπομένει· τὰ μέντοι αἰσθητικὰ κατὰ μόνην τὴν ὑπ' αὐτῶν ἐνδιδομένην ἐνέργειαν. ἔτι τὸ μὲν ἁπλῶς εἰς τὰ σώματα πάθος ἀόριστον· οὔτε γὰρ ἀθρόως ἐγγίνεται καὶ ἐγγινόμενον οὐ τὸ αὐτὸ μένει, ἀλλ' ἐν ἐπιτάσει καὶ ἀνέσει· πρὸς γὰρ τὸ ἐγγὺς ἢ πόρρω τοῦ θερμοῦ μᾶλλον ἢ ἧττον θερμαίνεται· ἡ δ' αἴσθησις ἅμα τῇ προσβολῇ ἀθρόου συνήσθετο καὶ τὸ αὐτὸ ἴσχει πάθος καὶ τὴν κρίσιν τὴν ἐπ' αὐτῷ ἀναλλοίωτον.

Ἀρχὴ τοῦ τρίτου τμήματος.

III 1 Τούτων οὕτω διωρισμένων ἀνάγκη, εἴπερ ἐκλείποι τις αἴσθησις, καὶ αἰσθητήριον ἡμῖν ἐκλελοιπέναι. μήποτε γὰρ ὥσπερ ἔν τισι μὲν τῶν ζώων οὐ πᾶσαι αἱ αἰσθήσεις ἔχονται, ἐν ἡμῖν δὲ καὶ αἱ πέντε, οὕτως ἐστὶ καὶ ἄλλη τις αἴσθησις, ἥτις ἐν ἡμῖν μὲν οὐκ ἔστιν, ἐν ἄλλοις δέ τισι ζώοις ἢ ἀδήλοις ἢ ὑπὲρ ἡμᾶς, καὶ ὥσπερ τὰ ὄψιν μὴ ἔχοντα οὐδὲ εἰ ἔστι χρώματα οἶδεν, οὕτως οὐδὲ εἰ ἔστιν ἄλλα τινὰ αἰσθητὰ εἰσόμεθα, λειπούσης ἡμῖν τῆς κριτικῆς αὐτῶν αἰσθήσεως. ὅτι δὲ οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε (λέγω δὲ ταύτας ὄψιν, ἀκοήν, γεῦσιν, ὄσφρησιν καὶ ἁφήν), ἵν' εἴη χρεία καὶ ἑτέρου αἰσθητηρίου, ἐκ τούτων πιστεύσειεν ἄν τις. διττῆς γὰρ οὔσης σχέσεως, καθ' ἣν ἂν αἴσθησις γένοιτο, τῆς τε πρὸς ἄλληλα τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ θέσεως καὶ τῆς διὰ μέσων ἑτέρων ἀντιλήψεως, ὅσων μὲν αὐτῶν ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθητά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες· παντὸς γὰρ οὗ ἐστιν αἴσθησις ἡ ἁφή, ταύτην καὶ νῦν ἔχομεν· πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ἢ ἁπτὸν πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν (ἁφὴ γάρ τις ἐστὶν καὶ ἡ γεῦσις· τῇ θίξει γὰρ αἰσθάνεται)· ὅσων δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, ἀλλὰ τοῖς ἁπλοῖς καὶ δυσί, λέγω δὴ ἀέρι καὶ ὕδατι, τούτων ἀντιληπτικαὶ χρωμάτων μὲν ὅρασις, φωνῶν δὲ ἀκοή, ὀσμῶν δὲ ὄσφρησις. ὥστε εἰ μὴ καθ' ἑκάτερον τῶν τρόπων ὑπολείποιτο αἴσθησις, καὶ εἰ μή τι ἕτερόν ἐστι σῶμα καὶ πάθος ὃ μηδενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδὲ ὅλως ἂν εἴη παρὰ τὰς εἰρημένας. εἰ δὲ μὴ αἴσθησις, οὐδὲ αἰσθητήριον· μάτην γὰρ ἂν εἴη ὄργανον μὴ ὄντος τοῦ χρησομένου. ἔτι ἐν τοῖς θνητοῖς ζώοις ἀδύνατόν τι τῆς τελειοτέρας ζωῆς μετασχεῖν μὴ μεταλαβὸν τῆς ἥττονος. κατὰ βαθμίδας γὰρ ἡ φύσις πρόεισι· πρῶτον γὰρ σῶμα ἁπλῶς, εἶτα ἔμψυχον οἷον τὸ φυτόν, εἶτα ζωὴ καὶ αἴσθησις, εἶτα λόγος. ὥσπερ γὰρ ὑπόκειται τοῖς τιμιωτέροις τὰ ἥττονα, καὶ καθάπερ οὐχ οἵόν τε αἰσθήσεως μετέχειν τὸν μὴ ζωῆς οὐδὲ ζωῆς τὸν μὴ ψυχῆς, οὕτως οὐδὲ λόγου ἄν τι μετάσχοι ὑπολελοιπὸς αἴσθησιν. εἰ τοίνυν τελειότατον

1 καθ' αὑτό scripsi: κατ' αὐτό libri 3 σώματα scripsi: ἀσώματα libri
7 ἐπ' αὐτὸ A post ἀναλλοίωτον eadem manu sed minoribus literis scripta ἰστέον (?) ὅτι τὰ ἐντὸς τοῦ κειμένου καὶ ἐκτός που τῆς παραφράσεως σχόλια ἀπὸ τῶν (?) Σιμπλικίου ὑπομνημάτων (?) B: τέλος τοῦ δευτέρου subicit A 11 οὕτως ἔσται C
14 αἰσθητικὰ C 16 ὄσφρησιν om. A 24 ἀντιληπτικὰ C 34 μετάσχοι scripsi: μετάσχοιεν libri

τῶν ὑπὸ σελήνην ὁ ἄνθρωπος, οὗτος δὲ πέντε μόνας ἔχει καὶ οὐ πλείονας λογικῆς ὢν φύσεως, οὐκ ἂν εἴη παρὰ ταύτας ἑτέρα· οὐ γὰρ ἂν μετέσχε τῆς κρείττονος ζωῆς τῆς λογικῆς ὑπερβὰς τὴν χείρονα αἴσθησιν. πᾶσαι ἄρα αἱ αἰσθήσεις ἔχονται ὑπὸ τῶν μὴ ἀτελῶν μηδὲ πεπηρωμένων (τοῖς τελειοτέροις δὲ καὶ ἡ κατὰ τόπον ἐγγίνεται κίνησις)· καὶ γοῦν φαίνεται καὶ ἡ ἀσπάλαξ ὑπὸ τὸ δέρμα ἔχουσα ὀφθαλμοὺς προνοίᾳ φύσεως. ἐπεὶ γὰρ ἀναγκαιότερον τοῦ ὁρᾶν τὸ τρέφεσθαι, αὕτη δὲ τῷ ὀρύττειν τρέφεται, τῷ ἐπικειμένῳ δέρματι τὴν ὁρατικὴν περιεφόλαξεν αἴσθησιν τὴν ὄψιν ἀμβλύνασα. ἵν' ἀντέχῃ πρὸς τὴν ὑπόνομον δίαιταν. φθάνομεν δὲ εἰρηκότες σῶμα καὶ πάθος εἴτ' οὖν σῶμα παθητικὸν καὶ ὑποπῖπτον αἰσθήσεσι διὰ τὸν ὑποτρέχοντα λόγον ἐκεῖνον, ὃς τὰς οὐρανίους οὐσίας σωματικὰς μὲν ὑποτίθεται. μὴ παθητὰς δὲ μηδὲ ἁλωσίμους αἰσθήσεσιν. ἄλλῳ δέ τινι κρείττονι τρόπῳ γινομένης τῆς ἀντιλήψεως. παρ' ἧς καὶ γινώσκονται. εἰ δὲ τοῦτο οὕτω καὶ ὁ λόγος ἔρρωται, οὐκ ἐπὶ πᾶσιν ἐκεῖνος διήκει, ὃς μὴ πρότερον τὰς κρείττονας ζωὰς ἐγγίνεσθαι διετείνετο, μὴ προηγησαμένων τῶν χειρόνων. αὐτίκα γὰρ ὁ νοῦς ὁ τόσον τῆς αἰσθήσεως τιμιώτερος. ὁ τῶν νοητῶν καὶ θείων εἰδῶν ἀντιληπτικός. τῶν σωμάτων κεχώρισται. ὥστε εἰ καὶ τῶν ἐν τοῖς φθαρτοῖς σώμασι ποιοτήτων μὴ λείπῃ τις ἀντιληπτικὴ αἴσθησις. ἄδηλον εἰ μήπου ἄλλη τις ὑπολέλειπται τοῦ πέμπτου στοιχείου ἀντιληπτικὴ ἐξ ἐκείνου ἔχουσα τὸ αἰσθητήριον. τούτοις ἐκεῖνο προσαπορητέον, τί δήποτε τριῶν ὄντων αἰσθητῶν, χρόας, ψόφου, ὀσμῆς ἐκ τριῶν στοιχείων, πυρὸς ἀέρος καὶ ὕδατος, μὴ καὶ τὰ αἰσθητήρια αὐτῶν ἐκ τοσούτων εἰσὶ στοιχείων, ἀλλ' ἐκ τῶν δύο μόνον ἀέρος καὶ ὕδατος· ἔτι διὰ τί, εἴπερ τῶν αὐτῶν αἰσθητῶν διὰ πλειόνων γίνεται ἡ ἀντίληψις, οἷον χρώματος καὶ δι' ἀέρος καὶ ὕδατος, καὶ αὖ πάλιν ψόφων τε καὶ ὀσμῶν διαπορθμευτικὰ τὰ αὐτά, μὴ ἐκ πλειόνων τὸ αὐτὸ καὶ ἓν αἰσθητήριον, οἷον τὸ ὀπτικὸν ἐξ ἀέρος καὶ ὕδατος· ὁμοίως καὶ ἀκοὴ καὶ ὄσφρησις. καὶ τὸ μὲν πρῶτον τῇ ἀναλογίᾳ λυθήσεται· τί γὰρ ἄτοπον. εἴπερ τὸ αὐτὸ στοιχεῖον. ὥσπερ διαφόρων αἰσθητῶν ἐστι διαπορθμευτικόν, οὕτω καὶ αἰσθητηρίων πλειόνων ποιητικόν. τὸ δὲ δεύτερον οὕτω· οὐκ ἐπειδὴ δύο τινῶν μεταξὺ τῶν αὐτῶν αἰσθητῶν ἡ ἀντίληψις γίνεται. ἀνάγκη καὶ διπλᾶ εἶναι τὰ αἰσθητήρια. ἀλλ' ὥσπερ εἰ ἀνέλοι τις ἐπινοίᾳ τὸ ἓν τῶν μεταξύ, ἀρκεῖ εἰς τὴν τῶν αὐτῶν αἰσθητῶν διαπόρθμευσιν τὸ ὑπολειπόμενον ἕτερον, οὕτω καὶ παρ' ἑνὸς τῶν στοιχείων ἀρκέσει πλείονα γενέσθαι αἰσθητήρια. εἴ γε δυνατὸν τὸ ἓν στοιχεῖον πλείοσιν αἰσθητηρίοις ἀρκέσαι. ἄλλως τε οὐδὲ δυνατὸν ἐξ ἄλλων τῶν ἁπλῶν στοιχείων ἢ παρὰ τῶν δύο ἀέρος καὶ ὕδατος γενέσθαι τὰ αἰσθητήρια. ἡ μὲν γὰρ κόρη ὕδατος, ἡ δὲ ἀκοὴ ἀέρος. ἡ δὲ ὄσφρησις ἀμφοτέρων τούτων· τὸ δὲ πῦρ ἢ οὐδενός, ὅτι δραστικὸν καὶ διὰ τοῦτο καὶ φθαρτικόν (πάσχειν γὰρ τὸ αἰσθητήριον ἀλλ' οὐ ποιεῖν δεῖ), ἢ κοινὸν πάντων· οὐδὲν γὰρ ἄνευ θερμότητος αἰσθητικόν. κατὰ τὰ αὐτὰ δὲ καὶ ἡ γῆ ἢ οὐδενὸς ὡς μὴ τῶν ἔξω τινὸς ἀντιλαμβανομένη τῷ

2 ὢν] ὂν A^1 3 κρείττονος scripsi: κρείττω libri 4 πεπυρωμένων C
10 ὑπερέχοντα B 12 παρ' οἷς A 16 τιμιώτερον B 19 ante τὸ add. καὶ A 24 διαπορθμευτικὸν C 26 καὶ (ante ἀκοὴ) om. A 33 γίνεσθαι A 34 ἁπλῶς A 39 τῷ] τὸ B

ἀντιφράττειν ἐκ τῆς παχύτητος, ᾗ ἐν τῇ ἁφῇ μάλιστα μέμικται, ἐπειδὴ καὶ σὰρξ ταύτῃ τὸ αἰσθητήριον. καὶ ἡ ἀντίληψις γίνεται ἐμμεμιγμένων τοῖς αἰσθητηρίοις τῶν αἰσθητῶν. μήποτε δὲ καὶ ἀληθέστερον ᾗ τὸ σύνθετα ἐκ πάντων λέγειν. τῷ πλεονάζοντι δὲ κληροῦσθαι τὰ ὀνόματα. πλεονάζει γὰρ ἐν ἑκάστῳ τῶν ἁπλῶν ἢ τὸ ὕδωρ ἢ ὁ ἀήρ. διαφερόντως δὲ τοῦτο κατὰ τὸ ὄμμα ἔστιν ἰδεῖν· πέπηγε μὲν ἐκ καθαροῦ ὕδατος ἅπαν τὸ κρυσταλλοειδές, μετέχει δὲ καί τινος μετρίας θερμότητος καί τινος γεώδους παχύτητος. ἧττον δὲ τούτων ἡ ἀκοή· τοῦτο δέ ἐστιν ὁ ἐμμεμιγμένος τῇ μήνιγγι ἀήρ.

Ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν αἰσθητῶν οἷόν τ' εἶναι ἴδιον αἰσθητήριον· κοινὰ δὲ αἰσθητά, ὡς καὶ πρόσθεν ἐλέγετο, τὰ ταῖς πάσαις αἰσθήσεσιν ὑποκείμενα ἢ ταῖς πλείοσι. πέντε δὲ ταῦτα, κίνησις, στάσις, σχῆμα, μέγεθος, ἀριθμός. αἰσθανόμεθα δὲ τούτων πάντων κινήσει εἴτ' οὖν μετὰ πάθους· καὶ μέγεθος μὲν καὶ σχῆμα κατὰ ταὐτόν τι· μέγεθος γὰρ τὸ σχῆμα. τὸ δὲ ἠρεμοῦν τῷ μὴ κινεῖσθαι· τοῦτο δὲ κοινὸν πάσαις αἰσθήσεσι. τὸ τὰς οἰκείας στερήσεις γινώσκειν ταῖς ἕξεσι. τὸν δὲ ἀριθμὸν τῇ ἀποφάσει τοῦ συνεχοῦς. ὅπως δὲ τοῦτο τελεώτερον καταμάθοιμεν. ἀνωτέρω τὸν λόγον ἐπαναλάβωμεν· οὐ καινὸν δὲ κἂν τι τῶν προρρηθέντων τοῖς ἑξῆς διὰ τὸ σαφὲς συλλαμβάνοιτο. παντὸς αἰσθητοῦ μία μὲν αἴσθησις καθ' αὑτὸ ἀντιλαμβάνεται. αἱ δὲ ἄλλαι κατὰ συμβεβηκός, οἷον χρωμάτων ἡ μὲν ὄψις καθ' αὑτό. αἱ δὲ ἄλλαι κατὰ συμβεβηκός· καὶ χυμοῦ δὲ καὶ ὀσμῆς ὡσαύτως. καὶ διὰ τὸ συνεργῆσαί ποτε ἅμα γεῦσιν καὶ ὅρασιν, ὁρῶσα ἡ ὄψις τόδε τι ὅτι ξανθόν, οἷον τὸ μέλι, οἶδεν ὅτι καὶ γλυκύ, καὶ γευόμενοι τοῦδε τοῦ γλυκέος οἴδαμεν ὅτι ξανθόν. ὅθεν καὶ εἰ μήποτε πρός τινι τύχοιεν συνεργήσασαι, ὡς καὶ πρόσθεν ἐλέγετο, οὐκ ἂν ἑκατέρα μονωθεῖσα γνοίη ἀμφότερα. τοῦτο δὲ γίνεται τῷ ὡς ἀπό τινος ἑνὸς σημείου τῆς κοινῆς αἰσθήσεως πλείους εὐθείας τὰς αἰσθήσεις προέρχεσθαι, ὧν αἱ ἐνέργειαι πάλιν εἰς τὸ κοινὸν πέρας ἀναπεμπόμεναι τὴν κρίσιν ἴσχουσιν. ἐκείνη γάρ ἐστιν ἡ κρίνουσα τὴν ταυτότητα τῶν αἰσθητῶν καὶ ἑτερότητα. καὶ τὰ ἀλλήλων ἴδια ἔνθεν κατὰ συμβεβηκὸς αἱ αἰσθήσεις αἰσθάνονται, οὐχ ᾗ αὗται, ἀλλ' ᾗ μία· ὅταν γὰρ τύχοιεν αἱ αἰσθήσεις διάφοροι περὶ τὸ αὐτὸ ἐνεργήσασαι, εἶτα ἡ μία καὶ πρώτη καὶ κοινὴ δι' ὁποιασοῦν ὕστερον μετὰ μνήμης προσβάλοι τῷ πράγματι. ᾔσθετο μὲν καθ' αὑτὸ οὐ τὴν ἀντίληψιν ἴσχει τότε. γνωρίζει δὲ καὶ διὰ τῆς μνήμης τῷ συνεργῆσαι πρότερον τὸ λοιπὸν ἢ τὰ λοιπά. εἰ γὰρ μὴ ἦν κοινή τις αἴσθησις ἡ τὰ τοῦ πάθους κρίνουσα, κἂν μυριάκις συνενήργησαν, οὐκ ἄν ποτε ἡ ἑτέρα τὸ τῆς ἑτέρας πάθος ἔκρινεν· ὅμοιον γὰρ ὡς εἰ τοῦ μὲν ἐγώ, τοῦ δὲ σὺ αἴσθοιο. εἰ γὰρ

2 ἐμμεμιγμένων] ἐκ μεμιγμένων B 3 σύνθετα] σύνθημα B 4 δὲ] καὶ C
13 γὰρ] γάρ τι AC de An. 425a18 14 ante κοινὸν add. καὶ A 16 ὅπερ B: ὅπερ C τελετώτερον B 19 οἷον—(20) συμβεβηκός in marg. add. A
20 συνεργῆσαι A 21 γεῦσις—ὅρασις B τι om. AC 22 καὶ (ante γλυκύ) om. C τοῦδε] δὲ C 23 συνενεργήσασαι A: συνεργήσασαι C 25 post τὰς add. πέντε A: ε̅ C 28 τὰ] τῶν C 29 αἱ om. AC 31 προβάλοι B
32 τῷ Monacensis: τὸ ABC 33 πάθους] πάθη A[1]

τοῦ μέλιτος τυφλὸς μὲν γεύσοιτο ξανθοῦ ὄντος μὴ ἰδών, ἄλλος δέ τις ἴδοι, μὴ γεύσοιτο δέ, οὐκ ἄν ποτε οὔτε οὗτος εἴποι γλυκύ, οὔτ' ἐκεῖνος ξανθόν· καὶ εἰ τὸν αὐτὸν ὑποθοίμεθα μόνοντα μὲν ἀεὶ καὶ γευόμενον μέλιτος, ὁρῶντα δὲ ὅτι ξανθὸν μὴ γευόμενον, οὐκ ἄν ποτε τῷ ἑτέρῳ πάθει τὸ ἕτερον κρίνειε. καὶ περὶ μὲν τῆς κοινῆς αἰσθήσεως προϊόντες ἐντελέστερον ἐπεξέλθωμεν· νυνὶ δὲ τῶν προκειμένων ἐχώμεθα. εἰ τοίνυν οὕτω καὶ παντὸς αἰσθητοῦ μία μὲν καθ' αὑτό τις ἀντιλαμβάνεται αἴσθησις, αἱ δὲ ἄλλαι κατὰ συμβεβηκός, καὶ κοινή τις ἐπὶ πάσαις διήκει μία, δῆλον καὶ ἐπὶ τῶν κοινῶν αἰσθητῶν, εἴ γέ τι ἦν αὐτῶν ἴδιον αἰσθητήριον καὶ ἰδία αἴσθησις παρὰ τὰς πέντε, αὗται ἂν κατὰ συμβεβηκὸς αὐτῶν ἀντελαμβάνοντο· εἰ δὲ μὴ τοῦτο ἀλλὰ καθ' αὑτό, δῆλον ὡς οὐκ ἂν εἴη αὐτῶν ἴδιον αἰσθητήριον. ὅτι δὲ καθ' αὑτὸ ταῖς αἰσθήσεσι τῶν κοινῶν ἡ ἀντίληψις φανερόν· πάσχουσι γάρ. οὐ γὰρ ἂν ὁμοίως πάθοι ὄψις ὑπὸ πολλοῦ λευκοῦ καὶ ὀλίγου ὁμοίου, οὐδὲ ὑπὸ τοῦ ἠρεμοῦντος καὶ κινουμένου, ἢ ὑπὸ τοῦ συνεχοῦς ἢ διῃρημένου. ἀμέλει, εἰ σφοδρῶς ποταμὸν εἴδομεν ῥέοντα ἤ τι τοιοῦτον ἕτερον, δίνη τις ἡμῖν καὶ ἴλιγγος γίνεται ἅτε δὴ παθούσης τι τῆς αἰσθήσεως. οὐ πάσχουσι δὲ ἐν τοῖς κατὰ συμβεβηκός· τί γὰρ ὄψις πάθοι ὑπὸ τοῦ γλυκέος ἢ πικροῦ; διττὸν δὲ καὶ τὸ κατὰ συμβεβηκὸς αἰσθητόν, ὡς καὶ διῄρηται πρότερον· τὸ μὲν ὅταν ἀνταλλαγὴ γένηται καὶ τοῦ δι' ἑτέρας ἑτέρᾳ ἀντιληψώμεθα, τὸ δὲ ὥσπερ ὅταν αἰσθέσθαι Κλέωνος λέγωμεν ὁρῶντες αὐτόν· οὐ γὰρ ὅ τί ποτε τὴν οὐσίαν αὐτὸς ἑωρῶμεν (οὐδὲ γάρ ἐστιν ὅλως οὐσίας αἴσθησις νῷ θεωρουμένης), ἀλλὰ τὰ περὶ αὐτὸν χρώματα. ζητήσειε δ' ἄν τις, τίνος ἕνεκα πλείους αἰσθήσεις ἔχομεν τῶν κοινῶν αἰσθητῶν. ἢ ὅπως ἧττον λανθάνῃ τὰ ἀκολουθοῦντα ταῦτα καὶ καθολικά, μηδὲ συγχέηται τῇ τοῦ ἰδίου ἐπιμιξίᾳ αἰσθητοῦ. εἰ γὰρ μιᾷ αἰσθήσει ἐκρίνομεν, οἷον τῇ ὄψει, ἡ αὐτὴ δὲ καὶ χρωμάτων, ἐλάνθανεν ἂν μᾶλλον καὶ ἐδόκει ταὐτὰ εἶναι πάντα διὰ τὸ ἀκολουθεῖν ἀλλήλοις ἅμα χρῶμα καὶ μέγεθος· νῦν δὲ ἐπεὶ καὶ ἑτέρᾳ αἰσθήσει τὰ κοινὰ ὑπάρχει, δῆλον ποιεῖ ὅτι ἄλλο τι ἕκαστον αὐτῶν. ὥσπερ γὰρ εἴρηται ἐπὶ τῆς ἁφῆς καὶ γεύσεως, εἰ κατὰ πᾶν τὸ σῶμα ἐγευόμεθα, δυσχερὲς ἦν διακρῖναι τὴν ἁφὴν ἀπὸ τῆς γεύσεως τῷ συνεργεῖν ἀλλήλαις αὐτάς, ἀλλ' ἐνομίσαμεν μίαν εἶναι αἴσθησιν ἀμφοτέρας (νῦν δὲ τῷ κατὰ λοιπὸν σῶμα μὴ γεύεσθαι ἐναργὴς τῶν δύο αἰσθήσεών τε καὶ αἰσθητῶν ἡ διάκρισις), οὕτως ἂν συνέβαινε καὶ ἐπὶ τῶν κοινῶν, εἰ μιᾷ τινι τῶν αἰσθήσεων ἐγνωρίζομεν. ἐπεὶ οὖν θειότερα τὰ κοινὰ τῶν ἄλλων, καὶ ἐχρῆν εἶναι καὶ γνωριμώτερα. περὶ γὰρ ταῦτα αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν, ἀστρονομία μὲν περὶ κίνησιν καὶ στάσιν, γεωμετρία δὲ περὶ σχῆμα καὶ μέγεθος· τοῦ δὲ ἀριθμοῦ τὸ μὲν ἐν σχέσει ἁρμονικῆς θεωρεῖν, τὸ καθ' αὑτὸ δὲ ἀριθμητικοῦ. ταῦτ' ἄρα ἡ φύσις πλείοσιν αἰσθήσεσιν αὐτὰ διενείματο.

1 ἰδών] εἰδώς AC 13 πάθοι] πάθη C 15 εἴδωμεν B 19 τοῦ] τὸ AC ἀντιληψόμεθα C 20 αὐτός] αὐτὴν C² · ἑωράκαμεν AC 21 νῷ] νῦν A¹: incertum B 22 αὐτὴν B χρωμάτων A¹ 23 post αἰσθητῶν add. καὶ οὐ μίαν AC λανθάνοι A 30 αἴσθησιν ἀμφοτέρας in marg. add. A 31 τὸ κατὰ A¹C τὸ λοιπὸν AC 36 ἁρμονικῇ AB 37 ἀριθμητικῆς A: ἀριθμητικῇ C

τοῦτο δὲ εἰ καὶ περὶ τῶν ἰδίων αἰσθητῶν ἠπόρησέ τις, διὰ τί τόσας αἰσθήσεις ἔχομεν. καὶ οὐ κοινὴν ἐπὶ πάντων μίαν. τοῦτ' ἂν εἴποιμεν ὅτι τῷ διαφέρειν καὶ γένει καὶ εἴδει ἀλλήλων τὰ αἰσθητὰ καὶ τὰς αἰσθήσεις διαφόρους εἶναι ἀνάγκη καὶ πλείονας.

Ἔτι καὶ τοῦτο προσαπορητέον οἰκεῖον ὂν τῇ ἐξ ἀρχῆς προθέσει, εἰ ὑπο- III 2
λείπει τις αἴσθησις· ἐπεὶ γὰρ αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν. εἰ ἔστι τις ἄλλη περὶ τὰ αἰσθητὰ ἐνέργεια, καθ' ἣν ταῖς ἐνεργείαις τῶν αἰσθητικῶν ἐφιστάνομεν, εἴτε προσέβαλον τῷ αἰσθητῷ εἴτε μή, καὶ ποίαν τινὰ ἴσχουσι τὴν διάθεσιν, ἣν δὴ καὶ συναίσθησιν εἴποι τις, πότερον ἄλλης τινὸς αἰσθήσεως αὕτη ἡ ἐνέργεια κεχωρισμένης τῶν ἀπηριθμημένων. ἢ περὶ τὰ ἴδια τῶν αἰσθητῶν ἑκάστη τῶν αἰσθήσεων οὐ μόνον ἐνεργεῖ. ἀλλὰ καὶ ἐφιστάνει τῇ ἑαυτῆς ἐνεργείᾳ· οἷον ὁρῶντες τόδε τὸ λευκὸν ἑαυτοὺς οὕτω διακειμένους συνέγνωμεν. ἀνάγκη δὲ ἢ τῇ ὄψει αἰσθάνεσθαι τούτου ὅτι ὁρᾷ ἢ ἑτέρᾳ. ἀλλ' εἰ ἑτέρᾳ, ἡ αὐτὴ μία ἀμφοτέρων ἐστὶν ἀντιληπτική. τῆς τε ὁρώσης ὄψεως καὶ τοῦ ὑποκειμένου χρώματος. καὶ δύο τοῦ αὐτοῦ αἰσθητοῦ καθ' αὑτὸ ἔσονται αἰσθήσεις. εἰ γὰρ ἡ ἑτέρα μὲν καὶ δευτέρα ἀντελάβετο ὅτι εἶδεν ἡ ὄψις, ἡ αὐτὴ δὲ καὶ τοῦ χρώματος ἀντιλήψεται (πρός τι γάρ). ἀντελαμβάνετο δὲ τῶν χρωμάτων καὶ ἡ ὄψις. τοῦτο δὴ τὸ ἄτοπον ἕψεται· δύο γὰρ αἰσθήσεις τοῦ αὐτοῦ καὶ ἑνὸς αἰσθητοῦ μὴ κατὰ συμβεβηκὸς ἀντιλήψονται. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων. ὥστε οὐδὲν ἂν ἴδιον αἰσθητόν. ἀλλὰ πάντα κοινά. καὶ οὐ πέντε αἰσθήσεις ἀλλὰ δέκα. ἔτι ἐπειδὴ πολλάκις ἐπιστήσαντες τῇ τῆς ὄψεως ἐνεργείᾳ ἐφιστάνομεν αὐτῷ τούτῳ πάλιν. ὅτι ἐπεστήσαμεν ὅτι ἡ ὄψις εἶδε καὶ συναισθανόμεθα ἑαυτῶν ἐπιστησάντων. ἀνάγκη καὶ ταύτην τὴν αἴσθησιν τὴν τρίτην ἢ ἑτέραν εἶναι παρὰ τὴν πρὸ αὐτῆς ἐπιστήσασαν ἢ τὴν αὐτήν. καὶ εἰ μὲν ἑτέρα, πάλιν περὶ ἐκείνης ὁ αὐτὸς λόγος· καὶ τοῦτο ἐπ' ἄπειρον· εἰ δὲ ἡ αὐτή. ἵνα μὴ ἐνεργείᾳ ἀπείρους αἰσθήσεις ποιήσωμεν. καὶ ἐνδέχεται ὅλως τὴν αὐτὴν ἐπιστῆσαι καὶ ὅτι ἐπέστησε πάλιν ἐπιστῆσαι. διὰ τί μὴ αὐτόθεν ἐπὶ τῆς ὄψεως τοῦτο ποιοῦμεν, τιθέμενοι καὶ αἰσθάνεσθαι τὴν αὐτὴν καὶ τῇ ἑαυτῆς ἐφιστᾶν ἐνεργείᾳ; ἀποκληρωτικὸν γὰρ τὸ τῇ δευτέρᾳ μὲν αἰσθήσει ἢ τρίτῃ διδόναι τοῦτο, μὴ εὐθὺς δὲ καὶ τῇ πρώτῃ. λείπεται τοίνυν ἐκ τῶν εἰρημένων αὐτὴν ἑκάστην αἴσθησιν καὶ τῶν αἰσθητῶν λέγειν ἀντιλαμβάνεσθαι καὶ τῆς ἑαυτῆς ἐνεργείας· ὥστε αὐτὴ ἑαυτῆς ἀντιλήψεται. ἔχει δὲ ἀπορίαν· εἰ γὰρ ἡ ὄψις ἐφιστάνει τῇ ἑαυτῆς ἐνεργείᾳ, τὸ δὲ τῇ ὄψει αἰσθάνεσθαι ὁρᾶν ἐστι, τοῦτο δὲ χρωμάτων ἐστὶν ἀντιλαμβάνεσθαι, κέχρωσται ἡ ὄψις ἄρα καίπερ οὖσα πρώτη τοῦ αἰσθητοῦ γνωριστική· εἰ γὰρ ὄψεταί τις τὸ ὁρῶν. καὶ χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. λύσομεν δὲ ἐνστάσει καὶ ἀντιπαραστάσει χρησάμενοι. πρῶτα μὲν γὰρ φανερὸν ὡς οὐχ ἓν τὸ τῇ ὄψει αἰσθάνεσθαι οὐδ' ἁπλοῦν καὶ

6 εἰ ἔστι] καὶ ἔστι AC 7 αἰσθητικῶν scripsi: αἰσθητῶν libri 8 ποίαν scripsi: ποιάν libri 11 ἐνεργεῖ] ἐνεργεῖα C αὐτῆς BC 14 ante μία add. καὶ A 16 εἶδεν A 21 ἔτι C: καὶ ἔτι A: ἤτοι B 22 αὐτῷ τούτῳ scripsi: αὐτὸ τοῦτο libri 23 εἶδε scripsi: οἶδε libri 27 αὐτὴν καὶ ἐπιστῆσαι A 29 ἐφιστάνειν AC γὰρ om. B 30 τῇ τρίτῃ AC 32 τῆς ἑαυτοῦ fort. C 35 γνωστική C τὸ om. C 36 χρησάμενοι A 37 γὰρ om. C

μονοειδές. οὐ γὰρ εἴ τι ὁρᾶται πάντως χρῶμά ἐστι, καὶ οὐ μόνον τὰ ὁρατὰ ὁρῶμεν ἀλλὰ καὶ τὰς στερήσεις τῶν ὁρατῶν. καὶ γὰρ ὅταν μὴ ὁρῶμεν, τῇ ὄψει κρίνομεν. οἷον ὁρῶμεν τὸ φῶς καὶ τὸ σκότος. ἅπερ οὐκ εἰσι χρώματα, εἰ καὶ μὴ ὡσαύτως· τὸ μὲν γὰρ καταφάσει τὸ δ' ἀποφάσει. ὥστε οὐχ ἧ ὁρᾷ ἡ ὄψις τὴν ἑαυτῆς ἐνέργειαν. ἤδη κεχρῶσθαι ἀνάγκη ταύτην. ἔπειτα καὶ τὸ ὁρῶν ἔστιν ὡς κεχρωμάτισται. καὶ οὐκ ἄτοπον τοῦτο λέγειν· τὸ γὰρ αἰσθητήριον δεκτικὸν τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης ἕκαστον. διὸ καὶ ἀπελθόντων τῶν αἰσθητῶν ἔνεισιν αἰσθήσεις καὶ φαντασίαι, τὰ τῶν αἰσθητῶν δηλαδὴ ἐγκαταλείμματα. ἐν τοῖς αἰσθητηρίοις. ἀποστήσαντες γὰρ τοῦ ἡλίου τὰς ὄψεις οὐκ εὐθὺς ἀναγνῶναι δυνάμεθα, ὡς ἐνόντος ἔτι ἐν τῷ αἰσθητηρίῳ τοῦ ἐκ τοῦ φωτὸς ἐγγινομένου πάθους· καὶ θαλάττης ἀποστάντες μετὰ τὸν πλοῦν ἔτι περιηχεῖσθαι τὰ ὦτα δοκοῦμεν. ἔτι δὲ σφοδρὸν χρῶμα ἑωρακότες ἢ λαμπρόν, εἶτα βλέψαντες εἰς ἄλλο, οὐχ οἷόν ἐστιν ἐκεῖνο ὁρῶμεν, ἀλλ' οἷον ἦν τὸ προεωραμένον, ἢ μικτόν τι, τοῦ αἰσθητηρίου ἔτι σώζοντος καὶ τὸ τοῦ πρώτου πάθος. καὶ διὰ τὸ ὑπὸ τοῦ δευτέρου παθεῖν οἷον μῖξίν τινα καὶ ἀμφοτέρων τῶν παθημάτων γίνεσθαι. καὶ πρὸς τούτοις ἡ αἴσθησις κατὰ φαντασίαν τινὰ γενομένη τηρεῖ πως ἐν ἑαυτῇ τὰ φαντάσματα καὶ μηκέτι τῶν αἰσθητῶν παρόντων. ταύτῃ γὰρ καὶ διαφέρει τὰ ὡς ἔμψυχα καὶ κατὰ φαντασίαν τινὰ τῶν αἰσθητῶν τὰ εἴδη χωρὶς τῆς ὕλης λαμβάνοντα τῶν ἀψύχων οἷον κατόπτρων. καὶ ταῦτα μὲν γὰρ ἄνευ τῆς ὕλης τὰ εἴδη δέχεται, παρόντων δὲ μόνον· τὰ δὲ ἔμψυχα καὶ ἀπελθόντων, ὅτι μετὰ φαντασίας ἡ πρώτη εἰσδοχή. καὶ τούτων οὕτω διαιτηθέντων ἔτι κἀκεῖνα ἐπισκέψασθαι δεῖ, ἃ καί τισι τῶν φιλοσοφησάντων ἠπόρηται καὶ καλῶς διαλέλυται. εἰ γὰρ ἡ ὄψις αὐτὴ ἑαυτῆς αἰσθήσεται, αὐτὴ πρὸς ἑαυτὴν ἔστ' ἂν τοῦθ' ὅπερ ἐστίν· αὕτη γὰρ ἔσται ὁρῶσα καὶ ὁρωμένη. οὐδὲν δὲ τῶν πρός τι αὐτὸ πρὸς ἑαυτό ἐστιν ἀλλὰ πρὸς ἕτερον· ἡ δὲ αἴσθησις τῶν πρός τι. ἢ οὐ ταὐτὸν ὄψει τε εἶναι καὶ κεχρωσμένῃ· ὁρᾷ δὲ αὐτὴν οὐχ ὡς ὄψιν, ἀλλ' ὡς ὁρῶσαν ὄψιν καὶ εἶδος εἰληφυῖαν τοῦ ὁρωμένου πρὸς ὃ ἦν ὄψις. εἰ δὲ διὰ τοῦτο ὁρατόν τε καὶ ὁρώμενον γέγονεν, οὐκ ἔσται ἡ ὄψις ὄψεως ὄψις. ἀλλὰ κεχρωσμένης ὄψεως καὶ εἶδος ἐχούσης τὸ τοῦ ὁρωμένου. οὕτω δήπου ἂν εἴη καὶ ὁ κατ' ἐνέργειαν νοῦς νοῶν αὐτόν· οὐ γὰρ ᾗ νοῦς ἑαυτὸν νοεῖ, ἀλλ' ᾗ νοητός. ἔτι κἀκεῖνο περὶ τῶν αὐτῶν ζητήσωμεν· εἰ γὰρ τὸ ὁρᾶν καὶ ἁπλῶς τὸ αἰσθάνεσθαι πασχούσης τι τῆς αἰσθήσεως ὑπὸ τοῦ αἰσθητοῦ γίνεται, ὁρᾷ δὲ καὶ ἡ ὄψις ἑαυτήν, καὶ πείσεται ὑφ' αὑτῆς. οὐδὲν δ' ὑφ' αὑτοῦ πάσχει· δεῖ γὰρ τὸ πάσχον δυνάμει εἶναι τοιοῦτον ὅπερ τὸ ποιοῦν ἐνεργείᾳ. ἔσται γοῦν ἡ αὐτὴ κατὰ τὸ αὐτὸ καὶ δυνάμει καὶ ἐνεργείᾳ. καὶ τοῦτ' ἄλυτον καταλιπόντες ἕτερόν τι προσθήσομεν· εἰ ἡ αἴσθησις ἄλογος οὖσα ἐπιστρέφει πρὸς ἑαυτὴν γινώσκουσα ἑαυτῆς τὴν ἐνέργειαν, τὸ δὲ τοιοῦτον χωριστὸν σώματος, πᾶσα δὲ χωριστὴ σώματος ἐνέργεια καὶ τὴν οὐσίαν ἔχει χωριστήν, τοῦτο δὲ ἀθάνατον, ἀθάνατον ἄρα καὶ τὴν

5 αὐτῆς AC 12 λαμπρόν τι AC 15 post τὸ add. καὶ AC 23 ante ἡ add. καὶ A 24 ἔσται ἂν C αὕτη] fort. ἡ αὐτὴ 26 κεχωρισμένη B 27 αὐτὴν scripsi: αὐτὴν libri 30 αὐτὸν A 32 τῷ ὁρᾶν B τῷ αἰσθάνεσθαι B 33 post ἑαυτὴν add. δὲ A 39 τοῦτο δὲ ἀθάνατον repetit C

ἄλογον ψυχὴν ὑπολη(ψόμεθα. εἴπερ καὶ αἴσθησιν. ἣ οὐκ ἐπειδὴ γινώσκει ἡ ὄψις ὅτι αἰσθάνεται. ἤδη καὶ χωριστὴ σώματος καὶ ἀθάνατος. μέση γὰρ ἡ αἴσθησις τῆς τε λογικῆς ψυχῆς καὶ τῆς φύσεως. τῆς οὖν φύσεως μήτε τὴν ἐνέργειαν ἑαυτῆς γινωσκούσης μήτε τὴν οὐσίαν, πρὸς τὰ ἐκτὸς δ' ἀποτεινο-
5 μένης μόνον κατὰ τὸ τρέφειν ἢ γεννᾶν. μηδαμοῦ δὲ πρὸς ἑαυτὴν ἐπιστρεφούσης. τῆς δὲ λογικῆς καὶ κατ' ἐνέργειαν καὶ κατ' οὐσίαν ἐπιστρεφούσης (γινώσκει γὰρ οὐ μόνον τὴν ἐνέργειαν αὐτῆς, ἀλλὰ καὶ τὴν οὐσίαν, καὶ διὰ τοῦτο καὶ καθάπαξ χωριστή ἐστι σώματος), εἰκότως ἡ ἄλογος μέσην ἔχουσα τάξιν κατά τι μὲν χωριστὴ κατά τι δὲ ἀχώριστος, τὴν μὲν ἐνέργειαν ἑαυτῆς
10 γινώσκουσα, οὐκέτι δὲ καὶ τὴν οὐσίαν, καὶ χωριστὴ μὲν τοῦ παχέος σώματος, ἀχώριστος δὲ τοῦ πνεύματος. τῆς φύσεως καὶ τοῦ παχέος ἀχωρίστου οὔσης.

Ἐπεὶ δὲ φθάνομεν εἰρηκότες τὴν αἴσθησιν δέχεσθαι καὶ στέγειν τὰ εἴδη τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης ἐπὶ ποσόν τινα χρόνον. τὰ ἐκείνοις ἑξῆς προσθήσομεν. καὶ τὴν ἐνέργειαν τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ τὴν αὐτὴν μὲν
15 καὶ μίαν εἶναι λέγειν ἀνάγκη τῷ ὑποκειμένῳ· τὸ δὲ εἶναι αὐταῖς οὐ ταὐτό. λέγω δὲ οἷον ὁ ψόφος ὁ κατ' ἐνέργειαν καὶ ἡ ἀκοὴ ἡ κατ' ἐνέργειαν. κατ' ἐνέργειαν δὲ λέγομεν. ὅτι ἔστι καὶ ἀκοὴν ἔχον μὴ ἀκούειν καὶ τὸ ἔχον ψόφον οὐκ ἀεὶ ψοφεῖ, ἃ καὶ δυνάμει λέγεται. ὅταν οὖν ἐνεργῇ τὸ δυνάμενον ἀκούειν καὶ ψοφῇ τὸ δυνάμενον ψοφεῖν, τότε ἡ ἀκοὴ καὶ ὁ ψόφος ὡς ἐνεργείᾳ ἅμα
20 γίνεται τῷ ὑποκειμένῳ, τῇ σχέσει δὲ καὶ τῷ λόγῳ διαφέρει, ὥσπερ ἀνάβασις καὶ κατάβασις, δίδαξις καὶ μάθησις. ὧν εἴποι ἄν τις τὸ μὲν εἶναι ἄκουσιν. τὸ δὲ ψόφησιν. τὸ γὰρ ἐνεργείᾳ αἰσθήσει εἶναί ἐστι τὸ ἔχειν τὰ εἴδη τῶν αἰσθητῶν χωρὶς ὕλης· πάλιν τὸ κατ' ἐνέργειαν αἰσθητῷ εἶναί ἐστι τὸ ἔχεσθαι τὸ εἶδος αὐτοῦ χωρὶς ὕλης ὑπὸ τῆς αἰσθήσεως. ἐν ἄρα τῷ ὑποκειμένῳ ἡ
25 ἑκατέρα ἐνέργεια, τῷ δὲ λόγῳ διάφορος, ἥτις ἀπὸ μὲν τοῦ αἰσθητοῦ θεωρουμένη ἐπὶ τὴν αἴσθησιν καλεῖται ἀκουστὸν ἢ ὁρατὸν ἤ τι τοιοῦτον, ἀπὸ δὲ τῆς αἰσθήσεως ἐπὶ τὸ αἰσθητὸν ὅρασις καὶ ἄκουσις καὶ τὰ τοιαῦτα. εἰ δὲ ἔστιν ἡ κίνησις καὶ ἡ ποίησις καὶ τὸ πάθος ἐν τῷ ποιουμένῳ, ἀνάγκη καὶ τὸν ψόφον καὶ τὴν ἀκοὴν τὴν κατ' ἐνέργειαν ἐν τῇ κατὰ δύναμιν εἶναι· ἡ
30 γὰρ τοῦ ποιητικοῦ καὶ κινητικοῦ ἐνέργεια ἐν τῷ πάσχοντι ἐγγίνεται· διὸ καὶ οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. ἡ μὲν οὖν τοῦ ψοφητικοῦ ἐνέργεια ψόφος ἢ ψόφησις, ἡ δὲ τοῦ ἀκουστικοῦ ἀκοὴ ἢ ἄκουσις· διττὸν γὰρ ἡ ἀκοὴ καὶ διττὸν ὁ ψόφος. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν. ὡς γὰρ ἐν τοῖς Φυσικοῖς κίνησιν ἐλέγομεν τὴν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ
35 τέλειον πρόοδον καὶ ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ (κινεῖται γὰρ ἐπὶ τὴν τελειότητα οὐχ ὁ διδάσκων ἀλλ' ὁ μανθάνων· τὸ γὰρ ποιοῦν ἤδη τοῦτό ἐστιν ἐνεργείᾳ. ὅπερ γίνεται τὸ πάσχον· τὴν γὰρ ἐφ' ᾗ κινεῖ τελειότητα ἤδη ἔχει). καὶ πᾶσα ποίησις καὶ πάθος ἐν τῷ ποιουμένῳ καὶ πάσχοντι, ἀλλ' οὐκ ἐν τῷ

---

1 ὑπολειψόμεθα A 7 αὐτῆς scripsi: αὐτῆς libri 17 τὸν ψόφον B
21 μάσις C εἴποιεν A 22 ante ἐνεργείᾳ add. μὲν A 24 ἐν] ἑνὸς B 25 ἑκατέρου A: incertum C 27 δὲ] δὴ AC 30 ἐν] καὶ C
32 ἢ (ante ἄκουσις) om. C 34 ἐν τοῖς Φυσικοῖς] Phys. Γ, 1 ἀγγελοῦσ A¹
37 κινεῖται B

ποιοῦντι. καὶ οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν κινεῖσθαι, οὕτως ἐπειδὴ καὶ τὸ αἰσθητὸν τὸ κατ' ἐνέργειαν τῷ τὴν αἴσθησιν κινεῖν ἐστι τοιοῦτον. ἀνάγκη τὴν τοιαύτην κίνησιν ἐν τῇ αἰσθήσει εἶναι. ἀλλ' ἐπ' ἐνίων μὲν ὠνόμασται τὰ μέσα οἷον ψόφησις καὶ ἄκουσις, ἐπ' ἐνίων δὲ ἀνώνυμον θάτερον· ὅρασις γὰρ λέγεται ἡ τῆς ὄψεως ἐνέργεια. ἡ δὲ τοῦ χρώματος ἀνώνυμος. καὶ γεῦσις ἡ τοῦ γευστικοῦ, ἡ δὲ τοῦ χυμοῦ ἀνώνυμος. ἐν τούτοις δὲ μεμνῆσθαι χρή, πῶς ὑπὸ τῶν αἰσθητῶν κινεῖσθαι καὶ πάσχειν τὴν αἴσθησιν ἐτίθεμεν πρότερον, καὶ πῶς ἐλέγομεν δυνάμει. οὐ γὰρ κινεῖται κατὰ τὴν ἀτελῆ κίνησιν, ἀλλ' ὡς μὴ πρότερον ἐνεργοῦσα ὕστερον διὰ τὸ παρεῖναι τὸ αἰσθητὸν τὴν ἐνέργειαν προβαλλομένη ἀθρόαν καὶ αὐτὴν καὶ ἀμέριστον καὶ ἅμα πᾶσαν. ἀλλ' οὐχ οἵα ἡ κίνησις ἐν μερισμῷ καὶ συνεχείᾳ· ὥστε ὅταν λέγηται κινεῖσθαι, καταχρηστικῶς λέγεται διὰ τὸ ὅλως ἀπὸ τοῦ μὴ ἐνεργεῖν εἰς τὸ ἐνεργεῖν μεταβάλλειν, οὐχὶ διεξοδικῶς ἀλλ' ἀθρόως, καθ' ἣν καὶ ἡ τῶν ἀτόμων εἰδῶν παρουσία καὶ ἀπουσία ἐπιτελεῖσθαι πέφυκεν. ἐπεὶ δὲ μία μέν ἐστιν ἐνέργεια τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθητικοῦ, τὸ δὲ εἶναι ἕτερον, ἀνάγκη ἅμα φθείρεσθαι καὶ σώζεσθαι τὴν οὕτω λεγομένην ἀκοὴν καὶ ψόφον, καὶ χυμὸν δὴ καὶ γεῦσιν καὶ τὰ ἄλλα ὁμοίως. εἰ γὰρ μία τῷ ὑποκειμένῳ ἡ ἑκατέρα ἐνέργεια ἐν τῷ πάσχοντι οὖσα, ἀνάγκη ἅμα καὶ συνυπάρχειν καὶ συναπόλλυσθαι· συναναιρεῖται γὰρ τῇ τοῦ κινοῦντος ἐνεργείᾳ καὶ ἡ τοῦ κινουμένου, ὁμοίως δὲ καὶ συνεισάγεται· τὰ δὲ κατὰ δύναμιν λεγόμενα οὐκ ἀνάγκη. καὶ ἡμεῖς μὲν οὕτως· οἱ δὲ πρότερον φυσιολόγοι οὐ καλῶς ἔλεγον. οὐθὲν οἰόμενοι οὔτε λευκὸν οὔτε μέλαν εἶναι ἄνευ ὄψεως, οὐδὲ χυμὸν ἄνευ γεύσεως, οὐδὲ ὅλως αἰσθητὸν ἄνευ αἰσθήσεως. τῇ μὲν γὰρ ἔλεγον ὀρθῶς, τῇ δὲ οὐκ ὀρθῶς· διχῶς γὰρ λεγομένης τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ, τῶν μὲν κατὰ δύναμιν τῶν δὲ κατ' ἐνέργειαν, ἐπ' ἐνίων μὲν τοῦτο συμβαίνει τὸ λεχθέν, τῶν κατ' ἐνέργειαν. ἐπὶ δὲ τῶν ἑτέρων, τῶν κατὰ δύναμιν, οὐ συμβαίνει· ἀλλ' ἐκεῖνοι ἁπλῶς καὶ ἀδιορίστως ἔλεγον περὶ τῶν λεγομένων οὐχ ἁπλῶς.

Ἐπεὶ δ' ὁρῶμεν τὴν αἴσθησιν φθειρομένην ταῖς ὑπερβολαῖς τῶν αἰσθητῶν καὶ ἐλλείψεσιν, ἐκεῖνο ἐννοῆσαι χρὴ ὡς ἐν μεσότητί τινι καὶ λόγῳ τυγχάνει οὖσα τοῦτο πάσχουσα. οὕτω δ' ἂν τοῦτο καὶ συλλογίσαιο· ἡ κατ' ἐνέργειαν ἀκοὴ καὶ ἡ κατ' ἐνέργειαν φωνὴ ἔστιν ὡς ἓν καὶ ἔστιν ὡς οὐχ ἓν τὸ αὐτό· τῷ μὲν γὰρ ὑποκειμένῳ ἕν, ὥσπερ εἴρηται, τῷ δὲ λόγῳ διάφορον· ἡ δὲ φωνὴ συμφωνία τις καὶ συμμετρία· λόγος δὲ ἡ συμφωνία· καὶ τὴν κατ' ἐνέργειαν ἀκοὴν λόγον τινὰ εἶναι ἀνάγκη. καὶ διὰ τοῦτο καὶ φθείρει ἕκαστον ὑπερβάλλον, καὶ τὸ ὀξὺ καὶ τὸ βαρύ, τὴν ἀκοήν· ὑπὸ γοῦν μεγάλης βροντῆς πολλοὶ ἐβλάβησαν, οὓς καὶ ἐμβροντήτους καλοῦμεν· ὁμοίως δὲ καὶ ἐν χυμοῖς τὴν γεῦσιν, καὶ ἐν χρώμασι τὴν ὄψιν τὸ σφόδρα λαμπρὸν ἢ ζοφερόν, καὶ ἐν ὀσφρήσει ἡ ἰσχυρὰ ὀσμὴ καὶ πικρὰ καὶ γλυκεῖα, ὡς λόγου τινὸς οὔσης τῆς αἰσθήσεως. καὶ γὰρ ἐν ὁτῳοῦν λόγῳ οἷον τῷ διπλασίῳ εἴτε προσθείης τι εἴτε ἀφέλης, φθείρεις τὸν λόγον. οἷον τὰ εἴκοσι διπλάσια τῶν δέκα· εἴτε γοῦν

2 τῷ scripsi: τὸ libri 5 καὶ γεῦσις—(6) ἀνώνυμος in margine habet B 6 γευστικοῦ scripsi: γευστοῦ libri 10 οἷα C 11 ἐν] εἰ C 14 ἐστιν ἡ ἐνέργεια AC 16 γεῦσιν καὶ om. B 17 ἑκατέρου AC 19 συνάγεται B 36 ἐμβροτήτους B 40 φθείρης C

τι τούτοις προσθείης εἴτ' ἀφέλῃς, ἔλυσας τὸν λόγον. βλάπτεται γοῦν ἐναργῶς καὶ ὑπὸ τῆς ἐνδείας ἡ αἴσθησις· ἀλλ' ἡ μὲν ὑπερβολὴ οὐ τὴν ἐνέργειαν μόνον φθείρει ἀλλὰ καὶ τὴν δύναμιν (ἡ γὰρ μεγάλη βροντὴ αὐτὸ τὸ αἰσθητήριον βλάψασα ἐστέρησε δηλονότι τῆς ἐν τούτοις δυνάμεως), ἡ δὲ ἔνδεια τὴν ἐνέρ-
5 γειαν μόνην φθείρει τῆς δυνάμεως ἀπαθοῦς μενούσης· ἐὰν γὰρ πάνυ μικρὸς γένηται ὁ ψόφος οὐκ ἔστιν ἀκουστός, ἡ μέντοι γε ἀντιληπτικὴ δύναμις σώζεται. ἴσως δὲ καὶ ἡ πολλὴ ἔνδεια τῶν αἰσθητῶν ἀπαμβλύνει τῇ ἀργίᾳ τὰς αἰσθήσεις· ἡ γοῦν ὄψις ἐπὶ πολὺ διατρίψασα ἐν σκότῳ ἀμβλυώττει, ἴσως δὲ καὶ ἐπὶ πλέον χρονίσασα παντελῶς ἐκλείπει· τὸ δὲ σκότος ἔνδειά ἐστι τοῦ
10 ὁρατοῦ. ὅπερ δὲ ἐπὶ ἀκοῆς καὶ ὄψεως, τοῦτο καὶ ἐπὶ πασῶν λέγομεν. ἔνθεν καὶ ἀμιγῆ εἰλικρινῆ ὄντα τὰ αἰσθητὰ ἀηδῆ εἰσιν, ὅταν δὲ μιχθῇ καὶ ἐς λόγον ἔλθῃ, ἡδέα καὶ λυσιτελῆ. οἷον οἱ χυμοὶ ἄμικτοι πρὸς ἀλλήλους ὄντες οὐχ ἡδεῖς· τό τε γὰρ ἄκρατον γλυκὺ ἔκλυτόν ἐστι καὶ τὸ ἄκρατον πικρὸν ἢ ἁλμυρὸν διαβρωτικά, καὶ ἅλες καθ' ἑαυτοὺς μὲν ὄντες εἰς οὐδὲν χρήσιμοι, μιγνύμενοι
15 δὲ ἐδέσμασιν εὖ ἔχουσιν. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ἄλλων οἷον τῶν τῆς ἁφῆς· τὸ πῦρ καὶ ὁ κρύσταλλος ἄκρατα ὄντα λυπηρὰ καὶ φθαρτικά εἰσι· τὸ θερμαντὸν δὲ καὶ ψυκτὸν ὡς κεκραμένα ἡδέα.

Ἔτι τοῖς περὶ αἰσθήσεως λόγοις καὶ τοῦτο προσθέντες, ὅτι κράτιστον τῶν περὶ αὐτῆς ζητημάτων, τὸν λόγον παύσομεν ὡς ἐπὶ τὴν λογικὴν ψυχὴν καὶ
20 τὸν νοῦν ἐπειγόμενοι πόρρωθεν. ἑκάστη μὲν οὖν τῶν αἰσθήσεων τοῦ ὑποκειμένου αὐτῇ αἰσθητοῦ ἐστι γνωριστική, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον, καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αἰσθητοῦ διαφοράς, οἷον λευκὸν μὲν καὶ μέλαν ὄψις, γλυκὺ δὲ καὶ πικρὸν γεῦσις· ὁμοίως δὲ ἔχει τοῦτο καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων. ἀλλ' ἐπειδὴ οὐ μόνον ὅτι τὸ λευκὸν ἕτερόν ἐστι τοῦ
25 μέλανος γινώσκομεν τῶν ὑπὸ τὴν αὐτὴν καὶ μίαν αἴσθησιν τὴν ὅρασιν, ἀλλ' ὅτι καὶ τὸ λευκὸν ἕτερόν ἐστι τοῦ ψόφου καὶ τῆς ὀσμῆς τῶν ἐν διαφόροις (ἕκαστον γὰρ τῶν ἑτερογενῶν αἰσθητῶν πρὸς ἕκαστον κρίνομέν τινι καὶ αἰσθανόμεθα ὅτι διαφέρει). ἀνάγκη τὴν διάκρισιν ταύτην τῶν αἰσθητῶν αἰσθήσει τινὶ γίνεσθαι μιᾷ καὶ κοινῇ· οὐδὲ γάρ τινι τῶν πέντε τοῦτο γινώσκομεν, οὔτε
30 μὴν ἐνδέχεται κεχωρισμένοις κρίνειν ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ. ἀλλὰ δεῖ ἑνί τινι ἄμφω δῆλα εἶναι. εἰ γὰρ ἡ ὄψις μὲν τοῦ λευκοῦ ἀντιλάβοιτο, ἡ ἀκοὴ δὲ τοῦ ψόφου, μὴ εἴη δέ τι ἕτερον τὸ τούτων ἀμφοῖν ἀντιλαμβανόμενον, οὐδὲν ἔσται τὸ διακρῖνον ὅτι τὸ λευκὸν ἕτερον τοῦ ψόφου, ἀλλ' ὥσπερ εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο, καὶ οὐδέτερος τὸ τοῦ ἑτέρου γνοίη πάθος. καὶ πρὸς
35 τούτοις τὴν κοινὴν ταύτην αἴσθησιν ἀμερῆ τε εἶναι χρεὼν καὶ ἀσώματον. οὐ γὰρ δεῖ ὑπολαμβάνειν σάρκα ἢ ὅλως σῶμα εἶναι τὸ ἔσχατον αἰσθητήριον· ἀνάγκη γὰρ ἦν ἁπτόμενον αὐτοῦ κρίνειν τὸ κρῖνον καὶ κατὰ μέρη, ὡς ἂν τῷδε μὲν τῷ μορίῳ τοῦδ' ἂν αἰσθάνοιτο, τῷδε δὲ τοῦδε, καὶ συνιδεῖν οὐκ ἦν πάλιν τὴν διαφοράν. συνέβαινε γὰρ πάλιν τὰ εἰρημένα· οὐδὲν γὰρ τῶν μερῶν οἶδεν
40 ἀμφότερα τὰ αἰσθητά. δεῖ δὲ ἀμφότερα εἰδέναι τὸ μέλλον λέγειν ὅτι τόδε

8 ἀμβλυώττει B 11 post ἀμιγῆ add. μὲν AC ἀειδῆ C 12 ἔλθοι A 12. 17 ἡδέα scripsi: ἡδῆ libri 13 ἢ] καὶ AC 20 τῶν πέντε αἰσθήσεων A 21 γνωστικὴ C 24 ἐστι scripsi: εἶναι libri 28 διαφέρειν B 36 οὐ] εἰ B

τοῦδε ἕτερον. ὅτι μὲν οὐχ οἷόν τε κεχωρισμένοις κρίνειν τὰ κεχωρισμένα φανερόν· ὅτι δ' οὐδ' ἐν κεχωρισμένῳ χρόνῳ ἀλλ' ἀχρόνως ἐν τῷ αὐτῷ νῦν ἀμφοτέρων τῶν κριθησομένων δεῖ ποιεῖσθαι τὴν αἴσθησιν, δῆλον ἐντεῦθεν. ὥσπερ γὰρ τὸ αὐτὸ λέγει ὅτι ἕτερον τὸ ἀγαθὸν καὶ κακόν, οὕτω καὶ ὅτε θάτερον λέγει ὅτι ἕτερον. καὶ θάτερον, οὐ κατὰ συμβεβηκὸς τὸ ὅτε. εἰ γὰρ οἶδεν ὅτι διαφέρει τὸ λευκὸν τοῦ ψόφου, οἶδεν ἅμα καὶ ὅτι ὁ ψόφος τοῦ λευκοῦ διαφέρει· ὥστε ἄμφω οἶδε τὴν διάκρισιν αὐτῶν εἰδυῖα. ἡ δὲ διάκρισις ἄχρονος. καὶ ἡ ἀμφοτέρων ἄρα γνῶσις ἄχρονος καὶ ἐν τῷ αὐτῷ νῦν. εἰ γὰρ νῦν μὲν τοῦ λευκοῦ αἴσθοιτο, ἄλλοτε δὲ τοῦ ψόφου, πῶς αὐτὰ διακρίνει ἀπ' ἀλλήλων; ἡ γὰρ διάκρισις τῇ ἀντιπαραθέσει γνωρίζεται· τὰ δὲ κεχωρισμένα πῶς ἂν παραθείη; εἰ δὲ ταῦθ' οὕτω. καὶ μία οὖσα καὶ ἀμερὴς ἡ κοινὴ αἴσθησις ἐν ἑνὶ καὶ τῷ αὐτῷ νῦν τῶν διαφόρων ἢ καὶ τῶν ἐναντίων αἰσθάνεται, τὸ δὲ αἰσθάνεσθαι πάσχειν τί ἐστι, τὸ δὲ πάσχειν κινεῖσθαί πως, κινεῖσθαι δέ τι ἀδύνατον ἅμα καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ κατὰ τὸ αὐτὸ τὰς ἐναντίας κινήσεις, καὶ αἰσθάνεσθαί τι ἅμα ἀδύνατον. καὶ μήποτε ἡ αἴσθησις κατὰ μὲν τὸ ὑποκείμενον ἕν ἐστι καὶ ταὐτὸν τῷ ἀριθμῷ, τῇ δὲ οὐσίᾳ πλείω, πλειόνων οὐσῶν ἐν τῷ ἑνὶ ὑποκειμένῳ τῶν δυνάμεων, ὡς ἐν τῷ μέλιτι ὄντι κατ' ἀριθμὸν ἑνὶ πλείους εἰσὶ δυνάμεις, τὸ γλυκύ, τὸ ξανθόν, καὶ ἐν τῷ μήλῳ τὸ εὐῶδες, τὸ ἐρυθρόν, τὸ μαλακόν. καὶ ᾗ μὲν διαφόρους ἔχει δυνάμεις, οὐδὲν κωλύει τῶν διαφόρων καὶ τῶν ἐναντίων αὐτὴν ἀντιλαμβάνεσθαι κατὰ τὸν αὐτὸν χρόνον· ᾗ δὲ μία ἐστὶ τῷ ὑποκειμένῳ, ὡς ἓν αἰσθάνεται καὶ κρίνει τὰ ἐναντία. ἢ ταύτην μὲν καὶ παροπτέον, ὅτι εὐέλεγκτος. διαφόρων μὲν γὰρ εἰδῶν οὕτως ἔχουσαν τῷ αὐτῷ νῦν αἰσθάνεσθαι οὐκ ἀδύνατον· ἐναντίων δὲ πῶς ἐνεργείᾳ; ἐκείνην δὲ ἀντεισακτέον τὴν ἀληθῆ, ἣν καὶ πρότερον εἴπομεν· εἰ γὰρ τὴν κοινὴν αἴσθησιν τῇ ἐν τῷ μέσῳ τοῦ κύκλου εἰκάσαις στιγμῇ, λύσαις ἂν τὸ ἄπορον. ὡς γὰρ ἐκείνη μία οὖσα πλεῖστά ἐστι (τόσα γὰρ ὅσα τῶν εὐθειῶν πέρατα πρὸς αὐτὴν ἁπαντᾷ), οὕτω καὶ ἡ αἴσθησις, ἀσώματος οὖσα δύναμις καὶ ἀμερὴς καὶ ἁπλῆ, ἵδρυται ἐν τῷ πέρατι τῶν αἰσθητηρίων πλειόνων ὄντων· τοῦτο δέ ἐστι τὸ πνεῦμα, ἐν ᾧ τὸ ἡγεμονικόν. καθ' ὅσον μὲν οὖν μία ἐστὶ παντὸς ἐκείνου σώματος δύναμις καὶ ἀσώματος, ἀδιαίρετός ἐστι καὶ μία· καθ' ὅσον δὲ οὐ μόνον τοῦ παντὸς σώματος δύναμίς ἐστιν, ἀλλὰ καὶ ἑκάστου τῶν μερῶν αὐτοῦ (ἀμερίστως γὰρ ἐν ὅλῳ ἐστὶν ἡ αὐτή), κατὰ τοῦτο οὐ μία ἂν εἴη ἀλλὰ πλείους. ἕκαστον γὰρ τῶν αἰσθητηρίων τῶν μερικῶν ὡς ἐπί τι πέρας τὴν τῶν αἰσθητηρίων διακονίαν ἐπὶ τὸ πνεῦμα ἀναπέμπει, καὶ ἡ ἐν αὐτῷ λοιπὸν ἱδρυμένη αἴσθησις τὴν κρίσιν τῶν αἰσθητῶν ποιεῖται. ᾗ μὲν οὖν ἀδιαίρετον, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα· ᾗ δὲ διαιρετὸν οὐχ ἓν ὑπάρχει, δὶς τῷ αὐτῷ χρῆται σημείῳ ἅμα. ᾗ μὲν οὖν δυσὶ χρῆται τῷ πέρατι, δύο κρίνει, καὶ κεχωρισμένα ἔστιν ὡς κεχωρισμένον· ᾗ δὲ ἑνί, ἅμα. ἔστι δὲ πρὸς ταύτην τὴν ἀπορίαν κἀκεῖνο συντόμως εἰπεῖν, ὡς εἰ μὲν οὕτως ἐκινεῖτο ἡ αἴσθησις

2 ἀχρόνως καὶ ἐν AC 4 γὰρ om. C 5 post ὅτι add. καὶ C 16 ἕν ἐστι] ἔνεστι B 21 αἰσθάνεσθαι καὶ κρίνειν C 23 νῦν] νῷ B 30 ἐκείνου τοῦ σώματος A 31 ἕκαστον C 32 μίαν A 34 αἰσθητηρίων] αἰσθητῶν A 36 οὐχ ἓν om. A δὶς] διὸ C

ὡς αὐτὴ ἐν τῷ αἰσθάνεσθαι τῶν αἰσθητῶν λευκὴ ἢ μέλαινα γίνεσθαι, τῷ ὄντι ἦν ἀδύνατον αὐτὴν ἅμα τῶν ἐναντίων ἀντιλαμβάνεσθαι· εἰ δὲ οὐχ οὕτω γίνεται, ἀλλὰ γνωστικῶς μόνον τὰ εἴδη τῆς ὕλης ἀποσυλᾷ, οὐκέτι ὁμοίως ἄπορον· δυνατὸν γὰρ τοὺς ἀσωμάτους λόγους τῶν ἐναντίων ἅμα τοὺς αὐτοὺς εἶναι, ἐπεὶ καὶ μία τῶν ἐναντίων ἡ ἐπιστήμη. ἡ γὰρ φύσις ποιοῦσα τὸν ὀφθαλμὸν ἅμα τοῦ λευκοῦ καὶ μέλανος προβάλλει τὸν λόγον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ κατ' ἐνέργειαν διαφανοῦς ὁρᾶται γινόμενον. τὸ μὲν γὰρ ὁρᾶν, ὡς ἐλέγετο, διὰ τούτου τῷ τοῦτο πάσχειν· τῷ μέντοι τοῦτο μὴ ὡς χρωννύμενον πάσχειν ὁλικῶς ὑπὸ τῶν χρωμάτων, οὐδὲν κωλύεται ἅμα διὰ τοῦ αὐτοῦ τὸ μέλαν καὶ τὸ λευκὸν ὁρᾶσθαι. διὰ γὰρ τοῦ αὐτοῦ μορίου τοῦ ἀέρος ἄλλος μὲν τὸ μέλαν ἄλλος δὲ τὸ λευκὸν ὁρᾷ, καὶ οὐ πάσχει τι ὑπὸ τῶν ἐναντίων τὸ αὐτό, ἐπεὶ μὴ ὁλικὸν τὸ πάθος. φανερὸν ἐκ τούτου ὡς καὶ αἱ μερικαὶ αἰσθήσεις ἀμερεῖς εἰσιν, εἴπερ ἀμφοτέρων ἅμα τῶν ἐναντίων ἀντιλαμβάνονται. διαφέροι δ' ἂν ἡ κοινὴ αἴσθησις αὕτη τῆς φαντασίας, ὅτι ἡ μὲν ἀπόντων τῶν αἰσθητῶν τοὺς τόπους ἔχει, ἡ δὲ παρόντων. περὶ μὲν οὖν τῆς ἀρχῆς ἣ φαμεν τὸ ζῶον αἰσθητικὸν εἶναι, διωρίσθω τὸν τρόπον τοῦτον.

Ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν, κινήσει τε τῇ κατὰ III 3
τόπον καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν καὶ τῷ αἰσθάνεσθαι, περὶ μὲν οὖν τῆς κατὰ τόπον κινήσεως ὕστερον ἐροῦμεν, περὶ δὲ αἰσθήσεως ἤδη διήλθομεν τὸν ἐγχωροῦντα τρόπον ἡμῖν· λείπεται νῦν διελθεῖν περὶ τῆς ἐντὸς καὶ νοητικῆς τῇ ψυχῇ δυνάμεως. καίτοι τινὲς τῶν πάλαι φιλοσοφησάντων ταὐτόν τι τὴν αἴσθησιν ᾠήθησαν καὶ τὴν νόησιν. ἐπεὶ γὰρ δοκεῖ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθάνεσθαί τι εἶναι (ἐν ἀμφοτέροις γὰρ τούτοις κρίνει τι ἡ ψυχὴ καὶ γνωρίζει τῶν ὄντων), διὰ ταῦτα ἀπερισκέπτως ἕν τι τὴν αἴσθησιν καὶ τὴν νόησιν ἀπεφήναντο. αὐτίκα Ἐμπεδοκλῆς οὕτω λέγει·

πρὸς παρεὸν μῆτις ἀέξεται ἀνθρώποισι.

παρόντα γὰρ αὐτῷ ἐνταῦθα τὰ αἰσθητὰ ἐνομίσθησαν· μῆτις δὲ ἡ ἐν τούτοις αὐξάνουσα ἡ κρίσις καὶ φρόνησις· τῶν δὲ παρόντων κριτήριον αἴσθησις. οὕτω δ' ἂν καὶ πλακεὶς συλλογισμός· ἡ μῆτις τὸ παρὸν γινώσκει· τὸ γινῶσκον τὸ παρὸν αἴσθησις· ἡ μῆτις αἴσθησις. καὶ ἐν οἷς αὖ περὶ ἐνυπνίων διέξεισι, καὶ τὸ αἴτιον τοῦ διάφορα γίνεσθαι τοῖς ἀνθρώποις ἀποδιδοὺς, τῷ τὰς αἰσθήσεις διαφόρους εἶναι, ἀφ' ὧν ταῦτα· "ὅθεν σφίσιν ἀεί", φησί, "καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται", φρόνησιν τὴν ἐν τοῖς ὕπνοις φαντασίαν τιθέμενος. εἰς τοῦτο φέρει καὶ τὸ τοῦ ποιητοῦ·

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι θεός.

πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ καὶ τὸ αἰσθάνεσθαι ὑπολαμβάνουσι, καὶ αἰσθάνεσθαί τε καὶ φρονεῖν τῷ ὁμοίῳ τὸ ὅμοιον ὥσπερ καὶ ἐν τοῖς κατ' ἀρχὰς λόγοις διωρισάμεθα. καίτοι ἔδει ἅμα εἰπεῖν αὐτοὺς καὶ περὶ τοῦ ἡπατῆσθαι· καὶ

10. 11 ἄλλο utrobique C 16 αἰσθητὸν B εἶναι om. C 21 πάλιν B 24 ἕν τι] ἔτι B 25 Ἐμπεδοκλῆς] v. 330 ed. Stein 26 ἀέξετ' ἂν B 27 αὐτῷ om. B 28 ἡ (ante κρίσις) del. A² 32 φησί] v. 331 ed. Stein 33 φέρον B τὸ τοῦ ποιητοῦ] Hom. Od. Σ 136 sq. 38 καὶ (post ἡπατῆσθαι) om. AC

οἰκειότερον γὰρ τοῖς ζώοις καὶ πλείω χρόνον ἐν τούτῳ διατελεῖ ἡ ψυχή. ὥσπερ γὰρ οἱ ἐν λοιμώδει χωρίῳ διατρίβοντες νοσοῦσι τὸν πλεῖστον χρόνον, οὕτω καὶ ἡ ψυχὴ νοσοῦσα ἐν τῇ ὕλῃ τὸν πλεῖστον χρόνον τὴν ἀπάτην νοσεῖ. τόν τε ἐκ τῆς παιδικῆς ἡλικίας χρόνον μέχρι τῆς μαθήσεως, οἱ πολλοὶ δὲ πολλάκις καὶ τὸν σύμπαντα βίον. καὶ αὐτοὶ δὲ οἱ ἐπιστήμονες ὀλίγον πάνυ χρόνον ἐν τῇ θεωρίᾳ διάγουσι. τὰ πολλὰ δὲ πρὸς ἀλλήλους ἠσχόληνται. καὶ τῶν γε τῆς νυκτὸς ἐξαιρέτων τὰ πολλὰ ἐν εἰδώλοις καὶ ἀπάταις διατρίβει ἡ ψυχή. καὶ τῆς ἡμέρας γοῦν οὐκ ὀλίγον. τοιγαροῦν ἀνάγκη ἢ ὥσπερ ἔνιοι λέγουσιν, ὧν κορυφαῖος Πρωταγόρας, πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἢ τὴν τοῦ ἀνομοίου θίξιν ἀπάτην εἶναι· τοῦτο γὰρ ἐναντίον τῷ τὸ ὅμοιον γινώσκειν τῷ ὁμοίῳ, εἴπερ κατὰ τοὺς διαλεκτικούς, εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. οὐχ οὕτω δὲ ἔχει, ἀλλ' ἡ αὐτὴ καὶ μία ἐπιστήμη τῶν ἐναντίων· ὁ γὰρ τὸ ἀγαθὸν εἰδὼς ὅτι ἀγαθὸν ἅμα καὶ τὸ κακὸν ὅτι κακὸν οἶδε, καὶ ὁ τὴν ἀρετὴν εἰδὼς ὅτι ὠφελεῖ οἶδεν ὅτι καὶ ἡ κακία βλάπτει. οὐ μόνον δὲ ἐπιστήμη ἡ αὐτὴ τῶν ἐναντίων, ἀλλὰ καὶ ἡ ἀπάτη καὶ ἡ ἄγνοια· ὁ γὰρ ἀγνοῶν βλαβερὸν τὴν κακίαν ἅμα ἀγνοεῖ καὶ ὠφελοῦν τὴν ἀρετήν. εἰ δὲ τοῦτο, ἀδύνατον τῇ τοῦ ὁμοίου θίξει τὸ γινώσκειν γίνεσθαι· τὸ αὐτὸ μὲν γὰρ καὶ ἓν τῶν ἐναντίων ἐστὶ γνωστικόν, ἓν δὲ καὶ ταὐτὸν ἅμα τὰ ἐναντία εἶναι ἀδύνατον. τοῦτο δὲ συμβαίνει, εἰ τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται. ὅτι δὲ οὐ ταὐτόν ἐστιν αἴσθησις καὶ νοῦς φανερὸν ἐντεῦθεν· τῆς μὲν γὰρ πᾶσι μέτεστι, τοῦ δ' ὀλίγοις τῶν ζώων. ἀλλ' οὐδὲ τῇ διανοίᾳ ταὐτόν, ἐν ᾗ ἐστι τὸ ὀρθῶς καὶ τὸ μὴ ὀρθῶς, τὸ μὲν ὀρθῶς φρόνησις καὶ ἐπιστήμη καὶ δόξα ἀληθής, τὸ δὲ μὴ ὀρθῶς τὰ ἐναντία τούτων. ἡ μὲν γὰρ αἴσθησις τῶν ἰδίων ἀεὶ ἀληθής, καὶ πᾶσιν ὑπάρχει τοῖς ζώοις· διανοεῖσθαι δὲ ἐνδέχεται καὶ ψευδῶς, καὶ οὐδενὶ ὑπάρχει ᾧ μὴ καὶ λόγος. οὔτ' αὖ δόξῃ ἔοικε τὸ τῆς αἰσθήσεως πάθημα· ἡ μὲν γὰρ τοῦ καθόλου, ἡ δὲ τοῦ μερικοῦ ἀντιλαμβάνεται. ἀποκέκριται δὲ καὶ τῆς φαντασίας, ὅτι ἡ μὲν παρόντος ἡ δὲ καὶ ἀπόντος, καὶ ἡ μὲν ἐκτὸς ἡ δ' ἐντὸς ἔχει τὸ γνωστόν. φανερὸν οὖν ἐντεῦθεν ὡς οὐδεμιᾷ τινι τῶν ἐντὸς καὶ γνωστικῶν δυνάμεων τῆς ψυχῆς ταὐτὸν αἴσθησις.

Ἵνα δὲ καὶ τὰ λεχθέντα εὐκρινηθείη καὶ πρὸς τὰ ῥηθήσεσθαι μέλλοντα εὐθυπορῶμεν, δεῖ διελεῖν, τίνες καὶ πόσαι αἱ τῆς ψυχῆς δυνάμεις. τῶν γὰρ τῆς ψυχῆς δυνάμεων αἱ μὲν ζωτικαὶ καὶ ὀρεκτικαί, θυμός, ἐπιθυμία, βούλησις καὶ προαίρεσις, αἱ δὲ γνωστικαὶ καὶ κριτικαί· καὶ τούτων αἱ μὲν πρὸς τὰ ἐκτὸς ἀποτείνονται, αἱ δὲ ἔνδον ἔχουσι τὸ γνωστόν. αἱ μὲν οὖν πρὸς τὰ ἐκτὸς ἀποτεινόμεναι πρὸς μερικὸν ἀποτείνονται καὶ καλοῦνται αἰσθήσεις· μερικὸν γὰρ τὸ ἔξω κείμενον, τόδε τὸ χρῶμα καὶ ὅδε ὁ ψόφος. αἱ δὲ ἔνδον ἔχουσαι τὸ γνωστὸν λέγονται κοινότερον πᾶσαι νοήσεις· αὗται δὲ ἢ περὶ τὰ καθόλου εἰσὶν ἢ περὶ τὰ μερικά. ἡ μὲν οὖν περὶ τὰ μερικὰ καταγινομένη λέγεται φαντασία κυρίως καὶ παθητικὸς νοῦς· ἡ δὲ περὶ τὰ καθόλου λέγεται πάλιν

5 ἡ ἐπιστήμονες C 6 ἐξαιρέτων] fort. ἐξαιρέτως 10 ἐναντίον] ἐναντίῳ C² τῷ τὸ—ἐναντίῳ (11 ante τὸ ἐναντίον) om. C 17 γίνεσθαι] γινώσκεσθαι B 20 τοῦ] τῆς B: τοῖς C 25 τοῦ] τὸ A 28 καὶ (ante γνωστικῶν) om. C 31 γὰρ om. AC 34 ἔχουσαι C¹

κοινότερον νόησις, καθ' ἣν τὸ φρονεῖν καὶ ἡ λογικὴ ζωή. αὕτη δὲ ἢ κρειττόνως ἐνεργεῖ ἢ κατὰ συλλογισμόν, ἢ οὐ κρειττόνως· εἰ μὲν οὖν κρειττόνως καὶ δίχα συλλογισμοῦ ἁπλαῖς ἐπιβολαῖς ἐπιβάλλει τοῖς πράγμασι, γίνεται ὁ κυρίως νοῦς ὁ κατ' ἐνέργειαν λεγόμενος καὶ θεωρητικὸς καὶ καθ' ἕξιν νοῦς. εἰ δὲ μὴ κρειττόνως ἐνεργοίη συλλογισμοῦ. καλεῖται κοινῷ ὀνόματι ὑπόληψις· αὕτη δὲ ἢ κατὰ συλλογισμὸν ἐνεργεῖ ἢ χείρων ἐστὶ τοῦ χρῆσθαι συλλογισμῷ. εἰ μὲν οὖν χείρων εἴη συλλογισμοῦ, καλεῖται δόξα· εἰ δὲ κατὰ συλλογισμὸν ἐνεργεῖ. καλεῖται διάνοια καὶ δυνάμει νοῦς. καὶ αὕτη ἢ περὶ τὰ νοητὰ καὶ ἀίδια ποιεῖται τὴν διατριβὴν ἢ περὶ τὰ πρακτὰ καὶ πολιτικά. ἡ μὲν οὖν περὶ τὰ νοητὰ διατριβὴ καλεῖται ἐπιστήμη, ἡ δὲ περὶ τὰ πρακτὰ καὶ πολιτικὰ καλεῖται διάνοια, καθ' ἣν τὸ φρονεῖν καὶ νοῦς πρακτικὸς καὶ τέχνη καὶ φρόνησις, ὥσπερ καὶ ἐπὶ τοῦ θεωρητικοῦ ἤτοι θεωρητικὸς νοῦς καὶ ἐπιστήμη ἢ διάνοια καθ' ἣν αἱ ἐπιστῆμαι· καλοῦσι γὰρ πολλάκις καὶ τὴν μετὰ τοῦ συλλογισμοῦ περὶ τὰ νοητὰ τῆς ψυχῆς ἐνέργειαν θεωρίαν καὶ τὴν τοιαύτην δύναμιν θεωρητικὸν νοῦν. διαφέρει δὲ ὁ πρακτικὸς νοῦς τοῦ θεωρητικοῦ μόνῳ τῷ τέλει· τοῦ μὲν γὰρ ἀλήθεια, τοῦ θεωρητικοῦ, τοῦ δὲ τὸ ἀγαθόν, τοῦ πρακτικοῦ, τέλος· πρὸς γὰρ τὸ τῶν πολιτῶν χρήσιμον καὶ τέχνας καὶ τὰ ἄλλα πρακτὰ συλλογίζεται. διαφέρει δὲ κοινῶς καὶ τοῦ ἐνεργείᾳ νοῦ πᾶς ὁ δυνάμει νοῦς τῇ ὁδῷ. ὁ μὲν γὰρ δυνάμει νοῦς αὐτὸ τοῦτο ὃ λέγεται καὶ ποιεῖ· διανοεῖ γὰρ ἐν τῇ θεωρίᾳ ὁδόν τινα ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα· ὁ δὲ ἐνεργείᾳ νοῦς ἀεὶ ἕστηκεν ἄνευ τοῦ συλλογισμοῦ θεωρῶν. τοσαῦται καὶ αἱ γνωστικαὶ καὶ αἱ κριτικαὶ τῆς ψυχῆς δυνάμεις, καὶ οὐ πλείονες, νοῦς, διάνοια, δόξα, φαντασία καὶ αἴσθησις. διανενέμηνται δὲ ταῦτα τοῖς παλαιοῖς κατὰ τὸν ἐγκέφαλον οὕτω· κατὰ μὲν οὖν τὰς ἐμπροσθίους δύο κοιλίας αὐτοῦ τὸ φανταστικὸν ἐν ἀνθρώποις ἱδρῦσθαι λέγουσι, κατὰ δὲ τὴν μέσην τὸ διανοητικὸν καὶ δοξαστικόν, κατὰ δὲ τὴν ὀπίσθιον, ἣν καὶ ἐπικρανίδα καὶ παρεγκεφαλίδα καλοῦσί τινες, τὸ μνημονευτικόν. γνωστικῶν ἐνεργημάτων οἱονεὶ ταμεῖον καθεστηκός· ἃ γὰρ ἂν ἐκ τῆς αἰσθήσεως ἡ φαντασία λάβῃ καὶ κατάσχῃ παρ' ἑαυτῇ, ταῦθ' ἡ μνήμη διαδεξαμένη θησαυρίζει παρ' ἑαυτῇ μενήμη τις οὖσα· ὅθεν κἀκεῖνα μνημονευτά, ἃ καὶ φανταστά. ἐπεὶ δὲ συνέζευκται τῇ διανοίᾳ ἡ φαντασία, καὶ οὐδεμία διανόησις φαντασίας ἐκτὸς διὰ τὸ προηγεῖσθαι πανταχοῦ τὴν αἴσθησιν ἐν τῷ κατ' αἴσθησιν τῷδε βίῳ, εἴη ἂν ἡ μνήμη μονή τις καὶ διανοημάτων καὶ δοξασμάτων καὶ κοινὸν ὥσπερ δοχεῖον ἐνεργημάτων γνωστικῶν, οὐκ αὐτῶν ἐκείνων κατ' οὐσίαν, ἀλλὰ τῶν τόπων αὐτῶν. καὶ ἐν μὲν τοῖς ἀνθρώποις οὕτω ταῦτα συντέτακται· ἐν δὲ τοῖς ἄλλοις ζώοις δόξης ἐστερημένοις καὶ διανοίας λείπεται πληροῦν καθ' ὅλον τὸν ἐγκέφαλον τὸ φανταστικὸν καὶ μνημονευτικόν.

Ἐπεὶ δὲ περὶ αἰσθήσεως ἐν τοῖς προλαβοῦσι διεληλύθαμεν τί ἐστι καὶ κοινῶς καὶ κατὰ μέρη, καὶ οἵστισι τῶν ἄλλων κεχώρισται, κατὰ τὰ αὐτὰ καὶ περὶ τῶν ὑπολοίπων ἐν τοῖς ἑξῆς θεωρήσωμεν· καὶ πρῶτον περὶ φαντασίας.

4 καὶ (ante καθ' ἕξιν) om. B 10 πρακτικὰ A 13 τοῦ om. A 16 ἡ ἀλήθεια A 17 πρακτὰ scripsi: πρακτικὰ libri 19 ὃ om. B 21 τοῦ om. A 22 αἱ om. AC 26 ἐπικρανίδα Diels: ἐπεγκρανίδα libri 28 λάβοι AC post καὶ add. ἀπονομαξαμένη A κατάσχοι AC 29 μνήμη τις B 32 μόνη B 33 κοινεῖν C 37 τί τέ ἐστι AC

καίτοι γε τοῦτο ἤδη καὶ αὐτόθεν οἶμαι δῆλον τῷ μὴ παρέργως τῆς διαιρέσεως ἐπαίοντι. ὅ τί τε ἕκαστον καὶ οἵστισιν ἀλλήλων κοινωνοῦσι καὶ διαφέρουσι· τῆς ἀκριβείας γοῦν τῆς ἐπιστημονικῆς χάριν τὰ ἑπόμενα προστεθήσονται. ὅτι μὲν οὖν ἑτέρα φαντασία αἰσθήσεως ἀνωτέρω διώριστο· οὐδὲν δ' ἧττον καὶ νῦν δηλωθή-
5 σεται. εἰ δή ἐστιν ἡ φαντασία, καθ' ἣν φάντασμά τι ἡμῖν γίνεται, καὶ μὴ εἴ τι κατὰ μεταφορὰν λέγομεν, μία τίς ἐστι τούτων δύναμις ἢ ἕξις, καθ' ἣν κρίνομεν καὶ ἀληθεύομεν ἢ ψευδόμεθα. τοιαῦτα δέ ἐστιν αἴσθησις, δόξα, ἐπιστήμη, νοῦς. ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις δῆλον ἐκ τῶνδε. αἴσθησις μὲν γὰρ πᾶσα ἤτοι δύναμις ἢ ἐνέργεια, οἷον ὄψις καὶ ὅρασις, φαίνεται δέ τι καὶ μηδε-
10 τέρου τούτων ὑπάρχοντος, οἷα τὰ ἐν τοῖς ὕπνοις· τὰ γὰρ ἐν τοῖς ὀνείρασι χρώματα οὔτε τῆς δυνάμεως οὔτε τῆς ἐνεργείας ὁράματα ὄψεως, ἀλλὰ μόνης φαντασίας. ἔτι αἴσθησις μὲν ἡ κατὰ δύναμιν ἀεὶ πάρεστι τοῖς ζώοις, φαντασία δ' οὔ. ἕτερον δὲ καὶ τῆς ἐνεργείας· εἰ δ' οὖν, πᾶσιν ἂν ἐνδέχοιτο τοῖς θηρίοις φαντασίαν ὑπάρχειν· δοκεῖ δ' οὔ. ἔπειτα οὐδὲ λέγομεν, ὅταν
15 ἐνεργῶμεν ἀκριβῶς περὶ τὸ αἰσθητόν, ὅτι φαίνεται τοῦτο ἡμῖν ἄνθρωπος· ἀλλὰ μᾶλλον ὅταν μὴ ἐναργῶς αἰσθανώμεθα, τότε ἢ ἀληθὴς ἢ ψευδής· καὶ ὅπερ δὴ ἐλέγομεν πρότερον, φαίνεται καὶ μύουσιν ὁράματα. ἀλλὰ μὴν οὐδὲ τῶν ἀεὶ ἀληθευόντων οὐδεμία ἔσται, οἷον ἐπιστήμη ἢ νοῦς· ἔστι γὰρ φαντασία καὶ ψευδής. λείπεται ἄρα ἰδεῖν εἰ τῇ δόξῃ ταὐτόν· γίνεται γὰρ δόξα
20 καὶ ἀληθὴς καὶ ψευδής. ὅτι δὲ ἑτέρα, γνοίη ἄν τις ἐντεῦθεν· τοῦτο μὲν γὰρ τὸ πάθος τὸ τῆς φαντασίας ἐφ' ἡμῖν ἐστιν, ὅταν βουλώμεθα (πρὸ ὀμμάτων γὰρ ἔστι τι ποιήσασθαι, ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς τιθέμενοι καὶ εἰδωλοποιοῦντες· καὶ γὰρ ἀναμνησθῆναί τινος θέλοντες κινοῦμεν τοὺς τόπους, οὓς ἐκ τῆς αἰσθήσεως εἰλήφαμεν), δοξάζειν δὲ οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐν τοῖς πράγμασιν·
25 ἀνάγκη γὰρ ἢ ψεύδεσθαι ἢ ἀληθεύειν. οὐ γὰρ εἰ θελήσαιμι δοξάσαι ὅτι μείζων μεγέθει ὁ μύρμηξ τοῦ λέοντος, δύναμαι ἄν ποτε τοῦτο δοξάσαι· φαντασίαν μέντοι τοιαύτην ἀναπλάσαι δυνατόν. ἀλλ' οὐδὲ ἐπ' ἐμοὶ τὸ συγκαταθέσθαι ὅτι τὰ δὶς δύο τέσσαρά ἐστιν· ἦν γὰρ ἂν καὶ τὸ μὴ συγκαταθέσθαι· νῦν δὲ βιάζεται τὸ φαινόμενον ἀληθὲς τὴν καταδοχήν, οἱ δὲ ἐν ταῖς ψευδοδοξίαις ψέγονται
30 ὅτι τὴν ἀρχὴν ἠμέλησαν ἑαυτῶν. ἔτι δὲ ὅταν μὲν δοξάσωμεν δεινόν τι ἢ φοβερόν, εὐθὺς συμπάσχομεν, ὁμοίως δὲ καὶ ἐὰν ᾖ θαρραλέον· κατὰ δὲ τὴν φαντασίαν ὡσαύτως ἔχομεν ὥσπερ ἂν εἰ θεώμενοι ἐν γραφῇ τὰ δεινὰ ἢ θαρραλέα· τὸ γὰρ θαρρεῖν ἢ δειλιᾶν καὶ τὰ τῶν ζώων ἄλογα οὐ μόνον τῆς ἐν αὐτοῖς φαντασίας τὸ πάθημα, ἀλλὰ διὰ τὴν ἐν ταύτῃ τοῦ ἡδέος συναί-
35 σθησιν καὶ συγκατάθεσιν ἢ λυπηροῦ. ἔτι δόξῃ μὲν ἕπεται πίστις (οὐκ ἐνδέχεται γὰρ οἷς δοκεῖ δοξάζοντα μὴ πιστεύειν), τῶν δὲ θηρίων οὐδενὶ ὑπάρχει πίστις, φαντασία δὲ ἐν πολλοῖς. ἔτι πίστει μὲν ἀκολουθεῖ τὸ πεπεῖσθαι, τῷ δὲ πειθώ, πειθοῖ δὲ λόγος· τῶν δὲ θηρίων ἐνίοις μὲν φαντασία ὑπάρχει,

2 ante κοινωνοῦσι add. καὶ AC 3 γοῦν] οὖν AC 4 ἕτερον AC
5 post καθ' ἣν add. λέγομεν A γίγνεσθαι A 11 δυνάμει A
ἐνεργείᾳ AC² 13 ἐνεργεία AC 16 αἰσθανόμεθα AC 20 ἕτερον AC 33 γὰρ om. C 37 τῷ] τὸ A 38 ante πειθώ add. τῷ C

λόγος δὲ οὔ. τοῖς αὐτοῖς δὲ τούτοις καὶ διανοίας ἡ φαντασία καὶ νοῦ διακριθήσεται, δι' ἃ καὶ τῆς δόξης. μήποτε δὲ ἀπὸ συμπλοκῆς αἰσθήσεως καὶ δόξης ἡ φαντασία τὴν γένεσιν ἔχει, ἐπεὶ μηδενὶ ταυτίζεται τῶν ἁπλῶν. οὐκ ἔστι δέ· εἰ γὰρ συμπλοκὴ δόξης καὶ αἰσθήσεως, ἀνάγκη δήπου περὶ ἓν εἶναι καὶ τὸ αὐτὸ τήν τε αἴσθησιν καὶ τὴν δόξαν, ἐξ ὧν συμπλεκομένων ἡ φαντασία γίνεται, καὶ μὴ ἄλλου μὲν εἶναι δόξαν ἄλλου δὲ αἴσθησιν· οἷον εἰ τοῦ λευκοῦ εἴη φαντασία, δεῖ δηλονότι τὴν δόξαν καὶ τὴν αἴσθησιν, ἐξ ὧν ἡ φαντασία τοῦ λευκοῦ γέγονε, περὶ ἓν καὶ τὸ αὐτὸ ⟨τὸ⟩ λευκὸν ἐνεργῆσαι. οὐ γὰρ ἂν εἰ ἡ ἑτέρα μὲν εἴη τοῦ λευκοῦ, οἷον ἡ αἴσθησις, ἡ ἑτέρα δὲ ἑτέρου τινός, οἷον τοῦ γλυκέος, ἡ δόξα ἐκ τῆς τοῦ λευκοῦ αἰσθήσεως καὶ τῆς δόξης τοῦ γλυκέος συμπλεκομένων γένοιτο ἂν λευκοῦ φαντασία· πῶς γὰρ ἂν ἡ τοῦ γλυκέος δόξα εἰς γένεσιν τῆς τοῦ λευκοῦ φαντασίας συνοίσει; δεῖ οὖν ἑνὸς εἶναι καὶ τοῦ αὐτοῦ τήν τε αἴσθησιν καὶ τὴν δόξαν, ἐξ ὧν ἡ φαντασία γενήσεται. εἰ δὲ τοῦτο, ἐπείπερ τῷ γεωμέτρῃ αἰσθήσει μὲν ποδιαῖος ὁ ἥλιος φαίνεται, δοξάζεται δὲ εἶναι μείζων τῆς οἰκουμένης, εἴπερ ἡ φαντασία ἀπὸ δόξης πέπλεκται καὶ αἰσθήσεως, τὰ ἐναντία συμβήσεται. αἰσθόμενος γὰρ αὐτοῦ ποδιαίου καὶ φαντάσεται ἄρα ὅτι ποδιαῖός ἐστιν· ἀλλὰ μὴν [ὅτι] καὶ μείζονα πάσης τῆς οἰκουμένης τὸν αὐτὸν φαντασθήσεται διὰ τὸ δοξάζειν οὕτως. ἅμα ἄρα ἀληθῶς καὶ ψευδῶς δοξάζει καὶ φαντάζεται, ὅπερ ἀδύνατον. ἢ οὖν ἡ αὐτὴ μένουσα δόξα πείσεται τὰ ἐναντία, ἢ εἰ μὴ τοῦτο ἐγχωρεῖ, ἀνάγκη ὁπηνίκα φαντάζηται ποδιαῖον τὸν ἥλιον, ἀποβαλεῖν τὴν προτέραν δόξαν ἣν εἶχεν ἀληθῆ περὶ αὐτοῦ καὶ ἑτέραν μεταλαβεῖν ψευδῆ. ἀλλ' εἰ μετέβαλε τὴν προτέραν δόξαν, ἀνάγκη πᾶσα, ἢ τοῦ πράγματος μεταβαλόντος αὐτοῦ τοῦ ἡλίου, ἢ αὐτοῦ μεταπεισθέντος ἢ ἐπιλαθομένου τοῦτο συμβέβηκεν· ἀλλὰ μὴν οὔτε τὸ πρᾶγμα μετέβαλεν οὔτε μετεπείσθη οὔτ' ἐπελάθετο· οὐκ ἄρα οὐδὲ τὴν δόξαν μετέβαλεν. εἰ δὲ μὴ τοῦτο, πέπεισται δὲ ὅτι πολλαπλασίων τῆς γῆς, φαντάζεται δὲ καὶ ὅτι ποδιαῖος, ἀνάγκη ἄρα ἐν τῷ αὐτῷ καὶ ψευδῆ καὶ ἀληθῆ αὐτόν, ὥσπερ εἴρηται, δοξάζειν. οὐκ ἄρα συμπλοκὴ δόξης καὶ αἰσθήσεως ἡ φαντασία.

Τί οὖν ἐστιν, εἴπερ μὴ ἕν τι τούτων μήτ' ἐκ τούτων; εἰ μὲν οὖν ἀδύνατον ἦν τὸ κινούμενον ὑφ' ἑτέρου καὶ αὐτὸ κινεῖν ἕτερον, ἄδηλον ⟨ἂν⟩ ἦν ὅ τί ποτε οὖσα τυγχάνει ἡ φαντασία. ἐπεὶ δ' ἐνδέχεται (κινεῖ γὰρ ἡ ψυχὴ τὴν φύσιν καὶ αὕτη τὴν χεῖρα, ἡ δὲ τὴν βακτηρίαν καὶ αὕτη τὴν θύραν κἀκείνη ἴσως ἄλλο τι), ἡ δὲ φαντασία γοῦν κίνησίς τις δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως γίνεσθαι ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησις, εἴη ἂν αὕτη κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινομένη. φανερὸν οὖν ὡς οὐκ ἄλλοις ὑπάρχει ἢ οἷς καὶ αἴσθησις· ἀδύνατον γὰρ ὧν μηδέποτε αἴσθησιν ἐλάβομεν φαντασθῆναι· οἱ γοῦν ἐκ γενετῆς τυφλοὶ χρωμάτων οὐκ ἄν ποτε λάβοιεν φαντασίαν, καὶ τὰς περὶ τῶν νοητῶν φαντασίας ἐκ χρωμάτων καὶ

3 οὐκ—εἶναι (4) in marg. add. B 5 συμπλέκομεν B 6 ἄλλον utrobique B εἰ] ἡ A 7 εἴη] εἴ C 8 post γέγονε add. τοῦ λευκοῦ B τὸ ante λευκὸν addidi 9 ἡ (post εἰ) om. AC ἡ (ante αἴσθησις) om. C 17 ὅτι delevi 24 συμβέβηκεν] fort. συμβεβηκέναι 25 οὔτε (post μετέβαλεν) repetit B 30 ἂν addidi 34 εἴη] εἴ B

σχημάτων συντέθεικεν ἡ διάνοια ὧν αἰσθήσει κατέλαβε. δέδωκε δὲ τοῖς ζώοις ταύτην ἡ φύσις, ἵνα κατ' αὐτὴν πολλὰ καὶ ποιήσῃ καὶ πάθῃ· καὶ γὰρ ὁρμῆς καὶ φόβου καὶ ἔρωτος αἴτιον αὐτοῖς ἡ φαντασία ποιητικόν. καὶ τὰ μὲν ἄλογα πάντα κατ' αὐτὴν πράττει ἅτε νοῦν μὴ ἔχοντα μηδέ τι αὐτῆς τελειότερον· πολλάκις γοῦν ἐν γραφαῖς τεθεαμένα τι ἐπῆλθον· τὰ δὲ λογικὰ νοῦ μετέχοντα οὐ πάντα κατὰ φαντασίαν ποιεῖ. ὅμως μέντοι ὁ ἄνθρωπος ὧν ποιεῖ τὰ πλεῖστα κατὰ φαντασίαν ποιεῖ, καὶ μάλιστα ὅταν ἐπικαλύπτηται τὸν νοῦν πάθει, οἷον νόσῳ ἢ ὕπνῳ. καὶ ἀγαπητὸν κἂν πρὸς βραχὺ ταύτης ἀπαλλαγῆναι τῷ εἰς ἄκρον φιλοσοφίας ἐληλακότι· ὅθεν καὶ ἐν τῷ Φαίδωνι τὸ ἔσχατον τῶν ἀπὸ τοῦ σώματος συμβαινόντων ἡμῖν κακῶν τὴν φαντασίαν ὁ Πλάτων ἐτίθετο, ἐπειδὴ καὶ μετὰ τὸ σχολάσαι ἂν τὴν ψυχὴν ἀπὸ τῶν τοῦ σώματος φροντίδων αὕτη παρενοχλοῦσα οὐκ ἐᾷ καθαρὰς τὰς νοήσεις ποιεῖσθαι. καὶ δὴ ὅταν ἀπὸ τοῦ λόγου τὰς ἀρχὰς ἔχῃ, κἀκείνῳ συνεργοῦσα τὰ ἐκεῖθεν ἀμερῶς νοούμενα μορφοῦσα καὶ σχηματίζουσα μεριστὰ ποιεῖ καὶ διαστατά, τοῦ νοῦ ἀμερίστως νοοῦντος τὰ μεριστὰ καὶ τὰ ἐσχηματισμένα ἀσχηματίστως. ὁ μὲν γὰρ πρακτικὸς νοῦς, καίτοι περὶ μερικὰ βουλευόμενος, λέγει τυχὸν ὅτι δεῖ εἰς τὸ Βυζάντιον ἀπελθεῖν, καὶ ἄνευ φαντασίας τὴν ἐν λόγῳ θεωρουμένην πόλιν ἐνόησεν· ἡ δὲ φαντασία εὐθὺς ἀνέπλασε καὶ σχῆμα καὶ τόπον. ἐπὶ δὲ τοῦ θεωρητικοῦ ὁ μὲν νοῦς ἁπλῶς τὸν εἰδητικὸν τοῦ κύκλου λόγον θεωρεῖ ὅτι ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἔχον τὰς ἀπὸ τοῦ κέντρου ἴσας· ἡ δὲ φαντασία εὐθὺς ἐσχημάτισε καὶ ποσόν τινα κύκλον ἐνόησεν. ὅθεν τὸ μὲν νόημα τοῦ νοῦ διὰ τὸ ἀσχημάτιστον καὶ ἀμόρφωτον κατὰ τὸν ἐξῃρημένον τῆς ἰδέας τοῦ κύκλου λόγον γενόμενον παντὶ κύκλῳ ἐφαρμόσαι δύναται· τὸ μέντοι φάντασμα τὸ γενόμενον τοῦ κύκλου οὐκέτι παντὶ δυνατὸν ἐφαρμόσαι· πάντως γὰρ μετά τινος ποσοῦ μεγέθους γέγονεν, ὃ οὐχ οἷόν τε παντὶ κύκλῳ ἐφαρμόσαι. ἡ μὲν οὖν τῷ λόγῳ συνεργοῦσα φαντασία, ἅτε δὴ χείρων οὖσα τοῦ λόγου, τὰ ὑπ' ἐκείνου, ὅπερ εἶπον, ἀπαθῶς καὶ ἀμερῶς νοούμενα καὶ μερίζει καὶ μετὰ τύπων καὶ μορφῶν νοεῖ· διὸ καὶ ἐπιθολοῖ τὸν νοῦν, καθαρὰς αὐτοῦ τὰς ἐνεργείας γενέσθαι μὴ συγχωροῦσα. ἡ δὲ ἄλογος φαντασία, φημὶ δὴ ἡ τῇ αἰσθήσει συνεργοῦσα καὶ παρ' αὐτῆς τὰς ἀρχὰς τῆς οἰκείας ἐνεργείας δεχομένη, ἐπειδὴ κρείττων ἐστὶ τῆς αἰσθήσεως, τὰ ἐκείνῃ μεριστῶς γνωσθέντα καὶ παθητῶς ἀμερῶς φανταζεται αὕτη καὶ ἀπαθῶς. ἔστι δὲ καὶ ψευδὴς καὶ ἀληθὴς φαντασία· ἐπεὶ γὰρ κίνησιν αὐτὴν αἰσθήσεως τῆς κατ' ἐνέργειαν ὡρισάμεθα, ὡς ἂν ἡ αἴσθησις ἔχοι, οὕτω καὶ ἡ φαντασία. τῆς οὖν αἰσθήσεως ἀληθευούσης μὲν ἐν τοῖς ἰδίοις καὶ σφαλλομένης ἢ οὐδαμῶς ἢ ἐλάχιστον, ψευδομένης δὲ ἐν τοῖς κατὰ συμβεβηκός τε καὶ κοινοῖς, καὶ ἡ φαντασία οὕτως ἕξει· ψεύσεται μὲν ἐν τοῖς ἄλλοις, ἀληθεύσει δὲ ἐν τοῖς ἰδίοις. ὡς γὰρ ἂν τυπωθείη ὑπὸ τῆς αἰσθήσεως, οὕτως ἔχοι. συμβαίνει δὲ ψεύδεσθαι τὴν αἴσθησιν κἂν τοῖς ἰδίοις αἰσθητοῖς διὰ τὴν παρὰ μικρὸν διαφοράν, οἷον ὅταν τὸ πράσινον ἢ τὸ

4 αὐτῆς] αὐτοῖς B 5 τεθεαμένα B 9 ἐν τῷ Φαίδωνι] Cap. 11 p. 66 D
15 ante πρακτικὸς add. νοῦς ὁ A¹ 19 τοῦ λόγου κύκλον BC 22 post ἀμόρφωτον add. εἶναι A² 25 post ποσοῦ add. καὶ A² 30 παρ' αὐτοῦ A¹C
35 ψευδομένοις A¹C 36 συμβεβηκόσι C

ἁλουργὸν μέλαν ὁρᾷ, ἢ ὅταν δύο ἀγγείων γάλακτος κειμένων καὶ ἐμβληθείσης ἐν τῷ ἑτέρῳ σταγόνος αἵματος ὁμοίως λευκὰ ἀμφότερα ὁρᾷ ἡ ὅρασις, οὐ δυναμένη τὴν παρ' ἐλάχιστα διαφορὰν διαγνῶναι. καθόλου δὲ ἐν πᾶσι τοῖς αἰσθητοῖς τὸ ἀληθεύειν ἢ ψεύδεσθαι συμβαίνει ἢ παρὰ τὴν ποιὰν σχέσιν τοῦ αἰσθητοῦ πρὸς τὸ αἰσθητήριον, ὡς ἐπὶ τοῦ τραχήλου τῆς μελαίνης περιστερᾶς τῆς ἐν ἡλιακῷ ἑστώσης· ἢ παρὰ τὴν ἀπόστασιν, ὡς ὅταν τὰ εὐθύγραμμα πόρρωθεν κύκλους ὁρῶμεν καὶ τὰ χρώματα μελάντερα, ὥσπερ καὶ τὰ σφαιρικὰ δισκοειδῆ καὶ τὰ μεγάλα μικρά, καὶ ἵστασθαι τὰ κινούμενα, καὶ τὸν κύκλον εὐθεῖαν· ἢ παρὰ τὸ μεταξύ, ὡς τὴν καθ' ὑδάτων κώπην κεκλασμένην ὁρῶμεν καὶ τὰ πυρώδη διὰ καπνοῦ ἢ ὁμίχλης φαινόμενα αἱματώδη δοκεῖ· ἢ παρ' αὐτὸ τὸ αἰσθητήριον, ὡς ὅταν ἐμφράξεως ἐν τῷ ὀπτικῷ νεύρῳ γινομένης κωνώπια ἔξωθεν δοκῇ ὁρᾶν, ἢ ἐρυθρὰ ἢ ὠχρὰ τὰ ἔξωθεν διὰ τὸν ἐπικείμενον ἐν τῷ ὀπτικῷ μορίῳ χυμὸν τοιοῦτον ὄντα, ἢ ὅταν διπλὰ δοκῶμεν ὁρᾶν παραστρέψαντες τὸν ἕτερον τῶν ὀφθαλμῶν τῷ δακτύλῳ. εἰ δὲ καὶ παρὰ φαῦλον τὸ περὶ ὀνομάτων φιλοσοφοῦσι πραγματεύεσθαι, ἡμεῖς γε ἀλλ' ὅσον καὶ κατὰ πάρεργον περὶ τῆς παραγωγῆς τοῦ τῆς φαντασίας ὀνόματος εἴπωμεν. ἐπεὶ γὰρ γένεσις μὲν φαντασίας αἴσθησις, τιμιωτάτη δὲ αἰσθήσεων ὅρασις, φωτὸς δὲ ἀνάληψις ὅρασις, ἀναποδίζων ὁ λόγος παρὰ φωτὸς τὴν φαντασίαν ἐκλάμψαι διισχυρίζεται, ⟨ὅτι⟩ φαοστασία τις οὖσα καὶ τῶν φανέντων στάσις καὶ ὑπηρέμησις. περὶ μὲν οὖν φαντασίας τί ἐστι καὶ διότι ἐστὶν εἰρήσθω ἐπὶ τοσοῦτον.

(Ἡ δὲ δόξα καταγίνεται περὶ τὸ καθόλου τὸ πρώτως ἐν τοῖς αἰσθητοῖς, οἷον ὅτι πᾶν λευκὸν διακριτικὸν ὄψεως, πᾶσα χιὼν λευκή, πᾶς ἄνθρωπος δίπους· ἡ αὐτὴ δὲ καὶ ἀναγκαία καὶ ἄμεσος πρότασις καὶ ἀναπόδεικτος. ἔτι γε μὴν καὶ τὰ τῶν διανοητῶν σύμπαντα τὰ ἄνευ λόγου δόξης ἐστίν. ὅτι μὲν γὰρ ἡ ψυχὴ ἀθάνατος ὁ δοξάζων οἶδε, διότι δ' οὔ (ἑτέρῳ γὰρ παρῆκε τῷ ἐπιστήμονι)· καὶ διανοίας τοῦτό γε. καὶ ὅσοις τῶν συλλογισμῶν τὰ συμπεράσματα μὴ διὰ μέσου ἀναγκαίου συνάγεται, αἵ τε προτάσεις ἔνδοξοι καὶ τὸ συμπέρασμα, οἷον ὁ ἄνθρωπος γελαστικὸν ἢ χερσὶ χρώμενον, τὸ δὲ τοιοῦτον ζῶον, ὁ ἄνθρωπος ἄρα ζῶον, τάς τε προτάσεις πάσας τῆς ἐνδεχομένης ὅλης δόξης θείη ἄν τις, οὐκ ἐπιστήμης. ἡ μὲν οὖν φαντασία καὶ ἡ αἴσθησις ὥσπερ λέγονται μερικαὶ γνώσεις, οὕτω καὶ εἰσὶ καὶ καθ' ὅρους μόνον βεβήκασι καὶ ἄνευ συνθέσεως ἐν ἑνὶ τῷ ὑποκειμένῳ ἱστάμεναι· καθόλου δὲ καὶ ἐν συνθέσει κατηγορουμένου καὶ ὑποκειμένου ἡ δόξα. καὶ περαιτέρω γε μὴν προτάσεως οὐ πρόεισι· διανοίας δὲ οἱ συλλογισμοὶ καὶ αἱ διεξοδικαὶ τῶν λόγων συνθέσεις. ἔστι μὲν οὖν δόξα ἡ τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἄνευ λόγου καὶ καθόλου γνῶσις ἐν πρώτῃ συνθέσει, καὶ ἡ τῶν ἐνδεχομένων καὶ ἄλλοτε ἄλλως ἔχειν καὶ μετὰ λόγου καὶ ἄνευ λόγου γνῶσις. διάνοια δέ ἐστιν ἡ λογικὴ τῆς ψυχῆς ἀνέλιξις, καὶ ἡ ἀπ' ἄλλου ἐπ' ἄλλο τῶν νοητῶν καθόλου γνωστικὴ καὶ κριτικὴ τῆς ψυχῆς μετάβασις καὶ ἐνέργεια μετὰ συνθέσεως καὶ διαιρέσεως, καὶ

---

1 ἐμβληθείσης scripsi: ἐμβληθέντος AC: ἐμβληθέντων B 6 ἡλιακῷ] ἡλίῳ AC 9 περὶ A 12 δοκεῖ AC 13 παραστρέψαντες Diels: περιστρέψαντες libri 15 τοῖς φιλοσοφοῦσι C τοῖς φιλοσοφοῦσι τὸ περὶ τῶν ὀνομάτων A 18 περὶ φωτὸς C 19 ὅτι addidi φωστασία C 20 οὖν om. B τί τέ ἐστιν AC 24 μὴν] μὲν A¹ σύμπαντα] συμπεράσματα A 30 ἐπιστήμη B 36 ἐν—γνῶσις (37) om. C

ἡ ἀπὸ τῶν προτέρων ἐπὶ τὰ δεύτερα πρόοδος καὶ ἡ συναφὴ τῶν ἄκρων καὶ ὅπως πρὸς ἄλληλα σχέσεως ἔχουσι, διὰ τῆς παρενθήκης τῶν μέσων φανέρωσις καὶ ἀπόδειξις. ταύτῃ γὰρ τάς τε τῶν ὄντων γνωρίζομεν κοινωνίας καὶ ἑτερότητας καὶ τὰς κρίσεις καὶ ζητήσεις ποιούμεθα καὶ τὸ ἀληθὲς ἢ μὴ θηρώμεθα· οὐδὲν γὰρ ἕτερόν ἐστι διάνοια ἢ συλλογισμός. αὕτη ἢ περὶ τῶν ἀιδίων πραγματεύεται αἰτιολογοῦσα, καὶ ἔστι τοῦτο ἐπιστήμη καὶ θεωρία ἀναγκαίας καὶ ἀληθεῖς τὰς προτάσεις λαμβάνουσα, καὶ τὰς μὲν δεομένας ἀποδείξεων, οἷον ὅτι τὸ σημεῖον ἀμερές, παρ' ἑαυτῆς εἰς γένεσιν ἐπιστήμης εἰσφέρουσα, τὰς δὲ αὐτοπίστους, οἷον ὅτι ὁ θεὸς ἀγαθὸς καὶ τὰ ὅμοια, παρὰ τοῦ νοῦ· ἢ περὶ τῶν τρεπτὰ ἐχόντων τὰ ὑποκείμενα, καὶ ποιεῖ τὰς τέχνας· ἢ περὶ τὰ ἀνθρώπινα καὶ πολιτικά, τὸ ἐν τούτοις ζητοῦσα καλὸν καὶ τοῦ συμφέροντος προμηθουμένη, καὶ ποιεῖ τὴν φρόνησιν. ἔστι δὲ καὶ ἐπιστήμη μὲν γνῶσις μετ' αἰτίας τῶν καθόλου καὶ ἀεὶ κατὰ ταὐτὰ ὄντων, τέχνη δὲ γνῶσις μετὰ λόγου τῶν τρεπτὰ ἐχόντων τὰ ὑποκείμενα ἢ ἕξις ὁδῷ βαδίζουσα μετὰ φαντασίας, φρόνησις δὲ ἕξις μετὰ ὀρθοῦ λόγου πρακτικὴ περὶ τὰ ἀνθρώπινα ἀγαθὰ ἢ κακά, περὶ ὧν καὶ τὸ βουλεύεσθαί ἐστι. πεῖρα γὰρ γνῶσις πράγματος ἑνὸς ἄλογος, ἐμπειρία δὲ γνῶσις πλειόνων ἄνευ τῆς αἰτίας ἢ μνήμη καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. γένεσις δὲ ἐπιστήμης μὲν νοῦς καὶ διάνοια, τέχνης δὲ δόξα λογικὴ καὶ διάνοια, πείρας δὲ αἴσθησις, ἐμπειρίας δὲ αὕτη τε καὶ φαντασία καὶ ἄλογος δόξα, φρονήσεως δὲ φύσις εὖ ἔχουσα καὶ διάνοια μετὰ πολυπειρίας καὶ ἱστορίας καὶ τῆς τῶν αὐτῶν πολλάκις εἰς τἀναντία πραγμάτων μεταβολῆς κοινωνία καὶ θεωρία. καὶ ἔοικεν ἡ διάνοια ὥσπερ ὑφάντῃ ἀποτελοῦντι τὸ ὕφασμα, ὡς ἂν ἡ κρόκη καὶ ὁ στήμων αὐτῷ χορηγήσαιεν, καὶ ἔστι διὰ ταῦτα καὶ ἀληθὴς καὶ ψευδής. εἰ μὲν γὰρ παρὰ τοῦ νοῦ τὰς προτάσεις λαμβάνοι, τὸν ἐπιστημονικὸν ποιεῖ συλλογισμόν· εἰ δὲ παρὰ τῆς δόξης, τὸν διαλεκτικόν· εἰ δὲ παρὰ τῆς φαντασίας καὶ αἰσθήσεως, τὸν σοφιστικόν. κατὰ ταὐτὰ δὲ ἐπαμφοτερίζει καὶ δόξα καὶ φαντασία. ἀεὶ δὲ ἀληθὴς νοῦς καὶ ἐπιστήμη, καὶ ἡ τῶν ἰδίων αἴσθησις καὶ τέχνη τῷ λόγῳ καὶ φρόνησις. πέντε δ' οὐσῶν δυνάμεων γνωστικῶν, ἁπλαῖ μὲν νοῦς, φαντασία καὶ αἴσθησις, σύνθετοι δὲ μέχρι μὲν προτάσεως δόξα, ἡ δὲ περαιτέρω διάνοια. νοῦς μὲν γὰρ καὶ αἴσθησις, τὸ ἀκρότατον καὶ τὸ ἔσχατον, ἁπλῆν ποιοῦνται τὴν γνῶσιν καὶ τὴν ἐνέργειαν καὶ ἄχρονον καὶ κρείττω λόγου. ἥ τε γὰρ αἴσθησις ἀχρόνως ἐπιβάλλει τοῖς αἰσθητοῖς καὶ ἁπλῶς οὐ δεῖται τοῦ διδάξοντος ἐν τοῖς ἰδίοις ἑκάστῃ, ὅτι τόδε ἐστὶ τὸ προσπεσόν, ἀλλ' ἅμα τε προσέβαλε καὶ ἅμα ᾔσθετο τοῦ ἀληθοῦς, οἷον ἡ ὄψις αὐθρόως λευκῷ ὁμιλήσασα εὐθὺς ἐπέγνω αὐτὸ ἄνευ ἀπάτης ἀσυλλογίστως καὶ ἔτι οὐ πραγματεύεται. κατὰ τὰ αὐτὰ οὖν καὶ ὁ νοῦς τήν τε τῶν ὅρων ποιεῖται λῆψιν καὶ τῶν κοινῶν ἐννοιῶν, οἷον ὅτι τόδε ζῶον ἢ ἄνθρωπος ἢ οὐσία καὶ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. νοῦ γὰρ εὕρεμα οἱ ὅροι καὶ αἱ ἁπλαῖ φωναὶ αἱ δέκα κατηγορίαι, ὅθεν καὶ τὰ πολλὰ

2 ὅπως] ὅπερ B 11 προμηθουμένη BC A² 12 καὶ (ante ἐπιστήμη) om. A 13 ταῦτα B 16 γὰρ] δὲ AC 17 ἢ] ἡ B 21 τῆς] ἡ AB 25 λαμβάνει τὸν A: λαμβάνοιτ' ἂν C 31 ποιοῦντας B [illegible] A

ὁ νοῦς οὐ συντίθησι (διανοίας γὰρ τοῦτό γε ἡ δόξης). ἢ μόνον ἐν τοῖς κοινοῖς ἀξιώμασιν. ἔτι ὥσπερ ἡ αἴσθησις τῶν ἰδίων ἀεὶ ἀληθής, ψεύδεται δὲ ἐν τοῖς συμβεβηκόσιν (οὐ γὰρ ἄν ποτε ὑγιὴς ὄψις προσβαλοῦσα λευκῷ οὐ γνοίη εὐθὺς αὐτό, ἀλλ' εἰ τὸ λευκὸν ζῶον ἢ μή, ἢ κινεῖται ἢ ἵσταται), οὕτω καὶ ὁ νοῦς ἀναμάρτητον ποιεῖται τὴν ἁπλῆν τῶν ὅρων θίξιν καὶ τὴν τῶν κοινῶν ἐννοιῶν, καὶ ἀεὶ ἀληθὴς ἐν τούτῳ· τὸ γάρ τοι ψεῦδος ἐν συμπλοκῇ θεωρεῖται. διττὸν τοίνυν τὸ ἀληθές, τό τε ἐν τοῖς ἁπλοῖς θεωρούμενον, ὃ δὴ καὶ ὑποστατικὸν καλεῖται, τὸ ἐν αἰσθήσει καὶ νῷ, καὶ τὸ ἐν συνθέσει, τὸ ἐν συλλογισμῷ καὶ προτάσεσιν, ᾧ δὴ καὶ τὸ ψεῦδος ἀντίκειται. ἐὰν γὰρ μὴ δεόντως συντίθηται ἢ ἀποδιίστηται ἄλλο ἀπ' ἄλλου, ὃ δὴ διανοίας καὶ δόξης ἔργον ὡμολογήσαμεν, ψεύδεται. διαφέρει δὲ νοῦς καὶ αἴσθησις καὶ ἐν τούτῳ, ὡς ὁ μὲν τῶν καθόλου, ἡ δὲ τοῦ μερικοῦ ἀντιλαμβάνεται, καὶ τοῦ μὲν ἀίδιον, τῆς δὲ φθαρτὸν τὸ ὑποκείμενον. ἔτι ἡ διάνοια καὶ δυνάμει νοῦς ὀνομάζεται. ἀνάγεται γὰρ πρὸς ἅπερ ὁ νοῦς ἁπλαῖς ἐπιβάλλει νοήσεσι διὰ πολυπραγμοσύνης τε καὶ ζητήσεως καὶ συνεπαίρεται τῷ ἐνεργείᾳ νῷ, καταγίνεται δὲ περὶ τὰ διανοητὰ εἴτ' οὖν τοὺς καθόλου τῶν πραγμάτων λόγους, ὥσπερ ὁ νοῦς περὶ τὰ νοητά, καὶ μέσην ἔχει τάξιν τῶν τε πρώτων καὶ τῶν τελευταίων τῆς ψυχῆς γνωστικῶν δυνάμεων. ᾗ δὴ καὶ μάλιστα συγγενής ἐστι τῇ ἡμετέρᾳ ψυχῇ. ἐπειδὴ καὶ αὕτη τὴν μέσην ἐν τῷ παντὶ τάξιν ἔχει (μέση γάρ ἐστι τῆς τε ἀμερίστου καὶ μεριστῆς φύσεως). καὶ ταύτῃ ἡ ψυχὴ ὁδηγῷ χρῆται πρὸς τὴν τῶν νοητῶν θεωρίαν· τοῦτο γὰρ δὴ τῆς ψυχῆς ἡ τελείωσις. διὰ γὰρ τὸν συνεθισμὸν τῶν αἰσθητῶν, ἐπειδὴ σύντροφος αὐτοῖς ἀδυνατεῖ πρὸς τὴν τῶν καλλίστων καὶ νοητῶν θεωρίαν (νομίζει γὰρ κἀκεῖ σώματα εἶναι καὶ σχῆμα καὶ μέγεθος). καὶ περὶ τοῦ θείου δὴ τὰ αὐτὰ φαντάζεται. ὅθεν δεῖ αὐτὴν ἐπὶ τὴν αὐτῆς ὁδεύουσαν τελειότητα πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν. ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων (ταῦτα δὲ τὰ διανοητά, οἷα αὐτή τε καὶ ἡ περὶ αὐτῆς θεωρία, ἔτι τε τὰ μαθήματα. ἃ τὴν οὐσίαν ἄυλον ἔχει. εἰ καὶ μὴ τὴν ὕπαρξιν), ὧν ἐν τούτοις συνεθισθεῖσα ἐνεργεῖν ἀύλως ὁλῷ προελθοῦσα καὶ ἐπὶ τὰ παντελῶς χωριστὰ τῆς ὕλης, λέγω δὴ τὰ θεῖα, χωρήσῃ. εἰ δέ ποτε ἡ διάνοια καὶ περὶ τῶν νοητῶν συλλογίζοιτο, ἀλλ' οὐ καθ' αὑτήν, τῷ δὲ νῷ συμπλακεῖσα, ὥσπερ καὶ ἐπὶ τῶν αἰσθητῶν συμπλακεῖσα τῇ φαντασίᾳ. ἐπεὶ δὲ φθάνομεν εἰπόντες τὴν δόξαν εἰδέναι τὰ τῶν διανοητῶν σύμπαντα ἄνευ λόγου καὶ τὸ καθόλου ἐν τοῖς αἰσθητοῖς, πόθεν ἡ γνῶσις τούτου τῇ δόξῃ, εἴπερ μὴ ὑπὸ διανοίας; εἰ γὰρ αὕτη περὶ τὰ αἰσθητά, σχολῇ γ' ἂν ἢ αἰσθήσει τοῦτο ἢ φαντασίᾳ ληπτόν, ἀτόμων οὔσαις καὶ μερικῶν γνωστικαῖς. ἢ οὐκ ἄτοπον προχείρως καὶ διανοίᾳ τοῦτο θηρᾶσθαι λέγειν· ὃ γὰρ ἐφ' ἑνὸς τῶν ὁμουσίων καὶ δύο καὶ τριῶν, καὶ ἐπὶ πάντων θείη ἄν τις, εἰ καὶ μὴ ἀεί. τὸ δὲ ἀληθὲς ὅτι ἡ λογικὴ ψυχὴ τοὺς

---

1 οὐ συντίθησι om. B 2. 6 ἀληθές B 9. 10 συντίθεται ἢ ἀποδιίσταται C: συντίθοιτο ἢ ἀποδιίσταιτο A^2 11 καὶ αἴσθησις] αἰσθήσεως AC 12 τῆς] τοῖς B 18 ᾗ scripsi: ἢ libri 24 τὰ αὐτὰ ταῦτα AC αὐτῆς scripsi: αὐτῆς libri 26 οἷα AC αὐτή τε scripsi: αὕτη τε A^2BC: ἥτε ἡμετέρα ψυχὴ A^1 27 συνεσθισθεῖσα C 29 χωρήσει AC 32 σύμπαντα] συμπεράσματα A τὸ scripsi: τὰ libri ante ἐν add. τὰ A 33 εἰ] οὐ AC 34 ἢ — φαντασίᾳ] ἡ αἴσθησις τοῦτο ἡ φαντασία B

λόγους τῶν πραγμάτων συνουσιωμένους ἔχει παρ' ἑαυτῇ, τῷ καταδεδυκέναι δὲ ἐν τῇ ὕλῃ κατεχώσθησαν ὡς ὁ ἐν τῇ τέφρᾳ κρυπτόμενος σπινθήρ. ὥσπερ οὖν ὅταν τις μικρὸν τὴν τέφραν διορύξῃ, ὁ σπινθὴρ εὐθὺς ἀναλάμπει, καὶ οὐχ ὁ διορύξας τὸν σπινθῆρα ἐποίησεν, ἀλλὰ μόνον τὰ ἐμποδίζοντα ἔπαυσεν, 5 οὕτω τοι καὶ ἡ δόξα ἐρεθιζομένη ὑπὸ τῆς αἰσθήσεως προβάλλει τοὺς λόγους τῶν ὄντων. καὶ τοὺς διδασκάλους οὔ φασι τὴν γνῶσιν ἡμῖν ἐντιθέναι, ἀλλὰ τὴν οὖσαν καὶ οἷον κρυπτομένην ἐκφαίνειν. λαμβάνει μέντοι ἡ διάνοια, ὥς γε εἴρηται, ἀπὸ νοῦ τὰς ἀρχὰς τῶν ἐπιστημῶν· νοῦς γὰρ ἀρχὴ ἐπιστημῶν, ᾗ τοὺς ὅρους γινώσκομεν. ὅροι δὲ αἵ τε κοιναὶ ἔννοιαι καὶ οἱ ἐν συλλογισμοῖς 10 ἁπλοῖ. ὡς γὰρ τὸ ἐπὶ παντὸς εἶναι τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀναποδείκτως ἴσμεν, οὕτω καὶ ὅτι τόδε τι ἄνθρωπός ἐστιν ἢ ψυχὴ ἤ τι τοιόνδε. τοσαῦτα καὶ περὶ διανοίας.)

III 4 Περὶ μέντοι τοῦ νοητικοῦ μορίου τῆς ψυχῆς, ᾧ γινώσκει τε καὶ φρονεῖ, σκεπτέον ἤδη νῦν· προὔργου γὰρ ἡμῖν ἡ περὶ αὐτὸ πραγματεία· τοῦτο γὰρ ἡμῶν τὸ 15 θειότατον. ζητήσωμεν δὲ περὶ αὐτοῦ ὅ τι τὴν οὐσίαν ἐστί, καὶ εἰ χωριστὸς καὶ ἀπαθὴς καὶ ἀσώματος, ὅπως τε νοεῖ καὶ ποσαχῶς λέγεται. ὅτι μὲν ὁ καλούμενος νοῦς τῆς ψυχῆς, λέγω δὲ τὸν ἁπλῶς, οὐδέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων, πρὶν νοεῖν, ἀλλὰ δυνάμει πάντα, οὐδ' ἔστι τις αὐτοῦ φύσις φανερόν. εἰ γάρ ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι, καὶ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ τὸν νοῦν, 20 ὥσπερ ἡ αἴσθησις ὑπὸ τῶν αἰσθητῶν. εἴπερ δεῖ πάθος αὐτὸ καλεῖν. διττὸν γάρ, τό τε πρὸς τελειότητα ἄγον, ὅπερ ἂν καὶ πάθοι καὶ νοῦς καὶ αἴσθησις, καὶ τὸ πρὸς φθοράν. ἔστι μὲν οὖν, ὥσπερ ἡ αἴσθησις δυνάμει ὅπερ τὰ αἰσθητά, ἐνεργείᾳ δὲ οὐδὲν ἐκείνων, πρὶν ἂν αἴσθηται, οὕτω καὶ ὁ νοῦς. εἰ γὰρ μέλλει πάντων τῶν νοητῶν ἀντιληπτικὸς εἶναι, δεῖ αὐτὸν ἀπαθῆ εἶναι καὶ 25 μηδὲν εἶδος ἔχειν τῶν νοητῶν· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει. ἔνθεν οἵ τε βαφεῖς τὰ ὡς οἷόν τε ἀχρωμάτιστα τῶν ἐρίων παραλαμβάνουσιν ὡς ἐπιτηδειότερα πρὸς ὃ χρῶμα βούλοιντο, καὶ ὅλος δὲ ὅταν ᾖ προκατειλημμένη τινὶ χρώματι, ἐμποδίζει τῇ διόδῳ τὰ λοιπά. δεῖ δὴ αὐτὸν ἀμιγῆ εἶναι, ὥσπερ Ἀναξαγόρας φησίν, ἵνα κρατῇ, καὶ οὐ μεμῖχθαι εὔλογον 30 αὐτὸν λέγειν τῷ σώματι. εἰ γὰρ μέμικται, ἢ κατὰ κρᾶσιν ἐμμέμικται ἢ ὡς εἶδός ἐστι τοῦ σώματος, ὥσπερ τοῦ αἰσθητηρίου ἡ αἴσθησις καὶ τοῦ πεπτικοῦ ἡ πέψις. ἀλλ' εἰ κατὰ κρᾶσιν, ποιός τις ἂν γίγνοιτο, ψυχρὸς ἢ θερμός· εἰ δὲ ὡς εἶδος, κἂν ὄργανόν τι εἴη αὐτῷ, ὥσπερ ἐκεῖ αἰσθήσει μὲν τὸ πνεῦμα ἢ τὸ αἰσθητήριον, πέψει δὲ τὰ οἰκεῖα. οὐδέτερον δὲ περὶ αὐτὸν θεωρεῖται. 35 ποῖον γὰρ μόριον ἢ πῶς ὁ νοῦς συνέξει, χαλεπὸν καὶ πλάσαι, καὶ ἐν ταῖς νοητικαῖς αὐτοῦ ἐνεργείαις ὀργάνῳ τινὶ καὶ σωματικῷ οὐχ ὁρᾶται χρώμενος· ἔκαμνε γὰρ ἄν, εἰ τοῦτ' ἦν. νυνὶ δὲ οὐχ ὁμοία ἡ ἀπάθεια τοῦ αἰσθητικοῦ καὶ τοῦ νοητικοῦ· φανερὸν γὰρ ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως. ἡ μὲν γὰρ αἴσθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ, οἷον

3 ἀναλάμπει] ἀνάπτει B 13 περὶ μέντοι—θειότατον (15) om. B τοῦ νοητοῦ μορίου C 14 αὐτὸ] αὐτοῦ A 15 ζητήσομεν AC καὶ (ante εἰ) om. C 17 τῆς ψυχῆς νοῦς AC 18 νοεῖν scripsi: νοεῖ libri 21 καὶ (ante πάθοι) om. A πάθη BC 32 ποῖος AC 36 καὶ om. AC

ψόφου ἐκ τῶν μεγάλων ψόφων, καὶ ἐκ τῶν ἰσχυρῶν χρωμάτων καὶ ὀσμῶν οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι· ἀλλ' ὁ νοῦς ὅταν νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον. τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος· σῶμα γὰρ τὸ πνεῦμα, ὃ δὴ ὄχημα καὶ κοινὸν τῶν αἰσθήσεων
5 ὄργανον· ὁ δὲ νοῦς χωριστός. καὶ ἡ μὲν αἴσθησις οὐκ ἐπιμένει τὰ εἴδη τῶν αἰσθητῶν ἔχουσα, ἀλλ' εὐθὺς ἀποβάλλει· ὁ δὲ νοῦς ἐπιμένει. καὶ ἐπὶ μὲν τῆς αἰσθήσεως κίνησίς τις θεωρεῖται καὶ παντελὴς ἑτερότης διὰ τὴν ἔξω ὕπαρξιν τῶν αἰσθητῶν· ἐπὶ δὲ τοῦ νοεῖν οὔτε ἄλλο πάντῃ τὸ νοητὸν οὔτ' ἔξω, ἀλλ' εἴσω, οὔτε σωματική τις γίνεται κίνησις, ἐπεὶ οὐδενὸς ὀργάνου δεῖ, ἀλλὰ
10 κατὰ μόνην τὴν ὡς ὑφ' ἑτέρου πλήρωσιν ἡ πάθη, καὶ ἀφ' ἑαυτοῦ πως τὸ νοεῖν διὰ τὴν μίαν τῆς ψυχῆς οὐσίαν καὶ τοιοῦτον, ὡς ἅμα μὲν ὁμοιότητα σῶζον πρὸς τὸ πάθος διὰ τὴν ὡς ἑτέρωθεν ἔνδοσιν, ἅμα δὲ ἕτερον ὂν τοῦ πάθους διὰ τὴν ἀφ' ἑαυτοῦ τελείωσιν. ὅθεν καὶ ζητεῖ ἡ ψυχὴ ὡς μὴ ἔχουσα, καὶ εὑρίσκει τὰ πράγματα εἰς ἑαυτὴν βλέπουσα ὡς ἔχουσα.

15 Ἐπεὶ δὲ ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει τὸ μὲν ὕλη ἐν ἑκάστῳ γένει (τοῦτο III 5
δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ τὸ ποιητικὸν καὶ αἴτιον, οὕτω ποιεῖται πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς· καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ καὶ δυνάμει, ὁ δὲ τῷ πάντα ποιεῖν, ὁ ἐνεργείᾳ, ὡς ἕξις τις, οἷον τὸ φῶς.
20 ἔοικε γὰρ ὁ μὲν δημιουργὸς νοῦς καὶ οὐσιοποιὸς τῷ ἡλίῳ, ὁ δὲ κατ' ἐνέργειαν ἀνθρώπινος καὶ ἡμέτερος τῷ φωτί· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. καὶ οὗτος ὁ νοῦς ἀμιγής ἐστιν, ὡς εἴρηται, καὶ ἀπαθὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ. ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη
25 τῷ πράγματι· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί. ὅλως δὲ οὐδὲ χρόνῳ. καὶ παραμένων μὲν σώματι ποτὲ μὲν νοεῖ, ποτὲ δὲ οὐ νοεῖ· χωρισθεὶς δέ ἐστι μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀίδιον. ὡς δὲ τὸν δυνάμει νοῦν γίνεσθαι πάντα λέγοντες, καὶ λίθον καὶ οὐρανὸν καὶ ἄγγελον καὶ τὰ λοιπά, οὐ κατ' οὐσίαν πάντως λέγομεν, ἀλλ' ὡς τὰ εἴδη αὐτῶν δεχό-
30 μενον γνωστικῶς, οὕτω τοι ἀκούειν χρὴ καὶ τὸν ἐνεργείᾳ νοῦν πάντα ποιεῖν οὐχ ὅτι παράγει πάντων τὴν οὐσίαν (τοῦτο γὰρ μόνου τοῦ δημιουργικοῦ), ἀλλ' ὅτι τὸν δυνάμει νοῦν ποιεῖ πάντων δεκτικόν. πάντα δὲ ποιεῖ νοητὰ οὐχ ἁπλῶς (εἰσὶ γάρ τινα καὶ καθ' αὑτὰ τῇ φύσει νοητὰ ἅπερ εἰσὶ καὶ νοῖ), ἀλλ' ὅσα μὴ φύσει ὄντα νοητά, τὰ ἔνυλα εἴδη· τά τε γὰρ καθόλου ἀπὸ τῶν αἰσθητῶν
35 καὶ μερικῶν συνηθροίσατο καὶ τὰ μαθηματικὰ ἐξ ἀφαιρέσεως. καὶ εὖ δὴ οἱ III 4
λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν· πλὴν οὔτε ὅλη ἀλλ' ἡ νοητικὴ μόνη, οὔτ' ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη. καὶ οὗτος τόπος ὁ νοῦς εἰδῶν ὡς δεχόμενος αὐτά, οὐ μέντοι τῷ ὑποκεῖσθαι αὐτοῖς καὶ αὐτὸς ἐκεῖνα γίνεσθαι, ἀλλ' ὡς ἡ μήπω γεγραμμένη πινακὶς τὰ γράμματα. ὡς γὰρ ἐν ἐκείνῳ δυνάμει
40 ἐστὶ πάντα τὰ δυνάμενα ἐν αὐτῷ γραφῆναι, ἐνεργείᾳ δὲ οὐδέν ἐστι πρὶν

6 ἀλλ' εὐθὺς ἀποβάλλει om. B 8 πάντῃ ἄλλο A 9 μηδενὸς AC 10 πάθη] incertum B πῶς A 16 οὕτω ποιεῖται] τῷ ποιεῖν de An. 430 a 12
20 δημιουργικὸς AC 23 ἐνέργεια A 31 μόνον B 35 cf. de An. 429 a 27

γραφῇ, οὕτω τοι καὶ ὁ νοῦς οὐδέν ἐστιν ἐνεργείᾳ τῶν νοητῶν, πρὶν μάθοι ἢ εὕροι, ἀλλὰ δυνάμει πάντα. καὶ ὡς ἐκείνῳ οὐ φθειρομένου τοῦ προτέρου χάρτου τοῦ δυνάμει γίνεται τὸ ἐνεργείᾳ, καὶ ὁ νοῦς γινόμενος ἐνεργείᾳ τὰ νοητὰ οὐδὲν μεταβάλλει τῆς αὐτοῦ φύσεως· τότε δὲ καὶ ἑαυτὸν νοεῖ νοῶν ἐκεῖνα. ἔτι ὅταν ὁ δυνάμει νοῦς χρόνῳ καὶ διδασκαλίᾳ τῇ ἔξωθεν ἢ τῇ ἐντὸς καὶ παρ' αὐτοῦ ζητήσει καὶ τριβῇ ἐγγυμνασάμενος γένηται τοιοῦτος οἷος ὁ ἐπιστάμενος, ὡς λοιπὸν μὴ δεῖσθαι διδασκαλίας ἀλλ' αὐτὸς ἀφ' αὑτοῦ προφέρειν τὰ εἴδη, τότε γίνεται κατ' ἐνέργειαν νοῦς. διαφέρει δὲ οὗτος τοῦ κατ' ἐνέργειαν τοῦ πρώτου καὶ θείου ὅτι ἐκεῖνος ἀθρόως καὶ μιᾷ ἐνεργείᾳ πάντα νοεῖ ἀμεταβάτως, οὗτος δὲ καὶ ὅταν ἐνεργείᾳ γένηται, καθ' ἓν ἕκαστον νοεῖ καὶ μεταβαίνει ἀφ' ἑτέρου εἰς ἕτερον, ὑφ' ἓν πλείονα νοῆσαι μὴ δυνάμενος. καὶ ἐκεῖνος μὲν οὐ γίνεται ἀλλ' ἔστιν ἐνεργείᾳ, ἄνευ δυνάμεως ἑστῶσαν ἔχων τὴν γνῶσιν καὶ ἀεὶ ὡσαύτως καὶ τὴν οὐσίαν ἀμετάβλητον καὶ τὴν ἐνέργειαν κατὰ τὴν οὐσίαν· οὗτος δὲ καὶ ὅταν ἐνεργείᾳ γένηται, οὐκ ἀθρόον ἀλλὰ καθ' ἕκαστον νοητὸν καὶ νοεῖ καὶ προχειρίζεται. ἔστι γὰρ ὁ κατ' ἐνέργειαν νοῦς τὰ νοητά, ὥσπερ ἡ κατ' ἐνέργειαν ἐπιστήμη τὰ ἐπιστητά πως καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις τὰ αἰσθητά. ἐπεὶ δὲ τῶν πραγμάτων τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα (ἁπλᾶ μὲν τὰ ἄυλα, οἷον ἄγγελος, ψυχή, νοῦς, σύνθετα δὲ τὰ ἐξ ὕλης καὶ εἴδους, οἷον πῦρ, ὕδωρ), καὶ ἐν τοῖς συνθέτοις ἄλλο μὲν τὸ εἶδος ἄλλο δὲ τὸ συναμφότερον, οἷον ἄλλο μέν ἐστιν αὐτὸ τὸ πῦρ, λέγω δὴ τὸ σύνθετον, ἄλλο δέ ἐστιν αὐτὸ τὸ πυρὶ εἶναι, γινώσκομεν δὲ ἄμφω, πότερον τῷ αὐτῷ μορίῳ τῆς ψυχῆς τὸ ἁπλοῦν καὶ τὸ σύνθετον γινώσκομεν, ἢ ἑτέρῳ καὶ ἑτέρῳ; ἢ τῷ αὐτῷ. ἄλλως δὲ καὶ ἄλλως ἔχοντι κατὰ τὴν σχέσιν: λέγομεν δὴ ὅτι τῷ αὐτῷ, ἑτέρως δὴ καὶ ἑτέρως ἔχοντι. οὕτω γὰρ ἔχει ὁ νοῦς πρὸς ἑαυτὸν ἐν τῷ νοεῖν ἑκάτερον, ὡς ἔχει ἡ κεκλασμένη εὐθεῖα πρὸς τὴν ἄκλαστον. τῷ γὰρ μὴ καθ' αὑτὸν ἁπλῇ ἐπιβολῇ γινώσκειν τὸ σύνθετον, ἀλλὰ δεῖσθαι φαντασίας καὶ αἰσθήσεως, καὶ οἱονεὶ διπλόην ἔχειν τινὰ καὶ ἐπι * * τῇ κεκλασμένῃ εἰκάζεται. οἱονεὶ γὰρ πρῶτον ἔξω ἐκτείνεται ἐπὶ τὴν φαντασίαν, εἶτα ἐπιστρέφει εἰς ἑαυτὸν καὶ πρὸς τοὺς ἐν αὐτῷ καθόλου λόγους ἐκ τῶν μερικῶν ἀνατρέχει· οἰκεία γὰρ αὐτῷ καὶ κατὰ φύσιν ἐνέργεια ἡ τῶν νοητῶν ἀντίληψις. ὅταν μέντοι περὶ αὐτῶν τῶν εἰδῶν σκοπῇ, μὴ προσχρώμενος αἰσθήσει ἀλλὰ τοὺς ἐν αὐτῷ μόνον λόγους κινῶν, οἷον τίς θερμότητος λόγος ἢ ἀνθρωπότητος καὶ ἔτι ψυχῆς ἢ ἀγγέλου, τότε τὴν ἄκλαστον εὐθεῖαν μιμεῖται. εἷς δὲ καὶ ὁ αὐτὸς ὁ τὰ σύνθετα καὶ τὰ ἁπλᾶ γινώσκων. ὡσαύτως ἔχει καὶ ἐπὶ τῶν μαθηματικῶν. ἅπερ καὶ ἐξ ἀφαιρέσεως λέγονται. καὶ γὰρ ἐν τούτοις καὶ τῆς ὕλης ἀφαιρουμένης ἡ διπλόη ἐπιμένει πάλιν. ἄλλο γάρ ἐστι τὸ εὐθὺ καὶ τὸ εὐθεῖ εἶναι· ἔστι γὰρ ὑποκείμενόν τι ἐν τούτοις καὶ οἷον ὕλη τὸ συνεχές, εἶδος δὲ ἡ εὐθύτης καὶ ἡ καμπυλότης αὐτή. ὅταν μέντοι

2 ὡς ἐν ἐκείνῳ A 3 τῷ δυνάμει C 4. 6 αὑτοῦ scripsi: αὐτοῦ libri 9 τοῦ] καὶ AC 12 ante ἄνευ add. καὶ AC 21 αὐτῷ AC 22 τό τε ἁπλοῦν AC 25 ἡ om. C 27 ἴσχειν A 28 ἐπὶ C: ἐπ B: del. A: fort. ἐπικαμπὴν vel ἐπίκαμψιν (cf. Philoponus: ἐπικαμπτόμενος πρὸς τὴν αἴσθησιν) 29 ὑποστρέφει A 32 προχρώμενος C τίς scripsi: τις libri 33 ἄγγελος B 37 εὐθεῖ] εὐθὺ AC 38 ὁ μέντοι C

κύκλον νοῇ ὁ νοῦς ἢ τὸ καμπύλον, τοῦτο δέ ἐστι τὸ σύνθετον, ἀναλόγως τῇ κεκλασμένῃ εὐθείᾳ νοεῖ· ὅταν δὲ αὐτὰ μόνα ψιλὰ τὰ εἴδη νοῇ, καμπυλότητα εὐθύτητα. τότε μὴ προσχρώμενος αἰσθήσει τῇ ἀκλάστῳ εὐθείᾳ ἔοικεν. ἔτι ὥσπερ ἐπὶ τοῦ σιμοῦ ὡς μὲν σιμότης ἐν ῥινὶ ἔχει τὸ εἶναι, οὗ καὶ νοου-
5 μένη ἀχώριστος (ἔστι γὰρ σιμότης κοιλότης ἐν ῥινί), ὡς δὲ κοιλότης κεχωρισμένη καὶ οὐδὲν ⟨δεῖ⟩ τῷ νῷ προσεπινοεῖν τὸ ὑποκείμενον, ὅταν ὡς κοιλότητα αὐτὴν νοῇ, χωρίσαντι αὐτὴν καθ' αὑτήν, κατὰ τὰ αὐτὰ καὶ ὁ μαθηματικὸς αὐτῶν τῶν εἰδῶν τοὺς ὁρισμοὺς ἄνευ τοῦ ὑποκειμένου ποιεῖται, οἷον τί ἐστι κύκλος, τί τρίγωνον, τί εὐθὺ καὶ τὰ λοιπά. ἐν ἀφαιρέσει δὲ λέγονται ὡς
10 ἀχώριστα μὲν τῆς ὕλης καθ' ὕπαρξιν, τῷ νῷ δὲ χωρισθέντα καὶ οἷον ἀφαιρεθέντα τοῦ ὑποκειμένου.

Ἔτι νοεῖ ὁ νοῦς καὶ τὰ ἁπλᾶ πράγματα, νοεῖ καὶ τὰ σύνθετα. ἄλλως III 6
δὲ ἐνταῦθα ἁπλοῦν καὶ σύνθετον λέγομεν ἢ πρότερον, ὡς ἐκεῖ μὲν τὸ ὁλικὸν πρὸς τὸ ἄολον διαστέλλοντες ἐχρώμεθα τοῖς ὀνόμασιν, ἄμφω δὲ νῦν ἐπὶ τῶν
15 νοητῶν καὶ τὴν ἁπλότητα καὶ τὴν σύνθεσιν τίθεμεν, ἁπλᾶ μὲν τοὺς ὅρους, σύνθετα δὲ τὰς προτάσεις κατονομάζοντες. εἴτε οὖν ἁπλᾶ εἴτε σύνθετα τὰ νοούμενα, κατὰ τοῦτο νοεῖ ὁ νοῦς αὐτά, καθὸ ἕν τι ἁπλοῦν καὶ ἀδιαίρετον ἔχουσιν. ἔστι δὲ τὸ ἀδιαίρετον πενταχῶς· ἢ τὸ ἐν τοῖς ὅροις· ἀδιαίρετοι γὰρ ἐν προτάσεσιν οὗτοι, εἰς φωνὰς ἁπλουστέρας μὴ μεριζόμενοι, οἷον ἄνθρωπος.
20 ἵππος, σύμμετρον, ἀσύμμετρον. λέγεται πάλιν ἀδιαίρετον καὶ τὸ συνεχὲς ὡς ἐνεργείᾳ ἔχον τὴν ἕνωσιν. δυνάμει δὲ τὴν διαίρεσιν. οἷα τὰ μεγέθη, χρόνος, τόπος καὶ τὰ αἰσθητὰ καὶ κατὰ μέρος σώματα. ἀδιαίρετον καὶ τὸ εἶδος τό τε ἐπὶ τῆς μορφῆς καὶ τὸ ἐπὶ τῆς οὐσίας· ἥ τε γὰρ ἑκάστου οὐσία ἕν (διαιρεθεῖσα γὰρ φθείρει τὸ ὅλον) ἥ τε μορφὴ ὁμοίως. ἀδιαίρετον καὶ τὸ σημεῖον
25 καὶ τὸ νῦν ὡς μὴ ἔχοντα ἔκτασιν. καὶ πέμπτον πρὸς τούτοις τὸ ὄντως ἀδιαίρετον, λέγω δὴ τὰ νοητὰ καὶ θεῖα εἴδη, ἐν οἷς οὐδαμῶς τὸ δυνάμει. ἕκαστον οὖν τῶν νοητῶν κατὰ τὸ ἀδιαίρετον τὸ ἐν αὐτῷ ὁ νοῦς νοεῖ, οἷον τοὺς ὅρους καθὸ ἁπλοῖ· ὅθεν καὶ οὐ τὸ μὲν αὐτῶν ἐν τῷδε χρόνῳ τὸ δὲ ἐν τῷδε νοήσει, ἀλλ' ἅμα καὶ ἀθρόως. καὶ τὰς προτάσεις δὲ οὐ καθὸ σύνθετοι.
30 ἀλλὰ καθὸ ἕν τι σημαίνουσι νοεῖ· οὐ γὰρ ἄνθρωπον καὶ λευκὸν ἀνὰ μέρος, ἀλλ' ἓν τὸ ἅπαν λευκὸν ἄνθρωπον καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ. πάλιν τὰ συνεχῆ οὐ καθὸ δύναται διαιρεθῆναι νοεῖ, ἀλλὰ καθό εἰσιν ἐνεργείᾳ ἀδιαίρετα· οἷον ἐὰν νοήσω τὸν Τρωικὸν πόλεμον ὅτι ἐν τοσῷδε χρόνῳ ἐγένετο, οὐ νοῶ αὐτὸν ἀνὰ μέρος ὡς διῃρημένον καὶ συγκείμενον ἐκ πολλῶν, ἀλλ' ὡς ἕνα τινὰ καὶ
35 συνεχῆ. καὶ τὴν γραμμὴν μέντοι οὐ καθὸ δύναται διαιρεῖσθαι εἰς μέρη ἢ ὅτι σύγκειται ἐκ τοσῶνδε μερῶν, οὕτω νοῶ, ἀλλὰ καθὸ μία τις καὶ συνεχής· εἰ γὰρ κατὰ μέρη, οὐχ ὡς μίαν νοῶ ἀλλ' ὡς πλείους· καὶ ἕκαστον μόριον μίαν πάλιν γραμμὴν καὶ ἀδιαίρετον καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ. οὕτω καὶ τὴν μορφὴν τοῦ ἀνδριάντος, οὕτω καὶ τὸ ὅλον. τὴν δὲ στιγμὴν καὶ τὸ νῦν, ἀδιαίρετα

---

1 ἢ] ἢ B: ἢ C 2 νοῇ] νοεῖ C¹ καμπυλότητος A¹ 6 δεῖ addidi
9 δὲ om. C 16 τὰ om. B 17 αὐτὰ om. A 18 ἀδιαίρετον γὰρ AC
21 μεγέθη] μεγέθει A¹B 23 τὸ om. A 29 σύνθετον AC 33. 36 νοῶ] νοῦν B

ὄντα καὶ μὴ ἔχοντα ὕπαρξιν, ἀδιαιρέτως τε νοήσει καὶ τῇ ἀποφάσει τοῦ συνεχοῦς. καὶ τἆλλα δὲ τὰ μὴ ἔχοντα προηγουμένην ὕπαρξιν τῇ ἀποφάσει τῶν ἀντικειμένων αὐτῶν γινώσκομεν εἰδῶν, τὸ κακὸν τῇ ἀφαιρέσει τοῦ ἀγαθοῦ καὶ τὸ διεστραμμένον τῇ τοῦ εὐθέος· εἰ γὰρ καὶ καταφατικῶς προήχθησαν τοῖς
5 ὀνόμασιν, ἀλλ' οὐδὲν ἧττον στέρητικὰ τυγχάνει τῷ πράγματι. τὰ δὲ ὄντως ἀδιαίρετα, τὰ νοητὰ λέγω εἴδη, τῇ καλουμένῃ ἁπλῇ ἐπιβολῇ. ἔτι ὅταν ἐν τῷ νοεῖν ὁ νοῦς ὡς ὄντα καὶ ἐνεστῶτα συντίθησιν, οὐδὲν ἐνθάδε περὶ τοῦ χρόνου προσεννοεῖ· ὅταν δὲ περὶ γεγονότος ἢ μέλλοντος, τότε καὶ χρόνον ἐξ ἀνάγκης προσεννοεῖ. καὶ πρὸς τούτοις ἐπειδὴ τῶν πραγμάτων τὰ μέν ἐστιν
10 ἀεὶ ὡσαύτως ἔχοντα, τὰ δὲ ἄλλοτε ἄλλως, ὅσα καὶ γένεσιν ἐπιδέχεται καὶ φθοράν, ἐπὶ μὲν τῶν ἀεὶ ὡσαύτως ἐχόντων συντιθεὶς τοὺς ὅρους οὐδὲν δεῖ προσεννοεῖν τὸν χρόνον, οἷον ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ· οὐ γὰρ νῦν μὲν οὕτως, ἄλλοτε δὲ ἄλλως· ὅτι δὲ Σωκράτης ἐν Λυκείῳ διέτριβε τὸ μὲν χθὲς εἰπεῖν ψεῦδος, τὸ δὲ πάλαι ἀληθές. ἔτι νοεῖ ὁ νοῦς τὰ πράγματα
15 τὰ μὲν ὑπὲρ αὐτὸν εἰκονικῶς, τὰ δὲ μετ' αὐτὸν παραδειγματικῶς. ἐπεὶ γὰρ οἱ λόγοι τῶν πραγμάτων ἔνεισιν ἐν τῇ ψυχῇ δυνάμει, ὅταν ἐνεργείᾳ προάγωνται, γίνονται ἐνεργείᾳ ὅπερ ἐκεῖνα εἰκονικῶς ἢ παραδειγματικῶς, ὡς ἂν εἴποιμεν γενέσθαι τὴν εἰκόνα Σωκράτους Σωκράτην ἢ τοὺς ἐν τῷ οἰκοδόμῳ λόγους ὅπερ οἰκίαν. ἔτι πᾶς νοῦς ἢ νοῦς ἀεὶ ἀληθὴς καὶ ἀναμάρτητος καὶ ἄπταιστος·
20 ἢ γὰρ ἥψατο τοῦ πράγματος, φησί τις τῶν παλαιῶν, ἢ οὔ· εἰ μὲν οὖν ἅψαιτο, καὶ ἀντελάβετο αὐτοῦ, εἰ δὲ μὴ ἅψαιτο, οὐδὲ ἔννοιαν αὐτοῦ ἔχει, ὥστε οὐ ψεύσεται. εἰκάζει δὲ τὴν ἐν τοῖς ἁπλοῖς ἀλήθειαν τῇ αἰσθητῇ τῶν εἰδῶν. ὡς γὰρ ἡ ὄψις ἀληθεύει ἐν τῇ τῶν χρωμάτων ἀντιλήψει οὐ συντιθεῖσα τῷ χρώματι τὸ κεχρωσμένον καὶ ὑποκείμενον (οὐ γὰρ ὄψεως τοῦτο ἀλλ' ὑπολήψεως
25 καὶ δόξης· ἱκανὸν γὰρ τῇ ὄψει πρὸς ἀλήθειαν τὸ λαβεῖν τὸ εἶδος τοῦ ὁρατοῦ. ὁποῖόν ἐστιν), οὕτω καὶ ὁ νοῦς ἀληθεύει κατὰ τὴν εἰδῶν τῶν ἁπλῶν νόησιν. ᾗ μὲν γὰρ ἑκάτερον ἀληθεύει τῇ θίξει τοῦ ὑποκειμένου γνωστοῦ, ταύτῃ αὐτοῖς ἡ ὁμοιότης ἐστίν· ᾗ δὲ ἡ μὲν αἴσθησις χειρόνως ἢ κατὰ συλλογισμόν, ὁ δὲ νοῦς κρειττόνως, ταύτῃ ἀνόμοια. ἡ γοῦν τοιαύτη τοῦ νοῦ ἐνέργεια ἡ περὶ τὰ
30 χωριστὰ εἴδη μάλιστ' ἂν καὶ κυριώτατα ἀλήθεια εἴη, καὶ μόνοις παραγίνεται τοῖς εἰς ἄκρον εὐζωίας καὶ ἐπιστήμης ἐληλακόσι. καὶ τούτοις ὀλιγάκις. διὸ περὶ ταύτης ὁ αὐτός φησιν ὅτι ὅστις ἐνήργησεν, οὕτως οἶδεν, ὃ λέγω.

III 7 Ὥσπερ δὲ τὸ αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι, ἡ δὲ κατὰ δύναμιν χρόνῳ πρότερον ἐν τῷ ἑνὶ τῷ νῦν, ὅλως δὲ οὐδὲ χρόνῳ (ἔστι
35 γὰρ ἐξ ἐντελεχείᾳ ὄντος πάντα τὰ γινόμενα). οὕτως καὶ ὁ κατ' ἐνέργειαν νοῦς ὁ αὐτός ἐστι τοῖς νοητοῖς ἢ τῷ τὸ εἶδος αὐτῶν δέχεσθαι ἢ τῷ πάντως καὶ αὐτὸς νοητὸς εἶναι· καὶ ἐν μὲν τῷ αὐτῷ καὶ ἑνὶ ἀνθρώπῳ πρότερόν ἐστιν

1 τε νοήσει] αὖ νοοῦμεν A^2 4 εὐθέα C καὶ om. A 11 δεῖ] δεῖται A 20 φησί τις τῶν παλαιῶν Plotin. Enn. V. 3. 17. cf. Simpl. de An. p. 261. 23 20. 21 ἅψαιτο A^1BC 23 συντεθεῖσα B 24 κεχωρισμένον A^1B 31 καὶ — ὀλιγάκις repetit C 33 δὲ (post ὥσπερ) om. A^1 34 προτέρα A ἑνὶ om. AC τῷ (ante νῦν) om. B 35 οὕτως] οὗτος A^1BC 37 αὐτὸς νοητὸς scripsi: αὐτὸν νοητὸν libri πρότερος AC

ὁ δυνάμει νοῦς τῷ χρόνῳ τοῦ κατ' ἐνέργειαν· εἰ μέντοι πρὸς τὸ πᾶν ἀπίδοις, οὐδὲ χρόνῳ. ἔστι γὰρ καὶ ὁ κατ' ἐνέργειαν καὶ πρῶτος καὶ ὁ διδασκαλικός, ὑφ' ὧν ὁ δυνάμει τελειοῦται. καὶ ὁ ἐνεργῶν μὲν ἁπλαῖς ἐπιβολαῖς γινώσκει τὰς ἁπλᾶς οὐσίας, δυνάμει δ' ὢν καὶ ἀγόμενος εἰς τελείωσιν μετὰ συνθέσεως
5 ποιεῖται τὴν πρόοδον, καὶ διάνοια τοῦτο ἡ δόξα κατονομάζεται.

(Οἰκείως δ' ἂν ἐν τούτοις καί τινα τῶν Πυθαγορείων προσιστορήσαιμι· διαιροῦντες γὰρ τὰ ὄντα πρὸς τὰ τῆς ψυχῆς κριτήρια καὶ συμβιβάζοντες πρὸς ἄλληλα, οὕτω φασὶ τῶν ὄντων τὰ μὲν νοητὰ τὰ δὲ αἰσθητά. καὶ τῶν νοητῶν τὰ μὲν ἰδίως νοητὰ καλεῖται καὶ ἐπιστητά, τὰ δὲ διανοητά. καὶ πρῶτα
10 μέν ἐστι τὰ νοητά, δεύτερα δὲ καὶ ὑποδεέστερα τὰ διανοητά. τῶν δ' αὖ αἰσθητῶν τὰ μὲν ἰδίως αἰσθητά, ἃ καὶ δοξαστά, τὰ δὲ εἰκαστά. δοξαστὰ μὲν καὶ ἰδίως αἰσθητὰ τὰ κατὰ μέρος σώματα, οἷον λίθοι, ξύλα, τὰ τέτταρα στοιχεῖα. ταῦτα δέ ἐστιν ἐν αἰσθητοῖς πρῶτα. μεθ' ἃ ἀσθενῆ ἄλλα καὶ οὐχ ὅμοια. ἐπηκολουθηκότα δὲ τοῖς πρώτοις. ἔστι δὲ ταῦτα αἱ σκιαί· καὶ γὰρ αἱ σκιαὶ
15 παρακολουθήματα τῶν σωμάτων, καὶ εἰ μὴ ἔχοιεν ἄλλο τι ὑποβεβλημένον σῶμα, οὐκ ἂν φανεῖεν. εἴδωλα οὖν αἱ σκιαὶ καὶ τὰ ἐν ὕδασι καὶ κατόπτροις ἐν ἄλλοις καὶ οὐ καθ' αὑτὰ ὄντα οὐδὲ ἄλλων δίχα φαινόμενα, ἀλλὰ εἰς ἄλλα σώματα πεπτωκότα, ὧν ὑποσπασθέντων οὐ φαίνεται. διὸ αἰσθητὰ μέν ἐστιν [ἐν] τῷ γένει, ὅτι ὑπὸ αἴσθησιν πίπτει, εἰκαστὰ δὲ μᾶλλον καὶ πιστευτὰ ἢ
20 ὑποστατά, κατὰ πίστιν λεγόμενα τὴν μὴ ἐπὶ τῶν ἀποδεικτικῶν, ἄλλως δὲ εἰς παραδοχὴν παραλαμβανομένων ἀπὸ τῆς τῶν προφερόντων πίστεως. καὶ γὰρ τὰ τῶν σκιῶν οὐκ ἀφ' ἑαυτῶν ἔχει τὸ ἀντιληπτικόν, ἀπὸ δὲ τῶν σωμάτων, εἰς ἃ πέπτωκε καὶ ἐν οἷς ἀναπαυόμενα φαίνεται. ἔχει οὖν τὸ ἀβέβαιον ἡ τοιαύτη πίστις· καὶ γὰρ ταῦτα εἰ ἀποσταίη τοῦ κατόπτρου ἢ ὕδατος ἢ ἐδάφους.
25 οὐδὲν ἂν εἴη τὸ σύνολον. ὥστε καὶ τῶν σωμάτων δοξαστῶν ὄντων καὶ τὸ εἶναι ἐν τῷ δοκεῖν κεκτημένων αἱ σκιαὶ ἔτι μᾶλλον ὑποβέβηκασι τῷ μὴ ἔχειν ἐξ αὐτῶν τὸ στερέμνιον ἀλλ' ἐπερείδεσθαι ἐπ' ἄλλου. τούτοις δὴ ἔοικε καὶ τὰ διανοητά, λόγον ἔχοντα πρὸς τὰ ἐπιστητὰ καὶ νοητά, ὃν τὰ εἰκαστὰ πρὸς τὰ αἰσθητά τε καὶ δοξαστά. τάς τε γὰρ ἰδέας οἱονεὶ κατ' ἐπαφὴν ἔχει ὁ νοῦς
30 τὰς ὄντως ὄντα οὔσας, τὰ δὲ διανοητά, ἅπερ ἐστὶ τὰ γεωμετρικά, ὑπὸ τῆς διανοίας βλέπεται. οὐκέτι τῆς διανοίας αὐτῆς κατ' εὐθὺ καὶ οἷον κατ' ἐπιβολὴν πελαζούσης, ἀλλὰ διὰ λόγου μᾶλλον τῆς ἐπ' αὐτὰ γινομένης πελάσεως καὶ οἷον ἀπὸ τῶν ἰδεῶν κατιόντων ὡς ἐπὶ εἰκάσματα ἐκείνων καὶ εἴδωλα νοητά· τά τε εἰκαστὰ καὶ ἐν ταῖς σκιαῖς ὑποβέβηκε παρὰ τὰ αἰσθητά. τῷ ἐκεῖνα μὲν
35 καθ' αὑτὰ ὑποπίπτειν τῇ αἰσθήσει κατ' εὐθυωρίαν, τὰ δὲ ἐν ἄλλῳ καὶ ἐπ' ἄλλῳ καὶ δι' ἄλλο θεωρεῖσθαι. οὐ γὰρ καθ' αὑτὴν ἡ σκιά, ἀλλ' ἢ ἐν τῷ ἐδάφει αἰσθητῷ ὄντι καθ' αὑτὸ ἢ ἐν τῷ κατόπτρῳ ἢ ἐν τοῖς ὕδασιν, ἅπερ ἦν καθ' ἑαυτὰ αἰσθητά. οὕτω καὶ τὰ μαθηματικὰ ὥσπερ ἐν ταῖς ἰδέαις ἔοικε φαντάζεσθαι καὶ ἐπ' ἐκείναις ἔχειν τὸ ἐπέρεισμα· οὐ γὰρ δὴ ἀπὸ τῶν

---

2 καὶ (post γάρ) om. A 3 ὁ (ante ἐνεργῶν) om. A ἐνεργειῶν B .6 proxima excerpta sunt ex Iamblicho (Anecdota Gr. ed. Villoison II, 197 sqq.) 16 ὕδασι A Iambl. cf. v. 37: ὕδατι BC 19 ἐν delevi: om. Iambl. 22 τὰ om. A[1] 26 τὸ μὴ AC 27 ἄλλου AC Iambl.: ἄλλων B 30 τὰς] τὰ Iambl. 31 αὐτοῖς Iambl. 32 αὐτὰ Iambl.: αὐτὴν libri 38 αἰσθητά A Iambl.: καὶ αἰσθητά BC

αἰσθητῶν κατὰ ἀφαίρεσιν ἐπινοεῖσθαι ταῦτα, ἀλλ' ὑποβάντα ἀπὸ τῶν ἰδεῶν τὸ εἰδωλικὸν ἔχειν ἀπ' ἐκείνων. τῷ προσειληφέναι καὶ μέγεθος καὶ ἐν διαστάσει φαντάζεσθαι. ὅπερ γὰρ ἐν τοῖς τῶν αἰσθητῶν εἰδώλοις τὸ ἀμενηνὸν καὶ καθ' αὑτὸ ἀνεπέρειστον, τοῦτο ἐν τοῖς νοητοῖς τὸ ἔνογκον καὶ διαστατόν· ἀλλ' ἐπεὶ καὶ τοῦτο σπεύδει πρὸς τὸ ἄογκον καὶ ἀμερές, ἐπαναπαύεσθαι ἔοικεν ἐν τῇ τῶν ἰδεῶν ἀμερείᾳ, ὡς αἱ σκιαὶ ἐν τῇ τῶν αἰσθητῶν ἀντιτυπίᾳ. ὥσπερ τοίνυν τὰ διανοητὰ τῶν νοητῶν κεχώρισται, οὕτω καὶ ἡ διάνοια τῆς νοήσεως. διόπερ καὶ Βροτῖνος ἐν τῷ Περὶ νοῦ καὶ διανοίας χωρίζων αὐτὰ ἀπ' ἀλλήλων τάδε λέγει "ἃ δὲ διάνοια τῶν νῶ μεῖζόν ἐστι, καὶ τὸ διανοατὸν τῶν νοατῶ. ὁ μὲν γὰρ νόος ἐστὶ τό τε ἁπλόον καὶ τὸ ἀσύνθετον καὶ τὸ πρᾶτον νοέον καὶ τὸ νοεόμενον" (τοιοῦτον δέ ἐστι τὸ εἶδος· καὶ γὰρ ἀμερὲς καὶ ἀσύνθετον καὶ πρῶτόν ἐστι τῶν ἄλλων), "ἃ δὲ διάνοια τό τε πολλαπλόον καὶ μεριστὸν καὶ τὸ δεύτερον νοέον· ἐπιστάμαν γὰρ καὶ λόγον τὸ προσείληφε. παραπλησίως δὲ καὶ τὰ διανοατά· ταῦτα δ' ἐντὶ τὰ ἐπιστατὰ καὶ τὰ ἀποδεικτὰ καὶ τὰ καθόλω τὰ ὑπὸ τῶ νόω διὰ τῶ λόγω καταλαμβανόμενα". ἐν δὴ τούτοις μεῖζον μὲν λέγει τὴν διάνοιαν καὶ τὸ διανοητὸν νοῦ καὶ νοητοῦ, οὐ τῇ δυνάμει ἀλλὰ τῷ πλήθει· ἐναντίως δὲ ἔχει ταῦτα πρὸς ἄλληλα. ἀφορίζεται δὲ αὐτὰ ἀπ' ἀλλήλων οὐ τούτοις μόνον, ἀλλὰ καὶ τῷ τὰ μὲν ἁπλᾶ εἶναι καὶ ἀσύνθετα, τὰ δὲ πολυειδῆ καὶ σύνθετα· καὶ διότι τὰ μὲν πρώτως νοεῖ καὶ νοεῖται, τὰ δὲ δευτέρως καὶ παρ' ἐκείνων λαμβάνοντα τὴν ἐνέργειαν τούτων. καὶ τὰ μὲν ἐν εἴδεσιν ἕστηκε, τὰ δὲ ἐν λόγοις πολλαπλοῖς ποιεῖται τὴν ἐνέργειαν· καὶ τὰ μέν ἐστιν ἀμέριστα, τὰ δὲ μεριστά· καὶ τὰ μὲν κρείττω ἀποδεικτικοῦ συλλογισμοῦ, τὰ δὲ συλλογίζεταί τι περὶ τῶν ὄντων· καὶ τὰ μὲν αὐτά ἐστι τὰ ὄντα, τὰ δὲ ἐν τοῖς καθόλου περιείληφε καὶ συνεμφαίνει τὰ καθ' ἕκαστον· καὶ τὰ μὲν ἀύλοις καὶ καθαραῖς ἐνεργείαις χρῆται, τὰ δὲ συμμεμιγμένην ἔχει τὴν νόησιν· τῷ γὰρ νῷ διὰ τοῦ λόγου καταλαμβάνει τὰ οἰκεῖα γνωστά, ἢ τῷ νῷ μετὰ λόγου. συμβαίνει δὴ οὖν ἐκ τούτων τά τε κρινόμενα πράγματα καὶ τὰ κριτήρια αὐτῶν διεστηκέναι ἀπ' ἀλλήλων. ὡς τὰ μὲν διανοητὰ τῶν νοητῶν διαφέρειν, τὴν δὲ διάνοιαν τοῦ νοῦ. ὡς τέσσαρες μέν εἰσι διαφοραὶ τῶν ὄντων, τέσσαρες δὲ τῆς κρίσεως ἀρχαί, καὶ ὡς ὁ λόγος μέσως ἔχων ἐφάπτεται τῶν δύο ἄκρων, νοητῶν τε καὶ αἰσθητῶν, ἐν τέλους τάξει πρὸς τὸν νοῦν καὶ τὴν αἴσθησιν καθιστάμενος, ὡς ἀρχὰς οὔσας ἑαυτοῦ, καὶ ὑπ' αὐτῶν ἀποτελούμενος. τεσσάρων δὴ οὐσῶν τῶν κρινουσῶν δυνάμεων τάξις τις αὐτῶν θεωρεῖται καὶ αἱ ἐνέργειαι διῃρημέναι τυγχάνουσιν· ἐπὶ μὲν τῷ ἀκροτάτῳ νόησις, ἐπὶ δὲ τῷ δευτέρῳ διάνοια, ἐπὶ δὲ τῷ τρίτῳ πίστις, εἰκασία δὲ ἐπὶ τῷ τετάρτῳ. καὶ ὑπὸ νόησιν μὲν διαλεκτικὴ τάττεται· ταύτῃ γὰρ ὁ νοῦς τὰ ὄντα καὶ τὰ εἴδη τὰ ἀνυπόθετα θεωρεῖ, καὶ λόγον ἔχει περὶ πάντων δοῦναι αἰσθητῷ τε

4 ἀνεπείρειστον A : ἀνεπέραστον B 6 ἀμερία C 8 Βροτῖνος] πλοτῖνος B[1] : Βροντίνος Iambl. 9 ἃ δὲ Iambl. : ἅδε A : ἃ δὲ C : ὦ δὲ B διανοητὸν B νοητῶ B 10 πρῶτον B νοέων C 12 ἁ Iambl. : ἡ libri 13 ἐπιστάμαν Iambl. : ἐπιστήμην libri τὸ] τὸν Iambl. 14 διανοατά Iambl. : διανοητά libri ἐπιστητὰ AB καθόλου B τὰ om. B 15 τοῦ νοοῦ B 16 λέγει] λέγης C[1] 18 μόνον A Iambl. : μόνοις BC τὸ δὲ C 21 πολλαπλῆν Iambl. 22 κρείττωνα A 24 συνεμφαίνει A Iambl. : συμφαίνει BC 29 ὡς] ὥστε AC 32 ὑποτελούμενος B 36 διαλεκτικὸς C

οὐδενὶ προσχρῆται. ἀλλὰ τοῖς νοητοῖς εἴδεσιν. διαλεκτικὴν δὲ λέγομεν οὐ τὴν περιάγουσαν τὸν προσδιαλεγόμενον εἰς ἀντίφασιν, ἀλλὰ τὴν ἐπισκοποῦσαν τὰ ὄντα ᾗ ὄντα, τὴν ἀνυπόθετον φιλοσοφίαν, ἣν μετὰ τὰ φυσικὰ καὶ θεολογίαν προσωνομάσαμεν. διανοίᾳ δὲ σύστοιχος ἡ μαθηματικὴ καὶ ἡ φυσική, ἡ μὲν
5 οὖσα περὶ τὰ πάθη καὶ εἴδη τοῦ ποσοῦ, ἡ δὲ περὶ τοὺς καθόλου λόγους τῶν σωμάτων τῶν αἰσθητῶν καὶ τῶν τούτοις ἑπομένων ᾗ σώμασι. ταῦτα ἀληθῆ μὲν καὶ γενναῖα καὶ τοῖς ἡμετέροις συνᾴδοντα πλὴν τὰ περὶ τῶν μαθηματικῶν· οὐ γὰρ ὥσπερ ἡμεῖς ἐξ ἀφαιρέσεως τῶν αἰσθητῶν τίθενται. ἴδωμεν δὲ καὶ ἃ τούτων ἑξῆς φασι, καὶ ἥστινος οὐσίας τὴν λογικὴν ψυχὴν τίθενται·
10 τῆς γὰρ μέσης ἀποφανοῦνται καὶ μαθηματικῆς. ἀναφέρομεν οὖν, φασί, καὶ τὰ περὶ τῆς ψυχῆς ἐν τοῖς μαθηματικοῖς. καὶ ἓν μὲν γένος τῶν ἐν τοῖς μαθήμασιν ὄντων οὐκ ἄν τις αὐτὴν εὐλόγως θείη κατὰ τὴν τοιαύτην ἐπιβολὴν τῆς θεωρίας· μεριστὴ γὰρ ἂν οὕτω γένοιτο ἡ περὶ τῆς μαθηματικῆς οὐσίας γνῶσις. διόπερ οὔτε ἰδέαν τοῦ πάντη διαστατοῦ οὔτε ἀριθμὸν αὐτο-
15 κίνητον οὔτε ἁρμονίαν ἐν λόγοις ὑφεστῶσαν οὔτε ἄλλο οὐδὲν τοιοῦτον κατ' ἰδίαν ἀφοριστέον περὶ αὐτῆς· κοινῇ δὲ συμπλέκειν πάντα ἄξιον. ὡς τῆς ψυχῆς καὶ ἰδέας οὔσης ἀριθμοῦ καὶ κατ' ἀριθμοὺς ἁρμονίαν περιέχοντας ὑφεστώσης· πάσας τε συμμετρίας κοινῶς, ὅσαι ποτέ εἰσιν ὑπὸ τὴν μαθηματικήν, ὑπὸ ταύτην ὑποτακτέον, τάς τε ἀναλογίας ὅλας ὑπ' αὐτὴν θετέον. διὰ δὴ τοῦτο γεωμε-
20 τρικῇ τε ὁμοῦ καὶ ἀριθμητικῇ καὶ ἁρμονικῇ ἀναλογίᾳ συνυπάρχει. ὅθεν δὴ καὶ λόγοις τοῖς κατ' ἀναλογίαν ἡ αὐτή ἐστι, ταῖς τε ἀρχαῖς τῶν ὄντων ἔχει τινὰ συγγένειαν καὶ πάντων ἐφάπτεται τῶν ὄντων καὶ πρὸς πάντα ὁμοιοῦσθαι δύναται. αἰτίαι μὲν οὖν εἰσι τοιαῦται τῆς τοιαύτης ὑπολήψεως· πρὸς δὲ τὴν θεωρίαν ἀφορμαὶ ἂν γένοιντο τὴν μαθηματικὴν ὁμοῦ καὶ τὴν περὶ τῆς ψυχῆς.
25 εἰ κατίδοιμεν ὡς τὸ πεπερασμένον πᾶν καὶ ὡρισμένον ἀπὸ τῶν ἀριθμῶν εἰς αὐτὴν ἐφήκει, ὁ δ' ἐνιαῖος λόγος ἀπὸ τῆς τοῦ ἑνὸς φύσεως. ἡ δὲ εἰς μέγεθος καὶ αὔξησιν προϊοῦσα δύναμις καὶ ἔχουσα περιουσίαν, ὥστε πᾶσι διδόναι αὐτὴν τοῖς μετρίοις, ἀπὸ τῆς γεωμετρικῆς οὐσίας πάρεστιν. ἡ δὲ δύναμις τῆς ἐναρμονίου κινήσεως τάξις τε καὶ λόγων συμμετρία, ᾗ τε ἐν ἀριθμοῖς συμφώνοις
30 ἢ συμφωνίαν περιέχουσιν ἀμετρίᾳ ἀπὸ τῆς κατ' οὐσίαν ἁρμονίας παραγίνεται. διόπερ καὶ ἁρμονιῶν κατακούει ἡ ψυχὴ καὶ χαίρει τοῖς ἡρμοσμένοις. ὡς οὖσα αὐτὴ ἁρμονία. ἔκ τε ἀριθμῶν καὶ ἄλλων τοιούτων μαθηματικῶν μέτρων τὴν οὐσίαν ἔχει. ἅπερ συγγένειαν παρεδέξατο πρός τε τὰ νοητὰ εἴδη καὶ τὰς αἰσθητὰς οὐσίας καὶ τὰ ἔνυλα εἴδη. πρὸς γὰρ πάντα ταῦτα ἡ παροῦσα δόξα
35 δίδωσι θεωρίας ἀφορμήν. ὡς ἱκανῆς οὔσης τῆς οὕτως ὑποτιθεμένης μαθηματικῆς δόξης πάντα τὰ τοιαῦτα νοήματα παρέχειν. ἵνα δὲ συνέλωμεν τὴν ὅλην δόξαν, ἐν λόγοις κοινοῖς πάντων τῶν μαθημάτων τὴν ψυχὴν νοοῦμεν οὖσαν, ἔχουσαν μὲν τὸ κριτικὸν αὐτῶν, ἔχουσαν δὲ καὶ τὸ γεννητικόν τε καὶ ποιητικὸν αὐτῶν τῶν ἀσωμάτων μέτρων, οἷς καὶ τὴν γενεσιουργίαν δύναταί τις προσαρ-
40 μόζειν τῶν ἐνύλων εἰδῶν, τήν τε δι' εἰκόνων ἀπεργασίαν ἐκ τῶν ἀφανῶν εἰς

---

1 διαλεκτικὰ C 2 προάγουσαν B 7 τά] τῶν A² 9 τούτοις A² τίθεται C
10 φησι B 13 μαθηματικῆς A Iambl.: τῶν μαθηματικῶν BC 29 συμφωνίοις A
34 πάντα ταῦτα A Iambl.: ταῦτα πάντα BC 38 ποιητικῶν C

τὸ φανερὸν προϊοῦσαν συνάπτουσάν τε τὰ ἔξω τοῖς εἴσω. κατὰ γὰρ πάντα ταῦτα, ὡς συλλήβδην εἰπεῖν, ὁ τῆς ψυχῆς λόγος περιέχει ἀφ' ἑαυτοῦ τὴν ὅλην τῶν μαθημάτων συμπλήρωσιν. πότερον δὲ μῖγμα ἐκ πάντων ἐστὶ τῶν ἐν τοῖς μαθήμασιν ὄντων, ἢ πάντα ὑφίστησιν αὐτὴ καθ' ἕνα λόγον προηγούμενον, χρὴ διασκέψασθαι. εἰ μὲν οὖν σύμμιξίς ἐστιν ἀφ' ὅλων, προϋπάρχει αὐτῆς τὰ συμπληρωτικὰ ἀφ' ὧν συνιόντων συγκίρναται, καὶ οὐκέτ' ἂν εἴη αὕτη ἀρχὴ τῆς μαθηματικῆς οὐσίας, ἀλλ' ἀπὸ τῶν σποράδην ὑφεστηκότων μαθημάτων συνιόντων εἰς ταὐτὸ ἀπογεννωμένης, πρὸς τοῖς ἄλλοις ἀτόποις καὶ σύνθεσίν τινα συνάγει μετὰ τῆς ψυχῆς καὶ ὑστερογενῆ ὡς ἐκ προτέρων τινῶν ἐπισυνισταμένην ὑπόστασιν. εἰ μέντοι αὕτη πρώτως ἀρχηγός ἐστι τῆς μαθηματικῆς οὐσίας καὶ παρεισάγει ταύτην ἐξ ἑαυτῆς, πρεσβυτέρα τε αὐτῆς ἔσται καὶ ὡς ἐν αἰτίας λόγῳ προηγεῖται καὶ ὡς ἑτέρα ὑπερέχει. ἔστι δὲ καὶ τοῦτο ὑπεναντίον πρὸς τὴν παροῦσαν δόξαν· τιμιωτέρα γὰρ ἂν οὕτω γένοιτο ἡ ψυχὴ τῶν ἐν τοῖς μαθήμασιν ὄντων. βέλτιον οὖν λέγειν ὡς οὔτε προηγεῖται οὔτ' ἐπακολουθεῖ τοῖς μαθηματικῶς οὖσι, συντρέχει δὲ ἅμα πρὸς αὐτὰ καὶ συνυφέστηκεν ἀσύνθετον καὶ ἀμέριστον ἔχουσα τὴν ἐν ὅλοις καὶ ἀφ' ὅλων σύμμιξιν, μονοειδῶς τε αὐτοῖς παροῦσα καὶ ἑνιαίως αὐτῶν ὅλων μετέχουσα, δύναμίν τε περιεκτικὴν τῶν ὅλων ἐν ἑαυτῇ συλλαβοῦσα καὶ ἑαυτὴν δοῦσα εἰς ὅλα τὰ μαθήματα ὡσαύτως. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ πάντα περιείληφεν ἐν ἑαυτῇ τελέως καὶ ἀνενδεῶς, οὐδέν τε ἐκτὸς ἑαυτῆς ἀφίησιν· αὐτή τε γάρ ἐστι τελεία καὶ οὐχ οἷόν τε τῆς οἰκείας ἀρχῆς ἀπολείπεσθαί τι τῶν ὄντων· μία τε οὕτως ἔσται ἡ οὐσία τῆς αὐτῆς ἀρχῆς δι' ὅλων διηκούσης. διαφοραί γε μὴν οὐδὲν ἧττον ἔσονται κατὰ τὰς διαφόρους δυνάμεις καὶ ζωὰς καὶ ἐνεργείας τῆς ψυχῆς καὶ τὸ τῶν οὐσιῶν αὐτῆς πλῆθος, ὅπερ ἐν ἑνὶ περιέχεται. τοσαῦτα ἄν τις καὶ παρὰ τῶν μαθηματικῶν ἐν Πυθαγορείοις εἰς τὴν τῆς ψυχῆς συνεισφέροιτο πραγματείαν.

Πάλιν δὲ ἐπαναλαβόντες καὶ τὰ εἰρημένα πρόσθεν περὶ νοῦ συνάγοντες λέγομεν ὡς εἷς ὢν τὴν οὐσίαν καὶ ἀναλλοίωτος πολυπλασιάζεται τῇ σχέσει ταῖς ἐνεργείαις καὶ ταῖς δυνάμεσι. καὶ δυνάμει μὲν λέγεται, πρίν τι μαθεῖν ἢ εὑρεῖν, ὡς ἐν παισί· καθ' ἕξιν δέ, ὡς ὅταν ἐπιστήμων μὲν γένηται, μὴ ἐνεργῇ δὲ κατὰ τὰς ἐπιστήμας, ὡς ὁ καθεύδων γεωμέτρης ἢ καὶ ἐγρηγορὼς μὴ ἐνεργῶν δὲ κατὰ τὴν ἐπιστήμην. κατ' ἐνέργειαν δέ, ὡς ὅταν θεωρῇ, καὶ τοῦτο διττῶς· ἢ περὶ τῶν ἀιδίων καὶ καθόλου καὶ θείων, ὡς ὅταν ἀστρονομῇ ἢ γεωμετρῇ, καὶ καλεῖται θεωρητικὸς διανοητικός, τέλος ποιούμενος τὴν ἀλήθειαν, ἢ περὶ τῶν ἀνθρωπίνων καὶ μερικῶν καὶ πολιτικῶν, τέλος τιθέμενος τὸ ἀγαθόν, καὶ καλεῖται πρακτικός· καὶ ἔτι παρὰ τούτους ὁ κυριώτατος καὶ κατ' ἐνέργειαν νοῦς ὁ θεωρητικὸς ὄντως, ἐν ᾧ κατ' οὐδέν ἐστι τὸ δυνάμει, ἀλλ' ἔστιν ἄνευ δυνάμεως ἐνέργεια, ἐξ οὗ τῶν ἐπιστημῶν τὰς ἀρχὰς ἔχει ὁ δυνάμει νοῦς· οὗτος δὴ καὶ ἀθάνατος εἶναι τοῖς ἑξῆς ἀποφανθήσεται. καὶ

7 ἀλλ' ἀπὸ—οὐσίας (11) om. C 8 ἀπογεννωμένης A Iambl.: ἀπογεννωμένη BC 10 πρώτως Iambl.: πρῶτος libri 12 ἑτέρα A Iambl.: ἕτερα C: ἕτερον B 14 ὡς οὔτε] ὥστε οὐ C 15 μαθηματικοῖς A¹B: incertum C 16 ἐφ' ὅλων B 21 μία τέον οὕτως A 22 διοικούσης AC 26 πραγματείας A¹ 28 πολλαπλασιάζεται A 34 θεωρητικὸν διανοητικὸν B ante διανοητικὸς add. καὶ C

περὶ μὲν τῆς οὐσίας αὐτοῦ καὶ ἐνεργείας, ἔτι δὲ ποσαχῶς λέγεται. τοσαῦτα. περὶ δὲ τῆς ἀθανασίας διὰ βραχέων κἀνταῦθα ὑπομνησθήσεται, ὡς διττοῦ ὄντος τρόπου καθ' ὃν ἄν τι φθείροιτο, τοῦ τε τὸ σύνθετον εἰς τὰ ἐξ ὧν συνέστηκε διαλύοντος, καθ' ὃν τὰ σώματα πάντα φθείρεται ἐξ ὕλης ὑφεστῶτα καὶ εἴδους, καὶ ἑτέρου τοῦ τῶν ἀσωμάτων ἐν ὑποκειμένῳ δὲ τῷ σώματι τὸ εἶναι ἐχόντων. φθείρεται γὰρ καὶ ταῦτα, οὐκ εἰς τὰ ἁπλᾶ ἀναλυόμενα, ἀλλὰ τοῦ ὑποκειμένου ἀνεπιτηδείου γενομένου εἰς τὸ στέγειν αὐτά, ὥσπερ τὸ ἐν τῷ κηρῷ σχῆμα τακέντος αὐτοῦ. ὃ γοῦν παντελῶς χωριστὸν τῆς ὕλης καὶ ἀσώματον καὶ μὴ ἐν ὑποκειμένῳ καὶ αὐτὸ ἐφ' ἑαυτοῦ ἱδρυμένον, τοῦτο ἀνάγκη ἄφθαρτον εἶναι καὶ ἀίδιον. ὅτι δὲ τὰ νοητὰ τὰ χωριστὰ τῆς ὕλης ἀνάγκη καὶ νόας εἶναι δῆλον· εἰ γὰρ χωριστὸν ὄν, μὴ εἴη δὲ νοῦς, οὐδὲ νοήσει· ὥστε μάτην ἔσται ἀνενέργητον ὄν. ἀλλὰ μὴν ὅσα τὴν οὐσίαν χωριστὴν ἔχει, ταῦτα καὶ τὴν ἐνέργειαν· ὥστε τὰ χωριστὰ τῶν νοητῶν τῆς ὕλης καὶ ἐνέργειαν ἕξει χωριστήν. τίς δ' ἂν αὐτοῦ εἴη ἐνέργεια ἢ τὸ νοεῖν: οὐ γὰρ δὴ τό γε αἰσθάνεσθαι ἢ ἄλλη τις σωματικὴ ἐνέργεια. ἔτι οὐδεμία δύναμις ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχουσα αὐτὴ πρὸς ἑαυτὴν ἐπιστρέφειν δύναται· συνεπιστραφήσεται γὰρ καὶ τὸ σῶμα ἐν ᾧ ἐστιν. οὐδὲν δὲ σῶμα ἑαυτῷ ἐφαρμόσαι δύναται· ἀλλ' οὐδ' ἄλλῳ, εἰ μὴ κατ' ἐπιφάνειαν. ὁ δὲ νοῦς αὐτὸς πρὸς ἑαυτὸν ἐπιστρέφει καὶ ἑαυτὸν ὁρᾷ αὐτὸς περὶ αὐτοῦ ζητῶν καὶ αὐτὸς εὑρίσκων. ἀσώματος ἄρα διὰ ταῦτα καὶ ἀνώλεθρος. καὶ μέντοι ἀπολυθεὶς σώματος διανοίᾳ μὲν οὐκ ἐσεῖται προσχρώμενος, μὴ διὰ προτάσεων ἐπὶ συμπεράσματα πάλιν ἥκων, ἀλλὰ νοῦς ἔσται καθαρὸς δίχα ζητήσεως, ὅτε βούλοιτο, καὶ ἀχρόνως ἐπιβάλλων τοῖς πράγμασιν, ἅτε δὴ τοὺς λόγους πάντων ἔχων ἐν ἑαυτῷ τῷ μὴ ἐπιθολοῦσθαι σώματι.)

Ἀπορήσειε δ' ἄν τις, εἰ ὁ νοῦς ἁπλοῦς ἐστι καὶ ἀπαθὴς καὶ μηδενὶ μηδὲν ἔχοι κοινόν, ὥσπερ φησὶν Ἀναξαγόρας, πῶς νοήσει, εἰ τὸ νοεῖν πάσχειν τί ἐστι. δεῖ γὰρ αὐτὸν σχέσιν ἔχειν πρὸς τὸ νοούμενον καὶ οἷον ἅπτεσθαι αὐτοῦ· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἀπαθής. πάσχειν μέντοι δοκεῖ τὰ πάσχοντα ὑπὸ τῶν ποιούντων τῷ κοινῆς ὕλης κεκοινωνηκέναι. ἔτι ὁ νοῦς ἢ νοεῖ ἑαυτὸν ἢ οὔ. εἰ μὲν οὖν μὴ νοεῖ, παρὰ τὴν ἐνάργειαν· τίς γάρ ἐστιν ὁ ἀποφαινόμενος περὶ αὐτοῦ τοῦ νοῦ καὶ λέγων ὅτι ἀσώματός ἐστι καὶ ἀπαθὴς καὶ ἀίδιος καὶ πᾶσαν τὴν περὶ ψυχῆς πραγματείαν συνθεὶς καὶ τἄλλα εἰ μὴ αὐτὸς ὁ νοῦς; ἐπεὶ δὲ νοεῖ ἑαυτόν, ἢ κατὰ ταὐτὸν νοεῖ τε καὶ νοηθήσεται καὶ ἔστιν αὐτῷ νῷ τε εἶναι καὶ νοητῷ, ἢ κατ' ἄλλο μὲν νοήσει, κατ' ἄλλο δὲ νοηθήσεται. ἀλλ' εἰ μὲν τὸ πρῶτον, ταὐτὸν ἔσται αὐτῷ τὸ νῷ τε εἶναι καὶ νοητῷ, καὶ τὸ νοητῷ τε καὶ νῷ. καθὸ γὰρ νοῦς, νοητός· οὐκοῦν καὶ καθὸ νοητός, νοῦς· ὀνόματα γάρ ἐστι πλείονα καθ' ἑνὸς ὑποκειμένου. εἰ δὲ τοῦτο, πάντα τὰ νοητὰ νοῖ ἔσονται. οὐκοῦν ἐπεὶ τὰ εἴδη πάντα νοητά, καὶ τὸ τοῦ λίθου καὶ τὸ τοῦ ξύλου (οὐ γὰρ αἰσθήσει τὸ κατ' οὐσίαν εἶδος ληπτόν)· ἔσονται ἄρα καὶ ἐν

---

11 νόας] νοῦς A 13 τὰ om. C 15 τό γε] τό τε B 17 ἑαυτὸ BC 18 ἄλλῳ scripsi: ἄλλο libri 19 αὐτοῦ AC 22 ἥκων scripsi: ἥκειν libri 24 post σώματι add. τοσαῦτα καὶ περὶ τούτου AC 25 Ἀπορήσειε κτλ. cf. de An. Γ 4. 429 b 22 26 ἔχει C cf. de An. 429 b 24 28 πάσχει A¹ 33 καὶ ἔστιν — νοηθήσεται (34) om. B 35 τὸ νῷ] τῷ νῷ AC τὸ νοητῷ] τῷ νοητῷ AC

τοῖς ἀψύχοις νοῖ, ὅπερ ἄτοπον. εἰ δὲ μὴ κατὰ ταὐτὸ νοῦς ἐστι καὶ νοητόν, ἀλλὰ κατ' ἄλλο μὲν νοεῖ κατ' ἄλλο δὲ νοεῖται, οὐχ ἁπλοῦς ἔσται οὐδ' ἀμιγής, ἕξει δὲ πρὸς τῷ νοῦς εἶναι καὶ ἄλλο τι μεμιγμένον αὐτῷ καὶ μὴ ἔχων τι ἴδιον πρὸς τἄλλα ἐσεῖται· ὡς γὰρ ἐκείνων ἕκαστον νοητόν, καὶ αὐτός. καὶ τὰ μὲν ἠπορημένα ταῦτα. ἀπαντῶντες δὲ πρὸς μὲν τὰ πρότερα οὕτω λέγομεν, ὡς διττοῦ τοῦ πάσχειν ὄντος, ὡς ἐν τοῖς πρόσθεν ἐλέγετο, (τό τε γὰρ πρὸς φθορὰν ἄγεσθαι πάσχειν ἐτίθεμεν καὶ τὸ πρὸς τελείωσιν) οὐδὲν ἄτοπον εἰ πάσχειν τὸν νοῦν λέγοιμεν τῷ δέχεσθαι τὰ εἴδη τὰ νοητὰ τελειούμενον, ὥσπερ ὑπὸ τῶν αἰσθητῶν τὴν αἴσθησιν· καὶ καθάπερ ἡ ὄψις περὶ τὸ μέλαν ἢ λευκὸν
10 ἐνεργήσασα οὐκ ἔφθαρτο οὐδ' ὅπερ ἐκεῖνα κατὰ τὴν ὕλην γέγονεν (οὐ γὰρ λελεύκωται ἢ μεμελάνωται), οὕτω τοι καὶ τὸν νοῦν ἀπαθῆ μένοντα μὴ καὶ τὴν οὐσίαν. ἀλλὰ μόνα τὰ εἴδη τῶν νοητῶν γνωστικῶς δέχεσθαι. λέγεται μέντοι καὶ νοῦς καὶ αἴσθησις καταχρηστικῶς πάσχειν τῷ ὥσπερ τὰ πάσχοντα τὸ κύριον πάθος δεχόμενα τὸ τοῦ ποιοῦντος εἶδος ἐπιμένειν ἐν αὐτῷ χρόνον
15 τινά (οἷον ὁ ἀὴρ παθὼν ὑπὸ τοῦ πυρὸς ἢ τὸ ξύλον καὶ γινόμενον πῦρ ἐπιμένει μέχρι του τῇ καταδοχῇ τοῦ πυρός), καὶ ταῦτα παραμένειν τῇ καταδοχῇ τῶν εἰδῶν· πλὴν τὰ μὲν τρέπεται τὴν οὐσίαν, τὰ δὲ οὐ τρέπεται. καὶ ὁ μὲν νοῦς αὐτοκίνητος ἀφ' ἑαυτοῦ ποτε νοεῖ, ἡ δὲ αἴσθησις δεῖται τῆς τῶν αἰσθητῶν παρουσίας. καὶ ὁ μὲν μεταβάλλει ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ
20 οὐ δεχόμενος ἅπερ μὴ εἶχεν εἴδη, ἀλλ' ἐοικὼς τῷ καθεύδοντι γεωμέτρῃ ὡς ἔχων μὲν τοὺς λόγους ἐμποδιζόμενος δέ, καὶ μόνου χρῄζει τοῦ ἐξυπνίσοντος (οὗτος δὲ ὁ ἐνεργείᾳ νοῦς ἢ ὁ διδασκαλικὸς καὶ καθόλου· ἐμπόδιον δὲ αἱ ἐκ τῆς συμπλοκῆς τῆς φαντασίας ἀλλόκοτοι δόξαι, ἃς ἀνακαθαίρων τοῖς ἐλέγχοις γνώριμον ποιεῖ τὸν ἐνόντα θησαυρόν), ἡ δὲ αἴσθησις ἐκ τοῦ πρώτου δυνάμει
25 μεταβάλλει δεχομένη ἅπερ μὴ εἶχεν εἴδη, πρὸς δὲ τὰ δεύτερα. ὡς οὐδὲν ἄτοπον, εἰ κατὰ ταὐτὸν νοῦς τε εἴη καὶ νοητόν. οὐ γὰρ ψεῦδος τὸ πᾶν νοητὸν νοῦν ὑπάρχειν, ἀλλ' ἀληθές τε καὶ ἀναγκαῖον, εἴπερ νοητὰ τὰ κυρίως νοοῦμεν καὶ ἐνεργείᾳ, ταῦτα δὲ τὰ παντελῶς ἄυλα καὶ χωριστά. τὰ μέντοι τῶν αἰσθητῶν εἴδη νοητὰ λέγοντες καταχρώμεθα τῷ ὀνόματι· οὐ γὰρ χωριστὰ οὐδὲ
30 κατ' ἐνέργειαν ἀλλὰ δυνάμει, καὶ τῷ χωρίσαι ταῦτα τὸν νοῦν τῇ ἐπινοίᾳ τῆς ὕλης ὑφίστανται ἄλλως ὄντα ἀνύπαρκτα. ἔτι εἰ ἅμα νοῦς ἐστι καὶ νοητόν, διὰ τί μὴ ἀεὶ νοεῖ τῶν νοητῶν αὐτῷ παρόντων; καὶ εἰ αὐτὸς νοῦς τε εἴη καὶ νοητόν, διὰ τί μὴ ἑαυτὸν ἀεὶ νοεῖ ἀεὶ αὐτῷ παρών; ἢ ὅτι λήθῃ ἐμποδίζεται· τοῦτο δὲ διὰ τὴν φαντασίαν. εἰ γὰρ καὶ ἀπαθὴς αὐτός, ἀλλ' ἡ
35 φαντασία φθαρτή· ταύτης δὲ χωρὶς οὐ νοεῖ ἢ συνεργούσης ἢ ἐμποδιζούσης τῶν ἐν τῷ κόσμῳ τι· μόλις γὰρ ἄν τις τῶν εἰς ἄκρον ἀρετῆς καὶ φιλοσοφίας ἐληλακότων γνώσεταί τι τῶν νοητῶν ἀφαντάστως.

(Ἐπιστῆσαι δ' ἐν τούτοις χρὴ καὶ τὴν παρὰ τῶν παλαιοτέρων ἀντιλογίαν καὶ ἐπαπόρησιν, ὡς διήτηται. λέγουσι γὰρ ὡς, εἴπερ ἡ λογικὴ ψυχὴ ἀγράφῳ
40 γραμματείῳ προσέοικε, μᾶλλόν τι κατὰ τὸ πρῶτον δυνάμει τὰ εἴδη τὰ νοητὰ

---

3 τῷ scripsi: τὸ libri 11 μὴ καὶ] μὴ κατὰ B 16 μέχρι τοῦ B
18 ἡ] εἰ A 21 ἐξυπνήσοντος AC 32 τῶν νοητῶν νοεῖ B post αὐτῷ add. ἀεὶ A 33 αὐτῷ AB 36 ἐν τῶν A²

δέχεται. ἔνθεν καὶ οὐ προβιωτὴ τοῦ σώματος ἔσται, ἥπερ ὁ Πλάτων ἔλεγεν· ἢ γὰρ ἂν καθ' ἕξιν ἔχειν τοὺς λόγους ἔμελλεν· εἰ δὲ μὴ τοῦτο, ἀρχὴν τοῦ εἶναι εἴληφεν. ἔνθεν δὲ καὶ πέρας ἕξει· πᾶν γὰρ τὸ ἀρξάμενον κατὰ χρόνον καὶ πέρας ἔχει κατὰ χρόνον. οὐκ ἄρα ἀθάνατος. καὶ εἰ ταῦτα, ἔστι δὲ κατ' αὐτοὺς καὶ ὁ κόσμος ἀίδιος, ἀνάγκη δυοῖν θάτερον ἢ ἀθανάτους οὔσας τὰς λογικὰς ψυχὰς ἀπείρους εἶναι καὶ γίνεσθαι (ἄπειρον γὰρ καὶ τὸ παρελθὸν καὶ τὸ γενησόμενον), ἢ εἰ τοῦτο ἀδύνατον, θνητὰς εἶναι ὥσπερ καὶ τὰ λοιπά, καὶ ἢ εἰς τὸ μηδαμῆ μηδαμῶς ὂν χωρεῖν, εἴπερ εἰσὶν ἀσώματοι, ἢ εἰς ὅλην ἀναλύεσθαι, καὶ οὕτως ἔσονται σώματα. λύεται δὲ τούτοις, ὡς οὐ λέγεται ἡ ψυχὴ δυνάμει, ὡς ἂν τὸ σπέρμα δυνάμει ἄνθρωπον εἴποιμεν· ἀλλ' ἐπειδὴ ἑκάστου τοῦ σημαινομένου δυνάμει πλάτος τι θεωρεῖται (λέγομεν γὰρ καὶ τὴν πρώτην ὅλην δυνάμει εἶναι ἄνθρωπον καὶ τὰ στοιχεῖα καὶ τὸ σπέρμα, καὶ πάντα κατὰ τὸ πρότερον, οὐ μέντοι ὁμοίως ἀλλὰ τὸ μὲν ἐγγυτέρω τοῦ πράγματος, τὸ δὲ πορρωτέρω, καὶ κατὰ τὸ δεύτερον δὲ τὸ καθ' ἕξιν δυνάμει πλάτος πολύ· ἄλλως γὰρ ὁ ἐγρηγορὼς μὴ ἐνεργῶν δὲ τὸ γεωμετρεῖν, καὶ ἄλλως ὁ καθεύδων δυνάμει καὶ καθ' ἕξιν γεωμέτραι λέγονται), οὕτω καὶ ἡ ψυχὴ κἂν δυνάμει λέγηται καὶ ἀγράφῳ ἐοικέναι γραμματείῳ, διὰ τὴν ἐκ τῶν παθῶν τῆς γνώσεως ἐπιπρόσθησιν τοῦτο λέγεται δοκοῦσα μηδ' ὅλως ἔχειν. δόξειε δ' ἂν καὶ ὁ καθεύδων γεωμέτρης ἐστερῆσθαι πάντη, καὶ ὁ νοῦς τῷ τῇ γενέσει πεφύρθαι ἔοικέ που τῷ καθεύδοντι ἢ καρουμένῳ. ὡς οὖν ὁ ἥλιος τὰ χρώματα, δυνάμει ὄντα ἐν τῇ νυκτί, ἀνατείλας ποιεῖ ἐνεργά, οὐ τὴν ὑπόστασιν παρέχων αὐτοῖς, ἀλλ' ὑφεστηκότα καὶ ἄδηλα ἐμφανῆ ποιῶν, οὕτω καὶ ὁ ἐνεργείᾳ νοῦς τελειοῖ τὸν δυνάμει, οὐκ ἐντιθεὶς ἐν αὐτῷ μὴ ὄντα εἴδη, ἀλλὰ κρυπτόμενα διὰ τὸν ἀπὸ γενέσεως κάρον ἐκφαίνων. καὶ ταῦτα μὲν ἐκεῖνοι· καὶ τοιοῦτόν τι κατ' αὐτοὺς τῇ ψυχῇ τῆς ἀγνοίας τὸ αἴτιον. οἷς δὲ τὰ θεῖα φιλοσοφεῖται καὶ οὔτε προὐπαρξις οὔτε μεθύπαρξις τῆς ψυχῆς τοῦ σώματος δογματίζεται, ἀλλ' ἅμα ἄμφω παρὰ τοῦ δημιουργοῦ λαμβάνειν τὴν οὐσίωσιν καὶ τὴν ὕπαρξιν, κἂν ἡ μὲν τελείαν εὐθύς, ὅτιπερ ἄυλος καὶ ἀσώματος, τὸ δὲ πληροῦσθαι διὰ τῆς κατὰ μικρὸν ἐπιδόσεως διὰ τὸ ὁλῶδες καὶ τὸ ἐκ τῶν στοιχείων συντίθεσθαι, ἑτέρως καὶ περὶ τῆς ἀγνοίας αὐτῆς δογματίζεται· τῷ γὰρ μὴ εὐφυῶς ἔτι τὸ ὄργανον ἔχειν κατὰ τὴν βρεφικὴν ἡλικίαν οὔτε πάσας οὔτε τελείας τῆς ψυχῆς τὰς ἐνεργείας κεχώρηκεν αὐτῆς τελείας οὔσης, διαρθρουμένου δὲ τῷ χρόνῳ καὶ τελειουμένου τέλειαι καὶ ὁλόκληροι αἱ ψυχικαὶ δυνάμεις ἐγγίνονται.

Ἔτι κἀκεῖνο ἐπισκεψώμεθα, ἆρα ἐνδέχεται τῶν παντάπασι κεχωρισμένων τῆς ὅλης θείων εἰδῶν νοεῖν τι τὸν ἡμέτερον νοῦν ἀχώριστον ὄντα αὐτὸν μεγέθους καὶ ἔτι συνόντα σώματι. ἢ τοῦτο μὲν καὶ προηπόρηται καὶ προλέλυται, ὡς καὶ νοεῖ ταῦτα καὶ παραμένων σώματι, εἰ καὶ μὴ οὕτως ὡς μετὰ τὴν ἀπαλλαγὴν

---

1 ἅπερ B ὁ Πλάτων ἔλεγεν] Phaedo 18 p. 72 E 2 ἢ γὰρ C 3 δὲ om. C 6 ψυχὰς om. B 8 ὂν] οὐ B 12 καὶ πάντα A: οὐ μέντοι BC 15 γὰρ] δὲ C 16 λέγονται] λέγεται C 17 λέγηται B²: λέγεται AC 18 δοκοῦσα A²: δοκοῦσαν BC 21 ἐνεργά] ἐνεργεία AC 23 ante κρυπτόμενα add. τὰ A² 33 καὶ (ante τελειουμένου) om. B ante αἱ add. καὶ A 36 ἢ—σώματι (37) om. B

τῆς παχύτητος· καὶ τὸ θειότατον καὶ ἀθάνατον αὐτοῦ τῆς φύσεως ἐν τούτῳ δείκνυται μάλιστα. πολλοὶ γὰρ τῶν πάλαι φιλοσοφησάντων μακαρίων ἀνδρῶν καὶ πολλάκις περὶ αὐτῶν ἡμᾶς ἐδίδαξαν, καὶ ἡμεῖς δὲ ὅταν εἰς τὸν κόσμον ἀποβλέποντες πρὸς τὴν τοῦ θεοῦ ἀναγώμεθα ἔννοιαν, οὐ τὸ πᾶν τοῦτο αἰσθή-
5 σεως ἢ φαντασίας εἶναι τιθέμεθα, ἢ ὅσον ἐρεθίσαι τοὺς ἐναποκειμένους ἐν ἡμῖν λόγους. ἀλλὰ τοῦ ἀκροτάτου τῆς ψυχῆς μέρους καθαρὰς ἐννοίας. πρὸς τούτοις κἀκεῖνο ζητήσωμεν, πότερον ὃν ὑμνοῦμεν ἐνεργείᾳ νοῦν καὶ τελειοῦντα τὸν δυνάμει ἐν ἡμῖν ἐστιν, ὥσπερ ὁ δυνάμει, ἢ ἔξωθεν καὶ οὐχ ἡμέτερος. τινὲς μὲν ἴσως ὑπολάβοιεν ἂν τὸν θεῖον τοῦτον εἶναι καὶ δημιουργικὸν καὶ καθόλου,
10 ἐπεὶ τὰ πάντα ποιεῖν ἀκούουσι καὶ νοεῖν· οὐ γὰρ ἀνθρωπίνου νοὸς τοῦτο. τοῦτο δὲ οἶμαι λέληθεν αὐτούς· οὐ γὰρ θεολογοῦμεν ἐνταῦθα. ἄλλοι ἕτερον ἔξωθεν καὶ αὐτόν. δεύτερον μὲν τοῦ πρώτου καὶ θείου, προσεχῶς δὲ καὶ ὑπερκείμενον ἡμῶν καὶ ἐλλάμποντα τῷ ἡμετέρῳ νῷ. πρὸς τοῦτο καὶ τὸ τοῦ φωτὸς αὐτοῖς τείνει παράδειγμα. ἕτεροι οὐκ ἀλλότριον τῆς ἡμετέρας ψυχῆς, ἀλλ' ἐν
15 αὐτῇ καὶ δύο νόας εἶναι, τὸν μὲν δυνάμει τὸν δὲ ἐνεργείᾳ, καὶ τὸν δυνάμει τελειοῦσθαι ὑπὸ τοῦ ἐνεργείᾳ, καὶ τὸν μὲν δυνάμει ἀεὶ ἐν τῇ ψυχῇ εἶναι, τὸν δὲ ἐνεργείᾳ θύραθεν ἐπεισιέναι. ἄλλοι τὸν διδασκαλικὸν τοῦτον εἶναι, ὃς τελειοῖ τὸν ἐν ἄλλῳ δυνάμει παρατιθέμενος τὰ τῶν ἐπιστημῶν θεωρήματα καὶ νοήματα, καὶ αὐτὸς ἐκ δυνάμεως εἰς ἐνέργειαν ἀχθείς ποτε. πέμπτη πρὸς
20 τούτοις δόξα, ἣν οἶμαι καὶ μᾶλλον ἀληθῆ, ἣ ἕνα καὶ τὸν αὐτὸν εἶναι λέγει τὸν δυνάμει καὶ ἐνεργείᾳ, καὶ οὐκ ἔξωθεν ἀλλ' ἐν μιᾷ τῇ αὐτῇ ψυχῇ καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καθ' ἕκαστα ἀνθρώπῳ, διαφέροντα δὲ ἑαυτοῦ τῷ τελείῳ καὶ ἀτελεῖ. κατ' ἄλλην δὲ καὶ ἄλλην ἐκδοχὴν καὶ αἱ λοιπαὶ δόξαι προσβιβαζόμεναι ἀληθεύουσι.)

25 Τούτων οὕτω διωρισμένων λείπεται καὶ περὶ τοῦ ὀρεκτικοῦ μορίου τῆς ψυχῆς εἰπεῖν. πρότερον δὲ ἐκεῖνο τῶν ἀναγκαίων ἐγνῶσθαι ὡς ἔστι τις ἀναλογία τῆς αἰσθητικῆς ψυχῆς καὶ τῆς διανοητικῆς, καὶ ὡς ὁρμὴ καὶ ὄρεξις ἀμφοτέροις, καὶ ἡ μὲν κατὰ νοῦν ἀγαθῶν οὖσα καλεῖται βούλησις, κακῶν δὲ φυγή. τὸ μὲν δὴ αἰσθάνεσθαι ὅμοιον τῷ φάναι μόνον ἐντὸς τὴν ψυχὴν καὶ
30 νοῆσαι ὅρον ἁπλῶς· ὅταν δὲ ἡδὺ ἢ λυπηρὸν ὧδε, ἐκεῖ οἷον κατάφασις καὶ ἀπόφασις, καὶ τότε δὴ ἡ ψυχὴ ἢ διώκει ἢ φεύγει. ὅταν γὰρ ἡ αἴσθησις τὴν οὐσίαν τῶν αἰσθητῶν γινώσκῃ, οἷον τοῦ θερμοῦ ὡς θερμοῦ, διακρίσεως μόνης αἰσθάνεται καὶ πυρώδους οὐσίας· ὅταν δὲ μετὰ φαντασίας ὡς πρὸς τὸ ζῶον ἀναφέρουσα κρίνῃ οὐ μόνον ὡς αἰσθητήν, ἀλλὰ καὶ ὡς ἀνιαρὰν ἢ ἡδεῖαν,
35 ὄρεξις λέγεται, καὶ ἢ φεύγει ὡς φθαρτικὴν ἢ διώκει ὡς σωστικήν. καὶ ἔστι τὸ ὀρεκτικὸν ταὐτὸ τῇ αἰσθητικῇ δυνάμει κατὰ τὸ ὑποκείμενον, τῷ λόγῳ δὲ διάφορον· ἡ μὲν γὰρ αἴσθησις, ὥς γε εἴρηται, ἁπλῆ ἐστι τοῦ αἰσθητοῦ γνῶσις ὡς αἰσθητοῦ, ἡ δὲ ὄρεξις ὡς φθαρτικοῦ τοῦ ζώου ἢ σωστικοῦ. καὶ οὐκ ἄλλο τι τὸ

---

2 πάλιν B 4 ἀναγόμεθα AC 5 εἶναι τιθέμεθα om. A 6 καθαραὶ ἔννοιαι A τούτους C 9 τοῦτο B 20 δόξα om. A¹ 24 ἀληθεύουσι AC 27 post ἀναλογία add. καὶ AC 28 ante ἀμφοτέροις add. ἐν AC ἀμφοτέραις A² 29 τῷ] τὸ A 32 γινώσκει AC 36 ταὐτὸ] τοῦτο B 38 φθαρτικοῦ — σωστικοῦ scripsi: φθαρτικὴ — σωστικὴ libri post τι add. ἐστι AC

ἥδεσθαι ἢ λυπεῖσθαι καὶ τὸ φεύγειν ἢ διώκειν, ἅπερ εἰσὶ τοῦ ὀρεκτικοῦ ἐνέργειαι, ἢ τὸ αἰσθάνεσθαι ὡς συμμέτρου ἢ ἀσυμμέτρου αὐτῷ. καὶ αὕτη μὲν ἡ κατὰ τὴν αἴσθησιν ὄρεξις, ἥτις ἔσται καὶ ἐν ἀλόγοις, σύνθετος ἐκ φαντασίας καὶ αἰσθήσεως. ἡ δὲ κατὰ τὸν λόγον καὶ τὸν πρακτικὸν νοῦν, ἐπειδήπερ
5 ὑπόκεινται τῇ διανοητικῇ ψυχῇ τὰ φαντάσματα μνήμῃ σωζόμενα ὥσπερ τῇ αἰσθήσει τὰ αἰσθητά, εἰς ἅπερ ὁ νοῦς ὁρᾷ, ὅταν μὲν ὡς ἁπλοῦν τὸν τύπον ἴδῃ τοῦ αἰσθητοῦ, ἁπλοῦν αὐτοῦ ἴσχει τὸ νόημα, καθ' ὃ γίνεται ἀληθεύων περὶ τῶν αἰσθητῶν ἄνευ συνθέσεως, ἀναλογῶν τῇ ἁπλῇ αἰσθήσει· ὅταν δὲ ὡς ἀγαθόν τι τούτων ἢ κακὸν ὑπολάβῃ τῷ ζώῳ, ἤδη σύνθετον γίνεται, ᾧ ἕπεται
10 φυγὴ καὶ δίωξις, ἀνάλογος τῇ τοῦ ἡδέος αἰσθήσει καὶ λυπηροῦ. καὶ ἡ μὲν κατ' αἴσθησιν ὄρεξις ἀεὶ τοῦ παρόντος, ἡ δὲ λογιστικὴ καὶ τοῦ μέλλοντος. ὡς γὰρ παρούσης αἰσθήσεως κινούμενον τὸν φρυκτὸν ὁ νοῦς ὁρῶν ὁ πρακτικὸς γνωρίζει ὅτι πολέμιοι, καὶ διώκειν ἐπιτάττει ἢ φεύγειν, οὕτω καὶ αἰσθήσεως ἀπούσης ἀναπλάττων τοῦτο τῇ φαντασίᾳ, ὡς εἴ ποτε τοιοῦτον ἔσεται, τί δεῖ
15 ποιεῖν, βουλεύεται περὶ τῶν μελλόντων συντιθεὶς πρὸς τὰ παρόντα, καὶ κρίνας διώκει ἢ φεύγει. τοῦτο δέ ἐστι τὸ ἐν τοῖς πρακτοῖς ἀγαθὸν ἢ κακόν· ταῦτα γὰρ καὶ τέλη καὶ ἀρχαὶ τῷ πρακτικῷ νῷ, δι' ἃ τὴν αἵρεσιν ποιεῖται καὶ τὴν φυγήν. οὐ μόνον δὲ ἐπὶ τοῦ πρακτικοῦ νοῦ ἀρχὴ τελικὴ τὸ ἀγαθὸν ἢ κακόν, ἀλλὰ καὶ τοῦ θεωρητικοῦ, ᾧ ἔργον τὸ ἀληθὲς ἰδεῖν καὶ τὸ ψεῦδος· ἔστι γὰρ
20 τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἀγαθὸν καὶ κακὸν ἄνευ πράξεως. διαφέρει μέντοι τὸ ὡς ἀληθὲς ἀγαθὸν τοῦ πρακτικοῦ ἀγαθοῦ καὶ τὸ ὡς ψευδὲς κακὸν τοῦ πρακτικοῦ κακοῦ, ὡς ἐκεῖ μὲν τὸ ἀληθὲς ἁπλῶς ἐστιν ἀγαθὸν καὶ φύσει, καὶ τὸ ψεῦδος ὁμοίως κακόν, τὸ δ' ἐν τοῖς πρακτοῖς οὐχ ἁπλῶς ἀλλὰ ποτὲ καὶ τινί, οἷον τὸ λούσασθαι ἢ βαδίσαι ἢ γυμνάσασθαι· καὶ τὸ μὲν τῆς λογικῆς
25 ψυχῆς πρακτικὸν οὐδὲν νοεῖ ἄνευ φαντάσματος, τὸ δὲ θεωρητικὸν οὐ πάν. καὶ ἔτι μᾶλλον ὁ ἐνεργείᾳ νοῦς γεωμετρικάς μέν τινας θεωρίας φαντάσεται ὡς περί τι πρακτικάς· ὅταν δὲ θεωρῇ τὸ νόημα τὸ περὶ τοῦ τριγώνου, ὅτι αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι καὶ αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζους καὶ τὰ ὅμοια, εἰ καὶ τὸ τρίγωνον ἄνω καὶ κάτω φέρομεν, ἀλλ' οὖν τὸν λόγον αὐτὸν καθαρὸν
30 ἐπισκοποῦμεν. καὶ ὅταν τὰς λογικὰς μεθόδους ἀποδεικνύῃ ὡς τρία σχήματα τοῦ κατηγορικοῦ συλλογισμοῦ καὶ τρόποι ἀποδεικτικοὶ τόσοι καὶ ἀντιστροφὴ προτάσεων (τοῦτο καὶ ἐῶ λέγειν, ὅταν περὶ τῶν νοητῶν καὶ ἀύλων εἰδῶν συλλογίζηται), πῶς ἢ τίνα φαντάσεται; ἐπεὶ δὲ τῶν νοητῶν, ὡς πολλάκις εἴρηται, τὰ μὲν ἐνεργείᾳ καὶ φύσει νοητὰ τὰ δὲ θέσει, ὄντα φύσει αἰσθητά, οἷα
35 τὰ μαθηματικὰ σχήματα, κινήσεις καὶ ἁρμονίαι καὶ ἀναρμοστίαι αἵ τε τῶν αἰσθητῶν ἕξεις καὶ διαθέσεις καὶ οἱ φυσικοὶ λόγοι, ἀδύνατον ἄνευ αἰσθήσεως τὴν περὶ ταῦτα ἐπιστήμην ἐγγενέσθαι τῇ ψυχῇ. διὰ τοῦτο μὴ αἰσθανόμενος μηδὲν οὐδ' ἂν μάθοι τούτων, ὅταν τε θεωρῇ, ἀνάγκη ἐν φαντάσματι θεωρεῖν·

---

3 ὄρεξις om. B 6 μὴ B μὲν 7 ἴδοι A 9 κακῶν A¹ 12 φρικτὸν C
14 ἔσεται sic libri 16 πρακτοῖς scripsi: πρακτικοῖς libri 23 τὸ] τὰ B
πρακτικοῖς BC 27 τρίγωνος B 29 τὸ] τῷ C κατὰ B 30 ἀποδεικνύει A¹
33 συλλογίζεται A¹C 35 ἁρμονίαι] ἁρμοστία A ἀναρμοστία AC 37 διὰ τοῦτο κτλ. cf. de An. Γ 8. 432 a 7 38 τε om. B φαντάσμασι AC

τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά εἰσιν ἄνευ ὕλης. τὰ μέντοι πρῶτα νοήματα τὰ περὶ τῶν ἀύλων εἰδῶν τῶν φύσει νοητῶν καὶ ἐνεργείᾳ, ἐπείπερ ἄνευ αἰσθήσεως, καὶ ἄνευ φαντασίας. ἔστι γὰρ ἡ φαντασία ἕτερον φάσεως καὶ ἀποφάσεως· συμπλοκὴ γὰρ νοημάτων ἐστὶ τὸ ψεῦδός τε καὶ τὸ ἀληθές.

Ὥσπερ δὲ ὁ ἀὴρ παθὼν ὑπὸ χρώματος τοιανδὶ τὴν κόρην ἐποίησεν, αὕτη δὲ ἕτερον τὸ πνεῦμα τὸ ὀπτικόν, καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις καὶ αἱ λοιπαὶ κατ' εἶδος αἰσθήσεις εἰς οἰκεῖον ἔνδον ἑκάστη τὸ κατάλληλον ἀπὸ τῶν ἔξω καταντᾷ τέλος, ἓν μὲν τῷ ὑποκειμένῳ διάφορον δὲ τῷ λόγῳ, οὕτω καὶ κοινόν τι πέρας πάλιν τὸ ὁρίζον εἰς ἓν καὶ συνάγον φανήσεται τὰ διάφορα πέρατα, τὸ ἁπλῶς αἰσθητικὸν τῆς ἁπλῆς αἰσθήσεως, καθάπερ καὶ πρόσθεν ἐλέγετο. ὡς γὰρ λευκὸν καὶ μέλαν ἑνὶ τῷ ὑποκειμένῳ τῷ ὀπτικῷ κρίνεται, διαφόρῳ δὲ τῇ δυνάμει, καὶ βαρὺς ψόφος καὶ ὀξὺς ἑνὶ τῷ ἀκουστικῷ, καὶ ἐπὶ τῶν ἄλλων, οὕτω τοι καὶ τὸ κοινὸν πρὸς τὰ διάφορα τῶν αἰσθητῶν, χρῶμα ψόφον ὀσμὴν καὶ τὰ λοιπά, ἕξει κριτήριον, ἓν μὲν καὶ ἀμερὲς ὄν, πολυειδὲς δὲ καὶ τῷ λόγῳ διάφορον. πέρας ὂν περάτων καὶ κοινοτήτων κοινότης καὶ κρινόντων κριτήριον. ἔχει δὲ οὕτως ὡς τὸ λευκὸν πρὸς τὸ μέλαν, οὕτω τὸ κρῖνον ἑκάτερον πρὸς τὸ κρῖνον ἑκάτερον· ἀνάλογα γάρ. διὸ καὶ ἐναλλὰξ ὡς ἡγούμενον πρὸς ἡγούμενον καὶ ἑπόμενον πρὸς ἑπόμενον. ἐκεῖνο δ' ἐκείνου ἀντελαμβάνετο, καὶ τοῦτο τούτου ἀντιλήψεται. ἀλλὰ μὴν ἓν τῷ ὑποκειμένῳ τὰ διαφόρως κρίνοντα· μία γὰρ δύναμις ἡ ὀπτική. καὶ ἐπὶ τῶν διαφόρων δὲ τὸ κοινὸν οὕτως ἕξει. ὃ γὰρ ἐπὶ τῶν ὁμογενῶν καὶ ἐναντίων ἐθεωρήσαμεν, τοῦτο καὶ ἐπὶ τῶν ἑτερογενῶν οὐδὲν κωλύει συμβαίνειν. καὶ δὴ ὡς τὸ λευκὸν πρὸς τὸ γλυκύ, τὸ κρῖνον πρὸς τὸ κρῖνον καὶ ἐναλλάξ· ἀνάλογα γάρ. καὶ ὡς ἐκεῖ ἓν τῷ ὑποκειμένῳ τὰ τῶν ἐναντίων ἐφάνη κριτήρια, οὕτω τῶν διαφόρων ὧδε· τί γὰρ διοίσει ἀπορεῖν, πῶς τὰ μὴ ὁμογενῆ κρίνει ἢ τὰ ἐναντία; οὐκ ἀκριβοῦμεν δὲ τὰ τῆς ἀναλογίας. εἰς τί δὲ ὅλως ταῦτα καίπερ ἀπερρηγμένα δοκοῦντα τῆς συνεχείας ἐμβέβληνται, ἢ ὡς ἂν ἐκεῖνο δειχθῇ· ὡς αἴσθησις πρὸς αἰσθήσεις ἔχει ἡ κοινὴ πρὸς μερικὰς καὶ αἰσθητὰ πρὸς αἰσθητά, καὶ νοῦς πρὸς νοήσεις ἕξει καὶ νοητὰ πρὸς νοητά. ὁμοίως γὰρ κἀκεῖ κἀνταῦθα βαθμοὶ αἰσθήσεως καὶ νοήσεως, καὶ τὸ συναγωγὸν ἐν ἀμφοτέροις ἐκ πολλῶν ἓν καὶ μία ἡ διὰ πάντων ἥκουσα δύναμις.

III 8 Καὶ δὴ τὰ περὶ ψυχῆς ῥηθέντα συγκεφαλαιώσαντες εἴπωμεν πάλιν ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς ἐστι· πάντα γὰρ αἰσθητὰ τὰ ὄντα ἢ νοητά. διττὴ δὲ καὶ ἡ τῆς ψυχῆς δύναμις, ἡ μὲν ἐπιστημονικὴ καὶ διανοητικὴ ἡ δ' αἰσθητική. ἔστι δὲ ἡ ἐπιστήμη μὲν τὰ ἐπιστητά πως, ἡ δ' αἴσθησις τὰ αἰσθητά· πῶς δὲ τοῦτο, δεῖ ζητεῖν. τέμνει οὖν ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις τὰ πράγματα, ἡ μὲν δυνάμει εἰς τὰς δυνάμεις, ἡ δὲ ἐνεργείᾳ εἰς τὰς ἐνεργείας. τῆς δὲ ψυχῆς τὸ αἰσθητικὸν καὶ τὸ ἐπιστημονικὸν δυνάμει ταῦτά ἐστι, τὸ μὲν ἐπιστητὸν τὸ δ' αἰσθητόν. ἀνάγκη δὲ ἢ αὐτὰ τὰ πράγματα ἢ τὰ εἴδη εἶναι.

3 γὰρ] δὲ A 10 ἁπλῆς] ἁπλῶς A 12 ἀκουστῶ C 13 τοι om. C 14 κριτήρια B 15 δὲ om. BC 16 κριτήρια B 18 καὶ om. A 19 ἀντιλήψεται scripsi: ἀντιλήψαιτο libri ἓν scripsi: ἐν libri 33 γὰρ ἢ αἰσθητὰ A

αὐτὰ μὲν δὴ οὔ· οὐ γὰρ δὴ ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶδος· ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χεὶρ ἐστι· καὶ γὰρ ἡ χεὶρ ὄργανόν ἐστιν ὀργάνων καὶ ὁ νοῦς εἶδος ἐξ εἰδῶν καὶ ἡ αἴσθησις εἶδος αἰσθητῶν. ὡς γὰρ ἡ χεὶρ ὄργανον οὖσα ψυχῆς τελειοῦται διὰ τῆς τῶν αἰσθητῶν ὀργάνων ἐνεργείας. πρίονος σκεπάρνου πηδαλίου καὶ τῶν λοιπῶν, καὶ ἔστιν ἐξ ὀργάνων ὄργανον εἶδος οὖσα αὐτῶν, οὕτω πρὸς πάντα τὰ ὄντα ἡ ψυχή. καὶ ἁπλῶς εἰπεῖν ὑπὲρ τῆς προκειμένης πραγματείας ὡς ἕν τί ἐστι καὶ τὸ πᾶν ὁ πολυύμνητος νοῦς ὁ διὰ πάντων ἥκων ἐν τοῖς ἔχουσι καὶ ταῖς διαφόροις ἐνεργείαις καὶ σχέσεσι ποικίλος γενόμενος. οὗτος τῷ τε σώματι ζωὴν χορηγεῖ καὶ κίνησιν καὶ αἴσθησιν (νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει καὶ γεύεται καὶ ὀσφραίνεται καὶ ἅπτεται τῇ σαρκὶ καὶ τὰς πολλὰς εἰς μίαν συνάγει τὴν κοινὴν αἴσθησιν), καὶ φαντασίαν ποιεῖ κατέχων τὰ τῶν αἰσθητῶν ἐγκαταλείμματα. δόξα δὲ ποιά τις αὐτοῦ περί του τῶν ὄντων ὑπόληψις. ὅταν δὲ διεξοδικῶς ἐνεργῇ καὶ τὰς κοινωνίας ζητῇ τῶν πραγμάτων καὶ ἑτερότητας καὶ τοῖς ἡγουμένοις ἐπισυνάπτῃ τὰ ἑφεπόμενα διανύων ὁδόν τινα ἀπὸ προτάσεων ἐπὶ συμπέρασματα, διάνοια ὀνομάζεται. νοῦς δὲ ὅταν ἁπλῶς ἐπιβάλλῃ καὶ τοῦ ὄντος ἔχηται. καὶ θεωρητικὸς καὶ πρακτικὸς καὶ φθαρτὸς καὶ ἀίδιος καὶ δυνάμει καὶ ἐνεργείᾳ καὶ ψευδὴς καὶ ἀληθὴς λέγεται· τῶν τε γὰρ ἐνεργειῶν τὸ διάφορον καὶ τῶν ἐφ' ἃ ἡ ἐνέργεια, ἥ τε περὶ τὸ σῶμα σχέσις καὶ ἡ τῆς ὕλης ἐπιπλοκὴ καὶ συνθόλωσις πολυειδῆ καὶ μυριώνυμον ἀπειργάσαντο. ἀπολυθεὶς δὲ τῆς γεννήσεως καὶ πρὸς ἑαυτὸν συναχθεὶς γενήσεται τοῦτο καθαρῶς, ὃ λέγεται νῦν, νοῦς ἐνεργείᾳ, ἀλήθης πάσης καὶ ἀγνοίας ἀπηλλαγμένος, ἀεὶ θεωρῶν ἀνεμποδίστως καὶ ἁπλανῶς τοῦ ἀληθοῦς ἐφαπτόμενος, ἑστῶσαν ἔχων τὴν οὐσίαν καὶ ἀμετάβλητον καὶ τελείαν τὴν ἐνέργειαν.

Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις τῶν ζώων, τῷ τε κριτικῷ, ὃ διανοίας ἔργον ἐστὶ καὶ αἰσθήσεως, καὶ ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν, περὶ μὲν αἰσθήσεως καὶ νοῦ διωρίσθω ταῦτα· περὶ δὲ τοῦ κινοῦντος, τί ποτέ ἐστι τῆς ψυχῆς, σκεπτέον, πότερον ἔν τι μόριον αὐτῆς χωριστὸν ὂν μεγέθει καὶ τόπῳ ἢ λόγῳ ἢ καὶ πᾶσα ἡ ψυχή· κἂν εἰ μόριόν τι, πότερον ἴδιόν τι παρὰ τὰ εἰωθότα λέγεσθαι καὶ τὰ εἰρημένα. ἢ τούτων ἕν τι. ἔχει δὲ ἀπορίαν εὐθύς. πῶς τε δεῖ μόρια ψυχῆς λέγειν καὶ πόσα. τρόπον γάρ τινα ἄπειρα φαίνεται. καὶ οὐ μόνον ἅ τινες λέγουσι διορίζοντες λογικὸν θυμικὸν ἐπιθυμητικόν, οἱ δὲ τὸ λόγον ἔχον καὶ τὸ ἄλογον. κατὰ γὰρ τὰς διαφοράς, δι' ἃς ταῦτα χωρίζουσι, καὶ ἄλλα φανεῖται μόρια μείζω διάστασιν ἔχοντα τούτων, περὶ ὧν καὶ νῦν εἴρηται, τό τε θρεπτικόν, ὃ καὶ τοῖς φυτοῖς ὑπάρχει καὶ πᾶσι τοῖς ζώοις, καὶ τὸ αἰσθητικόν, ὃ οὔτε ὡς ἄλογον οὔτε ὡς λόγον ἔχον θείη ἄν τις ῥᾴδιως. ἔτι δὲ τὸ φανταστικόν, ὃ τῷ μὲν εἶναι πάντως ἕτερον, τίνι δὲ τούτων ταὐτὸν ἢ ἕτερον, ἔχει πολλὴν ἀπορίαν, εἴ τις θείη κεχωρισμένα μόρια τῆς ψυχῆς.

1 μὲν γὰρ δὴ οὐ AC 16 ὄντως B 17 φθαρτικὸς A¹ 20 γενέσεως A
25 τε om. B 28 ἐστι ψυχῇ B 29 καὶ om. A 31 fort. μόριον B
32 τινες—ἄλογον (34)] Plato de Rep. IV p. 439 D sq. λογιστικὸν A ante ἐπιθυμητικόν add. καὶ AC 36 ἔχον om. A: ἔχων C 37 πάντων A 38 θείη] θήσει A¹

πρὸς δὲ τούτοις τὸ ὀρεκτικόν, ὃ καὶ λόγῳ καὶ δυνάμει ἕτερον ἂν εἶναι δόξειε πάντων. καὶ ἄτοπον δὴ τὸ τοῦτο διασπᾶν· ἔν τε τῷ λογικῷ ἡ βούλησις γίνεται ὄρεξις οὖσα τοῦ ἀγαθοῦ, καὶ ἐν τῷ ἀλόγῳ θυμὸς καὶ ἐπιθυμία· εἰ δὲ τρία ἡ ψυχὴ κατὰ τοὺς τριμερῆ λέγοντας, καὶ ἐν ἑκάστῳ ἔσται ὄρεξις. 5 ἀλλ' οὐ δεῖ οὔτε μίαν οὖσαν τὴν ψυχὴν τεμαχίζειν εἰς διάφορα μόρια οὔτε διαφόρων οὐσῶν τῶν δυνάμεων διοικίζειν ἄλλην ἐν ἄλλῳ μορίῳ τοῦ σώματος. εἰ μὴ γὰρ πᾶσαι διὰ παντὸς ἥκουσι, πῶς ὅλον τραφήσεται ἢ αὐξηθείη ἢ κινηθήσεται:

Πάλιν οὖν ἀναλαβόντες λέγομεν τί τὸ κινοῦν τὸ ζῶόν ἐστι. τὴν μὲν γὰρ 10 κατ' αὔξησιν καὶ φθίσιν κίνησιν, ἅπασιν ὑπάρχουσαν, τὸ πᾶσιν ὑπάρχον δόξειεν ἂν κινεῖν τὸ γεννητικὸν καὶ θρεπτικόν. περὶ δὲ ἀναπνοῆς καὶ ἐκπνοῆς καὶ ὕπνου καὶ ἐγρηγόρσεως (κινήσεις γάρ πως τοπικαὶ καὶ αὗται) ὕστερον ἐπισκεπτέον· ἔχει γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν. ἀλλὰ περὶ τῆς κατὰ τόπον κινήσεως τί τὸ κινοῦν τὸ ζῶον τὴν πορευτικὴν κίνησιν, σκεπτέον. ὅτι μὲν 15 οὐχ ἡ θρεπτικὴ δύναμις, δῆλον· ἀεί τε γὰρ ἡ τοπικὴ κίνησις ἕνεκά του καὶ μετὰ φαντασίας ἢ ὀρέξεως· οὐθὲν γὰρ μὴ ὀρεγόμενον ἢ φεῦγον κινεῖται, ἀλλ' ἢ βίᾳ μεταβὰν ἔσται, ὡς Ἱππόλυτος τυχὸν ὑπὸ τῶν ἵππων συναρπασθείς. ἡ δὲ θρεπτικὴ εἰ καὶ ἕνεκά του, ἀλλ' οὐ μετὰ φαντασίας. ἔτι τὰ φυτὰ τὴν θρεπτικὴν ἔχοντα δύναμιν ἦσαν ἂν καὶ πορευτικὰ καὶ εἶχον ἂν μόριον ὀργα- 20 νικὸν πρὸς τὴν κίνησιν ταύτην. τί δ' ἂν εἴποιμεν περὶ τῆς βώλου, ὅταν ἐπὶ τὰ κάτω φέρηται, ἢ ὅταν ἐπὶ τὰ ἄνω τὸ πῦρ; οὐ γὰρ βίαιος αὕτη ἡ κίνησις, καὶ ὅμως οὐ μετ' ὀρέξεως. ἢ οὐ περὶ πάσης ἡμῖν ἐνταῦθα πρόκειται τοπικῆς διασκοπῆσαι κινήσεως, ἀλλὰ περὶ μόνης τῶν ζώων. ὁ οὐρανὸς δὲ καὶ τὰ οὐράνια κύκλῳ φερόμενα κατ' ὄρεξιν ποιοῦνται τὴν κίνησιν· νοὺς γὰρ μιμοῦνται 25 τὴν εἰς αὑτὸν συστροφήν. ἀλλ' οὐδὲ τὸ αἰσθητικὸν τὸ κινοῦν ἐστι· πολλὰ γάρ ἐστι τῶν ζώων, ἃ αἴσθησιν μὲν ἔχει, μόνιμα δέ ἐστι καὶ ἀκίνητα. εἰ οὖν ἡ φύσις μήτε ποιεῖ μάτην μηθέν, μηθ' ἀπολείπει τι τῶν ἀναγκαίων πλὴν ἐν τοῖς πηρώμασι καὶ ἐν τοῖς ἀτελέσι, τὰ δὲ τοιαῦτα τῶν ζώων τέλειά εἰσι καὶ οὐ πηρώματα (σημεῖον δὲ ὅτι γεννητικά, εἰ καὶ μὴ ὡς τὰ ζῶα ἐκ 30 συνδυασμοῦ, ἀλλ' ὡς τὰ φυτά, καὶ ἀκμὴν ἔχει καὶ φθίσιν)· ὥστ' εἶχεν ἂν καὶ τὰ ὀργανικὰ μόρια τῆς πορείας. ἀπορήσειε δ' ἄν τις, εἰ καὶ παρεκβατικώτερον· εἰ δὴ πολλὰ τῶν ζώων τὴν αἰσθητικὴν ἔχει δύναμιν, τελειοτέραν οὖσαν, τῆς γεννητικῆς ἐστερημένα ταύτης οὔσης ὑποδεεστέρας, πῶς ἐλέγετο ἐν τοῖς ἔμπροσθεν ὅτι οὐ πρότερον τῶν τελειοτέρων ἐνδέχεται μετασχεῖν, εἰ 35 μὴ τῶν καταδεεστέρων τις μετάσχῃ; ἆρ' ὄρτυγες γὰρ καὶ μυῖαι καὶ σκώληκες καὶ ἄλλ' ἄττα αἰσθητικὰ ὄντα τῆς γεννητικῆς ἐστέρηνται δυνάμεως τῷ αὐτομάτως ἢ ἐκ σήψεως ὅλης φύεσθαι. ἐκεῖνο δὲ πρὸς τοῦτο λέγομεν ὡς ὅσαι τῶν ψυχικῶν δυνάμεων πρὸς τὸ εἶναι συντελοῦσι, ταύτας ἀνάγκη κατὰ τὴν εἰρημένην τάξιν τοῖς ἐμψύχοις παραγίνεσθαι· ὅσαι δὲ πρὸς τὸ εὖ εἶναι οἷον

---

2 λογιστικῷ A 5 τεμμαχίζειν libri 7 αὐξήσεται A 12 πως om. C 17 ὡς ὁ Ἱππόλυτος A 21 ἡ om. B 25 αὑτὸν scripsi: αὐτὸν libri 28 ἐστι A 30 συνδοιασμοῦ AC 31 μέρη AC 32 ἔχοι A 33 ταύτης om. A ἀποδεεστέρας B 35 μετάσχοι AC

ἡ γεννητικὴ πρὸς ἀιδιότητα καὶ διαδοχὴν μόνην, ταύτας οὐκ ἀνάγκη. τοσαῦτα καὶ περὶ τούτων. αὖθις δ' ἐπανιόντες λέγομεν, ὡς οὔτε τὸ λογιστικὸν οὔθ' ὁ καλούμενος νοῦς ἐστιν ὁ κινῶν, οὔτε ὁ θεωρητικὸς οὔθ' ὁ πρακτικός, τῷ τὸν μὲν μηδὲν νοεῖν πρακτόν, οὗ ἕνεκα ἡ κατὰ τόπον κίνησις, ἀλλὰ τῶν καθόλου καὶ νοητῶν ἀντιλαμβάνεσθαι, καὶ μήτε περὶ φευκτοῦ ἢ διωκτοῦ λέγειν· ἡ δὲ κίνησις ἢ φεύγοντος ἢ διώκοντος τί ἐστι. καὶ μᾶλλον δ' ἂν ὁπονοηθείη ἠρεμίας αἴτιος ἢ κινήσεως· θεωρῶν γὰρ προσδεής ἐστι τῆς κατὰ σῶμα ἠρεμίας ὡς ἐκκρουόμενος τῇ κινήσει. οὔτε δὲ ὁ πρακτικὸς ἡ τοιοῦτος κινήσεως αἴτιος· πολλάκις μὲν γὰρ θεωροῦμεν τῶν φευκτῶν τι ἢ διωκτῶν, καὶ οὐ κινούμεθα ἀλλ' ἐν μόνῃ ψιλῇ τῇ τοῦ πράγματος ἱστάμεθα θεωρίᾳ, ὡς ἄν τις περὶ πολέμου βουλεύοιτο. πῶς ἂν τροπώσαιτο πολεμίους ἐπιόντας ἢ φυγῇ χρήσαιτο· πολλάκις δὲ καὶ μὴ θελόντων κινηθῆναι ἐν τῇ φοβερῶν ἢ ἡδέων διανοήσει. ἡ μέντοι καρδία ἀντιτείνουσα κινεῖται καὶ αἱ τρίχες φρίττουσι. καὶ πάλιν διψῶντος ἐν στρατοπέδῳ στρατιώτου καὶ κελεύοντος τοῦ πάθους ἕσθαι ἐπὶ πότον, ὁ νοῦς μένειν παρακελεύεται ἐν θεωρίᾳ τοῦ καλοῦ καὶ συμφέροντος. καὶ αὖθις ἐπιτάττοντος τοῦ νοῦ καὶ κελευούσης τῆς διανοίας τῆς πρακτικῆς φεύγειν τι ἢ διώκειν, οὐ κινεῖται ὁ ἄνθρωπος ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν πράττει, οἷον ἐπὶ τῶν ἀκρατῶν· ἑταίρας γὰρ φανείσης ὁ μὲν νοῦς φεύγειν παρακελεύεται. ἡ δὲ ἐπιθυμία μένειν βιάζεται. καὶ ἔτι αἱ τέχναι πᾶσαι νοῦς οὖσαι πρακτικὸς οὐκ ἐνεργοῦσιν, ὡς ἑτέρου τινὸς ὄντος κυρίου τοῦ ποιεῖν κατὰ τὴν ἐπιστήμην, ἀλλ' οὐ τῆς ἐπιστήμης. ὁρῶμεν γὰρ ὅτι ὁ ἔχων τὴν ἰατρικὴν οὐκ ἰᾶται οὐδὲ ἔρχεται ἐπὶ τὸν ἄρρωστον, ἕως ἂν ἢ τὸ φιλοχρήματον ἢ φιλότιμον κινήσῃ ἢ καὶ ἄλλο τι. ἀλλὰ μὴν οὐδ' ἡ ὄρεξις ἡ ἐμπαθὴς ἥ τε θυμικὴ καὶ ἐπιθυμητικὴ κυρία τῆς κινήσεως· οἱ γὰρ ἐγκρατεῖς ὀρεγόμενοι καὶ ἐπιθυμοῦντες οὐ πράττουσιν ὧν ἔχουσι τὴν ὄρεξιν, ἀλλ' ἀκολουθοῦσι τῷ νῷ.

Εἰ γοῦν μηδὲν εἴη τῶν ἀπηριθμημένων τὸ κινοῦν, τί ἂν εἴη; ἢ φαίνεταί III 10
γε δύο ταῦτα τὰ κινοῦντα, νοῦς καὶ ὄρεξις, ὄρεξις μὲν ἐπὶ τῶν ἐμπαθῶν, νοῦς δὲ ὁ μὲν λογικὸς καὶ πρακτικὸς ἐπὶ τῶν σπουδαίων, ὁ δὲ κατὰ φαντασίαν ἐπὶ τῶν ἀλόγων· ἐν γὰρ ἐκείνοις ἡ νόησις οὐ λογισμός ἐστιν ἀλλὰ φαντασία. καὶ ἡμεῖς δὲ ὅταν ἀπροβουλεύτως μνησθέντες τινὸς ἴωμεν ὄπισθεν αὐτοῦ, κατὰ μόνην φαντασίαν κινούμεθα. τρία οὖν κατὰ τοῦτο τὰ κινητικὰ κατὰ τόπον εἴη ἄν, νοῦς πρακτικὸς φαντασία καὶ ὄρεξις. μήποτε δὲ οὐκ εὐλόγως ἔχῃ λέγειν τοσαῦτα τὰ τῆς κινήσεως αἴτια, ἀλλ' ἓν τοῦτο τίθεσθαι καὶ κοινὸν τὴν ὄρεξιν. εἰ γὰρ καὶ ἐν πλείοσιν ὑφέστηκε, νῷ καὶ θυμῷ καὶ ἐπιθυμίᾳ, ἀλλ' οὖν εἰς ἕν τι συνάγεται καθὸ ὄρεξις. εἰ γὰρ δύο νοῦς καὶ ὄρεξις ἐκίνουν, κατὰ κοινὸν ἄν τι εἶδος ἐκίνουν. νῦν δὲ ὁ μὲν νοῦς οὐ φαίνεται κινῶν ἄνευ ὀρέξεως (ἡ γὰρ βούλησις ὄρεξις· ὅταν δὲ κατὰ λογισμὸν κινῆται, καὶ κατὰ βούλησιν κινεῖται), ἡ δὲ ὄρεξις κινεῖ παρὰ τὸν λογισμόν· ἡ γὰρ ἐπιθυμία

---

1 γενητικὴ C 2 περὶ τούτου AC 4 πρακτικόν AB 5 καθόλων C 7 κατὰ τὸ σῶμα A 8 δὲ om. A 10 μονῇ B 12 τῇ τῶν φοβερῶν AC 13 αἱ om. C 14 ἕσθαι libri 18 κελεύεται A 19 πρακτικὴ A¹ 22 κινήσει A¹C 26 οὐδὲν B 27 τὰ om. AC 31 οὖν] ἂν A 32 ἂν om. A μήποτε δὲ] μήπου τ' οὖν A 33 ἔχει AC 38 κινῆται B

ὄρεξίς τίς ἐστιν. ἓν δὲ λέγομεν τὸ ὀρεκτικὸν οὐχ ὡς μιᾶς φύσεως οὔσης τῆς τε τοῦ νοῦ καὶ τῆς ἐμπαθοῦς, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ὄρεξις μὲν οὖν ἀρχὴ κινήσεως τῷ σώματι, ταύτης δὲ τὸ ὀρεκτόν, οἷον κάλλος πόμα νίκη. τοῦτο δὲ τὸ ἀγαθὸν ἢ τὸ ὄντως ἢ τὸ φαινόμενον, καὶ πρακτόν· τοῦτο δέ
5 ἐστι τὸ καὶ ἄλλως ἔχειν δυνάμενον, καὶ περὶ ὃ βουλή, οἷον εἰρηνεῦσαι πολεμῆσαι πλουτῆσαι ὑγιᾶναι. ὅτι μὲν οὖν ἡ τοιαύτη δύναμις τῆς ψυχῆς κινεῖ ἡ καλουμένη ὀρεκτικὴ φανερόν· ὅπως δέ. ὡς ἄν τινος τῇ ψυχῇ ἔφεσις γένηται (τοῦτο δέ ἐστι τὸ ὀρεκτὸν καὶ πρακτὸν ἀγαθόν), καὶ δεῖται τῆς εἰς αὐτὸ μετουσίας καὶ τοπικῆς μεταβάσεως, εὐθὺς τὸ πνεῦμα τὸ ἐν ἐγκεφάλῳ κινεῖ
10 (τοῦτο γὰρ αὐτῇ πρῶτον ὄργανον αἰσθήσεως καὶ κινήσεως, λεπτότατον ὂν ὥσπερ τὸ τῆς ζωῆς ἐν καρδίᾳ)· τὸ δὲ τὰ νεῦρα, πάντων ἐν ἐγκεφάλῳ τὰς ἀρχὰς ἐχόντων· τὰ δὲ τὰ ὀργανικὰ τοῦ σώματος μόρια, χεῖρας καὶ πόδας καὶ τὰ λοιπά· τούτοις δὲ τὸ ὅλον σῶμα μετάγεται καὶ οὕτω κίνησις γίνεται. ἐπεὶ δὲ ἡ ὄρεξις ἢ ἐν νῷ ἢ ἐν τῷ πάθει, ποτὲ μὲν κατορθουμένη ποτὲ δ'
15 ἡμαρτημένη ἡ πρᾶξις γίνεται. εἰ μὲν γὰρ ὁ νοῦς ἄρχοι, κατορθοῖ· πᾶς γὰρ νοῦς ἢ νοῦς ὀρθός ἐστιν· εἰ δὲ ἡ ἐμπαθής, ἁμαρτάνει. καὶ ἀεὶ μὲν ὁ πρακτικὸς νοῦς ἕνεκά του (τῆς πράξεως γάρ), ὁ θεωρητικὸς δ' οὔ. τέλος δ' ἐκείνῳ μὲν ἡ πρᾶξις, τῷ δὲ ἡ θεωρία. καὶ μέντοι καὶ ἡ ὄρεξις ἕνεκά του πᾶσα· τοῦ ὀρεκτοῦ γάρ. τὸ δὲ ἀρχὴ μὲν τῷ πρακτικῷ νῷ γίνεται βουλευο-
20 μένῳ, τέλος δὲ τῆς πράξεως. οἷον ῥιγῶντες βουλευόμεθα ὅτι δεῖ σκέπης· τοῦτο δ' ἂν γένοιτο, εἰ ἐπινοηθείη τι ἡμῖν περιβόλαιον· τοῦτο δὲ εἰ στήμονα καὶ κρόκην συνάψαιμεν· ταῦτα δὲ ἐξ ἐρίων, ἐκ τῶν προβάτων δὲ τὰ ἔρια· δεῖ οὖν ὠνήσασθαι πρόβατα. καὶ εἰς τοῦτο τοῦ πρακτικοῦ νοῦ λήξαντος ἐντεῦθεν ἡ πρᾶξις ἄρχεται· ὠνούμεθα πρόβατα. κείρομεν τὰ ἔρια, στήμονα καὶ
25 κρόκην ποιοῦμεν· ταῦτα δὲ συμπλέξαντες ποιοῦμεν περιβόλαιον· καὶ ἐνταῦθα κατέληξε πάλιν ἡ πρᾶξις, ἔνθα ἤρξατο ἡ θεωρία. καὶ δὴ περὶ τοῦ αὐτοῦ λογίσαιτ' ἂν πολλάκις καὶ ὁ θεωρητικὸς νοῦς. εἰς ὃ καὶ ὁ πρακτικός. οὐχ ὁμοίως δέ· ὁ μὲν γὰρ αὐτὴν τὴν φύσιν τοῦ πράγματος ἐπισκέψαιτο μόνην ὅπως ἔχοι, οὐκ εἰδὼς εἴτε πρακτόν ἐστιν εἴτε μή, οἷον τίς ποτε φύσις ὑγείας
30 καὶ τίς ἡ τῶν σωμάτων κρᾶσις, καὶ οὐ πρὸς μερικὸν ἀλλὰ καθόλου· ὁ δὲ ὅπως ἂν τόδε τὸ σῶμα ψυχρὰν ἔχον δυσκρασίαν ἰάσαιτο, πάντα μερικά. μήποτε δὲ καὶ ὁ θεωρητικὸς κινεῖ· ὅτι μὲν γάρ ἐστί τις ὄρεξις καὶ αὐτῷ, πρόδηλον. ὀρεγόμεθα γὰρ μαθημάτων καὶ τῆς τῶν πραγμάτων θεωρίας καὶ τῆς πρὸς τὸ θεῖον ἀνατάσεως· ἔνθεν καὶ πρὸς τοὺς διδασκάλους φοιτῶμεν ἑαυτοῖς ἐξευρεῖν
35 μὴ δυνάμενοι. οἵ τε διδάσκαλοι πρὸς τοὺς διδαχθῆναι ὀφείλοντας ἔρχονται ὀρεχθέντες τούτου. κἂν τελειωθέντα δέ τις ὑποθοῖτο τὸν ἡμέτερον νοῦν καὶ γενόμενον ἐνεργείᾳ, καὶ τότε προσδεὴς ἔσται τῆς ἀπ' ἄλλου γνωστοῦ ἐπ' ἄλλο μεταβάσεως. ὡς καὶ νῦν ὁρῶμεν τοὺς ἐπιστήμονας· οὐ γὰρ δὴ πάντα προχείρως ἕξει ὡς ὁ θεῖος ἀθρόως καὶ μιᾷ ἐπιβολῇ καὶ ἀεὶ πάντων τῶν ὄντων ἐστῶσαν
40 ἔχων τὴν θεωρίαν. ἀλλ' ἀφ' ἑτέρου ἐφ' ἕτερον θεώρημα μεταβαίνων ἔσται·

---

3. 8 ὀρεκτικόν B 19 βουλομένῳ BC 26 ἔνθα] ὅθεν A 31 post πάντα add. δὲ A 39 ἕξοι ὥσπερ A

τοῦτο δὲ ὀρέξεως ἄνευ ἀδύνατον. ὥστε γένοιτ' ἄν ποτε καὶ ἡ ἐν τῷ θεωρητικῷ νῷ ὄρεξις αἰτία τῷ σώματι τῆς κατὰ τόπον κινήσεως. ἢ πρὸς ταῦτα ἐκεῖνο συντόμως εἰπεῖν. ὡς οὐκ αὐτόθεν ἡ ἐν τῷ θεωρητικῷ ὄρεξις κινητική ἐστι τοῦ σώματος, ἀλλ' ὀρεχθεὶς τοῦ μαθεῖν τι ἢ διδάξαι, ἐπεὶ μὴ οἷόν τε τοῦτο γενέσθαι ἄνευ τῆς κατὰ τόπον κινήσεως, ἐπιτρέπει τῷ πρακτικῷ νῷ ποιήσασθαι τὴν τοῦ σώματος κίνησιν. ὁ δὲ κινεῖ· ἐπεὶ καὶ ὑγιαίνειν τὸ σῶμα βούλεται, ἵνα μὴ πρὸς τὴν ἐνέργειαν ἐμποδίζηται, καὶ λουτροῖς ἔνθεν καὶ γυμνασίοις χρῆται· οὐχ ἡ δὲ θεωρητικός, ἀλλ' ἡ πρακτικός, ὡς εἰς τῷ τέλει διαφέρων. ὅτι μὲν οὖν κατ' ὄρεξιν ἐν τοῖς ζώοις ἡ κίνησις, δῆλον ἐκ τούτων.

Ἐπεὶ δ' ὀρέξεις γίνονται ἐναντίαι ἀλλήλαις, τοῦτο δέ, ὅταν λόγος ἐπιθυμίᾳ μάχηται, σκεπτέον ὅπως ποτὲ ταῦτ' ἔχει. ὁ μὲν γὰρ λόγος σωφροσύνης καὶ δικαιοσύνης ὀρέγεται, τὰ δὲ πάθη τὸ μὲν ἐπὶ τὸ φιλήδονον, τὸ δὲ ἐπὶ τὸ φιλότιμον ἐκκαλεῖται· καὶ ὁ μὲν διὰ τὸ μέλλον ἀνθέλκειν κελεύει, ἡ δὲ ἐπιθυμία διὰ τὸ ἤδη ἡδύ· φαίνεται γὰρ τὸ ἤδη ἡδὺ καὶ ἁπλῶς ἡδὺ καὶ τὸ παρὸν ἀγαθὸν καὶ ἁπλῶς ἀγαθὸν διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον. καὶ δήπου τῷ πυρέττοντι ψυχροῦ ἐφιεμένῳ ὁ μὲν νοῦς ὁρῶν τὸ μέλλον κακὸν ἐκ τῆς πόσεως ἀποτρέπει πιεῖν, ἡ μέντοι ἐπιθυμία τὸ παρὸν ὁρῶσα βιάζεται· καὶ οὕτω λοιπὸν συμβαίνει τὴν μάχην τῶν ὀρέξεων γίνεσθαι. τοῦτο δ' ἐν μόνοις ἀνθρώποις τοῖς καὶ χρόνου αἴσθησιν ἔχουσιν, οὔτε δὲ ἐν τοῖς κρείττοσιν οὔτε ἐν τοῖς χείροσι· τοῖς μὲν γὰρ οὐκ ἔστιν ἀλογία, τοῖς δ' οὐκ ἔστι λόγος. τούτων οὕτως ἐχόντων ἀνάγκη τὸ κινοῦν τὴν κατὰ τόπον κίνησιν τὸ ζῶον μὴ ἓν εἶναι. ἀλλὰ γένει μὲν ἕν, εἴδει δὲ καὶ ἀριθμῷ πλεῖστα. αὐτίκα ποιητικὸν μὲν καὶ πρῶτον αἴτιον αὐτὴ ἡ ὄρεξις· δεύτερον δὲ ᾧ κινεῖ. τοῦτο δὲ διττόν, τὸ μὲν κινοῦν μέν, οὐ κινούμενον δέ, ὡς τὸ ὀρεκτόν, οἷον ὑγεία, νίκη, ὃ δὴ καὶ τελικὸν κινήσεως αἴτιον· τὸ δὲ κινούμενόν τε καὶ κινοῦν, ὅπερ ἐστὶν ὀργανικόν, τὸ ἐν ἐγκεφάλῳ πνεῦμα· τούτῳ γὰρ ὀργάνῳ πρώτῳ πρὸς τὴν αἴσθησιν καὶ κίνησιν ἡ ψυχὴ χρῆται. ὅθεν καὶ εἴ τις ἔμφραξις ἐν νεύρῳ γένοιτο τοῦ πνεύματος κωλύουσα τὴν δίοδον, τὸ μὲν ἀνωτέρω κινήσεται τὸ κάτω δ' οὔ. εἰδικὸν δὲ αὐτὴ ἡ κίνησις, ἧς ζητοῦμεν τὰ αἴτια. κινούμενον δὲ τὸ ζῶον. τὸ μέντοι πνεῦμα καὶ ἀρχὴ καὶ τέλος ἐστί· καθὸ μὲν γὰρ μέσον ὂν τῆς ἀσωμάτου καὶ ἀύλου φύσεως καὶ τοῦ παχέος τούτου σώματος, καὶ δι' αὐτοῦ δευτέρως καὶ κίνησις χορηγεῖται καὶ αἴσθησις, εἴη ἂν ἀρχή· καθὸ δὲ ἄλλοθεν κινεῖται καὶ εἰς αὐτὸ ἀποτελευτῶσιν αἱ τῆς ψυχῆς ἐλλάμψεις καὶ ζωαί, γένοιτ' ἂν τελευτή. ὅθεν ἕν ἐστι καὶ οὐχ ἕν, καὶ κινούμενον καὶ ἀκίνητον. θεωρητέον δὲ περὶ αὐτοῦ ὕστερον ἐν τοῖς κοινοῖς ἔργοις ψυχῆς καὶ σώματος διεξοδικώτερον· νῦν δ' ὡς ἐν κεφαλαίῳ εἰπεῖν ὅτι τὸ κινοῦν ὀργανικῶς, ὅπου ἂν ἀρχὴ καὶ τελευτὴ τὸ αὐτό, ὡς ἐν θύρᾳ καὶ κιβωτίῳ ὁ γίγγλυμος· ἐνταῦθα γὰρ τὸ κυρτὸν καὶ τὸ κοῖλον τὸ μὲν τελευτή, τὸ δ' ἀρχή· διὸ τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, λόγῳ μὲν ἕτερα ὄντα, μεγέθει δὲ ἀχώριστα· πάντα γὰρ ὤσει καὶ ἕλξει κινεῖται.

---

3 ὄρεξις repetit B 8 post εἰς add. ὂν AC 11 ἔχει A 14 φαίνεται γὰρ τὸ ἤδη ἡδὺ om. B τὸ ἤδη scripsi, cf. de An. 433b9: τὸ τόδε AC 23 ante αὐτὴ add. ἡ A 26 τούτῳ scripsi: τοῦτο libri 29 αὐτὴ] αὕτη A[1] 31 παχέος C 33 ἐλλάψεις C 34 post ὅθεν add. καὶ A 37 γίγγλυμος scripsi: γιγγλυσμός libri

διὸ ὥσπερ ἐν κύκλῳ δεῖ μένειν τι καὶ ἐντεῦθεν ἄρχεσθαι τὴν κίνησιν. ὅλως μὲν οὖν, ὥσπερ εἴρηται, ᾗ ὀρεκτικὸν τὸ ζῶον, ταύτῃ ἑαυτοῦ κινητικόν· ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας· αὕτη δὲ ἢ λογιστικὴ ἢ αἰσθητική, ὡς κἀν τοῖς περὶ φαντασίας ἐλέγετο. τῆς δὴ αἰσθητικῆς καὶ τὰ ἄλλα ζῶα μετέχει. ἡ γὰρ φαντασία ἢ ἀπὸ τοῦ νοῦ τὰς ἀρχὰς λαμβάνουσα κινεῖται ἢ παρὰ τῆς αἰσθήσεως. καὶ ἀπὸ μὲν τοῦ νοῦ τὸν τρόπον τοῦτον· ὅταν γὰρ ὁ νοῦς ὁ πρακτικὸς ὀρεχθῇ διά τι φέρε εἰπεῖν ἀγαθὸν κινῆσαι τὸ ζῶον ἐπὶ τὸ Βυζάντιον, εὐθὺς ἡ φαντασία τυποῦται ὑπὸ τῆς τοῦ νοῦ ὀρέξεως, τοῦτο δέ ἐστι τῆς βουλήσεως, καὶ μορφοῦται τὸν τόπον τῆς πόλεως ἢ ἀληθῆ, εἰ ἔφθη διὰ τῆς αἰσθήσεως τυπωθῆναι. τότε μνημονεύουσα, ἢ ἐξ ὁμοιότητος τῶν ἄλλων καὶ πεπλασμένον· εἶτα βουλευομένου. πότερον διὰ γῆς ἢ θαλάσσης πορεύσεται, καὶ ἡ φαντασία μορφοῦται τὸν πλοῦν ἢ τὴν γῆν· καὶ προκρίναντος θάτερον, εἰ τύχοι, τὴν διὰ γῆς καὶ τὴν διὰ τῶνδε ἢ τῶνδε τῶν τόπων ὁδόν, πάλιν ἡ φαντασία μορφοῦται κατ' ἐκεῖνο, εἰς ὅπερ ἡ τοῦ νοῦ ἔκλινε βούλησις, καὶ τότε κινεῖ κατὰ ταύτην τὸ ζῶον συνθεῖσα πάντα τὰ φαντάσματα εἰς ἕν· λέγω δὴ τὴν ἐπὶ τόνδε τὸν τόπον πορείαν διὰ γῆς καὶ τῶνδε τῶν τόπων. καὶ τοιαύτη μὲν ἡ λογικὴ τήν τε ἀρχὴν ἀπὸ τοῦ νοῦ ἔχουσα καὶ κατὰ μέρος εἰς ἓν συντιθεῖσα. ἡ μέντοι ἄλογος ἀπὸ τῶν αἰσθήσεων τὰς ἀρχὰς λαμβάνει· τὸ γὰρ ἐγγινόμενον ἐν αἰσθήσει πάθος τοῦ αἰσθητοῦ προσβαλόντος ἐναπομαξαμένη μορφοῦται, εἴτε ἡδὺ εἴτε λυπηρόν, καὶ κινεῖ τὴν ὄρεξιν ἐπὶ τὸ φυγεῖν ἢ ἑλεῖν, ἡ δὲ τὸ ζῶον· οἷον ὑπὸ τῆς τοῦ μέλιτος ὀσμῆς οὔσης ἡδείας πάσχει προσβαλὸν τὸ τῶν μυιῶν ὀσφραντικόν, τὸ δὲ τυποῖ τὸ φανταστικόν, ἐκ τούτου δὲ ὄρεξις, ἡ δὲ ἐπὶ τὸ μέλι τὰς μυίας ἄγει· τάς τε μελίσσας κατὰ τὰ αὐτὰ λυποῦσα διώκει ἡ τοῦ καπνοῦ προσβολή. ἐκ δὴ τῆς αἰσθήσεως ἡ ἄλογος φαντασία τὴν ἀρχὴν ἴσχει, καὶ τὰ πολλὰ φαντάσματα εἰς ἓν συνθεῖναι ἀδυνατεῖ, ὥσπερ ἡ λογική. ἀλλὰ συμπαραμαρτεῖ τῇ αἰσθήσει τοῦτο μόνον φανταζομένη, οὗπερ ἡ αἴσθησις ἀντελάβετο, ἐπιλανθανομένη τῶν ὄπισθεν· διὸ οὐδὲ δοξάζειν τὰ ἄλογα δύναται, εἴπερ ἡ δόξα τοῦ καθόλου.

III 11 Τούτων οὕτω διωρισμένων σκεπτέον καὶ περὶ τῶν ἀτελῶν, τί τὸ κινοῦν αὐτὰ τυγχάνει (ὧδε δὲ ἀτελῆ λέγομεν, οἷς αἴσθησις γεῦσις μετὰ τῆς ἁφῆς ὑπάρχει μόνη), πότερον ἐνδέχεται φαντασίαν ὑπάρχειν καὶ τούτοις, ὥσπερ καὶ τοῖς τελείοις τῶν ζώων, εἴπερ καὶ τῇ κινήσει φαντασία σύνεστιν, ἢ οὔ. ἢ τοῦτο μὲν καὶ ἀπορεῖν τὴν ἀρχὴν οὐκ εὔλογον· εἰ γὰρ ἐπιθυμίαν αὐτοῖς ἐνοῦσαν ὁρῶμεν τῷ ἥδεσθαι καὶ λυπεῖσθαι (τὸ δέ, ὅτι συστέλλονται καὶ διαχέονται· κοχλίαι μὲν γὰρ ὕδατος αὐτοῖς προσιόντος τῶν ὀστράκων ἐξέρπουσι· συγκλείονται δὲ καὶ συνάγονται σκληροῦ τινος προσεγγίσαντος), λείπεται λέγειν καὶ φαντασίαν αὐτοῖς ἐνεῖναι· πλὴν ὥσπερ τὴν κίνησιν, οὕτω καὶ ταύτην ἀόριστον ἕξουσι. τοῖς μέντοι τελειοτέροις, οἷον ἵπποις κυσὶ καὶ μελίτταις, τεταγμένως πως κινουμένοις (ἐπί τε γὰρ νομὰς τὰς συνήθεις καὶ τὰς κατα-

---

2 ἑαυτοῦ scripsi: δ' αὐτοῦ libri 10 προτυπωθῆναι A 12 προκρίναντας B θάτερον scripsi: θατέρου libri 17 ante κατὰ add. τὰ A 19 προσβάλλοντος A 20 post ἡδὺ add. ἢ A: εἴ C 24 δὴ] δὲ B 32 καὶ om. A

μονὰς οἴκοθεν οἴχονται), καὶ ἡ φαντασία μᾶλλόν τι ἐκείνων ἕξει τεταγμένον. ὡρισμένως δὲ καὶ τελεώτατα ὁ λογικὸς κινηθήσεται ἄνθρωπος νῷ καὶ βουλήσει χρώμενος· καὶ οὐ πάντως τῷ φαινομένῳ ἡδεῖ ἕψεται, εἰ μὴ καὶ ἀγαθὸν εἴη (ἢν γὰρ ἂν περιττὴ ἡ ἐν αὐτῷ ἐπιστασία τοῦ λογισμοῦ), καὶ τόδε πρὸ τοῦδε
5 αἱρήσεται. ἑνὶ γάρ τινι κανόνι τῷ ἀγαθῷ χρήσαιτο, καὶ πρὸς ἐκεῖνο βλέπων τὴν ψυχὴν ποιήσεται καὶ τὴν αἵρεσιν. ἄλλως μέντοι καὶ ἄλλως ὁ φαῦλος καὶ ὁ σπουδαῖος πρός τε τὸ ἀγαθὸν βλέπουσι καὶ τῷ συλλογισμῷ χρήσονται· ὁ μὲν γὰρ τῷ φαινομένῳ ὁ δὲ τῷ ὄντι προσβαλεῖ. καὶ ὁ μὲν ὅτι ἡδὺ θήλεος ὁμίλια, τὸ δὲ ἡδὺ κατὰ φύσιν, τοῦτο δὲ ἀγαθόν, τοῦτο δὲ αἱρετόν, ἐπὶ τὴν
10 μῖξιν ἥξεται· ὁ δὲ ἐπειδὴ τόδε ἡδύ, ἡδέων δὲ τὸν σπουδαῖον ἀπέχεσθαι δεῖ, σωφρονήσειεν. ἐπεὶ δὲ ἀντιπεπονθότα τὸν λόγον συνέγνωμεν πρὸς τὰ πάθη, τέσσαρες ἕξεις ἠθικαὶ ἐν ψυχῇ ἀναφανήσονται. ἢ γὰρ μάχονται πάθος καὶ λόγος ἢ οὔ· καὶ εἰ μὴ μάχονται, ἢ τοῦ λόγου κρατήσαντος καὶ τὰ πάθη ἐξευγενίσαντος ἄγει ὅποι καὶ βούλοιτο, καὶ καλεῖται σωφροσύνη, ἡ τῶν τεσσάρων
15 ἀρετῶν τῶν γενικῶν περιληπτική, ἢ τὰ πάθη τὸν λογισμὸν ἐδουλώσαντο ἀνδραποδισάμενα, καὶ λέγεται ἀκολασία. εἰ δὲ μάχονται καὶ παρὰ μέρος τὴν ἧττα καὶ τὴν νίκην ἀντιλαμβάνουσιν, ὥσπερ σφαῖρα ἄνω καὶ κάτω κυλιομένη, ἐγκράτεια καὶ ἀκρασία κατονομάζεται· ἐγκράτεια μὲν εἰ κρατεῖ λόγος, ἀκρασία δὲ εἰ πάθος. τέσσαρες δ' οὖσαι ἀρεταὶ γενικαὶ τῶν ὅλων καὶ περιεκτικαὶ
20 φρόνησις σωφροσύνη ἀνδρία καὶ δικαιοσύνη τρία μέρη τῶν τῆς ψυχῆς διενείμαντο· καὶ φρόνησις μὲν ἐν τῷ λογιστικῷ, σωφροσύνη δὲ ἐν τῷ ἐπιθυμητικῷ, ἀνδρία δὲ ἐν τῷ θυμικῷ, ἡ μέντοι δικαιοσύνη ἐν ἀμφοτέροις θυμῷ καὶ ἐπιθυμίᾳ. καὶ φρόνησις μέν ἐστιν ἕξις μετὰ λόγου ἀληθοῦς περὶ τὰ ὄντως ἀνθρώπινα ἀγαθὰ πρακτικὴ καὶ εὑρετική· σωφροσύνη δὲ ἕξις ἀνένδοτος περὶ
25 τὰς σωματικὰς ἡδονὰς μετὰ ὀρθοῦ λόγου κατὰ προαίρεσιν· ἀνδρία δὲ ἕξις ἐκ προαιρέσεως ὁρμητικὴ κατὰ λόγον ὀρθὸν πρὸς τοὺς ὑπὲρ ἀγαθοῦ κινδύνους ἐν ὑπομονῇ τῶν κατ' ἄνθρωπον ἀλγεινῶν· δικαιοσύνη δὲ ἕξις προαιρετικὴ κατὰ τὸν ὀρθὸν λόγον τοῦ κατ' ἀξίαν παρεκτική. καὶ μεσότης μὲν ἡ σωφροσύνη ἀκολασίας καὶ ἠλιθιότητος, ἀνδρία δὲ δειλίας καὶ θράσους, ἀφροσύνης
30 δὲ καὶ πονηρίας ἡ φρόνησις, καὶ πλεονεξίας δὲ καὶ μειονεξίας ἡ δικαιοσύνη. τούτων οὖν οὕτως ἐχόντων ἐπεὶ ἐκ δύο τοὐλάχιστον προτάσεων συλλογισμὸς ἅπας συμπεραίνεται, τῶν δὲ ἡ μὲν μερικὴ καὶ ἐλάττων, ἡ δὲ καθόλου καὶ μείζων, ποία μᾶλλον αἰτία τῆς τοῦ ἀνθρώπου κινήσεως; ὡς ἐπὶ παραδείγματος "ἐγὼ φιλόσοφος, πάντα φιλόσοφον εὖ ποιεῖν δεῖ, ἐμὲ ἄρα εὖ ποιεῖν δεῖ"· πάλιν
35 "ἐγὼ ἠρίστευσα, πάντα ἀριστέα στεφανοῦσθαι δεῖ, ἐμὲ ἄρα στεφανοῦσθαι δεῖ". καὶ πῶς μὲν θεωροῦσιν ἡ μερικὴ τὸ κῦρος ἔχειν φανήσεται· αὕτη γάρ ἐστιν ἡ ἐπὶ τὴν πρᾶξιν κινήσασα δι' ἑαυτήν, αὕτη δὲ καὶ ἡ πράττουσα. ἀλλ' ἔστι πως καὶ ἡ καθόλου αἰτία· εἰ μὴ γὰρ τῷ καθόλου κρίνοι τὸ πρακτὸν ἡ ψυχή, ὅτι πάντα τοιόνδε τόδε δεῖ ποιεῖν, οὐ κινεῖται· ὥστ' εἰ καὶ ἀμφοτέρας αἰτίας

1 οἴχονται scripsi: οἴονται libri 2 ὡρισμένος C 3 ἡδεῖ scripsi: ἡδὺ libri 7 ὁ (ante σπουδαῖος) om. AC 10 ἡδίων C ἀπεσχέσθαι C 20. 22. 25. 29 ἀνδρεία AC 28 παρεκτική] περιεκτική B 30 δὲ (post πλεονεξίας) om. C 31 οὖν om. C 32 περαίνεται A

εἴποιμεν, ἀληθὲς ἂν εἴποιμεν. καὶ δὴ ἡ μὲν μερικὴ ἔστιν ὅτε ἀορισταίνει καὶ κινεῖται μεταβαίνουσα, ἡ δὲ καθόλου ἧττον ἢ οὐδαμῶς· ἐνδέχεται γὰρ τὸν λέγοντα "ἠρίστευσα" καὶ μὴ ἀριστεῦσαι· καὶ νῦν μὲν Διομήδης ἠρίστευσε, νῦν δὲ Ἀχιλλεύς, ἄλλοτε Αἴας· ἡ δὲ "πάντα ἀριστέα δεῖ στεφανοῦσθαι"
5 ἵσταται καὶ οὐ μεταβάλλει, εἰ μή τις καὶ τὴν εἰς ἄλλην ὁμοίαν πρᾶξιν μετάβασιν ταύτης ἀλλοίωσιν εἴποι, οἷον "δεῖ πάντα ἀριστέα δωρεὰν λαμβάνειν". πάσχει δὲ τοῦτο, διότι μᾶλλον πρὸς τοῦ ἑνὸς ἢ τοῦ πλήθους, ἡ δὲ ἐλάττων πρὸς τοῦ πλήθους (ἄπειρα γὰρ τὰ καθ' ἕκαστα), καὶ ὅτι ἐπὶ μὲν τῆς μερικῆς, μιᾶς ὑποκειμένης καὶ τῆς αὐτῆς πράξεως, ἀπειράκις ἐνδέχεται, ὥς γε εἴρηται,
10 μεταβάλλεσθαι, ἡ δὲ καθόλου ἀκίνητος, τότε δὲ κινεῖται ὅτε καὶ ἡ πρᾶξις ἑτέρα γένηται. καὶ ὅσῳ καθολικωτέρα ἐστί, τοσούτῳ μᾶλλον ἀκίνητος· διὸ τὸ πάντων καθολικώτατον καὶ ἀκίνητόν ἐστιν, οἷον τὸ ἀγαθόν· πάντων γάρ ἐστι τελικώτατον αἴτιον καὶ πάντες οἱ συλλογισμοὶ διαφερόντως τοῦ πρακτικοῦ νοὸς εἰς τοῦτο τελευτῶσι· διὰ τοῦτο στεφανοῦσθαι δεῖ ὅτι ἀγαθόν, καὶ διὰ
15 τοῦτο εὖ ποιεῖν δεῖ.

III 12 Τούτων οὕτω διαιτηθέντων καὶ τὸ τῆς κατὰ τόπον κινήσεως αἴτιον τοῖς ζώοις ὃ τυγχάνει ὂν εἰπόντες, ὅτι ὄρεξις ἁπλῶς, καὶ ἡ μὲν ὄρεξις, ἕν, ᾗ δὲ ἐν πλείοσι μορίοις, οὐχ ἕν, νῦν ζητήσωμεν, τί δήποτε μὴ πάντα κινητικὰ κατὰ τόπον τὰ ἔμψυχα, καὶ ἵνα ταῦτα καλῶς διαρθρωθείη, τὸν περὶ τῶν μορίων
20 τῆς ψυχῆς λόγον ἀναλάβωμεν. τὸ μὲν οὖν θρεπτικὸν ἀναγκαίως ἐν παντὶ ἐμψύχῳ θεωρεῖται· πᾶν γὰρ τὸ γενόμενον αὔξησιν ἔχει καὶ ἀκμὴν καὶ φθίσιν καὶ δεῖται τοῦ προσκρινομένου καὶ αὔξοντος, ὃ δὴ τῷ ὑποκειμένῳ ἐξομοιούμενον ποιήσει τὴν αὔξησιν· τοῦτο δὲ τροφή. οὐ μόνον δὲ διὰ τὴν αὔξησιν τροφῆς δεῖται τὰ ἔμψυχα (οὐ γὰρ διὰ παντὸς αὔξεται), ἀλλὰ καὶ δι' ἣν ὑπομένει
25 διηνεκῆ φθίσιν καὶ ἀπορροὴν δεῖται τοῦ εἰσιόντος καὶ ἀναπληροῦντος τὴν κένωσιν. διὰ ταῦτ' ἄρα τὴν θρεπτικὴν δύναμιν ἐν πᾶσι τοῖς ἐμψύχοις ἀνάγκη εἶναι. τὴν δὲ αἰσθητικὴν οὐκ ἀνάγκη ἐν πᾶσιν· αὐτίκα γὰρ ὅσα ἁπλᾶ τῶν σωμάτων, οἷον τὰ τέσσαρα στοιχεῖα, καὶ ὅσα σύνθετα, ἐξ ἑνὸς δὲ ἐπικρατοῦντος συνέστηκεν, οἷα τὰ φυτά, οὐκ αἰσθήσεται· γεωδέστερα γάρ, γῇ δὲ ἥκιστα τῶν
30 ἄλλων συμβαλεῖται πρὸς αἴσθησιν, βαρύτατον ὂν καὶ ἀκίνητον. ὅθεν καὶ τὰ ἐν τοῖς ζώοις μόρια, οἷον ὀστᾶ τρίχες ὄνυχες, κατὰ τοσοῦτο τῶν ἄλλων ⟨μᾶλλον⟩ ἀναίσθητα, ὅσῳ καὶ γεωδέστερα. δεῖ δὲ τὴν αἴσθησιν ἐν μεσότητι εἶναι, ἵν' εἴη τῶν εἰς ἑκάτερα ἐκκλινόντων κριτήριον. ἔτι ἁπλοῦν ὂν τὸ σῶμα οὔτε τοῦ οἰκείου αἰσθήσεται (οὐ γὰρ ἂν παθεῖν ὑφ' ὁμοίου τὸ ὅμοιον δύναιτο· πάθοι
35 γὰρ ἂν ὑφ' αὑτοῦ· πάθος δὲ ἡ αἴσθησις), οὔτ' αὖ γνωριεῖ τὸ ἀλλότριον· φθαρήσεται γὰρ ὑπὸ τοῦ ἐναντίου. οὔτ' οὖν ἁπλοῦν σῶμα ἕξει ἁφὴν ἢ ὅλως αἴσθησιν ὡς τὰ καθόλου, οὔθ' ὅσα μὴ τῶν εἰδῶν δεκτικὰ ἄνευ τῆς ὕλης. καὶ τὸ ἁπτικὸν καὶ αἰσθητικὸν σύνθετον ἔσται καὶ μῖγμα ἐκ πάντων, ἵνα τὰς ὑπερβολὰς γινώσκῃ τῶν στοιχείων· τοῦ γὰρ ἀέρος ψυχροτέρου ἢ θερμοτέρου γεγονότος ἐπαισθη-

---

4 ἡ] εἰ B 10 κινεῖτε C 11 καθολικώτερον BC 17 ἡ μὲν A 21 γεννώμενον AC 22 προκρινομένου C 24 καὶ om. B 29 οἷον A 32 μᾶλλον addidi 33 κριτήρια B 35 ὑπ' αὐτοῦ BC 37 ἁπτικὸν scripsi: ἁπτὸν libri 39 ἢ θερμοτέρου om. B

σώμεθα, μένοντος δ' εὐκρασοῦς οὔ. μῖξιν δὲ στοιχείων καὶ σύνθεσιν λέγομεν τὴν κατὰ τὸ ἀνάλογον· ὅσα γὰρ ἐλαττοῦνται τῷ ποσῷ, ἐν τῇ συνδρομῇ πλεονεκτοῦσι τῇ δυνάμει, οἷον πέπονθε τὸ πῦρ πρὸς τὴν γῆν ἐν τοῖς τῶν ζώων σώμασιν· ἡ μὲν γὰρ πλείστη τῷ ποσῷ, τὸ δὲ δραστικώτερον. ἀναί-
5 σθητα μὲν οὖν τὰ φυτά, ὅτι ἁπλᾶ καὶ κατὰ τὴν ἑνὸς συντείνεται ἐπικράτειαν. τὸ δὲ ζῶον, ὅτι σύνθετον. ἀναγκαῖον αἴσθησιν ἔχειν· καὶ ἔτι δεῖ αὐτὰ σώζεσθαι (τοῦτο δὴ καὶ σκοπὸς τῆς φύσεως), ἵνα δὲ σώζηται, τρέφεσθαι, ἵνα δὲ τραφείη, κινεῖσθαι ἐπὶ τὰ τρέφοντα. μὴ ἔχοντα δὲ αἴσθησιν κἂν περιέπεσε τοῖς τρέφουσιν, οὐκ ἂν ἔγνω, μὴ γινώσκοντα δὲ οὐκ ἂν ἐτράφη· καὶ εἰ τοῦτο,
10 μάτην ἄρα καὶ τὴν ἀρχὴν ἐκινήθη. ἀλλ' οὐδὲν μάτην ἡ φύσις ποιεῖ, ἀλλὰ πάντα ἕνεκά του τὰ φύσει ἢ συμπτώματα τῶν ἕνεκά του, ὡς τὸ πολιοῦσθαι ἐν γήρᾳ ἢ ξανθὰς ἔχειν τὰς τρίχας τὰ μειράκια συμπτώματα δὴ τῶν ἕνεκά του γινομένων παρὰ τῆς φύσεως, τὸ μὲν διὰ τὸ φλέγμα τὸ δὲ διὰ τὸ αἷμα. φανερὸν δὲ ἐντεῦθεν καὶ ὃ ζητῆσαι προειθυμήθημεν, διὰ τί μὴ ⟨πάντα⟩ μετα-
15 βατικὰ κατὰ τόπον τὰ ἔμψυχα· εἰ γὰρ ἡ κίνησις διὰ τὴν τροφήν, τροφὴ δὲ τῷ ὁμοίῳ τὸ ὅμοιον, οὐδὲν χρεία φυτοῖς τῆς τοπικῆς κινήσεως, ἁπλοῖς οὖσι καὶ συμπεφυκόσι τῇ γῇ κἀκεῖθεν παρακειμένην ταῖς ῥίζαις τὴν τροφὴν ἕλκουσι. τοῖς δὲ ζώοις, ἐπεὶ σύνθετα καὶ δεῖται τῷ καταλλήλῳ τραφήσεσθαι, ἡ τοῦ τόπου μετάβασις προσγίνεται, ἵν' ἐκ διαφόρων τὸ πρόσφορον τῆς τροφῆς
20 ἐρανίζηται· τοῖς δὲ αὐτοῖς καὶ αἴσθησις διὰ τὴν τοῦ βλαβεροῦ καὶ ὠφελίμου διάκρισιν. καὶ τοῦτο μὲν ἐπὶ τῶν ἐν γενέσει καὶ φθορᾷ.

Μήποτε δὲ ὁ λόγος φθάνει καὶ ἐπὶ τῶν ἀεικινήτων αἰθερίων σωμάτων, καὶ αἴσθησις αὐτοῖς ὑπολείπεται, εἴπερ καὶ ψυχὴ καὶ νοῦς· τοῖς γὰρ οὕτω περὶ αὐτῶν δοξάζουσι καὶ τοῦτο συνυποληφθείη. καὶ γεῦσιν μὲν ἐν αὐτοῖς
25 καὶ ἁφὴν οὐ πάνυ τις, φασίν, ἀναγκάσει λόγος διὰ τὸ ἀπαθὲς καὶ ἀνενδεὲς τῆς φύσεως, ἢ θυμὸν καὶ ἐπιθυμίαν, ἀκοὴν δὲ καὶ ὅρασιν τὰς τιμιωτέρας ἐνεῖναι τοῖς τιμιωτάτοις διισχυρίσαιτο. τί γὰρ κάλλιον ψυχῇ καὶ σώματι νοῦν ἐλλάμπειν ἐν ἀναισθήτῳ σώματι ἢ ἐν αἰσθητικῷ; καὶ εἰ τὸ πρῶτον, ἡ μὲν οὐ μᾶλλον νοήσει τῶν εἰς σοφίαν συμβαλλόντων ἐστερημένη κρατίστων καὶ
30 τιμιωτάτων (ὄψει γὰρ καὶ ἀκοῇ τὸ τῆς φιλοσοφίας ἡμῖν θηρᾶται γένος), τὸ δὲ οὐδὲν ἑαυτῷ ἐσεῖται χρήσιμον. τίς δὲ κοινωνία ἢ ἕνωσις γένοιτο τῶν ἄκρως ἐναντίων, μὴ ὄντος τοῦ μεσιτεύοντος νοῦ καὶ σαρκός, ἀπούσης αἰσθήσεως; λείπεται τὸ δεύτερον λέγειν καὶ ἀκόλουθον τοῖς τὰ οὐράνια σώματα ἔμψυχα καὶ ἔννοα λέγουσι τὸ αἰσθητικὰ τίθεσθαι.

35 Ταῦτα μὲν οὖν οὕτως. ἔτι δὲ κἀκεῖνο συνεξετάσωμεν, τί δήποτε πέντε οὐσῶν αἰσθήσεων, εἴ τις τῶν ἄλλων ἐκλείψειεν, οὐ φθείρει τὸ ὑποκείμενον καὶ ἔστιν οἷς τῶν ζώων οὔθ' ὅρασις οὔτ' ἀκοὴ φύσει προσγέγονεν, ἁφῆς δὲ ἀναιρουμένης εὐθὺς καὶ ζῶον ἀναιρεῖται, καὶ μόνη ἀναγκαιοτάτη καὶ κοινοτάτη καὶ τῶν ἄλλων πρώτη. λέγομεν οὖν ὅτι, εἴπερ, ὡς δέδεικται, δεῖ τὸ ἔμψυχον

---

7 σκοπὸν B 13 τῶν μὲν—τῶν δὲ B 14 πάντα addidi 17 παρακείμενα B 19 προσγεγένηται AC 22 φθάνει AC 23 γὰρ om. B 24 αὐτὸν A¹ 25 λόγον B 27 διϊσχυρίσαιντο A: διϊσχυρίσαντο B 28 ἢ ἐν] ἢ τῷ A 32 ἄκρων A 35 οὖν om. AC 36 τις] τι B

τρέφεσθαι, καὶ οὐχ οἷόν τε μόνιμα εἶναι τὰ ζῶα καὶ κατερριζῶσθαι σύνθετα ὄντα, ἡ δὲ τροφὴ σῶμά ἐστιν ἁπτόν, τρεφόμεθα δὲ ἐξ ὧν συνεστήκαμεν, συνιστάμεθα δὲ ἐκ ψυχρῶν καὶ θερμῶν καὶ ξηρῶν καὶ ὑγρῶν (οἱ γὰρ χυμοὶ ἥδυσμα τούτοις εἰσὶν ὡς πεπλεγμένοι, διὸ καὶ αὐτοὶ ἁπτοί πώς εἰσι καὶ ἡ γεῦσις ἁφή), ἀνάγκη ἄρα ἔχειν τὸ ζῶον κριτικὴν δύναμιν τῶν τρεφόντων καὶ μή, ἁπτῶν δὲ ὄντων, καὶ αὐτὸ δεῖ ἁπτικὸν εἶναι. ἡ γὰρ τροφὴ ἁπτομένη τοῦ τρεφομένου τρέφει, οὐ πόρρω κειμένη· εἰ γοῦν μὴ ἔχει τὴν ἁφήν, οὐδὲ πλησιάζον τὸ τρέφον γνωρίσει· μὴ γνωρίζον δὲ οὐκ ἂν ἕλοιτο· μὴ ἑλόμενον δὲ οὐκ ἂν τραφείη· μὴ τρεφόμενον δὲ οὐδὲ εἶναι δυνήσεται, ὥστε πρὸς αὐτὸ τὸ εἶναι συντελεῖ τοῖς ζώοις αὐτὴ ἡ ἁπτικὴ αἴσθησις. αἱ δὲ ἄλλαι πρὸς τὸ εὖ εἶναι· διὸ ἐνεῖναι οὐκ ἀνάγκη πᾶσι πάσας, ἀλλὰ τοῖς τελειοτέροις καὶ τελειωθεῖσι. καὶ ἔτι τὰ μὲν κατὰ φύσιν σωστικά τε καὶ βλαβερὰ τῇ ἁφῇ κρίνεται, χρώματα δὲ καὶ ὀσμαὶ καὶ ψόφοι, ὧν αἱ λοιπαὶ αἰσθήσεις, οὔτε σωστικὰ οὔτε φθαρτικά· διὸ καὶ οὐκ ἀνάγκη ἐν πᾶσιν εἶναι τὰς τούτων κριτικάς.

III 13 Φανερὸν οὖν ἐκ τούτων καὶ ὅπως οὐχ ἁπλοῦν οἷόν τε εἶναι τὸ τοῦ ζώου σῶμα, οἷον πύρινον ἢ ἀέρινον ἢ ὑδάτινον· καὶ εἰ μὴ πόνος τὸ πολλάκις περὶ τῶν αὐτῶν λέγειν, εἴπωμεν πάλιν. ἄνευ γὰρ ἁφῆς, ὡς εἴρηται, οὐδεμίαν ἄλλην αἴσθησιν ἔχειν τὸ ζῶον ἐνδέχεται· ἅπαν γὰρ σῶμα ἔμψυχον ἁπτικόν. τὰ μὲν οὖν ἄλλα στοιχεῖα ἔξω γῆς αἰσθητήρια μὲν ἂν γένοιτο, δι' ἑτέρου δ' αἰσθήσεται καὶ τοῦ μεταξύ· ἡ μέντοι ἁφὴ τῷ αὐτῶν ἅπτεσθαί ἐστι, διὸ καὶ τοῦτο τοὔνομα ἔχει. ὥστε τῶν ἄλλων τριῶν στοιχείων οὐδὲν ἂν εἴη σῶμα τοῦ ζώου. οὐδὲ δὴ γήινον. πάντων γὰρ ἡ ἁφὴ τῶν ἁπτῶν ἐστι μεσότης, καὶ ἔστι δεκτικὸν τὸ αἰσθητήριον οὐ μόνον ὅσαι γῆς εἰσι διαφοραί, ἀλλὰ καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων ἁπτῶν ἁπάντων. διὰ τοῦτο τοῖς ὀστοῖς καὶ ταῖς θριξὶ καὶ τοῖς τοιούτοις μορίοις οὐκ αἰσθανόμεθα, ὅτι γῆς. διὰ τοῦτο καὶ τὰ φυτὰ ἀναίσθητα. ταῦτ' ἄρα οὐχ οἷόν τε ἁπλοῦν εἶναι τὸ τοῦ ζώου σῶμα. τούτων οὕτως ἐχόντων, ἐπεὶ ἄνευ ἁφῆς οὐδεμίαν οἷόν τε ἄλλην εἶναι, αὕτη δὲ οὔτε γῆς οὔτ' ἄλλου τῶν στοιχείων ἑνός, ὡς οὐδὲ τὸ τοῦ ζώου σῶμα, φανερὸν ὡς ἀνάγκη μόνης ταύτης στερισκόμενα τὰ ζῶα θνήσκειν· ταύτῃ γὰρ τὸ ζῴῳ εἶναι ὥριστο. ἐντεῦθεν καὶ τὰ μὲν ἄλλα αἰσθητὰ ταῖς ὑπερβολαῖς οὐ διαφθείρει τὸ ζῶον, οἷον χρῶμα ψόφος καὶ ὀσμή, ἀλλὰ μόνα τὰ αἰσθητήρια, ἂν μὴ ᾗ τι κατὰ συμβεβηκός, οἷον εἰ ἅμα τῷ ψόφῳ ὦσις καὶ πληγὴ γένηται, καὶ ὑπὸ ὁραμάτων ἐκπληκτικῶν καὶ ὑπ' ὀσμῆς ἕτερα κινεῖται, ἃ τῇ ἁφῇ φθείρει (καὶ ὁ χυμὸς δὲ τῶν δηλητηρίων, ᾗ ἅμα συμβαίνει ἁπτικὸς εἶναι, ταύτῃ φθείρει)· ἡ δὲ τῶν ἁπτῶν ὑπερβολὴ οἷον θερμοῦ καὶ ψυχροῦ καὶ σκληροῦ ἀναιρεῖ τὸ ζῶον. παντὸς μὲν γὰρ ὑπερβολὴ αἰσθητοῦ ἀναιρεῖ τὸ αἰσθητήριον, ὥστε καὶ τὸ ἁπτὸν ὑπερβάλλον τὴν ἁφήν· ταύτῃ δ' ὥρισται τὸ ζῆν. καὶ σύνεστι μὲν ἀεὶ αὕτη τῷ ζώῳ ἐξ ἀνάγκης· τοῦ εἶναι γὰρ ἕνεκα, αἱ δὲ ἄλλαι τοῦ εὖ, καὶ γένει ζώων οὐ τῷ τυχόντι, ἀλλὰ τισίν. οἷον τῷ

---

7 εἰ οὖν A ἔχῃ AC 11 ἐνεῖναι om. A 18 ante γὰρ add. μὲν A 22 post τῶν add. μὲν A 23 δὴ om. C 26 τοῖς om. B 29 ζώου σῶμα] ὦμα B 30 μόνοις C 31 τὸ] τῷ AC 33 εἰ om. C 40 αἱ δὲ κτλ. cf. de An. Γ 12. 434ᵇ 24

πορευτικῷ ἀνάγκη ὑπάρχειν· εἰ γὰρ μέλλει σώζεσθαι, ὡς ἐλέγετο, οὐ μόνον δεῖ ἁπτόμενον αἰσθάνεσθαι, ἀλλὰ καὶ ἄποθεν· τοῦτο δ' ἂν εἴη, εἰ διὰ τοῦ μεταξὺ αἰσθητικὸν εἴη, τῷ ἐκεῖνο μὲν τὸ μεταξὺ ὑπὸ τοῦ αἰσθητοῦ πάσχειν καὶ κινεῖσθαι, αὐτὸ δὲ ὑπ' ἐκείνου. ὥσπερ γὰρ τὸ κινοῦν κατὰ τόπον μέχρι τινὸς μεταβάλλειν ποιεῖ, καὶ τὸ ὥσαν ἕτερον ποιεῖ ὥστε ὠθεῖν καὶ αὐτὸ καὶ ἔστι διὰ μέσου ἡ κίνησις μία κατ' ἀλληλουχίαν, πολλῶν ὄντων τῶν ἑξῆς κινούντων καὶ κινουμένων, τὸ πρῶτον δὲ κινοῦν ἀκίνητον καὶ κινεῖ καὶ ὠθεῖ αὐτὸ οὐκ ὠθούμενον, καὶ αὖ πάλιν τὸ ἔσχατον αὐτὸ ἀκίνητον καὶ μόνως ὠθεῖται οὐκ ὦσαν, τὰ δὲ μέσα ἄμφω, οὕτω καὶ ἐπὶ τῆς ἐν αἰσθήσει ἀλλοιώσεως. οἷον ὁ μὲν ἄνθρωπος κινεῖ τὴν χεῖρα, ἡ δὲ τὴν βακτηρίαν, αὕτη δὲ τὴν θύραν, κἀκείνη πρὸς ἀκίνητον ὠθίσθη τὸν τοῖχον. ὁ μὲν οὖν ἄνθρωπος μόνως ἐκίνησεν, ἡ δὲ θύρα μόνως ἐκινήθη, τὰ δὲ μεταξὺ καὶ ἐκινήθη καὶ ἐκίνησε. κατὰ τὰ αὐτὰ δὴ καὶ ἐπὶ τῶν αἰσθανομένων γίνεται, οἷον ἐπὶ τῆς ὄψεως· ὁ μὲν γὰρ ἥλιος κινεῖ τὴν ἐν ταῖς σφαίραις διαφάνειαν, ἐκεῖναι δὲ τὸν ἀέρα, ὁ δὲ τὸ ὕδωρ, τὸ δὲ τὸ αἰσθητήριον τοῦ ὄντος ἐν τῷ ὕδατι· καὶ διὰ τοῦτο καὶ ἐν ὕδατι ὄντες ὁρᾶν δυνάμεθα τὸν ἥλιον καὶ τὰ ἄστρα. ὁ μὲν οὖν ἥλιος μόνως κινεῖ καὶ τὰ ἄστρα, τὸ δὲ αἰσθητήριον μόνως κινεῖται, τὰ δὲ μεταξὺ καὶ κινεῖται καὶ κινεῖ. ἔτι ἐπὶ τοῖς αὐτοῖς καὶ ἑτέρῳ παραδείγματι χρησόμεθα πρὸς σαφήνειαν. ὥσπερ ἂν εἴ τις εἰς κηρὸν βάψειέ τι σφραγιστήριον, μέχρι τούτου ἔβαψεν, ἕως ὁ κηρὸς ἐνεδίδου κινούμενος, λίθος δὲ οὐδὲν πάθοι οὐδὲ κινηθείη διὰ σκληρότητα, ἐν ὕδατι δέ, ὅτι καὶ κηροῦ πολλῷ μαλακώτερον, μέχρι πόρρω βάψει, ἔτι δὲ μάλιστα ὁ ἀὴρ ἐπὶ πλεῖστον κινηθήσεται καὶ ποιήσει καὶ πάθοι, ἐάν περ μένῃ καὶ εἷς ᾖ, κατὰ τὰ αὐτὰ δὴ συμβαίνει καὶ τὰ περὶ αἴσθησιν. διὸ καὶ περὶ ἀνακλάσεως βέλτιον λέγειν τὸν ἀέρα πάσχειν ὑπὸ τοῦ σχήματος καὶ τοῦ χρώματος ἢ τὴν ὄψιν ἐξιοῦσαν ἀνακλᾶσθαι, καὶ πάσχειν καὶ κινεῖν, μέχρις οὗ ἂν ᾖ εἷς (ἐπὶ δὲ τοῦ λείου ἔστιν εἷς), διόπερ οὗτος πάλιν τὴν ὄψιν κινεῖ. καθόλου δὲ περὶ ὁράσεως οὕτω διωριστέον, ὡς οὐκ ἀκτίνων ἐκπεμπομένων κωνικῶς ἢ σωματικῶς ἢ ἀσωμάτως, ὥς τινες λέγουσιν, αἱ ἀνακλάσεις γίνονται, ἀλλὰ τῷ τὰς ἐνδιδομένας ἐνεργείας ἀπὸ τῶν ὁρατῶν τῷ ἀέρι ὡς διαφανεῖ ὄντι εἰδοποιεῖν αὐτὸν ἕνα ὄντα καὶ τῇ συνεχείᾳ καὶ τῇ κατ' εἶδος ταυτότητι καὶ τῇ συμμετρίᾳ τοῦ διαστήματος, καὶ τῷ μὲν ὁρατικῷ προσπιπτούσας αἰσθητηρίῳ κινεῖν αὐτό· λείῳ δέ τινι καὶ πεφωτισμένῳ καὶ πυκνῷ προσπεσούσας καὶ οὔσας ἐν τῷ δεξαμένῳ ἀέρι ὡς ἔτι μένοντι ἑνὶ καὶ μὴ διακοπέντι ἢ διὰ τραχύτητα ἢ ἀραιότητα ἢ διὰ σκοτεινότητα, τοῦ ἀντερείσαντος λείου καὶ στερεοῦ ὄντος, καὶ διὰ τοῦτο οὐ πορρωτέρω προϊούσας, ἀλλ' οἷον εἰς τοὐπίσω ἐπανιούσας καὶ τῷ ἐνδόντι αἰσθητῷ, ἐὰν ὁρατικὸν ᾖ, γινομένας ὁρατάς, ποιεῖν τὴν ἀνάκλασιν τὴν ἐπὶ τῆς ὄψεως· οἷον ἀπὸ τοῦ χρώματος καὶ τοῦ σχήματος τοῦ ἐμοῦ προσώπου ἐνδοθείσης τῆς

---

3 ὑπὸ] ἀπὸ B 7 καὶ (post κινούντων) om. B τὸ δὲ πρῶτον AC 11 ὠθήσθη B 14 ἐκεῖνα B 17 μόνως (ante κινεῖ) scripsi: μόνος libri 18 ἐπὶ τοῖς] ἐπί τοι B 20 οὐδὲν] οὐδ' ἂν A 24 αἰσθήσεως AC 29 τῷ] τὸ AC 30 ἕνα ὄντα] ἕως ἂν εἷς ἢ A: ἂν εἷς ἢ add. C 36 προϊούσας] ποιούσας BC ἐπανιούσης A¹ post ἐὰν add. καὶ A

ὁρατικῆς ἐνεργείας τῷ μεταξὺ ἀέρι τοῦ τε προσώπου καὶ κατόπτρου καὶ μενούσης δι' ὅλου τοῦ μεταξύ. καὶ διὰ τὸ τὴν πρόσω κωλύεσθαι φορὰν ὑπὸ τοῦ λείου ἅμα καὶ φυλάσσοντος ἕνα τὸν μεταξὺ ἀέρα ἐπανακαμπτούσης ἕως τοῦ ἐμοῦ προσώπου πάλιν· ὅπερ ἐπειδὴ οὐ μόνον ἐστὶν αἰσθητὸν ἀλλὰ καὶ ὁρατικόν. ὄψεται τὴν ἐνδιδομένην αὐτῷ ὡς ἀπὸ τοῦ ὁρατοῦ ἐνέργειαν, τουτέστιν ὡς ἀπὸ χρώματος καὶ σχήματος· καὶ τοῦτο καλεῖσθαι ἀνάκλασιν, τὴν οἷον ἐπανάκαμψιν καὶ εἰς τὸ ἐξ ἀρχῆς ἐνδεδωκὸς ἐνέργειαν. κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰς ἄλλας γίνεσθαι ἀνακλάσεις, ὅσαι καὶ μὴ κατ' ὀρθὰς γίνονται γωνίας ὁραταὶ καὶ ἀκουσταί, ὅσαι τε δι' ἀέρος καὶ ὕδατος καὶ ὅσαι κατὰ διάφορα σχήματα τῶν λείων γίνονται· ἡ γὰρ ἀνάκλασις οὐ μόνον κατ' ὀρθὰς γίνεται γωνίας ἀλλὰ καὶ κατὰ πάσας τὰς κατ' ἰσότητα πρὸς τὸ ὑποκείμενον ἐπίπεδον ἀντικειμένας, ὡς καὶ τοῖς μαθηματικοῖς διώρισται. διὸ οὐ πρὸς τὸ ἐνδεδωκὸς μόνον ἀντανακλᾶται ἡ ἐνέργεια (τοῦτο γὰρ ὅτε κατ' ὀρθάς), ἀλλὰ καὶ πρὸς ἄλλα τὰ κατ' ἰσότητα τὴν εἰρημένην ἔχοντα πρὸς τὸ κάτοπτρον σχέσιν. εἰ δέ τι τῶν ἐνταῦθα λεγομένων περὶ ὁράσεως μὴ συνᾴδει τοῖς ἔμπροσθεν, οὐ δεῖ θαυμάζειν· ἐπὶ γὰρ τῶν οὕτω δυσχερῶς ἐχόντων πρὸς τὴν περίληψιν μόλις ἄν τις τῇ τῶν διαφόρων λόγων ἐντυχίᾳ καὶ γυμνασίᾳ ἴσχυσέ τι λαβεῖν πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν. καὶ περὶ τοῦ φωτίζειν δὲ ὅλως καὶ ὁρᾶν εἰσὶν οἳ λέγουσιν ἕτερα καὶ τῶν νῦν καὶ τῶν προτέρων, ὡς τῇ ποιᾷ σχέσει τοῦ τε φωτίζοντος καὶ φωτιζομένου καὶ ὁρῶντος καὶ ὁρωμένου γίνεσθαι, καὶ μὴ διά τινος μεταξὺ ἐνεργείας ἢ ἀλλοιώσεως, ὡς ἐπὶ τῶν ἄλλων εἶχεν αἰσθήσεων. ἐπ' ἐκείνων μὲν καὶ διὰ χρόνου καὶ τῶν μεταξὺ ἡ κίνησις ἦν, οἷον ἐπ' ἀκοῆς καὶ ὀσφρήσεως· οὐ γὰρ ἅμα ὁ ἐγγὺς καὶ πόρρω τοῦ αὐτοῦ ψόφου ἢ ὀσμῆς ἤσθετο, ὅτι κατὰ φορὰν καὶ ἀλλοίωσιν· ἐπὶ δὲ φωτὸς καὶ ὁράσεως ἀθρόως ἀχρόνως ἅμα, ὅτι κατὰ σχέσιν· τοιαῦτα γὰρ τὰ πρός τι. δεξιὸν γάρ του ἢ ἴσον ἢ διπλάσιον ἀχρόνως γίνεται· καὶ ὡς ἐπὶ τούτων ἅμα τῷ τὸ ἓν ἀπεῖναι οὐδὲ τὸ ἕτερον ἔσται (ἅμα γὰρ τῷ μεταβληθῆναι διπλάσιον καὶ ἥμισυ ἔφθαρτο), οὕτω καὶ ἐπὶ τοῦ φωτός· ἅμα τῷ φανῆναι ἐφώτισε καὶ τῷ ἀπεῖναι ἐσκότισεν. ἐπὶ δὲ τῶν κατ' ἀλλοίωσιν οὐχ οὕτως· οὐ γὰρ εὐθὺς τοῦ θερμάναντος οἰχομένου καὶ ὁ ἀὴρ ἀπέβαλε τὴν θερμότητα, ἀλλ' ἔτι ἔχει. διοίσει μέντοι τὰ περὶ φωτὸς τῶν πρός τι, ὡς ἐκεῖ τὸ ἐγγὺς καὶ πόρρω ἀδιάφορον πρὸς τὸ γενέσθαι σχέσιν, καὶ πανταχόθεν δυνατόν, ἐνταῦθα δὲ δεῖ συμμετρίας τῷ ἀποστήματι καὶ κατ' εὐθεῖαν μόνην. καὶ ταῦτα ὡς ἐν παρεκβάσει παρεξετάσαντες πάλιν ἐπανίωμεν. ἡ μὲν οὖν ἀφὴ τοῦ εἶναι ἕνεκα τοῖς ζώοις (οὔτε γὰρ οἷόν τε μὴ ζῶον ἔχειν αὐτὴν οὔτε ζῶον ἄλλην πρὸ ταύτης), αἱ δὲ ἄλλαι τοῦ εὖ εἶναι, οἷον ὄψις, ἐπεὶ ἐν ἀέρι καὶ ὕδατι, ὅπως ὁρᾷ, καὶ ὅλως ἐπεὶ ἐν διαφανεῖ· γεῦσις δὲ διὰ τὸ ἡδὺ καὶ λυπηρόν, ἵν'

---

3 ἕως] ὡς A 17 εὐτυχία B 19 πρότερον AC 26 τῷ τὸ scripsi: τοῦτο libri 27 οὐδὲ τὸ ἕτερον—τῷ ἀπεῖναι (29) om. B ἅμα] ἀλλὰ C 30 θερμαίνοντος A: θερμάνοντος C εἰχουμένου A καὶ om. BC 31 μέντοι] μέντι C 34 ἐπανίομεν AC 36 ὅπως] ὅπερ C

αἰσθάνηται τοῦ ἐν τῇ τροφῇ καὶ ἐπιθυμῇ καὶ κινῆται· ἀκοὴ δὲ ὅπως σημαίνῃ τι αὐτῷ· γλῶσσα δὲ ὅπως σημαίνῃ τι ἑτέρῳ.

Καὶ δὴ τούτων οὕτω πεπερασμένων ἔτι βραχύ τι περὶ τῶν κατὰ τὴν παροῦσαν πραγματείαν συμβάντων ἡμῖν ὑπομνήσαντες τέλος ἐπιθῶμεν τοῖς εἰρημένοις. τῶν περὶ ψυχῆς πραγματευσαμένων οἱ μὲν μαθηματικώτερον οἱ δὲ λογικώτερον τὴν σκέψιν ποιήνται, καὶ προσηκούσας ἑκάτεροι τῇ ἐξ ἀρχῆς προθέσει τὰς ἀποδείξεις ἐπέφερον· καὶ ἄμφω μέντοι ὡς πρὸς νοῦν μᾶλλον ἢ ψυχὴν ἡνωμένην καὶ προσχρωμένην σώματι πεπραγματεῦσθαι ἐγνώσθησαν. ὅσοι δὲ καὶ φυσικῶς τι περὶ αὐτῆς εἰπεῖν ἐπεχείρησαν καὶ τὸ πρὸς τὴν ὕλην κατατεταγμένον αὐτῆς θεωρῆσαι καὶ καθ' ὅσον κοινωνεῖ σώματος, οὗτοι δέ, οἳ περὶ τῆς τοῦ παντὸς εἰπεῖν ἐπέβαλον φύσεως, ὡς ἐν τοῖς ἄλλοις, κἀν τούτοις περαίνουσιν ἁπλῶς ἐπελθόντες καὶ κατὰ πάρεργον· ὅπως δὲ ὕλη τέ ἐστι καὶ μερῶν ἔχει, τίς δὲ αὐτῆς καὶ ἡ πρὸς τὴν ὕλην κοινωνία, καὶ ἐφ' ὅσον τό τε τῶν ἐνεργειῶν καὶ δυνάμεων πολυειδὲς καὶ διάφορον, καὶ περὶ τούτων ἐντελῶς τι παρῆκαν εἰπεῖν. ἔχουσι μέντοι ὅμως χάριν ἰδίως ἀμφότεροι οἵ τε μαθηματικῶς καὶ λογικῶς ζητοῦντες καὶ οἱ φυσικῶς περὶ αὐτῆς σκοποῦντες. ὃ γὰρ οὐκ ἔχει τις παρὰ τούτων λαβεῖν, παρ' ἐκείνοις ἐντεύξεται· καὶ ὡς μὲν ἀθάνατος δήπουθεν καὶ ἀνώλεθρος οἱ λογικοὶ καὶ μαθηματικοὶ λέγουσι, τὴν δ' αὖ αὐτῆς πρὸς τὴν ὕλην καὶ τὴν φύσιν σχέσιν μᾶλλον [δ'] ἄν τις παρὰ τῶν φυσικῶν ἐκπορίσαιτο. δῆλον δ' ἂν ἐκ τούτων εἴη καὶ τῆς προθέσεως τῆς ἡμετέρας τὸ σκόπιμον· ὃ γὰρ ἀμφοτέροις ἐλλεῖπον συνέγνωμεν, τῷ παρ' ἑκατέροις βοηθοῦμεν ὑπάρχοντι καὶ συνάγομεν ἄμφω (τοῦτο γὰρ ἔδοξε κάλλιον) καὶ τὰς παραδοθείσας ἀρχὰς προάγομεν εἰς τελείωσιν, ἀπὸ μὲν τῆς ὕλης καὶ τῆς αἰσθήσεως διὰ τὸ σαφὲς ἀπαρξάμενοι, πρὸς δὲ τὸν νοῦν καταλήξαντες. εἴ τις δὲ κἀν τοῖς θεωρήμασιν ἐπιθήκη καὶ τῶν εὑρισκομένων ἐπέκτασις, οὐκ ἄχρηστός ἐστι· τίνι γὰρ μᾶλλον ἄν τις ἡσθείη καὶ ὑποίσοι πόνον ἢ αὐτὸν γινώσκων; ἐπεὶ δὲ ἀθάνατος ἡ ψυχὴ οὖσα δέδεικται, ἐπιμελείας δεῖ πλείστης, ὅπως ὡς βελτίστη ἔσται· μὴ καθαρὰ γὰρ ἀπαλλαγεῖσα σώματος πρὸς κακὸν αὐτῇ τὸ γεγενῆσθαι ἀθάνατον. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὐτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ τὸ ζῆν αὐτῇ παραμόνιμον φαίνεται, οὐδεμία ἂν εἴη ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς φρονιμωτάτην καὶ δικαιοτάτην γενέσθαι μετὰ ἀνδρίας καὶ σωφροσύνης. τὰς γὰρ ἀδομένας τῶν ψυχῶν ἐκτίσεις μετὰ τὸν τῇδε βίον καὶ τὰς τῶν ἀνοσίων εἰσπράξεις ἔργων καὶ τὴν εἰς τέλος ἐν πυρὶ τῆς ἀδικίας κατάλυσιν, τάς τε ἀμοιβὰς τῶν ἀγαθῶν κατὰ τὰ ἴσα μέτρα καὶ τὴν τοῦ καλλίστου μετουσίαν καὶ θειότατου τὰς ἐλλάμψεις, τὰς θεώσεις, τὰς ἀναβάσεις ἀληθῆ νομίζειν χρή· προνοίας γὰρ οὔσης καὶ λόγου τὸ πᾶν ἐπιστατοῦντος, πῶς οἷόν τε μὴ εἶναι

1 κινεῖται C 2 σημαίνει B αὐτῷ scripsi: αὐτῶ libri σημαίνει BC 3 περὶ om. B 5 περὶ τῆς ψυχῆς C 6 τῇ] τῆς A¹ 11 post οἱ add. καὶ AC 20 δ' delevi 25 δὲ (post πρὸς) om. C 27 ὑποίσει B αὐτὸν BC 31 αὐτῶν scripsi: αὐτῶν libri 32 τῆς om. B 34 ἀνδρείας C

κρίσιν καὶ τῶν βεβιωμένων ἐξέτασιν, ἣ λεγομένην μὴ πιστεύεσθαι ὅσιον; καὶ μέντοι καὶ σωμάτων ἔσται ἀνάστασις ταῖς ἰδίαις ψυχαῖς συνέσεσθαι, ἣν δὴ καὶ παλιγγενεσίαν ὁ ἀληθὴς πρεσβεύει λόγος· καὶ τὴν εἰς τοῦτο τῶν πολλῶν συλλογισμῶν καὶ πλοκῶν τοῦ σωτῆρος φωνὴν πιστοτέραν ἡγούμεθα. δεῖ δὴ οὖν ἀρετῆς καὶ πρὸ ταύτης εὐσεβείας· ἑκάτερον γὰρ ἑκατέρου χωρὶς οὐδὲν ἢ μικρὸν ὤνησεν.

---

1 βεβιωμένην B 2 συνέσεσθαι] συνεσομένων A^2 3 παλιγγενεσίας B ὁ ἀληθὴς] om. B 6 δόξα τῷ δεδωκότι θῶ τὸ τέλος rubr. subscr. C

I N D I C E S

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis

Ἀγαθός. ἀγαθὸν καθ' αὑτό, δι' αὑτό opp. δι' ἄλλο, ἄλλου ἕνεκα 19,14
ἀγαθότης 68,10
ἄγγελος 56,11 68,27
ἄγευστος 94,29 τὸ ἄγευστον διττόν 94,34
ἀγωγὴ τῶν ἐλέγχων 16,2 (τοῦ συλλογισμοῦ) 46,27
ἀδήριτος 35,29
ἀδιαίρετος. ἀδιαίρετον ποσαχῶς ἐστι 127, 18 sqq. ἀδιαιρέτως 128,1
ἀδιάστατος 100,22
ἀδιορίστως 112,26
ἀεικίνητος 12,40 16,17 18,34 147,22
ἀὴρ ψυχὴ κατὰ Διογένη 14,22 ὁ ἀκουστικὸς ἀήρ 104,5
ἀθανασία. περὶ τῆς ψυχῆς ἀθανασίας 133, 1 sqq.
ἀθετεῖν 16,1
ἀιδιότης 141,1
αἰθέριος. τὰ αἰθέρια σώματα 147,22
αἷμα ψυχὴ κατὰ Κριτίαν 15,2 sqq.
αἴσθεσθαι 100,5
αἴσθημα 138,1
αἴσθησις περὶ αἰσθήσεως ἁπλῶς λέγεται 63,7 sqq. αἴσθησις ἀλλοίωσίς τις 63,16 τῶν αἰσθήσεων αὐτῶν οὐ γίνεται αἴσθησις 63,32 αἴσθησις τί ἐστι 65,30 68,30 τὸ ἐνεργείᾳ αἰσθήσει εἶναι τί ἐστι 111,22 αἴσθησις ταὐτὸν αἰσθητῷ 68,22 αἰσθήσεως γένεσις 69,6 — αἴσθησις οὐκ ἔστιν ἑτέρα παρὰ τὰς πέντε 105,15 κοινὴ αἴσθησις 107,25 114,25 διαφέρει τῆς φαντασίας 115,14 αἴσθησις ἕτερον νοῦ, διανοίας, δόξης, φαντασίας 116,19 sqq. αἴσθησις καθ' αὑτό, κατὰ συμβεβηκὸς ἀντιλαμβανομένη αἰσθητοῦ 107,18 αἴσθησις μέση τῆς λογικῆς ψυχῆς καὶ τῆς φύσεως 111,3
αἰσθητήριον 44,2 63,36 64,18 65,31 sqq. 71,38 84,2 106,20 110,6 148,20. 32. 38 149,15. 17 αἰσθητήριον μεσότης τις 102,5 καὶ τοῦτο διττῶς 102,17 ἐν συμμετρίᾳ ἐστίν 103,31 — ὀπτικὸν αἰσθητήριον 83,28 ἁπτικόν 101,30 — τὸ συγγενὲς αἰσθητήριον 49,24 τὸ τῇ αἰσθήσει ὑποκείμενον αἰσθητήριον 44,4 τὸ ἔσχατον αἰσθητήριον 113,36 πρῶτον αἰσθητήριον 86,29 96,19 97,21 οὐκ ἔστιν ἴδιον αἰσθητήριον τῶν κοινῶν αἰσθητῶν 107,9 108,11 τὸ κοινὸν πασῶν αἰσθήσεων αἰσθητήριον 103,21
αἰσθητικός 49,21 αἰσθητικὴ ψυχή 20,27. 30 136,27 ἀρχή 39,33 δύναμις 28,34 44,32 65,31 138,34 ἐνέργεια 64,17 — τὸ αἰσθητικόν 5,28 26,5 36,32 τὸ αἰσθητικὸν πῶς δυνάμει λέγεται 67,4
αἰσθητός. αἰσθητὰ εἴδη opp. νοητά, θεῖα 7,36 αἰσθηταὶ ἀλλοιώσεις πῶς λέγονται 17,25 — αἰσθητὰ καθ' αὑτό, κατὰ συμβεβηκός 70,20 sqq. τὰ κοινὰ αἰσθητά 9,31 107,11 108,8. 23 sqq. τὸ κατ' ἐνέργειαν αἰσθητῷ εἶναι τί ἐστι 111,23
αἰτία. αἴτιον. αἰτίαι προσεχεῖς opp. αἱ ἀνωτάτω 9,25 αἰτία ποιητική, τελική 24,19 sqq. — αἴτιον opp. αἰτιατόν 7,6 15,10 27,24 αἴτιον ποιητικόν 89,33. 35 120,3 τελικόν 57,37 89,34. 36 143,24 εἰδικόν 143,28 αἴτιον ποιητικόν, ὑλικόν, εἰδικόν, τελικόν 58,26 ὀργανικόν 89,34. 36

αἰτιατός. αἰτιατά opp. αἴτια 7,7 27,24
αἰτιολογεῖν 122,6
αἴτιος v. s. αἰτία
ἀκαιρία συνδέσμων 2,15
ἀκαμψία 55,15
ἀκατάλληλος 2,14
ἀκμή 140,30 146,21
ἀκολασία 145,16. 29
ἀκούσιος. ἀκούσιον καὶ βίᾳ τί ἐστι 18,1
ἄκουσις 111,21. 27. 32 112,4
ἀκουστικός 104,24 ἀκουστικὴ δύναμις 86,37 ἀκουστικὸς ἀήρ 104,4 ἀ. πνεῦμα 86,30 — τὸ ἀκουστικόν 111,32 138,12 τὸ πρῶτον ἀκουστικόν (i. e. ἡ μῆνιγξ) 84,7
ἀκραιφνής 83,2
ἀκρασία 145,18
ἀκρατής 141,18
ἄκρος. ἄκρα ἕνωσις 38,4 — ἄκρως ἐναντία 147,32
ἀκρότης 2,1
ἀκτίς. ἀκτῖνες (τῆς ὄψεως) ἐκπεμπόμεναι 149,28
ἀκύμαντος λιμήν 45,9
ἄλες 94,17
ἀληθής. τὸ ἀληθὲς διττόν 123,6 sqq. συμπλοκὴ νοημάτων 138,4 ἀγαθὸν ἄνευ πράξεως 137,20
ἀλληλουχία. κατ' ἀλληλουχίαν 149,6
ἀλλοίωσις 17,17. 19 sq. ἡ ἐν αἰσθήσει ἀλλοίωσις 149,9
ἀλλόκοτος 134,23
ἀλογία 143,20
ἄλογος ψυχή 37,26 38,10. 16 100,25 103,23 111,1. 8 dist. φυτική 57,6. 14 ἄλογα ζῶα 72,17 118,33 120,3
ἀλόη 91,37
ἀλουργός. ἀλουργὸν χρῶμα πῶς γίνεται 80,33
ἄλυτος 110,36
ἀλώσιμος αἰσθήσεσιν 106,11
ἀμβλυώττειν 113,8
ἀμέθεκτος 70,24
ἀμενηνός 130,3
ἀμέρεια 130,6
ἀμερής 114,28 115,13 — ἀμερῶς 120,13 ἀμερῶς (coni. ἀπαθῶς) νοεῖν 120,27 φαντάζεσθαι 120,32
ἀμέριστος φύσις 123,19 — ἀμερίστως 114,32 120,15
ἄμεσος ἐνέργεια 97,28 θῆξις 97,29 ἅψις 98,5 πρότασις 121,23 — ἀμέσως ὑποκείμενα 39,19
ἀμεταβάτως 126,10
ἀμετάβλητος 139,23
ἀμετρία χυμῶν 28,36 ἀμετρία *immensitas* 131,30
ἀμοιβή. ἀμοιβαὶ τῶν ἀγαθῶν 151,36. 37
ἀμοιρεῖν 48,8
ἀμόρφωτος 120,22
ἀμφιβάλλειν 71,23
ἀμφιρρεπής 13,38
ἄν. ἄν omisso verbo 40,25 109,20 ἂν c. ind. fut. 9,7 66,10 99,7 104,19. 20 c. opt. fut. 4,19 17,36 20,12 23,3 et saepe ἂν omissum 63,25 ἐάν, κἄν c. ind. 3,5 30,20 52,23 69,13 79,25 94,1 147,8 ἐάν, κἄν c. opt. fut. 66,37 ἕως ἂν c. ind. 28,21 48,6 ὅταν c. ind. 43,36 c. opt. 62,12 75,18 78,13 107,29
ἀνάβασις 151,38
ἀναγράφειν τετράγωνον 47,23
ἀνάδοσις 61,29
ἀναθυμίασις 14,26 91,24
ἄναιμος. τὰ ἄναιμα 15,3 88,27
ἀναίσθητος 15,3 sq. 147,28
ἀνακάμπτειν ἐπ' ἀρχήν opp. εὐθυπορεῖν 23,29 sq.
ἀνακλᾶν 86,11. 14 149,25
ἀνάκλασις 76,20 77,12 103,5 τῶν ὄψεων 20,32 φωτός 86,14 περὶ ἀνακλάσεως 149,24 sqq.
ἀνακύπτειν. ἀνακύψει λόγος 45,32 ἀνακύπτουσαι ἀπορίαι 2,3
ἀναλλοίωτος 105,7 132,28
ἀναλογεῖν 7,30 42,21 58,8 62,39
ἀναλογία 106,27 γεωμετρική 19,33 ἀριθμητική, ἁρμονική 131,20 ἐν διπλασίονι λόγῳ 47,26
ἀνάλογος 91,34 104,3 138,17 ἀνάλογοι ἀριθμοί 47,30 μέσος, μέση ἀνάλογος 47,27 47,6. 7. 18 — ἀναλόγως 127,1
ἀναμάρτητος 123,5 128,19
ἀναπλασμός 55,33
ἀναπνοή 89,17. 23 ἀναπνοὴ ὅρος τοῦ ζῆν 11,9
ἀναπόδεικτος 121,23 — ἀναποδείκτως 124,10
ἄναπτον διττῶς λέγεται 102,14
ἀναρμοστία 25,24 137,35
ἀνάστασις σωμάτων 152,2

ἀνάτασις πρὸς τὸ θεῖον 142,33 sq.
ἀνέλιξις λογικὴ τῆς ψυχῆς 121,38 ἀνελίξεις διεξοδικαὶ τῶν θεωρημάτων 16,14
ἀνδρία 145,20. 25
ἀνελίττειν 24,4
ἀνεμποδίστως 139,22
ἀνενδεής (coni. ἀπαθής) 147,25 — ἀνενδεῶς 132,20
ἀνένδοτος ἕξις 145,24
ἀνενέργητος 133,12
ἀνεπέρειστος 130,4
ἀνεπίδεκτός τινος 28,28 40,25 93,14 94,23
ἀνεπίστροφος 64,30 ἀνεπίστροφοι ἐνέργειαι 20,34
ἀνεπιτήδειος 133,7
ἀνήκουστος. τὸ ἀνήκουστον διττόν 94,27
ἀνθρωπότης 126,33
ἀνθυποφέρειν 96,37
ἀνικανότης 3,2
ἀνομοιογενής. ἀνομοιογενῆ μεγέθη 20,19
ἀνομοιοειδής 36,29 τὰ ἀνομοιοειδῆ 59,36
ἀνομοιομερής 36,32 (τὰ) ἀνομοιομερῆ 26,7
ἀνόσφραντος. τριττὸν τὸ ἀνόσφραντον 92,10
ἀνταπόδοσις 57,29
ἀντιβαίνειν 74,18. 21
ἀντίβασις 74,25
ἀντίθεσις. ἀντιθέσεις αἱ ἁπταί (αἱ ἐν τῇ ἁφῇ) 96,24 100,29
ἀντιλαβή (δόξης) 26,27
ἀντιλαμβάνειν (act.) *sensu percipere* 66,22 98,15
ἀντιληπτικός 105,24 106,16. 18. 19 109, 14 113,6 124,24 passive 129,22
ἀντίληψις 106,12. 23. 30 107,2. 32 all.
ἀντιπαράθεσις 114,10
ἀντιπαράστασις 109,36
ἀντιπάσχειν. ἀντιπεπονθὼς ὁ λόγος πρὸς τὰ πάθη 145,11
ἀντιστροφὴ προτάσεων 137,31
ἀντιτυπής 99,33 τὸ ἀντιτυπές 97,11
ἀντιτυπία 70,27 71,2 130,6
ἀντίτυπος 85,33
ἀντιφράττειν 107,1
ἀντώθησις 30,12
ἀνύπαρκτος 134,31
ἀνυπόθετος φιλοσοφία 131,3 τὰ ἀνυπόθετα εἴδη 130,37
ἀνυφαίνειν 39,7
ἄνω (καὶ κάτω) οὐ ταὐτὸν τοῖς ἄλλοις καὶ τῷ παντί 59,19
ἀνώλεθρος 151,18
ἄογκος 130,5
ἀόρατος. τριττὸν τὸ ἀόρατον 92,11 cf. 94, 25. 30
ἀοριστα ίνειν 146,1
ἀόριστος 104,32 ἀόριστα σώματα 73,18. 26 ἀόριστος (coni. ἀνεπίστροφος) κίνησις opp. τεταγμένη 55,28 ἀόριστος φαντασία 144,37 ἀόριστον πάθος 105,4 τὸ ἀόριστον διαφανές 73,36 — ἀορίστως (coni. ἀτάκτως) κινεῖσθαι 55,30
ἀοριστία 35,26
ἀπαλέξησις 58,9
ἀπαρέγκλιτος 78,9. 13
ἀπάτη 146,3
ἀπερισκέπτως 115,24
ἀπήχησις 85,22
ἀπλανὴς σφαῖρα 74,26 — ἀπλανῶς 139,22
ἁπλοϊκὴ αἴσθησις 101,1
ἁπλοῦς. οὐχ ἁπλοῦν τὸ τοῦ ζώου σῶμα 148, 16 sqq.
ἀποδεικτικὸς συλλογισμός 130,22 ἀποδεικτικὴ μέθοδος 4,28
ἀπόδειξις dist. ὁρισμός 6,32 λόγος πᾶς ὁρισμὸς ἢ ἀπόδειξις 23,26 διττὴ ἡ ἀπόδειξις 7,6
ἀποικίζειν. ἀποικισθῆναι τῆς ἀληθείας 33,34
ἀποκληρωτικός 21,17 109,29
ἀποκυεῖν pass. 69,16
ἀπόλυτος (coni. ἄσχετος) 45,8
*ἀπομήκης *oblongus* (an ἐπιμήκης?) 75,13
ἀπόπλυνσις 96,2
ἀπόπτωσις i. q. στέρησις 35,33
ἀπόρροια τῶν ὁρατῶν 94,6
ἀπόρρυτος 61,19
ἀποσκίασμα τὸ κωνικὸν τῆς γῆς 79,19
ἀπόστημα 150,33
ἀποσφαιρίζειν 87,8
ἀπότασις (coni. μέλος, διάλεκτος) 88,26
*ἀπότεγμα νοῦ καὶ λόγου *mente et ratione procreatum* 52,30
ἀποτείνεσθαι πρὸς τὰ ἐκτός 111,4
ἀποτέλεσμα 27,11. 25
ἄποτος. τὸ ἄποτον 95,2
ἀπόφανσις 22,5 sq.
ἀποφατικῶς κρίνειν 79,11
ἀπόφυσις 84,6
ἀπραγματεύτως 42,30
ἀπροβουλεύτως 141,30
ἀπροσδεής 48,11
ἁπτικός. ἁπτικὸν ἅπαν σῶμα ἔμψυχον 148,19 ἁπτικὴ αἴσθησις 48,23. 28 65,15 96,30

99,14. 25 100,15 148,10 τὸ ἁπτικὸν αἰσθητήριον 96,16 101,30 — τὸ ἁπτικόν 96,16 99,34
ἁπτός. αἱ ἁπταὶ ἀντιθέσεις 100,29 περὶ ἁπτοῦ (καὶ ἁφῆς) 96,10 τὰ ἁπτά 148,36. 38
ἄργυρος χυτός 18,30
ἀρετὴ τί ἐστι 4,6 ἠθικὴ ἀρετή ibid. αἱ τέσσαρες ἀρεταὶ αἱ γενικαί 145,15 sqq. αἱ σωματικαὶ ἀρεταί 25,18
ἀριθμητικός 108,37 ἀρ. ἀναλογία 131,20 ἡ ἀριθμητική 3,25
ἀριθμὸς αὐτοκίνητος (ἡ ψυχή) 29,15 131,14 ἀριθμὸς μεμερισμένος, ἀμερής 13,20 ἀριθμὸς τετράγωνος 29,36 ἀριθμοὶ ἁρμονικοί 19,20. 30 sqq. 20,18 σύμφωνοι 131,29 ἀριθμὸς φυσικός, μαθηματικός 29,19 ψυχικός 29,28 30,15. 35 — ὁ ἀριθμὸς κοινὸν αἰσθητόν 107,11 — ἀριθμῷ (dist. οὐσίᾳ) ἓν καὶ ταὐτό 114,16
ἀρκεῖν τινι γέλωτος 64,38
ἁρμονία τί ἐστι 25,8 sqq. 89,7 ἁρμονία ἡ διὰ πασῶν 32,25 ἡ δὶς διὰ πασῶν 32,33 ἁρμονίαι: Λύδιος, Φρύγιος 25,30 ἁρμονία ἡ ψυχὴ κατά τινας 25,7
ἁρμονικός. ἁ. ἀριθμοί 19,20. 30 20,18 ἁ. ἀναλογία 131,20 ἡ ἁρμονική 3,25 32,30 108,36
ἀρρύθμιστος (coni. ἀσύντακτος) 13,17 40,19
ἄρρυθμος (opp. ἐμμελής) 90,2
ἀρτηρία ἡ τραχεῖα 89,25. 31 90,1
ἀρτιγενής 69,13
ἄρτυμα 53,13
ἄρχειν. ἄρχουσα ἐπιστήμη opp. τὰς ἀρχὰς ἑτέρωθεν ἔχουσα 3,20
ἀρχέτυπον opp. εἰκών 10,8
ἀρχή. ἀρχὴ καὶ αἰτία πολλαχῶς λεγόμεναι 58,26 ἀρχαὶ ὑλικαί, σωματικαί opp. ἄυλοι, ἀσώματοι 3,26 ἀρχαὶ ἐξῃρημέναι opp. στοιχειώδεις, συντεταγμέναι, ὑλικαί 5,2 ἀρχαὶ σωματικαί, ἀσώματοι, μικταί 14,4 sqq. — ἀρχὴ τελική 137,18 ποιητική, εἰδική, τελική 4,9 sq. ζωτική 96,20 ψυχική 15,5 αἰσθητική 39,33 — ἀρχαὶ ἀποδείξεως 6,23
ἀρχηγικός. ἀρχηγικώτερος (coni. μᾶλλον αἴτιος) 46,2
ἀρχηγός 132,10
ἀρωματώδης 91,14
ἀσπάλαξ 55,22 106,5
ἀστράπτειν *illustrare* 66,20
ἀστρονομία 3,22 108,35
ἀσυλλογίστως 122,36
ἀσύμμετρος 83,8
ἀσυμφανής 15,28
ἀσυνδύαστος γένεσις 56,37
ἀσυντελὴς πρός τι 6,35
ἄσφαλτος 92,33
ἄσχετος (coni. ἀπόλυτος) 45,8
ἀσχημάτιστος 120,22 — ἀσχηματίστως 120,15
ἀσχολεῖν pass. 60,17
ἀσώματος 133,20. 31 135,8. 28 ἀσώματοι ἀρχαί 14,5 ἀ. δύναμις (coni. ἀμερής, ἁπλῆ) 114,27 ἐνέργεια 75,30 76,7 88,21 ἀ. λόγοι 115,4 τὸ ἀσώματον (coni. νοερόν) 16,5
ἀσωματότης ψυχῆς 10,29
ἀτελής. περὶ τῶν ἀτελῶν (ζώων) 144,29 sqq.
ἀτμός 84,14 90,14
αὐγὴ σκληρά, μαλακή 81,33
αὐγοειδής. σῶμα αὐγοειδές 28,6 τὸ αὐγοειδές (coni. ὀπτικόν) πνεῦμα 77,13
αὐθυποστάτως 27,21
ἄυλος (coni. χωριστός) 9,38 coni. ἀσώματος 135,28 ἄυλος φύσις (coni. ἄυπνος, νοερά, ἀσώματος) 64,32 143,31 ἄυλον ὑποκείμενον 3,19 — ἀύλως 3,27 68,29 coni. γνωστικῶς 102,29
αὔξησις 59,9. 12 sqq. dist. πρόσθεσις 41,5 sq. 48,2
αὐξητικὴ δύναμις 35,13 44,32 — τὸ αὐξητικὸν τί ἐστι 62,27 dist. τροφή 62,6
αὐταγγελία 1,12
αὐτενέργητος 31,34 60,8
αὐτόζωος 31,33
αὐτοκίνητος 19,10 30,16 131,14 134,18 αὐτοκίνητος ἡ ψυχὴ κατὰ Πλάτωνα 12,40 16,17
αὐτόματος (coni. ἀσυνδύαστος) γένεσις 56,37 τὰ αὐτόματα (ζῶα) 27,20 57,9 — τὸ αὐτόματον (coni. τύχη) 46,6 — αὐτομάτως φύεσθαι 27,15 57,25 140,36. 37
αὐτόπιστος 122,8
αὐτοπροαίρετος 17,32
αὐτοπροσώπως 2,33
αὐχμηρός 81,26
ἀφαίρεσις. ἐξ ἀφαιρέσεως 126,35 131,8 coni. ἀναλήψεως 41,2 ἐν ἀφαιρέσει διὰ τί λέγεται τὰ μαθηματικά 127,9
ἀφανιστικός 79,13
ἀφαντάστως 134,37
ἁφή 90,21. 38 91,3 100,17 περὶ ἁφῆς 96,10 sqq. ἁφὴ μεσότης πάντων τῶν ἁπτῶν

148,23 ἁφὴ τροφῆς αἴσθησις 52,31 ἡ ἁφὴ ἀναγκαία τοῖς ζώοις 147,35 sqq. αἱ διάφοροι ἁφαί 99,26
ἀφρός 82,3
ἀφροσύνη 145,29
ἀφώτιστος 73,10
ἄχρονος 114,7. 8 122,32 — ἀχρόνως 114,2 122,32 133,23 150,25. 26
ἄχρους 78,22
ἀχρωμάτιστος 78,25 124,26
ἄχυμος 95,32
ἀχώριστος. ἀχώριστα εἴδη 9,32 ἀ. ἐνέργειαι 44,37. ἀχώριστοι οἱ τῆς συνθέσεως λόγοι 33,10
ἄψις 93,38 97,22. 34 98,5
ἄψοφος 86,22

Βαθμίς 55,9 105,30 138,30
βαρὺ τί ἐστι 101,24 τὸ ἐν ψόφοις βαρύ 88,19
βάσις τριγώνου 78,6 βάσις τῆς ῥινός 93,7
βαφή 82,6 τῆς πορφύρας 82,16
βελόνη 87,26
βήξ 88,32 89,31
βήττειν 89,29
βλέφαρον 93,2
βουλευτικόν (ψυχῆς) 52,20
βούλησις 52,30 59,8 70,9 136,28 140,2 141,37 144,8. 14 145,2
βράγχια 88,30 89,22
βρεφικὴ ἡλικία 135,31
βροντή 113,3
βρυοῦν. βρυωθείς 80,21. 22
βυθὸς τῆς γενέσεως 45,7
βῶλος 140,20

Γαληνιᾶν 45,9
γελαστικός 23,30 121,28
γένεσις οὐκ ἔστιν αἰσθήσεως 98,20
γενεσιουργία 131,39
γενικός 24,1 coni. καθόλου 54,9 αἱ τέσσαρες ἀρεταὶ αἱ γενικαί 145,15 sqq. γενικώταται διαφοραί 87,34
γενναῖος. γενναιόταται λύσεις 2,3
γέννησις. περὶ γεννήσεως 56,32
γεννητικὴ δύναμις 44,32 57,19. 32. 34 140,33 141,1 γεννητικόν τί ἐστι 62,28
γεῦσις 90,11. 14. 36 91,37 150,37 all. περὶ γεύσεως 93,32 γεῦσις ἁφή τις 148,5
γευστικὸν μόριον 55,17 αἰσθητήριον 95,14 τὸ γευστικόν 97,13
γευστός 90,20 τὸ γευστὸν ὁ χυμός 93,37 τὰ γευστά 90,35
γεώδης 90,14 95,37 146,29. 32 γεώδης ξηρότης 95,34 παχύτης 107,7
γεωμέτρης 54,33 119,14
γεωμετρία 3,25 6,19 108,35
γεωμετρικὸς λόγος 53,36 γ. ἀναλογία 19,33 131,19. 20 τὰ γεωμετρικά 129,30
γήινος 148,23
γίγγλυμος 143,37
γλίσχρον τί ἐστι 101,20
γλῶττα 88,36 151,2
γνώμων. τὸν γνώμονα τὸν ζ' ἀνελεῖν 29,37
γνῶσις. γνώσεις θεωρητικαί, πρακτικαί 23, 22 sqq.
γνωστικός 33,16 35,21 γνωστικὴ δύναμις 68,30 δυνάμεις 116,29. 33 πέντε οὖσαι 122,29 — γνωστικῶς 103,14 115,3 coni. ἀόλως 102,29 γνωστικῶς δέχεσθαι τὰ εἴδη 125,30 134,12
γονὴ ἡ πρώτη ψυχὴ κατὰ Ἵππωνα 15,1
γόνιμος δύναμις 57,14
γονιμότης 57,17
γοργός. τὸ γοργόν (coni. νοερόν) 1,17
γραμματεῖον ἄγραφον 134,40 135,17
γυμνασία 150,17
γωνία. κατ' ὀρθὰς γωνίας 150,8. 10 γωνίαι κατ' ἰσότητα πρὸς ἐπίπεδον ἀντικείμεναι ibid. 11 sqq.

Δειλία 145,29
δεινότης τῆς ἀπαγγελίας 1,16
δεκτικός τινος 66,33 78,22 110,7 coni. διάκονος 73,39
δέρμα 82,17. 25 106,6. 7
δηλητήριον 94,35
δημεύειν. δεδημευμένοι λόγοι 25,5
δημιούργημα 43,27
δημιουργία 27,17 ὁ. τοῦ παντός 42,5 ἡ ὅλη δημιουργία 57,11. 13 58,17
δημιουργικὸς νοῦς 125,31 ὁ. λόγοι 27,22
δημιουργός 13,22 ἡμέρας (i. e. ἥλιος) 79,14 δημιουργὸς νοῦς 10,1 125,20
διαβρωτικός 113,14
διαζευγνύναι 7,33

διαθιγή voc. Democriteam expl. 11,16 sq.
διαιρεῖν. πῶς διαιρεῖται μέγεθος εἰς πεπερασμένα καὶ εἰς ἄπειρα 22,25 sq.
διαιτᾶν τι *diiudicare* 7,10 61,33 69,3 96, 10 110,22 134,39 146,16 διαιτᾶν τινι 5,30
διάκοσμος ὁ νοητός Platonis 13,7 sqq.
διακριτικός ὄψεως 121,22
διαλεκτικός 116,10 dist. φυσικός 8,30 sqq. διαλεκτικὸς συλλογισμός 122,26 — διαλεκτικὴ ἡ ἐπισκοποῦσα τὰ ὄντα ᾗ ὄντα 130,36 sq.
διάλεκτος 89,24. 35 coni. μέλος, ἀπότασις 88,26
διανόημα 117,32
διανόησις 117,31
διανοητικὴ ψυχή 136,27 137,5 δύναμις (coni. ἐπιστημονική) 138,34 διανοητικόν (ψυχῆς) 48,37 66,23 117,25
διανοητός. τὰ διανοητά 121,24 123,15. 26. 32 129,9. 28. 30 130,7 sqq.
διάνοια 116,21 117,8 129,31 130,7 sqq. 131,4 περὶ διανοίας 121,37 sqq. cf. 139, 13 sqq. ἡ διάνοια ἡ πρακτική 141,16
διαπορθμεύειν 78,26 86,29 87,36
διαπόρθμευσις 106,31
διαπορθμευτικός 74,10 87,15 106,24. 28 coni. ἀπαγγελτικός 74,13
διαστατός. τὰ διαστατά 120,14 τὸ πάντη διαστατόν 131,14
διάστημα 149,31
διατύπωσις τῶν συλλαβῶν 89,8
διαφάνεια ἀέρος 27,1 73,22 ἡ ἐν ταῖς σφαίραις 149,14
διαφανής. οἱ διαφανεῖς τῶν λίθων 72,39. τὸ διαφανές 64,19 83,25. 29. 38 84,12 87,32 93,23 96,18. περὶ τοῦ διαφανοῦς 73,12 sqq.
διαφορότης 66,3
διδασκαλεῖον Σωκρατικόν 11,26
διδασκαλικός 45,13 ὁ νοῦς ὁ διδασκαλικός 129,2 136,17
διειδής 78,26
διεξοδεύειν 22,29 96,11 99,1
διεξοδικός. δ. ἀνελίξεις τῶν θεωρημάτων 16,14 δ. συνθέσεις 121,34 — διεξοδικῶς 139,13 opp. ἀθρόως 112,13 διεξοδικώτερον 143,35
διερμηνεύειν 54,33
διηθεῖν 82,12. 34 95,38
διηχής 84,16 85,19 87,37 88,9 96,18
δικαιοσύνη 145,20
δίνη 108,15
δίοδος ἡ τῶν ὀσφραντῶν 92,17
διοργάνωσις τῶν σωμάτων 59,1
δίοσμος 84,14. 16 90,14 96,18 97,13
διπλάσιος λόγος 112,39
διπλασίων λόγος 25,12. 31 32,32 47,26
διπλόη 126,27. 36
δισκοειδής 121,8
διχοτομεῖν 22,29
δίψα τί ἐστιν 52,35
δογματίζειν 135,26. 30
δόξα διανοίας ἀποτελεύτησις 55,36 ποιά τις περί του τῶν ὄντων ὑπόληψις 139,12 δόξα τῶν καθόλου (ἐστίν) 144,28 περὶ δόξης 121,21 sqq.
δοξάζειν 49,22 144,27 147,24
δόξασμα 117,33
δοξαστικός 49,21 τὸ δοξαστικόν 117,25
δοξαστός 13,38 129,11. 25. 29
δρᾶσις 101,2
δραστικός 61,17 coni. κινητικός 14,17 coni. ποιητικός 36,3 coni. φθαρτικός 106,37 δραστικὰ στοιχεῖα opp. παθητικά 36,3 sqq. cf. 147,4
δυναμικός 71,39
δύναμις. περὶ δυνάμεως καὶ ἐντελεχείας 66, 27 sqq. τὸ πρότερον (πρῶτον, ἀτελές), δεύτερον δυνάμει 67,12. 23 69,14. 20 δυνάμεις ψυχῆς τίνες καὶ πόσαι 116,31 cf. 52,12 δ. ψυχική (ψυχικαί) 36,4 39,5. 27 ζωτικαὶ δ. 100,24 θρεπτικὴ δ. 44,31 47,36 48,10 56,32 γεννητική 57,19. 32. 34 140,33 141,1 γόνιμος 57,14 — δ. γνωστικαί 122,29 δ. μερικὴ γνωστική 68,30 ἀντιληπτική 113,6 αἰσθητική 65, 31 138,34 ὀπτική 138,20 ἀκουστική 86,37 κριτική 65,38 ἐπιστημονικὴ καὶ διανοητική 138,34 θεωρητική 43,2 49,16 coni. οὐσιώδης 44,39
δυναμοῦν 77,37 79,29
δυνατός. ἡ τοῦ δυνατοῦ διαίρεσις 67,31 sqq.
δυσκρασία 142,31
δύσκρατος 65,24
δυσόριστος 101,16
δυσπαθής 92,38

Ἐγγενᾶν 27,22
ἐγκατάλειμμα 110,10 139,12
ἐγκέφαλος 8,19 28,4 38,27 39,14. 27

49,25 84,6 91,9. 22 117,23 143,26 τὸ ἐν ἐγκεφάλῳ πνεῦμα 39,21
ἔγκλισις 81,1. 34
ἐγκράτεια 145,18
ἐγκρατής 141,24
ἔγχυμος 94,16 95,11 ἔγχυμος ξηρότης 93,24
εἰδητικὸς λόγος 120,19
εἰδικός 24,2 εἰδικὸς ὅρος 46,21 εἰδικὸν αἴτιον 58,26 143,28
εἰδοποιεῖν act. 37,28 44,7 149,30 pass. 4,10 9,34 99,32 100,29
εἰδοποιός coni. συμφυής 67,38 68,1
εἶδος. τὰ εἴδη ἀριθμοὶ κατὰ Πλάτωνα 13, 15 sqq. — εἴδη ἔνυλα 9,30 131,34. 40 αἰσθητά opp. θεῖα καὶ νοητά 7,36 χωριστά coni. ἄυλα 9,38 θεῖα 135,35 νοητά 131, 1. 33 134,8 coni. θεῖα 106,16 τὰ ἀνυπόθετα εἴδη 130,37 τὸ εἶδος ἐντελέχεια 40,29
εἴδωλον 129,16
εἴδωλα νοητά 129,33
εἰδωλικός. τὸ εἰδωλικόν 130,2
εἰδωλοποιεῖν 118,22
εἰκασία 130,35
εἴκασμα 129,33
εἰκαστός. τὰ εἰκαστά 129,11. 19. 28. 34
εἰκονικῶς 128,15. 17
εἰκών. ἡ δι' εἰκόνων ἀπεργασία (ψυχῆς) 131,40
εἷς. ἕν. τὸ ἓν καὶ τὸ εἶναι πλεοναχῶς λέγεται 43,5 sqq. — τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν 142,2
εἴσπραξις. εἰσπράξεις τῶν ἀνοσίων ἔργων 151,35
ἐκδοχή. κατ' ἄλλην καὶ ἄλλην ἐκδοχήν 136,23
ἔκθεσις τῶν ὅρων 46,26
ἔκλυτος 113,13
ἐκμαγεῖον 102,36
ἐκπληκτικὸν ὅραμα 148,34
ἐκπορίζεσθαι 151,20
ἐκπυρηνίζειν 85,6
ἔκτισις. αἱ τῶν ψυχῶν ἐκτίσεις 151,35
ἐκτυποῦν 68,24
ἐκτύπωμα 68,25
ἐκφώνησις 89,4
ἕλιξ 87,11
ἐλλιμπάνειν. τὸ ἐλλιμπάνον 27,7
ἔλυτρον 93,2
ἐμβρόντητος 112,36
ἐμμελής opp. ἄρρυθμος 90,2
ἐμπαθής opp. σπουδαῖος 141,27 ἐμπαθὴς φύσις 142,2 ὄρεξις 141,23 142,16
ἐμπειρία τί ἐστι 122,16
ἔμπληκτος 36,24 43,4
ἐμφέρεια τοῦ εἴδους 103,6
ἔμφραξις ἐν νεύρῳ 143,27
ἔμψυχος. τὸ ἔμψυχον θερμόν 89,21
ἔναιμος. τὰ ἔναιμα 88,28 92,14
ἔναρθρος ἠχώ 86,6
ἐναρμόνιος κίνησις 131,28. 29
ἐνδιδόναι ἐνέργειαν 39,25 105,3 149,29. 36. 38 150,5. 7 τὸ πάσχειν 104,14 — ἐνδιδόναι *cedere* 149,20
ἐνδοιάζειν 45,3
ἔνδοξος 121,27
ἔνδοσις πάθους 125,12
ἐνέργεια ἐντελέχεια μέν, οὐκ εἶδος δέ 41,30 ἐνέργειαι ἀχώριστοι 44,37 ἀνεπίστροφοι 20,34 ἐ. ἀσώματος καὶ ἀκίνητος 88,21 — ἐ. νοητικαί 124,36 ἐ. αἰσθητική 64,17 — ἐ. φωτιστική 76,4 ἐνέργειαι τῶν ψόφων 87,9
ἐνέργημα 66,23 ἐνεργήματα γνωστικά 117, 27. 33
ἐνιαῖος λόγος 131,26 — ἐνιαίως 132,17
ἐνίστασθαι 16,3
ἐννόημα 49,2
ἔννοια. αἱ κοιναὶ ἔννοιαι 23,27 122,37 123,5 124,9 καθαραὶ ἔννοιαι 136,6 ἡ τοῦ θεοῦ ἔννοια *ibid.* 4
ἔνογκος. τὸ ἔνογκον coni. διαστατόν 130,4
ἐνοειδής 56,9 100,21
ἐνοποιεῖν 34,21
ἔνοπτρον 76,19 102,35
ἐνοῦν 30,24 37,29 77,24 151,8
ἔνστασις 74,35 99,14 109,36
ἐντελέχεια. διττὸν τὸ τῆς ἐντελεχείας 40, 32 sqq. cf. 41,25 44,19 ἐντελέχεια dist. εἶδος 41,29 sqq.
ἐντομή 89,21
ἔντομον 89,21 τὰ διαιρεθέντα τῶν ἐντόμων 30,2 cf. 49,13 τὰ ἔντομα οὐκ ἀναπνεῖ 35,20 38,39
ἐντυχία 150,17
ἔνυδρος. τὰ ἔνυδρα οὐκ ἀναπνεῖ 35,20 ὀσμᾶται 92,13
ἔνυλος. ἔνυλα εἴδη 9,30 131,34. 40 λόγοι ἔνυλοι 8,24
ἕνωσις 25,9 38,4 147,31
ἑξάγωνος πλευρά 76,30 ἑξάγωνον *ibid.*
ἐξαιμάτωσις ἡ ἐν ἥπατι 61,29

ἐξαιρεῖν. ἐξῃρημέναι τῆς ὕλης οὐσίαι 68,10 ἐξῃρημένος λόγος 120,22 νοῦς opp. ψυχικός 34,27 — ἐξῃρημένως 58,17
ἐξαπλοῦν 1,17
ἐξαψις 76,21
ἐξευγενίζειν 145,14
ἐξηγηταὶ τῶν Ἀριστοτελικῶν συνταγμάτων 1,4 sqq. 2,8 3,3 ἐξηγηταί dist. παραφραστάι 1,9
ἐξηγητικός dist. παραφραστικός 2,37
ἐξικμάζειν 94,19
ἕξις ἐπιστημονική 2,1 69,15 ἕξεις ἠθικαὶ 145,12
ἐξυπνίζειν 134,21
ἐξωτερικαὶ εἰς ψυχὴν κινήσεις 28,10
ἐπᾴδειν ταῖς ἐπαγωγαῖς 47,14
ἐπανάκαμψις 150,7
ἐπαπόρησις 134,39
ἐπαφή. κατ' ἐπαφὴν ἔχειν 129,29
ἐπείσακτος opp. φυσικός 94,23
ἐπέκτασις 151,25
ἐπέρεισμα 129,39
ἐπεστείως 55,31
ἐπιβολὴ τῆς θεωρίας 131,12 ἁπλῆ ἐπιβολή (ἐπιβολαί) 117,3 126,26 128,6 129,3 κατ' ἐπιβολήν 129,31 ἐπιβολαί coni. ἐπιστασίαι 1,24
ἐπίηρος vocem Empedocl. expl. 32,22
ἐπιθήκη 151,25
ἐπιθολοῦν 120,28 133,24
ἐπιθυμητικὴ ψυχή 20,27. 30 ὄρεξις 141,23 τὸ ἐπιθυμητικόν 5,28 38,28 52,19 139,32 145,21
ἐπιθυμία ὄρεξίς τίς ἐστιν 141,38 sq.
ἐπικρανίς 117,26
ἐπίκτητος opp. συμφυής 67,39
ἐπιπολαστικός 96,9
ἐπιπροσθεῖν 6,21
ἐπιπρόσθησις τῆς γνώσεως ἡ ἐκ τῶν παθῶν 135,18
ἐπιπωμάζειν 87,15
ἐπιρρεῖν transit. 64,35
ἐπίρρυτος 61,19
ἐπιστασίαι coni. ἐπιβολαί 1,24
ἐπιστήμη τί ἐστι 117,10 122,12
ἐπιστημονικός. ἐ. ἕξις 1,25 69,15 ἀκρίβεια 118,3 ἐ. συλλογισμός 122,25 τὸ ἐπιστημονικὸν ψυχῆς 138,38 τὰ ἐπιστημονικά 13,37
ἐπιστητός. τὰ ἐπιστητά 129,9. 28 138,35. 38
ἐπιστρέφειν πρὸς ἑαυτό 20,29 110,37 111,5 133,16. 19
ἐπίτριτος λόγος 32,25. 31
ἐπιφάνεια καθ' αὑτὸ ὁρατόν 72,34 sq.
ἐπίχυμα 64,36
ἐπίχυσις 65,8
ἐρανίζειν med. 147,20
ἐρεθίζειν (τοὺς ἐναποκειμένους ἐν ἡμῖν λόγους) 136,5
ἔριον. ἔρια 84,24. 32 87,26 142,22. 24
ἕρμαιον 151,30
ἑτερογενής 101,17 113,27 138,22
ἑτεροκίνητος 19,11
ἑτερομήκης 47,2. 6. 8 ἑτερόμηκες τί ἐστι 47,15
εὐδιάχυτος 77,33
εὔεκτος 62,17
εὐέλεγκτος 114,22
εὐένδοτος 101,19
εὐεξέλεγκτος 26,2
εὐζωία 128,31
εὔθρυπτος 86,22
εὐθυπορεῖν opp. ἀνακάμπτειν, ὑποστρέφεσθαι πρὸς τὴν ἀρχήν 23,29 sqq. εὐθυπορῶν προβαίνει λόγος 39,13
εὐθυωρία. κατ' εὐθυωρίαν (ὑποπίπτειν τῇ αἰσθήσει) 129,35
εὐκρατής 147,1
εὐκρινεῖν 116,30
εὐλόγιστοι ἀριθμοί 83,9
εὐοδοῦν λόγον 57,19 65,26
εὐόριστος 101,16
εὔοσμος 53,12
εὔρυθμος. τὸ εὔρυθμον 89,7
εὐφραδής 1,20
εὐφυῶς 135,30
εὐφωνία 89,37
εὔψυκτος 91, 24
ἐφαπλοῦν 73,20
ἔφεσις 2,35 53,5 τοῦ ἀγαθοῦ 58,9 cf. 57,21
ἐφοδεύειν 52,7
ἔφορος καὶ ἡγεμὼν τῶν ψυχῶν (ὁ λόγος καὶ θεός) 3,2

Ζοφώδης 73,34
ζώδιον. δύο ζωδίων διάστημα 76,28. 29
ζωή τί ἐστι 41,5 διάφοροι ζωαὶ τῆς ψυχῆς 132,23 ζωαὶ κρείττους, χείρους 106,14 ὑποβεβηκυῖαι 38,20 ζωαί (coni. ἑλλάμψεις)

ψυχῆς 143,33 ζωὴ κρείττων 106,3 τελειοτέρα 105,29 ζωὴ λογική 117,1
ζῶον κοσμικόν 13,14
ζωοποιεῖν 28,7
ζωοποιὸς δύναμις ψυχῆς 16,17 28,8
ζωτικὴ ἀρχή 96,20 δύναμις (δυνάμεις) 18, 24 100,24 κίνησις 87,14 ζ. τοῦ εἴδους μέθεξις 102,36 — ζωτικῶς 103,4
ζωώδης κίνησις 19,3

Ἡγεμονικός. τὸ ἡγεμονικόν 114,29
ἥδειν 71,33
ἥδυσμα 148,4
ἠθικὴ ἀρετή 4,6 φιλοσοφία 4,1 ἠθικαὶ ἕξεις 145,12
ἡλιακὸν φῶς 74,20 ἡ. λαμπρότης 79,18
ἡλιθιότης 145,29
ἡλιώδης. τὸ ἡλιῶδες 81,27
ἡμιόλιος (λόγος) 25,32 32,26. 31 33,7 47,26
ἧπαρ 38,28 39,6 61,29
ἠρέμησις. ἠρεμήσεως τί αἴτιον κατὰ Δημόκριτον 18,31 ἠρεμήσει ἔοικεν ἡ νόησις 24,5
ἠρεμία 17,29
ἠχεῖον 85,11. 16
ἦχος 84,37 85,16. 18 88,10 90,3 97,25
ἠχὼ πῶς γίνεται 85,29 ἀεὶ γίνεται 86,9. 16

Θεῖον 92,34
θεῖος. τὰ θεῖα (coni. νοητά, ἄυλα, χωριστά) εἴδη 7,36 106,16 135,35 τὰ θεῖα 48,9 οἷς τὰ θεῖα φιλοσοφεῖται 135,25
θεολογεῖν 4,5 136,11
θεολογία 131,3
θεολογικὴ φιλοσοφία 4,1
θερμός. θερμὸν τί ἐστι 101,17 τὸ ἔμφυτον θερμόν 62,38 πέψις ἔργον θερμοῦ 63,3
θέσις. θέσει (opp. φύσει) νοητά 137,34
θεώρημα 1,25 6,19 29,11 136,18 142,40 151,25 θεωρημάτων ἀνελίξεις 16,14
θεωρητικός opp. καθαρτικός 10,10 θεωρητικὴ δύναμις, ἐνέργεια 43,2 49,16 coni. οὐσιώδης 44,39 θ. γνώσεις 23,22 νοῦς θεωρητικός 117,12. 15 — τὸ θεωρητικόν 55,8
θέωσις 151,38
θηρεύειν λόγον 6,30
θράσος 145,29
θρεπτικός. περὶ θρεπτικῆς δυνάμεως 44, 31 47,36 sqq. 48,10 56,32 τὸ θρεπτικόν 36,32 48,7 coni. γεννητικόν 140,11 all.
θρέψις 44,35
θρίξ. τρίχες 146,31 148,26
θρύπτειν 86,22
θρύψις ἀέρος 85,28
θυμιᾶν 93,30
θυμικός. θυμικὴ ὄρεξις 141,23 τὸ θυμικόν (ψυχῆς) 5,28 38,27 52,20 139,32 145,22
θυμοειδὴς ψυχή 20,30
θυμός 28,25 52,29 140,3 — θυμός *ira*. ἡ ἐν τῷ θυμῷ κίνησις 28,17 sqq.
θύμος 91,36

Ἰατρική 3,22 141,21
ἰδιαζόντως 99,10
ἰδιοτρόπως 59,1
ἰδιοῦσθαι 45,35
ἰκτεριᾶν 65,6 95,19
ἴκτερος 64,35
ἴλιγγος 108,15
ἵνα c. ind. fut. 33,17 c. opt. anteced. praes. 63,19 146,19. 33 147,8
ἰσθμοειδής 93,7
ἰσομοίρως 39,20 49,6
ἰσοτίμως 75,11
ἰσχυροποιεῖν 79,24

Κάθαρσις ψυχῆς 10,11
καθαρτικός opp. θεωρητικός 10,10
καθαρῶς 70,4
καθολικός 39,32 108,24 αἱ καθολικώταται τῶν ἐμψύχων δυνάμεις 35,13
κακοφωνία 89,37
κανών 35,24 145,5
καρδία 142,11
κάρος 135,24
καροῦσθαι 135,20
κατά. τὸ καθ' αὑτὸ πολλαχῶς λεγόμενον 72,28
κατακληροῦσθαι med. 49,17
κατακορής (τῶν ψυχικῶν μεταδόσεων) 39,28
κατάλληλος 9,19
κατάλυσις τῆς ἀδικίας ἐν πυρί 151,36

καταμήνια 69,12
καταρριζοῦν pass. 148,1
κατασκευάζειν 46,15
κατασκευή 59,8
καταφατικῶς 128,4
καταχρηστικῶς 112,11 134,13 opp. κυρίως 67,28
κατηγορικὸς συλλογισμός 137,31
κάτοπτρον 103,5 110,19 129,16 150,1. 14
κένωσις 146,26
κέρας 72,26 73,15 79,4 82,32
κηρός 149,20
κήρυξ 55,21
κινεῖν. τὸ κινεῖσθαι ποσαχῶς λέγεται 16,32 sqq. κινεῖσθαι φύσει, βίᾳ 17,28 τί τὸ κινοῦν τὸ ζῶον 140,9 sqq.
κίνησις πᾶσα ἐνέργεια 66,14 κινήσεις φυσικαὶ τρεῖς οὖσαι 17,11 κινήσεων τέτταρα εἴδη 59,6 ἡ κατ' αὔξησιν καὶ φθίσιν κίνησις 140,10 τοπικὴ κίνησις 27,26 35,3 140,12. 15. 22 147,16 διττὴ ἡ κίνησις τῶν ζώων 18,6 sqq. κίνησις ζωώδης 19,3 ζωτική coni. διαπορθμευτική 87,14. 15 μεταβατική coni. τοπική 35,7. 8 πορευτική 140,14 — κίνησις κοινὸν αἰσθητόν 107,11
κινητικός. τὸ κινητικὸν τῶν πρώτων εἶναι 14,12 τὰ κινητικὰ κατὰ τόπον τρία ἐστιν 141,31
κλάδος 30,2
κλισμός (τῆς τῶν κυμάτων ἐγκλίσεως) 81,1
κοιλία 39,6 55,19
κοινωνία ψυχῆς πρὸς τὴν ὕλην 151,13
κονιορτώδη σωμάτια 10,37
κόρη (ὀφθαλμοῦ) 44,25 87,2. 12 106,35
κορυφαῖος 116,8
κοσμικὸν ζῶον 13,14
κοῦφος. κοῦφον τί ἐστι 101,24
κοχλίας 144,35
κραδαίνειν 85,15
κρᾶσις σώματος 8,10. 15. 23 ἡ ἐν τῷ σώματι 65,18
κριτήριον 65,25 130,28 138,14. 24 146,33
κριτικός 65,38 102,7 105,14 148,5 τὸ κριτικὸν ψυχῆς 139,25
κρόκη 122,23 142,20. 25
κρόκος 90,34 91,35
κρυσταλλοειδής. τὸ ἐν τῷ ὄμματι κρυσταλλοειδές 78,9 107,6
κρύσταλλος 34,17 113,16
κύβος ἡ γῆ κατὰ τοὺς Πυθαγορικούς 32,22 ὁ κύβος ἐναρμόνιον 32,24 κύβου γένεσις *ibid.* 29
κύησις 69,17. 20
κύμβαλον 85,12
κυρός 1,1
κῶλον. κώλων μεταθέσεις 2,15
κωμῳδιοδιδάσκαλος 18,29
κωνικὸς ἄξων 78,6 κωνικὸν τῆς γῆς ἀποσκίασμα 79,19 — κωνικῶς ὁρᾷ ἡ ὄψις 78,4 cf. 149,28
κῶνος τῆς σκιᾶς 79,22 κῶνοι περὶ οὓς αἱ ὄψεις εἰσίν 78,4. 8. 13
κωνώπιον (ἐν ὄμματι) 65,7 121,11

Λάμψις 97,25
λάρυγξ 53,15
λεῖος. λεῖον τί ἐστι 101,19
λέξις 89,8
λεπίς 79,4
λεπτός. λεπτόν τί ἐστι 101,20
λευκόπυρρος 82,30
λευκός. λευκὸν διάκρισις ὄψεως 36,1 — λευκὸν τὸ τοῦ ὀφθαλμοῦ 64,22
λῆμμα 10,22
λιπαρός 95,5. 24
λογικός. λογικαὶ συνουσίαι 13,2 μέθοδοι 137,30 — λογικὴ τῆς ψυχῆς ἀνέλιξις 121,37 — λογικὴ ζωή 117,1 λογικὴ ψυχή 7,37 20,28 24,37 37,26 38,10. 15 45,2 51,5. 11. 26 70,1 100,25 113,19 123,37 134,39 opp. φυσική 42,32 αἱ λογικαὶ δυνάμεις 55,32 τὰ λογικὰ ζῶα 52,29 120,5 τὸ λογικόν (ψυχῆς) 5,28 55,12 — λογικῶς 151,16 λογικώτερον 16,22 151,6
λογισμός 71,1 141,37. 38 145,15 coni. διάνοια 55,5
λογιστικός. τὸ λογιστικόν 38,27 141,2
λογοποιεῖν 38,19
λόγος. λόγον ἐπέχειν 34,20 36,4 38,10 — λόγοι τῶν κράσεων 26,6 τῶν μιχθέντων (κεκραμένων) 25,11 26,16 μίξεως 26,6. 11 32,13. 23 συνθέσεως 33,7. 9 κατὰ λόγον opp. καθ' ὑπεροχὴν καὶ ἔλλειψιν ἀσύμμετρον 83,7. 8 λόγοι οἱ κατ' ἀναλογίαν 131,21 λόγος διπλάσιος (διπλασίων) 25,12. 31 32,32 47,26 112,39 τριπλασίων 20,2 ἡμιόλιος, ἐπίτριτος 25,32 32,

25. 26. 31 33,7 — λόγος τις ἡ αἴσθησις 112,38 λόγος τοῦ αἰσθητηρίου 103,31 — λόγος πᾶς ὁρισμὸς ἢ ἀπόδειξις 23,26 λόγος ὁριστικός 45,19 λόγος ὁ κατὰ τοὔνομα opp. ὁ φυσικὸς λόγος 53,29 — λόγοι ἔνυλοι 8,24 τῶν ἐνύλων εἰδῶν opp. οἱ ἐξῃρημένοι 10,1 λόγος coni. εἶδος, μορφή 50,16 – τεχνικὸς λόγος 60,6 οἱ δημιουργικοὶ λόγοι 27,22 — ὁ λόγος καὶ θεός 3,2 λόγος coni. πρόνοια 151,39 — λόγος ὁ ἀληθής *litterae sanctae* 152,3

Μαγειρικός 60,10
μάθημα. οἱ ἀπὸ τῶν μαθημάτων 77,15
μαθηματικός. μαθηματικὴ οὐσία 132,10. 11 μαθηματικὰ μεγέθη 25,35 σώματα 41,1 ἡ μαθηματική 131,4 αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν 108,34 ὁ μαθηματικός (μαθηματικοί) 75,3 127,7 dist. φυσικός, τεχνίτης, πρῶτος φιλόσοφος 9,5 sqq. τὰ μαθηματικά 125,35 — μαθηματικῶς 68,38 151,16 τὰ μαθηματικῶς ὄντα 132, 15 μαθηματικωτέρον *ibid.* 5
μακάριος 136,2
μαλακός. μαλακὸν τί ἐστι 101,19 διὰ τί οὐ ψοφεῖ 85,6 — μαλακὴ αὐγή 81,33
μαλακόφθαλμος. τὰ μαλακόφθαλμα 93,1
μανός 85,8
μαστοειδὴς ἀπόφυσις 84,6
μέθεξις ζωτική (τοῦ εἴδους) 102,36
μεθύπαρξις 135,26
μειονεξία 145,30
μελαγχολικός 8,17
μελαντηρία 82,3
μέλας. τὸ μέλαν σύγκρισις ὄψεως 36,1 τριχῶς φαίνεται 80,5 sqq.
μέλι 107,21 144,21
μελίκρατον 94,5
μέλιττα 55,27 144,23
*μενήμη vox ab ipso ficta, unde derivetur μνήμη 117,29
μερικός 69,34 74,19 120,16 coni. αἰσθητός 23,15 μερικὸν ὑποκείμενον 9,24 μερικὴ ψυχή 57,14 μ. γνωστικὴ δύναμις 68,31 μ. γνώσεις 121,31 μ. αἰσθήσεις 115, 12 μ. αἰσθητήρια 114,33 — μερικὴ πρότασις coni. ἐλάττων 145,32 τὰ μερικά opp. καθόλου 7,7 opp. κοινόν 90,19
μερισμός 100,18
μεριστῶς (coni. παθητῶς) γινώσκειν 120,31
μεσιτεύειν 147,32
μέσος. μέσης (ἀναλόγου γραμμῆς) εὕρεσις 47, 3. 6 sqq. μέσος ἀνάλογος (ἀριθμός) 47,27 μέσος ὅρος 46,24. 34
μεσότης 112,29
μετάβασις 142,38 146,5 147,19
μεταβατικός 147,14 μεταβατικὴ κίνησις 35,7
μεταβολή dist. κίνησις 17,12 μεταβολὴ πᾶσα ἔκ τινος εἴς τι 17,21 μ. παθητικὴ αἰσθητή 17,18
μεταγενής 84,14
μετάδοσις. αἱ ψυχικαὶ μεταδόσεις 39,28
μεταλλεύειν 93,20
μεταξυλογία 2,19
μεταποιεῖν 50,28
μεταφορά. κατὰ μεταφοράν 88,1 90,35
μετεμψύχωσις 51,30
μετούσια 151,37
μετοχετεύειν (ζωήν, κίνησιν) 39,23
μετρικός. οἱ μετρικοί 89,5
μέτρον dist. ῥυθμός 89,9
μῆνιγξ 86,10. 27. 30 87,12 107,8
μῆτις 115,27
μηχανικός 3,28 ὁ μηχανικός 69,35 ἡ μηχανική 3,25
μικρομερής 10,38
μνήμη τί ἐστι 117,32
μνημονευτικός. τὸ μνημονευτικόν 117,27. 36
μνημονευτός. τὸ μνημονευτόν 117,30
μνημονικός 118,22
μοναδικὴ στιγμή (στιγμαί) 30,21 31,17
μονὰς στιγμὴ ἄθετος 29,30 μονάδες στιγμικαί 31,17 σωματικαί 30,26 ψυχικαί 29,31 μονὰς coni. στιγμή 30,24
μόνιμος. τὰ μόνιμα τῶν ζώων 35,7 48,22 τὸ μόνιμον τῶν φυτῶν 48,32
μονοειδῶς 132,17
μορφοῦν 120,14 144,9. 12. 14. 20
μυῖα 55,30 56,37 140,35 144,22
μύκης 72,26 79,4
μυκτήρ 92,25
μυουρίζεσθαι 79,20
μυριώνυμος 139,20
μύρμηξ 55,27

Ναστός coni. ἄτρητος 77,20
ναυτιᾶν 28,15
νεάτη (χορδή) 88,6
νεκροῦν 39,29 44,9

νεογνός 56,36
νεύειν πρὸς ὕλην 56,6 πρὸς τὸ τέλος 58,36
νεῦρον 39,24 86,30 142,11 143,27 νεῦρον ὀπτικόν 77,19
νεφέλη (ἐν ὀφθαλμῷ) 65,9
νῆστις αὔγλη Empedocl. expl. 32,20
νοερός. νοερὰ οὐσία 43,3 φύσις (dist. λογική) 56,9 — τὸ νοερόν coni. ἀσώματον 16,5 coni. γοργόν 1,16
νόημα 20,36 sq. 23,11 sq. 120,22 136,19 137,7. 27 τὰ πρῶτα νοήματα 138,1
νόησις νοῦ ἐνέργεια 20,36 130,7. 34 καθ' ἣν τὸ φρονεῖν 117,1 οὐκ ἔστιν ἄπειρος 23,21 νοήσεις 116,37
νοητικός. περὶ τῆς νοητικῆς δυνάμεως 115, 20 sqq. νοητικὴ ἐνέργεια 124,36 τὸ νοητικόν (μόριον) ψυχῆς 5,29 124,13. 38
νοητὸς κόσμος (διάκοσμος) opp. αἰσθητός 13, 7 sqq. τὰ νοητὰ (coni. θεῖα) εἴδη 106,16 127,26 131,1. 33 — τὸ νοητόν, τὰ νοητά 21,10 68,21 123,16. 20. 22. 29 125,2 129,8. 28 130,6 sqq. opp. τὰ πρακτά 117,8
νοῦς *sententia verbis subiecta* 1,22 2,9 νοῦν διασπᾶν 2,22 — περὶ νοῦ 124,13 sqq. νοῦς ὁ πολύτιμος 64,25 νοῦς δημιουργός (δημιουργικός) 10,2 125,31 coni. ἐξῃρημένος καὶ ἀίδιος 34,27 coni. οὐσιοποιός 125,20 coni. θεῖος 136,9 ὁ πρώτιστος καὶ ἐξῃρημένος τοῦ παντός 21,1 νοῦς ψυχικός 34,28 δυνάμει, ἐνεργείᾳ νοῦς 117. 18 sqq. 125,18 sqq. 132,30 ὁ ἐνεργείᾳ νοῦς πότερον ἐν ἡμῖν ἐστιν ἢ ἔξωθεν 136, 7 sqq. καθ' ἕξιν νοῦς 132,30 δυνάμει νοῦς i. e. διάνοια 123,13 129,5 νοῦς παθητικός 116,39 — νοῦς θεωρητικός 117,15 132,34 ὁ κυρίωτατος ὁ θεωρητικὸς ὄντως 132,36. 37 πρακτικός 120,15 132,36 137,4. 12. 17 — νοῦς οὐκ ἔστι μέγεθος 21,7 sqq. χωριστός ἐστι 38,32 ταὐτὸν τῷ νοητῷ 68,21 νῷ πᾶσα τῶν ὄντων ἡ τάξις 49,33 αὐτὸς αὐτῷ ταμίας ἠρεμίας καὶ κινήσεως 64,28 ἕν τί ἐστι καὶ τὸ πᾶν ὁ νοῦς 139,7
νυκτερίς 94,33

Ξανθός. τὸ ξανθὸν τῷ λευκῷ συντάττεται 95,7
ξυνφωνεῖν 17,12

ξηρός. ξηρὸν τί ἐστι 101,17 ξηρότερος ἐγκέφαλος 8,19 ξηροτέρα δίαιτα 8,20 ξηρότερα τὰ τῶν διανοουμένων πρόσωπα 28,22

Ὁλόκληρος 135,33
ὁλομέλεια 43,29
ὁλότης. 57,32 77,25. 29 κατὰ τὴν ὁλότητα 13,21
ὁμογενής. τὰ ὁμογενῆ 101,17 138,21. 25
ὁμοειδής 25,22 36,26. 28 39,9 τὰ ὁμοειδῆ 51,31
ὁμοιομερής. τὰ ὁμοιομερῆ 9,32 15,25 26, 7. 30 61,31
ὁμώνυμος. ὁμώνυμόν τι dist. τὸ κοινὸν γένος 5,21 τὰ ὁμώνυμα 40,7 54,25 coni. ἀφ' ἑνὸς καὶ πρὸς ἕν 53,30 — ὁμωνύμως 43,19 52,18
ὄνυξ. ὄνυχες 146,31
ὀξυδερκής 91,2
ὀξὺς ψόφος τί ἐστι 88,18
ὁπλή 82,32
ὀπτικός. ὀπτικὴ δύναμις 138,20 ὀπτικὸν μόριον 121,13 αἰσθητήριον 83,28 πνεῦμα 76,27 78,1 86,37 138,6 ὀπτικὰ νεῦρα 77,19 τὸ ὀπτικόν 77,23. 28 138,11
ὅπως i. q. ὁπωσδήποτε 17,14
ὅραμα 118,11. 17 148,34
ὁρᾶν. τὸ ὁρᾶν λέγουσί τινες κατὰ σχέσιν γίνεσθαι 150,18 sqq.
ὅρασις. περὶ ὁράσεως 72,22 sqq.
ὁρατικός 44,12. 14 104,24 ὁρατικὴ δύναμις 43,30 ἐνέργεια 150,1 ὁ. αἰσθητήριον 149,32 αἴσθησις 106,8
ὁρατός. περὶ ὁρατοῦ 72,24 τὰ ὁρατὰ ἓξ ὄντα 79,5 sqq.
ὀργανικός 4,12 60,1. 6 143,25 ὀργανικὸν σῶμα 42,9 45,15 50,5. 7. 36 ὁ. μόρια 41,8 140,19 141,31 τὰ ὁ. τῆς τροφῆς μέλη 62,40 ὀργανικὸν αἴτιον 89,34. 36 — ὀργανικῶς 143,36
ὄργανον τῶν φυτῶν 42,19 τοῦ θρεπτικοῦ 39,6 ὄργανα σωματικά 39,23 42,17
ὀργή τί ἐστι 8,32 sqq.
ὀρεκτικός. ὀρεκτικὴ δύναμις 142,7 τὸ ὀρεκτικόν 26,5 44,33 52,13. 16 55,25 140,1 142,1 περὶ τοῦ ὀρεκτικοῦ μορίου τῆς ψυχῆς 136,25 sqq.
ὀρεκτός. τὸ ὀρεκτόν 16,29 142,3. 19 143,24

ὄρεξις 37,10 52,17 53,21 136,27. 35 141, 32. 35. 37 143,1 ἡ κατὰ τὴν αἴσθησιν ὄρεξις opp. ἡ κατὰ τὸν λόγον 137,3. 4 ὄρεξις ἐμπαθής (ἡ θυμικὴ καὶ ἡ ἐπιθυμητική) 141,23 λογιστικὴ ὄρεξις 137,11 ὄρεξις τοῦ νοῦ i. e. βούλησις 144,8 ὀρέξεις ἐναντίαι ἀλλήλαις 143,10 sqq.
ὀρθογώνιος 47,2. 6. 8
ὁρίζων 75,8
ὁρισμός. περὶ ὁρισμῶν καθόλου 4,19 sqq. λόγος πᾶς ὁρισμὸς ἢ ἀπόδειξις 23,26 πεπέρανται οἱ ὁρισμοί 24,1 ὁρισμός dist. ὑπογραφή 4,33
ὁριστικὸς λόγος 45,18 ὁριστικὴ μέθοδος 4,23
ὅρος. ὅροι διάφοροί εἰσιν 46,19 sqq. μέσος ὅρος 46,24 μέσον, ἄκρον ὅρον προσλαμβάνειν 23,30 sqq.
ὄρφνιος. ὄρφνιον χρῶμα πῶς γίνεται 81,5
ὀσμή. περὶ ὀσμῆς καὶ ὀσφραντοῦ 90,7 sqq. ὀσμὴ τί ἐστι 93,25 ὀσμαὶ ἡδεῖαι, λυπηραί 91,11 sqq. ὀσμῶν εἴδη 91,32
ὀσμώδης 93,18. 20
ὀστρακόδερμος. τὰ ὀστρακόδερμα 53,23
ὄστρακον 144,35
ὄστρειον 55,18
ὀσφραντικός. τὸ ὀσφραντικὸν αἰσθητήριον 93,3. 26 ὀσφραντικώτερος 91,2
ὀσφραντός. τὸ ὀσφραντόν 90,7. 24. 25. 32 διττὸν τὸ τῶν ὀσφραντῶν 91,10
ὄσφρησις ἡ τῶν μὴ ἀναπνεόντων 92,34
οὐράνιος περιαγωγή 24,20 οὐρ. οὐσίαι 106,11 τὰ οὐρ. σώματα 55,33 τὰ οὐράνια οὔποτε πρὸς βίαν ἀντιφερόμενα 18,4 αἰσθητικὰ τὰ οὐράνια 147,22
οὐσία τριχῶς λεγομένη 50,33 cf. 40,18 sqq. οὐσία νοερά 43,3 μαθηματικὴ οὐσία 132,8
οὐσιοποιός (νοῦς) 125,20
οὐσιοῦν 16,15
οὐσιώδης διαφορά 22,18 τὰ οὐσιώδη ἴδια 7,1 — οὐσιωδῶς coni. καθ' αὑτό 63,34 opp. κατὰ συμβεβηκός 68,33
οὐσίωσις 135,27
ὄχημα coni. ὄργανον 125,4

Πάθημα 102,37
πάθησις 102,33
παθητικὸς νοῦς 116,39 π. μεταβολή coni. αἰσθητή 17,18 π. σῶμα 106,9
παθητός 57,27 106,11
πάθος. διττὸν τὸ πάθος 124,20 sq. πᾶν πάθος κίνησις 66,15 ἴδια πάθη ψυχῆς 4,14
παλιγγενεσία 51,31 152,3
παλιλλογία 67,33
παλινδρομεῖν opp. ἐκπέμπεσθαι 20,32
πανσπερμία (χυμῶν) 95,30
παραβολή coni. παράδειγμα 2,23
παραγωγὴ ὀνόματος 121,16
παραδειγματικῶς 128,15. 17
παρακολούθημα 129,15
παραλογισμός 97,4
παραμόνιμος 103,9
παράτριψις 75,18 76,21
παρατροπή *digressio* 2,18
παραφράζειν 2,20
παραφραστής dist. ἐξηγητής 1,19
παραφραστικός dist. ἐξηγητικός 2,37
παρεγκεφαλίς 117,26
παρέκβασις. ὡς ἐν παρεκβάσει 83,22 150, 33. 34
παρεκβατικός. παρεκβατικώτερον 41,23 58,19 140,31
παρεκτικός 145,28
παρέλκειν. τὸ παρέλκον coni. περιττόν 4,19
παρεξετάζειν 150,34
πάρεργον. κατὰ πάρεργον coni. ἁπλῶς 151,12
παρονομάζειν 72,5
παρόραμα 34,30
παρωνύμως 90,24
πάσχειν. διττὸν τὸ πάσχειν 66,26 67,6 sqq. 134,6
παχύς. τὸ παχὺ τοῦτο σῶμα 143,21
παχύτης σώματος *terrena natura corporis* 136,1
πεῖνα τί ἐστι 52,35
πεῖρα 122,16
πεῖσις 101,2
πέλασις 129,32
περάτωσις 28,11
περιαγωγὴ ἡ οὐράνιος 24,20
περίγειον 75,8
περιεκτικός 132,18
περικάρπιον 41,20
περικλᾶν. περικλᾶται ὄψις 79,29
περικοπή 3,4
περίμετρος 76,32
περίοδος. περίοδων κατὰ τάξιν ὑπαλλαγή 2,16
περιστερά 121,5
περίττωμα 89,19 91,8

περιφαντάζεσθαι 51,15
περιφορά 23,16 sqq. 24,2
πέψις 81,12 τῶν καρπῶν 82,14 πέψις ἔργον θερμοῦ 63,3
πῆξις 93,28
πήρωμα 56,35. 36 140,28. 29
πίλησις 87,16 104,4
πινακίς 125,39
πιστευτός coni. εἰκαστός 129,19
πίστις 129,20. 21. 24 130,35
πλάνη. πλάναι (coni. ἀπορίαι) τοῦ λόγου 4,34
πλεονασμός 59,35
πλεονεξία 145,30
πλήρωμα εἰδῶν (i. e. νοῦς) 21,5
πλήρωσις (τοῦ εἴδους) 67,13
πλοκή. πλοκαί coni. συλλογισμοί 152,4
πλύσις 93,26
πλυτικός coni. ῥυπτικός 93,24
πνεῦμα. πνεύματι ἡ φύσις ἐπὶ ἔργα δύο καταχρῆται 88,35 πνεῦμα τὸ σύμφυτον (συμφυές) 27,13 29,2 103,22 104,9 111,11 114,29. 34 124,33 τὸ ἐν ἐγκεφάλῳ 28,4 39,21 91,9 142,9 143,26 τὸ ἐν μήνιγγι 84,7 πνεῦμα ὀπτικόν 76,27 78,1 86,37 138,6 coni. αὐγοειδές 77,13 πνεῦμα ἀκουστικόν 86,30
πνεύμων 89,16. 20 93,23. 27. 33
ποιεῖν. περὶ τοῦ ποιεῖν καὶ πάσχειν 63,19
ποιητικός. ποιητικὴ αἰτία (αἴτιον) 24,19 58,26 70,8 89,33. 35 120,3 143,22
ποιότης. ἁπταὶ ποιότητες 103,16
ποιοῦν 101,2
πολιοῦν. πολιοῦσθαι 147,11
πολιτικός. πολιτικά coni. πρακτά 117,9 ὁ πολιτικός 69,34
πολλαπλασιάζειν. πλευρὰ ἐπὶ πλευρὰν πολλαπλασιασθεῖσα 47,16
πολυδύναμος 5,26 37,21
πολυειδής 130,19 138,15 151,14
πολυπλασιάζειν 132,28
πολύστιχος 1,10
πολυσχιδής ἑτερότης 81,24
πολυύμνητος 139,7
πολυχώρητος 9,17
πόνημα 67,31
πονηρία 145,30
πορευτικός 140,19 149,1
πόρισμα 29,23
πορισποιεῖν 86,30
πορφύρα 55,20 82,4
ποσοῦν 62,9
ποτός. τὸ ποτόν 95,1. 4. 10
ποῦς *pes metricus* 89,14
πρακτικὸς νοῦς 117,11. 15 sqq. 120,15 141,8 142,16 sq. 143,5 πρακτικὴ διάνοια 141,16 πρακτικαὶ γνώσεις 23,22
πρακτός. τὸ πρακτόν (πρακτά) 137,23 141,4 142,4. 29 145,38 coni. πολιτικά 117,9 τὸ πρακτὸν ἀγαθόν coni. ὀρεκτόν 142,8
πρεσβεύειν 5,24 16,19 152,3
προαιρετικῶς 35,1
προακτικός. προακτικά (τῶν αἰτίων) 42,5
προβάλλειν λόγον (λόγους) 115,6 124,5 προβάλλεσθαι τὴν ἐνέργειαν 112,9. 10 προβέβληται *propositum est* 97,20
*προβιωτός. οὐ προβιωτή (ἡ ψυχή) τοῦ σώματος ἔσται 135,1
πρόβλημα 45,20 96,11 99,10
προβολὴ τῆς ἕξεως 66,17 τοῦ φωτός 66,19
προγευματίζειν 95,18
προευκρινεῖν 72,20
πρόθεσις 151,7 τὸ σκόπιμον τῆς ἡμετέρας προθέσεως 151,21
πρός. τὰ πρός τι 150,25. 31
προσανυφαίνειν 27,7 48,13
προσβολή 105,6 προσβολαὶ τῶν αἰσθητῶν 28,9 πρὸς τὸ αἰσθητήριον 100,10 προσβολὴ τῆς ὄψεως 77,37
πρόσγειος 79,33
προσδιορίζειν 24,26. 36
προσεγγίζειν 144,36
προσεχὴς αἰτία 38,13 προσεχεῖς (opp. αἱ ἀνωτάτω) αἰτίαι 9,25 προσεχὴς ὕλη 38,15 — προσεχῶς 68,11
προσκρίνειν. τὸ πρῶτον προσκρινόμενον 35,3 cf. 146,22
προσκορής. τὸ προσκορές 55,37
προσταλαιπωρεῖσθαι 3,7
προσφύειν. τὰ προσπεφυκότα τῶν ζώων 52,26
πρόσφυσις 61,30
προσωπεῖον τῆς αὐταγγελίας 1,12
πρότασις 21,35 22,3 66,24 117,20 πρότασις μείζων (καθόλου), ἐλάττων (μερική) 145,32
πρότερος. πρῶτος. τὸ πρότερον καὶ ὕστερον 40,5 41,31 κατὰ τὸ φύσει πρότερον καὶ ὕστερον 50,37 53,27 54,11 τὸ πρότερον καὶ ὕστερον χρόνῳ dist. φύσει καὶ λόγῳ 56,18 — πρῶτος. πρώτη ἐντελέχεια 42,7. 25 πρῶτον αἰσθητήριον 97,21 98,27

— πρῶτος φιλόσοφος 9,6 πρώτη φιλοσοφία 9,10 — πρῶτον μῆκος, πλάτος, βάθος Platonis 13,4 sqq. — πρώτιστος 34,26 νοῦς ὁ πρώτιστος 21,1 — πρώτως dist. καθ' αὑτό 7,4
προὕπαρξις τῆς ψυχῆς 135,26
προϋποκεῖσθαι 13,13
πταρμός 88,32
πτέρωμα 82,17
πυγολαμπίς 72,26
πυκνός. πυκνὸν τί ἐστι 101,20
πῦρ λεπτομέρεστατον, κινητικόν 14,13 συναίτιον καὶ ὄργανον τροφῆς 60,2. 3 οὐ τρέφεται 59,32 sqq.
πυρεῖον 76,20
πυρετός 64,35 65,6. 11
πυρέττειν 95,19 102,1 143,16
πυρσός 77,26 79,25
πυρώδης οὐσία 136,33 τὰ πυρώδη 79,2. 7. 14
πύρωσις 97,25
πῶμα 93,2

Ῥαπίζειν 85,27
ῥαστώνη 2,35
ῥευματικὰ νοσήματα 91,25
ῥίζα 117,17 αἱ ῥίζαι ἀναλογοῦσι τῷ στόματι 42,21 59,21
ῥύγχος 82,32
ῥυθμίζειν 60,7
ῥυθμὸς τί ἐστι 89,3 dist. μέτρον 89,9
ῥυίσκεσθαι 5,3
ῥυσμός voc. Democr. expl. 11,16 sq.

Σὰρξ πότερον ἁπτικὸν αἰσθητήριον ἢ οὔ 96,17 sqq.
σαφής. τὸ σαφὲς καὶ ἀσαφὲς καθ' ὅσους τρόπους ἐκλαμβάνεται 46,7 sqq.
σημαίνειν. τὸ σημαινόμενον *sententia verbis subiecta* 50,9 68,6 κατὰ τὸ ἁπλοῦν σημαινόμενον 48,21
σῆψις. τὰ ἐκ σήψεως γινόμενα 55,31 cf. 140,37
σκεδασμὸς ὁ ἐν ταῖς ἐξετάσεσι 2,29
σκιά 129,14. 22. 26. 34. 36 130,5
σκληρὰ αὐγή 81,33
σκληρόφθαλμος. τὰ σκληρόφθαλμα 90,30 92,37 93,5
σκοπὸς τῆς φύσεως 147,7
σκόροδον 91,36
σκοτίζειν 94,31 150,29
σκοτοδινιᾶν 66,5
σκότος τί ἐστι 75,22 80,15
σκώληξ 55,30 140,35
σκωρία 93,21
σοφιστικὸς συλλογισμός 122,26
σπέκλον 66,6
σπέρμα περίττωμα τροφῆς 62,22 69,12
σπόγγος 53,23 55,15 84,23 87,25
σταθερός 79,27
στάσις 107,11
στερέμνιος. τὸ στερέμνιον 129,27
στερητικός 67,25 128,5
στερρότης 99,3
στήμων 122,23 142,20. 24
στιγματικαὶ μονάδες 31,17
στιγμὴ μονὰς θέσιν ἔχουσα 29,30 στιγμὴ μοναδική 30,21 31,17 σωματική 30,26 ψυχική 30,24. 26 31,10
στίλβειν. τὸ στίλβον τί ἐστι 81,26
στοιχεῖον. στοιχεῖα ὑλικά 33,22 σωματικά 34,4 δραστικά opp. παθητικά 36,3 sqq. πέμπτον στοιχεῖον 106,18
στύραξ 71,10 90,34 91,37
στύψις 82,6
συγκατάθεσις 118,35
συγκατασπείρειν 85,23
συγκατατίθεσθαι 118,28
συγκεφαλαιοῦν 138,32
συγκιρνάναι 132,6
σύγκριμα 25,10
συζυγίαι τῶν ἁπτῶν 101,14 sqq. cf. 100,29
συλλογισμός 23,28 27,33 46,23 117,2 συλλογισμὸς ἐπιστημονικός, διαλεκτικός, σοφιστικός 122,25 ἀποδεικτικός 130,22
συμβαίνειν. τὸ συμβεβηκὸς διττόν 6,33 sq. αἰσθητὸν κατὰ συμβεβηκός opp. καθ' αὑτό 107,18 sqq.
συμβολικὴ θεωρία 20,10 — συμβολικώτερον 11,20
συμμετρία 103,31 112,33 131,29 149,31 150,33
συμμύειν 93,7
συμπάθεια 38,4
συμπαθής 37,28
συμπαραθέειν 14,30
συμπαροδεύειν 66,23

συμπαρομαρτεῖν 144,26
συμπέρασμα 21,25 sq. 23,28 46,24. 35 66,24
συμπλήρωσις ἡ ὅλη τῶν μαθημάτων 132,3
συμπληρωτικὸς τῆς οὐσίας (i. q. οὐσιώδης) 17,2 τὰ συμπληρωτικά, ἀφ' ὧν συνιόντων συγκίρναται 132,6
σύμπνοια *consensus* 21,20
σύμπτωμα 147,11. 12
συμφυής 93,37 98,28. 30 coni. εἰδοποιός 67,37 συμφυὴς ἀκοῇ ἀήρ 86,25 87,10. 17 100,6
συμφωνία 83,8. 9 103,32 112,33 131,30 συμφωνίαι πέντε οὖσαι, αἱ τρεῖς ἁπλαῖ 32, 30 sqq. δύο σύνθετοι 32,33
σύμφωνοι φοραί 19,21 ἀριθμοὶ σύμφωνοι 131,29
συναισθάνεσθαι. συναίσθεσθαι 20,34 64, 37. 38 104,38 105,6
συναίσθησις 53,15 92,34 109,9 118,34
συναναιρεῖν 26,30 48,25 opp. συνεισάγειν 112,18
συναύγεια 77,5. 16. 22
συνδιασχίζειν 39,3
συνδρομή (i. q. σύνθεσις) στοιχείων 34,19 147,2
σύνδρομός τινι 41,39
συνδυασμός 140,30
συνεισάγειν opp. συναναιρεῖν 112,19
συνεισφέρειν 28,24
συνεκβλύζειν 82,12
συνέμπτωσις 84,36 85,4
συνεπιστρέφειν pass. 133,17
σύνθημα 38,18
συνθόλωσις 139,19
σύννευσις νοῦ εἰς ἑαυτόν 9,22
συνοπτικός. συνοπτικώτερον 42,24 43,9
συνουσιαστικός. τὸ συνουσιαστικόν 8,16
σύνταγμα 1,4 2,34 45,35
συντηκτικός 94,17
συντίθεσθαι ἐντός opp. χείλεσιν ὁμολογεῖν 17,36
σύντροφος τῇ αἰσθήσει coni. σαφέστερος 45,37
συνυπάγειν 101,23
συνυφίστασθαι 132,15
συνωνύμως 5,20 43,21
σύστασις 50,9
συστέλλειν. ὁ νοῦς συνεσταλμένος 1,15
σύστοιχος 9,16 92,9 131,4
συστροφὴ εἰς αὐτό 140,25
συσχηματίζειν 73,38
σφαῖρα. σφαῖραι (οὐράνιαι) 75,37 149,14
σφαιρικός 121,7 τὸ σφαιρικὸν σχῆμα 9,15. 18 σφ. σώματα 11,13 14,17 σφ. ἄτομοι 18,26. 34 30,6. 19
σφραγιστήριον 68,23 149,19
σχέσις πρός τι 9,16 24,27 25,11 38,4 77, 23 121,4 περί τι 139,19 σχέσιν ἔχειν 42,34 133,27 150,14 σχέσει καὶ λόγῳ opp. ὑποκειμένῳ 111,20 (τοῦ ἀριθμοῦ) τὸ ἐν σχέσει opp. τὸ καθ' αὑτό 108,35 διττὴ σχέσις καθ' ἣν αἴσθησις γίνεται 105,17
σχῆμα κοινὸν αἰσθητόν 107,11 σχήματα πολύγωνα, περιφερῆ, εὐθύγραμμα, στρογγύλα 71,24 sq. τρία σχήματα τοῦ κατηγορικοῦ συλλογισμοῦ 137,30
σχηματίζειν 86,4 120,14. 15. 21
σχοῖνος 76,8. 9
σχολή. αἱ μεταξὺ σχολαί 2,11
σωλήν 61,20 σωλῆνες coni. πόροι 77,20
σῶμα φυσικόν 43,14 coni. ὀργανικόν 42,26 45,17 σώματα μαθηματικά, φυσικά, τεχνητά 41,1
σωματικός 115,36 σωματικαὶ ἀρχαί 14,4 στοιχεῖα 34,4 μονάδες 30,26 ὄργανα 39, 23 42,16 κίνησις 77,7. 9 ἁρμονία 27,2 ἀρεταί 25,18 ἀκτῖνες 75,3. 15 76,25 — σωματικῶς 3,28 36,12 104,10
σωστικός 136,35. 38 148,12. 14
σωτήρ 152,4
σωφροσύνη 145,14. 20. 24 sq.

Ταυτίζειν 29,29 59,25 119,3
ταχινός 97,26
τεκμηριώδης ἀπόδειξις opp. ἡ κυρίως 7,8
τεκτονική 25,1
τελειωτικός 73,8 74,10
τελεσιουργεῖν 27,23
τελικὴ αἰτία (αἴτιον) 24,20 57,37 58,26 89,34. 36 143,24 ἀρχὴ τελική 137,18 τὸ τελικὸν αἴτιον διττόν 58,1 sqq. τελικώτατον αἴτιον 146,13
τεμαχίζειν 140,5
τετραγωνίζειν 47,9. 18
τετραγωνισμός τί ἐστι 47,1 sqq.
τετράγωνος ἀριθμός 29,36 sq. τετράγωνον τί ἐστι 47,14 τετραγώνου γένεσις 32,28 τὸ ἐκ τῆς (μέσης) ἀναλόγου τετράγωνον 47,25

τέφρα 80,1
τέχνη τί ἐστι 122,13
τεχνητόν (opp. φυσικόν) σῶμα 40,35 τὰ τεχνητά 42,8 43,25
τεχνικὸς λόγος 60,6 ὁ τεχνικός 1,23
τεχνίτης dist. φυσικός 9,4
τηκτός 94,17
τομὴ ἡ εἰς ἄπειρον τῶν μεγεθῶν 68,17
τόνος 103,32
τοπικὴ κίνησις 27,26 35,3 147,16 coni. μεταβατική 35,7. 8 τοπικὴ μετάβασις 142,9
τρέφεσθαι τί ἐστι 41,8
τριμερής 140,4
τριπλασιεφέβδομος 76,32
τρίχωμα 82,16
τροπή 11,16 sq.
τρόπος. τρόποι ἀποδεικτικοί 137,31
τροποῦσθαι 141,11
τροφή. περὶ τροφῆς 48,1 sqq. 56,32 δύο περὶ τροφῆς δόξαι (τῶν παλαιοτέρων) 60,33 τροφὴ πρώτη, τελευταία (i. e. ἄπεπτος, πεπεμμένη) 61,36 τροφὴ πῶς ἐναντία, πῶς ὁμοία τῷ τρεφομένῳ 61,38 τροφή dist. αὐξητικόν 62,6
τύπος. τύποι τῶν αἰσθητῶν 115,15 117,34 118,23 120,28 137,6 — ὡς τύπῳ εἰπεῖν 102,19
τυποῦν 120,37 144,22 τυποῦσθαι ibid. 8. 10
τύχη coni. αὐτόματον 46,6

Ὑγεία συμμετρία τῶν χυμῶν 36,2
ὑγρός. ὑγρὸν τί ἐστιν 101,16 τὸ ἐν ὀφθαλμῷ ὑγρόν 64,15. 22 παῖδες ὑγρότεροι ὄντες 62,17
ὑγρότης ἡ ἐν γλώττῃ 65,11
ὕδωρ ψυχὴ κατὰ Ἵππωνα 14,35 ὕδωρ πυρὶ τροφή, οὐ τρέφεται πυρί 61,15
ὕελος 73,15. 24 78,25
ὕλη δύναμίς ἐστι 40,24 ἡ ἐνδεχομένη ὕλη 121,29 ὕλη τῆς φωνῆς 89,33 τῆς διαλέκτου 89,35
ὑλικός 127,13 ὑλικὸν αἴτιον (αἰτία) 58,26 91,5 ὑποκείμενον 3,19 πάθος 115,12 ὑλικὰ στοιχεῖα 33,22 ἡ ἀφὴ ὑλικωτέρα (τῶν ἄλλων αἰσθήσεων) 100,17 — ὑλικῶς διατίθεσθαι, πάσχειν 101,5 115,9
ὑλώδης. τὸ ὑλῶδες 135,29
ὑμήν 86,27 98,9. 24. 26. 31
ὑμνεῖν 136,7
ὕπαρξις 12,30 35,30 125,8 127,10 128, 1. 2 135,27 dist. οὐσία 123,27
ὑπάτη (χορδή) 88,13
ὑπερκαίειν 94,22
ὕπερος 88,3
ὕπνος ἀργία αἰσθήσεως 64,32
ὑποβαίνειν. ὑποβεβηκυῖαι ζωαί 38,20
ὑπογραφή dist. ὁρισμός 4,33 δι' ὑπογραφῆς 40,7
ὑπόδειγμα 43,12 100,6
ὑποδύεσθαί τινα 1,11. 12
ὑπόθεσις 1,5
ὑποκεῖσθαι. ὑποκείμενον *subiect. gramm.* 121,33 — ὑποκείμενον ὑλικόν, ἄυλον 3,19 φθαρτόν, ἄφθαρτον, ἀΐδιον 3,20 sqq. — τὸ ὑποκείμενον τῇ αἰσθήσει αἰσθητήριον 44, 4. 5 — τὸ ὑποκείμενον χυμῶν (τὸ ὑγρόν) 95,25 — τὸ ὑποκείμενον τῆς ἁφῆς (i. e. τὸ ἁπτόν) 97,9 τῶν αἰσθήσεων 93,35 τὰ ταῖς ἐπιστήμαις ὑποκείμενα 3,18 — ὥσπερ δεύτερα ὑποκείμενα 41,12 — ἐν ὑποκειμένῳ 41,16 καθ' ὑποκειμένου 41,19 — ὑποκειμένῳ (coni. ἀριθμῷ) ἕν 103,25 — ὑποκειμένῳ opp. τῷ εἶναι 111,15 opp. τῷ λόγῳ 111,25 112,32 136,36 138,8 opp. σχέσει καὶ λόγῳ 111,20 opp. δυνάμει 138,12 opp. ταῖς ἐνεργείαις 90,9
ὑπόληψις 117,5
ὑπόμνημα 1,14
ὑπόνομος δίαιτα 106,9
ὑπόστασις 54,17 132,8 135,21
ὑποστατικός. τὸ ὑποστατικόν (opp. τὸ ἐν συνθέσει) ἀληθές 123,7
ὑποστατός 129,20
ὑποστορνύναι. ὑπεστρῶσθαι i. q. ὑποκεῖσθαι 49,25
ὑποτοπάζειν 25,10
ὑστερογενὴς ὑπόστασις 132,9. 10

Φανέρωσις 122,2
φαντάζεσθαι med. 119,17 sqq. 120,32 123,24 137,26. 33 144,26 pass. 129,39 130,3
φαντασία τῆς χρόας 73,30 χρωμάτων 80, 25 — φαντασία οὐκ ἔστιν αἴσθησις 118, 8 sqq. ἑτέρα δόξης 118,20 sqq. φαντασία τί ἐστι 119,31 sqq. φαντασία τις οὖσα 121,19 — φαντασία λογιστική, αἰσθητική 144,3 λογική, ἄλογος ibid. 17. 18. 24. 26

ἄλογος opp. ἡ τῷ λόγῳ συνεργοῦσα 120,26 φαντασία ἀόριστος 144,37
φαντασιώδης 89,26
φάντασμα 110,17 118,5 120,24 137,5 138,1 144,15. 25
φανταστικός. τὸ φανταστικόν 55,26 117, 24. 36 144,22
φανταστός 117,30
*φαοστασία τις ἡ φαντασία 121,19
φάρυγξ 89,15 90,5
φθάνειν. ὁ λόγος φθάνει καὶ ἐπὶ τῶν αἰθερίων σωμάτων 147,22
φθείρειν. διττὸς τρόπος, καθ' ὃν ἄν τι φθείροιτο 133,3
φθίσις 59,12 sqq.
φιλανθρωπεύεσθαι 3,7
φιλήδονος. τὸ φιλήδονον 143,12
φιλία Empedoclis principium 26,22
φιλόπονος coni. φιλοθεάμων 3,13
φιλοσοφία τριττὴ οὖσα 3,35 sqq. ἡ ἀνυπόθετος φιλοσοφία 131,3
φλέγμα 65,16 147,13
φλοιός 82,2
φοινικοῦν χρῶμα πῶς γίνεται 80,28
φράσις ἡ Ἀριστοτελική 2,13
φρίκη ἡ τῆς θαλάττης 80,11
φρόνησις 122,14 145,20. 23 sq.
φρυκτός 137,12
φρυκτωρεῖν 79,21
φύλλον 82,2
φύρειν. τῷ τῇ γενέσει πεφύρθαι (τὸν νοῦν) 135,19 sq.
φυσικός. φυσικὴ φιλοσοφία 4,1 ἡ φυσική 131,4 φυσική (opp. λογική) ψυχή 42,31 — ὁ φυσικός (φυσικοί) 14,5 54,34 75,4 77,3 dist. διαλεκτικός 8,30 sqq. dist. τεχνίτης, μαθηματικός, πρῶτος φιλόσοφος 9,3 sqq. — φυσικῶς 151,9. 16
φυσιολόγος. οἱ φυσιολόγοι 86,18 112,21
φυτικός. φυτικὴ ψυχή 38,11 39,20 42,19 51,3 54,17 coni. πρώτη 62,34 — τὸ φυτικόν (ψυχῆς) 37,17
φυτόν. τὰ φυτά 39,12. 29 42,18 φυτοῖς τὸ θρεπτικὸν μόνον ὑπάρχει 52,14 cf. 35,14 48,6 περὶ φυτῶν τροφῆς 48,32 τὰ φυτὰ διαιρούμενα ζῇ 38,38 49,9 τοπικὴν ἀφῃρημένα κίνησιν 35,8 διὰ τί οὐκ αἰσθάνεται 104,6 sqq. cf. 147,5 148,27 — αἱ ἐν φυτοῖς χρόαι 82,11
φωνή τί ἐστι 88,24 89,25 sq.
φωνήεις. τὰ φωνήεντα 89,5
φῶς. περὶ φωτός 73,11 φῶς τί ἐστι 74,27 cf. 76,13 sq. 83,25 φῶς πυρὸς χρῶμα 84,1
φωτίζειν 74,17. 27 77,37 79,23 149,32 150,18. 20. 28 τὸ φωτίζειν πῶς γίνεται 75,29 sqq.
φωτιστικός 66,19 75,30 76,16 φωτιστικὴ ἐνέργεια 76,4
φωτοειδής 77,34

Χαρακτηρίζειν 44,3
χηλή 82,32
χήμη 55,18
χιλοποίησις ἡ ἐν τῇ γαστρί 61,28
χιοειδῶς 19,34
χιτών. χιτῶνες ὀφθαλμοῦ 28,32 43,32 44, 25 64,15
χορδή 103,32
χορηγεῖν 60,12 139,9 143,32
χρηματίζειν *conficere, exhibere* 21,5 41,12 64,16 72,37
χρησμός. ὥσπερ εἰ χρησμοί τινες ἡ Ἀριστοτελικὴ φράσις 2,12
χρόα. χρόαι αἱ ἐν φυτοῖς 82,11
χρυσοειδής. τὸ χρυσοειδὲς πῶς γίνεται 81,27
χρῶμα τί ἐστι 73,6. 25 74,4. 5 περὶ γενέσεως καὶ διαφορᾶς χρωμάτων 79,34 sqq. ἑπτὰ τὰ χρώματα (ἁπλᾶ) 81,21 95,6 τὸ πολυειδὲς καὶ ἄπειρον τῶν χρωμάτων 81,14 χρώματα τὰ ἥδιστα 83,9 sq.
χρώς 82,24
χυλός 82,4
χυμός *sucus* 65,35 χυμοί 28,36 χυμὸς ὁ ἐν τῷ ὀπτικῷ μορίῳ 121,13 — χυμός *sapor* 90,14. 21 91,11. 29 sqq. 148,3 χυμός ἐστι τοῦ ὑγροῦ 93,11 τὰ εἴδη τῶν χυμῶν 95,4 sqq.
χωρεῖν *concedere* 1,23 *capere* 135,32
χωριστός. χωριστὴ οὐσία 133,11 ἐνέργεια 133,12 sq. χωριστὰ εἴδη 128,30 ψυχὴ πότερον χωριστὴ ἢ ἀχώριστος 7,14 sqq. νοῦς χωριστός 34,24 37,25 38,32 — χωριστὰ λόγῳ opp. τόπῳ 49,2 sqq. — χωριστῶς ἐνεργεῖν 65,5

Ψαθυρός 86,20
ψευδοδοξία 118,29
ψεῦδος ἐν συμπλοκῇ θεωρεῖται 123,6 cf. 138,4 τὸ ψεῦδος κακὸν ἄνευ πράξεως 137,20

ψόφησις 111,22. 27. 31. 32 112,4
ψοφητικός 84,25 86,23 111,31
ψόφος. περὶ ψόφου 84,20 sqq. ψόφος τί ἐστι 84,27 ψόφων διαφοραί 87,30
ψύλλα 56,37
ψύξις 91,22 93,28 96,25
ψυχή. ψυχὴν πάντες τρισὶν ὁρίζονται 15,8 πῶς τὴν ψυχὴν ἐκ τῶν στοιχείων λέγουσι 15,31 sqq. 32,2 sqq. ψυχὴ εἰ ἁρμονία ἐστίν 25,7 πότερον χωριστὴ ἢ ἀχώριστος 7,14 sqq. cf. 44,28 πότερον μία καὶ ἀμέριστος ἢ μεριστή 37,9 sqq. μεμέρισταί πως 100,21 ψυχῆς τὰ μέρη τριττά 45,28 ψυχῆς μόρια πῶς ἓν ἀλλήλοις 38,4 — ψυχὴ εἶδος, ἐντελέχεια 41,20 sqq. πρώτη ἐντελέχεια 42,7 σώματος ἀρχὴ καὶ αἰτία 58,25 οὐσία καὶ εἶδος 58,28 αἰτία ὡς τέλος 58,34 ὡς ποιητικόν 59,4 (cf. 4,9. 10) — ψυχὴ ἄλογος 37,26 100,25 103,23 φυσική opp. λογική 42,31 — ψυχὴ φυτική 38,11 54, 17 62,34 αἰσθητική, ἐπιθυμητική 20,27. 30 θυμοειδής 20,30 λογική 7,37 20,28 24,37 27,19 38,10. 15 70,1 100,25 113, 19 123,37 134,39
ψυχικός. ψυχικὴ στιγμή 30,24 31,10 μονάς (μονάδες) 29,31 30,24 ἀριθμός 29,28 — ψυχικόν (coni. ὀργανικόν) σῶμα 51,23 ψυχικὰ εἴδη 57,15 μέρη (μόριον) 49,28 104,7 — ψυχικὴ ἀρχή 15,5 δύναμις (δυνάμεις) 29,3 36,4 39,5. 27 135,33 ψυχικὸς νοῦς opp. θεῖος 15,27 opp. ἐξῃρημένος 34,28 — αἱ ψυχικαὶ μεταδόσεις 39,28
ψυχογονία ἡ ἐν Τιμαίῳ 19,26 20,9
ψυχρὸν τί ἐστι 101,18

Ὠχριᾶν 28,15
ὠχρίασις 8,5
ὠχρός 65,6

II INDEX NOMINUM

Ἀλέξανδρος ὁ Ἀφροδισιεύς 1,9

Ἀλκμαίων ὁ Κροτωνιάτης Πυθαγορικὸς ὤν, φησὶν ἀθάνατον εἶναι (τὴν ψυχήν) ὡς ἀεὶ κινουμένην 14,31 sqq. οἱ περὶ Ἀλκμαίωνα (αὐτοκίνητόν φασι τὴν ψυχήν) 11,25 sq.

Ἀμμώνιος 1,8

Ἀναξαγόρας μόνος τὸν νοῦν ἀπαθῆ φησιν εἶναι· μόνον γὰρ — ἁπλοῦν εἶναι καὶ ἀμιγῆ καὶ καθαρόν 15,23 sqq. cf. 124,29 133,26 ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν, οὐ μὴν παντελῶς γε ὥσπερ Δημόκριτος 11,29 sqq. 12,1 sqq. ἀσώματος (ἡ ψυχή) κατ' Ἀναξαγόραν 17,16

Ἀριστοτέλης. Aristotelis libros hos respicit:
Anal. post. (B 10 p. 94ᵃ11) 46,35
Topica (A 15 p. 107ᵇ8) 53,31
Physic. ausc. (A 1 p. 184ᵃ21) 46,9
(A 2 sqq.) 14,7
(Γ 1) 111,34
(Δ 4—8) 6,29
(Θ 6 p. 258ᵇ) 16,27
de Gener. et corr. (A 5 p. 321ᵇsq.) 61,18
(A 7 p. 323ᵇ) 63,22
de Respir. (11 sqq.) 89,1
de Anim. gener. (A 18 p. 724ᵃ14 sqq.) 63,5
Metaph. (Δ 6. 7 I 1) 43,6
Eudemum dialogum (Fragm. p. 1481ᵇ 20 sqq.) 25,6
περὶ φιλοσοφίας (Fragm. p. 1477ᵇ36 sqq.) 13,1
— Ἀριστοτελικός. τὰ Ἀριστοτελικὰ συντάγματα 1,4 ἡ Ἀ. φράσις 2,12

Ἀφροδίτη ἡ ξυλίνη 18,30

Ἀχελῷος. οἱ ἐν Ἀχελῴῳ ἰχθύες 88,29

Βροτῖνος 130,8 Ex Brotini Περὶ νοῦ καὶ διανοίας libro nonnulla affert ibid. 9—14

Δαίδαλος 18,29

Δημόκριτος. ἄτομοι καὶ κενὸν κατὰ Δημόκριτον ἀρχαὶ τῶν φυσικῶν σωμάτων 11,3 ῥυσμὸς καὶ τροπὴ καὶ διαθιγή, οἷς ἀλλήλων αἱ ἄτομοι διαφέρουσι, τὸ μὲν σχῆμα τὸ δὲ θέσις τὸ δὲ τάξις τῷ Δ. νενόηνται 11,16 sq. τὰ πρῶτα τῶν σωμάτων τὰ σφαιρικὰ πῦρ καὶ ψυχὴν ἔθετο 14,17 πῦρ καὶ θερμὸν ψυχήν φησιν εἶναι 10,35 sqq. πῶς φησι κινεῖσθαι τὴν ψυχήν 18,26 sqq. Δημοκρίτου δόξα τῇ τοῦ Ξενοκράτους παρόμοιος 30,4 cf. 31,6 sqq. Ab Anaxagora discrepat 11,31 sqq. item a Platone 19, 17 sqq. οὐ καλῶς λέγει, εἰ γένοιτο κενὸν τὸ μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβῶς καὶ εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη 83,29 — Homerum laudat 11,36 — Δημοκρίτειαι σφαῖραι 31,18

Διογένης ἀέρα τὴν ψυχὴν ὑπολαμβάνει· τοῦτον γὰρ ᾤετο — μανώσει καὶ πυκνώσει τἆλλα γεννᾶν 14,21 sqq.

Ἕλληνες 28,5 70,1 — Ἑλληνικός 55,33

Ἐμπεδοκλῆς τέτταρας ἀρχὰς τιθέμενος ὑλικάς, δύο δὲ ποιητικάς 12,19 sqq. τὴν σύνθεσιν τῶν μερικῶν ἐν λόγῳ ποιεῖ 32,35 ἕκαστον τῶν ἐν σώματι μερῶν ἐν λόγῳ τινί φησιν εἶναι 26,12 sqq. Ἐ. εἴρηκεν ὡς τοῖς σωματικοῖς στοιχείοις πάντα γνωρίζεται 34,4 ὁ παρ' Ἐμπεδοκλεῖ θεὸς ἀφρονέστατον 34,13 Ἐ. πῶς λέγει αὔξησιν συμβαίνειν τοῖς φυτοῖς 59,15 sqq. οὐκ ὀρθῶς εἴρηκε περὶ τοῦ φωτός 75,24 sqq. πάντα τὰ γένη τῶν χυμῶν ἐν ὕδατι ὑποτίθεται 95,27 sq. — Empedoclis versus affert (199 sqq. St.) 32,15 (330 sq.) 115, 26. 32 (333 sqq.) 12,22 cf. 26,16 (383 sq.) 24,39 sq.

Ἡράκλεια λίθος 38,21
Ἡράκλειτος πῦρ εἶναί φησι τὴν ψυχήν 14,26
Θαλῆς ἔοικεν ἐκ τῶν ἀρχῶν τὴν ψυχὴν καὶ κινητικὸν ὑπολαβεῖν 14,19 sq. πάντα ψήφη πλήρη θεῶν 36,11
Θεμίστιος ὁ εὐφραδής 1,20
Ἵππων ὁ ἄθεος ὕδωρ τὴν ψυχὴν ἀπεφήνατο 14,35 sqq.
Κριτίας αἷμα φάσκων τὴν ψυχήν 15,2
Λεύκιππος 11,4
Λύδιος ἁρμονία 25,29 sq.
Μάγνης λίθος 14,20
Ξενοκράτης. οἱ περὶ Ξενοκράτην αὐτοκίνητον εἶναι τὴν ψυχὴν λέγουσιν 11,25 Ξενοκράτης ἔλεγε τὴν ψυχὴν εἶναι ἀριθμὸν κινοῦντα ἑαυτόν 29,14 cf. 14,3 Xenocratis de anima doctrina refellitur 29,15 sqq. Ξενοκράτους δόξα τῇ τοῦ Δημοκρίτου παρόμοιος 30,4 Xenocratis doctrinae ἄτοπα quaedam cum aliis sunt communia 31,4 sqq.
Ὅμηρος. Δημόκριτος Ὅμηρον ἐπαινεῖ ποιήσαντα ὡς Ἕκτωρ κεῖτο δ' (sic) ἀλλοφρονέων 11,36 Homeri Od. Σ 136 sq. affert 115,34
Ὀρφικὰ ἔπη 35,17
Πλάτων. πέντε αὐτῷ γένη τῶν ὄντων εἰσήγηνται 12,29 καὶ τοῖς κύκλῳ φερομένοις δίδωσι στάσιν (i. e. τὴν ἐν τῷ κινεῖσθαι μονήν) 12,32 sq. διὰ τί κατὰ τοὺς Πυθαγορείους ἀριθμοὺς τὰ εἴδη ὠνόμαζεν 13, 15 sqq. — τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ 12,27 sqq. μάλιστα οὐσιοῖ τῇ ψυχῇ τὴν κίνησιν 16,15 αὐτοκίνητον τὴν ψυχὴν λέγει 11,25 19,10 ἀσώματος ἡ ψυχὴ κατὰ Πλάτωνα 17,16 Πλάτωνος ἐν Τιμαίῳ ψυχογονία exponitur 19,19 sqq. deinde refellitur 20,14 (ἴσως) συμβολικήν τινα τὴν περὶ ψυχῆς θεωρίαν πεποίηται 20,10 οἱ ἔλεγχοι ἀναγκαῖοι οὐ πρὸς Πλάτωνα μᾶλλον ἢ πρὸς τοὺς τὸ φαινόμενον κακῶς ἐκλαμβάνοντας 20,14 sq.

Ex Platonis libris loci respiciuntur hi:
Phaedo (11 p. 66 D) 120,9
(18 p. 72 E) 135,1
(41 p. 92 A) 25,7
de Republica (IV p. 439 D sqq.) 139,32
Timaeus (8 p. 34 B sq.) 19,16 sq. cf. 24,20
(c. 31. 32) 38,27 49,4
de Legibus (II, 1 p. 653 A) 28,27

Πρωταγόρας λέγει πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ 116,8
Πυθαγόρειοι. Πυθαγορικοί. ἀσωμάτους ἀρχὰς ποιοῦσι 14,5 ἔφασάν τινες αὐτῶν ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα 11, 19 sq. κύβος ἡ γῆ κατὰ τοὺς Πυθαγορικούς 32,22 οἰκείως τινὰ τῶν Πυθαγορείων (περὶ ψυχῆς) προσιστορεῖ 129,6 sqq. — οἱ Πυθαγορικοὶ μῦθοι 24,36
Σιμπλίκιος 1,8
Στωικοὶ σῶμα τὸ θεῖον ὑπολαβόντες 36,11
Σωκρατικὸν διδασκαλεῖον 11,26
Φίλιππος ὁ κωμῳδιοδιδάσκαλος 18,29
Φιλόπονος 1,9 3,3
Φρύγιος ἁρμονία 25,29 sq.
Ψελλός 1,21

ANONYMI
IN ARISTOTELIS
CATEGORIAS
PARAPHRASIS

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

MICHAEL HAYDUCK

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCLXXXIII

PRAEFATIO

Paraphrasin Categoriarum, quam hic primum in lucem edimus, ideo Sophoniae de Anima paraphrasi adiunximus, quia eiusdem Sophoniae esse vulgo putatur.[1]) cui opinioni id sane favet, quod in hoc libello eadem fere scribendi ratio cernitur, quam inventam a se et ad libros de Anima illustrandos adhibitam Sophonias in prooemio paraphrasis suae exponit.[2]) quae enim apud Aristotelem Categ. 1—9 p. 11^{b}7 leguntur (longius enim paraphrasis non procedit), haec omnia paraphrastes aut minutatim discerpta, quod idem facit Sophonias, aut integris capitibus descriptis, quae ratio illi aeque probatur, cum reliquis, quae huc adicit, ita in unum coniungit, ut omnia tamquam sua proferat. quae ad Aristotelis verba accedunt, ea paene omnia e Simplicii commentariis excerpta sunt. ex his saepe correxi, quae librariorum mendis corrupta erant; saepe etiam, ubi codices inter se dissentiunt neque vera lectio re ipsa diiudicari potest, Simplicium quasi arbitrum adhibui. nonnulla eiusmodi, quae in adnotatione praetermisi, in Addendis subicio.

---

[1]) Cf. Trendelenburg-Belger Arist. de An. praef. XI n. 1, V. Rose Hermes II, 210. Sophoniae nomen Categoriarum huic paraphrasi praefixum esse traditur in cod. Claromontano 251 (s. XVI chart.). at is nunc in Philippsii bibliotheca Middlehilliana latet nec diiudicari potest utrum coniectura nitatur titulus an antiqua memoria. eadem paraphrasis in cod. Claromontano 78 (bomb. s. XIV) Sophronii esse dicitur, quem eundem esse atque Sophoniam veri similiter coniecit Rose Herm. II 213.

[2]) V. p. 2, 28 ἐδόκει δέ, εἴ τις ἐξηγούμενος μετὰ τοῦ φυγεῖν τὸν ἐν ταῖς ἐξετάσεσι σκεδασμὸν ἔτι καὶ τὴν λέξιν αὐτὴν ἀμηγέπη φυλάξαι διηρθρωμένην ἰσχύσειεν, ἢ μιγνύων μέν πως εὐκρινῶς ἢ κατὰ διαστάσεις ἄλλως καὶ ὥσπερ ἐκεῖνοι (i. e. οἱ ἐξηγηταί) τιθέμενος, συνεχῆ δὲ ταῖς διὰ μέσου τῶν ἐξηγήσεων, ὥστε συμφωνεῖν καὶ τὸ ὅλον ἐν τῷ ἑξῆς εἶναι καὶ ἑαυτοῦ ἠρτῆσθαι σπουδάσειεν, εἶτα καὶ αὐτοπροσώπως ἐκδοίη τὸ σύνταγμα, τάχ' ἄν τι καινὸν ἡμῖν ἐν τοῖς Ἀριστοτελικοῖς καταλείψειε — — εἰς ὅπερ καὶ ἡμᾶς ἡ προθυμία συνήλασε, καὶ πρῶτον ἐν τοῖς Περὶ ψυχῆς. ex quibus id quoque apparet Sophoniam aliis libris Aristotelicis eandem operam dare voluisse.

Codicibus omnino quattuor in hac editione paranda usus sum; ex quibus boni sunt et accurate scripti hi duo:

B I Bodleianus Misc. 209 Auct. T. 2. 9, quadratus, bombycinus, saeculi XIV, qui paraphrasin ab initio usque ad p. 62,33 continet. hic liber prius, ut numeri paginis inscripti ostendunt, maiori volumini insertus erat. in mediis paginis iuxta interiorem marginem et in extrema pagina tota litterae humore exstinctae sunt. ubi a reliquis codicibus differt, saepe eius fides Simplicii auctoritate probatur. contulit hunc librum, ut est animo ad omnia haec studia adiuvanda promptissimo, Ingram Bywater Oxoniensis, cuius beneficii etiam publice meminisse par est.

L II Laurentianus LXXI 32, forma quadrata, chartaceus, saeculi XIV (de quo v. Praef. ad Soph. p. VIII). Anonymi paraphrasin ex eo descripsit Hieronymus Vitelli Florentinus, vir doctissimus.

Accedunt duo libri deteriores:

H III Ven. Marcianus 218, saeculi XV.

M IV Monacensis Gr. 399, forma maxima, chartaceus, saeculi XVI.

Ille ab H. Vitellio, hic a me collatus est. uterque mendose est scriptus; Monacensis praeterea multas magnasque lacunas habet. huius libri non plenam discrepantiam attuli, sed si quid ex eo uno recepi, adnotare satis habui. addo eum plerisque locis, ubi duo meliores libri inter se differunt, cum Bodleiano consentire.

Scriptum Marienburgo
pridie Id. Dec. MDCCCLXXXII Michael Hayduck.

ANONYMI
IN ARISTOTELIS
CATEGORIAS
PARAPHRASIS

ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΑΣ ΚΑΤΗΓΟΡΙΑΣ.

Τῶν ὄντων τὰ μὲν ταυτώνυμα, τὰ δὲ ἑτερώνυμα, τὰ δὲ μέσα τούτων. καὶ τῶν ταυτωνύμων τὰ μὲν ὁμώνυμα, τὰ δὲ συνώνυμα· τῶν δὲ ἑτερωνύμων τὰ μὲν ἰδίως ἑτερώνυμα, τὰ δὲ πολυώνυμα, τὰ δὲ ἕτερα· μέσα δὲ τούτων οἷα τὰ παρώνυμα. ἐπεὶ γὰρ ἕκαστον τῶν ἐν τῷ κόσμῳ πραγμάτων καὶ ὀνόματι δηλοῦται καὶ λόγῳ ὁριστικῷ, τοῦ μὲν ὀνόματος κατὰ τὸ μονοειδὲς αὐτὸ δηλοῦντος, τοῦ δὲ λόγου κατὰ τὸ πολυμερές, συμβαίνει δὲ τὸ μὲν ὄνομα καὶ ἄλλου εἶναι σύμβολον, τὸν δὲ λόγον ἀδύνατον, ὅσα μὲν τῶν ὄντων κοινωνεῖ τῷ ὀνόματι, διαφέρει δὲ τῷ λόγῳ, καλεῖται ὁμώνυμα· ὅσα δὲ ἀνάπαλιν κατὰ μὲν τὸν λόγον κοινωνεῖ, μόνην δὲ τὴν κατὰ τοὔνομα ἴσχει διαφοράν, καλεῖται πολυώνυμα, τὰ δὲ κατ' ἄμφω κοινωνοῦντα συνώνυμα. τὰ δὲ κατ' ἄμφω διαφέροντα, εἰ μὲν ἓν ὑποκείμενον ἔχουσιν, ἰδίως προσαγορεύομεν ἑτερώνυμα, ὡς ἀνάβασις καὶ κατάβασις περὶ μίαν τὴν κλίμακα, καὶ σπέρμα καὶ καρπὸς περὶ τὸν αὐτὸν σῖτον· εἰ δὲ πάντη διάφορον ὡς λίθος καὶ ἄνθρωπος, ἕτερα λέγεται. ἃ δὲ μέσα τούτων τεθεωρήκαμεν, ὡς κοινωνίαν ἔχειν πρὸς ἄλληλα καὶ διαφορὰν καὶ πράγματος καὶ ὀνόματος, παρώνυμα καλεῖσθαι διεταξάμεθα. ὡς οὖν ἐν κεφαλαίῳ περὶ πάντων εἰπόντες, ἤδη ἐπέξιμεν καὶ καθ' ἕκαστον.

Καὶ δὴ ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα 1
λόγος τῆς οὐσίας ἕτερος, οἷον ζῶον ὅ τε ἄνθρωπος καὶ τὸ γεγραμμένον. τούτων γὰρ ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. ἐὰν γὰρ ἀποδιδῷ τις τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῴῳ εἶναι, ἴδιον ἑκατέρῳ λόγον ἀποδώσει· τὸ μὲν γὰρ οὐσίαν ἔμψυχον αἰσθητικὴν μεταβατικὴν ἐρεῖ, τὸ δὲ χρώματα τοιῶσδε συντεθέντα, ζώου ἰδέαν ἐμφαίνοντα. τῶν δὲ ὁμωνύμων τὰ μέν ἐστιν ἀπὸ τύχης, ὡς Ἀλέξανδρος ὅ τε Πάρις καὶ ὁ Μακεδών, τὰ δὲ ἀπὸ διανοίας. καὶ τούτων τὰ μὲν καθ' ὁμοιότητα, ὡς ἄνθρωπος καὶ ἡ

1 Titulum ab alia manu scriptum exhibet M: om. B post κατηγορίας add. περὶ ὁμωνύμων, συνωνύμων, παρωνύμων, ἑτερωνύμων, πολυωνύμων καὶ ἑτέρων LM, eademque habet B 7 αὐτοῦ δηλοῦντος B 8 post μὲν add. οὖν M 10 κατοὔνομα L 17 ἐπεξίομεν B 22 τίς libri τὴ τὼ M

εἰκὼν αὐτοῦ, τὰ δὲ κατ' ἀναλογίαν. ὡς ἀρχὴ μὲν ἀριθμῶν ἡ μονάς, γραμμῆς δὲ στιγμή, ποταμοῦ δὲ πηγὴ καὶ ζώου καρδία καὶ τρόπις ἐν νηί· ὡς γὰρ πρὸς ἀριθμὸν ἡ μονάς, οὕτω καὶ τἄλλα ἔχει, ὅπερ ἐστὶν ἀναλογίας ἴδιον. τὰ δὲ ὡς ὅταν ἀπό τινος κοινῆ ἐν πολλοῖς καὶ διαφόροις πράγμασι κατηγορία γίνηται· οἷον ἀπὸ τῆς ἰατρικῆς ἰατρικὸν μὲν βιβλίον, ὅτι ἰατρικῶν ἔχει μαθημάτων ἀναγραφάς, ἰατρικὸν δὲ σμιλίον, ὅτι ὄργανόν ἐστι τῶν κατὰ τέχνην ἰατρικῶν τομῶν, ἰατρικὸν δὲ τὸ φάρμακον, ὅτι πρὸς ἴασίν ἐστι χρήσιμον. τὰ δὲ ὅταν διάφορα πρὸς ἓν ἀναφέρηται τέλος, ἐκείνου καὶ τῆς προσηγορίας τυγχάνοντα· ὥσπερ σιτίον ὑγιεινὸν καὶ φάρμακον καὶ γυμνάσιον καὶ τἄλλα ὅσα πρὸς τὴν ὑγείαν ὡς εἰς τέλος ἀναφερόμενα ὑγιεινὰ λέγομεν. δεῖ δὲ καὶ συνάπτειν τοὺς εἰρημένους δύο τρόπους εἰς ἓν καὶ ὁμοῦ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ὀνομάζειν καὶ μέσον μᾶλλον ὁμωνύμων καὶ συνωνύμων τίθεσθαι. ἔτι τῶν ἀπὸ διανοίας ὁμωνύμων καὶ τὰ κατ' ἐλπίδα καὶ μνήμην λεγόμενα· Πλάτωνας γὰρ καὶ Ἀριστοτέλεις καλοῦμεν τοὺς παῖδας παραζηλοῦντες τῇ τῆς προσηγορίας κοινότητι τῶν κλεινοτάτων εἰς σοφίαν ἀνδρῶν, καὶ τῷ σώζεσθαι τῇ μνήμῃ τὸ γένος τὰ τῶν προγόνων τοῖς ἐκγόνοις ὀνόματα τίθεμεν. καὶ τῶν κατὰ μεταφορὰν δὲ λεγομένων ἔστιν ἃ τοῖς ὁμωνύμοις συντάττειν δεῖ. ἐπὰν γὰρ τὸ πρᾶγμα ἴδιον ὄνομα ἔχῃ, καταχρήσηται δέ τις ἐπ' αὐτοῦ ἑτέρῳ μεταφέρων καὶ χρώμενος, οὐχ ὁμώνυμον· οὐ γὰρ τὰ τροπικῶς εἰρημένα ὁμώνυμα ἂν εἴη τοῖς κυρίως λεγομένοις· ὅταν δὲ μὴ ἔχῃ ἄλλο, τότε ἐστὶν ὁμωνυμία. οἷον τῶν ὀρῶν τὴν ὑπώρειαν καὶ τὸ τοῦ πλοίου πηδάλιον, ἔτι δὲ καὶ τὰ βαστάζοντα τὴν κλίνην καὶ τὴν τράπεζαν μέρη κοινῶς πόδας προσαγορεύομεν· ἀλλ' ἐπὶ μὲν τῶν ὀρῶν καὶ τῆς νηός, ἐπεὶ φθάνει πρὸ τοῦ κοινοῦ κυρίῳ ὀνόματι δηλωθῆναι τὰ πράγματα, μεταφορὰ τοῦτ' ἂν εἴη καθάπαξ καὶ οὐχ ὁμωνυμία· ἐπὶ δὲ τῆς τραπέζης καὶ τῆς κλίνης καὶ τῶν ζώων μὴ ὄντος ἰδίου ὀνόματος, καὶ πάντη διαφερόντων, μόνῳ δὲ κοινωνούντων ὀνόματι, εἴη ἂν ὁμωνυμία. ἐπεὶ δὲ τὸ ὄνομα κοινὸν καὶ τοῖς ἄλλοις τοῦ λόγου μέρεσιν, εἴη ἂν καὶ ἐν ῥήμασιν ὁμωνυμία· ὡς τὸ ἐρῶ τὸ λέξω καὶ τὸ ἐπιθυμῶ. καὶ τὸ ἡνδραπόδισται τό τε παθεῖν ὑφ' ἑτέρου καὶ τὸ δρᾶσαι εἰς ἕτερον. ἔτι πέντε ταῦτα ἐπὶ τῶν ὁμωνύμων δεῖ παρατηρεῖν· ταυτότητα γένους, ταυτότητα πτώσεως, ταυτότητα γραφῆς, ταυτότητα προσῳδίας, καὶ πρὸς τούτοις τὸ τῆς αὐτῆς εἶναι συνηθείας ἀμφότερα· εἰ γὰρ καθ' ἕν τι τούτων παραλλάξειεν, οὐχ ὁμώνυμα. ὁ φάρος γὰρ καὶ τὸ φᾶρος οὐχ ὁμώνυμα, ὅτι μηδὲ ὁμογενῆ· καὶ ὁ ἐλάτης ἐπ' εὐθείας ἀρρενικῶς καὶ ἐπὶ γενικῆς θηλυκῶς τοῦ φυτοῦ, ἔτι δὲ ἁγνὸς καὶ ἁγνώς, καὶ Ἄργος καὶ ἀργός, ὡς τὰ μὲν κατὰ τὴν πτῶσιν τὰ δὲ κατὰ τὴν γραφὴν τὰ δὲ κατὰ τὴν προσῳδίαν παραλλάξαντα, οὐκ ἂν εἴη ὁμώνυμα· καὶ τὸ ἅρμα δὲ ἐπεὶ παρ' ἡμῖν μὲν ἐπὶ τοῦ ὅπλου τέτακται, ἐπὶ

4 κοινῆ M 6 σμηλίον L: σμηλίον B 8 ἀναφέρεται L 9 σιτίον] τί ὂν M 10 post ἀναφερόμενα add. ἓν M 15 σοφίαι B τῷ] τὸ M 16 τὸ] ὅτι M post ὀνόματα add. μὲν M τῶν] τὰ L[1] 17 δὲ om. M κἂν γὰρ M 18 καταχρήσαιτο B 20 κυρίῳ, ut videtur, L: κυρίοις BM 21 ὑπόρροιαν M 23 νηός sic libri 28 λέγω B 31 τὸ] ὅτι τοῦ M

τοῦ ζεύγους δὲ παρὰ τοῖς παλαιοῖς, οὐχ ὁμώνυμον. καὶ περὶ μὲν ὁμωνύμων τοσαῦτα.

Συνώνυμα δὲ λέγεται, ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός, οἷον ζῶον ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς· ταῦτα γὰρ κοινῷ ὀνόματι προσαγορεύεται ζῶα. καὶ ὁ λόγος δὲ τῆς οὐσίας ὁ αὐτός. ἐὰν γὰρ ἀποδιδῷ τις τὸν ἑκατέρου λόγον, τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζώῳ εἶναι, τὸν αὐτὸν ἀποδώσει λόγον· οὐσία γὰρ ἄμφω αἰσθητικὴ μεταβατική· τετραχῶς δὲ τὸ συνώνυμον τῷ ὁμωνύμῳ συμπέπλεκται. ἢ γὰρ ἓν καὶ τὸ αὐτὸ πρᾶγμα κατ' ἄλλο καὶ ἄλλο ἑαυτοῦ ὄνομα πρὸς ἄλλο καὶ ἄλλο πρᾶγμα ὁμώνυμόν τέ ἐστι καὶ συνώνυμον, οἷον ὁ κόραξ ὁ ὄρνις, καθὸ μὲν κόραξ, ὁμώνυμος πρὸς τὸ ἐν τῇ θύρᾳ ὄργανον, καθὸ δὲ ὄρνις, συνώνυμος πρὸς τοὺς ἄλλους ὄρνιθας. ἢ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ διαφόροις ἑαυτοῦ ὀνόμασιν ὁμώνυμόν τέ ἐστι καὶ συνώνυμον, οἷον Αἴας ὁ τοῦ Τελαμῶνος πρὸς Αἴαντα τὸν Λοκρὸν καὶ ὁμώνυμος καὶ συνώνυμος, τὸ μὲν ὅτι Αἴας, τὸ δὲ ὅτι ἄνθρωπος. ἢ ὅτε καθ' ἓν καὶ τὸ αὐτὸ ὁμώνυμά τέ ἐστι καὶ συνώνυμα, πρὸς ἄλλο μέντοι καὶ ἄλλο, ὡς ὁ κόραξ ὁ ὄρνις· πρὸς μὲν γὰρ τὸ ὄργανον ὁμώνυμος, συνώνυμος δὲ πρὸς τοὺς ἄλλους κόρακας. καὶ τέταρτον, ὃ τῷ αὐτῷ κατὰ τὸ αὐτὸ ὁμώνυμόν τέ ἐστι καὶ συνώνυμον, ὡς ὁ παρ' Ὁμήρῳ Μέλας, Ἄγριος· καθὸ μὲν γὰρ κύριον τὸ Μέλας, εἴη ἂν ὁμώνυμον τῷ κατὰ τὴν χρόαν μέλανι· εἰ μέντοι τύχῃ καὶ τὴν χρόαν μέλας ὁ οὕτω καλούμενος, συνώνυμος ἂν εἴη τῷ ὁμοίως μέλανι. οὕτως δὲ καὶ ὁ τὸ Ἄγριος κύριον ἔχων ὄνομα, εἰ καὶ τὴν τοῦ ἤθους προσλήψεται ἀγριότητα, ὁμώνυμός τε εἴη πρὸς τὸν τὸ ἦθος ἄγριον καὶ συνώνυμος. τούτοις δὲ κἀκεῖνα παρόμοια, ὅσα ἀπὸ τῶν ἀρετῶν παρῃγμένα ἔν τισιν ὡς κύρια λέγεται οἷον Ἐλευθέριος, Φιλάρετος, Εὐφρόσυνος, καὶ ὅσα ἀπὸ τῶν ἐθνικῶν, οἷον Ἰταλικός, Κρητικός, Ἐλευσίνιος. ἔτι τὸ ὁμώνυμον ἀντίφασιν ἐπιδέχεται· ὁ γὰρ γεγραμμένος ἄνθρωπος καὶ οὐκ ἄνθρωπος· τὸ δὲ συνώνυμον οὔ. τοσαῦτα καὶ περὶ συνωνύμων.

Παρώνυμα δέ ἐστιν, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει. οἷον ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος. δεῖ δὲ καὶ ἐπὶ τῶν παρωνύμων ζητεῖν, τί τὸ πρῶτον καὶ τί τὸ ἀπ' ἐκείνου παρωνομασμένον, καὶ ἔτι κοινωνίαν πράγματος καὶ διαφοράν, καὶ κοινωνίαν ὀνόματος καὶ διαφοράν. τὸ γὰρ μουσικὴ γυνὴ καὶ μουσικὴ ἐπιστήμη, καὶ παρθένος καὶ παρθενική, ὡς τὰ μὲν πράγματος ἔχοντα διαφορὰν ὀνόματος δ' οὔ, τὰ δὲ τὸ ἔμπαλιν διαλλάττοντα μὲν τῷ ὀνόματι ἀδιάφορα δὲ τῷ πράγματι, οὐ παρώνυμα. εἴη δ' ἂν τῶν παρωνύμων καὶ τὰ

---

3 συνώνυμα δὲ] περὶ συνωνύμων superscribit L et al. m. M 6 τὸ] τῷ LM
11 τὰς ἄλλας M 14 ὅταν BM 15 μέντοι] μέν τι M 16 μὲν γὰρ om. M 17 ὃ τῷ αὐτῷ om. M 19 εἰ om. L 20 ὁ om. M
25 ἀντίθεσιν M 28 Παρώνυμα δὲ — παρωνόμασται (4, 2) post ἐρρέθη (4, 20) ponit B Περὶ παρωνύμων superscriptum M: in marg. adscriptum L 30 ὁ om. M καὶ om. B 31 πράγματος — διαφοράν (32) om. M
33 πράγματα M 34 ὀνόματα οὐ M 34 μὲν — δὲ (35) om. B
35 εἴδαν L

πατρωνυμικὰ καὶ συγκριτικά. ἔτι δὲ ὑπερθετικὰ καὶ ὑποκοριστικά. ὑπὸ τὴν αὐτὴν δέ ἐστι κατηγορίαν τὸ παρώνυμον τῷ ἀφ' οὗ παρωνόμασται.

Πολυώνυμα δὲ γίνεται ὅταν διάφορα ὀνόματα καθ' ἑνὸς πράγματος λέγηται, ἕνα καὶ τὸν αὐτὸν λόγον ἔχοντα, ὥσπερ ἄορ, ξίφος, σπάθη, φάσγανον· σίδηρος γὰρ ἀμφίστομος ταῦτα πάντα. δεῖ δὲ μὴ τοῦτο μόνον σκοπεῖν, εἰ τοῦ αὐτοῦ πλείονα κεῖται ὀνόματα, ἀλλ' εἰ καὶ πρὸς τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ σημαινόμενον φέρονται. τὸ γὰρ ἀμερὲς καὶ τὸ ἐλάχιστον καθ' ἑνὸς λεγόμενα πράγματος τοῦ στοιχείου, καὶ ἀρχὴ καὶ αἴτιον καθ' ἑνὸς ἴσως τοῦ ποιητικοῦ, καὶ κατὰ τῆς κύκλου περιφερείας τὸ κοῖλον καὶ τὸ κυρτὸν οὐ πολυώνυμα ἂν εἴη κυρίως, ἐπεὶ μὴ πρὸς τὸ αὐτὸ τοῦ πράγματος ἄμφω λέγεται, ἀλλ' ἰδίαν ἑκάτερον περὶ τὸ αὐτὸ ὑπεσήμαινεν ἔννοιαν. κινδυνεύει δὲ καὶ ἐν τοῖς ὁμολογουμένως πολυωνύμοις λεγομένοις ὡς ἐπὶ τοῦ ἀνθρώπου, ὅταν ὁ αὐτὸς καὶ μέροψ καὶ βροτὸς λέγηται, ἐπεὶ ἕκαστον τῶν ὀνομάτων κατ' ἄλλην καὶ ἄλλην σημασίαν ἐκδέδοται (τὸ μὲν γὰρ κατὰ τὸ ἀναλογιστικόν, τὸ δὲ κατὰ τὴν τῆς διαλέκτου πρὸς τὰ ἔθνη διαφοράν, τὸ δὲ κατὰ τὸ θνητὸν τῆς συστάσεως), μὴ κυρίως πολυώνυμα λέγεσθαι. λείπεται δὴ ἐκεῖνα μόνα εἶναι πολυώνυμα, ἐφ' ὧν οὐ κατὰ τὰς διαφόρους σχέσεις τῆς μιᾶς φύσεως διάφορα κεῖται ὀνόματα, ἀλλ' ὡς κατ' αὐτήν, ἄλλου ἄλλως οὐκ ἐτυμολογικῶς ἀλλὰ κατὰ τὸ ἐπιτυχὸν ὀνομάσαντος. περὶ δὲ ἑτερωνύμων καὶ ἑτέρων, οὐδὲν πλέον ὑπὲρ αὐτῶν ἄλλο λέγεται, ἢ ὅσα ἐν ἀρχῇ ἐρρέθη.

Αἰτία δὲ δι' ἣν περὶ τῶν κατηγοριῶν εἰπεῖν προθέμενοι τοσαῦτα περὶ διαφορᾶς ὀνομάτων ἐφιλοσοφήσαμεν πρότερον ἐκείνων, ὡς ἐπεὶ σκοπὸς ἡμῖν περὶ φωνῶν ἁπλῶν διαλαβεῖν, σημαινουσῶν ἁπλᾶ πράγματα διὰ μέσων ἁπλῶν νοημάτων, καὶ περὶ τῶν ὄντων σκέψασθαι οὐ καθὸ εἰσίν, ἀλλὰ καθὸ παρὰ τῶν πολλῶν καὶ νοοῦνται καὶ λέγονται, πολλαχῶς δὲ κοινωνεῖ τὰ ὄντα καὶ πολλαχῶς διαφέρει. πολυειδὴς καὶ ἡ τῶν ὀνομάτων κοινωνία καὶ ἑτερότης γεγένηται. οὐκ ἦν δὲ εὐπετὲς τοῖς ἐκεῖ λεγομένοις ἕπεσθαι τῷ μὴ πρότερον περὶ τούτων ἐπεσκεμμένῳ· ἐπιστήμονος δὲ καὶ τὸ πρὸ τῆς κατὰ μέρος διδασκαλίας τὰ χρησιμεύσοντα προεκτίθεσθαι. ὅλως δὲ περὶ ὀνομάτων καὶ τῆς χρείας αὐτῶν, καὶ τί δήποτε μόνος τῶν ἄλλων φωνὴν ἄνθρωπος ἔλαβεν, ἐκεῖνο εἰπεῖν δεῖ. ὡς εἰ μὲν ἦμεν ψυχὴ μόνη, μὴ κοινωνοῦντες σώματι, οὔτε φωνῆς ἂν ἐδεήθημεν οὔτε ὀνομάτων εἰς τὸ δηλοῦν ἀλλήλοις ἃ ἐννοούμεθα, κρείττονί τινι συναφῇ τῶν ψυχῶν συναπτομένων καὶ μεταδιδουσῶν ἀλλήλαις τῶν οἰκείων διανοημάτων. τὸ συμπεπλέχθαι γοῦν σώματι τὴν τῆς φωνῆς χρείαν ἐγένησεν· αἱ γὰρ ἀποστᾶσαι τοῦ νοῦ καὶ τῶν ὄντων ψυχαὶ καὶ διακριθεῖσαι

1 τα συγκριτικα M δὲ] καὶ M 2 post τὸ add. τε B παρώνυμα L τῷ om. M 3 Περὶ πολυωνύμων margo L γίνεται] λέγεται M πράγματα BL λέγεται M 8 ἀρχὴν M καθ' ἓν L ποιητοῦ M 9 τῆς τοῦ κύκλου M 11 ὁμολογουμένοις M: κυρίως B 12 ὅτε M 13 λέγεται M ἐπεὶ om. B 14 ἐκδέδοσθαι B γὰρ om. B ἀναλογιστικόν] cf. Plat. Crat. 17 p. 399 c 15 μὴ—λέγεσθαι (16) om. B 16 δὲ M 21 τῶν om. MB διαφορὰς M 22 ἐκείνου M: ἐκείνη (?) B 25 λέγεται M 26 καὶ ἡ τῶν] νοητῶν M 29 χρησιμεύοντα M 30 ὁ ἄνθρωπος M ἔλαβεν] ἔχει M ἐκεῖνα B 31 ψυχῇ L 32 ἐννοῶμεν M

ἀλλήλων οὐκ ἄλλῳ ἢ τούτῳ εἰς ὁμόνοιαν πάλιν συνάγονται καὶ τοῖς πράγμασι συναρμόζονται καὶ πρὸς νοῦν ἀναπέμπονται.

Τῶν λεγομένων εἶναι τὰ μέν εἰσιν ἁπλᾶ τῇ προφορᾷ, τῷ δὲ σημαινο- 2
μένῳ συμπεπλεγμένα, οἷον τρέχω (δηλοῖ γὰρ ἐμὲ καὶ τὸν δρόμον), καὶ ὅλως
5 τὰ πρῶτα τῶν ῥημάτων καὶ δεύτερα πρόσωπα προφερόμενα ἀεὶ συνυποσημένην
ἔχουσι καὶ τὴν ὑποκειμένην οὐσίαν, καὶ ἔτι τῶν τρίτων τὰ ἐπὶ ὡρισμένων
κείμενα ὡς τὸ ὕει καὶ σείει· ἔξωθεν γὰρ τὸ τῆς προνοίας προσυπακούεται
ὄνομα. τὰ δὲ σύνθετα μὲν τῇ προφορᾷ, ἁπλᾶ δὲ τῇ σημασίᾳ, ὡς οἵ τε
λόγοι τῶν πραγμάτων ἔχουσιν (ἓν γὰρ καὶ ταὐτόν, εἰς ὃ τὰς διαφόρους λέξεις
10 συνείρομεν), καὶ τὰ τοιάδε· ἀγαθοδαίμων, Νεάπολις καὶ τὰ παραπλήσια. τὰ
δὲ συντέθειται καὶ τῇ λέξει καὶ τῷ νοήματι, ὡς λόγον ἀπαρτίζεσθαι τέλειον,
οἷον ἄνθρωπος τρέχει, ἄνθρωπος νικᾷ. τὰ δὲ τῇ τε προφορᾷ καὶ τῷ σημαι-
νομένῳ ἁπλᾶ, οἷον ἄνθρωπος, βοῦς, ἵσταται, τρέχει, νικᾷ. καὶ τούτων τῶν
κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον μιᾶς τινος τῶν δέκα κατηγοριῶν
15 ἐστι σημαντικόν, ἃς μετὰ μικρὸν διελόμενοι παραδώσομεν. πρὸ γοῦν τῆς ἐν-
τελοῦς εἰς δέκα τῶν ὄντων διαιρέσεως καὶ τῆς ἐφ' ἑκάστῳ διδασκαλίας τὴν
εἰς τέσσαρα τούτων κεφαλαιώδη τομὴν καὶ διαίρεσιν ποιησόμεθα, διὰ τὸ καὶ
τὸν τέταρτον συντιθέμενον τὸν δέκα ἀπογεννᾶν τὸν ἐν ἀριθμοῖς ἐντελῆ καὶ
πληρέστατον. φθάνομεν δὲ καὶ τὴν τῶν λεγομένων εἰς τέσσαρα πεποιημένοι
20 διαίρεσιν. ἐπεὶ δὲ τοῖς ἐναργοῦς τῶν πραγμάτων σημασίας φροντίζουσιν ἧττον
ἔστιν οὗ ἡ τῶν συνήθων ὀνομάτων χρῆσις σπουδάζεται, καὶ ἡμεῖς ἐν τῇ
διαιρέσει τὰ καθωμιλημένα παρέντες τὰ ἐναργῆ προεκθήσομεν, ἀντὶ μὲν οὐσίας
τῷ οὐκ ἐν ὑποκειμένῳ χρώμενοι, ἀντὶ δὲ συμβεβηκότος τῷ ἐν ὑποκειμένῳ·
τῷ τε καθ' ὑποκειμένου καὶ οὐ καθ' ὑποκειμένου ἀντὶ τοῦ καθόλου καὶ με-
25 ρικοῦ. καὶ τούτων οὕτω προεκκεκριμένων λέγομεν.

Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ
οὐδενί ἐστιν. οἷον ὁ ἄνθρωπος καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀν-
θρώπου, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν· καὶ ὅλως αἱ καθόλου οὐσίαι, τὰ
ἀπηριθμημένα ὑπὸ τὴν γενικωτάτην οὐσίαν δηλαδὴ γένη καὶ εἴδη ὑπ' ἄλληλα
30 μέχρι τῶν ἀτόμων καθ' ὑποκειμένου καὶ οὐκ ἐν ὑποκειμένῳ λεχθήσεται·
κατὰ γὰρ τῶν ὑπ' αὐτὰ κατηγορεῖται, καὶ οὐκ ἐν ἑτέροις ἀλλ' ἐν ἑαυτοῖς τὴν
ὕπαρξιν ἔχουσιν. τὰ δὲ ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐδενὸς
λέγεται, οἷον ἡ τὶς γραμματικὴ ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ, καθ' ὑπο-
κειμένου δὲ οὐδενὸς λέγεται· καὶ τουτὶ τὸ λευκὸν ἐν ὑποκειμένῳ μέν ἐστι
35 τῷ σώματι (ἅπαν γὰρ χρῶμα ἐν σώματι), καθ' ὑποκειμένου δὲ οὐδενὸς λέ-
γεται· καὶ ὅλως τὰ μερικὰ συμβεβηκότα καὶ ἄτομα οὔτε καθ' ἑτέρων λέγεται
οὔτε ἐν ἑαυτοῖς ἐστι. τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ
ἐστίν, οἷον ἡ ἐπιστήμη ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ· καθ' ὑποκειμένου

6 ἔχει M ὡρισμένου B 7 τὸ (ante ὕει) om. LM 10 συνείραμεν B
11 τῷ ὀνόματι L 12 τε om. M 15 κατὰ μικρὸν M 16 τὴν] καὶ M 17 ποιη-
σόμεθα L[1] 18 τέσσαρα M: Δ B δέκατον B 20 τοῖς] τῆς M 29 οὐσίαν
om. B 32 τὰ δὲ — λέγεται (33) om. M 33 ὑποκειμένη (?) B 34 μὲν
om. M 37 ἐστι scripsi: εἰσί libri

δὲ λέγεται τῆς γραμματικῆς· καὶ τὸ καθόλου λευκὸν καθ' ὑποκειμένου μὲν τοῦδε τοῦ μερικοῦ λευκοῦ, ἐν ὑποκειμένῳ δὲ τῷ σώματι ἐν ᾧ ὑπάρχει· καὶ ὅλως τὰ καθόλου συμβεβηκότα καὶ ἐν ἑτέροις εἰσίν (ἐν ταῖς οὐσίαις γάρ), καὶ κατὰ τῶν ὑπ' αὐτὰ μερικῶν κατηγορεῖται. τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται, οἷον ὁ τὶς ἄνθρωπος καὶ ὁ τὶς ἵππος καὶ ὅλως τὰ μερικὰ τῆς οὐσίας καὶ ἄτομα· οὐδὲν γὰρ τῶν τοιούτων οὔτε ἐν ὑποκειμένῳ οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται. τῷ μὲν γὰρ οὐσίας εἶναι ταῦτα ἐν ἑαυτοῖς καὶ οὐκ ἐν ἄλλοις ἔσται, τῷ δὲ ἐν μέρει κατ' οὐδενὸς ὡς καθόλου κατηγορηθήσεται. πλὴν ἔνια τῶν ἀτόμων, εἰ καὶ μὴ τῆς οὐσίας, τῶν μέντοι ἄλλων κατηγοριῶν οὐδὲν κωλύει, εἰ μὴ καὶ πᾶσα ἀνάγκη, ἐν ὑποκειμένῳ εἶναι. ἐν ὑποκειμένῳ δὲ λέγω, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστιν· καὶ τοῦτό ἐστι τὸ κοινῶς συμβεβηκός. οὐ γὰρ πᾶν τὸ ἔν τινι ὂν συμβεβηκός ἐστιν· οὔτε γὰρ τὸ ὡς μέρος ἐν ὅλῳ οὔτε τὸ ὡς ὅλον ἐν μέρεσιν, οὔτε τὸ ὡς εἶδος ἐν γένει οὔτ' αὖ τὸ ὡς γένος ἐν εἴδει· ἀλλ' οὐδὲ τὸ ὡς ἐν τόπῳ ἢ ἐν χρόνῳ ἢ ἐν τέλει ἢ ὡς εἶδος ἐν ὕλῃ ἢ ὡς ἐν τῷ κινοῦντι καὶ ἄρχοντι τὰ τῶν ἀρχομένων, ἀλλὰ τὸ ὡς ἐν ὑποκειμένῳ μόνον. διττὸν δὲ καὶ τὸ ὑποκείμενον, τό τε πρὸς κατηγορίαν, ὥσπερ τὰ μερικὰ τοῖς καθόλου, καὶ τὸ πρὸς ὕπαρξιν. διττὸν δὲ καὶ τοῦτο, ᾗ τε ἄποιος ὕλη, ᾗ κοινῶς πᾶσιν ὑπέστρωται καὶ παντός ἐστι δεκτικὴ σχήματος καὶ χρώματος καὶ συμπάσης ἄλλης ποιότητος, καὶ ὃ ποιὸν ἰδίως ὑφίστασθαι λέγομεν. οἷον ἄνθρωπος, λίθος. πολλὰ οὖν τῶν ἐγγινομένων ὡς μὲν πρὸς τὸ πρῶτον ὑποκείμενον ἐν ὑποκειμένῳ ἐστίν· ἅπαν γὰρ χρῶμα καὶ πᾶσα ποιότης ἐν ὑποκειμένῳ τῇ ὕλῃ ἐστίν, οὐχ ὡς μέρη αὐτῆς ὄντα, καὶ ἀδύνατα χωρὶς αὐτῆς εἶναι. ἐπὶ δὲ τοῦ δευτέρου, οὐχ ἅπαν χρῶμα οὐδὲ πᾶσα ποιότης ἐν ὑποκειμένῳ ἐστίν, ἀλλὰ μόνον, ὅταν μὴ συμπληρωτικὰ τῆς τοῦ ὑποκειμένου οὐσίας ᾖ, ἃ δὴ καὶ κυρίως συμβεβηκότα ὀνομάζομεν· ὅταν δὲ οὐσίας ὦσι συστατικά, οὐσιώδη ταῦτα καὶ μέρη οὐσιῶν. καὶ δὴ τὸ λευκὸν ἐπὶ μὲν τοῦ ἐρίου ἢ τοῦ κύκνου, ἐπεὶ μὴ συντελεῖ τῇ τοῦ ὑποκειμένου οὐσίᾳ, ἐν ὑποκειμένῳ εἶναι καὶ συμβεβηκός λέγομεν· ἐπὶ δὲ τῆς χιόνος συμπληροῦν τὴν οὐσίαν αὐτῇ μέρος αὐτῆς τοῦτο καὶ ὑποκείμενον τίθεμεν. κατὰ τὰ αὐτὰ δὲ καὶ ἡ τοῦ πυρὸς θερμότης αὐτοῦ μὲν μέρος, ἐν ὑποκειμένῳ δὲ τῷ σιδήρῳ· γίνεται γὰρ καὶ ἀπογίνεται τοῦ δεκτικοῦ μένοντος. καὶ ἁπλῶς εἰπεῖν πᾶσαι αἱ μὴ ἐπείσακτοι ποιότητες ἀλλ' οὐσιώδεις καὶ συμπληρωτικαὶ τῶν ὑποκειμένων μέρη οὐσιῶν εἰσι καὶ τῇ οὐσίᾳ συντάττονται. ἐπιστῆσαι δὲ χρὴ ὡς οὐκ εἴπομεν τὸ συμβεβηκὸς ὁριζόμενοι, ἐν ᾧ ἦν, χωρὶς εἶναι ἀδύνατον, ἀλλ' ἐν ᾧ ἐστί, διὰ τὰ ἐκεῖθεν ἀπαντῶντα περί τε τοῦ μήλου καὶ τῶν ἄλλων εὐωδῶν· πόρρωθεν γὰρ τῆς ὀσμῆς, συμβεβηκότος οὔσης, αἰσθανόμεθα· ὡς

---

1 post δὲ add. οὐδενὸς M 6 τῶν om. M¹ τοιοῦτον M¹ 8 τῷ — μέρει] ὡς δὲ μερικὰ M ὡς om. M 11 ὑ|ὃ. τι M ὑπάρχων M¹ 16 τὰ om. L¹ 18 τὸ] τοῖς M 20 καὶ (ante χρώματος) om. BM 23 ὑποκειμένη M 24 ἀδύνατον B 25 ἀλλὰ μόνον om. M: μόνον om. B 26 ὃ δὴ BM καὶ om. M συμβεβηκὸς BM 27 ὦσι om. BM post δὴ add. καὶ M 28 κύκνου] σκύθου BL 34 post οὐσίᾳ add. οὐ M

οὐκ ἂν ἐν τοῖς ὑποκειμένοις μενούσης. τοῦ αἰσθητηρίου μὴ θιγόντος, διέβαινεν ἡ ταύτης αἴσθησις πρὸς ἡμᾶς. ἀλλὰ γὰρ κἂν τὸ πρότερον ὑποκείμενον ἀπολείπῃ, ἀλλ' οὖν συνεχοῦς ὄντος τοῦ παντὸς ἢ κατὰ ἁφὴν ἢ κατὰ ἕνωσιν μεταβαίνειν ἐφ' ἕτερα οὐκ ἀδύνατον, καὶ ἔσται τοῦ μήλου μὲν ἐκτός, ἐν ὑπο-
5 κειμένῳ δὲ τῷ ἀέρι. πᾶσα μὲν γὰρ εὐωδία καὶ ὅπαν τὸ τοιοῦτον συμβεβηκὸς μετὰ τῆς οἰκείας οὐσίας ἐστίν, ἔστ' ἂν ᾖ, καὶ οὐδέποτε ταύτης ἀποστατεῖ· ἡ δὲ οὐσία ποτὲ μὲν ἐξαπλοῦται καὶ ταῖς ἄλλαις οὐσίαις ἐγκατασπείρεται, ποτὲ δὲ μεταβάλλει εἰς ἑαυτὴν τὰ συνεχῆ καὶ πεφυκότα πάσχειν, ὅπερ ἐπὶ τοῦ πυρὸς ὁρᾶται· οὐ γὰρ ὁ ἐξ ἀρχῆς σπινθὴρ ἐστιν ὁ πᾶσαν τὴν ὕλην ἐπινεμό-
10 μενος, ἀλλὰ τὸ ἐξ ἐκείνου κατ' ὀλίγον πολλαπλασιασθέν. ὅτι δέ τις καὶ οὐσία συνδιαφορεῖται τούτοις, δηλοῖ τό τε μῆλον ῥυτιδούμενον καὶ δαπανώμενα τὰ θυμιάματα. καὶ πρὸς τούτοις ἐκεῖνο ἰστέον, ὡς τεσσάρων ὄντων τῶν ἐν τῇ διαιρέσει παρ' ἡμῖν προσληφθέντων, καθ' ὑποκειμένου, οὐ καθ' ὑποκειμένου, ἐν ὑποκειμένῳ, οὐκ ἐν ὑποκειμένῳ, καὶ ἑξαχῶς συνδιαζομένων, καὶ ἀσυστάτων
15 μὲν τῶν κατὰ μῆκος ἄμφω συζυγιῶν οὐσῶν (τὰ γὰρ ἐναντία ἀλλήλοις συνυπάρξαι ἀδύνατον), συνισταμένων δὲ τῶν κατὰ βάθος καὶ διαγωνίως, ἡμεῖς ὡς πανταχοῦ διὰ τὸ ἀνελλιπὲς τὴν κατ' ἀντίφασιν ἐξευμενοῦντες ἀντίθεσιν καὶ διαίρεσιν κἀνταῦθα πρὸς τὴν διδασκαλίαν τὰς διαγωνίους συζεύξεις ὡς ἀντιφασκούσας πρότερον ἐκδεδώκαμεν.

20 Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου ἤγουν συνω- 3
νύμως καὶ οὐσιωδῶς, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται, οἷον ὁ ἄνθρωπος κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορεῖται καὶ τὸ ζῶον κατὰ τοῦ ἀνθρώπου· οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου τὸ ζῶον κατηγορηθήσεται. καὶ κατὰ τοῦδε τοῦ λευκοῦ λεγόμενον τὸ
25 ἁπλῶς λευκόν, κατ' ἐκείνου δὲ τὸ χρῶμα· καὶ κατὰ τοῦ μερικοῦ δὲ ἄρα τὸ καθόλου χρῶμα κατηγορηθήσεται. τὸ μέντοι δισύλλαβον ἢ τὸ γένος κατὰ μὲν τοῦ ζώου κατηγορηθήσεται, κατὰ δὲ τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου, καθ' ὧν τὸ ζῶον, οὔ· οὐ γὰρ ὡς καθ' ὑποκειμένου κατὰ τοῦ ζώου ταῦτα ἐλέγετο.

Τῶν ἑτέρων γενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων, ἕτεραι τῷ εἴδει καὶ
30 αἱ διαφοραί, οἷον ζώου καὶ ἐπιστήμης. ζώου μὲν γὰρ διαφοραὶ τό τε πεζὸν καὶ τὸ δίπουν καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον. ἐπιστήμης δὲ οὐδεμία τούτων· οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δίπουν εἶναι. τῶν δέ γε ὑπ' ἄλληλα γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς εἶναι διαφοράς. τὰ γὰρ ἐπάνω τῶν ὑπ' αὐτὰ εἰδῶν κατηγορεῖται, ὥστε ὅσαι κατὰ τοῦ κατηγορουμένου διαφοραί εἰσι, καὶ
35 τοῦ ὑποκειμένου ἔσονται. τῶν γὰρ διαφορῶν αἱ μὲν γενῶν εἰσιν, αἱ δὲ εἰδῶν· καὶ τῶν τοῦ γένους αἱ μὲν συστατικαί, ὅσαι ὑπὲρ αὐτὸ καὶ καθολικώτεραι καὶ κατηγοροῦνται αὐτοῦ, αἱ δὲ διαιρετικαί, ὅσαι διῃρημένως μὲν κατ' αὐτοῦ οὐ

---

2 ἡ ταύτης αἴσθησις om. BM ἀπολείπει B 3 post ἁφὴν add. ὡς ἐπὶ τῆς τῶν δακτύλων συμπτύξεως M post ἕνωσιν add. ὡς ἐπὶ τοῦ ἀέρος M 7 post ἐγκατασπείρεται add. ὡς ἡ τοῦ μήλου οὐσία ἡ μετὰ τῆς ὀσμῆς ἐξερχομένη M
8 δὲ om. M 18 διαγωνίας M 20 κατηγορεῖται L 22 τινὸς] παντὸς M
29 ἑτερογενῶν Aristoteles 30 ζώων μὲν M 32 τῷ scripsi: τὸ libri δίπουν] δίπους Aristoteles 37 διῃρημέναι M

λέγονται, ὁμοῦ δὲ πᾶσαι. τοῦ δὲ εἴδους εἰσὶν αἱ εἰδοποιοὶ μόναι, ὧν ἑκάστη κατὰ τὸ ἀντιδιῃρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι. ὥσπερ δὲ εἴδη πλείονα πρὸς ἓν γένος, οὕτω πολλαὶ διαφοραὶ πρὸς ἓν εἶδος συντελοῦσιν· καὶ ὥσπερ ἕτερα γένη καὶ εἴδη τὰ ταῖς διαφόροις κατηγορίαις ὑποκείμενα λέγομεν, οὕτω καὶ διαφερούσας τῷ εἴδει διαφορὰς ἐπιζητοῦμεν, ἐπειδὴ πολλάκις καὶ τῶν ἑτέρων γενῶν, οἷον ζώου καὶ σκεύους, αἱ αὐταὶ δοκοῦσι διαφοραί (καὶ γὰρ τῶν ζώων τὰ μέν ἐστιν ὑπόποδα τὰ δὲ ἄποδα, καὶ τῶν σκευῶν ὁμοίως ὑπόποδα μὲν κλίνη καὶ τράπεζα, ἄποδα δὲ τὰ πλείονα), ἀλλ' οὐκέτι καὶ τῷ εἴδει, ἀλλὰ καθ' ὁμωνυμίαν· κατὰ μεταφορὰν γὰρ καὶ ἐξ ἑτέρου κατωνομάσθη τὸ ἕτερον. οὐκ ἀπορεῖν δὲ δεῖ οὐδὲ πρὸς τὰς διαφορὰς καὶ τὸν τοῦ εἴδους ὁρισμόν, εἴπερ τὴν μὲν κατὰ διαφερόντων τῷ εἴδει, τὸ δὲ τῷ ἀριθμῷ ὁριζόμεθα, τῷ μονοειδεῖς τινας εἶναι διαφοράς (οἷον ἀνθρώπῳ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ πυρὸς τὸ κοῦφον, καὶ γῆς τὸ βαρύ, αἳ καὶ ἀντιστρέφουσι τοῖς ὁριστοῖς), καὶ διὰ τὰ μοναδικὰ τῶν ἐν τῷ κόσμῳ εἰδῶν, οἷον ἥλιον καὶ σελήνην ἐπὶ τῶν ἀιδίων, ἐπὶ δὲ τῶν φθαρτῶν, οἷον ἱστοροῦσι περὶ τοῦ φοίνικος. αἱ μὲν γὰρ αὗται διαφοραί, εἰ καὶ μὴ κατὰ πλειόνων εἰδῶν λέγονται, τῷ διά τινα συντυχίαν πραγμάτων τὴν τῶν ὑποδεχομένων εἰς πλῆθος διάστασιν μὴ γενέσθαι, ἀλλ' οὖν οὕτως ἔχουσιν ὥσπερ ἂν εἰ καὶ κατὰ πλειόνων ἐλέγετο. περὶ δὲ τῶν εἰδῶν ἐπὶ μὲν τοῦ φοίνικος, εἰ καὶ μὴ ἅμα τὰ ἄτομα, ἀλλ' οὖν κατὰ διαδοχὴν πολλῶν κατηγορεῖται φοινίκων· τὸ δὲ ἐν τοῖς ἀιδίοις μοναδικὸν ἐν ὕλῃ κατατέτακται καὶ συντέθειται, καὶ οὐχ ὅμοιον τῷ ζητουμένῳ παρ' ἡμῖν ἀκατατάκτῳ καὶ θεωρουμένῳ ἐν τοῖς πολλοῖς. τοσαῦτα ὡς πρὸς τὴν διδασκαλίαν χρησιμεύσοντα τῶν κατηγοριῶν προεκθέμενοι, ἤδη ἐπ' αὐτὰς χωρῶμεν. πρότερον δὲ ὡς ἐν κεφαλαίῳ διὰ τὸ εὐσύνοπτον αὐτὰς διελώμεθα, εἶτα καὶ διεξοδικῶς καί τινα θεωρητικῶς περὶ αὐτῶν ἀπορήσομεν καὶ ζητήσομεν.

1 Τῶν δὴ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. καὶ οὐσία μέν, ὡς ἐν τύπῳ εἰπεῖν, οἷον ἄνθρωπος, ἵππος· ποσὸν δὲ οἷον δίπηχυ, τρίπηχυ· ποιὸν δὲ οἷον λευκόν, γραμματικόν· πρός τι δὲ οἷον διπλάσιον, ἥμισυ, μεῖζον· ποῦ δὲ οἷον ἐν Λυκείῳ, ἐν ἀγορᾷ· ποτὲ οἷον χθές, πέρυσι· κεῖσθαι οἷον ἀνάκειται, κάθηται· ἔχειν οἷον ὑποδεδέσθαι, ὡπλίσθαι· ποιεῖν οἷον τέμνειν, καίειν· πάσχειν δὲ οἷον τέμνεσθαι, καίεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων ἐν οὐδεμιᾷ καταφάσει ἢ ἀποφάσει λέγεται, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίνεται. ἅπασα γὰρ δοκεῖ κατάφασις ἢ ἀπόφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι· τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγόμενων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκόν, τρέχει, νικᾷ. ὡς ἂν δὲ καὶ κατ' ἐπιστημονικὴν ἔφοδον

1 μόνον M 7 ἐστιν om. M 8 ὁμοίως om. M 9 ἀλλὰ] ἀλλ' ἢ corr. L κατὰ om. B 10 ὠνομάσθη M 11 τὸ μὲν L 13 τῷ — δεκτικῷ M 14 post διὰ add. μὲν M 15 ἀδίων L 18 γίνεσθαι BL 23 χρησιμεύοντα M 24 χωροῦμεν M 25 διελόμεθα BM 30 δὲ (post πρός τι) om. M 31 λυκίου BL 32 πέρισυ L 35 ἅπασι B

διαιρετικῶς τὰ τῶν ὄντων γένη ληφθείη (ἡ γὰρ νυνὶ τομὴ οὐ διαίρεσις ἀλλ' ἀπαρίθμησις), ὧδ' ἂν ἔχοι· τῶν ὄντων τὰ μὲν ὑπάρξεις εἰσί, τὰ δὲ ἐνέργειαι, τὰ δὲ πάθη· τὰς γὰρ δυνάμεις, ὡς μέσας ὑπάρξεων οὔσας καὶ ἐνεργειῶν, ταῖς ὑπάρξεσι συντετάχαμεν. τὰς μὲν οὖν ἐνεργείας καὶ τὰ πάθη αἵ τε τοῦ ποιεῖν καὶ πάσχειν κατηγορίαι προσειλήφασι. τῶν δὲ ὑπάρξεων αἱ μέν εἰσι καθ' ἑαυτάς, ἃς οὐσίας κατονομάζομεν, αἱ δὲ ὑφεστήκασιν ἐν ἑτέροις· καὶ τούτων αἱ μὲν κατὰ σχέσιν θεωροῦνται, αἱ δὲ ἄσχετοί εἰσι. καὶ τῶν ἀσχέτων αἱ μὲν ἀμέριστοι καὶ ἀδιάστατοι, αἷς τὸ ποιὸν ἀφορίζεται, αἱ δὲ κατὰ διάστασιν καὶ τὸν πληθυσμόν, ἃς τὸ ποσὸν περιείληφεν. τῶν δὲ κατὰ σχέσιν αἱ μὲν πρὸς ἀντιστρέφοντα λέγονται, ἃς πάσας ἡ τοῦ πρός τι κατηγορία συνέσχεν, αἱ δὲ οὐ πρὸς ἀντιστρέφοντα. καὶ τούτων αἱ μὲν κατὰ τὴν πρὸς τὰ σώματα σχέσιν θεωροῦνται, αἱ δὲ κατὰ τὴν πρὸς τὰ ἀσώματα· καὶ τούτων τὴν μὲν κατὰ τὴν πρὸς τόπον ἡ τοῦ ποῦ ἔχει κατηγορία, τὴν δὲ κατὰ τὴν πρὸς χρόνον ἡ τοῦ ποτέ. τῶν δὲ κατὰ τὴν πρὸς τὰ σώματα σχέσιν ἡ μὲν κατὰ τὴν πρὸς ἐκεῖνα, ἐφ' ὧν ἱδρύμεθα ἢ ἑστῶτες ἢ καθήμενοι ἢ ἀνακείμενοι, ἅπερ ὑπὸ τὸ κεῖσθαι ἀνάγομεν, ἡ δὲ κατὰ τὴν πρὸς τὰ περικείμενα, ὅσα ὑπὸ τὸ ἔχειν τιθέμεθα· τὰ γὰρ σώματα, πρὸς ἃ ἡ σχέσις αὕτη, οὕτως ἔχει, ὡς ἢ ἡμᾶς ἐν ἐκείνοις ἢ ἐκεῖνα ἐν ἡμῖν ἱδρῦσθαι. καὶ ἀποχρῶσα μὲν καὶ αὕτη τῶν γενῶν ἡ εἰς δέκα διαίρεσις· διαιρεθείη δ' ἂν τὰ αὐτὰ καὶ οὕτω. τὸ ὂν ἢ ἐν αὐτῷ ὑφέστηκε καὶ ἔστιν οὐσία, ἢ ἐν ἑτέρῳ· καὶ τούτου τὸ μὲν ἐν σχέσει ἐστὶ καὶ ποιεῖ τὰ πρός τι, τὸ δὲ ἄσχετόν ἐστι. τοῦ δὲ ἀσχέτου τὸ μὲν κατὰ διάστασιν θεωρεῖται καὶ ποιεῖ τὸ ποσόν, τὸ δὲ ἀδιάστατόν ἐστι καὶ ποιεῖ τὸ ποιόν. καὶ οὕτω μὲν τὰς τέσσαρας καὶ κυριωτέρας τῶν κατηγοριῶν ἀπὸ διαιρέσεως ἔχομεν· ἡ δὲ τῆς οὐσίας πρὸς τὰς τρεῖς ἐπιπλοκὴ τὰς ἄλλας ἐξ ἀποτελεῖ. αὕτη γὰρ μετὰ μὲν τοῦ τόπου καὶ τοῦ χρόνου ποιεῖ τὸ ποῦ καὶ τὸ ποτέ (εἴδη δὲ ποσοῦ τόπος καὶ χρόνος), μετὰ δὲ τοῦ ποιοῦ τὸ ποιεῖν καὶ τὸ πάσχειν, μετὰ δὲ τοῦ πρός τι τὸ κεῖσθαι καὶ τὸ ἔχειν. καὶ κατὰ ταῦτα μὲν ἢ ὅτι ἐγγύτατα τούτοις ἡ εἰς τὰ δέκα τῶν γενῶν διαίρεσις κυριώτατα γίνοιτ' ἄν. ἀλλ' εἰ δέκα μὲν τὰ ἐν τῷ αἰσθητῷ ἐνταῦθα γένη, δέκα δὲ καὶ τὰ ἐν τῷ νοητῷ τὰ αὐτά, πότερον ὁμώνυμος ἢ συνώνυμος ἡ κοινωνία τῶν τῇδε πρὸς τὰ ἐκεῖ; [καὶ] ἢ μηδετέρως, ἀλλ' ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν· τῇ γὰρ διὰ τῶν μέσων ἐπιπλοκῇ συνέχεια μία συνάγεται τῶν πρώτων τε καὶ τελευταίων γενῶν, ἥτις οὔτε συγχεῖ τὰ ἔνυλα τοῖς ἀύλοις (πεπέρασται γὰρ ἐν τοῖς ἰδίοις ὅροις ἑκάτερα), οὔτε διασχίζει ἀπ' ἀλλήλων αὐτά, διὰ τὸ κοινοῖς συνδέσμοις συνέχεσθαι, καὶ ἐξηρτῆσθαι ἀεὶ τῶν κρειττόνων τὰ καταδεέστερα καὶ πάντα τοῖς ἀλύτοις δεσμοῖς τῆς ὁμοιότητος συμπεραίνεσθαι. διὰ τοῦτο καὶ Πλάτων ἐν Παρμενίδῃ τὸ ἓν διὰ πασῶν διατείνει

2 ὕπαρξις L¹ 5 τὸ ποιεῖν B 9 πλυθυσμόν L 12 σώμα L 13 τὰ μὲν L¹ πρὸς τὸν τόπον B κατὰ om. M¹ 15 πρὸς om. M 18 ἢ (ante ἡμᾶς) om. M 19 ἡ om. B 20 post ὂν add. γὰρ B αὐτῷ scripsi: αὐτῶ libri καὶ τοῦτο M 21 τὸ (ante μὲν) om. M 25 ἐξαποτελεῖ M μὲν om. M 26 ἤδη L 28 καὶ om. M 29 κυριωτάτη γένοιτ' ἄν M 31 καὶ delevi ἢ scripsi: εἰ libri μηδ' ἑτέρως BM 36 τοῖς L

τῶν ὑποθέσεων, εἴτε περὶ θεοῦ, εἴτε περὶ νοῦ ἢ ψυχῆς καὶ σώματος ὁ λόγος γένοιτο, κατὰ τὴν ἐπὶ πάντα προϊοῦσαν διαφορουμένην κοινότητα. ἔχει δὲ ἀπορίαν τό τε πάσχειν καὶ τὰ πρός τι, ἔτι δὲ τὸ κεῖσθαι καὶ τὰ τοιαῦτα, εἰ ἐν τοῖς ἀτρέπτοις καὶ ἀπαθέσι καὶ οὖσιν ἐφ' ἑαυτοῖς ἐνεῖναι ταῦτα ἰσχυριού-
5 μεθα. ἢ δυνατὸν μὲν καὶ ταῦτα κατ' ἀναλογίαν ἐκεῖ θεωρεῖν, ᾗ μόνῃ ληπτὰ τῇ μεταβάσει τὰ νοητὰ γέγονεν. εἴπερ μεθέξεις ἀπ' ἀλλήλων καὶ ἱδρύσεις ἐν ἀλλήλοις καὶ ἐπ' ἐκείνοις εἰσί, καὶ τὰ μὲν αἴτια τὰ δὲ αἰτιατὰ ὑμνοῦμεν. εἰ δέ τις ἄλλως ἀκούων τοῦ πάσχειν καὶ τοῦ πρός τι μὴ ἀξιοῖ θεωρεῖν αὐτὰ ἐν τοῖς νοητοῖς, οὐκ ἀπίθανον λέγειν, ὅτι δέκα ὄντων τῶν ὅλων γενῶν, ἐν μὲν
10 τοῖς συνθέτοις πάντα εὕροι τις, ὡς καὶ ἐν τούτῳ τὴν σύνθεσιν ἐνδεικνυμένοις (καὶ γὰρ ἐν τοῖς μερικωτέροις ἀεὶ πλείονά ἐστι τὰ ὑπάρχοντα, κατὰ μερισμὸν πλεοναζομένοις), ἐπὶ μέντοι τῶν νοητῶν οὐ πάντα ὑπάρχει, ἀλλὰ μόνα τὰ τοῖς ἁπλουστάτοις προσήκοντα γένη. καὶ οὐκ ἂν εἴη διὰ τοῦτο ἡ διαίρεσις ἐλλείπουσα τῶν γενῶν· οὐ γὰρ εἴ τινα μὴ μετέχει τῶν ὅλων γενῶν, ἐλλιπὴς ἡ
15 διαίρεσις δείκνυται, ἀλλ' ἐάν τι τῶν προτεινομένων ἔξω πίπτῃ τῆς εἰς τὰ δέκα ἀναγωγῆς, τότε ὁ καθόλου λόγος τῶν κατηγοριῶν ἐνδεὴς ἔσται.

Ἀλλ' εἰ πᾶσαν φωνὴν πράγματος σημαντικὴν εἰς ταύτας ἀνάγεσθαι δεῖ, πᾶσα δὲ φωνὴ τοῖς ὀκτὼ τοῦ λόγου ἀφώρισται μέρεσι, ἐπιστῆσαι δεῖ, πῶς ἔσται ἡ διανομή. τὸ μὲν ὄνομα ὅτι ἀνάγεται ὡς εἰς ἀρχὰς τὰς κατηγορίας, δῆλον (ἢ
20 γὰρ οὐσίαν σημαίνει ὡς τὰ κύρια, τὰ κοινὰ καὶ τὰ ἴδια, ἢ μίαν τῶν ἐννέα ὡς τὰ ἕτερα. εἰ μήπω εἴη τι τῶν ἀδήλων καὶ ἀσημάντων), καὶ περὶ τοῦ ῥήματος δέ, ὡς διώρισται πρότερον, ὅτι τὰ τρίτα τῶν ὁριστικῶν εἰς τὰ γένη ἀνάγεται· δῆλη δὲ καὶ ἡ μετοχή, ὅπως ἔχει συμπλοκῆς. περὶ δὲ τῶν ἄλλων οἷον συνδέσμων, ἄρθρων, προθέσεων καὶ τῶν λοιπῶν, ἔτι δὲ καὶ τῶν ῥηματικῶν
25 ἐγκλίσεων ἔξω μιᾶς τῆς ὁριστικῆς τί χρὴ λέγειν; καὶ πρὸ τούτων τὰς στερήσεις καὶ ἀποφάσεις ἐν τίνι ἀνάξομεν καὶ πῶς; ἢ περὶ μὲν συνδέσμων καὶ ἄρθρων καὶ τῶν ὑπολειπομένων τοῦ λόγου μερῶν ἐκεῖνο λέγομεν, ὡς ἐν οὐδεμιᾷ τῶν κατηγοριῶν ἀναχθήσεται· οὐ γὰρ προηγουμένη αὐτῶν ἐστιν ἡ σημασία. ἀλλὰ συσσημαίνουσιν, ὥσπερ τὰς διπλᾶς εἰώθαμεν παραγράφειν καὶ τὰς
30 κορωνίδας, αἳ καθ' ἑαυτὰς οὐ σημαίνουσί τι. τοῖς γεγραμμένοις δὲ συσσημαίνουσι, καὶ διαφερόντως οἱ σύνδεσμοι· κόλλῃ γὰρ ἐοίκασι, τὰ τοῦ λόγου στοιχεῖα συνδέοντες· ὡς μᾶλλον λέξεως ἢ λόγου στοιχεῖα τυγχάνειν. αἱ ἐγκλίσεις δὲ καὶ αἱ στερήσεις αἱ μὲν ὡς πτώσεις ῥήματος τῇ ὁριστικῇ συνταχθήσονται καὶ πρὸς τὴν εἰς τὰ γένη ἀναγωγὴν ἐκείνῃ συνέψονται, τὰς δὲ ἀποφάσεις
35 καὶ στερήσεις τῆς αὐτῆς τιθέναι κατηγορίας, ἧς καὶ τὰς ἕξεις καὶ καταφάσεις, εὔλογον. τὸ γὰρ ἀνυποδετεῖν τῆς αὐτῆς ἐστι κατηγορίας, ἧς καὶ τὸ ὑποδεδέσθαι, καὶ ὁ οὐκ ἄνθρωπος τῆς αὐτῆς τῷ ἀνθρώπῳ. ὁ γὰρ ἡ κατάφασις

1 ἢ σώματος B 2 ἔχοι L 10 τὴν θέσιν M ἐνδεικνύμενος M
12 τὰ τῆς L[1] 14 μετέχῃ B ἐλλειπὴς BM 15 πίπτει L 17 post εἰ add. καὶ M 18 φωνῆ L τοῖς] τῆς L 22 διώρισται cf. p. 5,6 sq.
23 συμπαραπλοκῆς M 25 post χρὴ add. καὶ M 26 τῶν συνδέσμων M
28 προηρημένη M ἐστιν om. M 32 ἐγκλήσεις M 33 συνταχθήσεται M 35 ὑστερήσεις L 37 τῷ] τὸ L

εἶναι τίθηστιν, ἡ ἀπόφασις ἀναιρεῖ· ὡς γοῦν ἄμφω περὶ αὐτὸ στρεφομένας καὶ τῆς αὐτῆς εἶναι κατηγορίας τίθεμεν. κατάφασιν δὲ καὶ ἀπόφασιν ἐνταῦθα τὸ ὡρισμένον καὶ ἀόριστον ὄνομα ἢ ῥῆμα καταχρώμενοι λέγομεν.

Ἐπεὶ δὲ ἁπλᾶς εἶναι τὰς τῶν κατηγοριῶν σημαντικὰς φωνὰς χρή, διττὸν δὲ τὸ ἀσύμπλοκον, τό τε κατὰ λέξιν καὶ κατὰ δύναμιν, ἐν τούτοις ὁποτέρως δεῖ διαιτᾶν; μήποτε τὴν κατὰ σημασίαν ζητεῖν ἁπλότητα χρὴ παρέντας τὴν λέξιν, καὶ εἰς τοσαῦτα τὸ τῇ φωνῇ ἀνάγειν ἕν, εἰς ὅσα καὶ ἡ λέξις ἐδήλωσεν. φανερὸν οὖν ὡς τὸ περιπατῶ καὶ ζῶ ὑπό τε τὴν οὐσίαν θήσομεν καὶ τὸ ποιεῖν· οὐδὲν γὰρ διαφέρει ταῦτα κατὰ δύναμιν τῶν λόγων τῶν ἐντελῶν, οἷον ἄνθρωπος τρέχει ἢ διαλέγεται. καὶ τὸ αἰκίζομαι δέ, πάθος δηλοῦν καὶ ἐνέργειαν, ὁμοίως καὶ τὸ ἐποιησάμην, ἐλουσάμην, καὶ ὅσα τῆς μέσης εἰσὶ διαθέσεως, ὑπό τε τὸ ποιεῖν καὶ πάσχειν ἀνάξομεν. καὶ ἐπὶ τῶν ὀνομάτων δὲ ὡσαύτως· τὸ γὰρ βορέας εἰ μὲν δηλοῖ τὸ πνεῦμα, ὑπὸ τὴν οὐσίαν, εἰ δὲ τὸ κλίμα, ὑπὸ τὸ ποῦ· καὶ ὅλως τὰ ὁμώνυμα πρὸς τὰς διαφόρους σημασίας καὶ τὴν εἰς τὰ γένη διανομὴν διάφορον ἕξουσιν. ὥσπερ δὲ μίαν φωνὴν διείλομεν εἰς διάφορα, οὕτω καὶ πολλὰς ἔστιν ὅτε εἰς μίαν κατηγορίαν συνάξομεν, ὡς ἔχουσιν οἱ ὁρισμοὶ πάντες· ἓν γὰρ τὸ ζῶον λογικὸν θνητὸν καὶ ὑπὸ τὴν αὐτὴν τῷ ἀνθρώπῳ κατηγορίαν. ἀλλὰ τὸ σημεῖον καὶ ἡ μονάς, ἔτι δὲ κίνησις καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ ἐν τίσι τῶν γενῶν καὶ ὅπως ἕξουσι τὴν ἀναγωγήν; ἢ τὸ μὲν σημεῖον ἐν τῷ ποσῷ καὶ τὸ ἓν τίθεσθαι δεῖ (ἀρχαὶ μὲν γὰρ τὸ μὲν τοῦ συνεχοῦς τὸ δὲ τοῦ διωρισμένου· ὁμογενεῖς δὲ αἱ ἀρχαὶ τοῖς ὧν εἰσιν ἀρχαί), κίνησιν δὲ καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ κοινῶς θεωρεῖν ἐν ἅπασι προσήκει τοῖς γένεσιν. εἰ δὲ καὶ τὸ ἓν ἐφ' ὅσα τὸ ὂν διαιρεῖσθαι ὁμωνύμως θείημεν, περὶ αὐτοῦ τὰ εἰκότα λέξομεν.

Ἐπὶ τοσοῦτον καὶ περὶ τούτων πραγματευσαμένους ἑξῆς ἂν εἴη περὶ ἑκάστης τῶν κατηγοριῶν εἰπεῖν, διαιροῦντας καὶ ὑπογράφοντας, καὶ πρῶτον περὶ οὐσίας· αὕτη γὰρ τῶν ἄλλων προέχει καὶ φύσει καὶ τάξει καὶ ἀξιώματι.

Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος καὶ ὁ τὶς βοῦς. τριττῆς γὰρ οὔσης τῆς οὐσίας, τῆς μὲν νοητῆς καὶ ἀύλου καὶ ἀσωμάτου, τῆς δὲ διανοητῆς τῆς ἐν κοινότητι θεωρουμένης, τῆς γενικῆς δηλαδὴ καὶ εἰδητικῆς, καὶ ἔτι τῆς αἰσθητῆς, περὶ τῆς αἰσθητῆς ὁ λόγος ἡμῖν. τριχῶς δὲ καὶ ταύτης νενεμημένης, κατά τε τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὸ σύνθετον, τὴν κατὰ τὸ σύνθετον οὐσίαν πρώτην ἐνταῦθα καὶ μάλιστα λέγομεν. τῇ τε γὰρ αἰσθήσει ἐναργεστάτη πασῶν καὶ εἴδους καὶ ὕλης συλληπτικὴ καὶ τοῖς πολλοῖς γνώριμος, καὶ τῷ ὑποκεῖσθαι πρώτως ταῖς τε κοιναῖς οὐσίαις τὸ κατηγορεῖσθαι δίδωσι καὶ τοῖς συμβεβηκόσι τὸ εἶναι. σεμνύνοντες δὲ αὐτὴν ἐξ ἀποφάσεως τὴν ὑπογραφὴν ἀπεδώκαμεν. τῇ ἀναιρέσει

1 στρεφομένων B 6 post μήποτε add. χρὴ LM 13 τὸ μὲν γὰρ M εἰ καὶ δηλοῖ M 15 τὴν om. M 19 τῷ δυνάμει L ἐν ἐνεργείᾳ 22. om. M 28 οὐσία δὲ] περὶ οὐσίας superscribit L: in margine adscribit B ἡ κυριωτάτη καὶ M πρῶτος L: πρώτη M 33 τριχῶς] τριττῆς M 35 καὶ ἤδη καὶ M 36 τῷ] τὸ M πρῶτα M 37 τε om. M 38 ἀπογραφὴν ἀποδεδώκαμεν M

τῶν ὧν οὐκ ἔστι τὴν φύσιν αὐτῇ καὶ τὸ ὅ ἐστι θέμενοι. οὐ πανταχοῦ δὲ τοῦτο ποιεῖν εὐχερές. ἀλλ' ἐν οἷς ἀντιδιήρηται τὰ ἀποφασκόμενα καὶ τὸ πλῆθος τῶν προσληφθέντων συνήρηται. δεύτεραι δὲ οὐσίαι λέγονται τὰ εἴδη, ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι. ταῦτά τε καὶ τὰ τῶν εἰδῶν
5 τούτων γένη. οἷον ὁ τὶς ἄνθρωπος, Σωκράτης τυχὸν ἢ Πλάτων, ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ. γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῶον. δεύτεραι οὖν αὗται οὐσίαι λέγονται. φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων. ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου, οἷον ὁ ἄνθρωπος καθ' ὑποκειμένου λέγεται τοῦ τινὸς ἀνθρώπου καὶ
10 κατηγορεῖταί γε τοὔνομα· τὸν γὰρ ἄνθρωπον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις. καὶ ὁ λόγος δὲ ὁ τοῦ ἀνθρώπου κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται· ὁ γάρ τὶς ἄνθρωπος καὶ ἄνθρωπός ἐστι καὶ ζῶον. ὥστε καὶ τοὔνομα καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου κατηγορηθήσεται. τῶν δὲ ἐν ὑποκειμένῳ ὄντων (ταῦτα δέ εἰσι τὰ τῇ οὐσίᾳ ἀντιδιῃρημένα ἐννέα γένη) ἐπὶ μὲν
15 τῶν πλείστων οὔτε τοὔνομα οὔθ' ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου (οὔτε γὰρ ἡ ψυχὴ ἐπιστήμη λέγεται, εἰ μήπου κατὰ παρωνυμίαν εἴποιμεν αὐτὴν ἐπιστήμονα. οὔτε ὁ τῆς ἐπιστήμης λόγος κατὰ τῆς ψυχῆς λέγεται· οὐ γάρ ἐστιν ἕξις θεωρητικὴ ἡ ψυχή· ἀλλ' οὐδὲ τὸ χρῶμα κατὰ τοῦ σώματος οὐδὲ ὁ λόγος αὐτοῦ), ἐπ' ἐνίων δὲ τοὔνομα μὲν οὐδὲν κωλύει ποτὲ κατηγορεῖσθαι
20 τοῦ ὑποκειμένου, τὸν δὲ λόγον ἀδύνατον· οἷον τὸ λευκὸν ἐν ὑποκειμένῳ ὂν τῷ σώματι, κατηγορεῖται τοῦ ὑποκειμένου (λευκὸν γὰρ τὸ σῶμα λέγεται), ὁ δὲ λόγος τοῦ λευκοῦ οὐδέποτε κατὰ τοῦ σώματος κατηγορηθήσεται. ὥστε τἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν. ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι. τοῦτο δὲ φανερὸν ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων,
25 οἷον κατὰ τοῦ ἀνθρώπου τὸ ζῶον κατηγορεῖται· οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου τὸ ζῶον κατηγορηθήσεται· εἰ γὰρ κατὰ μηδενὸς τῶν τινῶν ἀνθρώπων, οὐδὲ κατὰ τοῦ ἀνθρώπου ὅλως. πάλιν τὸ χρῶμα ἐν σώματι· οὐκοῦν καὶ ἐν τινὶ σώματι. εἰ γὰρ μὴ ἐν τινὶ τῶν καθ' ἕκαστα, οὐδὲ ἐν σώματι ὅλως. ὥστε τὰ ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λέγεται ἢ
30 ἐν ὑποκειμέναις αὐταῖς ἐστι. μὴ οὐσῶν οὖν τῶν πρώτων οὐσιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι.

Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἔγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστιν, οἰκειότερον καὶ γνωριμώτερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἢ τὸ γένος, οἷον
35 τὸν τινὰ ἄνθρωπον γνωριμώτερον ἀποδοίη τις ἄνθρωπον ἀποδιδοὺς ἢ ζῶον· τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου, τὸ δὲ κοινότερον. καὶ τὸ τὶ δένδρον ἀποδιδοὺς γνωριμώτερον ἀποδοίη δένδρον ἀποδιδοὺς ἢ φυτόν. ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι καὶ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν ταύταις εἶναι διὰ τοῦτο μᾶλιστα οὐσίαι πρῶται

---

5 τυχὼν libri 9 ὁ om. M 14 δὲ om. M 19 δὲ] μὲν M 21 τὸ om. M 23 ἤτοι] εἴτε M 24 αὐταῖς] αὐτή M εἰσι B 25 κατηγορεῖσθαι LM 26 τὸ ζῶον om. M 30 ὑποκειμένω L 37 ἂν ἀποδοίη BM 38 τὸ om. L

λέγονται. ὡς δέ γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, οὕτω καὶ τὸ εἶδος πρὸς τὸ γένος ἔχει. ὑπόκειται γάρ πως τὸ εἶδος τῷ γένει· τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει. ὥστε καὶ ἐκ τούτων τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία. αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν· οὐδὲ γὰρ οἰκειότερον ἀποδώσεις κατὰ τοῦ τινὸς ἀνθρώπου τὸν ἄνθρωπον ἀποδιδοὺς ἢ κατὰ τοῦ τινὸς ἵππου τὸν ἵππον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν· οὐδὲ γὰρ μᾶλλον ὁ τὶς ἄνθρωπος οὐσία ἐστὶν ἢ ὁ τὶς βοῦς. διττῆς γὰρ οὔσης τῆς κατὰ τὴν οὐσίαν ὁδοῦ. τῆς μὲν καθ' ἣν ἀπὸ τῶν μερικωτέρων πρὸς τὰ καθολικώτερα καὶ γενικώτερα ἀναγόμεθα, τῆς δὲ καθ' ἣν τὸ ἓν καὶ κοινὸν εἰς τὰ προσεχῆ καὶ ὁμόστοιχα τέμνομεν, τὸ μὲν μᾶλλον καὶ τὸ ἧττον ἐν οὐσίαις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον κατὰ τὴν εἰς βάθος θεωρεῖται ἀντεξέτασιν καὶ διαίρεσιν, τὸ δὲ μήτε μᾶλλον μήτε ἧττον καὶ τὸ ἐπ' ἴσης καὶ τὸ ταὐτὸν ἐν τῇ κατὰ πλάτος παραβολῇ καὶ παραθέσει γινώσκεται.

Εἰκότως οὖν μετὰ τὰς πρώτας οὐσίας μόνα τῶν ἄλλων τὰ τούτων εἴδη καὶ γένη δεύτεραι οὐσίαι λέγονται· μόνα γὰρ δηλοῖ τὴν πρώτην οὐσίαν τῶν κατηγορουμένων. τὸν γὰρ τινὰ ἄνθρωπον ἐὰν ἀποδιδῷ τις τί ἐστι, τὸ μὲν εἶδος ἢ τὸ γένος ἀποδιδοὺς οἰκείως ἀποδώσει· καὶ γὰρ γνωριμώτερον ποιήσει ἄνθρωπον ἢ ζῶον ἀποδιδούς· τῶν δὲ ἄλλων εἴ τι ἂν ἀποδιδῷ τις, ἀλλοτρίως ἔσται ἀποδεδωκώς, οἷον ἢ λευκὸν ἢ τρέχει ἢ ὁτιοῦν τῶν τοιούτων ἀποδιδούς. ὥστε εἰκότως ταῦτα μόνα τῶν ἄλλων οὐσίαι λέγονται. ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι κυριώτατα οὐσίαι λέγονται. ὡς δέ γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, οὕτω καὶ τὰ εἴδη καὶ τὰ γένη τῶν πρώτων οὐσιῶν πρὸς τὰ λοιπὰ πάντα ἔχει· κατὰ τούτων γὰρ πάντα τὰ λοιπὰ κατηγορεῖται· τὸν γὰρ τινὰ ἄνθρωπον ἐρεῖς γραμματικόν· οὐκοῦν καὶ ἄνθρωπον καὶ ζῶον γραμματικὸν ἐρεῖς

Ἐπεὶ δὲ διείλομεν κατὰ τὴν τῶν πολλῶν δόξαν, πόσαι καὶ τίνες εἰσὶν οὐσίαι, ὑπόλοιπον ἂν εἴη ζητεῖν τά τε κοινῶς προσόντα καὶ τὰ ἰδίως αὐτῇ. εἰ μὲν γὰρ ἦν ὅρον ἑκάστου τῶν γενῶν ἀποδιδόναι, ἧττον ἔδει φροντίζειν τῆς τῶν ὑπαρχόντων αὐτοῖς παραδόσεως· τῷ γὰρ ὁρισμῷ ἥ τε φύσις ὅλη καὶ τὰ ὑπάρχοντα αὐτῇ κατεφαίνετο· νυνὶ δὲ τῷ μὴ εὐπορεῖν τούτου. ἀλλὰ τὸ τῆς κατανοήσεως ἐν ὑπογραφῇ ποιεῖσθαι καὶ παραδείγμασιν, εἰκότως ἐδέησε τῆς τῶν ὑπαρχόντων κατανοήσεως, τῶν τε κοινῶν καὶ μάλιστα τῶν ἰδίων. καὶ πρὸς τούτοις τὸ κυρίως ἀποδιδόμενον ἴδιον κατὰ μὲν ἀκρίβειαν καὶ κυριότητα ὑφεῖται τοῦ ὁρισμοῦ. πρὸς δὲ τὴν τοῦ ὑποκειμένου σαφήνειαν καὶ φανέρωσιν ἧττον ἢ οὐδαμῶς. ἐπεὶ δὲ πανταχοῦ διὰ ζητήσεως τὸ ἀληθὲς ἐξευρίσκομεν. πρῶτον περιπεσούμεθα τοῖς ὁλοσχερῶς λεγομένοις ἰδίοις. καὶ διελέξαντες αὐτὰ οὕτως ἐπὶ τέλει τὸ ἀληθὲς παραδώσομεν.

---

3 κατὰ (post εἴδη) om. LM 4 γένος τοῦ εἴδους M 7. 8 δευτέρων οὐσιῶν B 12 τὸ (ante ἧττον) om. M 18 ἄνων M¹ 21 ὁτοιοῦν L 24 κυριώτατα M 25 ἔχει M 29 τῶν om. BL 32 τῶν om. M 37 σαφήνειαν καὶ repetit M

Καὶ δὴ πρῶτον τῶν ἄλλων ἐκεῖνο λέγομεν, ὅτι κοινὸν κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἡ μὲν γὰρ πρώτη οὐσία οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται οὔτε ἐν ὑποκειμένῳ ἐστί· τῶν δὲ δευτέρων οὐσιῶν φανερὸν μὲν καὶ οὕτως ὅτι οὐκ εἰσιν ἐν ὑποκειμένῳ. ὁ γὰρ ἄνθρωπος καθ' ὑποκειμένου μὲν τοῦ τινὸς λέγεται ἀνθρώπου. ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν· οὐ γὰρ ἐν τῷ τινὶ ἀνθρώπῳ ὁ ἄνθρωπός ἐστιν. ὡσαύτως δὲ καὶ τὸ ζῶον καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου, οὐκ ἔστι δὲ τὸ ζῶον ἐν τῷ τινὶ ἀνθρώπῳ. ἔτι τῶν ἐν ὑποκειμένῳ ὄντων τὸ μὲν ὄνομα οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ ὑποκειμένου, τὸν δὲ λόγον ἀδύνατον. τῶν δέ γε δευτέρων οὐσιῶν κατηγορεῖται καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου καὶ τοὔνομα· τὸν γὰρ τοῦ ἀνθρώπου λόγον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις καὶ τὸν τοῦ ζώου. ἔτι τὰ μὲν ἐν ὑποκειμένῳ ὄντα φθαρῆναι δύναται σωζομένων τῶν ὑποκειμένων. ὥσπερ τὸ λευκὸν ἢ τὸ μουσικόν· τὰ δὲ εἴδη καὶ τὰ γένη οὐ δύναται φθείρεσθαι μενόντων τῶν ἀτόμων καθ' ὧν λέγονται· μᾶλλον μὲν οὖν ἐκείνων οἰχομένων τὰ καθόλου μένει. ὥστε οὐκ ἂν εἴη οὐσία τῶν ἐν ὑποκειμένῳ. οὐκ ἴδιον δὲ οὐσίας τοῦτο, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐστί. τὸ γὰρ πεζὸν καὶ τὸ δίπουν καθ' ὑποκειμένου μὲν λέγεται τοῦ ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν· οὔτε γὰρ ἐν τῷ ἀνθρώπῳ τὸ δίπουν ἐστὶν οὔτε τὸ πεζόν. καὶ ὁ λόγος δὲ ὁ τῆς διαφορᾶς κατηγορεῖται, καθ' οὗ ἂν λέγοιτο ἡ διαφορά, οἷον εἰ τὸ πεζὸν κατὰ τοῦ ἀνθρώπου λέγεται, καὶ ὁ λόγος ὁ τοῦ πεζοῦ κατηγορηθήσεται τοῦ ἀνθρώπου· πεζὸν γάρ ἐστιν ὁ ἄνθρωπος. ἡ γὰρ διαφορά, ποιότης οὖσα οὐσίας, τῶν τε συμβεβηκότων καὶ τῆς οὐσίας ἐστὶ σύνδεσμος. καὶ διὰ μέσης αὐτῆς τά τε συμβεβηκότα καὶ ἡ οὐσία συνάπτονται. καὶ οὕτω τῶν πάντη διαφερόντων κατὰ τάξιν φυσικὴν ἡ ἕνωσις γίνεται. ἡ γὰρ φύσις οὐκ ἄμεσον τὴν εἰς τἀναντία ποιεῖται μετάβασιν· οὐ γὰρ ἀπὸ τῶν φυτῶν ἀθρόως ἐπὶ τὰ ἐντελῆ τῶν ζώων ἐβάδισεν· ἀλλὰ τὴν μεταξὺ τῶν ζωοφύτων οὐσίαν ὑπέστησεν, οὐδ' ἀπὸ τοῦ λευκοῦ πρὸς τὸ μέλαν ἦλθεν, μὴ τοῦ φαιοῦ μεσιτεύοντος. οὕτω κἀνταῦθα συναγωγὸν ἀμφοτέρων τὴν διαφορὰν συνεστήσατο. μέρος οὖσαν οὐσίας καὶ συμπληροῦσαν αὐτήν. μὴ ταραττέτω οὖν ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, μήποτε ἀναγκασθῶμεν οὐκ οὐσίας αὐτὰ φάσκειν εἶναι· οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο, τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι, ἀλλὰ τὰ μὴ ὡς μέρη. εἰ δὴ κοινὸν κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, τί ἂν περὶ τοῦ νοῦ ἢ τῆς ψυχῆς φήσαιμεν καὶ πρὸ τούτων περὶ τῶν ἰδεῶν αὐτῶν; αἱ μὲν γὰρ ἐν νῷ ὑφεστήκασιν, ὁ δὲ ἐν ψυχῇ, ἡ δὲ ἐν σώματι. ἢ μὴ ὡς ἐν ὑποκειμένῳ μηδὲ κατὰ συμβεβηκότα τὴν ἐν τούτοις εἶναι δεῖ λέγειν μέθεξιν. ἀλλ' ὡς οὐσίαν ἐν ἑτέρᾳ οὐσίᾳ, τὴν κατ' ἐνέργειαν ἐν τῇ κατὰ δύναμιν καὶ τὴν

---

5 ἀνθρώπου λέγεται M post ἔστιν iterat τῶν δὲ δευτέρων — ἐν ὑποκειμένῳ (3.4) M
11 κατηγορήσης BL[1] 13 δύνανται M φθαρῆναι M 14 λέγεται M
18 οὔτε — οὔτε scripsi: οὐδὲ — οὐδὲ libri 24 τῶν om. LM 26 ἀθρόως] εὐθέως M τὴν] τὰ L[1] 29 οὖσαν οὐσίαν L 30 ὡς om. M
τοῖς λόγοις M 32 εἰ δὲ M 35 ἐν τῇ ψυχῇ L 36 τὴν] τοῖς M
εἶναι om. M

χωριστὴν καὶ ἀσώματον ἐν τῇ ἀτελεῖ καὶ σωματικῇ, καὶ τὴν συνέχουσαν καὶ κρατοῦσαν ἐν τῇ ἐχομένῃ καὶ ἀρχομένῃ. ὥσπερ ἂν εἰ καὶ ἐν νηὶ κυβερνήτην ἐνεῖναι λέγοιμεν ἢ ἐν ἅρματι ἡνίοχον.

Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως τὰ ἀπ' αὐτῶν λέγεσθαι. πᾶσαι γὰρ αἱ ἀπὸ τούτων κατηγορίαι ἤτοι κατὰ τῶν ἀτόμων κατηγοροῦνται ἢ κατὰ τῶν εἰδῶν. ἀπὸ μὲν γὰρ τῆς πρώτης οὐσίας οὐδεμία ἐστὶ κατηγορία· κατ' οὐδενὸς γὰρ ὑποκειμένου λέγεται· τῶν δὲ δευτέρων οὐσιῶν τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορεῖται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου. ὡσαύτως δὲ καὶ αἱ διαφοραὶ καὶ κατὰ τῶν εἰδῶν καὶ κατὰ τῶν ἀτόμων κατηγοροῦνται. καὶ τὸν λόγον δὲ αἱ πρῶται οὐσίαι ἐπιδέχονται καὶ τὸν τῶν εἰδῶν καὶ τὸν τῶν γενῶν. καὶ τὸ εἶδος δὲ τὸν τοῦ γένους· ὅσα γὰρ κατὰ τοῦ κατηγορουμένου φυσικῶς λέγεται καὶ οὐσιωδῶς, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. ὡσαύτως δὲ καὶ τὸν τῶν διαφορῶν λόγον ἐπιδέχονται τὰ εἴδη τε καὶ τὰ ἄτομα. συνώνυμα δέ γε ἦν, ὧν καὶ τοὔνομα κοινὸν καὶ λόγος ὁ αὐτός· ὥστε πάντα τὰ ἀπὸ τῶν οὐσιῶν καὶ διαφορῶν συνωνύμως λέγονται. ἀλλὰ πῶς οὐσίας μόνης καὶ διαφορᾶς τὴν συνώνυμον κατηγορίαν ἐθέμεθα, ὁρῶντες ἐνοῦσαν κἂν ταῖς ἄλλαις τῶν κατηγοριῶν αὐτήν; πάντα γὰρ τὰ ἐν ἐκείναις γένη καὶ εἴδη συνωνύμως κατὰ τῶν ὑπ' αὐτὰ λέγεται. καὶ γὰρ ἡ ἐπιστήμη κατὰ τῆς γραμματικῆς, ἡ δὲ κατὰ τῆς ἐν τῷδε τῷ γραμματικῷ συνωνύμως ῥηθήσεται. ἢ πρώτως μὲν τῇ οὐσίᾳ καὶ κυριώτατα τοῦτό ἐστι, μεταφέρεται δ' ἐκεῖθεν καὶ μεταδίδοται καὶ τοῖς ἄλλοις γένεσιν. ὥσπερ καὶ τὸ χρῶμα οὐσιωδῶς κατηγορεῖσθαι τοῦ λευκοῦ λέγομεν, κατὰ τὴν ἕξιν τῆς ἐπιστήμης ἐκ τῆς οὐσίας τὸ οὐσιῶδες μετάγοντες καὶ ἔτι κατὰ τὸ κοινῶς σημαινόμενον· πᾶσα γὰρ ἁπλῶς ὕπαρξις, εἴτε καθ' ἑαυτὴν ἔσταται εἴτε πρὸς ἕτερον ἤδρασται, οὐσία λέγεται, ὥσπερ καὶ ὄν.

Τρίτον δὲ οὐσίας παρακολούθημα τὸ δείξει ὑποκεῖσθαι καὶ οἷον τῇ χειρὶ παραδηλοῦσθαι καὶ ἀθρόως τῇ αἰσθήσει καταλαμβάνεσθαι· πᾶσα γὰρ οὐσία δοκεῖ τόδε τι σημαίνειν. ὡς γὰρ ἐν ποιῷ τὸ τοιόνδε καὶ ἐν ποσῷ τὸ τοσόνδε οἰκείως καὶ προσφυῶς λαμβάνεται, οὕτω τὸ τόδε δεικτικὸν ἐπὶ τῆς οὐσίας καὶ καταλλήλως ἀποδοθήσεται. ἐπὶ μὲν γὰρ τῶν πρώτων οὐσιῶν ἀναμφισβήτητον καὶ ἀληθές ἐστιν, ὅτι τόδε τι σημαίνει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενον· ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῶον, οὐ μὴν ἀληθές γε, ἀλλὰ μᾶλλον ποιόν τι σημαίνειν· οὐ γὰρ ἕν ἐστι τὸ ὑποκείμενον ὥσπερ ἡ πρώτη οὐσία, ἀλλὰ κατὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῶον. οὐχ ἁπλῶς δὲ ποιόν τι σημαίνει. ὥσπερ τὸ λευκόν (οὐδὲν γὰρ ἄλλο σημαίνει

---

1 χωριστικὴν M ἀτελῇ L[1] 3 ἐκεῖναι L: εἶναι M 7 τῶν δὴ M 8 γένους L 9 τῶν ἀτόμων M 11 καὶ (post ἐπιδέχονται) om. BM 12 τῶν τοῦ L 14 τε om. M 15 καὶ ὁ λόγος M 16 λέγεται M 17 κἂν L 19 ἢ ἐπιστήμη L 21 κυριώτατον M 23 κατὰ scripsi: καὶ libri 28 ἀθρόον M 29 τῷ ποιῷ M ἐν τῷ ποσῷ M 30 δεικτικῶς M 31 καὶ ταλλήλως M 32 ἓν] ἐν M 34 ἄνθρωπος BL 35 οὐ γὰρ ἔνεστι L

τὸ λευκὸν ἀλλ' ἢ ποιόν), τὸ δὲ εἶδος τῆς οὐσίας καὶ τὸ γένος περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει· ποιὰν γάρ τινα οὐσίαν σημαίνει. ἐπὶ πλεῖον δὲ τῷ γένει ἢ τῷ εἴδει τὸν ἀφορισμὸν ποιεῖται· ὁ γὰρ ζῶον εἰπὼν, ἐπὶ πλεῖον περιλαμβάνει ἢ ὁ τὸν ἄνθρωπον. ἀλλὰ πῶς τὸν τινὰ ἄνθρωπον ἄνθρωπον καὶ ζῶον. ἔτι δὲ καὶ λογικὸν καὶ θνητὸν λέγομεν, εἰ μὴ πάντα ταῦτα τάδε ἐστίν; ἢ ὅτι τὰ εἴδη τὰ καταταχθέντα τάδε λέγειν οὐκ ἄτοπον. ὁ λόγος δὲ ἦν περὶ τῶν καθ' ἑαυτὰ ἐπινοουμένων. οἱ μέντοι τοῖς εἴδεσι καὶ τοῖς γένεσι διδόντες ὑπόστασιν καὶ ὅλως οἱ τὰς ἰδέας εἰσάγοντες καὶ τὸ τάδε ταῦτα εἶναι ἑπόμενον ταῖς ὑποθέσεσιν ἔχουσιν. ἐπεὶ δὲ καὶ ἡ ἄτομος οὐσία, ἣ καὶ κυρίως τὸ τόδε πρόσεστι, τριττὴ κατά τε ὕλην καὶ τὸ εἶδος καὶ τὸ συνάμφω, τὸ τόδε κατὰ πάντα ῥηθήσεται. ⟨ὥστε⟩ οὐκ ἂν εἴη οὐδὲ τοῦτο οὐσίας ἴδιον· ἐλλείπει γὰρ ὥσπερ τὸ πλεονάζειν τὰ πρὸ αὐτοῦ.

Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν ἐναντίον αὐταῖς εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώπῳ ἢ τῷ τινὶ ζώῳ: οὐδὲν γάρ ἐστιν ἐναντίον. οὐδέ γε τῷ ἀνθρώπῳ ἢ τῷ ζώῳ οὐδέν ἐστιν ἐναντίον. οὐ μόνης δὲ τοῦτο τῆς οὐσίας ἐστίν, ἀλλὰ γὰρ καὶ ἐπ' ἄλλων πολλῶν. οἷον ἐπὶ τοῦ ποσοῦ· τῷ γὰρ διπήχει ἢ τριπήχει οὐδέν ἐστιν ἐναντίον. οὐδέ γε τοῖς δέκα οὐδὲ τῶν τοιούτων οὐδενί, εἰ μή τις τὸ πολὺ τῷ ὀλίγῳ φαίη ἐναντίον εἶναι ἢ τὸ μέγα τῷ μικρῷ· τῶν δὲ ἀφωρισμένων ποσῶν οὐδὲν οὐδενί ἐστιν ἐναντίον. πρὸς δὲ τοὺς ἐνισταμένους ἐπὶ τὰς ἀντιδιῃρημένας τῶν οὐσιῶν, ἐναντιοῦσθαι λέγοντας τὸ σῶμα τῷ ἀσωμάτῳ ἢ τὸ λογικὸν τῷ ἀλόγῳ, οὕτω δεῖ ἀπαντᾶν ὡς εἰ μὲν ἀπόφασις τοῦ σώματος τὸ ἀσώματον ἢ τοῦ λογικοῦ τὸ ἄλογον, οὐκ ἔστιν ἡ ἀπόφασις ἐναντίον· εἴτε δὲ καταφατικὴν ἔχει δύναμιν εἰδός τι δηλοῦσαν ἕτερον τοῦ σώματος καὶ τοῦ λογικοῦ, οὐκ ἂν οὐδὲ οὕτως εἴη ἐναντίον. πῶς γὰρ τὸ παράγον καὶ τάττον ἐναντίως ἔχει πρὸς τὸ παραγόμενον ὑπ' αὐτοῦ καὶ ταττόμενον; νοῦς γὰρ καὶ λόγος ὑφίστησι τά τε σώματα καὶ τὰ ἄλογα. ἀλλ' οὐδὲ εἶδος εἴδει ἐναντίον, ὡς ἂν εἴποι τις περὶ πυρός τε καὶ ὕδατος, ἀλλὰ κατὰ τὰς διαφορὰς καὶ ποιότητας τοῖς στοιχείοις ἡ ἀντίθεσις γίνεται. ἀλλ' οὐδὲ οἱ ἐν ταῖς ἀρχαῖς τὴν ἐναντίωσιν θέμενοι ἧττον ἄτοπα λέγουσι, καὶ τῇ οὐσίᾳ τὴν μὴ οὐσίαν ἀντιτιθέντες ἢ τῇ τοῦ ἀγαθοῦ φύσει τὴν τοῦ κακοῦ καὶ τὴν τῶν χειρόνων ἀρχὴν τῇ τῶν βελτιόνων. εἰ μὲν γὰρ μὴ ὂν λέγουσι τὸ μηδαμῶς ὄν, οὐδεμίαν ἕξει τὴν σχέσιν ἢ τὴν παράθεσιν πρὸς τὸ ὄν· εἰ δὲ μετέσχε πη τοῦ ὄντος, πῶς πάντῃ κεχώρισται ἢ τῷ ὄντι ἀντίκειται, ὅ γε αὐτοῦ μετείληφεν; εἰ δὲ ὡς οὐσίαι δύο κεχωρισμέναι, αὐτὸ τὸ εἶναι ἓν ἕξουσιν. εἰ δὲ κατ' ἐκβεβηκυῖαν ἑτερότητα ἐξῄρηνται καὶ ἀλλήλων ἀφίστανται, ὡς καθάπαξ ἠλλοτριωμέναι καὶ μηδὲν κοινὸν ἔχουσαι, οὐδὲ τῆς τῶν ἐναντίων μεθέξουσι σχέσεως. καὶ εἰ μέν, ὥσπερ εἴωθε λέγεσθαι, ἀπὸ τοῦ ὄντος τὸ μὴ ὄν, οἷον ἀπὸ τοῦ θείου καὶ ἀύλου καὶ νοητοῦ τὸ αἰσθητὸν

1 ἢ τὸ ποιόν M 1. 2 τὸ ποιὸν om. L[1] 3 παραλαμβάνει M 6 καταχθέντα M 7 γένεσι καὶ τοῖς εἴδεσι M 11 ὥστε addidi 13 μηδὲν] μὴ M 14 οἷον — ἐναντίον (16) om. M 16 γὰρ om. M 17 δηπήχει B[1] L 22 δεῖ] δὴ M 26 αὐτῆς M 27 εἴπῃ M 30 ἀντιθέντες M ταῖς — φύσεσι M 33 πάντως M 34 αὐτοῦ] αὐταῖς M ὡς om. M 36 ἔχουσιν M

παράγεται καὶ ὁρώμενον, ὡς ἂν ἀπὸ τοῦ πρώτου ἔσχατον καὶ ἀπὸ ποιητοῦ ποίημα, πῶς ἂν ἔχοι πρὸς αὐτὸ τὴν ἐναντίωσιν κατὰ τὸ πάντη ἀπ' αὐτοῦ κεχωρίσθαι, εἴπερ ἀπ' αὐτοῦ τὴν ὅλην ἔσχεν ὑπόστασιν; εἰ δέ γε ἐξ ἀρχῆς καθ' ἑαυτὰ ὑφέστηκεν, διὰ τί τὸ μὲν ἔσται ὂν τὸ δὲ μὴ ὄν, ἢ τὸ μὲν ἀγαθὸν
5 τὸ δὲ κακόν, εἴπερ ἀρχαὶ ἄμφω καὶ αἴτια; πῶς δὲ καὶ συνῆλθε τὰ δύο, ἄπορον εὑρεῖν. εἰ δὲ τρίτου δέοι τοῦ συνάξοντος, πῶς ἔσται ταῦτα πρῶτα καὶ ἀνώτατα ἐναντία, ὥσπερ ἐλέγετο; εἰ δὲ ἀσύνακτα μεμενήκασι, πῶς γένεσις ἐπετελέσθη καὶ τόδε τὸ πᾶν; τοσαῦτα οὖν καὶ ἔτι πλείω ἄτοπα ἕψεται τοῖς ἐν τάξει ἀρχῆς μετὰ τοῦ ὄντος καὶ τοῦ ἀγαθοῦ τὸ μὴ ὂν καὶ τὸ κακὸν ἀπο-
10 λείπουσιν.

Ἐπεὶ δὲ πρὸς τοῖς ἄλλοις οὐδὲ τὸ μὴ ἐπιδέχεσθαι ἐναντίωσιν ἴδιον τῆς οὐσίας ἐφάνη, μεταβῶμεν ἐφ' ἕτερον· δοκεῖ γὰρ ἡ οὐσία οὐκ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία καὶ ἧττον οὐσία (τοῦτο μὲν γὰρ εἴρηται ὅτι ἔστιν· ἐν οἷς γὰρ διαιροῦντες τὰς
15 μὲν οὐσίας πρώτας καὶ μάλιστα, τὰς δὲ δευτέρας καὶ ἥττονας ὠνομάζομεν, τί ἄλλο ἢ τοῦτο παρεδηλοῦμεν; καὶ μετὰ μικρὸν δέ, ὁπηνίκα τὰς μὲν ὡς νοητὰς καὶ ἀύλους θεωρῶμεν, τὰς δὲ ὡς αἰσθητὰς καὶ ὑλικάς, ἢ τὰς μὲν λογικὰς τὰς δὲ ἀλόγους, τὸ κἂν τῇ οὐσίᾳ παρεῖναι τὸ ἀτιμότερον καὶ τὸ τιμιώτερον παριστάνομεν), ἀλλ' ὅτι ἐπὶ τῶν ὁμοταγῶν καὶ ὁμοστοίχων ἑκάστη οὐσία τοῦτο,
20 ὅπερ ἐστίν, οὐ λέγεται μᾶλλον καὶ ἧττον. οἷον εἰ ἔστιν αὕτη ἡ οὐσία ἄνθρωπος, οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος οὔτε αὐτὸς ἑαυτοῦ οὔθ' ἕτερος ἑτέρου· οὐ γάρ ἐστιν ἕτερος ἑτέρου μᾶλλον ἄνθρωπος, ὥσπερ τὸ λευκόν ἐστιν ἕτερον ἑτέρου μᾶλλον λευκόν, καὶ καλὸν ἕτερον ἑτέρου μᾶλλον καὶ ἧττον καλὸν λέγεται, καὶ ἑαυτοῦ μᾶλλον καὶ ἧττον λέγεται, οἷον τὸ σῶμα λευκὸν ὂν μᾶλλον
25 λευκὸν λέγεται εἶναι νῦν ἢ πρότερον, καὶ θερμὸν ὂν μᾶλλον θερμὸν καὶ ἧττον λέγεται. ἡ δέ γε οὐσία οὐδὲν μᾶλλον οὐσία καὶ ἧττον λέγεται· οὐδὲ γὰρ ὁ ἄνθρωπος μᾶλλον νῦν ἄνθρωπος ἢ πρότερον λέγεται, οὐδέ γε τῶν ἄλλων οὐθέν, ὅσα ἐστὶν οὐσία. ἀλλ' οὐδὲ τῷ λογικώτερον ἄνθρωπον ἀνθρώπου λέγεσθαι κατὰ τὴν οὐσιώδη λογικότητα διαφέρειν αὐτοὺς εἴποιμεν (ἐκείνη γὰρ ἐπ' ἴσης)
30 ἀλλὰ κατὰ τὴν ἕξιν ἢ τὴν ἐνέργειαν. ὁ μέντοι περὶ τῆς ὅλης λόγος ἐν τούτοις προσίσταται· οὐσία γάρ πως οὖσα μᾶλλον καὶ ἧττον λέγεται καὶ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, καὶ ὅλως τὰ ἐναντία ἐν αὐτῇ φανταζόμεθα. ἢ καθὸ μὲν δυνάμει πάντα, αὐτὴ καθ' ἑαυτὴν οὐδὲν διαφέρει (ἴσην γὰρ καὶ ὡσαύτως τὴν πρὸς ὅλα τὰ ὄντα ἔμφασιν καὶ ὑποδοχὴν ἔχει), ἀπὸ μέντοι τῆς
35 πρὸς τὸ εἶδος σχέσεως ἡ τοιαύτη παράλλαξις αὐτῇ παραγίνεται. ὥστε οὐκ ἂν ὅλως ἐπιδέχεται ἡ οὐσία τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐκ ἔστι δὲ οὐδὲ τοῦτο ἴδιον τῆς οὐσίας τὸ μὴ ἐπιδέχεσθαι αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ γὰρ τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· ἀριθμὸς γὰρ ὁ γ' τοῦ δ'

---

1 παράγεται Diels: παράγεσθαι libri τοῦ om. B 2 ἔχοι scripsi: ἔχοιεν libri αὐτὰ M τῷ L αὐτῆς κεχώρισται M 3 αὐτῶν M 4 διὰ τί ὁ μὲν M 7 ἀνωτάτω B 8 τοῖς] τῆς M 9 κακὸν om. M 14 γὰρ (post μὲν) om. L 15 ὀνομάζομεν M 16 παραδηλοῦμεν M 18 ἀτιμώτερον L 21 αὐτὸς scripsi: ἑαυτὸς libri 24 post ἑαυτοῦ add. δὲ M 28 τὸ M 36 οὐκ ἔστι — ἧττον (37) om. M

οὐκ ἔστι μᾶλλον καὶ ἧττον, οὐδὲ τόπος τόπου οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν.

Μάλιστα δὲ ἴδιον οὐσίας δοκεῖ τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν κατὰ τὴν ἑαυτοῦ μεταβολὴν τῶν ἐναντίων εἶναι δεκτικόν, οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐδὲν ἂν ἔχοι τις τὸ τοιοῦτον προσενεγκεῖν, ὅσα μή ἐστιν οὐσία, ὃ ἓν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν, οἷον τὸ χρῶμα, ὅ ἐστιν ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ. οὐκ ἔσται λευκὸν καὶ μέλαν, οὐδὲ ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ οὐκ ἔσται φαύλη καὶ σπουδαία· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μὴ ἔστιν οὐσία. ἡ δέ γε οὐσία, ἓν καὶ ταὐτὸ ἀριθμῷ ὄν, δεκτικὴ τῶν ἐναντίων ἐστίν, οἷον ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκὸς ὁτὲ δὲ μέλας γίνεται, καὶ θερμός γε καὶ ψυχρός, καὶ φαῦλός γε καὶ σπουδαῖος. ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται τὸ τοιοῦτον, εἰ μή τις ἐνίσταιτο τὸν λόγον καὶ τὴν δόξαν φάσκων τῶν ἐναντίων εἶναι δεκτικά. ὁ γὰρ αὐτὸς λόγος ἀληθής τε καὶ ψευδὴς δοκεῖ εἶναι, οἷον εἰ ἀληθὴς εἴη λόγος τὸ καθῆσθαί τινα, ἀναστάντος αὐτοῦ ὁ αὐτὸς οὗτος λόγος ψευδὴς ἔσται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης· δόξαν δὲ ἐνταῦθα τὸν ἐνδιάθετον λόγον ἐν ψυχῇ καὶ ἄνευ φωνῆς λέγομεν. εἰ γάρ τις ἀληθῶς δοξάζοι τὸ καθῆσθαί τινα, ἀναστάντος αὐτοῦ ψευδῶς ὁ αὐτὸς οὗτος δοξάζει, τὴν αὐτὴν ἔχων περὶ αὐτοῦ δόξαν. εἰ δέ τις καὶ τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει. τὰ μὲν γὰρ τῶν οὐσιῶν αὐτὰ μεταβάλλοντα δεκτικὰ τῶν ἐναντίων ἐστί· ψυχρὸν γὰρ ἐκ θερμοῦ γενόμενον μετέβαλεν (ἠλλοίωται γάρ) καὶ φαῦλον ἐκ σπουδαίου. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕκαστον αὐτὸ μεταβολὴν δεχόμενον τοῦ ἐναντίου δεκτικόν ἐστιν. ὁ δὲ λόγος καὶ ἡ δόξα αὐτὰ μὲν ἀκίνητα πάντῃ πάντως διαμένει, τοῦ δὲ πράγματος κινουμένου τὸ ἐναντίον περὶ αὐτὰ γίνεται· ὁ μὲν γὰρ λόγος διαμένει τοῦ καθῆσθαί τινα. τοῦ δὲ πράγματος κινηθέντος ὁτὲ μὲν ἀληθὴς ὁτὲ δὲ ψευδὴς λέγεται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης. ὥστε τῷ τρόπῳ γε ἴδιον ἂν εἴη τῆς οὐσίας τὸ κατὰ τὴν ἑαυτῆς μεταβολὴν δεκτικὴν τῶν ἐναντίων εἶναι. εἰ δέ τις καὶ ταῦτα παραδέχοιτο, τὴν δόξαν καὶ τὸν λόγον φάσκων δεκτικὰ τῶν ἐναντίων εἶναι, οὐκ ἔστιν ἀληθὲς τοῦτο. ὁ γὰρ λόγος καὶ ἡ δόξα οὐ τῷ αὐτὰ δεδέχθαι τι τῶν ἐναντίων εἶναι δεκτικὰ λέγεται, ἀλλὰ τῷ περὶ ἕτερον τὸ πάθος γεγενῆσθαι. τῷ γὰρ εἶναι τὸ πρᾶγμα καὶ μεταβάλλεσθαι, τούτῳ καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι λέγεται, οὐ τῷ αὐτὰ δεκτικὰ εἶναι τοῦ ἐναντίου. ἁπλῶς γὰρ ὑπ' οὐδενὸς οὔτε ὁ λόγος κινεῖται οὔτε ἡ δόξα· ἅμα γὰρ τῷ ῥηθῆναι ὁ λόγος ἔφθαρται καὶ τῷ δοξασθῆναι ἡ δόξα· ὃ δὲ μὴ μένει μηδὲ ἔστιν ὅλως, πῶς ἂν κινηθείη ἢ δέξεταί τι ἢ ἀποβαλεῖ; ὥστε οὐκ ἂν

2 post οὐδέν add. τὸ ἴδιον L 4 δεκτικήν M 5 ἔχῃ M ἐν ἀριθμῷ M 12 ἐνίσταται M ante τὸν add. λέγων M 13 φάσκων om. M 16 post φωνῆς add. γινόμενον M 17 δοξάζει L¹M 22 post ἕκαστον add. γὰρ M 24 κινουμένου—πράγματος (25) om. M 28 εἰ δέ τις—ἐναντίων εἶναι (29) om. L 30 δεδέχθαι τι] δέχεσθαι τῶν M τὸ M 31 τοῦτο BL 32 lacunam non sensit, quam Categ. exempla omnia habent; ante καὶ addendum est ἡ δόξα εἶναι ἢ ψευδὴς M αὐτὸς δεκτικὸς εἶναι Categ. 4b 10 ex uno libro eoque correcto recepit Bekkerus 34 τὸ δοξασθῆναι BL ὃ δὲ μὴ—ὥστε (35) om. L μένει M

εἴη δεκτικὰ τῶν ἐναντίων, μηδενὸς ἐν αὐτοῖς γινομένου πάθους. ἡ δέ γε οὐσία τῷ αὐτὴ τἀναντία δέχεσθαι, τούτῳ δεκτικὴ τῶν ἐναντίων λέγεται· νόσον γὰρ καὶ ὑγείαν ὁ αὐτὸς καὶ εἰς ἄνθρωπος ὁ Σωκράτης δέχεται, καὶ λευκότητα καὶ μελανίαν, καὶ ἕκαστον τῶν τοιούτων ἡ αὐτὴ οὐσία δεχομένη τῶν ἐναντίων εἶναι δεκτικὴ λέγεται. ἀλλ' εἰ τοῦτο μάλιστα οὐσίας ἴδιον, τί ἂν περὶ τῆς νοητῆς οὐσίας καὶ ἀμεταβλήτου λέγοιμεν, ἢ τίνα τὰ ἐναντία περὶ αὐτήν, ἀναιρουμένων τῶν αἰσθητῶν ποιοτήτων; καὶ περὶ τῶν σωματικῶν μὲν αἰδίων δὲ τὸ αὐτὸ ἀπορεῖν εὔλογον. τίνος γὰρ ὁ ἥλιος ἐπιδεκτικὸς ἐναντιότητος ἔσται ἢ αὐτὸς ὁ οὐρανός, ἀεί τε τὸ εἶδος συμπαραμένον ἔχοντες καὶ ἀεὶ κινούμενοι; καὶ ἐπὶ τῶν φθαρτῶν δὲ τὸ πῦρ θερμότητος μέν ἐστιν ἐπιδεκτικόν καὶ ἡ χιὼν ψυχρότητος, τῶν ἐναντίων δ' οὔ. ἢ πρὸς ταῦτα ἐκεῖνο συντόμως εἰπεῖν, ὡς περὶ αἰσθητῆς οὐσίας καὶ μεταβαλλομένης μᾶλλον ὄντος τοῦ λόγου οὔτ' ἂν ἡ νοητὴ οὐσία τῷ λόγῳ περιλαμβάνοιτο οὔτε ἡ αἰσθητὴ μὲν ἀμετάβλητος δέ. τό τε πῦρ καὶ ἡ χιὼν οὐκ ἐπιδεκτικὰ θερμότητος ἢ ψυχρότητος. ἀλλ' ἐν τούτοις οὐσίωνται· δεῖ δὲ ἐπίκτητον εἶναι τὴν τῶν ἐναντίων μέθεξιν. οὐ πάντα δὲ τὰ ἐναντία παρεῖναι τῷ δεκτικῷ ζητεῖν δεῖ, ἀλλ' ἤρκεσεν ἔστιν οἷς καὶ τρόπος εἷς, τὴν φύσιν ὅτι δεκτικὴ παραστῆσαι, ὡς ἐπὶ τοῦ πυρὸς ἡ κατὰ τὴν κίνησιν καὶ τὸν τόπον ἀντίθεσις· τῷ γὰρ ἄνω φέρεσθαι τὸ κάτω ἐναντίον, πάσχει δὲ ἄμφω τὸ πῦρ, τὸ μὲν ὑπὸ φύσεως, τὸ δὲ βίᾳ. ὅλως δὲ ἡ αἰσθητὴ οὐσία, συμφόρησίς ἐστι ποιοτήτων καὶ ὕλης, καὶ ὁμοῦ μὲν πάντα συμπαγέντα μίαν ποιεῖ, χωρὶς δὲ λαμβανόμενον ἕκαστον τὸ μὲν ποιὸν τὸ δὲ ποσόν ἐστιν ἤ τι ἄλλο. καὶ ὃ μὲν ἂν ἐκλεῖπον μήπω ἀπηρτισμένην παρέχηται, μέρος ἔσται αὐτῆς· ὃ δ' ἂν γενομένῃ ἐπισυμβῇ, ἐπίκτητον ἔσται καὶ συμβεβηκός. καὶ ἕκαστον μὲν τῶν συνιόντων οὐκ ἔστιν οὐσία, τὸ δὲ ὅλον τὸ ἐκ πάντων οὐσία ἐστίν. οὐ γὰρ τὸ ὅλον ἀληθῆς ἦν οὐσία ἡ αἰσθητὴ οὐσία, ἀλλὰ μιμουμένη τὴν ἀληθῆ. διὰ ταῦτα καὶ συμβαίνει ἐξ ἀνάγκης μήτε πάντα τοῦ εἶναι μετέχειν κυρίως τὰ ἐπ' αὐτῆς μήτε ἡμᾶς τὰ ὑπάρχοντα λαμβάνοντας δύνασθαι τὰ κατ' οὐσίαν προσόντα αὐτῇ περιλαβεῖν. ὁ γὰρ αὐτὸ τὸ εἶναι ζητῶν ἀόρατόν τι ζητεῖ καὶ κρεῖττον ἢ κατὰ τὴν αἰσθητὴν οὐσίαν. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἐπὶ δὲ τοῖς ἀποδεδομένοις οὐσίας ἰδίοις ἐκεῖνο παρατηρήσεις· ἐπεὶ γὰρ ἕκαστον τῶν ὄντων γινώσκομεν ταῖς τε οἰκείαις διαφοραῖς καὶ ταῖς ἀντιδιαιρουμέναις πρὸς αὐτάς (αἱ μὲν γὰρ τί ἐστι τὸ πρᾶγμα, αἱ δὲ τί οὐκ ἔστι σημαίνουσιν), ἐξ ἀμφοτέρων δὲ ἡ ἐντελεστάτη κατάληψις γίνεται, τὸ μὲν συνωνύμως λέγεσθαι καὶ τὸ τόδε τι σημαίνειν καὶ τὸ τῶν ἐναντίων εἶναι δεκτικήν, καὶ ὅσα τοιαῦτα περὶ οὐσίας λεγόμενα τὴν τῶν ὑπαρχόντων αὐτῇ ἐνέφαινον ἰδιότητα· τὸ δὲ μηδὲν ἔχειν ἐναντίον καὶ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον ἃ

1 γενομένου M 2 αὐτὴ scripsi: αὐτὴν libri δεκτικὰ B 3 κύγείαν L 4 μελάνωσιν M 10 ἡ repetit L 11 συντόμως] litteras συντ delevit L post συντόμως addendum est δεῖ vel ἔστιν 12 τῷ λόγῳ M 13 ἡ om. B 16 τῷ δεκτικῷ παρεῖναι M 17 δεκτικὴ] δεκτικὸν τὸ M 18 τὰ γὰρ B 22 παρέχεται M 24 τὸ δὲ—αἰσθητὴ οὐσία (25) om. M 31 ἀποδιδομένοις M τῆς οὐσίας B ἰδίως L 35 τὸ (ante τόδε) om. L 36 αὐτὴν M 37 ante μὴ add. τὸ M

οὐκ ἔστιν ἀπέφασκον. ἀγαπητὸν δὲ περὶ τῶν μεγίστων καὶ χαλεπῶν τὸ καὶ μικρῶν εὐπορεῖν. κἂν τοῖς ἀνωτάτοις δὲ καὶ πρώτοις γένεσιν, ἐπεὶ μὴ ὅρῳ τὴν φύσιν εἰπεῖν εἴχομεν (δεήσει γὰρ τῶν ἀνωτάτω ἀρχῶν ἑτέρας ἀνωτέρας εἶναι), δι' ὑπογραφῆς καὶ λόγων ἐξωτερικῶν ἀμωσγέπως αὐτὰ δηλοῦν ἐπι-
5 βάλλομεν. οὔσης δὲ τῆς πραγματείας περὶ τῶν ὄντων κατὰ τὰς φερομένας δόξας περὶ αὐτῶν τοῖς πολλοῖς, δεῖ τοὺς ἐντελέστερον πραγματευομένους μετὰ τὸ διαρθρῶσαι τὰς πεπλανημένας ὑπολήψεις καὶ ἀορίστους καὶ τὴν οἰκείαν ἐκτιθέναι καὶ ἀληθῆ· ταῖς μὲν γὰρ ἂν ὁ πολὺς ἡσθείη, τῇ δὲ ὁ σοφὸς ἀρεσθείη. ὃ δὴ καὶ αὐτοὶ ποιεῖν προεθέμεθα. προηγουμένως μὲν καθ' ἑκάστην τῶν κατη-
10 γοριῶν κατὰ τὴν περὶ αὐτῶν κρατοῦσαν δόξαν ἐν τοῖς πολλοῖς θεωρεῖν, εἶτα καὶ τὴν ἐπιβάλλουσαν ἐπιστημονικὴν ἐπάγειν ἐπίσκεψιν. καὶ δὴ αὐτίκα οὔτε τὴν αἰσθητὴν οὐσίαν καὶ μερικὴν τῆς διανοητῆς καὶ καθόλου ⟨κυριωτέραν καὶ⟩ πρώτην καὶ μάλιστα φήσομεν, οὔτε πολλῷ μᾶλλον τῆς νοητῆς καὶ ἀόλου καὶ καθ' ἑαυτὴν ἑστώσης. ἀλλὰ τοὐναντίον ἅπαν κυριώτερον μὲν ἡγεῖσθαι ⟨δεῖ⟩
15 τοῦ μερικοῦ τὸ καθόλου (τὸ μὲν γὰρ μένει, τὸ δὲ φθείρεται) καὶ πρῶτον καὶ μάλιστα· συναναιρεῖ γὰρ ἀναιρούμενον καὶ συνεισφέρεται μὴ συνεισφέρον. καταλυομένης οὖν ἐντεῦθεν καὶ τῆς ἐκείνως λεγομένης εἰς πρώτας καὶ δευτέρας τῶν οὐσιῶν διαιρέσεως, ἣδ' ἂν κατὰ φύσιν καὶ ἐπιστήμην ἀντεισαχθείη. τῆς οὐσίας τὸ μὲν νοητὸν καὶ ἀσώματον, οἷον ἄγγελος νοῦς καὶ ψυχή (ἡ γὰρ δη-
20 μιουργικὴ τῶν ὄντων αἰτία καὶ οὐσίας καὶ ὅλως ὄντος ὑπερεξήρηται). τὸ δὲ αἰσθητὸν καὶ σωματικόν· καὶ τούτου τὸ μὲν ἔμψυχον, τὸ δὲ ἄψυχον. καὶ τοῦ ἀψύχου τὸ μὲν κύκλῳ φέρεται, ὡς ἅπας ὁ οὐρανὸς καὶ τὰ περὶ αὐτὸν σώματα, τὸ δὲ κατ' εὐθεῖαν. καὶ τούτου τὸ μὲν ἄνω καὶ πέριξ, οἷον τὸ πῦρ καὶ ἀήρ, τὸ δὲ κάτω καὶ περὶ τὸ μέσον, ὡς ὕδωρ καὶ γῆ. τοῦ δ' ἐμψύχου τὸ μὲν
25 ἀναίσθητόν ἐστιν ὡς τὸ φυτόν, τὸ δὲ αἰσθητικόν. καὶ τούτου τὸ μὲν ἀμετάβατον, ὃ δὴ καὶ ζωόφυτον λέγομεν, τὸ δὲ μεταβατικόν, οἷόν ἐστι τὸ ζῶον. τούτου δὲ τὸ μὲν λογικόν, τὸ δ' ἄλογον· καὶ τοῦ λογικοῦ τὸ μὲν θνητόν, τὸ δὲ ἀθάνατον. διαιρεθείη δ' ἂν καὶ ἕκαστον τούτων εἰς ἕτερα πλείονα, ἀλλ' οὖν ἡμῖν εἰς ἔνδειξιν ἀρκέσει καὶ ταῦτα. καὶ περὶ μὲν οὐσίας τοσαῦτα
30 εἰρήσθω.

6 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον, τὸ δὲ συνεχές, καὶ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. τάττεται δὲ τὸ ποσὸν μετὰ τὴν οὐσίαν ἐν τῇ διδασκαλίᾳ, ἐπειδὴ κἂν τῇ φύσει πρώτως τῷ ὄντι σύνεστιν (ἅμα γὰρ ὅν τί ἐστι καὶ πε-
35 πόσωται· ἢ γὰρ ἓν ἢ πολλὰ αὐτὸ ἀνάγκη εἶναι) καὶ ὅτι προηγεῖται τὸ ἄποιον διαστατὸν τῆς ἐν αὐτῷ ἐγγινομένης ποιότητος. ἔστιν οὖν διωρισμένον μὲν ποσὸν ἀριθμὸς καὶ λόγος, συνεχὲς δὲ γραμμή, ἐπιφάνεια, σῶμα, ἔτι παρὰ ταῦτα

1 καὶ (post τὸ) om. M 2 μικρὸν L¹M κἂν L ἀνωτάτω B
5 τὰς φαινομένας δόξας M 6 post ἐντελέστερον add. περὶ αὐτῶν M 8 ἐκτίθεσθαι B ταῖς scripsi: τῇ BL: τὴν M ὁ πολὺς om. L 12 κυριωτέραν καὶ addidi 14 δεῖ addidi 16 μὴ συνεισφερόμενον M 17 εἰς πρώτας] τῆς πρώτης M 20 ὅλως ὄντα M 22 αὐτῶν L¹ 31 περὶ ποσοῦ superscribunt BL ἔκθεσιν ἐχόντων BM 36 ἐγκειμένης M

τόπος καὶ χρόνος. τῶν μὲν γὰρ τοῦ ἀριθμοῦ μορίων οὐδείς ἐστι κοινὸς ὅρος, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτοῦ· οἷον τὰ πέντε εἰ ἔστι τῶν δέκα μόριον, πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει τὰ πέντε καὶ τὰ πέντε, ἀλλὰ διώρισται· καὶ τὰ τρία γε καὶ ἑπτὰ πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει, καὶ οὐδ' ὅλως ἂν ἔχοις ἐπὶ ἀριθμοῦ λαβεῖν κοινὸν ὅρον τῶν μορίων, ἀλλ' ἀεὶ διώρισται· ὥστε ὁ μὲν ἀριθμὸς τῶν διωρισμένων ἐστίν. ὁμοίως δὲ καὶ ὁ λόγος τῶν διωρισμένων ἐστίν. ὅτι μὲν γάρ ἐστι ποσὸν ὁ λόγος φανερόν. καταμετρεῖται γὰρ συλλαβῇ βραχείᾳ καὶ μακρᾷ· λέγω δὴ αὐτὸν τὸν μετὰ φωνῆς γινόμενον λόγον. βραχείᾳ δὲ καὶ μακρᾷ συλλαβῇ καταμετρεῖσθαι λέγοιτο, οὐκ ἐπειδὴ ἐν βραχεῖ χρόνῳ ἡ βραχεῖα καὶ ἐν μακρῷ ἡ μακρά (ἔνι μὲν καὶ τοῦτο), ἀλλ' ὅτι φύσει τῇ μὲν σύνεστι τὸ μακρόν, τῇ δὲ τὸ βραχύ· καὶ γὰρ ἡ μὲν εὐρυνομένης τῆς ἀρτηρίας τῷ πλεονάζειν τῷ πνεύματι γίνεται, ἡ δὲ στενουμένης δι' ὀλιγότητος πνεύματος. ὥστε ἡ μὲν ὡς βραχεῖα φύσει ἐν βραχεῖ χρόνῳ λέγεται, ἡ δὲ ὡς μακρὰ ἐν μακρῷ. ἔστιν οὖν ὁ λόγος διωρισμένον ποσόν· πρὸς οὐδένα γὰρ κοινὸν ὅρον αὐτοῦ τὰ μόρια συνάπτει· οὐ γάρ ἐστι κοινὸς ὅρος, πρὸς ὃν αἱ συλλαβαὶ συνάπτουσιν, ἀλλ' ἑκάστη διώρισται αὐτὴ καθ' ἑαυτήν. ἡ δὲ γραμμὴ συνεχής ἐστιν· ἔστι γὰρ (λαβεῖν) κοινὸν ὅρον, πρὸς ὃν τὰ μόρια αὐτῆς συνάπτει, στιγμήν, καὶ τῆς ἐπιφανείας γραμμήν· τὰ γὰρ τοῦ ἐπιπέδου μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ σώματος ἔχοις ἂν λαβεῖν κοινὸν ὅρον, γραμμὴν ἢ ἐπιφάνειαν, πρὸς ὃν τὰ τοῦ σώματος μόρια συνάπτει· τὸ γὰρ σῶμα καθ' ὅσον μὲν ὑποκείμενόν ἐστιν καὶ ταὐτὸν καὶ ἓν μένον τῷ ἀριθμῷ τῶν ἐναντίων ἐστὶ δεκτικόν, κατὰ τοῦτο οὐσία ἐστί· καθ' ὅσον δὲ τριχῇ διαστατὸν καὶ μετρεῖσθαι πέφυκε, ποσὸν ὑπάρχει. ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων. ὁ γὰρ νῦν χρόνος συνάπτει πρός τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. πάλιν ὁ τόπος τῶν συνεχῶν ἐστι· τόπον γάρ τινα τὰ τοῦ σώματος μόρια κατέχει, ἃ πρός τινα κοινὸν ὅρον συνάπτει· οὐκοῦν καὶ τὰ τοῦ τόπου μόρια, ἃ κατέχει ἕκαστον τῶν τοῦ σώματος μορίων, πρὸς τὸν αὐτὸν ὅρον συνάπτει, πρὸς ὃν καὶ τὰ τοῦ σώματος μόρια. ὥστε συνεχὲς ἂν εἴη καὶ ὁ τόπος· πρὸς γὰρ ἕνα κοινὸν ὅρον αὐτοῦ συνάπτει τὰ μόρια.

Ἔτι τοῦ ποσοῦ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκεν, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν, οἷον τὰ μὲν τῆς γραμμῆς μόρια θέσιν ἔχει πρὸς ἄλληλα· ἕκαστον γὰρ αὐτῶν κεῖταί που, καὶ ἔχοις ἂν διαλαβεῖν καὶ ἀποδοῦναι, οὗ ἕκαστον κεῖται ἐν τῷ ἐπιπέδῳ καὶ πρὸς ποῖον μόριον τῶν λοιπῶν συνάπτει. ὡσαύτως δὲ καὶ τὰ τοῦ ἐπιπέδου μόρια θέσιν

---

3 τὰ πέντε (post συνάπτει)—συνάπτει (4) om. M 6 ὁμοίως—ἐστίν (7) om. BM 10 ἡ βραχεῖα L 13 ὀλιγότητα BM χρόνῳ om. B 14 λέγεται] γίνεται L¹ 15 αὐτῶ M 16 ἀλλ' ἐν ἑκάστη M 17 ἔχει γὰρ M λαβεῖν ex Arist. addidi (cf. v. 20) 18 post γὰρ add. τῆς ἐπιφανείας M 19 τοῦ (post γὰρ) om. M 20 τοῦ om. M 24 καὶ (post δὲ) om. L¹ χρόνος om. B καὶ ὁ om. BL 25 τε om. M 28 τῶν αὐτῶν L 29 αὐτὰ M 31 ἔκθεσιν BM τῶν ἐν τοῖς μορίοις M 32 ἐξ οὐκ ἐχόντων M 35 τοῦ om. M

ἔχει τινά· ὁμοίως γὰρ ἂν ἀποδοθείη ἕκαστον οὗ κεῖται, καὶ ποῖα συνάπτει πρὸς ἄλληλα· καὶ τὰ τοῦ στερεοῦ δὲ ὡσαύτως, καὶ τὰ τοῦ τόπου. ἐπὶ δέ γε τοῦ ἀριθμοῦ οὐκ ἂν ἔχοι τις ἀποδεῖξαι ὡς τὰ μόρια αὐτοῦ θέσιν τινὰ ἔχει πρὸς ἄλληλα ἢ κεῖταί που, ἢ ποῖά γε συνάπτει πρὸς ἄλληλα. οὐδέ γε τὰ τοῦ χρόνου· ὑπομένει γὰρ οὐδὲν τῶν τοῦ χρόνου μορίων· ὃ δὲ μή ἐστιν ὑπομένον, πῶς ἂν τοῦτο θέσιν ἔχοι τινά. ἀλλὰ μᾶλλον τάξιν τινὰ εἴποις ἂν ἔχειν τῷ τὸ μὲν πρότερον εἶναι τοῦ χρόνου, τὸ δὲ ὕστερον· καὶ ἐπὶ τοῦ ἀριθμοῦ δὲ ὁμοίως τῷ τὸ ἓν πρότερον ἀριθμεῖσθαι τῶν δύο καὶ τὰ δύο τῶν τριῶν· καὶ οὕτω τάξιν ἄν τινα ἔχοι, θέσιν δὲ οὐ πάνυ λάβοις ἄν. καὶ ὁ λόγος δὲ ὡσαύτως· οὐδὲν γὰρ ὑπομένει τῶν μορίων αὐτοῦ, ἀλλ' εἴρηταί γε καὶ οὐκέτι τοῦτο ἔστι λαβεῖν. ὥστε οὐκ ἂν εἴη θέσις τῶν μορίων, εἴ γε μηδὲν ὑπομένει· τὸ γὰρ μέλλον ἕξειν θέσιν τριῶν δεῖται τούτων, τόπου ἐν ᾧ κεῖται, καὶ τοῦ τὰ μόρια συνυπάρχειν, ἀλλὰ μὴ τῶν ἑτέρων γινομένων τὰ ἕτερα ἀφανίζεσθαι. καὶ τοῦ συνέχειαν καὶ ἀλληλουχίαν ἔχειν πρὸς ἄλληλα. ἀλλ' εἰ ἅπαν ποσὸν μέτρον ἐστὶν ὡς μετροῦν (ὁ γὰρ ἀριθμὸς μετρεῖ τὰ διωρισμένα καὶ ὁ πῆχυς τὰ συνεχῆ), ὁ λόγος τί μετρεῖ ποσὸν ὤν; ἢ μετροῦσι μὲν τὰ τοῦ λόγου μόρια, αἱ συλλαβαί, μετρεῖται δὲ ὁ λόγος, καὶ ἔστι ποσὸν οὐχ ὡς μετρῶν, ἀλλ' ὡς μετρούμενος· οὐ γὰρ τὰ μετροῦντα μόνα ποσά, ἀλλὰ καὶ τὰ μετρούμενα, ὡς ἂν εἴη καὶ ὁ χρόνος μέτρον κινήσεως οὐχ ὡς μετρῶν, ἀλλ' ὡς μετρούμενος κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον. τὰ μὲν οὖν τοῦ ποσοῦ ἐκ θέσιν ἐχόντων τῶν ἐν αὐτοῖς μορίων συνέστηκε, τὰ δ' οὐκ ἐξ ἐχόντων θέσιν. ἔτι τῶν ποσῶν τὰ μὲν ἔχει ῥοπήν, τὰ δὲ οὐκ ἔχει. καὶ τῶν ἐχόντων τὰ μὲν σώματά εἰσι, τὰ δὲ ἀσώματα· σώματα μὲν ὡς τὰ τέσσαρα στοιχεῖα· τὰ μὲν γὰρ αὐτῶν ἐπὶ τὸ ἄνω καὶ τὸ πέριξ τὴν ῥοπὴν ἔχει, ὡς τὸ πῦρ καὶ ἀήρ, τὰ δ' ἐπὶ τὸ κάτω καὶ τὸ μέσον, ὡς ὕδωρ καὶ γῆ. εἴ τις δὲ καὶ τὴν ψυχὴν αὐτὴν καθ' αὑτὴν ποσὸν ἀσώματον ὑποτίθεται, ἔσται καὶ ἐν ἀσωμάτοις ῥοπή· ᾗ γὰρ πρὸς τὸ σῶμα νεύει, τὴν ἐπὶ τὸ κάτω ῥοπὴν ἕξει· ᾗ δὲ πρὸς τὸν νοῦν καὶ τὸ νοητόν, τὴν ἐπὶ τὰ ἄνω. καὶ τῶν μὴ ἐχόντων δὲ ῥοπὴν τὰ μὲν σώματά εἰσιν ὡς τὸ πέμπτον στοιχεῖον καὶ κυκλοφορικόν (οὐ γὰρ ἔκ τινος εἴς τι τὴν ῥοπὴν ἔχει. ἀλλὰ περὶ αὐτὸ στρέφεται· οὔτε δὲ ἀρχῇ ἢ τέλει ἢ ὅλως πέρατι ἡ ἐκεῖ κίνησις περιγράφεται). τὰ δὲ ἀσώματα. ὥσπερ χρόνος καὶ τόπος. ἔτι δὲ γραμμὴ καὶ ἐπιφάνεια καὶ πρὸ πάντων ὁ νοῦς, οὐσία ἑστῶσα καὶ ἀρρεπὴς καὶ ἀσώματος.

Ἔτι τοῦ ποσοῦ τὰ μὲν προηγουμένως ἐστὶ ποσά, ὅσα καθ' αὑτά, οἷον ἀριθμὸς καὶ λόγος καὶ χρόνος καὶ τἆλλα, ὧν τὸ ποσὸν ἐν τῷ τί ἐστι κατηγορεῖται· τὰ δὲ κατὰ συμβεβηκός, ὅσα κατ' ἄλλο τι ποσὰ εἶναι λέγεται.

---

1 ποῖα ex Aristostele scripsi (cf. v. 4): ποῖον libri 3 αὐτῶν M ἔχει τινὰ BM
4 τὰ om. B 6 εἴπεις L 7 τῷ χρόνῳ M 9 ἂν (post τάξιν) om. M
ἔχει M 10 ὑπομενεῖ M αὐτῶν M 12 ἕξιν θέσιν M τόπου scripsi:
τόπον libri 13 τοῦ om. M 14 τοῦ] τὴν M 15 ἅπαν τὸ ποσὸν M
20 ἢ τὸ M οὖν om. M ἔκθεσιν libri 24 καὶ (ante ἀήρ) om. L 25 εἰ
δέ τις M 27 ἢ γὰρ M νεύειν M εἰ δὲ M τὸν om. BM
30 αὐτὸ scripsi: αὐτὸ libri 32 καὶ (post γραμμὴ) om. L

εἰς τὰ κυρίως γὰρ ποσὰ ἀποβλέποντες καὶ ταῦτα ποσὰ λέγομεν, οἷον πολὺ τὸ λευκὸν ἢ μέγα λέγεται τῷ τὴν ἐπιφάνειαν πολλὴν ἢ μεγάλην εἶναι, καὶ ἡ πρᾶξις μακρὰ τῷ γε τὸν χρόνον πολὺν εἶναι, καὶ ἡ κίνησις πολλή. οὐ γὰρ καθ' αὑτὸ ἕκαστον τούτων ποσὸν λέγεται. οἷον ἐὰν ἀποδιδῷ τις, πόση τις ἡ πρᾶξίς ἐστι, τῷ χρόνῳ ὁριεῖ, ἐνιαυσιαίαν ἢ οὕτω πως ἀποδιδοὺς. καὶ τὸ λευκὸν ποσόν τι ἀποδιδοὺς τῇ ἐπιφανείᾳ ὁριεῖ· ὅση γὰρ ἂν ἡ ἐπιφάνεια εἴη, τοσοῦτον καὶ τὸ λευκὸν φήσειεν εἶναι. ὥστε μόνα κυρίως καὶ καθ' αὑτὰ ποσὰ τὰ εἰρημένα λέγεται. τῶν δ' ἄλλων οὐδὲν καθ' αὑτό, ἀλλ' ἢ ἄρα κατὰ συμβεβηκός. ὥρα δὴ μετὰ τὴν τῶν εἰδῶν διαίρεσιν καὶ τῶν διαφορῶν καὶ ἐπὶ τὰ ἴδια καὶ παρακολουθοῦντα τῷ ποσῷ μεταβῆναι, ὥσπερ ἐπὶ τῆς οὐσίας ἐποιήσαμεν. καὶ πρῶτον, ἃ κοινὰ αὐτῷ τε καὶ ἄλλαις τῶν κατηγοριῶν, παραδώσομεν, εἶτα τὰ ἴδια καὶ ἃ μόνῳ πρόσεστι.

Καὶ δὴ λέγομεν ὅτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον. ἐπὶ μὲν γὰρ τῶν ἀφωρισμένων ποσῶν φανερὸν ὅτι οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ διπήχει ἢ τῷ τριπήχει ἢ τῶν τοιούτων τισίν. ἥ τε γὰρ γραμμή, καθ' ὅσον μέν ἐστι γραμμὴ καὶ μοναχῶς διέστηκεν, οὐδεμίαν ἔχει ἐναντίωσιν· καθ' ὅσον δὲ ποιά, κατὰ τοσοῦτον τὸ εὐθὺ καὶ τὸ κυρτὸν ἔχει περὶ αὐτὴν θεωρούμενον. καὶ ἡ ἐπιφάνεια δὲ κατὰ μὲν τὴν εἰς δύο διάστασιν οὐχ ἕξει τὰ ἐναντία, τραχεῖα δὲ καὶ λεία οὐ καθὸ ἐπιφάνεια, ἀλλ' ᾗ τοιάδε ῥηθήσεται, ὥσπερ καὶ λευκὴ καὶ μέλαινα, καθὸ ποιὰ καὶ χρῶμα ἔχουσα. τό τε σῶμα ὡσαύτως κατὰ τὸ τριχῇ διαστατὸν εἶναι ἀναντίθετόν ἐστιν· οὐ γάρ ἐστι τῷ σώματι τὸ ἀσώματον ἐναντίον, ὥσπερ εἴρηται. ἀλλ' οὐδὲ τῷ χρόνῳ, καθ' ὅσον ἀφορίζει τῷ οἰκείῳ μέτρῳ τὴν κίνησιν, ἐστί τι ἐναντίον, οὐδὲ ἡ ἡμέρα τῇ νυκτὶ ἠναντίωται, καθὸ χρόνοι διάφοροι (εἰς γὰρ ὁ αὐτὸς πανταχοῦ, εἴπερ ἐν ἄλλοις μὲν νὺξ ἐν ἄλλοις δὲ ἡμέρα κατὰ τὸ αὐτὸ νῦν), ἀλλὰ καθὸ πῇ μὲν πεφώτισται, πῇ δὲ ἐσκίασται· τοῦτο δὲ τὸ ποιόν τινα τὸν χρόνον εἶναι μᾶλλον ἢ τὸ ποσὸν παριστᾷ. καὶ τῷ ἀριθμῷ δὲ οὐδέν ἐστιν ἐναντίον· τὰ γὰρ δύο καὶ τρία ἀφώρισται καὶ οὐκ ἠναντίωται. οὔτε μὴν τὸ περιττὸν καὶ τὸ ἄρτιον ἐναντία, ὥσπερ οὐδὲ τὸ λογικὸν τῷ ἀλόγῳ. ἀλλ' οὐδὲ κατὰ τὸ ψεύδεσθαι ἢ ἀληθεύειν τῷ λόγῳ τἀναντία προσμαρτυρήσαιμεν. ἀλλὰ ποσὸν μέν ἐστιν ὁ λόγος, καθὸ μετρεῖται συλλαβαῖς, ψεύδεται δὲ ἢ ἀληθεύει, καθὸ σημαντικός.

Περὶ μέντοι τοῦ τόπου ἔχει ἀμφισβήτησιν, ἣν μετὰ μικρὸν ἐπισκεπτέον· μόνος γὰρ τῶν τοῦ ποσοῦ δοκεῖ τἀναντία ἐπιδέχεσθαι. νυνὶ δὲ ἐκεῖνα προστίθεμεν, ἅ τινες λέγουσιν· φασὶ γὰρ τὸ πολὺ τῷ ὀλίγῳ ἐναντίον εἶναι καὶ τὸ μέγα τῷ μικρῷ. τούτων δὲ οὐδέν ἐστι ποσόν, ἀλλὰ μᾶλλον πρός τι· οὐδὲν

---

5 ἐνιαυσιαίαν — ὁριεῖ (6) om. M 7 εἶναι — καθ' αὑτό (8) om. M καθ' αὑτὸν L
8 ἢ] sic etiam Categ. p. 5ᵇ 10: εἰ Bekker 9 ὥρα LM δὲ M 11 ἄλλοις M
15 γραμμὴ (post ἐστι) om. M 18 τραχεῖα scripsi: ταχεῖα libri 19 ἐπιφάνεια scripsi: γραμμή libri ἀλλ' ἢ M 20 τὸ (post κατὰ) om. M 22 ὥσπερ εἴρηται] p. 16, 20 sqq. 23 τῇ νυκτὶ — ἡμέρα (25) iterat M 24 γὰρ καὶ ὁ B
25 post καθὸ add. μὲν L 26 τῷ ποιόν BL 28 οὔτε μὴ B τὸ (post καὶ) om. M ἐναντίον M 30 προσμαρτυρήσομαι M 31 ἢ] ἡ B
34 τῷ πολὺ τὸ ὀλίγον M

γὰρ αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν, ἀλλὰ τῷ πρὸς ἕτερον ἀναφέρεσθαι, οἷον ὄρος μὲν μικρὸν λέγεται, κέγχρος δὲ μεγάλη τῷ τὴν μὲν μείζονα τῶν ὁμογενῶν. τὸ δὲ ἔλαττον εἶναι. οὐκοῦν πρὸς ἕτερον ἡ ἀναφορά, ἐπεὶ εἴ γε καθ' αὑτὸ τὸ μέγα ἢ τὸ μικρὸν ἐλέγετο, οὐκ ἄν ποτε τὸ μὲν ὄρος μικρὸν ἐλέγετο. ἡ δὲ κέγχρος μεγάλη. πάλιν ἐν μὲν τῇ κώμῃ πολλούς φαμεν εἶναι ἀνθρώπους. ἐν Ἀθήναις δὲ ὀλίγους, πολλῷ πλείους ὄντας. ἔτι τὸ μὲν δίπηχυ καὶ τὸ τρίπηχυ καὶ ἕκαστον τῶν τοιούτων ποσὸν σημαίνει· τὸ δὲ μέγα ἢ μικρὸν οὐ σημαίνει ποσόν. ἀλλὰ μᾶλλον πρός τι· πρὸς γὰρ ἕτερον θεωρεῖται καὶ τὸ μικρὸν καὶ τὸ μέγα. ὥστε φανερὸν ὅτι ταῦτα τῶν πρός τί ἐστιν. ἔτι ἐάν τε τιθῇ τις ταῦτα ποσὰ εἶναι ἐάν τε μὴ τιθῇ, οὐκ ἔστιν αὐτοῖς ἐναντίον οὐδέν· ὃ γὰρ μὴ ἔστιν αὐτὸ καθ' αὑτὸ λαβεῖν, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, πῶς ἂν εἴη τούτῳ τι ἐναντίον; ἔτι δὲ εἰ τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμβήσεται τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι, καὶ αὐτὰ δὲ ἑαυτοῖς εἶναι ἐναντία. συμβαίνει γάρ ποτε ἅμα τὸ αὐτὸ μέγα τε καὶ μικρὸν εἶναι· ἔστι δὲ πρὸς μὲν τοῦτο μικρόν, πρὸς ἕτερον δὲ τὸ αὐτὸ τοῦτο μέγα· ὥστε τὸ αὐτὸ καὶ μέγα κατὰ τὸν αὐτὸν εἶναι χρόνον καὶ μικρόν, ὥσθ' ἅμα τἀναντία ἐπιδέχεσθαι καὶ αὐτὰ δὲ αὑτοῖς εἶναι ἐναντία. ἀλλ' οὐδὲν δοκεῖ ἅμα τἀναντία ἐπιδέχεσθαι. οἷον ἐπὶ τῆς οὐσίας· δεκτικὴ μὲν τῶν ἐναντίων εἶναι ἐλέγετο. ἀλλ' οὐχί γε νοσεῖ καὶ ὑγιαίνει οὐδὲ λευκὸν καὶ μέλαν ἐστὶν ἅμα. ἀλλ' οὐδὲ τῶν ἄλλων οὐδὲν ἅμα τἀναντία ἐπιδέχεται. καὶ αὐτὰ δὲ αὑτοῖς συμβαίνει ἐναντία εἶναι. εἰ γάρ ἐστι τὸ μέγα τῷ μικρῷ ἐναντίον, τὸ δ' αὐτό ἐστιν ἅμα μέγα καὶ μικρόν, καὶ αὐτὸ ἑαυτοῦ εἴη ἐναντίον. ἀλλὰ τῶν ἀδυνάτων ἐστὶν αὐτὸ ἑαυτῷ εἶναι ἐναντίον. ὥστε εἰ καὶ μὴ τῶν πρός τι ταῦτά τις ἐρεῖ, ἀλλὰ τοῦ ποσοῦ, οὐδὲν ἐναντίον ἕξει.

Ὡς ἂν δὲ ταῦτα μᾶλλον διαρθρωθείη, ἐκεῖνα δεῖ προσθεῖναι, ὡς τοῦ ποσοῦ τὸ μέν ἐστιν ὡρισμένον, οἷον δύο. τρία, δίπηχυ, τρίπηχυ (περιγέγραπται γάρ), τὸ δὲ ἀόριστον, ὡς τὸ μέγα καὶ τὸ μικρόν, καὶ πολὺ καὶ ὀλίγον· ἄδηλον γάρ, κατὰ τίνα ὑπεροχὴν ἢ ἔλλειψιν ὑπερέχει ἢ ἐλλείπει. διττὸν δὲ καὶ τοῦτο· τὸ μὲν ἁπλῶς ἀόριστον, τὸ δὲ πρός τι. τὸ μὲν γὰρ μὴ ἀναφερόμενον ἐφ' ἕτερον ὁμογενές, κατὰ δὲ τὴν οἰκείαν διαφορὰν νοούμενον, τὴν πρὸς τὰ ἀνομοιογενῆ. ἁπλῶς ἀόριστον λέγεται· τὰ δὲ ὡς κατὰ σύγκρισιν τῶν ὁμογενῶν μεγάλα λεγόμενα καὶ μικρὰ ἢ πολλὰ καὶ ὀλίγα οὐχ ἁπλῶς ἀόριστα, ἀλλὰ κατὰ σχέσιν. ἄλλο μὲν γάρ ἐστι τὸ καθ' ἑαυτὸ θεωρούμενον πλῆθος, ἄλλο δὲ τὸ κατὰ τὴν πρὸς ἕτερον σχέσιν. δεῖ δὲ τὸ μὲν καθ' ἑαυτὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον ἐν τοῖς καθ' ἑαυτὰ καὶ ἀόλοις θεωρεῖν εἴδεσι, τὰ μὲν κατὰ τὴν ὑπεροχήν, τὰ δὲ κατὰ τὸ πλῆθος τῶν καθαρῶν λόγων· τὰ δὲ πρός

---

2. 4 ὅρος L 4 οὐκ ἄν—ἐλέγετο (5) om. M 7. 8 ἢ τὸ μικρὸν M 9 ἔτι] ἔστι L 10 τεθῇ utrobique L 12 τῷ μέγα M 15 μέγα τὸ αὐτὸ τοῦτο BM 17 αὐτοῖς BL 19 οὐχ ἡ γε L: οὐχ ἧ γε M 20 αὐτοῖς BL 21 ante μέγα add. καὶ M 23 ἑαυτὸ L post ἑαυτῷ add. τι B εἰ om. M μὴ om. M 25 δεῖ] δὴ BL 30 συμφορὰν M ὁμοιογενῆ M 32 ante οὐχ add. καὶ M 35 ἐν] καὶ M

τι καὶ κατὰ σύγκρισιν ἐν τοῖς ἐνόλοις. τοῖς μὲν οὖν εἰρημένοις εἴδεσι τοῦ ποσοῦ οὐδέν ἐστιν ἐναντίον.

Μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ περὶ τὸν τόπον δοκεῖ ὑπάρχειν· τὸ γὰρ ἄνω τῷ κάτω ἐναντίον τιθέασι, τὴν πρὸς τὸ μέσον χώραν κάτω λέγοντες διὰ τὸ πλείστην τῷ μέσῳ διάστασιν πρὸς τὰ πέρατα τοῦ κόσμου εἶναι. ἐοίκασι δὲ καὶ τὸν τῶν ἄλλων ἐναντίων ὁρισμὸν ἀπὸ τούτων ἐπιφέρειν· τὰ γὰρ πλεῖστον ἀλλήλων διεστηκότα τῶν ἐν τῷ αὐτῷ γένει ἐναντία ὁρίζονται. οἷς ἡμεῖς διαιτῶντες λέγομεν, ὡς οὐδὲ ὁ τόπος, καθὸ ἐπιφάνεια καὶ διχῇ διίσταται, τὴν ἀντίθεσιν δέχεται, ἀλλ' ἢ ἄρα, καθὸ πρός τι ἢ ποῦ. τούτοις γὰρ τῷ ἄνω πρὸς τὸ κάτω ἀντίθεσις γίνεται, καὶ ἄμεινον ἐν τούτοις κἀκεῖνα λέγειν· ὡς ἐπεὶ πρὸς τὸ πᾶν κάτω μέν ἐστιν, ἐφ' ᾧ τὰ βάρος ἔχοντα φέρεται (τοῦτο δὲ τὸ μέσον καὶ τὸ κέντρον), ἄνω δέ, ἐφ' ᾧ τὰ κοῦφα (τοῦτο δὲ τὸ κύκλῳ καὶ τὸ πέριξ), πρὸς ἡμᾶς δὲ κάτω μὲν τὰ ὑπὸ τοὺς πόδας, ἄνω δὲ τὰ ὑπὲρ κεφαλῆς, τὰ μὲν πρὸς ἡμᾶς ἄνω καὶ κάτω λεγόμενα μόνως ἐστὶ πρός τι (συμμεταβάλλει γὰρ ἑκάστοτε καὶ οὐκ ἔστι φύσει)· τὰ δὲ ἐν τῷ κόσμῳ, καθ' ὅσον μὲν ἤρτηται αὐτοῖς ἐξ ἀλλήλων τὸ εἶναι, εἴη ἂν πρός τι· ὅτι δὲ τοιαῦτα πέφυκεν, οἷα λέγεται, καὶ οὐδέποτε μεταπίπτει καὶ πλεῖστον ἀλλήλων διέστηκε, ταύτῃ ἂν εἴη ἐναντία. διττὴ δὲ καὶ ἡ διάστασις· ἡ μὲν εἰδητική, ὡς ἐπὶ τοῦ ποιοῦ λευκὸν καὶ μέλαν, ἀγαθὸν καὶ κακόν, ἡ δὲ διαστηματική, ὡς ἡ ἐν ποσῷ, ἥτις καὶ κυρίως τοῦθ' ὅπερ ἐστὶ λέγεται. οὐ λέγομεν δὲ ἐν τῷ κόσμῳ τὰ κατὰ διάμετρον ἐναντία, καίτοι γε τὴν πλείστην μᾶλλον ἀπόστασιν ἢ τὸ ἄνω πρὸς τὸ μέσον ἔχοντα, ὡς ἄμφω τῆς αὐτῆς ὄντα φύσεως· πέριξ γὰρ ἑκάτερον. τὸ δὲ μέσον τοῦ πέριξ κατὰ τὸ εἶδος διέστηκεν. καὶ τὸν τόπον δὲ οἱ μὲν τῶν πάλαι ὑπὸ τὰ πρός τι ἀνῆγον κατὰ τὸ περιέχειν καὶ περιέχεσθαι, οἱ δὲ ποσὸν ἔθεντο πρὸς τὸ διαστηματικὸν ἀποβλέψαντες. κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ ἄνω καὶ τὸ κάτω οἱ μὲν ἐν τῷ παντὶ ἀπολείπουσι καὶ ἐναντία τίθενται, οἱ δὲ οὔτε ἐναντία οὔτε ἐν τῷ παντί, ὡς ὄντα τῶν πρός τι, ὥσπερ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. τῶν μέντοι Πυθαγορείων περιεκτικώτερον τὸν τόπον ὁρισαμένων ἢ ἡμεῖς ἐν τοῖς Φυσικοῖς (τὸν γὰρ ἑκάστου εἶδους ὅρον, ἐν ᾧ ἵδρυται καὶ ἀφ' οὗπερ ἀνέχεται, καὶ ὅλως τὸ τῶν ὄντων πέρας τόπον εἰπόντων), εἴη ἂν κατ' αὐτοὺς καὶ τὸ ἄνω κατὰ τὴν τῆς οὐσίας ὑπεροχὴν καθαρότητι καὶ δυνάμει καὶ πᾶσι τοῖς τοιούτοις προέχον, τὸ δὲ κάτω τοῖς ἀντικειμένοις. διὰ ταῦτα καὶ ἡ ἐν τῷ παντὶ ἀνέχουσα πάντα καὶ σφίγγουσα δύναμις ἐν τῷ οὐρανῷ ἱδρῦσθαι λέγεται κατὰ τὴν ὑπεροχὴν τοῦ πάντων πέρατος. καὶ περὶ μὲν τούτων τοσαῦτα εἰρήσθω.

2 οὐδενί ἐστιν B: οὐδεν΄. .΄στιν erasis duabus litteris L 4 τῷ κάτω scripsi: τὸ κάτω libri 6 τὸν] τὸ M ἐναντίον M 7 τῶν ἐναντίων ἐν τῷ αὐτῷ γένει ὁρίζονται L¹: ἐναντίων post γένει transponit L² διαιτῶντες scripsi: διαιτοῦντες libri 9 ἀλλ' ἢ ἄρα L: ἀλλήλων ἄρα M cf. p. 23, 8 τοῦ ἄνω B: τὸ ἄνω M 10 κἀκεῖνο BM 13 κάτω μὲν iterat M 16 ἤρτηνται M τὸ om. M 19 εἰ δὲ M ἡ (post ὡς) om. M 22 ὄντα] εἶναι M 23 μέσον] μία L 24 περιέχειν scripsi: περιέχον libri 27 ἐν τῷ παρόντι LM 29 ἐν τοῖς Φυσικοῖς] Phys. Δ 4, 212a6

Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, οἷον τὸ δίπηχυ. οὐ γάρ ἐστιν ἕτερον ἑτέρου μᾶλλον δίπηχυ. οὐδὲ ἐπὶ τοῦ ἀριθμοῦ, οἷον τὰ τρία τῶν πέντε οὐδὲν μᾶλλον τρία τῶν πέντε λέγεται, οὐδὲ τὰ πέντε τῶν τριῶν. οὐδέ γε ὁ χρόνος ἕτερος ἑτέρου μᾶλλον χρόνος λέγεται. οὐδὲ ἐπὶ τῶν εἰρημένων ὅλως οὐδενὸς τὸ μᾶλλον καὶ τὸ ἧττον λέγεται, ὥστε τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. ᾧ γὰρ μή ἐστιν ἐναντίον, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον σύνεστιν. ἀρχὴ γὰρ τῆς ἐπὶ τὸ ἐναντίον μεταβολῆς ἡ ὕφεσις καὶ ἡ ἐλάττωσις τοῦ προϋπάρχοντος εἴδους· μίξει γὰρ τῶν ἐναντίων ἡ ἀμύδρωσις. εἰ δὲ μεῖζον μέγεθος μεγέθους λέγομεν καὶ ἀριθμὸν ἀριθμοῦ πλείονα καὶ ἐλάττονα, καὶ ἐν τούτῳ πολὺ τὸ μᾶλλον καὶ τὸ ἧττον θεωροῦμεν (μᾶλλον γὰρ μείζων τοῦ Ὑμηττοῦ ὁ Καύκασος ἢ ὁ Ἄθως, καὶ μᾶλλον πλείω τῶν τριῶν τὰ ζ' ἢ τὰ ε'), κατὰ τὸ πρός τι αὐτοῖς τὸ μᾶλλον τοῦτο καὶ τὸ ἧττον ἐροῦμεν. εἰ μέντοι μᾶλλον μέγας ὁ Καύκασος ἀπολύτως λέγοιτο, ἧττον δὲ ὁ Ἄθως καὶ ἔτι ἧττον ὁ Ὑμηττός, τότε διὰ τὸ ἀόριστον συγχωρήσοι ἄν τις ἐπιδέχεσθαι τὸ ποσὸν τὸ μᾶλλον καὶ τὸ ἧττον, ὥσπερ καὶ ἐναντίωσιν· τὸ γὰρ μὴ πρός τι λεγόμενον μέγα ἀλλὰ καθ' αὑτὸ ἀντίκειται τῷ καθ' αὑτὸ λεγομένῳ μικρῷ.

Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι· τοῦτο γὰρ καὶ μόνῳ καὶ παντὶ πρόσεστιν. ἕκαστον γὰρ τῶν εἰρημένων ποσῶν ἴσον καὶ ἄνισον λέγεται, καὶ ἀριθμὸς καὶ χρόνος ἴσος καὶ ἄνισος λέγεται· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ῥηθέντων ἕκαστον ἴσον καὶ ἄνισον λέγεται. τῶν δὲ λοιπῶν ὅσα μή ἐστι ποσά, οὐ πάνυ ἂν δόξαιεν ἴσον καὶ ἄνισον λέγεσθαι, οἷον ἡ διάθεσις ἴση τε καὶ ἄνισος οὐδ' ὅλως λέγεται, ἀλλὰ μᾶλλον ὁμοία καὶ ἀνομοία, καὶ τὸ λευκὸν ἴσον τε καὶ ἄνισον οὐ πάνυ λέγεται, ἀλλὰ μᾶλλον ὅμοιον. ὥστε τοῦ ποσοῦ μάλιστα ἂν ἴδιον τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. ἅπαν γὰρ ποσόν, καθὸ τοιοῦτον, μετρητόν ἐστι· πᾶν δὲ μετρητὸν ἢ τοῖς αὐτοῖς μετρεῖται μέτροις ἢ πλείοσιν ἢ ἐλάττοσιν. ἴσον μὲν ἂν εἴη τὸ τοῖς αὐτοῖς μετρούμενον, τὸ δὲ πλείοσιν ἢ ἐλάττοσιν ἄνισον. καὶ γὰρ τοῖς ἄλλοις τὸ μετρητοῖς εἶναι διὰ τὸ ποσὸν ὑπάρχει· οὐ γὰρ ᾗ ξύλον μετρεῖται τὸ ξύλον, ἀλλ' ᾗ μέγεθος καὶ ποσὸν ἔχει. καὶ τὸ μὲν μέγεθος καὶ πηλίκον καὶ τὸ μετρεῖν ἀποδώσεις τῷ συνεχεῖ κυριολεκτῶν, τὸ δὲ πλῆθος καὶ ποσὸν καὶ ἀριθμεῖν τῷ διωρισμένῳ. ὥσπερ δὲ ἀριθμὸς ἀριθμῷ ἴσος καὶ ἄνισος λέγεται καὶ μέγεθος μεγέθει, οὕτω καὶ ῥοπὴ ῥοπῇ· οἷον μνᾶ πρὸς μνᾶν καὶ πρὸς τάλαντον ἴση ῥηθείη καὶ ἄνισος. οὐκ ἐν πᾶσι δὲ ἕψεται τὸ ἐπὶ τῆς ῥοπῆς ἴσον καὶ ἄνισον τῷ κατὰ τὸν ὄγκον ἢ τοῖς μεγέθεσιν, ἀλλὰ διαφωνήσει τοῖς πλείστοις. καὶ σχεδὸν ἐπὶ πάντων τῶν ἀνομοιοειδῶν σωμάτων ἄνισοι τοῖς ὄγκοις εἰσὶν αἱ ῥοπαί. ὥσπερ δὲ ἐπὶ τοῦ ποιοῦ τὸ ἴσον καὶ ἄνισον λέγεται κατὰ τὸ συνυπάρχον ποσόν, οὕτω κἀν τῷ

4 οὐδ' ὅ γε ὁ χρόνος M χρόνος μᾶλλον M 7 τῆς] τις L 11 ὑμμητοῦ BL 13 μᾶλλον μέντοι M 13. 14 ἥττων M 14 συγχωρήσει M 16 καθ' αὑτὰ M καθ' αὑτῷ (ante λεγομένῳ) L 18 δὲ om. M 21 τῶν δὲ—λέγεσθαι (22) om. M 22 δόξαι B 23 μᾶλλον om. M 26 μετρητόν L ἢ] ἐν M 28 μετρητὸν M¹ 29 ᾗ ξύλω M 34 ὄγγον BL 36 ὄγγοις BL 37 κἂν L

ποσῷ κατὰ τὸ συνὸν αὐτῷ ποιὸν τὸ ὅμοιον ῥηθείη καὶ ἀνόμοιον. τρίγωνα γὰρ καὶ τετράγωνα καὶ ὅλως σχήματα καὶ ὅμοια καὶ ἀνόμοια λέγεται· ποσὸν μὲν γὰρ τὸ σχῆμα κατὰ τὴν διάστασιν καὶ τὸν μερισμόν, ποιὸν δὲ κατὰ τὴν μορφὴν καὶ τὴν ἰδιότητα. καὶ αἱ ἀποφάσεις δὲ τοῦ ποσοῦ καὶ αἱ πτώσεις ὅμοιαι
5 ταῖς ἐπὶ ταῖς οὐσίαις, ἐπὶ μέντοι τῶν πληθῶν διαφωνεῖ καὶ τοῦ ἑνός· οὔτε γὰρ ἐπὶ τοῦ ἑνὸς πληθυντικῶς ἐστιν ἐξενεγκεῖν, οὔτ' ἐπὶ πλήθους ἑνικῶς. δίπηχυ δὲ καὶ μεγάλα καὶ πολλὰ λέγεται, καθάπερ δίπηχυ καὶ μέγα καὶ πολύ. λέγεται δὲ καὶ στερητικῶς ἐν τῷ ποσῷ· τὸ γὰρ ἄπειρον κατὰ στέρησιν τοῦ πέρας ἔχειν λέγεται. ὁμοίως δὲ καὶ τὸ ἀμερές, ὅτι τοῦ γένους ὄντα τῶν
10 ἐχόντων οὐκ ἔχει, τὸ μὲν ἐπὶ τοῦ ἀριθμοῦ, τὸ δ' ἐπὶ τῆς γραμμῆς. ὡς δὲ ἀπὸ τοῦ ποιοῦ παρεγκέκλιται τὸ πῶς, οἷον δικαίως, καλῶς, οὕτως ἀπὸ τοῦ ποσοῦ ποσαχῶς, οἷον τριχῶς, καὶ ἔτι ποσάκις, δίς, τρίς, πολλάκις, ὀλιγάκις. ἕκαστον δὲ τῶν ὄντων ἓν καὶ ὅλον λέγεται, στιγμὴ δὲ καὶ μονὰς ὅλα οὐ λέγονται· ὅλον μὲν γάρ ἐστι τὸ συμπεπληρωμένον πᾶσι τοῖς μέρεσι· ταῦτα
15 δὲ καὶ ἀμερῆ.

Ἀρχὰς δὲ ταῦτα τοῦ τε διωρισμένου ποσοῦ καὶ τοῦ συνεχοῦς ἐν τοῖς ἄνω διορισάμενοι, δεῖ καὶ τὴν ἐν ἀμφοτέροις συνορᾶν διαφορὰν καὶ κοινότητα. ἓν μὲν οὖν τῷ ἀριθμῷ ὅλον λέγεται, ὃ καθ' ὅλον ἑαυτῷ συνέχεται καὶ περιγράφεται καὶ τῶν ἄλλων κεχώρισται· ὅταν δὲ πρὸς τῷ ἓν εἶναι καὶ ἀπῃρημω-
20 μένον τυγχάνει καὶ ἄζυγον καὶ χωρὶς ἑτέρου ὁμογενοῦς, μόνον κατονομάζεται. ὅθεν οὐ διαφέρει μόνωσιν εἰπεῖν ἢ μονάδα. ἕνωσις δέ ἐστιν ἡ τῶν τοῦ ἑνὸς πρὸς ἄλληλα μορίων συνέχεια. λέγεται δὲ καὶ ἡ μονὰς στιγμὴ θέσιν οὐκ ἔχουσα καὶ ἡ στιγμὴ μονὰς θέσιν ἔχουσα. ἀπορωτάτως δὲ ἰδίως περὶ στιγμῆς ἔχοντες λάβοιμεν ἄν τινα περὶ αὐτῆς ἐξ ἀναλύσεως ἔννοιαν. ἐπεὶ γὰρ ἅπαν
25 τὸ περατοῦν τοῦ περατουμένου λείπεται μιᾷ διαστάσει, τριχῇ δὲ τὸ σῶμα διΐσταται καὶ περατοῦται ὑπὸ τῆς ἐπιφανείας, ἡ δὲ ὑπὸ γραμμῆς, γραμμὴ δὲ ὑπὸ σημείου, εἰς δύο μὲν ἡ ἐπιφάνεια διαστήσεται, κατά τε μῆκος καὶ πλάτος (μιᾷ γὰρ ἐλλείψει τοῦ σώματος, τῇ εἰς βάθος), ἡ δὲ γραμμὴ οὔτε τὴν εἰς βάθος οὔτε τὴν εἰς πλάτος διάστασιν ἔχουσα μόνην ἕξει τὴν εἰς μῆκος, ἡ
30 μέντοι στιγμὴ μηδεμιᾶς τῶν διαστάσεων ὑπολειπομένης μενεῖ ἀδιάστατος. γένεσιν δὲ συνεχοῦς καὶ διωρισμένου καὶ ὅλως ποσοῦ ἄνωθεν οὕτω δεῖ θεωρεῖν. ἡ τοῦ ἑνὸς δύναμις, ἀφ' οὗ πᾶν τὸ ποσὸν ἀπογεννᾶται, διατείνεται δι' ὅλων ἡ αὐτὴ καὶ ὁρίζει ἕκαστον προϊοῦσα ἀφ' ἑαυτῆς. ᾗ μὲν οὖν δι' ὅλων διήκει παντάπασιν ἀδιαιρέτως καὶ ᾗ τὴν πρόοδον ποιεῖται μίαν καὶ ἀδιαίρετον, τὸ
35 συνεχὲς ὑφίστησιν· ᾗ δὲ προϊοῦσα ἵσταται καθ' ἕκαστον τῶν εἰδῶν καὶ ὁρίζει καὶ ἑνοποιεῖ, κατὰ τοῦτο τὸ διωρισμένον παράγει. κατὰ δὲ τὴν περιέχουσαν ἅμα τὰς δύο ταύτας ἐνεργείας μίαν κυριωτάτην αἰτίαν τὰ δύο ποσὰ παράγει· ἅμα γὰρ καὶ μένει καὶ πρόεισι. περιέχει γὰρ ἡ τῶν νοητῶν μέτρων δύναμις ἅμα ἀμφότερα ἐν ἑνὶ τῷ αὐτῷ, τά τε μένοντα καὶ τὰ προϊόντα· ἐντεῦθεν

---

8 στερητικὸν L 13. 14 λέγεται M 18 καθόλου M 19 πρὸς τὸ M ἀπηωρημένον M 23 ἔχουσαν (post οὐκ) L καὶ—ἔχουσα om. M 25 τὸ περατουμένου L 29 εἰς τὸ μῆκος M 32 πᾶν om. M 33 ἡ αὐτὴ] αὐτῇ LM 35 ἵσταται post εἰδῶν transponit M 39 τὰ (post καὶ) om. M

ἐν τῷ κόσμῳ παντὶ τοῦ τε συνεχοῦς ἡ φύσις προῆλθεν, ἥτις καλεῖται μέγεθος κατὰ ἕνωσιν καὶ ἀλληλουχίαν, καὶ ἡ τοῦ διωρισμένου, ἥτις καλεῖται πλῆθος κατὰ σωρείαν τε καὶ παράθεσιν, κοινὸν ἔχοντα τὸ τοσόνδε ὡς μέτρον καὶ πέρας. καὶ κατὰ μὲν τὴν τοῦ μεγέθους οὐσίαν εἷς ὁ κόσμος ἐστί τε καὶ νο-
5 εῖται, σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ διατεταμένος καὶ ἀλληλουχούμενος, κατὰ δὲ τὸ πλῆθος ἥ τε σύνταξις καὶ ἡ διακόσμησις ἡ ἐκ τῶν τοσῶνδε φέρε εἰπεῖν στοιχείων καὶ ζώων ἢ φυτῶν θεωρεῖται, καὶ ἐναντιοτήτων ἢ ὁμοιοτήτων τόσων καὶ τόσων. εἰ οὖν ἐν ταῖς εἰκόσιν οὕτω ταῦτα κεχώρισται, πολὺ πρότερον ἐν τοῖς νοουμένοις γένεσι καὶ πρὸ τούτων ἐν τοῖς καθ' αὑτὰ ἀόλοις
10 εἴδεσι διέστηκε, κοινὸν ἔχοντα, ὡς εἴρηται, τὸ μέτρον καὶ τὸ πέρας. διὰ ταῦτα καὶ πολυχρυστέρα τῶν ἄλλων κατηγοριῶν ἡ περὶ τοῦ ποσοῦ θεωρία· αἱ γὰρ κυριώταται τῶν μαθηματικῶν ἐπιστῆμαι περὶ αὐτὸ διατρίβουσιν, ἡ μὲν γεωμετρία καὶ ἀστρονομία περὶ τὸ συνεχὲς καταγινόμεναι, ἡ μὲν τὸ κατὰ τὴν μονήν, οἷον τὴν γῆν, ἡ δὲ τὸ κατὰ τὴν κίνησιν, οἷον τὸν οὐρανόν· ἀριθμη-
15 τικὴ δὲ καὶ μουσικὴ περὶ τὸ διωρισμένον, ἡ μὲν τὸ καθ' αὑτό, ἡ δὲ τὸ πρὸς ἕτερον.

Τῆς τῶν πρός τι τάξεως οὔσης ἀμφισβητησίμου πως, πότερον ἡγεῖσθαι δεῖ τοῦ ποιοῦ ἢ ἕπεσθαι, ἡμεῖς μετὰ τὸ ποσὸν τετάχαμεν καὶ πρὸ τῆς ποιότητος. ἐπεὶ γὰρ συνεχῆ ⟨εἶναι⟩ τὴν διδασκαλίαν ἔδει καὶ μὴ ἀπηρτημένην διὰ μακροῦ,
20 πολὺς δ' ἐν τῷ τοῦ ποσοῦ ὁ τοῦ πρός τι λόγος συγκαταμέμικται (μέγα γὰρ ἐκεῖ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον οὐχ ὡς ποσὰ ἀλλ' ὡς τῶν πρός τι συνεξητάζετο, καὶ ἔτι τῷ ποσῷ ὑπεροχὴ καὶ ἔλλειψις συνυφίσταται, ὅθεν οἱ λόγοι τοῦ τε ὑπερέχοντος πρὸς τὸ ὑπερεχόμενον, ἐν οἷς αἱ τοῦ πρός τι σχέσεις συνυφεστήκασιν. καὶ προϋφεστῶτος μεγέθους καὶ πλήθους ἐπιγίνεται τὸ μεῖζόν
25 τε καὶ βραχύτερον καὶ τὸ πλεῖον καὶ ἔλαττον), εἰκότως εὐθὺς τὴν μετὰ τὸ ποσὸν τοῖς πρός τι χώραν ἐνείμαμεν. εἴ τις δὲ καὶ τὴν ποιότητα ὡς καθ' αὑτὸ καὶ τῇ οὐσίᾳ συγγενεστέραν προετίθη τῶν πρός τι, φυσικώτερον ἂν ἦν κἀκεῖνος τῇ τάξει χρώμενος. ἀδιαφόρως δὲ καὶ τὴν ἐπιγραφὴν κατὰ τὸν ἀριθμὸν ἐκδεξόμεθα· ὅ τε γὰρ λόγος ἀξιοῖ πᾶσαν κατηγορίαν καὶ ἓν εἶναι καὶ πολλά,
30 ἓν μὲν κατὰ τὴν ἐν τῷ γένει περιοχήν, πολλὰ δὲ διὰ τὸν εἰς πλῆθος τῶν εἰδῶν μερισμόν, καὶ τὰ πρός τι δήπου, καθ' ὅσον μὲν ἐν πλήθει τὴν σχέσιν ἔχουσι, πολλὰ ἔσται, καθ' ὅσον δὲ ἡ ἐν πλείοσι σχέσις καθ' ἓν ἕστηκε καὶ νενόηται καὶ μιᾷ ἰδιότητι τῇ σχετικῇ ἀφορίζεται, ἑνικῶς ἐπιγράφεται. ἐπεὶ δὲ καθάπαξ τὰ πρός τι σχέσεις εἰσίν, πότερον ἡ σχέσις αὕτη ἐν ὑποστάσει ἢ
35 ὄνομα μόνον ἄλλως συνεκφερόμενον; ἀλλ' ὅτι μὲν οὐ πᾶσαν σχέσιν ἀναιρετέον, δῆλον ἐκ τοῦ δεῖν, ὥσπερ τὴν οὐσίαν καὶ ποσότητα καὶ ποιότητα καὶ τῶν ἄλλων ἕκαστον γενῶν, οὕτω καὶ τὴν σχέσιν ἐν τοῖς οὖσι τίθεσθαι, πολλὴν χρείαν καὶ αὐτὴν παρεχομένην· οὔτε γὰρ τὰ γένη οὔτε τὰ ὑπ' αὐτὰ ὄντα

1 τε om. M 5 συμπεφυκὸς M διατεταγμένος M 8 καὶ πόσων LM
17 Περὶ τοῦ πρός τι superscribit L et al. m. M πως scripsi: ὡς libri πρότερον M 19 εἶναι addidi 20 ὁ om. M 21 καὶ μικρὸν om. M πόσα M
22 ὑπεροχῇ L 23 σχέσις L 27 προετίθει M 32 καθ' ὅσον — νενόηται om. M
34 σχέσις εἰσὶν L αὐτὴ M

κοινωνίαν πρὸς ἄλληλα ἕξει τινά, εἰ μή τις εἴη σχέσεως ἐν τοῖς οὖσι λόγος. ἄτοπον δὲ καὶ τὴν τῶν διαφερόντων πρὸς ἄλληλα ἀναιρεῖν κοινωνίαν καὶ τῶν πρώτων πρὸς τὰ δεύτερα καὶ τῶν ἀσωμάτων πρὸς σώματα, οἷον ψυχῆς πρὸς σῶμα καὶ νοῦ πρὸς ψυχὴν καὶ ὅλως θεοῦ πρὸς ἄνθρωπον· οὐ γὰρ ὁμοούσια
5 ταῦτα οὐδὲ ἡ ἕνωσις αὐτοῖς κατὰ σύμφυσιν, ἀλλὰ τῇ σχέσει συνδέδενται. τὸ δὲ καὶ ἁρμονίαν ἀναιρεῖν, οὐ τὴν ἐν φθόγγοις μόνην οὐδὲ τὴν ἐν τοῖς ἀριθμοῖς, ἀλλὰ καὶ τὴν ἐν οὐσίαις τε καὶ δυνάμεσι καὶ ἐνεργείαις, ἥτις ἐγγινομένη τοῖς οὖσι συνήγαγεν καὶ σχέσιν ἔχειν πρὸς ἄλληλα ἀπειργάσατο, ἔτι δὲ ἅπαν ἴσον καὶ σύμμετρον, πῶς οὐκ ἀφιλόσοφον καὶ παράλογον; εἰ δὲ καὶ γεωμετρία καὶ
10 μουσικὴ περὶ σχέσεις ἔχουσι τὸ εἶναι, ἀνυπόστατοι δ' αὗται, πῶς οὐ γελοῖαι περὶ τοῦ μὴ ὄντος κατατριβόμεναι; καὶ ἐπὶ τούτοις πῶς ἐφετὸν ὁ θεὸς πᾶσι λέγεται, εἰ μηδεμία πρὸς τὸ ἐφετὸν τῷ ἐφιεμένῳ σχέσις; εἰ οὖν ταῦτα ἄτοπα, πολύ τι τὸ τῆς σχέσεώς ἐστι γένος, οὐκ ἐν τοῖς αἰσθητοῖς μόνοις, ἀλλὰ καὶ ἐν τοῖς νοητοῖς καὶ ἐν τοῖς μετὰ τὰ νοητὰ ἀσωμάτοις. τοιγαροῦν καὶ χρῶνται
15 πάντες αὐτῷ, καὶ ἀδύνατον ὅτιοῦν χωρὶς σχέσεως διαλεχθῆναι· τὸ γὰρ ταὐτὸν καὶ τὸ ἕτερον, ὧν οὐδὲ φθέγγεσθαι χωρὶς δυνάμεθα, τῆς τοῦ πρός τί ἐστι σχέσεως, καὶ ἡ τῶν συνθέτων σύστασις, κατὰ σύνοδον τῶν διαφερόντων γινομένη, κατὰ σχέσιν ὑφέστηκεν. ἀλλ' οὐδ' ὡς παραφυομένην ταῖς ἄλλαις κατηγορίαις τὴν τοῦ πρός τι ἐπεισοδιώδη ταύτην νομίσομεν, ἀλλὰ προηγουμένην
20 οὖσαν καὶ κατ' οἰκείαν διαφορὰν θεωρουμένην. αὕτη γὰρ κοινότης ἐστὶ διὰ πάντων ἥκουσα τῶν ἐναντίων καὶ τῶν ὁπωσοῦν διαφερόντων, καὶ τῶν ὅλων γενῶν καὶ τῶν ὑπ' αὐτὰ τεταγμένων, ἥτις εἰ μὴ παρῆν, διεσπάσθη ἂν πάντα ἀπὸ πάντων. καὶ ἡ μέν τίς ἐστι σχέσις ἐν εἴδει καὶ λόγῳ ὑφεστῶσα, ἡ δὲ μετάσχεσις αὐτοῖς ἐν τοῖς μετειληφόσιν, οὐκ ἀπὸ γενέσεως ἢ κινήσεως ἢ ἄλλον
25 τρόπον ἐπεισοδιώδη τὴν εἰς τὸ εἶναι πάροδον ἔχουσα. οὔτε γὰρ ἀπόστασις οὔτε παράθεσις οὔτε συναγωγὴ ἢ διάσχισις ἢ προσθήκη ἢ ἀφαίρεσις ἢ θέσις μορίων ἢ ὅλως τι τῶν τοιούτων τὴν σχέσιν ὑφίστησιν, ἐπεὶ τὰ αὐτὰ τῶν ἐναντίων ἐστὶ σχέσεων οἰστικὰ καὶ τὰ ἐναντία τῶν αὐτῶν. μόνως ἄρα κυρίως αἴτιον τῆς σχέσεώς ἐστι τὸ μετασχεῖν τοῦ τῆς σχέσεως εἴδους, καὶ τὸ πρός
30 τι κατὰ τὴν σχέσιν ἀνιχνευέσθω μόνην, μὴ συλλαμβανόντων ἡμῶν τὰ πράγματα, ὧν ἐστιν ἡ σχέσις.

Τοσαῦτα καὶ περὶ τῆς τῶν πρός τι διηπορηκότες ὑπάρξεως ἑξῆς λέγομεν, τίνα ταῦτα οἰόμεθα. ἐπεὶ δὲ φθάνουσιν οἱ πρὸ ἡμῶν ὅρῳ τὴν φύσιν αὐτῶν ὑπογράψαντες, παρακολουθήσομεν ἐν πρώτοις αὐτοῖς προσιστορούντες καὶ διη-
35 γούμενοι, ὅ τι καὶ λέγουσι, καὶ κατὰ τὸν ἐκδοθέντα παρ' ἐκείνοις τύπον τὴν τῶν πρός τι διδασκαλίαν ποιήσομεν. εἰ δέ τι προϊοῦσι φανείη ἐπιστασίας κατὰ τὸν ὅρον ἄξιον, καὶ τοῦτο τῆς προσηκούσης τεύξεται διορθώσεως, φιλοσόφως μέντοι καὶ ἀπαθῶς· πλημμελὲς γὰρ περὶ τηλικούτων κλεινοῖς ἀνδράσιν ἐπιτιμᾶν.

---

3 πρὸς τὰ ἀσώματα M 5 τῶν σχέσει L 6 τοῖς om. M 7 καὶ (post ἀλλὰ) om. M 10 γελοῖον M 13 μόνον M 15 καὶ οὐ δύναται M ὁτιοῦν L 17 σύνοδον om. LM 28 καὶ τὰ ἐναντία iterat M μόνω, ut videtur, L 29 αἴτιον] ἕτερον M 31 ἐστιν om. M 34 παρακολουθήσωμεν M 38 περὶ] παρὰ M

7 Πρός τι οὖν τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερα. οἷον τὸ μεῖζον τοῦθ' ὅπερ ἐστὶν ἑτέρου λέγεται μεῖζον· τινὸς γὰρ μεῖζον λέγεται· καὶ τὸ διπλάσιον ἑτέρου λέγεται τοῦθ' ὅπερ ἐστίν· τινὸς γὰρ διπλάσιον λέγεται. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ⟨ὅσα⟩ τοι-
5 αῦτα. ἔστι δὲ καὶ τὰ τοιάδε τῶν πρός τι, οἷον ἕξις, διάθεσις, αἴσθησις, ἐπιστήμη, θέσις. πάντα γὰρ τὰ εἰρημένα τοῦθ' ὅπερ ἐστὶν ἑτέρων λέγεται, ἢ ἄλλως ὁπωσοῦν πρὸς ἕτερον, καὶ οὐκ ἄλλο τι· ἡ γὰρ ἕξις τινὸς ἕξις λέγεται καὶ ἡ ἐπιστήμη τινὸς ἐπιστήμη καὶ ἡ θέσις τινὸς θέσις, καὶ τἆλλα ὡσαύτως. πρός τι οὖν ἐστι, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως
10 πρὸς ἕτερον. οἷον ὅρος μέγα λέγεται πρὸς ἕτερον ὅρος· πρός τι γὰρ μέγα λέλέγεται τὸ ὅρος. καὶ τὸ ὅμοιον δὲ τινὶ ὅμοιον λέγεται, καὶ τἆλλα δὲ τὰ τοιαῦτα ὡσαύτως πρός τι λέγεται. ἔστι δὲ καὶ ἡ ἀνάκλισις καὶ ἡ στάσις καὶ ἡ καθέδρα θέσεις τινές. ἡ δὲ θέσις τῶν πρός τι. τὸ δ' ἀνακεκλίσθαι καὶ ἑστάναι καὶ καθῆσθαι αὐτὰ μὲν οὔκ εἰσι θέσεις, παρωνύμως δὲ ἀπὸ τῶν εἰρημένων
15 θέσεων λέγονται. ὥσπερ καὶ τὸ κεῖσθαι ἀπὸ τῆς θέσεως. ὑφ' ὃ τὰ εἰρημένα ἀνάγεται.

Πολυσχιδῆ δὲ καὶ τὴν εἰς τὰ εἴδη διαίρεσιν δέξονται καὶ κατ' ἐπιβολὰς πλείονας. τὰ μὲν γὰρ αὐτῶν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται, ὡς τὸ πολὺ καὶ ὀλίγον καὶ μεῖζον καὶ ἔλαττον· τὰ δὲ καθ' ὁμοιότητα καὶ ἰσότητα, ὡς τὸ
20 ἴσον καὶ ὅμοιον καὶ ταὐτόν· τὰ δὲ κατὰ τὸ ποιεῖν καὶ πάσχειν, ὡς τὸ θερμαῖνον καὶ θερμαινόμενον· τὰ δὲ κατὰ τὴν τῆς δυνάμεως στέρησιν, ὡς τὸ ἀδύνατον ὁραθῆναι πρὸς τὸ ἀδύνατον ἰδεῖν· τὰ δὲ κατὰ τὸ κρῖνόν τε καὶ κρινόμενον, ὡς ἅπαν μέτρον καὶ ἐπιστήμη καὶ αἴσθησις· τὰ δὲ κατὰ τὴν ἐπὶ τὸ γένος ἀναφοράν, ὡς ἡ γραμματικὴ πρός τι κατὰ τὴν ἐπὶ τὸ γένος τὴν ἐπι-
25 στήμην ἀναφοράν· τὰ δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ὡς πατήρ, υἱός. ἐπεὶ δὲ καὶ καθ' ἑαυτὰ μὲν οὔκ εἰσι, παραφύονται δὲ ταῖς ἄλλαις κατηγορίαις, εἴη ἂν καὶ κατ' ἐκείνας αὐτοῖς ἡ διαίρεσις. καὶ τὰ μὲν αὐτῶν ἔσονται ἐν οὐσίᾳ, ὡς πατήρ, υἱός· τὰ δὲ ἐν ποσῷ, ὡς μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον· τὰ δὲ ἐν ποιῷ, ὡς τὸ λευκότερον, γραμματικώτερον· τὰ δὲ ἐν τῷ ποιεῖν καὶ
30 πάσχειν, ἐφ' ὧν καὶ ἡ ἐνέργεια καὶ τὸ πάθος ὁμωνυμεῖ, ὡς καῦσις, τμῆσις, καὶ ὁ τυπτόμενος ὑπὸ τύπτοντος τύπτεται· τὰ δὲ κατὰ τὸ ποῦ, ὡς τὸ ἐπέκεινα καὶ ἐπὶ τάδε καὶ τὸ ἄνω καὶ τὸ κάτω· τὰ δὲ κατὰ τὸ ποτέ, ὡς τὸ πρεσβύτερον καὶ νεώτερον· τὰ δὲ καὶ κατ' αὐτὸ τὸ πρός τι, ὡς τὸ ἐγγύτερον καὶ ὁμοιότερον· τὰ δὲ κατὰ τὸ κεῖσθαι, ὡς τὸ ἐπίκειται, ὑπόκειται· τὰ δὲ κατὰ τὸ
35 ἔχειν, ὡς ὑπόδησις, ὅπλισις. ἔτι τοῦ πρός τι τὰ μὲν μᾶλλον τὸν χαρακτῆρα ἐνδείκνυται, ὡς τὸ γλυκὺ καὶ ἡδύ (οὐ γὰρ ἂν ἀλλοῖα γένοιτο, εἰ μὴ συμμεταβάλλει καὶ ἡ περὶ αὐτὰ δύναμις), τὰ δὲ τὴν σχέσιν μᾶλλον ὡς πατήρ, υἱός

2. 3 λέγεται μεῖζον] sic etiam Categ. 6a38 codices duo 3 τινὸς—λέγεται om. M 4 ὅσα addidi 5 τὰ om. M[1] τοιαῦτα L[1] 11 τὸ (ante ὅρος) om. M 12 καὶ ἡ στάσις om. M 13 στάσεις τινές M 17 πολυσχεδῆ libri 20 καὶ ταὐτόν—θερμαινόμενον (21) om. M 22 εἰδεῖν L post καὶ add. τὸ M 24 ὡς ἡ γραμματικὴ—ἀναφοράν (25) om. L 31 ὑπὸ τοῦ τύπτοντος τύπτεσθαι M 33 τὸ δὲ M καὶ (post δὲ) om. M ante ὡς add. καὶ M 37 πατὴρ καὶ υἱός BM

(μηδὲν γὰρ ὁ πατὴρ μεταβαλὼν γένοιτ' ἂν οὐ πατήρ, ἀποθανόντος τοῦ υἱοῦ). τὰ δὲ ἐπαμφοτερίζει τῇ τε ἐν αὐτοῖς ποιότητι καὶ τῇ πρὸς ἕτερον σχέσει, ὡς τὸ λευκότερον καὶ θερμότερον. ἔτι τὰ μὲν καθ' αὑτὸ πρός τι, τὰ δὲ κατὰ συμβεβηκός· καὶ καθ' αὑτὸ μέν, οἷον ἴσον, ὅμοιον· προηγουμένην γὰρ ἔχει ταῦτα τὴν σχέσιν καὶ κατὰ ταύτην ὑφέστηκεν· κατὰ συμβεβηκὸς δὲ τὰ τοιάδε λέγοιτο, ὡς ἄνθρωπος, πατὴρ ὢν ἢ διπλάσιος· συμβέβηκε γὰρ αὐτῷ ταῦτα. καὶ τῶν σχέσεων δὲ αἱ μὲν συνυπάρχουσι τοῖς ὑποκειμένοις, ὅσα συνουσίωνται αὐτοῖς, ὡς τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἐν τοῖς τοῦ ζώου μέρεσιν, καὶ δεσπότης καὶ δοῦλος ἐπὶ θεοῦ καὶ ἀνθρώπων· αἱ δὲ καὶ μενόντων τῶν ὑποκειμένων προαπολείπουσιν, ὡς τὸ κατὰ τὴν στάσιν δεξιὸν καὶ ἀριστερὸν μεταβεβλημένου τοῦ ἱσταμένου· αἱ δὲ καὶ φθειρομένοις ἐπιδιαμένουσιν, ὡς αἱ τῶν πρότερον καὶ ὕστερον ὑφεστηκότων κατὰ χρόνον πρὸς ἄλληλα σχέσεις, διὰ τὸ τοὺς λόγους ἔχειν καθ' ἑαυτὰς ἀσωμάτους.

Ὥσπερ οὖν ἔσχον τὰ πρός τι πολυειδῆ τὴν διαίρεσιν, οὕτω καὶ τὴν ἀπόδοσιν καὶ τὴν ἐπιστροφὴν διάφορον ἕξουσι. τὰ μὲν γὰρ αὐτῶν κατὰ τὴν γενικὴν τὴν ἀπόδοσιν ποιεῖται καὶ τὴν ἀντιστροφήν, ὡς ὁ πατὴρ υἱοῦ πατήρ, καὶ ὁ υἱὸς πατρὸς υἱός, καὶ τὸ μεῖζον ἐλάττονος καὶ τὸ ἔλαττον μείζονος. τὰ δὲ πρὸς δοτικήν, ὡς τὸ ἴσον ἴσῳ ἴσον καὶ ὁμοίῳ τὸ ὅμοιον ὅμοιον. τὰ δὲ πρὸς γενικὴν μὲν ἔχουσι τὴν ἀπόδοσιν, πρὸς δοτικὴν δὲ τὴν ἐπιστροφήν, ὡς ἡ ἐπιστήμη ἐπιστητοῦ καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν· τὰ δὲ πρὸς γενικὴν καὶ δοτικὴν μετά τινος παρονομασίας, ὡς τὸ ὑπερέχον τοῦ ὑπερεχομένου ὑπεροχῇ ὑπερέχει καὶ τὸ ὑπερεχόμενον ὑπεροχῇ τοῦ ὑπερέχοντος ὑπερέχεται, οἷον τὰ ι' τῶν ζ' τρισὶν ὑπερέχει καὶ τὰ ζ' τῶν ι' τρισὶ τοῖς αὐτοῖς ὑπερέχεται. τὰ δὲ καὶ μετὰ προθέσεως τὴν ἀγωγὴν ποιεῖται, οἷον τὸ μέγα πρὸς μικρὸν λέγεται μέγα, καὶ τὸ μικρὸν πρὸς μέγα λέγεται μικρόν, καὶ τὸ δῶρον παρὰ τοῦ δωρουμένου δωρεῖται, καὶ τὰ ὅμοια.

Καὶ φθορὰ δὲ τοῖς πρός τι κατὰ τὴν γένεσιν. ἐπεὶ γὰρ ἐν ἑτέροις ἐστὶ καὶ πρὸς ἕτερα ἡ σχέσις, διὰ τοῦτο καὶ ἡ γένεσις αὐτῶν καὶ ἡ φθορὰ ἐκείνων ἔχεται, πρὸς ἅ πως ἔχει, καὶ κἂν μηδὲν αὐτὰ καθ' αὑτὰ πάσχει, ἐκείνων μεταβαλλόντων συμμεταβάλλει. οὕτως δὲ μεταβάλλει τὰ πρός τι, ὡς πέφυκεν. τοῦ οὖν ἐκ δεξιᾶς καὶ τοῦ πατρὸς λῃψόμεθα τὴν μεταβολήν, καθό εἰσι τοιοῦτοι· τοῦ μὲν γὰρ μεταβολὴ ἡ τοῦ υἱοῦ ἀλλοίωσις, τοῦ δ' ἡ τοῦ πρὸς αὐτὸν τοιάνδε θέσιν ἔχοντος, καὶ ἐπὶ πάντων ὁ αὐτὸς ἀπαρκέσει λόγος. διῃρημένοι οὖν τὰ πρός τι καὶ κατὰ τὴν ὑπογραφὴν ἐκδιδάξαντες, καὶ τὴν φύσιν, ὅπως ἔχει, ἐκ τῶν ἐνδεχομένων περὶ αὐτῶν εἰπεῖν ἀμηγέπη παραστησάμενοι, τίσι τῶν ἄλλων γενῶν τὸ παρὸν ἀφορίζεται, καὶ τί τὸ ἴδιον αὐτοῦ, ζητεῖν τοῖς ἑξῆς ἀπαρχόμεθα.

---

3 post καὶ add. τὸ M 6 λέγεται M διπλάσιος] υἱὸς M 12 τὸ om. M 19 ἡ om. M 21 τὸ ὑπερέχον τοῦ ὑπερεχομένου scripsi: τὸ ὑπερεχόμενον τοῦ ὑπερέχοντος libri 23 τοῦ ζ L 24 τὰ δὲ] τὸ μὲν M προσθέσεως L 29 ἅ πως] ἅπερ LM κἂν L 31 λειψόμεθα L 32 δ' ἡ scripsi: δὲ libri αὐτὴν L 35 δεχομένων M ἀμηγέπως L 36 τοῖς om. B¹

Ὑπάρχει δὴ καὶ ἐναντιότης ἐν τοῖς πρός τι, οἷον ἀρετὴ καὶ κακία ἐναντίον, ἑκάτερον αὐτῶν τῶν πρός τι ὄν, καὶ ἐπιστήμη ἀγνοίᾳ. κατά τε γὰρ τὴν ἐπὶ τὸ γένος ἀναφορὰν ἡ ἀρετὴ καὶ ἡ κακία πρός τι (ἕξεις γὰρ ἄμφω) καὶ καθ' ὅσον ἡ μὲν μεσότης καὶ συμμετρία, ἡ δὲ ἀσυμμετρία. εἴδησις δὲ καὶ γνῶσις καὶ ἐπιστήμη, εἰ δεῖ τοῖς φιλοσοφοῦσι καὶ περὶ ὀνομάτων σκέπτεσθαι, τούτοις ἀλλήλων διενηνόχασιν, ἐν οἷς μὴ ἐκ παραλλήλου λαμβάνοιντο· τὴν μὲν γὰρ τῶν εἰδῶν θεωρητικὴν λέγουσι, τὴν δὲ τῶν γενῶν, τὴν δὲ ἐπαναβεβηκυῖαν καὶ τῶν πρώτων ἀρχῶν ἀντιληπτικήν. οὐ πᾶσι δὲ τοῖς πρός τι ὑπάρχει ἐναντιότης· τῷ γὰρ διπλασίῳ οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τῷ τριπλασίῳ, οὐδὲ τῶν τοιούτων οὐδενί.

Δοκεῖ δὲ ⟨τὸ⟩ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι τὰ πρός τι· ὅμοιον γὰρ καὶ ἀνόμοιον μᾶλλον καὶ ἧττον λέγεται καὶ ⟨ἰσαίτερον καὶ⟩ ἀνισαίτερον μᾶλλον καὶ ἧττον λέγεται, ἑκάτερον αὐτῶν τῶν πρός τι ὄν· τό τε γὰρ ὅμοιον τινὶ ὅμοιον λέγεται, καὶ τὰ ἀνισαίτερα ἑτέρων τινῶν ἀνίσων ἀνισαίτερα. οὐ πάντα δὲ τὰ πρός τι ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· τὸ γὰρ διπλάσιον οὐ λέγεται μᾶλλον καὶ ἧττον διπλάσιον, οὐδὲ τῶν τοιούτων οὐδέν. τὸ γὰρ αὐτὸ εἶδος τοῦ διπλασίου καὶ τριπλασίου ἔν τε τοῖς ἐλάττοσι καὶ ἐν τοῖς πλείοσιν ἀριθμοῖς· οὐ γὰρ μᾶλλον τὰ δέκα τῶν πέντε διπλάσια ἢ τὰ δύο τοῦ ἑνός. ἐπειδὴ γὰρ τὰ πρός τι τοῖς ἄλλοις συνυφίσταται ἢ παρυφίσταται γένεσιν, ὡς ἂν ἐκεῖνα περὶ ἐναντιότητος καὶ τοῦ μᾶλλον καὶ τοῦ ἧττον ἕξοι, καὶ ταῦτα. ὅθεν οὔτε τὰ ἐν οὐσίᾳ οὔτε τὰ ἐν ποσῷ πρός τι ἐπιδεκτικὰ τῶν εἰρημένων, ἐπεὶ μηδὲ τὰ ὑποτεθέντα γένη. ἐν ὅσαις δὲ κατηγορίαις ἐναντιότης πρόσεστι καὶ ἄνεσις καὶ ἐπίτασις, ὡς ἐπὶ τῆς ποιότητος, καὶ τὰ κατ' ἐκείνας πρός τι τῶν τοιούτων μεθέξουσι.

Τρίτον τοῖς πρός τι παρακολούθημα τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι. τριττῆς δὲ οὔσης τῆς ἀντιστροφῆς, τῆς μὲν ἐν συλλογισμῷ, τῆς δὲ ἐν προτάσεσι, τῆς δὲ ἐν ὅροις, ἡ τῶν πρός τι ἀντιστροφὴ ἡ κατὰ τοὺς ὅρους ἐστίν, καθ' ἣν οὐ μόνον ψιλὴ τῶν πραγμάτων ἀντακολούθησις γίνεται, ὥσπερ τῷ σπουδαίῳ τὸ θεοσεβὲς καὶ τὸ ἀνάπαλιν, ἀλλὰ καὶ μετὰ τῆς πρὸς ἄλληλα τῶν ἀντικατηγορουμένων σχέσεως. οὐ γὰρ ταὐτόν ἐστι τὸ τόδε τοῦδε καὶ τοῦδε τόδε, καὶ τὸ μετὰ σχέσεως ἔχειν τοῦτο· ἄλλο γὰρ τὸ εἰπεῖν σπουδαῖος θεοσεβὴς καὶ θεοσεβὴς σπουδαῖος, καὶ ἄλλο πατὴρ υἱοῦ καὶ υἱὸς πατρός· τοῦτο μὲν γὰρ κατὰ σχέσιν, ἐκεῖνο δὲ κατὰ μέθεξιν. πάντα γοῦν τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγονται. οἷον ὁ δοῦλος δεσπότου λέγεται δοῦλος καὶ ὁ δεσπότης δούλου δεσπότης λέγεται, καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον καὶ τὸ ἥμισυ διπλασίου ἥμισυ, καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον καὶ τὸ ἔλαττον μείζονος ἔλαττον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, πλὴν τῇ πτώσει ἐνίοτε διοίσει κατὰ τὴν λέξιν, οἷον ἡ ἐπιστήμη ἐπιστητοῦ λέγεται ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπι-

2 γὰρ om. M 11 τὸ addidi 12 λέγονται M ἰσαίτερον καὶ addidi ἀνισαίτερον] ἀνισότης M 16 οὐδέν scripsi: οὐδενί libri 17 τριπλασίου καὶ τοῦ διπλασίου M 18 τῶν δέκα B 20 καὶ τοῦ μᾶλλον om. M 21 τὰ ἐνούσια M 28 οὐ μόνον] καὶ μόνη L 29 μετὰ τῆς] τὴν M 30 σχέσεων M 33 γὰρ μὲν L 34 λέγεται M

στήμῃ ἐπιστητόν, καὶ ἡ αἴσθησις αἰσθητῶν αἴσθησις καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν· οὐ γὰρ πρὸς γενικὴν ἐποιήσαντο τὴν ἀντιστροφήν, ὥσπερ τὰ πρότερον, ἀλλὰ πρὸς δοτικήν. οὐ μὴν ἀλλ' ἐνίοτε οὐ δόξει ἀντιστρέφειν, ἂν μὴ οἰκείως πρὸς ὃ λέγεται ἀποδοθῇ, ἀλλὰ διαμάρτοι ὁ ἀποδιδούς· οἷον τὸ πτερὸν ἐὰν ἀποδοθῇ ὄρνιθος, οὐκ ἀντιστρέφει ὄρνις πτεροῦ. οὐ γὰρ οἰκείως τὸ πρῶτον ἀποδίδοται πτερὸν ὄρνιθος· οὐ γὰρ ᾗ ὄρνις, ταύτῃ τὸ πτερὸν αὐτῆς λέγεται, ἀλλ' ᾗ πτερωτόν ἐστι· πολλῶν γὰρ καὶ ἄλλων πτερά ἐστιν, ἃ οὐκ εἰσὶν ὄρνιθες. ὥστ' ἂν ἀποδοθῇ οἰκείως, καὶ ἀντιστρέφει, οἷον τὸ πτερὸν πτερωτοῦ πτερὸν καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν. ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον, ἐὰν μὴ κείμενον εἴη ὄνομα, πρὸς ὃ οἰκείως ἀποδοθείῃ, οἷον τὸ πηδάλιον πλοίου ἂν ἀποδοθείῃ, οὐκ οἰκεία ἡ ἀπόδοσις· οὐ γὰρ ᾗ πλοῖον, ταύτῃ αὐτοῦ τὸ πηδάλιον λέγεται· ἔστι γὰρ πλοῖα, ὧν οὐκ ἔστι πηδάλια· τὰ γὰρ μικρὰ ἀκάτια κώπαις ἰθύνονται. διὸ οὐκ ἀντιστρέφει· τὸ γὰρ πλοῖον οὐ λέγεται πηδαλίου πλοῖον· ἀλλ' ἴσως οἰκειοτέρα ἂν ἡ ἀπόδοσις εἴη, εἰ οὕτως πως ἀποδοθείη, τὸ πηδάλιον πηδαλιωτοῦ πηδάλιον, ἢ ὁπωσοῦν ἄλλως· ὄνομα γὰρ οὐ κεῖται. καὶ ἀντιστρέφει γε ἐὰν οἰκείως ἀποδοθῇ· τὸ γὰρ πηδαλιωτὸν πηδαλίῳ πηδαλιωτόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οἷον ἡ κεφαλὴ οἰκειοτέρως ἂν ἀποδοθείη κεφαλωτοῦ ἢ ζώου ἀποδιδομένη· οὐ γὰρ ᾗ ζῶον, κεφαλὴν ἔχει· πολλὰ γὰρ τῶν ζώων κεφαλὴν οὐκ ἔχει, ὡς οἱ ἐν θαλάττῃ πνεύμονες καὶ ὄστρεα πάντα καὶ καρκίνοι. οὕτω δὲ ῥᾷστα ἄν τις ἴσως λαμβάνοι οἷς μὴ κεῖται ὀνόματα, εἰ ἀπὸ τῶν πρώτων καὶ τοῖς πρὸς ἃ ἀντιστρέφουσι τιθείη τὰ ὀνόματα, ὥσπερ ἐπὶ τῶν προειρημένων ἀπὸ τοῦ πτεροῦ πτερωτὸν καὶ ἀπὸ τοῦ πηδαλίου τὸ πηδαλιωτὸν καὶ τῆς κεφαλῆς τὸ κεφαλωτόν. δύο γὰρ οἱ τρόποι τῆς ὀρθῆς ἀποδόσεως, τό τε πρὸς ὃ κατὰ φύσιν λέγεται ἀποδίδοσθαι καὶ τὸ ἐξισάζειν. ἰσότης δὲ γίνεται, ὅταν ἢ τὸ μεῖζον καθαιρῆται ἢ τὸ ἔλαττον αὔξηται. οὐ καινοτομοῦμεν δέ, ἐν οἷς ἀνάγκη, ὀνοματοποιεῖν προστάττοντες, ὁρῶντες ἑκάστην τέχνην αὐτὴν ἐφευρίσκουσαν οἷς πραγματεύεται τὰ ὀνόματα. ἢ γὰρ τὸ ἀλλαχοῦ τῇ συνηθείᾳ κείμενον ἰδίᾳ οἱ τεχνῖται ἀποτεμόμενοι ἔχουσιν, ὡς τὸ κέντρον ἐπὶ τῆς σφαίρας οἱ γεωμέτραι καὶ τὸ χρῶμα ἐπὶ τῇ διαφορᾷ τῶν μελῶν οἱ μουσικοί, ἢ καὶ παντάπασιν ἄγνωστα τῇ συνηθείᾳ λαμβάνοντες τῇ φύσει τῶν ὑποκειμένων προσήρμοσαν. ἃ δὲ παρ' ἡμῖν ἐνταῦθα προσείληπται, τῇ τε φύσει τῶν ὑποκειμένων κατάλληλα καὶ τῇ συνηθείᾳ καὶ τῇ κοινότητι γνώριμα.

Πάντα οὖν τὰ πρός τι, ἐάνπερ οἰκείως ἀποδιδῶται, πρὸς ἀντιστρέφοντα λέγεται, ἐπεὶ ἐάν γε πρὸς τὸ τυχὸν ἀποδιδῶται καὶ μὴ πρὸς αὐτὰ ἃ λέγεται, οἷον ὁ δοῦλος ἐὰν μὴ δεσπότου ἀποδοθῇ δοῦλος ἀλλ' ἀνθρώπου ἢ δίποδος ἢ ὁτουοῦν τῶν τοιούτων, οὐκ ἀντιστρέφει· οὐ γὰρ οἰκεία ἡ ἀπόδοσις. ἔτι ἐὰν μὲν οἰκείως ἀποδεδόμενον ᾖ, πρὸς ὃ λέγεται, πάντων περιαιρουμένων τῶν ἄλλων.

---

4 διαμάρτη M 7 ἀλλ' ᾗ] ἀλλὰ L¹ 9 δὲ om. M 10 οἷον—ἀποδοθείη (11) om. M 11 αὐτοῦ] αὐτῆ M 12 ἔστι πηδάλιον M ἀκάτια om. L 16 ἀποδοθείη M 19 ὡς—θαλάττῃ] οἷον θαλάττιοι M οἱ] ἡ L 20 λαμβάνει M 21 τὰ om. M 28 τεχνῆται M 31 προσήρμοσται M 32 καινότητι B 33 ἀποδίδωνται M 34 λέγονται M ἀποδίδωνται M ἃ λέγονται M 36 ὁτουοῦν ex Aristotele scripsi: ὁτιοῦν libri 37 ἀποδεδομένων L

ὅσα συμβεβηκότα ἐστί, λειπομένου δὲ τούτου μόνου, πρὸς ὃ ἀπεδόθη οἰκείως, ἀεὶ πρὸς αὐτὸ ῥηθήσεται, οἷον εἰ ὁ δοῦλος πρὸς δεσπότην λέγεται, περιαιρουμένων ἁπάντων. ὅσα συμβεβηκότα ἐστὶ τῷ δεσπότῃ, οἷον τὸ δίποδι εἶναι, τὸ ἐπιστήμης δεκτικῷ καὶ τὸ ἀνθρώπῳ, καταλειπομένου δὲ μόνου τοῦ δεσπότην εἶναι, ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸ ῥηθήσεται· ὁ γὰρ δοῦλος δεσπότου δοῦλος λέγεται. ἐὰν δέ γε μὴ οἰκείως ἀποδοθῇ πρὸς ὅ ποτε λέγεται, περιαιρουμένων μὲν τῶν ἄλλων, καταλειπομένου δὲ μόνου τοῦ πρὸς ὃ ἀπεδόθη, οὐ ῥηθήσεται πρὸς αὐτό. ἀποδεδόσθω γὰρ ὁ δοῦλος ἀνθρώπου καὶ τὸ πτερὸν ὄρνιθος καὶ περιῃρήσθω τοῦ ἀνθρώπου τὸ δεσπότην αὐτὸν εἶναι· οὐ γὰρ ἔτι ὁ δοῦλος πρὸς ἄνθρωπον ῥηθήσεται· μὴ γὰρ ὄντος δεσπότου οὐδὲ δοῦλός ἐστιν. ὡσαύτως καὶ τοῦ ὄρνιθος περιῃρήσθω τὸ πτερωτὸν εἶναι· οὐ γὰρ ἔτι ἔσται τὸ πτερὸν τῶν πρός τι· μὴ γὰρ ὄντος πτερωτοῦ οὐδὲ πτερὸν ἔσται τινός. ὥστε δεῖ μὲν ἀποδιδόναι πρὸς ὅ ποτε οἰκείως λέγεται. καὶ ἐὰν μὲν ὄνομα ᾖ κείμενον, ῥᾳδία ἡ ἀπόδοσις γίνεται· μὴ ὄντος δὲ ἀναγκαῖον ἴσως ὀνοματοποιεῖν. οὕτω δὲ ἀποδιδομένων φανερὸν ὅτι πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα ῥηθήσεται. εἰ δὲ καὶ μόνως. ἀπορήσειεν ἄν τις εἰς τὰ τοιαῦτα ἀποβλέψας· καὶ γὰρ εἴ τι καλόν, καὶ ἀγαθόν, καὶ εἴ τι ἀγαθόν, καλόν. ἢ τοῦτο μὲν καὶ αὐτόθεν ἔσφαλται· οὐ γὰρ ἀντιστρέφει· ἐπὶ πλέον γὰρ τὸ ἀγαθὸν τοῦ καλοῦ. τὰ δὲ συνυπάρχοντα διὰ τὸ ἀεὶ παρεῖναι δόξειεν ἂν ἀντιστρέφειν, ὡς τὸ κέντρον τῇ σφαίρᾳ καὶ τῷ ἡλίῳ τὸ φῶς καὶ τῷ πυρὶ ἡ θερμότης· τὸ μὲν γὰρ κατ' οὐσίαν σύνεστιν, τὸ δὲ ἀνάγεται εἰς τὸν ἥλιον ὡς δεύτερον πρὸς πρῶτον καὶ αἴτιον, τῷ δὲ πυρὶ ἡ θερμότης ὡς οὐσιώδης ποιότης συμπέφυκε. καὶ οἱ ὅροι μέντοι τῷ κεφαλαιώδεις εἶναι τοῖς ὧν εἰσι πράγμασιν ἀντακολουθοῦσι. μήποτ' οὖν ἀκριβέστερον τοῦ εἰρημένου ἐξακούειν δεῖ· οὐ γὰρ ἀλλήλοις συνυπάρχειν τὰ πρός τι ἐλέγετο, ὡς τὸ φῶς καὶ ὁ ἥλιος καὶ ἡ θερμότης καὶ τὸ πῦρ, οὐδὲ ὅτι τὸ ἕτερόν ἐστιν ὅπερ τὸ ἕτερον. ὡς τὸ καλὸν καὶ ἀγαθόν, εἰ καὶ ἀντιστρέφοντα δοίημεν. ἀλλὰ πρός τι ἐλέγομεν τά τε ἀντιστρέφοντα καὶ τὰ ἀλλήλων εἶναι λεγόμενα. τὸ μὲν γὰρ πρὸς ἕτερον ἀπονεύειν καὶ πρὸς ἕτερον λέγεσθαι τὸ εἶδος αὐτὸ τοῦ πρός τι ἐστίν· τὸ δὲ καὶ ἐκεῖνο, πρὸς ὃ λέγεται, ὁμοίως λέγεσθαι πρὸς τὸ πρὸς αὐτὸ λεγόμενον, τοῦτο τὸ ἴδιον. ὅλως γὰρ οὐδὲ λέγεται πρὸς ἄλληλα τὰ ἄλλως συνυπάρχοντα· οὐ γὰρ τὸ φῶς πρὸς τὸν ἥλιον λέγεται, εἰ καὶ ἐκεῖθεν ἐστί. τὸ γὰρ τοῦ τινὸς εἶναι γέννημα ἢ ἐνέργειαν ἢ πάθος ἢ κτῆμα ἕτερον τοῦ πρός τι εἶναι καὶ λέγεσθαι· τὰ μὲν γὰρ ἐν τῷ πρὸς ἕτερον ἀπονεύειν οὐσίωνται, τὰ δὲ κἂν ἄλλου ᾖ, ἀλλ' ὅμως καὶ ἰδίαν ἔχει φύσιν.

Τῶν δὲ τῇ αὐτῇ πτώσει ἀντιστρεφόντων τὰ μὲν τῷ αὐτῷ πράγματι χρῆται ἐφ' ἑκάτερον, ὡς τὸ ἴσον καὶ ὅμοιον, τὰ δὲ ἑτερότητα ἔχει ὡς πατὴρ καὶ υἱός, δοῦλος καὶ δεσπότης. καὶ ἔτι τῶν πρός τι τὰ μὲν πρὸς ἀπολελυμένα

---

3 τῷ δίποδι B: τὸ δίποδα M 4 τὸ scripsi: τῶ libri 6 λέγηται BL 8 καὶ om. BL 12 τοῦ πρός τι M 15 τὰ πρός τι πάντα M ῥηθήσεται] λέγεται M 16 μόνως scripsi: μόνοις libri 17 αὐτόθι M 20 γὰρ om. M 21 καὶ om. M 23 ἀντακολούθεσι L 24 τῶν εἰρημένων M 30 οὐ λέγεται M 32 ἐνέργεια BL 34 ἰδίως L 38 τι om. M

ἑαυτῶν λέγεται, ὡς πατὴρ πρὸς υἱόν, ἕτερον ἑαυτοῦ τῇ ὑποστάσει· τὰ δὲ συνῆπται εἰς ἃ λέγεται, ὡς τὸ μέρος τῷ ὅλῳ. οὕτω δ' ἂν λέγοιτο καὶ ὁ κόσμος πρός τι ὡς πρὸς τὸ κοσμωτόν· ἔξωθεν γάρ τοι ἑαυτοῦ οὐκ ἔχει πρὸς ὃ λεχθήσεται· εἰ δὲ καὶ ὡς ἀποτέλεσμα τοῦ ποιήσαντος νενόηται καὶ κοσμήσαντος, ἔσται καὶ τῇ ὑποστάσει κεχωρισμένος. ἀλλὰ πῶς ἄνθρωπος ὅμοιος θεῷ λέγεται καὶ ὅλως ἡ εἰκὼν τῷ παραδείγματι; πότερον καὶ τὰ τοιαῦτα πρός τι, καίπερ τῆς σχέσεως οὐκ ἀντιστρεφούσης (οὐ γὰρ δὴ καὶ ἀνθρώπῳ θεὸς ὅμοιος ἢ τὸ παράδειγμα τῇ εἰκόνι). ἢ τὸ μὲν παράδειγμα ἀντιστρέφει (ὡς γὰρ εἰκὼν παραδείγματος, οὕτω καὶ τὸ παράδειγμα εἰκόνος), τὸ δὲ ὅμοιον οὐκέτι: εἰ δὲ δυσχεραίνει τις τὴν ἀπ' ἐκείνων ὁποιανοῦν πρὸς τὰ τῇδε σχέσιν, τὴν ἄσχετον καλουμένην ἐννοείτω σχέσιν καὶ τὴν ἀνεπίκλητον πρόνοιαν, καθ' ἣν ἡμῶν δεσπόζει θεός, καὶ κτήματα αὐτοῦ ἡμεῖς, ὡς προνοοῦντος ἐκείνου, κατευθυνομένων δὲ ἡμῶν.

Τέταρτον τοῖς πρός τι παρακολούθημα τὸ ἅμα τῇ φύσει εἶναι· δοκεῖ γὰρ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι. καὶ ἐπὶ μὲν τῶν πλείστων ἀληθές ἐστιν· ἅμα γὰρ διπλάσιόν τέ ἐστι καὶ ἥμισυ, καὶ ἡμίσεος ὄντος διπλάσιόν ἐστι. καὶ δούλου ὄντος δεσπότης ἐστίν· ὁμοίως δὲ τούτοις καὶ τἆλλα. συναναιρεῖ δὲ ταῦτα ἄλληλα· μὴ γὰρ ὄντος διπλασίου οὐκ ἔστιν ἥμισυ, καὶ ἡμίσεος μὴ ὄντος οὐκ ἔστι διπλάσιον· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα τοιαῦτα. οὐκ ἐπὶ πάντων δὲ τῶν πρός τι ἀληθὲς δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι· τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι. ὡς γὰρ ἐπὶ τὸ πολὺ προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν· ἐπ' ὀλίγων γὰρ ἢ ἐπ' οὐδενὸς ἴδοι τις ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γινομένην. τά τε γὰρ ἄνευ ὕλης νοητὰ ἅμα τῇ κατ' ἐνέργειαν ἐπιστήμῃ, καὶ ἡ τῶν κοινῶν ὑπόστασις καὶ ἐξ ἀφαιρέσεως ἅμα τῇ περὶ αὐτῶν ἐπιστήμῃ, καὶ πρὸς τούτοις τὰ ἀναπλάσματα τῆς τε φαντασίας καὶ τὰ τῶν τεχνιτῶν· ἅμα γὰρ χίμαιρα καὶ ἡ περὶ αὐτῆς ἐπιστήμη. ἔτι τὸ μὲν ἐπιστητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν ἐπιστήμην, ἡ δὲ ἐπιστήμη τὸ ἐπιστητὸν οὐ συναναιρεῖ· ἐπιστητοῦ γὰρ μὴ ὄντος οὐκέτι ἐπιστήμη (οὐδενὸς γὰρ ἔτι ἔσται ἐπιστήμη). ἐπιστήμης δὲ μὴ οὔσης οὐδὲν κωλύει ἐπιστητὸν εἶναι, οἷον καὶ ὁ τοῦ κύκλου τετραγωνισμὸς εἴ γ' ἔστιν ἐπιστητόν, ἐπιστήμη μὲν αὐτοῦ οὐκ ἔστιν οὐδέπω. αὐτὸς δέ. τὸ ἐπιστητόν. ἐστίν. ἔτι ζῴου μὲν ἀναιρεθέντος οὐκ ἔστιν ἐπιστήμη. τῶν δὲ ἐπιστητῶν πολλὰ ἐνδέχεται εἶναι. ὁμοίως δὲ ἔχει τούτοις καὶ τὰ ἐπὶ τῆς αἰσθήσεως· τὸ γὰρ αἰσθητὸν πρότερον τῆς αἰσθήσεως δοκεῖ εἶναι. τὸ μὲν γὰρ αἰσθητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν αἴσθησιν, ἡ δὲ αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ. αἱ γὰρ αἰσθήσεις περὶ σῶμα καὶ ἐν σώματί εἰσιν, αἰσθητοῦ δ' ἀναιρεθέντος ἀνῄρηται καὶ τὸ σῶμα (τῶν γὰρ αἰσθητῶν καὶ τὸ σῶμα), σώματος δὲ μὴ ὄντος ἀνῄρηται καὶ ἡ

2 εἰς] fort. πρὸς 3 πρός τι ὡς om. M κοσμωτόν] sic libri et Simplicius Categ. γάρ τι B 4 κοσμήσας M 7 δὴ καὶ] δίκαιον M 8 μὲν om. M 10 ἄσχετον] ἔσχατον L 11 ἀνεπίκλητον scripsi: ἀνεπίκλιτον libri 12 post ἐκείνου add. καὶ M 13 δὲ om. M 16 τέ] τί M 17 δεσπότου B συναναιρεῖ L 18 ἡμίσεως L 21 εἶναι om. M 22 ὀλίγον L 23 τὴν ἐπιστήμην ἅμα τῷ ἐπιστητῷ γενομένην M 26 τεχνητῶν libri χείμαιρα L 31 τὸ] sic libri et Categ. cod. C 33 πρότερον om. M

αἴσθησις· ὥστε συναναιρεῖ τὸ αἰσθητὸν τὴν αἴσθησιν. ἡ δέ γε αἴσθησις τὸ αἰσθητὸν οὔ· ζώου γὰρ ἀναιρεθέντος ἡ αἴσθησις μὲν ἀναιρεῖται, αἰσθητὸν δὲ οὔ, οἷον σῶμα, θερμόν, γλυκύ, πικρόν, καὶ τἆλλα πάντα, ὅσα εἰσὶν αἰσθητά. ἔτι ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ γίνεται· ἅμα γὰρ ζῶόν τε γίνεται καὶ ἡ αἴσθησις· τὸ δέ γε αἰσθητόν ἐστι καὶ πρὸ τοῦ αἴσθησιν εἶναι· πῦρ γὰρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα, ἐξ ὧν τὸ ζῶον συνίσταται, ἔστι καὶ πρὸ τοῦ ὅλως ζῶον εἶναι ἢ αἴσθησιν· ὥστε πρότερον ἂν τῆς αἰσθήσεως τὸ αἰσθητὸν εἶναι δόξειεν.

Μήποτ' οὖν ὁ μὲν λόγος ἀληθὴς εἴη, καὶ πάντα ἅμα τῇ φύσει τὰ πρός τι ἐστὶν ἀλλήλοις συγγενόμενα καὶ συνυπάρχοντα καὶ συναπολλύμενα, ἃ δὲ νῦν εἰς τοὐναντίον ἐπεχειρήσαμεν, τοῦ πιθανοῦ μᾶλλον ἂν ἢ τοῦ ἀληθοῦς εἴη ἐχόμενα. καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ ὥσπερ ἐν ἄλλοις πολλὰ τῶν ζητουμένων κατεύθυνεν, οὕτω κἀνταῦθα προσληφθέντα τὰ ἠπορημένα λύει. εἰ μὲν γὰρ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ θερμόν, ἔτι δὲ ὅλως αἰσθητὸν καὶ ἐπιστητὸν ὡς πράγματα λαμβάνοιτο καὶ καθ' ἑαυτὰ θεωρεῖται, προτερεύειν ἂν εὐλόγως τῆς ἐπιστήμης καὶ αἰσθήσεως λέγοιντο· εἰ δὲ ὡς αἰσθητὰ καὶ ἐπιστητά, κατ' ἐνέργειαν μὲν οὔ (πῶς γάρ, μὴ οὔσης αἰσθήσεως καὶ ἐπιστήμης;) δυνάμει δέ· εἰ δὲ τοῦτο, εἴη ἂν δήπου δυνάμει καὶ ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις, πρὸς ἃς ταῦτα λέγονται, συνυπάρχουσαι. εἰ γὰρ καὶ πρὸ τοῦ Θαλοῦ ἦν ἡ σελήνη, ὡς πρᾶγμα ἦν, οὐχ ὡς ἐπιστητόν· εἰ δὲ καὶ ἐπιστητὴ δυνάμει κατὰ τὴν ἔκλειψιν, καὶ ἡ τῆς ἐκλείψεως ἐπιστήμη δυνάμει δήπουθεν ἦν. ὡς δὲ ἐπὶ τῶν παρελθόντων, καὶ ἐπὶ τῶν μελλόντων ἕξει. καὶ περὶ τοῦ κύκλου, εἰ μὲν ἐπιστητὸς ἔσται ποτέ, ἔστι δὲ νῦν, οὐχ ὡς ἐπιστητόν, ἀλλ' ὡς πρᾶγμά ἐστιν· εἰ δὲ καὶ ἐπιστητὸς δυνάμει, δυνάμει ἐστὶ καὶ ἡ ἐπιστήμη αὐτοῦ. καὶ ἐπὶ τούτοις, εἰ καὶ μὴ ἐν ἀνθρώποις σύγχρονος τῶν πραγμάτων καὶ κατ' ἐνέργειαν ἡ ἐπιστήμη, ἀλλ' οὖν ἐν τῷ ἀκινήτῳ αἰτίῳ ἦν ἡ τῶν πραγμάτων ἐπιστήμη καὶ πρὸ τοῦ τὰ πράγματα εἶναι.

Εἰ δέ τις ἰσχυρίζεται καὶ ἐπὶ τοῖς ἄλλοις τῶν ἀντικειμένων, οἷον τοῖς ἐναντίοις καὶ τοῖς κατὰ στέρησιν καὶ ἕξιν καὶ τῇ ἀντιφάσει τὸ ἅμα εἶναι καὶ συνυπάρχειν, καὶ οὐ μόνοις ἀπολείπει τοῖς πρός τι, ἐκεῖνο δεῖ γινώσκειν, ὡς αὐτὰ μέν, καθό εἰσι φύσεως, τοσούτου δέουσι τοῦ συνυπάρχειν ἢ ἅμα εἶναι, ὅσῳ καὶ ἀλλήλων φθαρτικὰ καὶ ἀναιρετικά εἰσι· τὸ δὲ ὅλως τῇ θέσει τοῦ ἑνὸς συννοεῖσθαι τὸ ἕτερον καὶ ὅλως συνυπάρχειν καὶ ἅμα τὴν νόησιν ἔχειν ἀπὸ τῆς ἐνδιδομένης ἀπὸ τῶν πρός τι σχέσεώς ἐστιν αὐτοῖς.

Τούτων οὕτω διωρισμένων καιρὸς ἂν εἴη καὶ τὸν ἑκδεδομένον τοῖς πρεσβυτέροις τῶν πρός τι λόγον ἡμᾶς ἐπισκέψασθαι. εἰ γὰρ πρός τι ἐστίν, ὅσα αὐτὰ

---

2 ζώου μὲν γὰρ M μὲν om. M 4 μὲν om. M αἰσθητῶ M 5 αἴσθησιν] sic libri et Categ. cod. B: ζῶον ἢ αἴσθησιν recte ibid. AC γὰρ om. M¹ 10 συγγινόμενα M 11 ἂν om. M 12 τῶ δυνάμει LM 13 κατηύθυνεν BL 15 καὶ om. M 17 μὲν ἢ οὔπω γὰρ M 19 λέγεται M συνυπάρχουσα M 20 καὶ ἐπιστητὸν L 24 ἐπιστητὸν M ἡ om. M 25 καὶ (post πραγμάτων) om. M 26 ἀκοινήτω L 27 τὰ om. LM 29 καταφάσει M 31 φύσεις M 32 τὸ iterat M ὅλον M 33 ante τὸ add. καὶ M 35. 36 τοῖς πρός τι πρεσβύτερον, τὸν πρός τι λόγον M

ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται. ἔχει ἀπορίαν, πότερον οὐδεμία οὐσία τῶν πρός τι, καθάπερ δοκεῖ (ἕτερα γὰρ ἀλλήλων τῇ φύσει τὰ γένη τοῦ ὄντος ἐστίν), ἢ τοῦτο ἐνδέχεται κατά τινας τῶν δευτέρων οὐσιῶν. ἐπὶ μὲν γὰρ τῶν πρώτων οὐσιῶν ἀληθές ἐστιν· οὔτε γὰρ τὰ μέρη οὔτε τὰ ὅλα πρός τι ἐστίν. ὁ γὰρ τὶς ἄνθρωπος οὐ λέγεται τινός τις ἄνθρωπος, οἷον ὁ Σωκράτης αὐτὸ ὅπερ ἐστὶν οὐ λέγεται ἑτέρου (εἰ γὰρ καὶ λέγεται τοῦ θεοῦ, ὡς κτῆμα δηλαδὴ ἢ ποίημα λέγεται), οὐδ' ὁ τὶς βοῦς τινός τις βοῦς. ὡσαύτως δὲ καὶ τὰ μέρη· ἡ γὰρ τὶς χεὶρ οὐ λέγεται τινός τις χεὶρ ἀλλά τινος χείρ, καὶ ἡ τὶς κεφαλὴ οὐ λέγεται τινός τις κεφαλὴ ἀλλά τινος κεφαλή. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν δευτέρων οὐσιῶν. ἐπί γε τῶν πλείστων, οἷον ὁ ἄνθρωπος οὐ λέγεται τινὸς ἄνθρωπος, οὐδὲ ὁ βοῦς τινὸς βοῦς, οὐδὲ τὸ ξύλον τινὸς ξύλον, ἀλλά τινος κτῆμα λέγεται. ἐπὶ μὲν οὖν τῶν τοιούτων φανερὸν ὅτι οὐκ ἔστι τῶν πρός τι· ἐπ' ἐνίων δὲ τῶν δευτέρων οὐσιῶν ἔχει ἀμφισβήτησιν, οἷον ἡ ἁπλῶς κεφαλὴ τινὸς κεφαλὴ λέγεται, τοῦ ἁπλῶς ἀνθρώπου, καὶ ἡ χεὶρ ἡ καθόλου ὡσαύτως τινὸς λέγεται χείρ, καὶ ἕκαστον τῶν τοιούτων· ὥστε ταῦτα τῶν πρός τι δόξειεν ἂν εἶναι, κατά γε τὰ εἰρημένα. πρὸς δὲ σαφήνειαν τῶν λεγομένων ἐκεῖνα δεῖ προσλαβεῖν, ὡς τῆς οὐσίας τὸ μὲν ὅλον τὸ δὲ μέρος, καὶ τὸ μὲν καθόλου τὸ δὲ μερικόν. συνδυαζόμενα δὲ καταλλήλως οὕτως ἂν λέγοιντο· ὅλον μὲν καὶ μερικὸν ἡ πρώτη οὐσία καὶ ἄτομος, Σωκράτης, Πλάτων, μέρος δὲ μερικὸν καὶ ἄτομον, ὡς ἥδε ἡ χεὶρ καὶ μία τῷ ἀριθμῷ, καὶ κεφαλὴ ὡσαύτως· καὶ ὅλον μὲν καθόλου ὁ κοινὸς καὶ κατ' εἶδος ἄνθρωπος, μέρος δὲ καθόλου ἡ ἁπλῶς χεὶρ καὶ ἡ ἁπλῶς κεφαλή. ὡς δὲ μέρος τοῦ τινὸς ἀνθρώπου καὶ μερικοῦ ἡ τὶς καὶ μερικὴ χεὶρ, οὕτω τοῦ ἁπλῶς καὶ καθόλου ἡ ἁπλῶς καὶ καθόλου χεὶρ. εἰς τέσσαρα οὖν τῆς οὐσίας διῃρημένης, τὸ μὲν καθόλου ὅλον καὶ τὸ μερικὸν ὅλον καὶ τὸ μερικὸν μέρος ἐκτὸς πίπτει τοῦ τῶν πρός τι διορισμοῦ (οὐ γὰρ λέγονται ταῦτα ἑτέρων), τὸ μέντοι καθόλου μέρος, ὡς ἡ ἁπλῶς χεὶρ καὶ ἡ ἁπλῶς κεφαλή, ἐπειδὴ ἑτέρων λέγονται, τοῖς πρός τι καταταγήσεται. προσβιάσαιτο δ' ἄν τις καὶ τὸ ἐν μέρει μέρος· ᾗ γὰρ ἥδε ἡ χείρ, τοῦδε τοῦ σώματος λέγεται. μέρη δὲ οὐσίας ταῦτα, τὰ μὲν πρώτης τὰ δὲ δευτέρας. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἀληθὲς τὸ μηδεμίαν οὐσίαν τῶν πρός τι εἶναι, ὥσπερ ἐλέγετο· τὰ γὰρ μέρη τῶν οὐσιῶν οὐσίαι καὶ αὐτά.

Εἰ μὲν οὖν ἱκανῶς ὁ τῶν πρός τι ὁρισμὸς ἀποδέδοται, ἢ τῶν πάνυ χαλεπῶν ἢ τῶν ἀδυνάτων ἐστὶ τὸ δεῖξαι ὡς οὐδεμία οὐσία τῶν πρός τι λέγεται· εἰ δὲ μὴ ἱκανῶς, ἀλλ' ἔστι τὰ πρός τι, οἷς τὸ εἶναι ταὐτόν ἐστι τὸ πρὸς τί πως ἔχειν, ἴσως ἂν ῥηθείη τι πρὸς αὐτά. ὁ δὲ πρότερος ὁρισμὸς παρακολουθεῖ μὲν πᾶσι τοῖς πρός τι, οὐ μὴν τοῦτό γέ ἐστιν τὸ πρός τι αὐτοῖς εἶναι τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεσθαι. ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι ἐάν τις εἰδῇ τι ὡρισμένως τῶν πρός τι, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται. φανερὸν

1 οὐδεμίαν οὐσίαν LM 6. 7 ἢ ὡς ποίημα M 8 εἰ γὰρ L 11 ἀλλὰ κτῆνος κτῆμα B 18 συνδοιαζόμενα libri 22 τοῦ om. M 26 λέγεται M 27 λέγεται M 28 τὸ] τῷ M ᾗ scripsi: ἡ BL: εἰ M σώματος] σωκράτους L: σω- B 30 τὸ] τῷ M 32 ἱκανῶς ex Aristotele scripsi: ἱκανὸς libri 34 ἱκανός LM τὸ] sic libri et, ut videtur, Categ. cod. A, cf. p. 38,2: legendum est τῷ 36 γε om. M τὰ αὐτὰ LM 38 εἴσεται ὡρισμένως πρὸς ὃ λέγεται M

μὲν οὖν καὶ ἐξ αὐτοῦ ἐστιν. εἰ γὰρ οἶδέ τις τόδε τι ὅτι τῶν πρός τι ἐστίν, ἔστι δὲ τὸ εἶναι τοῖς πρός τι ταὐτὸν τὸ πρός τι πῶς ἔχειν, κἀκεῖνο οἶδε, πρὸς ὃ τοῦτό πως ἔχει· εἰ γὰρ μὴ κἀκεῖνο οἶδε, πρὸς ὃ τοῦτό πως ἔχει, οὐδ' εἰ πρός τί πως ἔχει εἴσεται. καὶ ἐπὶ τῶν καθ' ἕκαστα δὲ δῆλον τὸ τοιοῦτον, οἷον τόδε τι εἴ τις οἶδεν ἀφωρισμένως ὅτι ἔστι διπλάσιον, καὶ ὅτου διπλάσιόν ἐστιν ἀφωρισμένως οἶδεν· εἰ γὰρ μή τινος τῶν ἀφωρισμένων οἶδεν αὐτὸ διπλάσιον, οὐδ' εἰ ἔστι διπλάσιον ὅλως οἶδεν. ὡσαύτως δὲ καὶ τόδε τι εἰ οἶδεν ὅτι κάλλιόν ἐστι, καὶ ὅτου κάλλιόν ἐστιν ἀφωρισμένως οἶδεν· ἀναγκαῖον γάρ ἐστι διὰ ταῦτα ἀφωρισμένως εἰδέναι. οὐκ ἀορίστως δὲ εἴσεται ὅτι τοῦτό ἐστι χείρονος κάλλιον· ὑπόληψις γὰρ τὸ τοιοῦτον γίνεται, οὐκ ἐπιστήμη· οὐ γὰρ ἔτι ἀκριβῶς εἴσεται ὅτι χείρονος κάλλιον. εἰ γὰρ οὕτως ἔτυχεν, οὐδέν ἐστι χεῖρον αὐτοῦ. ὥστε φανερὸν ὅτι ἀναγκαῖόν ἐστιν, ὃ ἂν εἰδῇ τις τῶν πρός τι ὡρισμένως, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἰδέναι. τὴν δέ γε κεφαλὴν καὶ τὴν χεῖρα καὶ ἕκαστον τῶν τοιούτων, αἵ εἰσιν οὐσίαι, αὐτὸ μὲν ὅπερ ἐστὶν ⟨ἔστιν⟩ ὡρισμένως εἰδέναι, πρὸς ὃ δὲ λέγεται, οὐκ ἀναγκαῖον· τίνος μὲν γὰρ αὕτη ἡ κεφαλὴ ἢ τίνος ἡ χείρ, οὐκ ἔστιν εἰδέναι ὡρισμένως. ὥστε οὐκ ἂν εἴη ταῦτα τῶν πρός τι· εἰ δὲ μή ἐστι τῶν πρός τι, ἀληθὲς ἂν εἴη λέγειν ὅτι οὐδεμία οὐσία τῶν πρός τι ἐστίν. ἐντεῦθεν δῆλον ὡς καὶ ἃ πρότερον ὡς τῶν πρός τι παραδείγματα ἐπὶ τῆς ἀντιστροφῆς ἐλαμβάνομεν, τὴν κεφαλὴν τοῦ ζώου ἢ τοῦ κεφαλωτοῦ λέγοντες καὶ τοῦ πλοίου τὸ πηδάλιον καὶ τῆς ὄρνιθος τὸ πτερόν, οὐχ ὡς ἡμῖν ἀρέσκοντα προσελήφθησαν, οὐδ' οἰκείαν ἐκεῖ δόξαν εἰσήγομεν, ἀλλὰ τοῖς περὶ τῶν πρός τι παρὰ τῶν πρὸ ἡμῶν διωρισμένοις εἰπόμεθα. ἴσως δὲ χαλεπὸν περὶ τῶν τοιούτων σφοδρῶς ἀποφαίνεσθαι καὶ μὴ πολλάκις ἐπεσκεμμένον· τὸ μέντοι διηπορηκέναι ἐφ' ἕκαστον αὐτῶν οὐκ ἄχρηστόν ἐστιν.

8 Ποιότητα δὲ λέγω, καθ' ἣν ποιοί τινες λέγονται, οἷον λευκότητα, θερμότητα, ψυχρότητα· λευκοὶ γὰρ καὶ θερμοὶ καὶ ψυχροὶ ἀπ' αὐτῶν οἱ μετέχοντες λέγονται. καὶ εἰσὶ ποιότητες μὲν τὰ μεθεκτά. ποιὰ δὲ τὰ μετέχοντα. τετάρτην δὲ ἀπὸ τῆς οὐσίας ἐν τῇ διδασκαλίᾳ κατηριθμήσαμεν τὴν ποιότητα, τοῦ Ἀρχύτα μετὰ τὴν οὐσίαν τάξαντος (δευτέρα γὰρ ἁ ποιότης, ἐκεῖνός φησιν· ἄνευ γὰρ τοῦ τί ἐστιν ἧμεν ἀδύνατον ποιόν τι ἧμεν), διά τε τὴν πρότερον λεχθεῖσαν αἰτίαν καὶ διὰ τὴν ἤδη ῥηθήσεσθαι μέλλουσαν. ὡς γὰρ ἡ οὐσία τῶν ὅλων προτέτακται τῷ ἐκεῖθεν τὸ εἶναι τοῖς ἄλλοις ἐνδίδοσθαι, οὕτω τὸ ποσὸν τοῦ πρός τι τῷ τὴν αἰτίαν τῶν λόγων αὐτῷ χορηγεῖν· ἐκ δὲ τῶν λόγων αἱ ποιότητες λαμβάνουσι τὴν ὑπόστασιν. καὶ οὕτως ἡ τάξις τῶν κατηγοριῶν ἐπιπλέκεται. καὶ τοῖς φυσικοῖς δὲ πράγμασιν οἰκείως ἄν τις τὴν τάξιν ὑπολογίσαιτο. μετὰ γὰρ τὴν οὐσίαν τὸ μέγεθός ἐστι· σὺν ποσῷ γὰρ πᾶσα φυσικὴ οὐσία. τῷ μεγέθει δ' εὐθὺς τὸ μεῖζον θεωρεῖται καὶ ἔλαττον, ἐν οἷς ἡ σχετικὴ κατηγορία

---

1 αὐτῶν M εἶδέ τις M ὅτι] ὅπερ L 2 τὸ] ὅτι M τὸ libri et Categ. A: τῷ recte ibid. BC 6 αὐτὸ διπλάσιον οἶδεν M 10 ante οὐκ add. καὶ M 12 χείρων BL 15 ἔστιν addidi 22 ἡπόμεθα L 25 περὶ ποιοῦ καὶ ποιότητος superscribunt libri 29 ἀποιότης L: ποιότης M 30 προτέραν BL 32 τὸ ἐκεῖθεν LM τὸ εἶναι om. M 35 τάσιν M 36 τῆς οὐσίας L¹ πᾶσα om. M τὸ μεγέθει L

συνέστηκε. περὶ δὲ τὰ τοῦ ὄγκου μεγέθη αἵ τε παντοῖαι ἀλλοιώσεις καὶ τὰ πάθη συνίστανται. καὶ περὶ μὲν τῆς τάξεως ταῦτα· περὶ δὲ τῆς ὑποστάσεως ἤδη ῥητέον. εἰ δὲ καί τινων ὑπὲρ τὴν εἰσαγωγὴν ὁ λόγος ἅψαιτο θεωρημάτων, οὐκ ἀλιγωρεῖν χρή. καὶ δὴ πρῶτον μὲν οὐκ ἀποδεχόμεθα τοὺς κατὰ τὴν κοινότητα τὴν ἐκ τῶν πολλῶν καὶ κεχωρισμένην παρ' ἡμῶν ἐννοουμένην ἐφιστάνοντας τὴν ποιότητα· κινδυνεύει γὰρ οὕτως ἀνυπόστατος εἶναι καὶ ἡ ποιότης καὶ τὰ ἑκτά· οὐδεμία γὰρ κατὰ τὰς τοιαύτας ἐπινοίας ὑπόστασις εἰσάγεται. ἐν δὲ τοῖς καθ' ἕκαστα καὶ συνθέτοις ὑπάρχει οὖσα. καὶ μὴν οὐδὲ εἴ τινες ἀπὸ τῶν εἰωθότων λέγεσθαι κατηγορημάτων ὁμοίως μὲν ἐπὶ τῶν ὑπαρχόντων κατά τε κοινὰ συμπτώματα σωμάτων καὶ ἀσωμάτων παράγουσι τὰς ποιότητας, οἷον ἀπὸ τοῦ δεδοκῶσθαι δόκωσιν καὶ ἀπὸ τοῦ ἰσῶσθαι ἰσότητα καὶ ἀπὸ τοῦ σῶμα ὑπάρχειν σωματότητα, οὐδὲ οὗτοι ὀρθῶς ἀποφαίνονται. οὐ γὰρ ἀπὸ τῆς συμβάσεως τῶν κατηγορημάτων αἱ ἕξεις ὑπάρχουσιν, οἷον οὐκ ἐπειδὴ τὸ διεστάναι τοῖς κίοσι συμβέβηκε, διὰ τοῦτο καὶ ἡ διάστασις περὶ αὐτοὺς βλέπεται. τὸ μὲν γὰρ κατηγόρημα, ἄχρι τοῦ λέγεσθαι μόνως θεωρούμενον, δύναται καὶ ἐπὶ τῶν μὴ ὑφεστώτων θεωρεῖσθαι· αἱ μέντοι ποιότητες, κατ' αἰτίαν τινὰ πρωτουργὸν προὐπάρχουσαι, τοσοῦτον ἀπέχουσι τοῦ συνακολουθεῖν τοῖς κατηγορήμασιν, ὥστε αὐταὶ (τὰ) ὑπάρχοντα κατηγορήματα ἐπιφέρουσιν, οἷον ἡ φρόνησις τὸ φρονεῖν, ἢ κατ' ἐνέργειαν ἢ ἐν τῷ μετέχεσθαι. καὶ τοῖς περὶ Δημόκριτον δὲ ἐγκαλέσειεν ἄν τις, τί δήποτε τινὰς μὲν διαφορὰς περὶ τὰς ἀτόμους ἀπολείπουσιν, οἷον σχημάτων, βάρους, ναστότητος, σωματότητος, μεγέθους, κινήσεως, οὔτε δὲ χρόαν οὔτε γλυκύτητα οὔτε ζωὴν οὐδὲ τῶν ἄλλων τῶν τοιούτων λόγους προὔφεστηκέναι ἀποφαίνονται. κοινοῦ γὰρ ὄντος τοῦ περὶ τῶν ἑκτῶν λόγου ἄτοπον μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν διατάττεσθαι, καὶ ἔτι ἀτοπώτερον τὰς ἀρχηγικωτάτας δυνάμεις ὑστερογενεῖς ποιεῖν, ὥσπερ ζωὴν καὶ νοῦν καὶ φύσιν καὶ λόγον καὶ τὰ τοιαῦτα. παραπλησίως δὲ ἀδύνατον καὶ τὸ ἀπὸ τῆς συνόδου ταῦτα ἀποτελεῖσθαι· νόμῳ γὰρ ἔσται χροιὴ κατὰ τὸν Δημόκριτον καὶ τἆλλα ὁμοίως, τῇ ἀληθείᾳ δὲ ἄτομον καὶ κενόν. ὁ δὲ ἅπαξ τὰ ὄντα ἀνελὼν οὐδὲν ἕξει τίθεσθαι, καὶ ὁ παραδεξάμενος τὸ ἀναίτιον οὐδαμοῦ στήσεται· τί γὰρ μᾶλλον ταῦτα ἢ τὰ ἐναντία προτιμήσει ἀπ' οὐδεμιᾶς ὡρισμένης αἰτίας ὁρμώμενος; βέλτιον γοῦν εἰς ἐκείνην ἐλθεῖν τὴν ὑπόθεσιν, ἥτις ἀπὸ τοῦ ἔχεσθαι τὰ ἑκτὰ παράγει, καὶ ἑκτὸν τίθεσθαι τὸ οἷόν τε ἔχεσθαι, πραγματικῶς ἀποδιδόντας οὐκ ἐτυμολογικῶς· πᾶσα μὲν γὰρ ἕξις καὶ ποιότης ἑκτόν, οὐκ ἔμπαλιν δέ. ἔτι εἰ μέν τις τὰς ποιότητας αὐτὰς χωριστὰς ὥσπερ τὰς ἰδέας Πλάτων ἀφορίζοιτο, οὐκ ἔστιν ὕπαρξις αὐτῶν. πῶς γὰρ δὴ ἡ ἡμετέρα ἕξις ἔσται χωριστὴ καὶ ἡ

---

1 μεγέθους, ut videtur, L 3 ἅψεται B 5 τῶν om. BM καὶ om. M 6 οὗτος M 8 ὑπάρχει οὖσα scripsi: ὑπαρχούσας libri 11 δεδοκῶσθαι δόκωσιν] sic libri et Simplicius, legendum est δεδοκῆσθαι δόκησιν ἰσότητα] ἴσωσιν M 15 κατηγόρημα] κατηγορούμενον M 17 προὐπάρχουσι M 18 τὰ ex Simplicio addidi 19 μετέρχεσθαι M 20 ἂν om. M 21 βάρη M ναστότητος Π (v. Praef.): ῥαστότης BL: ῥαστότητα M σωματότητος] σώματός τε M 22 οὐδὲ ζωὴν M 23 ἀποφαινομένοις LM 25 ἀρχηγικωτάτους M 28 ἀγγελῶν M 30 προτιμήσει Simpl.: προτιμήσεις LM 32 ἀποδιδόντας scripsi: ἀποδιδόντες libri

μετεχομένη καθ' ἑαυτήν; εἰ δὲ οὕτω τις αὐτὰς λαμβάνοι ὡς καὶ ἡμῖν παρούσας καὶ μετεχομένας, ἐν τοῖς ποιοῖς ἔσται αὐτῶν ἡ ἀληθὴς ὑπόστασις. εἰ γὰρ ποιότης ἐστί, καθ' ἣν ποιοί τινες ἐσμέν, ποιοὶ δὲ κατὰ τὸ ἐνυπάρχον ἐσμέν (λευκὸν γὰρ λέγω κατὰ τὴν ἐν αὐτῷ ὁρωμένην λευκότητα), δῆλον ὡς εἴπερ ἔστι καὶ λευκότητος ἢ ἀνθρωπότητος ἐξῃρημένον εἶδος, ἰδέα μὲν ἔσται, ποιότης δὲ οὐκ ἔσται· μετεχόμενον γὰρ ἡ ποιότης. εἰσὶ μὲν οὖν ἀσώματα τὰ ἑκτὰ πάντα· ἁπλούστατα γὰρ καὶ τῇ φύσει πρῶτα, καὶ οὐ μέρη ἐκείνων ὧν ἑκτά, αἴτια δὲ μόνον. καὶ ταῦτα οὐκ ἔξωθεν, ἀλλ' ἐν τοῖς ἔχουσι περιέχονται, ἀριθμοί τινες ὄντες ἐν τῇ ὕλῃ καὶ λόγοι ἀίδιοι, καθ' οὓς αἵ τε ποικιλίαι τῶν ὄντων καὶ αἱ διαφοραὶ τῶν πρώτων στοιχείων καὶ τῶν ἐκ τούτων συγκριμάτων ὑφίστανται. ἀίδιοι δέ εἰσιν οἱ ἀριθμοὶ οὗτοι καὶ οἱ λόγοι, ὥσπερ καὶ ἡ ὕλη· αἱ μέντοι κινήσεις αὐτῶν καὶ ἐν ἀλλήλοις θέσεις καὶ τάξεις μετάπτωτοι καὶ οὐκ ἀίδιοι. ὥσπερ δὲ ἀφεστῶτες ἐνυπάρχουσιν οἱ λόγοι, οὐδέπω ῥυθμίζοντες τὸ ὑποκείμενον καὶ σχηματίζοντες, ἀλλ' ὡς οἱ ἐν τῷ σπέρματι λόγοι κατὰ συμβεβηκὸς οἱονεὶ ἐνυπάρχουσιν ἀκρατήτως ἐνόντες. καὶ ὥσπερ ἐν τῇ ψυχῇ καὶ τῇ τέχνῃ τὸ τοῦ ἀνδριάντος εἶδος, καὶ ὡς τὰ χρώματα ἐν τῇ ὄψει, ὅταν ὁρᾷ τὸ κεχρωσμένον σῶμα. οὕτως οἱ λόγοι ὥσπερ ἀφεστῶτες ἐνυπάρχουσιν. ἀμέσως δὲ ἡ τοῦ εἴδους φύσις αἰτία ἐστί, μηδενὸς μεταξὺ παρεμπίπτοντος τοῦ μετεχομένου καὶ τοῦ μετέχοντος· παροῦσα γὰρ ἐν τῷ εἶναι εὐθὺς εἰδοποιεῖ τὸ μετέχον. ὑφίστησι δὲ καὶ ἄλλο τελευταῖον ἀπὸ τῆς παρουσίας ἐξ ἑαυτῆς, ὅπερ κατηγόρημα λέγεται· μέσον δὲ ἀεὶ τὸ σῶμα τάττεται. οἷον αἰτία πρώτη ἡ φρόνησις καὶ τοῦ φρονίμου καὶ τοῦ φρονεῖν καὶ ἡ ὑγεία τοῦ τε ὑγιαίνοντος καὶ ὑγιαίνειν. καὶ ἡ μὲν φρόνησις αὕτη καὶ ἡ ὑγεία, εἴπερ ἐστὶ καθ' ἑαυτά, ἁπλούστατα ἔσται καὶ πρῶτα καὶ ἀσώματα. ὁμοίως δὲ καὶ τὸ ὑγιαίνειν καὶ τὸ φρονεῖν· σώματα δὲ ὅ τε ὑγιαίνων καὶ ὁ φρονῶν. ἔστι τοίνυν ἡ ποιότης λόγος οὐχ ὡς θεωρῶν ἑαυτόν οὔτε ὡς ἐκ ζητήσεως ἢ θεωρίας παραγινόμενος, ἀλλ' ὡς ἔχων καὶ διδούς, ἅπερ ἔχει, καὶ ὡς αὐτὸ τὸ εἶναι ποιῶν, καὶ ἐν τῷ ἔχεσθαι καὶ μένειν πάντα ἀπεργαζόμενος. ὅθεν τέλειος μὲν καὶ ὡρισμένος παντάπασιν οὐδαμῶς ἐστι (μίγνυται γὰρ πρὸς τὸ ἀτελὲς πάντη καὶ ἀόριστον), ἀλλ' οὐδὲ ἔσχατος πάντη καὶ ἀόριστός ἐστι· διακοσμεῖ γὰρ τὸ ὑλικὸν πᾶν καὶ ἐπιμελεῖται τεταγμένως αὐτοῦ, καὶ τὸ μέγιστον εἰς ἓν συνέρχεται. ἐάν τε γὰρ ἐν σμικρῷ ἐάν τε ἐν μεγάλῳ ὁ τῆς ποιότητος ὑπάρχει λόγος, εἴς καὶ ὁ αὐτὸς ὑπάρχει. οὐδὲν ἄρα τὸ ποσὸν συμβάλλεται εἰς τὴν ὑπόστασιν αὐτοῦ. ἀλλ' ἔστιν ἀμερίστως περὶ τὰ σώματα μεριζόμενος· ἐν γὰρ πλείοσι τοῖς ποιοῖς ὁ αὐτὸς διανέμεται. ὥσπερ εἶδος ἐν ὕλῃ, † ἔχοντα μέντοι καὶ αὐτὸν ὑπόστασίν τινα. οὐ γὰρ ἂν κατ' αὐτὸν ἐλέγετο τὸ ποιόν, εἴπερ ὅλως τῆς ὕλης ἦν, καὶ μὴ ἑστηκὼς ἐν

1 αὐτῶν B 2 μετεχομένην B ἡ γὰρ M 5 καὶ om. M λευκότης M 9 ποικιλίας L 10 τῶν — συγκριμάτων B Simpl.: τὰ — συγκρίματα L: τὰ — συγκρινόμενα M 12 ἐν ἄλλοις M 13 ὥσπερ δὲ B Simpl.: ὥσπερ γὰρ LM οὐδέπω B Simpl.: om. LM 14 ἀλλ' ὡς B Simpl.: ὡς γὰρ LM λόγοι om. M 15 οἱονεὶ B Simpl.: om. LM ὥσπερ B Simpl.: om. LM 16 ὅταν] ὅτου M κεχωρισμένον M 26 οὔτε ὡς] ἢ M 27 αὐτῷ BL 28 ὡρισμένως L 33 τῷ ποσῷ LM 35 fort. ἔχων — αὐτὸς

ἑαυτῷ παρεῖχεν αὐτῇ τὸ εἶναι, καὶ οὕτως αὐτῇ συνῆν χωριστῶς· τῷ μὲν γὰρ ἐν πλείοσιν ἀτόμοις εἶναι τὴν διάκρισιν ἴσχει καὶ τὴν διαίρεσιν. τὸ δὲ τὸν αὐτὸν εἶναι τὸ ἀδιαίρετον. ἔτι μέντοι καὶ ἀκίνητος· κινεῖται δὲ κατὰ συμβεβηκὸς τῷ γίνεσθαι τῶν κινουμένων καὶ ἐν αὐτοῖς εἶναι. τοσαῦτα καὶ περὶ τούτων· διαιρήσομεν δὲ κατὰ μὲν τὸν ὑφηγημένον τῆς διαιρέσεως τρόπον καὶ διεξοδικώτερον ἐν τῷ τέλει· νυνὶ δὲ ὁλοσχερέστερον λέγομεν. ὡς ἔστιν ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων· διαιρεῖται γὰρ εἰς ἕξιν καὶ διάθεσιν, εἰς δύναμιν καὶ ἀδυναμίαν. εἰς πάθος καὶ παθητικὴν ποιότητα. καὶ εἰς σχῆμα καὶ μορφήν. ταῦτα δὲ οὔτε ὁμότιμα τὰ εἴδη, οὔτ' ἐπ' ἴσης τὸ κοινὸν κατηγορούμενον ἔχουσι, τῷ τὰ μὲν εἶναι ὑπέρτερα τὰ δὲ καταδεέστερα, καὶ τὰ μὲν τελειότερα τὰ δὲ ἀτελέστερα, καὶ τὰ μὲν ἐν τῷ δύνασθαι τὰ δὲ ἐν τῷ ἐνεργεῖν ἔχειν τὸ εἶναι (ἐν οἷς καὶ τὸ πρότερον καὶ τὸ ὕστερον), ὡς ἂν ἀφ' ἑνὸς καὶ πρὸς ἓν ὑφέσει τῆς πρώτης δυνάμεως πληθυνόμενά τε πρὸς ἄλληλα καὶ διαφορούμενα.

Ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν· διαφέρει δὲ ἕξις διαθέσεως τῷ μονιμώτερον καὶ πολυχρονιώτερον εἶναι. τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ ἀρεταί· ἥτε γὰρ ἐπιστήμη δοκεῖ τῶν παραμονίμων εἶναι καὶ δυσκινήτων, ἐὰν καὶ μετρίως τις ἐπιστήμην λάβῃ, ἐάνπερ μὴ μεγάλη μεταβολὴ γένηται ὑπὸ νόσου ἢ ἄλλου τινὸς τοιούτου· ὡσαύτως δὲ καὶ ἡ ἀρετή, οἷον ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη καὶ ἕκαστον τῶν τοιούτων. οὐκ εὐκίνητον δοκεῖ εἶναι, οὐδὲ εὐμετάβολον. διαθέσεις δὲ λέγονται, ἅ ἐστιν εὐκίνητα καὶ ταχὺ μεταβάλλοντα, οἷον θερμότης καὶ κατάψυξις, νόσος καὶ ὑγεία, καὶ ὅσα ἄλλα τοιαῦτα· διάκειται μὲν γάρ πως κατὰ ταύτας ὁ ἄνθρωπος, ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ ψυχρὸς γενόμενος, καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, εἰ μή τις καὶ αὐτῶν τούτων τυγχάνει διὰ χρόνου πλῆθος ἤδη πεφυσιωμένη καὶ ἀνίατος ἢ πάνυ δυσκίνητος οὖσα, ἣν ἄν τις ἴσως ἕξιν ἤδη προσαγορεύοι. διττὴ γὰρ ἡ ἀρετή, διττὴ καὶ ἡ ἐπιστήμη· τῆς τε γὰρ ἀρετῆς ἡ μέν ἐστιν ἀτελής, ἥτις ἢ λόγῳ μόνῳ ἢ ἔθει ἢ φύσει πρὸς τὸ καλῶς ἔχειν παρεσκεύασται, ἡ δὲ τελεία, ἡ τοῖς τρισὶ τούτοις ἀπήρτισται· τῆς τε αὖ ἐπιστήμης τῆς μὲν ἰδικώτερον λεγομένης κατὰ τὴν τῶν ὄντων ὡς ὄντων ἀκριβῆ γνῶσιν. τῆς δὲ κοινότερον τῆς κατὰ πάσης ἐπιστήμης καὶ τέχνης διατεινούσης. ἔτι δὲ καὶ τῆς θερμότητος καὶ ψυχρότητος καὶ νόσου καὶ ὑγείας τῶν μὲν συμφύτων τῶν δὲ ἐπικτήτων οὐσῶν, τὴν ἀρετὴν ἐνταῦθα καὶ ἐπιστήμην καὶ τὴν θερμότητα καὶ ψυχρότητα κοινότερον ἐκλαμβανόμενοι. τὰς μὲν εὐαποβλήτους τὰς δὲ δυσκινήτους ἐπωνομάσαμεν. φανερὸν δὲ ὅτι ταῦτα βούλονται ἕξεις λέγειν, ἅ ἐστι πολυχρονιώτερα καὶ δυσκινητότερα· τοὺς γὰρ τῶν ἐπιστημῶν μὴ πάνυ τι κατέχοντας, ἀλλ' εὐκινήτους ὄντας οὔ φασιν ἕξιν ἔχειν, καίτοι διάκειταί πως κατὰ τὴν ἐπιστήμην ἢ χεῖρον ἢ βέλτιον. ὥστε διαφέρει ἕξις διαθέσεως τῷ τὸ μὲν εὐκίνητον εἶναι, τὸ δὲ πολυχρονιώτερόν τε καὶ δυσκι-

1 τὸ μὲν γὰρ M 5 μὲν om. M ὑφηγημένων L 15 τὸ μονιμώτερον M 16 καὶ αἱ ἀρεταί M 17 λάβοι M et fort. L[1] καταβολῇ L 23 γινόμενος M 24 τούτων om. M 26 προσαγορεύοι scripsi: προσαγορεύει libri 28 ἢ τοῖς L 29 ὡς ὄντων om. M 31 καὶ (ante νόσου) om. M 33 ἐκλαβόμενοι B: ἐκλαμβάνομεν M 38 τῷ om. M

νητότερον. εἰσὶ δὲ αἱ μὲν ἕξεις καὶ διαθέσεις, αἱ δὲ διαθέσεις οὐκ ἐξ ἀνάγκης ἕξεις· οἱ μὲν γὰρ ἕξεις ἔχοντες καὶ διάκειναί πως κατὰ ταύτας, οἱ δὲ διακείμενοι οὐ πάντως καὶ ἕξιν ἔχουσιν. ἀλλ' ἐκεῖνο ἐν τούτοις ἐπιστασίας ἄξιον, εἰ καὶ βαθυτέρας δεῖται τῆς ἐπιβλέψεως· οὔσης γὰρ τῆς ἐν ἕξει καὶ διαθέσει διαφορᾶς κατὰ τὸ μόνιμον καὶ δυσκίνητον, πότερον τοῦτο διαφορᾶς ἐστι προσθήκη ἢ ψιλῆς σχέσεως ἢ πλεονασμός τις ἄλλος ὁποιοσοῦν; εἰ γὰρ ἕν τι τούτων, πῶς εἶδος γέγονεν ἕτερον, καὶ οὐχ ὁμοειδεῖς ἕξις καὶ διάθεσις; μήποτ' οὖν ἐν πλάτει τοῦ ἑνὸς εἴδους οἱ λόγοι θεωροῦνται τῆς ἕξεως καὶ διαθέσεως, ἔχοντες διαφορὰς ἐν ἑαυτοῖς εἰδητικὰς μὲν περιεχομένας δὲ ὑπὸ τοῦ αὐτοῦ εἴδους. αἰτίαν δὲ εἶναι τούτου ⟨φαμὲν⟩ τὴν καθαρότητα καὶ ⟨τὴν⟩ ἄυλον τῶν εἰδῶν φύσιν, δι' ἣν ἀμιγῶς τὰ πολλὰ ἔστιν οἷς ἐν ἑνὶ περιέχονται· οὐ γὰρ κατὰ τὴν τῶν μεγάλων μόνον διαφορὰν τὰ εἴδη διίστανται, ἀλλὰ καὶ κατὰ τὰ ἐλάχιστα. οὔτ' οὖν ἐπίτασιν οὔτε μεταβολὴν ἀποδεκτέον, δι' ἣν ἀπὸ τῆς διαθέσεως ἡ ἕξις ἀπογεννᾶται· οὐ γὰρ ἐκ κινήσεως ὁ λόγος ἀποβλαστάνειν πέφυκεν. ἀρχηγικώτερον γὰρ καὶ αἰτιώτερον τὸ ἀκίνητον τοῦ κινουμένου καὶ τὸ τῇ τοῦ ἑνὸς συμμετρίᾳ προσεοικὸς τοῦ εἰς τὴν ἀοριστίαν τῆς ὕλης ὑποφερομένου. παραιτησόμεθα δὲ διὰ τὴν αὐτὴν αἰτίαν καὶ τοὺς τὸ ἀπαγὲς καὶ πεπηγμένον εἰς διάκρισιν τῶν αὐτῶν ὑποτείνοντας· σωματικὴν γὰρ ποιοῦνται τὴν τῶν εἰδῶν διδασκαλίαν καὶ κατὰ μεταβολὴν τὴν ἕξιν ἀποτελοῦσι, καὶ ἔσται οὕτως μεταβολὴ κυριωτέρα τοῦ ἑστηκότος εἴδους, ὃ παντελῶς ἐστιν ἀδύνατον. διὰ δὲ τὴν αὐτὴν αἰτίαν οὐδὲ τὸ πολυχρονιώτερον καὶ ὀλιγοχρονιώτερον ἐν ταῖς τοιαύταις διαφοραῖς ὑπολογίζεσθαι ἄξιον, διότι χρόνος μὲν συμφέρεται κινήσει, κίνησις δὲ οὐκ ἔχει ἐν ἑαυτῇ τὸ κῦρος τῆς τῶν εἰδῶν ἰδιότητος, κατ' αὐτὴν δὲ μᾶλλον αὐτὴ ἀφώρισται. οὐδὲ τὸ ἀτελὲς καὶ τέλειον, εἴ τις καὶ τοῦτο εἰς διάστασιν αὐτῶν παραλαμβάνοι ὡς ἐχέγγυον, ἀναμφισβήτητον ἔχει τὴν ἐπίκρισιν, ἐπεὶ οὐδὲν ἐν τοῖς λόγοις ἀτελὲς θεωρεῖται κατά γε τὴν οἰκείαν ἑκάστου τάξιν· πληροῦται γὰρ αὐτὴ πρὸς ἣν ἕκαστος αὐτῶν εἴληχε δύναμιν. ἴσως οὖν ἐπὶ τὰ μετέχοντα τῶν λόγων καὶ τὰ σύνθετα τὰς τοιαύτας δεῖ μετάγειν διαφοράς. τὸ γὰρ ἐλλεῖπον τῆς οἰκείας φύσεως τούτοις συμμιγνύμενον φαίνεσθαι ποιεῖ ἀτελῆ τὰ τέλεια καὶ ἀσύμμετρα τὰ ὡρισμένα καὶ κινούμενα εἰς ἐπίτασιν τὰ ἑστηκότα. καθόλου οὖν διωρίσθω ὡς δεῖ τὸν μετεχόμενον λόγον καθαρῶς θεωρεῖν αὐτὸν καθ' αὑτόν, εἰ καὶ ὅτι μάλιστά ἐστιν ἐν ἑτέρῳ. δι' ἀκριβείας μὲν οὖν ἐξεταστέον, τίνα μὲν ἐν τῷ συνθέτῳ πάρεστιν κατὰ τὸν τοῦ εἴδους λόγον, τίνα δὲ κατὰ τὴν τοῦ ὑποκειμένου ὑλικοῦ φύσιν, τίνα δὲ κατὰ τὸ κοινὸν ἐξ ἀμφοῖν· οὕτω γὰρ ἂν μάλιστα οὐκ ἂν συγχυθείη τῶν εἰδῶν ἡ καθαρότης, ἣν δεῖ καθ' ἑαυτὴν τῷ λόγῳ περιλαμβάνειν. διὰ ταῦτ' ἄρα οὐκ ἔστιν ἡ ἕξις διάθεσις προσλαβοῦσα τὸ μόνιμον, οὐδὲ ἡ αὐτὴ ὑγεία, ἐν μὲν τῷ ἀναλαμβάνοντι εὐκίνητος οὖσα, διάθεσίς ἐστι, βεβαιωθεῖσα δὲ καὶ δυσκίνητος ἀποτελεσθεῖσα

---

4 ἐπιβλέψεως BM Simpl.: ἐπισκέψεως L 7 πῶς addidi εἶδος om. M ὁμοειδὴς M 10 φαμὲν et τὴν (ante ἄυλον) addidi 11 ἔστι γε οἷς LM 12 μόνων M 15 γὰρ om. M 15. 16 καὶ ἡ τοῦ ἑνὸς M 16 ἐπιφερομένου M 20 κυριώτερον M 23 τῆς om. M¹ 24 αὐτῇ L 25 αὐτὸ παραλαμβάνει M 26 οἰκείαν] ἰδίαν M 31 λόγου M 33 τοῦ om. L

ἕξις γίνεται. πάλιν γὰρ καὶ ἐνταῦθα τὰ τῶν συνθέτων καὶ μετεχόντων παθήματα μετάγομεν ἐπὶ τὰ ἁπλούστατα εἴδη τῶν ποιοτήτων καὶ γενέσεις ἐν αὐτοῖς ποιοῦμεν διὰ κινήσεως ἐναλλαττομένας. τὸ δὲ ἐξαίφνης αὐτῶν παρόν, ὅταν παρῇ, καὶ μὴ παραγινόμενον, ὅταν μὴ ἐγγένηται, οὐκ ἔοικε διατηρεῖν ὁ τοιοῦτος διορισμός. οὐδὲ εἴ τις τὸ ὅλον καὶ μέρος ἐπ' αὐτῶν λαμβάνει, τυγχάνει τῆς ἀληθείας, ὡς καὶ ἀνωτέρω εἴρηται· οὐ γὰρ ἐν αὐτοῖς αἱ τοιαῦται διαφοραί. πῶς γὰρ ἂν ἐν τοῖς ἀμερέσι διαιρεθείη τὸ ἐν τούτοις διάφορον; ἀλλ' ἴσως ἐν τοῖς μεριστοῖς καὶ τοῖς μετέχουσι τὸ παρηλλαγμένον αὐτῶν καθ' αὑτὸ θεωρεῖται, τοῖς μὴ δυναμένοις τὸ ἀμερὲς αὐτῶν ἀμερῶς ὑποδέχεσθαι. καὶ περὶ μὲν ἕξεως καὶ διαθέσεως ἐπὶ τοσοῦτον διέσκεπται.

Ἕτερον δὲ εἶδος ποιότητος, καθ' ὃ πυκτικοὺς ἢ δρομικοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν, καὶ ἁπλῶς ὅσα κατὰ δύναμιν φυσικὴν ἢ ἀδυναμίαν λέγονται. οὐ γὰρ τῷ διακεῖσθαί πως ἕκαστον τῶν τοιούτων λέγεται (οὔπω γὰρ γεγόνασιν ἐν μετουσίᾳ τῶν ἕξεων, καθ' ἃς λέγονται), ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν ἢ ἀδυναμίαν τοῦ ποιῆσαί τι ῥᾳδίως ἢ μηδὲν παθεῖν, οἷον πυκτικοὶ ἢ δρομικοὶ λέγονται οὐ τῷ διακεῖσθαί πως, ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ ποιῆσαί τι ῥᾳδίως, ὑγιεινοὶ δὲ λέγονται τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως, νοσώδεις δὲ τῷ ἀδυναμίαν ἔχειν φυσικὴν τοῦ μὴ πάσχειν ὑπὸ τῶν τυχόντων. ὁμοίως δὲ τούτοις καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν ἔχει· τὸ μὲν γὰρ σκληρὸν λέγεται τῷ δύναμιν ἔχειν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, τὸ δὲ μαλακὸν τῷ ἀδυναμίαν ἔχειν τοῦ αὐτοῦ τούτου. πολλαχῶς δὲ τῆς δυνάμεως λεγομένης, τῆς μὲν κατ' ἐπιτηδειότητα φυσικήν, ὡς ὁ παῖς δυνατὸς ἀναγνῶναι, τῆς δὲ κατὰ τὴν τῆς ἐπιτηδειότητος τελειότητα, ὡς ὁ γράμματα εἰδὼς ἀναγνῶναι δυνατός (ἥ τε ποιητικὴ καὶ ἡ παθητικὴ δυνάμεις λέγονται· ἡ μὲν γὰρ ὅτι ἀπ' αὐτοῦ εἰς ἕτερον, ἡ δὲ ὅτι ἀφ' ἑτέρου εἰς αὐτό), κατ' οὐδεμιᾶς τούτων τὰ ἐνταῦθα συνείρομεν. ἀλλ' ἔτι παρὰ ταύτας δύναμις λέγεται, καθ' ἣν μόνος τις κάλλιον τῶν ἄλλων ποιεῖ (ὡς ὁ βαδίζων, ὅσον οὐκ ἄλλος, καὶ διανηξάμενος πέλαγος, ὅσον οὐχ ἕτερος), καὶ ἡ ἀντίθετος πρὸς ταύτην τοῦ αὐτοῦ τούτου ἀδυναμία, ἥτις καὶ αὐτὴ δύναμίς τις στερητικὴ λέγεται. τὸ γὰρ δυνάμενόν τι χεῖρον παθεῖν λέγομεν ἔχειν τούτου δύναμιν, καὶ τὸ ἀφυὲς ἐξαιρέτως ἐπί τι καὶ ἀδύναμον δυνατὸν ἐπὶ ταῦτα οὕτως ἔχειν φαμέν. καὶ τοῦτό ἐστιν ὃ κατὰ δύναμιν καὶ ἀδυναμίαν δεύτερον εἶδος ποιότητος λέγομεν. καθόλου γὰρ ἡ ἑτέρων δύναμις ἐν τοῖς τοιούτοις ἄλλων ἔσται ἀδυναμία καὶ τὸ ἔμπαλιν· ἡ γὰρ ἐπὶ τὰ χείρω δύναμις ἀδυναμία ἐστὶν ἐπὶ τὰ βελτίονα, καὶ τὸ τὰ κρείττω δύνασθαι ἀδυνατεῖν ἐστιν ἐπὶ τὰ χείρω. καὶ οὐκ ἐξίσταται παντάπασιν ἡ ἀδυ-

1 μετεχόντων LM Simpl.: κατεχόντων B 2 αὐτῇ L: αὐτῷ M 5 οὐδὲ] ὁ M λαμβάνοι, τυγχάνοι M 8 καθ' αὑτὸ Simplicius: κατ' αὐτὸ libri 10 περὶ τοσοῦτον M 11 δὲ om. L πυκτικοὺς L: πυκτὴ M δρομικὴ ἢ ὑγιεινὴ ἢ νοσώδης M 12 λέγεται M 13 τὸ M 14 ἕξεων scripsi: ἕξωθεν libri λέγεται M τὸ L: κατὰ τὸ M 15 ἢ μηδὲν—ῥᾳδίως (17) om. M 17 ὑγιῆ M τὸ M 18 νοσώδεις—τυχόντων (19) om. M τὸ L 25 ὅτι (post γὰρ) om. M αὐτὸ scripsi: ἑαυτὸ libri 26 ταύτας τὰς δυνάμεις λέγεται M 27 ὅσον] καὶ M 28 ὡς οὐχ M 29 αὐτὴ scripsi: αὕτη libri 31 ἀδύνατον M 35 ἐξίστασθαι M

ναμία τοῦ λόγου τῆς δυνάμεως, ἀλλ' ὑπ' αὐτοῦ κρατεῖται. τὰ γὰρ ἀτελῆ συνείληπται τοῖς τελείοις· ἀπ' αὐτῶν γὰρ ἔχει τὴν αἰτίαν τοῦ εἶναι. τὸ κατὰ στέρησιν καὶ ἕξιν δὲ τῆς ποιότητος εἶδος τοῦ κατὰ δύναμιν καὶ ἀδυναμίαν προτάττομεν. καίτοι πρότερον ὁ δυνάμει γραμματικὸς τοῦ καθ' ἕξιν καὶ ἐνέργειαν
5 [οὐ] κατὰ τὸν τῆς γενέσεως λόγον, ἀλλ' οὐ κατὰ τὸν τῆς οὐσίας. προηγεῖται μὲν γὰρ κατὰ χρόνον καὶ γένεσιν, καὶ μάλιστα ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνός, τῆς ἐνεργείας ἡ δύναμις· πρότερον γὰρ ἐν τῇ ὁδῷ τῆς φύσεως τοῦ ἐντελοῦς ἀνθρώπου τὸ σπέρμα καὶ ἔμβρυον. κατ' οὐσίαν δὲ καὶ τὸ οὗ ἕνεκα πρεσβύτερον τὸ ἐνεργείᾳ καὶ τέλειον τοῦ ἀτελοῦς καὶ δυνάμει, τὸ μὲν ὅτι ἐκεῖθεν παράγεται,
10 τὸ δ' ὅτι ἕνεκεν ἐκείνου γίνεται. τό τε γὰρ σπέρμα ἐκ τοῦ ἀνθρώπου καὶ ἡ περὶ τὸ ἔμβρυον πραγματεία τῆς φύσεως τοῦ ἐντελοῦς ἀνθρώπου ἕνεκεν. δεῖ δὲ καὶ τὰς νοερωτέρας ἐπιβολὰς περὶ τῆς φυσικῆς ταύτης ἐπιθεῖναι δυνάμεως, τίς τέ ἐστι λέγοντας καὶ ἐν τίσι θεωρεῖται τῶν ὄντων. εἰ δὲ μὴ δυνατὸν περὶ αὐτῶν τὸ σαφὲς δι' ὀλίγων εἰπεῖν, τὸ διὰ πολλῶν ἐλθεῖν εἰς τὴν τῶν προτε-
15 θέντων σαφήνειαν οὐκ ἄκαιρον οὐδὲ περιττὸν ἡγησόμεθα. ἔστι μὲν οὖν καθόλου τοῦτο τὸ γένος πᾶσιν ὑπάρχον τοῖς ὁπωσοῦν τελειουμένοις· οὐ γὰρ ὅλως ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον παραγίνεταί τι, εἰ μὴ μέση δύναμις παρείη, ἐπιδιδοῦσα μὲν τὸ ἐνδεὲς εἰς τελείωσιν, δεχομένη δὲ τὴν ἀποπλήρωσιν ἀπὸ τοῦ τελειοτάτου. συναγωγὸς οὖν ἐστι τῶν ἄκρων καὶ ὁδὸν παρέχει τὴν ἀπὸ τῶν
20 ὑποδεεστέρων ἐπὶ τὰ κρείττονα καὶ παρασκευὴν ἐντίθησι καὶ ἀφορμὴν εἰς τελείωσιν, μοῖράν τέ τινα προείληφεν ἀπὸ τῆς ἐνεργείας καὶ οἷον ἔλλειψίς τίς ἐστιν ἀπὸ τῆς τελείας οὐσίας καὶ ἕξεως καὶ προθέρμανσίς τις ὡς ἐλλυχνίου πρὸ τῆς τοῦ πυρὸς θερμότητος, καὶ εἴδους δὲ μετρία μετουσία ἀπομεριζομένη κατὰ μέτρα καὶ οὐχ ὅλη παροῦσα. τοιαύτη δὲ οὖσα προηγουμένως ἐν ταῖς
25 ψυχαῖς θεωρεῖται ταῖς λογικαῖς· ὅτε γὰρ ὁ τῆς ψυχῆς νοῦς ὑπὸ τοῦ χωριστοῦ τελειοῦται, δύναμίς ἐστιν ἡ προάγουσα τὸν νοῦν τῆς ψυχῆς ἐπὶ τὸ νοερὸν εἶδος καὶ τὴν κατ' ἐνέργειαν νόησιν. διαφανὴς δὲ μάλιστά ἐστι κατὰ τὴν φύσιν· τὰ γὰρ ἔργα τῆς φύσεως ἐν κινήσει τῇ ἐκ τῆς δυνάμεως ταύτης εἰς ἐντελέχειαν ὁδευούσῃ, καὶ ἐν μεταλήψει λόγων, ἃ οὐκ ἐν ἄλλῳ παραγίνεται ἢ τῷ δυνα-
30 μένῳ δέχεσθαι· οὐ γὰρ πᾶν εἶδος εἰς τὸ τυχὸν ἐγγίνεται, ἀλλὰ τὸ δυνάμενον παραγίνεσθαι εἰς τὸ ἐπιτηδείως ἔχον ὑποδέχεσθαι. καὶ ἐν τῇ ψυχῇ δέ, καθ' ὅσον φύσεως ἐφάπτεται τοῦ ἐνεργείᾳ νοῦ ἀφισταμένη, κατὰ τοσοῦτον τὸ δυνάμει θεωρεῖται. καὶ ἐν παντὶ δὲ τῷ κόσμῳ εἴ τις προάγοιτο γένεσις, οὐκ ἄλλως ἢ διὰ τῆς δυνάμεως εἰς οὐσίαν προάγεται· καὶ τῇ ὕλῃ δὲ ἡ ὑποδοχὴ τοῦ εἴδους
35 διὰ δυνάμεως παραγίνεται. αὐτὴ δὲ ἢ δι' ἑαυτῆς ἱκανή ἐστι προβιβάζεσθαι ὡς ἐπὶ τῶν αὐτοκινήτων ψυχῶν, ἢ ῥᾳδίως εἰς τὸ τέλειον ὑπὸ τῆς ἐνεργείας προάγεται. ἀλλὰ τοιαύτη μὲν καὶ ἐν τοιούτοις ἡ δύναμις τὴν ἑαυτῆς ὑπόστασιν

2 post τὸ add. γὰρ M 3 δὲ B^2: om. LM τῆς ποιότητος om. M 4 καὶ om. M 5 οὐ delevi ἀλλ' οὐ scripsi: ἀλλὰ libri 6 καὶ κατὰ γένεσιν M 9 τῇ ἐνεργείᾳ M 13. 14 τὸ σαφὲς περὶ αὐτῶν M 16 ὅλη M 18. 19 ἀπὸ τοῦ τελειοτάτου BM Simpl.: ἀπὸ τῆς τελειότητος L 21 ἔλλειψις BL Simpl.: λεῖψις M: fort. legendum est ἔλλαψις cf. p. 48, 31 24 κατὰ] καὶ τὰ M 29 ὁδευούσης L: ὁδεύουσα M ἢ Simplicius: ἢ libri 31 δέ om. L 32 τὸ δυνάμει ex Simplicio scripsi: ἐν δυνάμει BL: ἐνδυναμένη M 34 προάγοιτο M 37 μὲν om. L

ἐκληρώσατο. πότερον δὲ ἀπὸ τῆς ὕλης τὸ δυνάμει καὶ ἡ δύναμις αὐτή, ὡς τινες οἴονται, ἢ αὐτὴ ἡ ὕλη τὸ δυνάμει, ὡς ἄλλοις δοκεῖ; ἢ τοῦτο ἄτοπον. οὔτε γὰρ παρέχεταί τινα αἰτίαν ἡ ὕλη ἀφ' ἑαυτῆς ἀσθενὴς οὖσα πάντῃ, οὔτε οὐσίαν ἐνδίδωσιν ἐκπεπτωκυῖα τοῦ ὄντος, οὔτε δυνάμεως ἀρχὴν παντελῶς οὖσα ἀδύναμος, οὔτε ποιότητος ἀφορμὴν ἄποιος οὖσα καθ' ἑαυτήν. ἀλλ' οὔτε ἔχει τι γόνιμον ἐστερημένη πάντων καὶ ἐν ἐνδείᾳ οὖσα καὶ πενίᾳ καθ' ἑαυτήν. ἀλλ' οὐδὲ σχέσις ὕλης τὸ δυνάμει τῆς πάντῃ ἀσχέτου, οὐδὲ πλεονασμὸς οὐδὲ ἔκτασις ἢ συστολὴ ἢ μάνωσις ἢ πύκνωσις τῆς ἀπεστερημένης πάσης κινήσεως. οὔτε ἄλλο οὐδὲν τῶν περὶ τὴν ὕλην ἐπινοουμένων αἴτιον γίνεται τῆς τῶν δυνάμεων ὑποστάσεως. λείπεται τοίνυν ἀπὸ τῆς συνόδου τούτων ὕλης τε καὶ εἴδους ἢ τῶν ἀνάλογον ἐχόντων πρὸς ὕλην καὶ εἶδος τὴν τοιαύτην ὑφίστασθαι δύναμιν. ἐν οὖν τῇ ὕλῃ συνίσταται ἡ δύναμις ἀπὸ τοῦ εἴδους κατὰ τὴν ἀμηγέπη τῶν λόγων μετουσίαν. ὅταν προΐῃ τις ἀπ' αὐτῶν πρόδρομος ἐπιτηδειότης, ὡς εἶναι μὲν τὴν μετουσίαν ὑποδοχὴν τῆς ἕξεως· κἂν τὸ σῶμα δὲ κἂν ἡ ψυχὴ τὴν ἐπιτηδειότητα ταύτην δέχοιτο, ταῦτα πάντα σώζει τὴν πρὸς τὴν ὕλην ἀναλογίαν, καθ' ἣν πρὸς τὰ τελειότερα ἑαυτῶν ὡς πρὸς εἶδος συνταττόμενα ἐπιτηδειότητα ἴσχει πρὸς τὴν τελειοτέραν μετουσίαν. τὰ γὰρ ἐν γενέσει, ἀπὸ τοῦ ἀτελοῦς προκόπτοντα ἐπὶ τὸ τέλειον, τὴν τῆς ὑποδοχῆς τῆς ἕξεως προκοπὴν δεξάμενα, εἶτα τῆς τελειοτέρας μεθέξεως εὐμοιρήσαντα, τοῦ μὲν μετεχομένου μένοντος, τοῦ δὲ μετέχοντος ὅλον ἅμα τὸ εἶδος μὴ δυναμένου καταδέξασθαι, ἄλλην πρὸ ἄλλης ἀεὶ μέθεξιν ἀτελεστέραν πρὸ τελειοτέρας ὑποδέχεται.

Κατὰ τὸν αὐτὸν δὲ τῆς θεωρίας εἱρμὸν καὶ περὶ τοῦ μαλακοῦ καὶ σκληροῦ διαλάβωμεν· πότερον τὸ σκληρὸν καὶ τὸ μαλακὸν ὑπὸ διαστάσεως τὸ μὲν ναστοτέρας τὸ δὲ ἀραιοτέρας γεγένηται, καὶ πύκνωσις καὶ μάνωσις αὐτοῖς ἡ οὐσία, καὶ τὸ διάφορον ἑκατέρῳ παρέχεται ὧδε μὲν κενοῦ πολλοῦ ἀπόληψις, ἐκεῖ δὲ συνίζησις τῶν κενωμάτων καὶ ἀποπλήρωσις, ἢ ὕλης πλεονασμὸς καὶ ἔνδεια ποιεῖ τὸ μὲν σκληρὸν τὸ δὲ μαλακόν; ἢ ἀντὶ τούτων βέλτιον κατὰ τὴν συνοχὴν ἤτοι ὑπερβάλλουσαν ἢ ἐλλείπουσαν τὸ διάφορον αὐτῶν ὑπολογίζεσθαι. τά τε γὰρ ἄλλα τούτῳ συμφωνεῖ καὶ τὸ λέγεσθαι τὸ μὲν σκληρὸν δύναμιν ἔχειν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, τὸ δὲ μαλακὸν ἀδυναμίαν τοῦ αὐτοῦ· τὸ γὰρ δυσδιαίρετον ἢ εὐδιαίρετον κατὰ τὸ τῆς συνοχῆς ὑπερβάλλον ἢ ἐλλεῖπον συνίσταται. τὸ δ' αὐτὸ ἄν τις καὶ κατὰ τὴν τοῦ εἴδους μᾶλλον ἢ ἧττον ἐπικράτειαν ὑπολογίσαιτο· σκληρὸν μὲν γὰρ τὸ τοῦ εἴδους ἀντεχόμενον μᾶλλον, μαλακὸν δὲ τὸ ἐναντίον ἀφοριζόμενος. μήποτ' οὖν καὶ κατὰ λόγους διαφόρους ἑκάτερον τούτων ἀποτελεῖται καὶ κατὰ εἰδῶν τελείαν ἀντίθεσιν, ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ πικρὸν καὶ τὸ γλυκὺ καὶ μανὸν καὶ πυκνόν. εἰ γὰρ πᾶν μὲν τὸ κατὰ φύσιν ἔχον τελείαν ἔχει τοῦ οἰκείου εἴδους ἀντίληψιν, ἔστι δέ τινα μαλακὰ

---

5 οὔτε libri et Simpl.: legendum est οὐδὲ 8 οὐδὲ συστολὴ ἢ μόνωσις M 11 τῶν om. M 12 ἐν μὲν οὖν M οὖν post ὕλῃ ponit L 14 κἂν — κἂν B 15 πρὸς τὴν om. M 21 πρὸς τελειοτέραν M 23 διαλάβομεν libri ναστότερον M 24 μόνωσις M 25 ἀπόλειψις M 26 ἀναπλήρωσις L¹ 31 τῆς om. LM 32 ὑπολογήσαιτο L 34 ἀφοριζόμενος B Simpl.: ἀφοριζόμενον LM 35 κατὰ τῶν εἰδῶν M 36 καὶ τὸ πικρὸν — γλυκὺ om. M κατὰ om. M¹

κατὰ φύσιν ζῶα καὶ φυτά, καὶ ἐν τοῖς τοῦ ζώου μορίοις ὁ πνεύμων, πῶς ἂν καλῶς ἔχοι κατ' ἔλλειψιν εἴδους τὸ μαλακὸν ἀφοριζόμενον; ἢ διττὸν εἶδος ἀδυναμίας. ἓν μὲν τὸ κατὰ στέρησιν. ὡς τὸ νοσῶδες ἀδυναμίαν ἔχει τοῦ μὴ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων, οὗ δύναμιν εἶχε τὸ ὑγιεινόν, τὸ δὲ κατὰ εἶδος ὑφεστώς. ὥσπερ τὸ μαλακὸν ἀδυναμίαν ἔχει τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, τὸ δὲ σκληρὸν ἀδυναμίαν τοῦ ῥᾳδίως. ὡς δὲ χεῖρον ἐν τῇ ἀντιθέσει τὸ μαλακὸν κατὰ τὴν ἀδυναμίαν ἀφωρίσθη. τοσαῦτα καὶ περὶ τοῦ δευτέρου τῆς ποιότητος εἴδους διείληπται.

Τρίτον δὲ εἶδος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη. ἔστι δὲ τὰ τοιάδε οἷον γλυκύτης καὶ πικρότης καὶ στρυφνότης καὶ πάντα τὰ τούτοις συγγενῆ, ἔτι δὲ καὶ θερμότης καὶ ψυχρότης καὶ λευκότης καὶ μελανία. ὅτι μὲν οὖν αὗται παθητικαὶ ποιότητές εἰσι. φανερόν· τὰ γὰρ δεδεγμένα αὐτὰ ποιὰ λέγονται κατὰ ταύτας. οἷον τὸ μέλι τῷ γλυκύτητα δεδέχθαι λέγεται γλυκὺ καὶ τὸ σῶμα λευκὸν τῷ λευκότητα δεδέχθαι· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. παθητικαὶ δὲ ποιότητες λέγονται οὐ τῷ αὐτὰ τὰ δεδεγμένα τὰς ποιότητας πεπονθέναι τι· οὔτε γὰρ τὸ μέλι τῷ πεπονθέναι τι λέγεται γλυκύ, οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν. ὁμοίως δὲ τούτοις καὶ ἡ θερμότης καὶ ἡ ψυχρότης παθητικαὶ ποιότητες λέγονται οὐ τῷ αὐτὰ τὰ δεδεγμένα πεπονθέναι τι, τῷ δὲ κατὰ τὰς αἰσθήσεις ἑκάστην τῶν εἰρημένων ποιοτήτων πάθους εἶναι ποιητικὴν παθητικαὶ ποιότητες λέγονται· ἡ γὰρ γλυκύτης πάθος τι κατὰ τὴν γεῦσιν ἐμποιεῖ καὶ ἡ θερμότης κατὰ τὴν ἁφήν, ὁμοίως δὲ καὶ αἱ ἄλλαι. λευκότης δὲ καὶ μελανία καὶ αἱ ἄλλαι χροιαὶ οὐ τὸν αὐτὸν ⟨τρόπον⟩ τοῖς προειρημένοις παθητικαὶ ποιότητες λέγονται, ἀλλὰ τῷ αὐτὰς ἀπὸ πάθους γεγενῆσθαι. ὅτι μὲν οὖν γίνονται διὰ πάθος πολλαὶ μεταβολαὶ χρωμάτων, δῆλον· αἰσχυνθεὶς γάρ τις ἐρυθρὸς ἐγένετο καὶ φοβηθεὶς ὠχρὸς καὶ ἕκαστον τῶν τοιούτων· ὥστε καὶ εἴ τις φύσει τῶν τοιούτων παθῶν τι πέπονθεν ἔκ τινων φυσικῶν συμπτωμάτων, τὴν ὁμοίαν χροιὰν εἰκός ἐστιν αὐτὸν ἔχειν. εἴ τις γὰρ νῦν ἐν τῷ αἰσχυνθῆναι διάθεσις τῶν περὶ τὸ σῶμα ἐγίνετο. καὶ κατὰ φυσικὴν σύστασιν ἡ αὐτὴ γένοιτ' ἂν διάθεσις, ὥστε φύσει καὶ τὴν χροιὰν ὁμοίαν φαίνεσθαι. ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων ἀπό τινων παθῶν δυσκινήτων καὶ παραμονίμων τὴν ἀρχὴν εἴληφε, παθητικαὶ ποιότητες λέγονται. εἴτε γὰρ ἐν τῇ κατὰ φύσιν συστάσει ὠχρότης ἢ μελανία γένηται. ποιότης λέγεται (ποιοὶ γὰρ κατὰ ταύτας λεγόμεθα). εἴτε διὰ νόσον μακρὰν εἴτε διὰ καῦμα τὸ τοιοῦτον συμβέβηκεν ὠχρότης ἢ μελανία. καὶ μὴ ῥᾳδίως ἀποκαθίστανται ἢ καὶ παραμένουσι, ποιότητες καὶ αὗται λέγονται· ὁμοίως γὰρ ποιοὶ κατὰ ταύτας λεγόμεθα. ὅσα δὲ ἀπὸ ῥᾳδίως διαλυομένων καὶ ταχὺ ἀποκαθισταμένων γίνεται. πάθη λέγεται. ποιότητες δ' οὔ· οὐ γὰρ λέγονται ποιοί τινες κατὰ ταύτας. οὔτε γὰρ ὁ ἐρυθριῶν διὰ τὸ αἰσχυνθῆναι ἐρυθρίας λέγεται οὔτε ὁ ὠχριῶν διὰ τὸ φοβηθῆναι ὠχρίας. ἀλλὰ μᾶλλον τὸ

---

3 ἀδυναμίας ἔχει M 5 μὴ om. M 6 τοῦ μὴ ῥαδίως M 11 ἔστι LM δὲ om. B 12 λέγεται M 13. 14 δέχεσθαι M 13 τῷ] τὸ L 22 τῶν αὐτῶν M τρόπον ex Arist. addidi 23 αὐτὰς] sic etiam Categ. 9 b 11 27 αὐτῶν M 31 συστάσει om. L 32 γένηται om. L 34 καὶ (post ἢ) om. M 35 ῥαδίων M 38 ὠχρείας L τὸ] sic libri

πεπονθέναι τι. ὥστε πάθη μὲν τὰ τοιαῦτα λέγεται, ποιότητες δ' οὔ. ὁμοίως δὲ τούτοις καὶ κατὰ ψυχὴν παθητικαὶ ποιότητες καὶ πάθη λέγεται. ὅσα τε γὰρ εὐθὺς ἐν τῇ γενέσει ἀπό τινων παθῶν δυσκινήτων γεγένηνται, ποιότητες λέγονται καὶ αὐταί, οἷον ἥ τε μανικὴ ἔκστασις καὶ ἡ ὀργὴ καὶ τὰ τοιαῦτα· ποιοὶ γὰρ κατὰ ταύτας λέγονται, ὀργίλοι τε καὶ μανικοί. ὁμοίως δὲ καὶ ὅσαι ἄλλαι ἐκστάσεις μὴ φυσικαὶ ἀλλ' ἀπό τινων συμπτωμάτων γεγένηνται δυσαπάλλακτοι ἢ ὅλως ἀκίνητοι, ποιότητες καὶ τὰ τοιαῦτα· ποιοὶ γὰρ κατὰ ταύτας λέγονται. ὅσα δὲ ἀπὸ ῥᾳδίως ἢ ταχὺ ἀποκαθιστάμενων γίνεται, πάθη λέγεται, οἷον εἰ λυπούμενός τις ὀργιλώτερος γεγένηται· οὐ γὰρ λέγεται ὀργίλος ὁ ἐν τῷ τοιούτῳ πάθει ὀργιλώτερος ὤν, ἀλλὰ μᾶλλον τὸ πεπονθέναι τι. ὥστε πάθη μὲν λέγεται τὰ τοιαῦτα, ποιότητες δ' οὔ. πάθη δὲ ψυχῆς τὰ τοιάδε, καίπερ ὄντα τοῦ συναμφοτέρου, κατὰ τὸ ἐπικρατοῦν λέγομεν. αἱ γὰρ πρὸς τὸ σῶμα συγγενεῖς τῇ ψυχῇ καταστάσεις καὶ αἱ ῥέπουσαι εἰς γένεσιν καὶ μὴ κρατοῦσαι ἑαυτῶν καὶ αἱ παραγόμεναι ὑπὸ τοῦ σώματος καὶ ὑλικώτεραι τῶν ψυχικῶν παθῶν τούτων αἴτιαι. τριττὸν δὲ τὸ πάθος, τό τε εἰς φθορὰν ἄγον ὡς ἡ σῆψις τὰ σώματα, καὶ ὃ συνέχει διὰ τῆς μεταβολῆς ἐν τῷ κατὰ φύσιν τὸ ὑποκείμενον, ὡς τὰς αἰσθήσεις συνέχει τὰ κατ' αὐτὰς πάθη, καὶ ἔτι πάθος καὶ ἡ ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβολὴ καὶ ὅλως ἡ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόοδος. εἴ τις δὲ καὶ κατ' εἴδη τῶν κινήσεων διαιροῖη τὰ πάθη, ὀρθῶς ἀποδίδωσι· τὰ μὲν γὰρ ἔσονται κατ' οὐσίαν, τὰ δὲ κατὰ ποσόν, τὰ δὲ κατὰ ποιόν. ἀλλὰ πῶς οὐ συμπεσοῦνται ἕξεις καὶ διαθέσεις καὶ παθητικαὶ ποιότητες καὶ πάθη, εἴπερ ὡς ἐνταῦθα κἀκεῖ τῷ εὐμεταβόλῳ καὶ δυσκινήτῳ τὴν ἕξιν τῆς διαθέσεως ἀπεκρίνομεν; ἢ παρ' ὅσον ἐκεῖ μὲν τὰς ἐκ διδασκαλίας καὶ ἔξωθεν ἐγγινομένας ἀμεταβλήτους καὶ εὐκινήτους ὡς ἐπὶ πᾶν ἀποδίδομεν τελειότητας, ἐνταῦθα δὲ παθητικὰς ποιότητας καὶ πάθη τὰ φύσει λέγομεν. καὶ ἔτι ἡ θερμότης, καθὸ μὲν διατίθησιν ὁπωσοῦν τὸ ὑποκείμενον, διάθεσις λέγεται, καθὸ δὲ πεπηγυῖαν ἴσχει τὴν διάθεσιν, ἕξις, καθὸ δὲ ἀπό τινος γέγονε, πάθος, ὅτι δὲ δευσοποιῶς καὶ μονίμως τὸ πάθος ἐγένετο, ποιότης παθητική. ἔτι τῶν παθητικῶν ποιοτήτων αἱ μὲν ἀμφοτέρως τὸ πάθος ἔχουσιν, ὡς ἀπὸ πάθους ἀρχθεῖσαι καὶ ὡς πασχούσης ὑπ' αὐτῶν τῆς αἰσθήσεως, ὡς ἡ ἐν τῷ ζωμῷ ἡδύτης, αἱ δὲ καθ' ἑκάτερον. τοῦ μὲν γὰρ πυρὸς ἡ θερμότης ὡς οὐσιώδης καὶ μὴ ἐπισυμβᾶσα κατὰ μόνην τὴν πρὸς τὴν αἴσθησιν ὁμιλίαν τὸ πάθος ἕξει· λευκότης δὲ καὶ μελανία τῷ γεγενῆσθαι ἐκ πάθους. καίτοι καὶ αὗται ὁρῶσιν εἰς αἴσθησιν, διακρίνουσαι τὴν ὄψιν καὶ συγκρίνουσαι, ἀλλ' οὐχ, ὥσπερ ὅταν θερμοῦ αἰσθανώμεθα θερμαινόμεθα, οὕτως καὶ ὅταν λευκοῦ. λευκόν τι τῶν ἐν ἡμῖν γίνεται· οὐ γὰρ ὅλη τῷ λευκῷ ὁ ὀφθαλμός, ἀναλαμβάνων τὸ τοῦ λευκοῦ εἶδος, ὥσπερ ἡ χεὶρ τοῦ θερμοῦ. ἢ τοῦτο μὲν καὶ ἐπὶ τῆς ἀκοῆς

---

1. 2 λέγονται M 4 μανικαὶ L 8 ἢ] ἀπολυομένων καὶ M 10 τῷ πεπονθέναι B 11 λέγονται M τὰ τοιαῦτα post οὔ transponit M 13 τῇ ψυχῇ om. M 14 παραγενόμεναι M 15 τούτων om. L¹ ἄγων L¹ 17 καὶ (post πάθος) om. M 19 διαιρεῖη BL 20 τὸ δὲ M 22 καὶ πάθη expungit L² 24 ἀποδίδομεν M 28 παθητικὴ ποιότης M 33 τῷ] τὸ M καίτοι ex Simplicio scripsi: καίπερ libri 35 αἰσθανόμεθα L

εἴποι τις· οὐδὲ γὰρ ἐκείνη ὀξύνεται ἢ βαρύνεται, καίπερ τοῖς οἰκείοις αἰσθητοῖς ἁπάσης συμπασχούσης αἰσθήσεως· ἀλλὰ τοῦτο μᾶλλον χρωμάτων ἴδιον, τὸ πάντα εἶναι ἐπισυμβάματα καὶ ἅπερ ἀχώριστα λέγομεν, ὡς τὸ λευκὸν τῆς χιόνος· πῆξις γάρ ἐστι νέφους διὰ ψυχρότητα ὑπερβάλλουσαν ἡ χιών, ὧν ἐπιγέννημα τὸ λευκόν. ὁμοίως δὲ καὶ ἡ ὠχρότης τοῖς ἐν φόβοις καὶ τοῖς ἐν αἰδοῖ τὸ ἐρευθὸς παρακολούθημα γίνεται τῶν ψυχικῶν διαθέσεων, καὶ τἆλλα κατὰ τρόπον· θερμότης δὲ καὶ ψυχρότης καὶ τὰ τοιαῦτα ἐν οἷς ἂν καὶ πρωτοτύπως ὑπάρχοιεν, οὐσιῶν εἰσι μέρη καὶ οὐκ ἔξωθεν ὑπὸ πάθους ἐγγίνεται. διοίσει δὲ καὶ τοῦ δευτέρου τῆς ποιότητος εἴδους τὸ παρόν, καθ' ὅσον ἐκεῖνο μὲν ἐν τῷ δυνάμει ἐθεωρεῖτο καὶ τῆς ἐπιτηδειότητος ἦν, τὸ δὲ ἐντελέχεια καὶ κατ' εἶδος μᾶλλον ὑφέστηκεν. ἐν τούτοις καὶ τὰ περὶ τῶν παθῶν καὶ παθητικῶν ποιοτήτων.

Τέταρτον δὲ εἶδος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή, ἔτι δὲ πρὸς τούτοις εὐθύτης καὶ καμπυλότης καὶ εἴ τι τούτοις ὅμοιόν ἐστι. καθ' ἕκαστον γὰρ τούτων ποιόν τι λέγεται, καὶ τῷ εὐθὺ ἢ τῷ καμπύλον εἶναι, καὶ κατὰ μορφὴν δὲ ἕκαστον ποιὸν λέγεται. ληπτέον δὲ τὸ μὲν σχῆμα οὐ κατὰ τὸ πλῆθος τῶν γραμμῶν καὶ τῶν ἐπιπέδων· ποσὸν γὰρ οὕτως ἔσται. ἀλλ' οὐδὲ κατὰ τὸ χρῶμα, ἀλλὰ κατὰ τὸν τῆς ἐπιφανείας ποιὸν σχηματισμὸν κατὰ τὸ γεγωνιῶσθαι ἢ ἀγώνιον εἶναι. διττὴ δὲ καὶ ἡ περὶ ἕκαστον μορφή· τά τε γὰρ οὐσιώδη εἴδη μορφαὶ λέγονται καὶ τὰ τῆς ἐπιφανείας ποιὰ τυπώματα, περὶ ὧν ὁ λόγος, καθὸ εὐμόρφους ἢ δυσμόρφους λέγομεν. εὐθύτης δὲ καὶ καμπυλότης περὶ τὰ θέσιν ἔχοντα τὸ ποιὸν ἀφορίζουσιν. ὡς ἂν δὲ καὶ νοερώτερον περὶ τῶν προκειμένων εἴποι τις, ὅτι περιγραφὴ τοῖς σώμασι συμφυὴς ἡ τῶν σχημάτων ἀποπεράτωσις, ἀφοριζομένη κατὰ τὴν οὐσιώδη διάστασιν καὶ φυσικὴν καὶ ἀντίτυπον, ἥτις καὶ ἐν κινήσει καὶ ἐν ὕλῃ νοεῖται. ὥσπερ δὲ τῆς διαστάσεως τὸ τέλος ἐστὶ σχῆμα, οὕτως τοῦ ὅλου εἴδους ἡ ἀποτελεύτησις ἄχρι τῆς ἐπιφανείας τὴν μορφὴν ἀπεγέννησεν, οὖσαν αὐτὴν τὸ φαινόμενον ἴχνος τοῦ εἴδους καὶ τελευταίαν ἔκτασιν τῆς τοῦ λόγου ἐπὶ τὰ ἐκτὸς προόδου. ὁμοίως δὲ καὶ ἡ εὐθότης τῆς ἰσότητος τῶν λόγων τὸ ἔσχατον εἶδος ἐμφαίνει καὶ ἡ καμπυλότης τῆς ἀνισότητος· εἰ μέντοι καμπυλότητά τις λαμβάνοι τὴν περιφερῆ γραμμήν, καὶ οὕτω τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς τοῦ λόγου ἔλλαψιν ἐμφαίνει· καὶ πάντα ταῦτα κατὰ τὴν ἔξω προελθοῦσαν ἀποπεράτωσιν. καὶ καθ' ὅσον σύνεγγύς ἐστι ταῦτα καὶ οὐ πόρρω ἀλλήλων κατὰ τὸ ἔσχατον καὶ ἐπιπολῆς εἰδωλον καὶ κατὰ τὸ περιωρισμένον τῆς περιγραφῆς, ἓν εἰδός εἰσι· καθ' ὅσον δὲ ἰδιοτρόπως τῆς τῶν εἰδῶν τῶν ἐσχάτων ἰδιότητος ἀφώρισται καθ' ἓν ἕκαστον

1 οὐ γὰρ L ἐκεῖνο M 3 τῆς om. M 7 καὶ ἡ ψυχρότης B 8 μέρος L διοίσει M 9 τοῦ δευτέρου] μέχρι τοῦ L 10 καὶ prius om. L τῆς ἐπιτηδειότητος] ἐπιτηδειότης BM 11 καὶ τῶν παθητικῶν M 13 δὲ om. L ὑπάρχουσα om. L¹ 15 τι om. M καὶ τῷ—λέγεται (16) om. M 16 ληπτον (sic) M 18 τῶν L¹ 22 τὰ θέσεως L: τὴν θέσιν M καὶ om. B 25 δὲ] καὶ LM 26 ἐστὶ scripsi: ἐπὶ libri 27 αὐτὴν BM Simpl.: καὶ αὐτὴν L 29 τὸν λόγον M 30 λαμβάνοι BM Simpl.: λαμβάνει L 31 ἔλλειψιν M 34 μετὰ τὸ M τῆς γραφῆς M 35 τῶν εἰδῶν om. B τῶν ἐσχάτων εἰδῶν M ἰδιότητος om. M

ἑτερότητι. πλείονα γίνεται. διορίζει δὲ τὰς φύσεις ἑκάστων καὶ τρόπον τινὰ εἰδοποιεῖ, τοῖς τε σώμασι παρέχει τὸ σώματα φαίνεσθαι τούς τε ὄγκους ὡς ὄγκους μεμετρημένους ἀπεργάζεται καὶ τὸ ἄπειρον τῶν σωμάτων διαλαμβάνει πέρασιν.

Τὸ δὲ μανὸν καὶ πυκνὸν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον δόξειεν μὲν ἂν ποιὸν σημαίνειν. ἔοικε δὲ ταῦτα ἀλλότρια εἶναι τῆς περὶ τὸ ποιὸν διαιρέσεως· θέσιν γάρ τινα μᾶλλον φαίνεται τῶν μορίων ἑκάτερον δηλοῦν. πυκνὸν μὲν γὰρ τῷ τὰ μόρια σύνεγγυς εἶναι ἀλλήλων, μανὸν δὲ τῷ διεστάναι ἀπ' ἀλλήλων· καὶ λεῖον μὲν τῷ ἐπ' εὐθείας πως τὰ μόρια κεῖσθαι, τραχὺ δὲ τῷ τὸ μὲν ὑπερέχειν τὸ δὲ ἐλλείπειν. εἰ δέ τις ἐνίσταιτο πρὸς τὸ θέσεις ταῦτα καθάπαξ εἶναι, ἐκεῖνο λέγομεν ὡς διττὸν τὸ τοῦ μανοῦ καὶ πυκνοῦ σημαινόμενον, τὸ μὲν ἐν τοῖς εἴδεσιν, ὃ καὶ δι' ὅλου πάρεστι καὶ οὐσιῶδές ἐστι καὶ ἕξεως μᾶλλον οἰκεῖον θεωρεῖται, ὥσπερ ἀὴρ καὶ πῦρ μανὰ κατ' οὐσίαν, τὸ δὲ ἐπίκτητον καὶ ἔξωθεν ὡς ἐν σχήματι, ὅπερ ἐν τοῖς σπόγγοις καὶ τῇ κισσήρει φαίνεται, οὐ κενοῦ τινος τῶν μεταξὺ παρεμπίπτοντος, ἀλλὰ τῶν στερεῶν σωμάτων κατὰ σχῆμα περιγραφομένων καί τινα ἐν τῇ περιγραφῇ τῶν λεπτοτέρων σωμάτων περιεχόντων. καὶ τὰ μὲν οὐσιώδεις ποιότητες, θέσεις δὲ τὰ κατὰ σχῆμα. ὡσαύτως δὲ καὶ περὶ τοῦ λείου καὶ τραχέος καὶ ἀπορήσομεν καὶ λύσομεν. βαρὺ δὲ καὶ κοῦφον τὸ μὲν κατὰ τὸν σταθμὸν καὶ τῇ ῥοπῇ χρώμενον ποσὸν ἂν κατὰ τὸν Ἀρχύταν εἴη, αἱ μέντοι ἰδιότητες τῶν στοιχείων, καθ' ἃς κοῦφος μὲν ὁ ἀήρ, κουφότερον δὲ τούτου τὸ πῦρ, βαρεῖα δὲ ἡ γῆ καὶ βαρυτέρα τοῦ ὕδατος, ποιότητες ἄν τινες εἶεν. κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ ἰσχνὸν καὶ τὸ παχὺ τὰ μὲν ἐν ὄγκῳ καὶ μετρούμενα ἐν ποσῷ, τὰ δὲ κατὰ τὸν χαρακτῆρα τῆς ἰδιότητος προφερόμενα ἐν ποιῷ. τίνι δὲ τῶν εἰρημένων τῆς ποιότητος εἰδῶν τὸ κατὰ ποιὸν βαρὺ καὶ κοῦφον συντάξομεν, ἔχει διαπορίαν. τῷ μὲν γὰρ ἀναπλοῦν τὰ σώματα τὴν θερμότητα καὶ ταὐτὸν ἑαυτῇ τὸ κοῦφον ποιεῖν, καὶ αὖ ἐν τῷ συνάγειν τὴν ψυχρότητα ἑαυτῇ ταὐτὸν τὸ βαρὺ ποιεῖν, ταῖς παθητικαῖς ἄν τις συνάψοι ποιότησι· τῷ δ' αὖ παρακολουθεῖν τῷ μὲν θερμῷ τὴν κουφότητα, τῷ δὲ ψυχρῷ τὴν βαρύτητα, καὶ ποιητικὰς μὲν ἐκείνας εἶναι, τὰ δὲ μήτε τι ποιεῖν μήτε πάσχειν ὁρᾶν, εἰς ἄλλο τι γένος ἀναχθῆναι ταῦτα ζητεῖν ὑπολείπεται. ἐν τούτοις καὶ τὰ τοῦ τετάρτου εἴδους ἀποπεπεράτωται.

Ἴσως μὲν οὖν καὶ ἄλλος τρόπος φανείη ποιότητος, ἀλλ' οἵ γε μάλιστα λεγόμενοι σχεδὸν τοσοῦτοί εἰσι. ποιότητες μὲν οὖν εἰσιν αἱ εἰρημέναι, ποιὰ δὲ τὰ κατ' αὐτὰς παρωνύμως λεγόμενα ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. ἐπὶ μὲν οὖν τῶν πλείστων καὶ σχεδὸν ἐπὶ πάντων παρωνύμως λέγεται, οἷον ἀπὸ τῆς λευκότητος ὁ λευκὸς καὶ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς

1 ἑτερότητα M 2. 3 ὄγγους BL ὡς ὄγκους om. M 6 τοῖς L 7 μὲν γὰρ scripsi: γὰρ μὲν libri 7. 8 τῷ] τὸ L 9 τραχὺ μὲν M 12 δι' ὅλου] διό L οἰκεῖον om. M 17 ποιότητας M δὲ om. L 18 καὶ ἀπορήσομεν B Simpl.: καὶ om. LM 19 καὶ (ante κοῦφον) om. B¹ καὶ τῇ ῥοπῇ] τῇ δὲ πῇ M 22 post τινες add. ἂν BL 23 ὄγγω B 24 τῶν ποιοτήτων M 25 ἔχει om. M 26 ἀναπλοῦν scripsi (ἡ θερμότης ἀναπλοῦσα Simpl.): ἀναπλεῖν BL: ἀναπνεῖν M 28 τῷ δ'] τὸ μὲν M τὸ M 29 καὶ om. M 31 ἀποπεπεράτωται scripsi: ἀποπεράτωται libri 32 γε om. B: τε M 34 παρ' αὐτῶν M

δικαιοσύνης ὁ δίκαιος, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπ' ἐνίων δὲ διὰ τὸ μὴ κεῖσθαι ταῖς ποιότησιν ὀνόματα οὐκ ἐνδέχεται παρωνύμως ἀπ' αὐτῶν λέγεσθαι. οἷον ὁ δρομικὸς ἢ ὁ πυκτικὸς ὁ κατὰ δύναμιν φυσικὴν ἀπ' οὐδεμιᾶς ποιότητος παρωνύμως λέγεται· οὐ γὰρ κεῖται ὀνόματα ταῖς δυνάμεσι, καθ' ἃς οὗτοι ποιοὶ λέγονται. ὥσπερ ταῖς ἐπιστήμαις, καθ' ἃς πυκτικοὶ ἢ παλαιστικοὶ κατὰ διάθεσιν λέγονται. ἐνίοτε δὲ καὶ ὀνόματος κειμένου οὐ λέγεται παρωνύμως τὸ κατ' αὐτὴν ποιόν. οἷον ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος· τῷ γὰρ ἀρετὴν ἔχειν σπουδαῖος λέγεται, ἀλλ' οὐ παρωνύμως· οὐ γὰρ δεῖ ἐνάρετον λέγειν ἀπὸ τῆς ἀρετῆς, ὥσπερ οὐδὲ ἐγγράμματον ἀπὸ τῆς γραμματικῆς. οὐκ ἐπὶ πολλῶν δὲ τὸ τοιοῦτόν ἐστι. τὰ δὲ καὶ ὁμωνύμως ὡς ἡ μουσικὴ γυνὴ καὶ ἡ μουσικὴ ἐπιστήμη. ἐπ' ἐνίων δὲ καὶ παραλλάττουσιν αἱ τῶν ὀνομάτων σημασίαι παρὰ τὴν τῶν πραγμάτων δήλωσιν διὰ τὴν ἀνωμαλίαν τῆς χρήσεως· ὁ γὰρ δίκαιος κατὰ μὲν τὸ ὄνομα ἀπὸ τῆς δίκης παρείληπται, κατὰ δὲ τὰ πράγματα ἀπὸ τῆς δικαιοσύνης, ὥσπερ καὶ ὁ εὐφρόσυνος ἀπὸ τῆς εὐφροσύνης, κατὰ δὲ τὰ πράγματα οὐκ ἔχει παράθεσιν. ποιὰ οὖν λέγεται τὰ παρωνύμως ἀπὸ τῶν εἰρημένων ποιοτήτων λεγόμενα ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν.

Ὡς ἂν δὲ καὶ κατ' ἐπιστημονικὴν ὁδὸν ἡ διαίρεσις τῆς ποιότητος γένοιτο, καὶ πάντα κατὰ τάξιν περιληφθείη τὰ εἴδη, οὕτω λέγομεν· τῆς ποιότητος τὸ μὲν ἐν δυνάμει ἐστί, τὸ δὲ ἐν ἐνεργείᾳ. καὶ τοῦ κατὰ δύναμιν τὸ μὲν ἰδίως ὁμωνύμως τῷ γένει κατὰ δύναμιν λέγεται, τὸ δὲ κατὰ ἀδυναμίαν, ὃ καὶ δεύτερον εἶδος ποιότητος ἔθεμεν· τοῦ δὲ κατ' ἐνέργειαν τὸ μὲν τελειωτικόν ἐστι τοῦ ὑποκειμένου, τὸ δὲ κακωτικόν, τὸ δὲ οὐδέτερον τούτων. καὶ τοῦ τελειωτικοῦ τὸ μὲν πάθος ἐμποιεῖ περὶ τὴν ἡμετέραν αἴσθησιν, ὡς ἡ τοῦ πυρὸς θερμότης καὶ ἡ γλυκότης τοῦ μέλιτος, τὸ δὲ οὔ, ὡς ἐπιστήμη καὶ ἀρετή. καὶ ἀμφότερα εὐαπόβλητα ἢ δυσαπόβλητα· ὧν τὰ μὲν περὶ ψυχὴν ἕξεις καὶ διαθέσεις κατονομάζομεν, τὰ δὲ περὶ τὸ σῶμα πάθη καὶ παθητικὰς ποιότητας. καὶ τοῦ κακωτικοῦ δὲ ὡσαύτως τὸ μὲν περὶ ψυχὴν ἔχει τὸ εὐκίνητον ἢ δυσκίνητον, ὡς ἡ μανικὴ ἔκστασις καὶ ἡ ὀργή, τὸ δὲ περὶ σῶμα, ὡς ἡ ὠχρίασις ἢ ὑπὸ νόσου ἢ ὑπὸ φόβου, ἃ κοινῶς πάθη καὶ παθητικαὶ ποιότητες λέγονται. τῶν δὲ μήτε τελειωτικῶν μήτε κακωτικῶν τοῦ ὑποκειμένου τὰ μὲν διὰ βάθους κεχώρηκεν ὡς τὰ ἔν τισι χρώματα, τὰ δὲ ἐπιπολῆς ὡς αἱ μορφαὶ καὶ τὰ σχήματα. καὶ ὅλως δὴ πολύχρουν τι ἡ ποιότης ἐστίν· ἐν πᾶσι γὰρ θεωρεῖται τοῖς γένεσιν. οἷον ἀνθρωπότης καὶ Σωκρατότης ποιότης ἐν οὐσίᾳ, καμπυλότης δὲ γραμμῆς καὶ εὐθύτης καὶ τρίγωνοι ἀριθμοὶ καὶ τετράγωνοι ἐν ποσῷ, χρῶμα δὲ διακριτικὸν καὶ συγκριτικὸν ἐν ποιῷ, καὶ ἐν τοῖς πρός τι δὴ ποιότης ἡ σχέσις τοῦ διπλασίονος καὶ τοῦ ἡμίσεος, καὶ ἐν τῷ ποῦ τὸ εὐάερον τόπον λέγειν καὶ δυσάερον, καὶ ἐν τῷ ποτὲ ὁ καιρὸς καὶ ἡ εὐκαιρία, καὶ ἐν τῷ ποιεῖν

---

4 λέγονται M 5 πυκτικον (sic) L 6 ὀνόματα M 7 αὐτὴν ex Arist. scripsi: αὐτὸν libri τῷ γὰρ — σπουδαῖος (8) om. L τὸ γὰρ M 8 δεῖ] δὴ M 9 ἐγγράμματος M 10 καὶ (post δὲ) om. LM ὡς] καὶ M 13 ἀπὸ] ἄτῳ L 14 ὁ εὐφρόσυνος] ἡ εὐφροσύνη M 18 τὰ εἰρημένα εἴδη M 19 ἐν (post δὲ) om. LM 20 ὁ δὲ M 24 ἡ ἐπιστήμη L 27 κακωτικὴν L 28 περὶ τὸ σῶμα L¹ ὡς ἡ] ἢ M et fort. B ὠχρείασις BL 31 ἐπιπολῆς L 34 δὲ om. LM 35 ποιότης om. M 37 ὁ om. M

δὲ καὶ πάσχειν αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες. ἐν δὲ τῷ κεῖσθαι τὸ εὔθετον καὶ μή, ἐν τῷ ἔχειν δὲ τὸ εὐπερίβλητον καὶ μὴ τοιοῦτον. φθάνειν δέ φασι καὶ ἐπὶ τὰ ἀνύπαρκτα ὡς τὴν ἱπποκενταυρότητα καὶ ἐπὶ τὰ μὴ ὑπαρκτὰ ὄντα ὡς τὴν τετριγότητα ἐν χειμῶνι. ἀλλὰ τούτων τὰ μὲν τῷ σχήματι μόνῳ τῆς λέξεως ἐμφαίνει τὴν ποιότητα, οὐκ ὄντα ποιά, ὡς τὰ ἐπὶ τῆς οὐσίας, τὰ δὲ ὅλως οὐχ' ὑφέστηκε. τὰ ἐπὶ τῶν μὴ ὄντων. περὶ δὲ τῶν ἄλλων ἐκεῖνο ῥητέον, ὡς τὰς ἐν ποιότητι διαφορὰς ποιότητος εἶναι μόνης, τὰς δὲ ἐν ἄλλοις γένεσι μηδαμῶς ἐκβαίνειν ἀπὸ τῆς ἐν ἑκάστῃ ἰδιότητος ἐπὶ τὸ τῆς ποιότητος γένος. ἢ μήποτε περὶ αὐτῶν καὶ οὕτω δεῖ λέγειν, ὡς ἐν μὲν οὐσίαις ποιότης κατὰ τὰς οὐσιώδεις διαφοράς, ἐν δὲ τοῖς ἄλλοις γένεσιν οἰκείως ἐν ἑκάστῳ τὴν ἰδιότητα τοῦ γένους ἀφορίζουσα· τοῦτο γὰρ ποιότητος ἴδιον. πότερον δὲ πᾶσα ποιότης δύναται γενέσθαι καὶ οὐσιώδης διαφορά. ἢ ἐπὶ μὲν τῶν σωμάτων ἀνάγκη ἔν τισι συγχωρεῖν (ἡ γὰρ λευκότης. συμβεβηκὸς οὖσα. οὐσιώδης ἐστὶ τοῦ ψιμμυθίου διαφορά) ἐπὶ δὲ τῶν ψυχικῶν διαθέσεων οὔ; ἢ κἀκεῖ γένοιτ' ἄν ποτε, ὥσπερ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῷ ἀνθρώπῳ μονοειδὴς καὶ οὐσιώδης ἐστὶ διαφορά. ἔτι ταῖς ποιότησι συντακτέον τὰ κατ' αὐτὰς ποιά, καθ' ὅσον περὶ αὐτά εἰσιν αἱ ποιότητες, μὴ προσποιουμένους τὸ ὑποκείμενον, ἵνα μὴ κατηγορίαι δύο νοῶνται, ἀλλ' εἰς τοῦτο ἀνάγωνται. ἀφ' οὗπερ λέγονται. οὐ χεῖρον δὲ καὶ πάλιν ὑπομνῆσαι, ὑπὲρ ὧν καὶ πρότερον, ὅτι αἱ νοηταὶ ποιότητες καὶ αἰσθηταὶ οὐκ ἂν εἶεν ὑπὸ τὸ αὐτὸ γένος· οὐδὲ γὰρ αἱ κατηγορίαι περὶ τῶν νοητῶν ἐπὶ πᾶν, ἀλλὰ περὶ τῶν λεγομένων. καὶ γὰρ οὐδὲ δυνατὸν τῶν ὄντως ὄντων καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ διαφερομένων ὡς ἰσοστοίχων ἓν εἶναι γένος ποιότητος.

Ὑπάρχει δὲ καὶ ἐναντιότης κατὰ τὸ ποιόν, οἷον δικαιοσύνη ἀδικίᾳ ἐναντία καὶ λευκότης μελανίᾳ καὶ τἆλλα. ὡσαύτως δὲ καὶ τὰ κατ' αὐτὰς ποιὰ λεγόμενα. οἷον τὸ ἄδικον τῷ δικαίῳ καὶ τὸ λευκὸν τῷ μέλανι. οὐκ ἐπὶ πάντων δὲ τὸ τοιοῦτον· τῷ γὰρ πυρρῷ ἢ τῷ ὠχρῷ καὶ ταῖς τοιαύταις χροιαῖς οὐδέν ἐστιν ἐναντίον ποιοῖς οὖσιν. ἔτι δὲ ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιόν, καὶ τὸ λοιπὸν ἔσται ποιόν. τοῦτο δὲ δῆλον ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων τὰς ἄλλας κατηγορίας, οἷον εἰ ἔστιν ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον, ποιὸν δὲ ἡ δικαιοσύνη. ποιὸν ἄρα καὶ ἡ ἀδικία· οὐδεμία γὰρ τῶν ἄλλων κατηγοριῶν ἐφαρμόζει τῇ ἀδικίᾳ, οὔτε τὸ ποσὸν οὔτε τὸ πρός τι οὔτε τὸ ποῦ οὔθ' ὅλως τι τῶν τοιούτων οὐδέν, ἀλλ' ἢ ποιόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸ ποιὸν ἐναντίων.

Ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά. λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται. καὶ δίκαιον μᾶλλον ἕτερον ἑτέρου καὶ ἧττον. καὶ αὐτὸ δὲ ἐπίτασιν λαμβάνει· λευκὸν γὰρ ὂν ἔτι ἐνδέχεται λευκότερον γενέσθαι.

1 δὲ (ante καὶ) om. M καὶ παθητικαὶ om. M 2 εὐπερίληπτον M 4 τετριγότητα L 11 ἀφορίζουσα Simplicius: ἀφορίζουσι libri 16 καθ' αὐτὰς M 17 προσποιουμένη BM 18 νοῶνται — ἀνάγωνται scripsi: νοοῦνται — ἀνάγονται libri 21 δυνατῶν M 25 λευκότης καὶ μελανία M 27 πυρῷ libri 28 ᾖ] ἢ BL 30 εἰ om. M 32 τὸ (ante ποσὸν) om. B τὰ πρός τι M 35 καὶ (post μᾶλλον) om. L 37 αὐτὰ M

οὐ πάντα δὲ ἀλλὰ τὰ πλεῖστα. δικαιοσύνη δὲ δικαιοσύνης εἰ λέγοιτο μᾶλλον δικαιοσύνη καὶ ἧττον, ἀπορήσειεν ἄν τις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων διαθέσεων. ἔνιοι γὰρ ἀμφισβητοῦσι περὶ τῶν τοιούτων· δικαιοσύνην μὲν γὰρ δικαιοσύνης οὐ πάνυ δεῖν λέγεσθαι μᾶλλον καὶ ἧττον, οὐδὲ ὑγείαν ὑγείας, ὡς καὶ παρ' ἡμῶν ἀνωτέρω διήρθρωται· ἧττον μέντοι ἔχειν ἕτερον ἑτέρου ὑγείαν καὶ δικαιοσύνην ἕτερον ἑτέρου εὔλογον, ὡσαύτως δὲ γραμματικὴν καὶ τὰς ἄλλας διαθέσεις. ἀλλ' οὖν τά γε κατὰ ταύτας λεγόμενα ποιὰ ἀναμφισβητήτως ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· γραμματικώτερος γὰρ ἕτερος ἑτέρου μᾶλλον λέγεται καὶ ὑγιεινότερος καὶ δικαιότερος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τρίγωνον δὲ καὶ τετράγωνον οὐ δοκεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι, οὐδὲ τῶν ἄλλων σχημάτων οὐδέν· τὰ μὲν γὰρ ἐπιδεχόμενα τὸν τριγώνου λόγον καὶ τὸν τοῦ κύκλου πάνθ' ὁμοίως τρίγωνα ἢ κύκλοι εἰσί, τῶν δὲ μὴ ἐπιδεχομένων οὐδὲν μᾶλλον ἕτερον ἑτέρου ῥηθήσεται. οὐδὲν γὰρ μᾶλλον τὸ τετράγωνον τοῦ ἑτερομήκους κύκλος ἐστίν· οὐδέτερον γὰρ ἐπιδέχεται τὸν τοῦ κύκλου λόγον. ἁπλῶς δέ. ἐὰν μὴ ἐπιδέχηται ἀμφότερα τὸν τοῦ προκειμένου λόγον, οὐ ῥηθήσεται τὸ ἕτερον τοῦ ἑτέρου μᾶλλον. οὐ πάντα οὖν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον.

Τῶν μὲν οὖν εἰρημένων οὐδὲν ἴδιον ποιότητος, ὅμοιον δὲ καὶ ἀνόμοιον κατὰ μόνας τὰς ποιότητας λέγεται. ὅμοιον γὰρ ἕτερον ἑτέρου οὐκ ἔστι κατ' ἄλλο οὐδὲν ἢ καθὸ ποιόν ἐστιν. ὥστε ἴδιον ἂν εἴη τῆς ποιότητος τὸ ὅμοιον λέγεσθαι κατ' αὐτὴν ἢ ἀνόμοιον. οὐ δεῖ δὲ ταράσσεσθαι μή τις ἡμᾶς φήσει ὑπὲρ ποιότητος ποιησαμένους τὴν πρόθεσιν πολλὰ τῶν πρός τι συγκαταριθμεῖσθαι· τὰς γὰρ ἕξεις καὶ τὰς διαθέσεις τῶν πρός τι ἐλέγομεν εἶναι. σχεδὸν γὰρ ἐπὶ πάντων τῶν τοιούτων τὰ γένη τῶν πρός τι λέγεται. τῶν δὲ καθ' ἕκαστον οὐδέν· ἡ μὲν γὰρ ἐπιστήμη, γένος οὖσα, αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται (τινὸς γὰρ ἐπιστήμη λέγεται), τῶν δὲ καθ' ἕκαστα οὐδὲν αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται, οἷον ἡ γραμματικὴ οὐ λέγεται τινὸς γραμματικὴ οὐδὲ ἡ μουσικὴ τινὸς μουσική, ἀλλ' ἢ ἄρα κατὰ τὸ γένος καὶ αὗται τῶν πρός τι λέγονται, οἷον ἡ γραμματικὴ λέγεται τινὸς ἐπιστήμη, οὐ τινὸς γραμματική, καὶ ἡ μουσικὴ τινὸς ἐπιστήμη, οὐ τινὸς μουσική· ὥστε αἱ καθ' ἕκαστα οὐκ εἰσὶ τῶν πρός τι. λεγόμεθα δὲ ποιοὶ τῇ καθ' ἕκαστα· ταύτας γὰρ καὶ ἔχομεν· ἐπιστήμονες γὰρ λεγόμεθα τῷ ἔχειν τῶν καθ' ἕκαστα ἐπιστημῶν τινάς. ὥστε αὗται ἂν καὶ ποιότητες εἴησαν, αἱ καθ' ἕκαστα, καθ' ἃς ποτε καὶ ποιοὶ λεγόμεθα· αὗται δὲ οὐκ εἰσὶ τῶν πρός τι. ἔτι εἰ τυγχάνει τὸ αὐτὸ ποιὸν καὶ πρός τι ὄν, οὐδὲν ἄτοπον ἐν ἀμφοτέροις αὐτὸ τοῖς γένεσι καταριθμεῖσθαι.

Μετὰ δὲ τὸν τῆς ποιότητος λόγον τὴν χρονικὴν καὶ τοπικὴν κατηγορίαν

---

1 post μᾶλλον add. καὶ ἧττον M 2 καὶ ἧττον om. M post ἧττον add. δὲ L 3 δικαιοσύνην scripsi: δικαιοσύνη libri 4 δεῖ BL 5 ἔχειν om. M 6 post δὲ add. καὶ M 8 τὸ (ante ἧττον) om. M μᾶλλον ἕτερος ἑτέρου M 10 τὸ (ante ἧττον) om. B 11 τῶν τριγώνου BL¹: τὸν τοῦ τριγώνου M 12 τρίγωνα om. B¹ ἢ] καὶ M 15 τὸν] τῶν B 19 λέγονται M 21 δὲ om. L μήπως M φήσει] φύσει L: φησὶν M 28 ἀλλ' ἢ] sic libri et Categ. corr. AC: legendum est ἀλλ' εἰ 31 τῇ] καὶ M καὶ om. M 36 Περὶ τοῦ πότε margo L: Περὶ τοῦ πότε ἐν ᾧ καὶ περὶ χρόνου margo B καὶ τοπικὴν om. M

ἐκτίθεμεν. ὁπότερον δὲ ποτέρου προτάττειν ἢ ὑποτάττειν χρή, ἔχει διαπορίαν. δοκιμαζέσθω δὲ ὁ λόγος ἐπὶ τοῦ χρόνου καὶ τοῦ τόπου, ὡς ἐκεῖθεν τῶν παρόντων ὑφισταμένων. τῷ μὲν γὰρ τὸν τόπον τῇ οὐσίᾳ τῶν σωμάτων συνυπάρχειν, τὸν δὲ χρόνον συνυφίστασθαι τῇ κινήσει, πρότερον δὲ τὸ εἶναι τῶν γινομένων ἢ τὸ κινεῖσθαι, πρότερον ἔσται γένος καὶ τὸ τῇ ὑποστάσει τῶν γινομένων συνυφιστάμενον ἢ τὸ τῇ κινήσει παρομαρτοῦν. τῷ δ' αὖ μηδὲν τῶν γενητῶν ἐγχωρεῖν εἶναι ἢ γενέσθαι ἄνευ χρόνου, πολλὰ δὲ εἶναι ἄνευ τόπου (ὅ τε γὰρ τόπος αὐτὸς οὐκ ἐν τόπῳ καὶ αἱ πράξεις πᾶσαι), δόξειεν ἂν εἰκὸς προτάττεσθαι τοῦ ποῦ τὸ ποτέ. μήποτε δὲ ἀσφαλῶς ἔχει ἅμα τὴν περὶ αὐτῶν ποιεῖσθαι διδασκαλίαν· ἀπονεύει γάρ πως πρὸς ἄλληλα καὶ κατὰ συζυγίαν προάγεται, ὥσπερ τὸ ποιεῖν καὶ πάσχειν, καὶ ἀδελφά πώς εἰσι, κοινὴν ἐπ' ἴσης παρέχοντα τὴν συντέλειαν πρὸς ὅλην τὴν γένεσιν. τῇ γὰρ αἰσθητῇ καὶ φυσικῇ οὐσίᾳ τὰ μὲν συνεισῆλθεν, ὡς ποσότης καὶ ποιότης καὶ πρός τι, τὰ δὲ ἐπεισῆλθε κινηθείσῃ ὡς τὸ ποιεῖν καὶ πάσχειν, τὰ δὲ ἐπηκολούθησεν ὡς τὸ ἐν χρόνῳ καὶ ἐν τόπῳ καὶ τὸ κεῖσθαι καὶ τὸ ἔχειν. ἅμα δὲ τὴν διδασκαλίαν ποιούμενοι, ὅμως πανταχοῦ τὸ ποτὲ τοῦ ποῦ προτίθεμεν. λέγομεν δή ὡς οὔτε τὰ πράγματα τὰ ἐν χρόνῳ οὔθ' ὁ χρόνος αὐτὸς οὔτε τὸ σύνθετον ἐξ ἀμφοῖν εἰδοποιεῖ τὴν τοῦ ποτὲ κατηγορίαν, ψιλὴ δὲ ἡ σχέσις τοῦ πράγματος πρὸς τὸν χρόνον. ἔστι δὲ διττόν· δηλοῖ γὰρ καὶ τὸν χρόνον αὐτόν, δηλοῖ καὶ τὴν κατηγορίαν, ὅπερ ἰδίως ἐν χρόνῳ λέγεται. οὕτω διττὸν καὶ τὸ ἀεί, τὸ μὲν ἐν χρόνῳ, καθ' ὃ λέγομεν "ἀεί ἐστι πρᾶξις", τὸ δὲ τοῦ αἰῶνος παρώνυμον. ὁμοίως δὲ καὶ τὸ πέρυσιν διττόν· τὸ δὲ εἰς νέωτα καὶ τῆτες οὐκέτι, ἀλλὰ τὸ ἐν χρόνῳ μόνον δηλοῦσι. καὶ χρόνου μὲν ἂν εἶεν διαφοραὶ παρεληλυθώς, μέλλων, τοῦ δὲ ποτὲ τὸ πέρυσιν, ἐς νέωτα, τῆτες. τὸ μέντοι πάλαι, ὅταν μὲν λέγωμεν "ὁ πάλαι ὤν," χρόνον δηλοῖ, ὅταν δὲ "πάλαι ἔπραξεν", ἐν χρόνῳ. ὁμοίως δὲ καὶ τὸ ἄρτι καὶ νῦν καὶ τὸ ἤδη καὶ χρόνον δηλοῦσι καὶ ἐν χρόνῳ, τὸ δὲ χρονίζειν τὸ ἐν χρόνῳ, οὐ τὸν χρόνον. καὶ ὁ μὲν χρόνος ἄπειρος, εἴπερ ἡ γένεσις συνεχής, τὸ δὲ ποτὲ πεπέρασται, ὅτι καὶ ἡ ἐν αὐτῷ πρᾶξις· ὅθεν καὶ τῶν θείων ἐξώρισται. ἀλλὰ ταῦτα μὲν προσιστορήσθω τῆς συνηθείας τῶν ὀνομάτων ἕνεκεν. πῶς δὲ τοῦ ἔν τινι πολλαχῶς λεγομένου, τὸ ἐν χρόνῳ καὶ ἐν τόπῳ μόνον ἰδίας ἡμῖν κατηγορίας ἐχαρακτήρισεν; ἢ ἐν τούτοις τὸ μὲν περιέχει τὸ δὲ περιέχεται, ἑκατέρου τὴν ἑαυτοῦ φύσιν διασώζοντος, καὶ μόνοις ἐν τούτοις αὐτὸ τὸ ἔν τινι φύσις τις ἀφωρισμένη γίνεται, κατὰ τὴν σχέσιν αὐτὴν ὑφεστῶσα· τῶν ⟨δ'⟩ ἄλλων σημαινομένων τὰ μὲν ὄντα μέρη τῶν συζύγων, τὰ δὲ συμπληρωτικὰ ἑτέρων, τὰ δὲ οὐ δυνάμενα χωρὶς ὑποστῆναι.

Ὅτι μὲν οὖν τὸ ποτὲ οὐκ ἔστι χρόνος (οὐ γὰρ τὸ ἐν χρόνῳ χρόνος),

---

1 προτέρου L: ποτέρω M 8 post εἰκὸς add. εἶναι M 12 φυσικῇ] νοητῇ M 13 κινηθήση L 14 τὸ (ante ἐν χρόνῳ) om. M 15 τὸ (ante ἔχειν) om. M ποιοῦμεν M 16 τοῦ ποτὲ M τὸ ποῦ BM προεκτίθεμεν B 18 ποτὲ] ποῦ L¹ 19 γὰρ] δὲ M δηλοῖ δὲ καὶ M 22 μόνω L¹M 25 ὅτε M τὸ ἐν χρόνω M 26 δηλοῦνB 28 δὲ om. M ἐν αὐτῷ BM Simpl.: ἐνταῦθα L 29 προσιστορείσθω M 30 τοῦ ἔν τινι] τοῦτ' ἔνι M 31 ἡμῖν ἰδίας M ἐχαρακτηρίσαμεν L 34 δ' addidi 36 τῷ ἐν χρόνῳ L

εἴρηται. ὅτι δὲ ὁ χρόνος ποσόν ἐστι, φανερόν· οὐ γὰρ μόνον μετρεῖ τὴν κίνησιν (ἔστι γὰρ ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερόν τε καὶ ὕστερον), ἀλλὰ καὶ μετρεῖται ὑπ' αὐτῆς (εἰς γὰρ τὰ μεταξὺ σύμπαντα καὶ τὸ τούτων πλῆθος καὶ μῆκος καὶ τὰς βραχείας καὶ μακρὰς κινήσεις ἀποβλέποντες τὸν πλείω καὶ ἐλάττω χρόνον ὁρίζομεν), ὥσπερ αὖ καὶ τὸ μέγεθος καὶ τὴν κίνησιν πάλιν ἀλλήλοις ἀντιμετροῦμεν· πολλὴν γάρ φαμεν ὁδόν, ἧς ἡ πορεία πολλή, καὶ πολλὴν τὴν πορείαν, ὅταν ἡ ὁδὸς μῆκος ἱκανὸν ἔχῃ. ἀκολουθεῖ γὰρ τῷ μὲν μεγέθει ἡ κίνησις, τῇ δὲ κινήσει ὁ χρόνος· ποσὸν ἄρα καὶ ὁ χρόνος. ἐπεὶ δὲ ἕκαστα συγγενεῖ μετρεῖται (μονάδες γὰρ μονάδι μετροῦνται), καὶ αἱ κινήσεις ἄρα πᾶσαι κινήσει μετρηθήσονται τῇ τῆς κυκλοφορίας· ὁμαλὴ γὰρ αὕτη καὶ ὡρισμένη. ἔσται οὖν ἡ κυκλοφορία καὶ τοῦ χρόνου ὥσπερ καὶ τῶν κινήσεων μέτρον. τούτῳ δὲ ὁμολογεῖ καὶ τὰ εἰωθότα λέγεσθαι, ὅτι κύκλῳ τὰ ἀνθρώπεια φέρεται καὶ τὰ γινόμενα πάντα, καὶ ὡς ὁ χρόνος κύκλος τις καὶ περίοδος, ὥσπερ καὶ τὰ ἐν αὐτῷ· καὶ γὰρ τοιαύτης ἐστὶ μέτρον καὶ μετρεῖται ὑπ' αὐτῆς. ὅθεν καὶ τὰ μὴ πεφυκότα κινεῖσθαι μηδὲ ἠρεμεῖν ἀλλ' ὄντα φύσει ἀκίνητα, οἷα τὰ νοητά, οὐδαμῶς ἐν χρόνῳ. ἐπεὶ δέ ἐστιν ἡ κίνησις ἐν χρόνῳ, ἀνάγκη καὶ τὴν ἠρεμίαν εἶναι σὺν χρόνῳ· ἀρχὴν γὰρ αὕτη καὶ τέλος ἔχει χρονικά. οὐκ ἄκαιρον δὲ καὶ τὰ τοῦ Ἀρχύτα περὶ χρόνου παραθέσθαι ἄρτι· φησὶ δὲ ὧδε "τὸ δὲ ποκὰ καὶ ὁ χρόνος καθόλου μὲν ἴδιον ἔχει τὸ ἀμερὲς καὶ τὸ ἀνυπόστατον· τὸ γὰρ νῦν ἀμερὲς λεγόμενον ἅμα λεγόμενον καὶ νοούμενον παρελήλυθε καὶ οὐκ ἔστι παραμένον. γινόμενον γὰρ συνεχῶς τὸ αὐτὸ μὲν οὐδέποκα σώζεται κατ' ἀριθμόν, κατὰ μέντοι γε τὸ εἶδος. ὁ γὰρ ἐνεστὼς νῦν χρόνος καὶ ὁ μέλλων οὐκ ἔστιν ὁ αὐτὸς τῷ προγεγονότι· ὁ μὲν γὰρ ἀπογέγονεν καὶ οὐκέτι ἐστίν, ὁ δὲ ἅμα νοούμενος καὶ ἐνεστακὼς παρῴχηκε· καὶ οὕτως ἀεὶ συνάπτει τὸ νῦν συνεχῶς ἄλλο καὶ ἄλλο γινόμενόν τε καὶ φθειρόμενον. κατὰ μέντοι γε τὸ εἶδος τὸ αὐτό· πᾶν γὰρ τὸ νῦν ἀμερὲς καὶ ἀδιαίρετον, καὶ πέρας μέν ἐστι τῷ προγεγονότος, ἀρχὰ δὲ τῷ μέλλοντος, ὥσπερ καὶ γραμμᾶς εὐθείας κλασθείσας τὸ σαμεῖον, περὶ ὃ ἁ κλάσις, ἀρχὰ μὲν γίνεται τᾶς ἑτέρας γραμμᾶς, πέρας δὲ τᾶς ἑτέρας. συνεχὴς δὲ ὁ χρόνος καὶ οὐ διωρισμένος, ὥσπερ ἀριθμὸς καὶ λόγος καὶ ἁρμονία· τῷ μὲν γὰρ λόγῳ τᾶς συλλαβᾶς τὰ μόρια διωρισμένα καὶ τᾶς ἁρμονίας τοὶ φθόγγοι καὶ τῷ ἀριθμῷ ταὶ μονάδες, γραμμὰ δὲ καὶ χωρίον καὶ τόπος συνεχές· τὰ γὰρ μόρια τούτων κοινὰ τμήματα ποιέει διαιρεύμενα. τέμνεται γὰρ γραμμὰ μὲν κατὰ στιγμάν, ἐπίπεδον δὲ κατὰ γραμμάν, στερεὸν δὲ κατ' ἐπίπεδον. ἔστιν ὧν καὶ ὁ χρόνος συνεχής· οὐ γὰρ ἦν ποκα φύσις, ὁπόκα χρόνος οὐκ ἦν, οὐδὲ κίνασις, ὁπόκα τὸ νῦν οὐ παρῆν, ἀλλ' ἀεὶ ἦν καὶ ἔστι καὶ οὐδέποκα ἐπιλείψει τὸ νῦν, ἄλλο καὶ ἄλλο γινόμενον, ἀριθμῷ μὲν ἕτερον, εἴδει δὲ τωυτόν. διαφέρει γε μὰν τῶν ἄλλων

5 αὖ om. M 6 ὁδόν φάμεν M ἡ BM Simpl.: καὶ ἡ L 7 ἔχει M 8. 9 ἐπειδὴ M 9 συγγενῆ M 12 τοῦτο δὲ LM 14 post ἐστὶ add. φορᾶς Simpl. 17 post γὰρ add. καὶ B[1] χρονικήν M 27 τοῦ προγεγονότος M τῷ (post δὲ) scripsi: τοῦ libri 30 post ὥσπερ add. καὶ M τᾶς συλλαβᾶς] sic etiam Simplicius in Categ., sed ταὶ συλλαβαὶ recte in Phys. p. 785,28 33 διερευμένα BL: διαιρούμενα M μὲν ante γὰρ ponit M 34 ὧν Simpl.: ὧν libri 36 ἔσται Simpl. in Categ.: ἐσσεῖται idem in Physic. p. 786,3 ἐπιλείψει M Simpl.: ἐπιλήψει BL 37 εἴδει δὲ] εἰ δὲ M

συνεχέων, ὅτι τᾶς μὲν γραμμᾶς καὶ τῷ χωρίῳ καὶ τῷ τόπῳ τὰ μέρεα ὑφέστακεν. τῷ δὲ χρόνῳ τὰ μὲν γενόμενα ἔφθαρται, τὰ δὲ γενησόμενα φθαρήσεται. διόπερ ὁ χρόνος ἤτοι τὸ παράπαν οὐκ ἔστιν, ἢ ἀμυδρῶς καὶ μόλις ἐστίν· οὐ γὰρ τὸ μὲν παρεληλυθὸς οὐκέτι ἐστί, τὸ δὲ μέλλον οὐδέπω ἐστί, τὸ δὲ νῦν ἀμερὲς καὶ ἀδιαίρετον, πῶς ἂν ὑπάρχοι τοῦτο κατ' ἀλήθειαν;" καὶ φύσις μὲν χρόνου κατὰ τὸν Ἀρχύταν αὕτη, χρείαν δὲ τῷ παντὶ παρέχεται τήνδε· ὡς γὰρ τὸ ὂν διὰ τὸν αἰῶνα ἅμα ὅλον ἐστὶν ἐν ἑνὶ καὶ συνῃρημένον, οὕτως ἡ γένεσις διὰ τὸν χρόνον ἐν τάξει διακέκριται καὶ σύγχυσις οὐκ ἔστι τῶν γενέσεων καὶ τῶν πράξεων. εἰ γὰρ μὴ χρόνος ἦν, ταὐτὰ ἂν εἴησαν τὰ ἐπὶ τῶν Τρωικῶν τοῖς νῦν. καὶ περὶ μὲν τῶν κοινῶς περὶ χρόνου ἐκδεδομένων ταῦτα.

Ἔτι δὲ νοερώτερον οἱ Πυθαγόρειοι καὶ περιεκτικώτερον τὸν χρόνον ὡρίσαντο· διάστημα γὰρ αὐτὸν ἔφασαν εἶναι καθόλου τῆς τοῦ παντὸς φύσεως. αὐτοκινήτου γὰρ καὶ κατ' αὐτοὺς καὶ κατὰ Πλάτωνα τῆς ψυχῆς οὔσης, πάντως ἔδει καὶ ἀρχὴν καὶ μέσα καὶ τέλη ἔχειν κινήσεων. ὥστε ἔοικε διὰ τούτων ἡ οὐσιώδης τῆς ψυχῆς ἐμφαίνεσθαι κίνησις καὶ ἡ τῶν κατ' οὐσίαν ὑπαρχόντων αὐτῇ λόγων προβολὴ καὶ μετάβασις ἐξ ἑτέρων εἰς ἕτερα, περὶ ἣν ἡ ἄλλη πᾶσα κίνησις συνέχεται καὶ τέτακται καὶ μεμέτρηται. ἧς ἀριθμὸς καὶ μέτρον γενεσιουργὸν καὶ προϊὸν εἰς ποίησιν τῶν ἐν τῷ κόσμῳ ὁ νῦν παραδιδόμενος χρόνος, ὃς διεξόδους ἀεὶ καὶ μεταβάσεις ποιεῖται ἔνδον κατὰ τὰς προβολὰς τῶν φυομένων ἐξ αὐτοῦ· ὃς δὴ καὶ ἐναργής ἐστι χρόνος. οὐ πολὺ δὲ διέστηκε καὶ τοῦ ἐκείνως λεγομένου χρόνου, ὃν ἀριθμὸν ἔξωθεν καὶ μέτρον ἐπιγινόμενον ἐν τῷ συνεχεῖ ἐθεωροῦμεν. τούτοις συνᾴδει καὶ τὰ τῶν παλαιοτέρων· οἱ μὲν γὰρ χορείᾳ τινὶ τῆς ψυχῆς περὶ τὸν νοῦν, οἱ δὲ ταῖς τῆς ψυχῆς αὐτῆς καὶ τοῦ νοῦ περιόδοις, οἱ δὲ τῇ φυσικῇ περὶ τὸν νοῦν χορείᾳ, οἱ δὲ ταῖς ἐγκυκλίοις περιφοραῖς τὸν χρόνον ὡρίσαντο. ἅπερ ἅπαντα ἡ Πυθαγόρειος αὕτη περιείληφεν αἵρεσις· τὸ γὰρ λέγειν αὐτὸν καθόλου διάστημα τῆς τοῦ παντὸς φύσεως πάσας τὰς φύσεις τοῦ παντὸς περιείληφεν καὶ δι' ὅλων αὐτῶν διήκει παντελῶς. ὡς γὰρ ἐπὶ τῶν ἐν γενέσει τοῦτο τὸ νῦν παρὰ τὸ πρόσθεν νῦν καὶ αὕτη ἡ κίνησις παρὰ τὴν πρώτην κίνησιν μεταβολὴν ἐπιδείκνυσιν, οὕτω πολὺ πρότερον καὶ ἀρχηγικώτερον καὶ ἐπὶ τῆς οὐσίας τῶν φυσικῶν λόγων τὸ πρὸ καὶ τὸ μετὰ θεωρεῖται, ἃ καὶ κυρίως συμπληροῖ τὸ διάστημα τοῦ πρεσβυτάτου πάντων χρόνου. διάστημα δὲ ἐνταῦθα λέγομεν οὐ τὸ κατὰ τὸν ὄγκον, οὐ τὸ κατὰ τὴν κίνησιν ἁπλῶς τὴν ἐκτός, ἀλλὰ τὸ κατὰ τὴν προϋπάρχουσαν τῆς κινήσεως τάξιν, ἐν ᾗ τὸ πρότερον καὶ τὸ ὕστερον προδιατεταγμένα καὶ τοῖς πράξεσι καὶ ταῖς κινήσεσι τὴν τάξιν παρέχεται. καὶ περὶ μὲν τοῦ ποτὲ καὶ τοῦ χρόνου ὡς ἐν εἰσαγωγαῖς ἀρκεῖ τοσαῦτα.

Περὶ δὲ τοῦ ποῦ καὶ τοῦ τόπου κατὰ τὰ αὐτὰ διαλαβεῖν ὑπολείπεται. καὶ

---

1 ὑφέστηκεν L 4 οὐδέπω] οὐκέτι M 5 ὑπάρχοι Simpl.: ὑπάρχει BL: ὑπάρχῃ M 9 ταὐτὰ ἂν om. M 11 post δὲ add. καὶ M 14 τέλος M 17 μετρεῖται M 23. 24 χωρεία LM 26 τῷ γὰρ M αὐτῶν M[1] 27 φύσεις om. M 32 δὲ om. L οὐδὲ τὸ M 36 ταῦτα M 37 Περὶ δὲ τοῦ ποῦ] περὶ τοῦ ποῦ ἐν ᾧ καὶ περὶ τόπου superscribunt BLM[2] δὲ om. M καὶ τοῦ τόπου om. B[1] κατὰ ταὐτὸν M

πρῶτον ἐκεῖνο εἰπεῖν δεῖ, ὡς οὐκ ἔστι τὸ ποῦ ὁ τόπος, ὥσπερ οὐδὲ τὸ ποτὲ ὁ χρόνος, ἀλλ' ὥσπερ ἄλλο μὲν ἦν ὁ χρόνος, ἄλλο δὲ τὸ κατὰ χρόνον ἢ χρόνου τι, οὕτως ἄλλο μὲν ὁ τόπος, ἄλλο δὲ τὸ κατὰ τόπον ἢ τόπου τι. ἐπεὶ δὲ καὶ τὸ ποῦ διττόν (δηλοῖ γὰρ τόν τε τόπον καὶ τὸ ἐν τόπῳ, ὥσπερ καὶ τὸ ποτὲ ἐλέγετο σημαίνειν τόν τε παρεληλυθότα χρόνον καὶ τὸ ἐν χρόνῳ), εἴη ἂν ἡ κατηγορία κατὰ τὸ δεύτερον ἀφωρισμένη σημαινόμενον. τὸ μὲν γὰρ ὡς τόπος λεγόμενον ποσὸν ἂν εἴη, τὸ δὲ ἐν τόπῳ καθαρῶς τῆς ποῦ κατηγορίας. κἂν γὰρ σύνθετός τις ᾖ ἡ ἐν τόπῳ καὶ ἐν χρόνῳ φωνή, ἀλλ' οὖν ἁπλοῦν τι δεῖ καὶ μονοειδὲς ἐκδέχεσθαι τὸ παρὰ τῆς συνθέτου λέξεως σημαινόμενον. διήκει δὲ ἡ διττὴ αὕτη σημασία καὶ ἐπὶ πάσας τὰς τοῦ τόπου διαφοράς· καὶ γὰρ τὸ ἄνω καὶ τὸ κάτω καὶ πρόσω καὶ ὀπίσω καὶ δεξιὸν καὶ ἀριστερὸν διττά ἐστι, τὰ μὲν ὡς τόποι, τὰ δὲ ὡς ἐν τόπῳ· καὶ τὰ μὲν τόπου μέρη φήσομεν, τὰ δὲ τῇ ποῦ κατηγορίᾳ συντάξομεν. διατείνει δὲ ἡ τοῦ ποῦ σημασία καὶ εἰς τὸ ποθὲν ὡς τὸ Ἀθήνηθεν καὶ εἰς τὸ πόσε ὡς τὸ Ἀθήναζε. καὶ τὰ μετὰ συνδέσμων δὲ λεγόμενα τὰ αὐτὰ σημαίνει, ἐκ Λυκείου καὶ ἐν Λυκείῳ καὶ εἰς Λύκειον. καὶ τὰ δεικτικὰ δὲ συντακτέον τούτοις, ὡς τὸ ἐκεῖ καὶ ἐνθάδε· καὶ πόρρω καὶ ἐγγὺς καὶ τὰ τοιαῦτα. ἔτι τῶν τοῦ ποῦ τὰ μὲν ἀορίστως λέγεται, τὰ δὲ ὡρισμένως· ἢ γὰρ ἁπλῶς ἐν τόπῳ ἢ ἔν τινι τόπῳ, καὶ τὰ μὲν ἐν πλάτει οἷον ἐν Ἀθήναις, τὰ δὲ κατὰ περιγραφὴν οἷον ἐν Ἀρείῳ πάγῳ. πότερον δὲ τό τε ἅμα καὶ χωρὶς καὶ συνεγγίζον καὶ διεστηκός, ἔτι δὲ παρακείμενον καὶ συγκείμενον καὶ ἕτερ' ἄττα τοιάδε πάντα τῇ ποῦ κατηγορίᾳ καθάπαξ ὑποβαλοῦμεν, ἢ δεῖ διαφόροις προσνέμειν γένεσιν; μήποτε δὲ οὐ πάντα ταῦτα ἕνα ἔχει λόγον, ἀλλὰ τὰ μὲν ἅμα καὶ τὰ συνεγγίζοντα τοῦ πρός τι τίθεσθαι (κοινὴν γὰρ καὶ ἀντιστρέφουσαν σχέσιν παρίστησι), τὰ δὲ χωρὶς καὶ διεστηκότα τοῦ ποῦ (πλεονάζει γὰρ ἐν αὐτοῖς ὁ τόπος), τὰ δὲ παρακείμενα καὶ ὑποκείμενα τοῦ κεῖσθαι (πλεονάζει γὰρ ἐν αὐτοῖς ἡ θέσις), καὶ τἆλλα δὲ οὕτως χρὴ διακρίνειν τῷ πλεονάζοντι καὶ ἐπικρατοῦντι, καὶ τὴν ἔννοιαν προβάλλοντι πρόχειρον τούτῳ τὸ βραβεῖον τοῦ γένους ἀπονέμειν. ἔστι δὲ οἷς καὶ συμφύρεται ἡ τοῦ πρός τι σχέσις τῇ τοῦ ποῦ καὶ τοῦ ποτὲ ὡς τὸ ἐπέκεινα καὶ ἐπὶ τάδε καὶ ἐπάνω καὶ ὑποκάτω καὶ πρεσβύτερον καὶ νεώτερον καὶ τὰ ὅμοια. ἐπιδέχεται δὲ καὶ ἐναντίωσιν τὸ ποῦ κατὰ τὰς τοῦ τόπου διαφοράς, ὥσπερ καὶ τὸ ποτὲ κατὰ τὰς τοῦ χρόνου· ἐκεῖ μὲν γὰρ τὸ πάλαι πρὸς τὸ νῦν καὶ τὸ χθὲς πρὸς τὸ αὔριον τὴν ἀντίθεσιν εἶχεν, καὶ ὧδε τὸ ἄνω εἶναι ἐναντίον τῷ κάτω καὶ τὸ πρόσω τῷ ὀπίσω, καὶ ἐπὶ τῶν ἄλλων οὕτως. κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἀμφότερα ἐπιδέχεται· ἐκεῖ μὲν γὰρ ἐπὶ τῶν παρεληλυθότων τὸ πορρωτέρου τοῦ νῦν μᾶλλον παρεληλυθέ, καὶ ἐπὶ τοῦ μέλλοντος ὡσαύτως, ἐνταῦθα δὲ ἕτερον ἑτέρου μᾶλλόν ἐστιν ἄνω καὶ μᾶλλον κάτω, καὶ πρόσω καὶ ὀπίσω καὶ τἆλλα ὁμοίως. ἔτι ὥσπερ περὶ τῆς ποτὲ κατηγορίας διαλαμβάνοντες

---

1 τοῦ ποῦ M οὐδὲ τὸ] καὶ τοῦ M 7 κἂν BL 8 φωνῆ BL 15 δὲ om. M 17 λέγονται M 18 ὡρισμένος L 20 τό τε] πότε L[1] 22 μήποτε] μήτε L 23 τοῦ — τίθεσθαι om. M κοινὰ M 24 ἀντιστρέφοντα M διεστῶτα M τῇ ποῦ BL 28 ἀπονέμοντας Simplicius 29 τὸ ὡς M 33 τὸ κάτω BL 37 μᾶλλον (post καὶ) om. M

ἐκ τοῦ θεωρῆσαι [τὴν] περὶ τοῦ χρόνου καὶ αὐτὴν ἐδιδάσκομεν. οὕτω καὶ ἐν τῇ ποῦ καὶ περὶ τόπου ἐπισκέψασθαι ἀναγκαῖον. καὶ πρῶτον εἴπωμεν τὴν χρείαν, δι᾽ ἣν ἐν τοῖς οὖσιν ἡ τοῦ τόπου φύσις γεγένηται. τὰ μὲν οὖν ἀγέννητα καὶ ἀμέριστα, ἅτε τὴν οὐσίαν καὶ τὴν τοῦ εἶναι παράτασιν ἡνωμένην ἔχοντα καὶ ὅλα ἅμα ἐν ἑαυτοῖς ὄντα, ἀπροσδεᾶ εἰσι τόπου ὥσπερ καὶ χρόνου· ὁ γὰρ αἰὼν ἐκεῖ ἅμα καὶ ἐν ἑνὶ μένειν ποιεῖ· τὰ μέντοι γενητὰ καὶ μεριστὴν ἔχοντα τήν τε οὐσίαν καὶ τὴν τοῦ εἶναι παράτασιν προσδεᾶ καὶ χρόνου καὶ τόπου· χρόνου μέν, ἵνα μὴ σκεδαννύηται μήτε συγχέηται αὐτοῖς ἡ τοῦ εἶναι παράτασις, ἀλλ᾽ ἐν τάξει κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον συνάγηται καὶ συνεχίζηται. τόπου δέ. ἵνα τὰ εἰς ὄγκον διαστάντα τῶν σωμάτων μέρη καὶ πεσόντα ἐκ τῆς ἑαυτῶν ἀμερείας ἅμα μὲν ὑποδέχηται. ἅμα δὲ καὶ εὐθετίζῃ καὶ τάττῃ καὶ ὁρίζῃ. ὡς μήτε συμφόρεσθαι τὰς χεῖρας τοῖς ποσὶ μήτε διασπᾶσθαι πάντη ἀπ᾽ ἀλλήλων. διὸ τὸν οἰκεῖον ἕκαστα κατέχει τόπον. διττὸς γὰρ ὁ τόπος, ὥσπερ ἦν καὶ ὁ χρόνος· ὁ μὲν συμφυὴς καὶ ἴδιος ἑκάστου, ὁ τήνδε μὲν τὴν χεῖρα καὶ τόδε τὸ σπλάγχνον ἐν τοῖς δεξιοῖς συνέχων. τήνδε δὲ καὶ τόδε ἐν τοῖς ἀριστεροῖς, καὶ τὴν μὲν κεφαλὴν ὑπὲρ τὸν τράχηλον ἄνω, τοὺς δὲ πόδας κατὰ τὴν ἤβην κάτω· ὁ δὲ κοινὸς καὶ ἄλλος ἄλλου κοινότερος, ὁ κατὰ τὸ πέρας τοῦ περιέχοντος ὁριζόμενος· καὶ γὰρ τῶν χερσαίων πάντων τόπος ἡ γῆ, καὶ τῶν πτηνῶν ὁ ἀὴρ καὶ τόδε τὸ μέρος τοῦ ἀέρος καὶ ἔτι μᾶλλον ὁ προσεχῶς περιέχων. τὸν μέντοι ἴδιον ἑκάστου καὶ συμφυᾶ οὐκ ἔστιν εὑρεῖν σαφῶς παραδεδομένον. καίτοι χρόνον ἀνάγκη ὥσπερ κοινὸν οὕτω καὶ ἴδιον ἀποδιδόναι καὶ κίνησιν. ἔτι δὲ καὶ ὁ ἁπλῶς οὗτος τόπος ὁ κατὰ τὸ πέρας τοῦ περιέχοντος ὁριζόμενος οὐχ ὡς πέρας ἁπλῶς ἔχει τὸ τόπος εἶναι, ἀλλὰ κατὰ τὸ δραστικὸν καὶ ὑποδεκτικὸν καὶ ὁριστικόν. ὡς ἂν δέ τις περὶ αὐτοῦ καὶ νοερώτερον εἴποι, ὧδ᾽ ἔσται, ὡς τὰ ὄντα ἢ ἐν τόπῳ ἐστὶν ἢ οὐκ ἄνευ τόπου. εἰ μὲν γὰρ τὸν οὐσιώδη τις ἢ τὸν τῆς ζωῆς ἢ τὸν εἰδητικὸν ἢ τὸν κατὰ δύναμιν συνεκτικὸν τόπον λαμβάνει, ἐν τῷ τοιούτῳ τόπῳ τὰ ὄντα ἔχει τὸ εἶναι· εἰ δὲ τὸ πέρας τοῦ περιέχοντος ψιλὸν καὶ τὴν ἀσώματον ἐπιφάνειαν, οὐκ ἄνευ τόπου ἐστὶ τὰ ὄντα· πλὴν οὐχ, ὡς δοκεῖ τισιν, ὁ τόπος σωμάτων μόνον ἐστὶ τελευτή, ἀλλὰ καὶ τῆς περὶ αὐτὰ μορφῆς καὶ τοῦ σχήματος καὶ τῆς ἐν αὐτοῖς ζωῆς καὶ δυνάμεως. ὥστε οὐ χρὴ ψιλὸν πέρας ἐπινοεῖν τὸν τόπον. ὡς ἐπινοοῦμεν τὰς μαθηματικὰς ἐπιφανείας τῶν μαθηματικῶν σωμάτων πέρατα. ἀλλ᾽ ὡς φυσικῶν σωμάτων φυσικοὺς ὅρους καὶ ὡς ἐμψύχων ζώων ζωτικοὺς ὅρους καὶ ὡς νοερῶν ὄντων νοερὰ πέρατα καὶ ὡς ἐν δυνάμει ὄντων δυνατώτατα καὶ ὡς εἰδητικῶν εἰδητικά. καὶ τἆλλα ὡσαύτως οἰκείως ἐφ᾽ ἕκαστον

1 τὴν delevi ἐκδιδάσκομεν M 3 ἀγέννητα M 4 ἡνωμένην — παράτασιν (7) iterat M 5 ἀπροσδεᾶ scripsi: ἀπροσδεῆ libri 8 σκεδαννύηται scripsi: σκεδάννυται libri συγχεῖται B: συγχεῖται LM 10 ὄγγον B 11. 12 εὐθετίζῃ — τάττῃ — ὁρίζῃ scripsi: εὐθετίζει — τάττει — ὁρίζει libri 13 κατέχει om. M 16 δὲ om. B¹L 17 κατὰ] μετὰ M 21 χρόνου M καὶ om. M 22 καὶ ὁ om. LM οὕτως M 24 δρατικὸν L καὶ om. L ὑποδρακτικὸν L 25 νεώτερον εἴποι M 26 τῶν τῆς L 27 ἔχει τὰ ὄντα M 31 αὐτοῖς] αὐτῆς LM 35 οἰκεῖος L ἀφ᾽ ἕκαστον L

ἀφοριστέον, ἵνα ὄντως ᾖ συγγενῆ τὰ πέρατα ἐκείνοις, ὅσα ἐν ἑαυτοῖς συμπεραίνει.

Μετὰ δὲ ταῦτα κατὰ τὸ περιέχειν καὶ κατὰ τὸ ὅλον γένος τῆς περιοχῆς τὸν τόπον θεωρητέον, κατὰ δὲ τὸ περιέχεσθαι τὰ ἐν τόπῳ ἀφοριστέον. μὴ τοίνυν διάστημά τις τὴν περιοχὴν ψιλῶς οὕτω νοείτω· οὐ γάρ ἐστι τὸ τοῦ παντὸς διάστημα ἀργόν, ἀλλὰ πεπλήρωται κατὰ μὲν τὰ εἴδη τῶν ὅλων εἰδῶν, κατὰ δὲ τὰς ζωὰς τῶν ὅλων ζωῶν, κατὰ δὲ τὰς δυνάμεις τῶν ὅλων δυνάμεων, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. δεῖ δὲ οὐ μόνον ὡς περιέχοντα τὸν τόπον καὶ ὡς ἐνιδρύοντα ἐν ἑαυτῷ τὰ ἐν τόπῳ ὄντα, ἀλλὰ καὶ ὡς ἀνέχοντα αὐτὰ κατὰ δύναμιν μίαν οὕτως νοεῖν· οὕτω γὰρ οὐκ ἔξωθεν μόνον περιέξει τὰ σώματα, ἀλλὰ καὶ ὅλα δι' ὅλων αὐτὰ πληρώσει τῆς ἀνεγειρούσης αὐτὰ δυνάμεως. τὰ δὲ ὑπ' αὐτῆς ἀνεχόμενα σώματα πίπτοντα μὲν κατὰ τὴν οἰκείαν φύσιν, ἀνεγειρόμενα δὲ κατὰ τὴν ἐπικράτειαν τοῦ τόπου οὕτως ἐν αὐτῷ ἔσται. διὸ ἡ μὲν τῶν πολλῶν δόξα ἡ τὸ πέρας τοῦ περιέχοντος ἀφοριζομένη τόπον, καθ' ὅσον ἐστὶ διαστατόν, τὸ τοῦ περιεχομένου ἔσχατον τὸν τόπον λέγει καὶ τὸ κατ' ἐπακολούθησιν ἐπισυμβαῖνον τῷ τέλει· ἡ δὲ τὸ πέρας κατὰ τὴν αἰτίαν καὶ τὴν ἀρχὴν περιλαμβάνουσα τῷ λογισμῷ δόξα οὐ τῶν συμβεβηκότων τι περὶ τὸν τόπον λέγει οὐδὲ τῶν ἐπὶ τέλει περὶ αὐτῶν ὑπαρχόντων, ἀλλὰ τὴν οὐσίαν αὐτοῦ καὶ τὴν πρεσβυτάτην αἰτίαν παραδίδωσιν. ἀπὸ δὲ τούτων ῥᾴδιον μαθεῖν, πῶς ἡ νοητὴ ψυχὴ τόπος τῶν ἐν αὐτῇ λόγων λέγεται· δῆλον γὰρ ὡς εἰς ἕνα λόγον καὶ ἓν κεφάλαιον τοὺς πολλοὺς ἐν αὐτῇ συνειληφυῖα, οὐχ ὡς ἑτέρους ἐν ἑτέρῳ ἀλλ' ὡς τοὺς αὐτοὺς ἐν τῷ αὐτῷ. ἔνθα δὲ καὶ ὁ τόπος ζωτικός ἐστι καὶ λογικός· ὡσαύτως δὲ καὶ ὁ τῶν εἰδῶν τόπος ἓν εἶδός ἐστι πάντων εἰδῶν περιληπτικόν. καὶ ἐπὶ τῆς ζωῆς δὲ καὶ δυνάμεως ὁ αὐτὸς λόγος ἔστω, ὥσπερ ἐπὶ τοῦ νοῦ καὶ τῆς νοήσεως· καὶ γὰρ καὶ ἐπὶ τούτων ἡ φαινομένη σχέσις τῶν περιεχομένων πρὸς τὰ περιέχοντα ὡς τῶν ἐν τόπῳ πρὸς τὸν τόπον ἐστίν. εἰ γὰρ καὶ ὅτι μάλιστα συμπέφυκεν ἐπὶ τῶν ἀσωμάτων τὰ περιεχόμενα τοῖς περιέχουσιν, ἀλλ' ὅμως τὴν τάξιν οὐ συγχεῖ τὴν ὡς ἑτέρων ἐν ἑτέροις. δεῖ οὖν ἐπιδιατεῖναι ἐφ' ὅλα τὰ ὁπωσοῦν ὄντα ὡς ἕτερα ἐν ἑτέροις τὴν τόπου ὅλην φύσιν, οὐχ ὁμωνύμως ἀλλὰ κατ' αὐτὸν τὸν τοῦ γένους λόγον. μία γάρ ἐστιν ἡ τῶν περιεχομένων πρὸς τὰ περιέχοντα σχέσις, ἡ αὐτὴ μὲν πανταχοῦ, κατὰ δὲ τὰς διαφόρους ὑποστάσεις τῶν μετεχόντων ἐξαλλαττομένη· ἄλλη μὲν γάρ ἐστιν ἡ ἐν τοῖς σώμασιν, ἄλλη δὲ ἐπὶ τῶν ἀσωμάτων. καὶ δὴ καὶ τοῦτο φανερὸν ὅτι ὥσπερ ἐπὶ τῶν ὁρωμένων ἕτερα ἐν ἑτέροις περιέχεται, οἷον τὰ μὲν στερεὰ σώματα ὑπὸ τῶν λεπτοτέρων στοιχείων, οἷον γῆ καὶ ὕδωρ ὑπὸ ἀέρος καὶ πυρός, ταῦτα δὲ ὑπὸ τοῦ οὐρανοῦ, οὕτως ἐν ταῖς ἄλλαις οὐσίαις αἱ

3 περιέχον M 4 τὰ BM Simpl.: τὸ L 11 ἀναπληρώση M¹ 12 ἀνερχόμενα L ἀνεγειρόμενος L 13 ἡ] εἰ L 14 ἡ] ἢ L: ἢ M 16 τῷ τέλει MB Simpl.: τὸ τέλειον L 20 νοητὴ] sic libri et Simpl.: legendum est νοητικὴ τόπω M 21 καὶ ἓν om. M αὐτῇ scripsi: αὐτῇ libri 22 ἔνθα δὲ Simpl.: ἐνθάδε libri 24 περιληπτικόν Simpl.: περιληπτικός libri 26 περιεχομένων — περιέχοντα Simpl.: περιεχόντων — περιεχόμενα libri τῶν] τὸν L: τὰ M 27 καὶ om. M¹ σωμάτων M 28 ἑτέρων] ἐν ἑτέρω M 29. 30 ὅλην τοῦ τόπου M 30 κατ' αὐτῶν L 31 τὰ περιεχόμενα BM

δεύτεραι ὑπὸ τῶν πρώτων περιέχονται. καὶ ἐν ἑαυταῖς κεῖνται. ὁ μὲν κόσμος ἐν τῇ ψυχῇ, ἡ δὲ ψυχὴ ἐν τῷ νῷ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· ἀεὶ γὰρ τὰ ἀρχηγικώτατα τὴν τοῦ πρεσβυτάτου τάξιν περιείληφεν. ταύτην δὲ τὴν ἰδιότητα καὶ Ἀρχύτας ἀποδίδωσι τῷ τόπῳ λέγων "τῶ δὲ τόπω ἴδιόν ἐστι τὸ τὰ μὲν ἄλλα ἐν αὐτῷ ἦμεν. αὐτὸν δὲ ἐν μηδενί. εἰ γὰρ ἔν τινι τόπῳ ἔσται καὶ ὁ τόπος, πάλιν αὐτὸς ἐν ἑτέρῳ, καὶ τοῦτο μέχρις ἀπείρω συμβήσεται. ἀνάγκα τοιγαροῦν τὰ μὲν ἄλλα ἐν τόπῳ ἦμεν, τὸν δὲ τόπον ἐν μηδενί, ἀλλ' οὕτως πὸτ τὰ ὄντα ὥσπερ καὶ τὰ πέρατα πρὸς τὰ περατούμενα· ὁ γὰρ τῶ παντὸς κόσμου πέρας ἁπάντων τῶν ὄντων ἐστίν". μήποτε δὲ οὐκ ἐπὶ τοῦ κόσμου μόνου δεῖ στῆσαι τοῦτο, ἀλλὰ κοινῶς τὸ πέρας ἀεὶ ἐπὶ τὴν πρεσβυτέραν αἰτίαν ἐπαναφέρειν· οὕτω γὰρ ἔσται τοῦ μὲν ὅλου κόσμου πέρας ἡ ψυχὴ ἢ ὁ νοῦς, καὶ τούτου ἡ μία καὶ ἡνωμένη ἐνέργεια. ἀνωτέρω δὲ ἔτι καὶ τούτου τὴν θείαν οὐσίαν ὡς τόπον κατοψόμεθα ἑνοειδῆ τινα οὖσαν καὶ πάντα ἐν αὑτῇ συνέχουσαν καὶ καθ' ἓν μέτρον τὰ ὅλα συμπεραίνουσαν. τὸ αὐτὸ δὲ καὶ ἀπὸ τῆς περιοχῆς ἔστι συλλογίσασθαι. τὸ γὰρ μέχρι τῶν ἀνωτάτω ἀνῆκον αἴτιον τῆς περιοχῆς προάγει ἡμᾶς ἐπ' ἐκεῖνον τὸν θεῖον τόπον, ὅστις αὐτός τε ἑαυτοῦ ἐστιν αἴτιος καὶ αὐτὸς ἑαυτοῦ περιληπτικὸς ἐν ἑαυτῷ ὑφέστηκε καὶ χωριστὴν τῶν ὄντων ἔχει τὴν ὑπόστασιν.

Μετὰ δὲ τὸ ποτὲ καὶ τὸ ποῦ ἀκόλουθον ἂν εἴη περὶ τοῦ ποιεῖν καὶ πάσχειν διαλαβεῖν. τοὺς μὲν οὖν πληρεστάτους λόγους περὶ αὐτῶν ἐν ἄλλαις πραγματείαις ἐκδεδωκέναι φθάνομεν, ἔν τε τῇ πρώτῃ φιλοσοφίᾳ καὶ Μετὰ τὰ φυσικὰ καὶ ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς· οἰκειοτέρα γὰρ ἡ περὶ αὐτῶν ἐκεῖσε σκέψις. ἐπὶ τοσοῦτον δ' ἐνταῦθα θεωρῆσαι περὶ αὐτῶν προειλόμεθα, ἐφ' ὅσον χρήσιμον τοῖς εἰσαγομένοις καὶ πρὸς τὴν λογικὴν ἀνήκει πραγματείαν. ἔστι δὲ ποιεῖν μὲν τὸ κυρίως καὶ πρώτως ἐν ἑαυτῷ ἔχον τὴν αἰτίαν τῆς ἐνεργείας, πάσχειν δὲ τό τε ἐν ἑαυτῷ καὶ ἐν ἑτέρῳ, ὡς ὁ χαλκὸς ἐν ἑαυτῷ τὴν τῆς κινήσεως αἰτίαν ἔχει καὶ ἐν τῷ ἀνδριαντοποιῷ. τὸ μὲν γὰρ ποιεῖν ἔστιν ὅπου καὶ ἀσύζυγόν ἐστι πρὸς τὸ πάσχειν, τὸ μέντοι πάσχειν καθάπαξ τοῦ ποιοῦντος ἐξήρτηται. ἢ γὰρ ἀναίτιόν ἐστι τὸ πάθος, ὅπερ ἄτοπον εἶναί τι τῶν γινομένων, ὑπὸ δὲ μηδεμιᾶς αἰτίας γενόμενον, ἢ ἔχον αἰτίαν. καὶ εἰ τοῦτο, ἢ ἐν αὐτῷ τῷ πάσχοντι, καὶ οὕτως οὐ μόνον πάσχον ἐστὶν ἀλλὰ καὶ ποιοῦν, ἢ ἔξωθεν καὶ ἐν ἑτέρῳ. ὡς ἂν δὲ ποιῇ τὸ ποιοῦν καὶ ἅπερ, ταῦτα πάσχει τὸ πάσχον. γράφει δὲ καὶ Ἀρχύτας περὶ αὐτῶν οὕτω "τῶ δὲ ποιέοντος ἴδιόν ἐστι τὸ ἐν ἑαυτῷ ἔχον τὴν αἰτίαν τῆς κινήσεως, τῶ δὲ ποιουμένω καὶ τῶ πάσχοντος τὸ ἐν ἑτέρῳ. ὁ μὲν γὰρ ἀνδριαντοποιὸς ἐν ἑαυτῷ τὴν αἰτίαν ἔχει τῶ ποιεῖν τὸν ἀνδριάντα, ὁ δὲ χαλκὸς τῶ ποιεῖσθαι ἐν ἑαυτῷ τε καὶ τῷ ἀν-

1 πρώτων] προτέρων melius Simpl. ἑαυταῖς Simpl.: ἑαυτοῖς libri 4 τὸ Simpl.: τῶ libri 8 ὁ γὰρ τῶ Simpl.: τῶ γὰρ τοῦ BL: τὸ γὰρ τοῦ M 12. 13 ὡς οὐσίαν L: ὡς om. M 13 ἐν αὐτῇ libri 19 Μετὰ δὲ] Περὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν superscribunt BLM² τοῦ ποτὲ καὶ τοῦ ποῦ B 21 Μετὰ τὰ φυσικά] Θ,1 sqq. 22 Περὶ γενέσεως καὶ φθορᾶς] A 7—9, 323ᵇ sqq. 27 καὶ ἐν τῶ ἀνδρίαν τὸ ποιῶ τὴν τῆς κινήσεως αἰτίαν ἔχει B 32 ποιῇ Simpl.: ποιεῖ libri 33 τῶ δὲ — κινήσεως (34) om. M 34 ἔχον] sic libri: ἔχεν recte Simpl. 35 τὸ Simpl.: τῶ libri 36 τῶ — τῶ Simpl.: τοῦ — τὸ libri

δριαντοποιῷ. καὶ ἐπὶ τῶν παθέων δὲ τῆς ψυχῆς ὁ αὐτὸς λόγος· ὁ γὰρ θυμὸς ἐφ' ἑτέρῳ τινὶ πέφυκεν ἀνεγείρεσθαι καὶ ὑφ' ἑτέρου τινὸς ἔξωθεν ἐρεθίζεσθαι οἷον ὀλιγωρίας, ἀτιμίας, ὕβριος· ὁ δὲ ταῦτα δρῶν ἐν ἑαυτῷ τὴν αἰτίαν ἔχει τῷ ταῦτα δρᾶν''. ἀλλ' ἆρα τὸ ποιεῖν ἢν τίθεσθαι εἰς γένος ἢ τὸ ποιοῦν ἢ τὴν ποίησιν, ὥσπερ καὶ ἡ ποιότης ἦν γένος καὶ τὸ ἀπ' αὐτῆς ποιόν; ἢ σύζυγα μὲν ὑπάρχει καὶ ἐνταῦθα ποίησις, ποιεῖν καὶ ποιοῦν· καὶ τὸ μὲν ποιοῦν ὡς συλλαμβάνον καὶ τὸ ὑποκείμενον καὶ σύνθετον ὑπόνοιαν ἔκ τε τοῦ ἐνεργοῦντος καὶ τῆς ἐνεργείας ἐμποιοῦν ἐξ ἀρχῆς οὐκ ἐδέχθη τόπον, ἡ δὲ ποίησις καὶ τὸ ποιεῖν ὡς ἁπλούστερα καὶ μὴ συνθέσεως ἐφαπτόμενα οἰκειότερα μᾶλλον τοῦ ποιοῦντος εἰς γένους ἀφορισμὸν προεκρίθη. τούτων δ' αὖ τὸ ποιεῖν καὶ τῆς ποιήσεως προτετιμήκαμεν, ὡς διπλῆς οὔσης ἐκείνης· ἥ τε γὰρ ἐνέργεια καὶ τὸ τέλος τῆς ἐνεργείας ποίησις ὀνομάζεται· χρεία δὲ ἦν οὐ τοῦ ἀποτελέσματος, ἀλλὰ τῆς ἐνεργείας, ἣν τὸ ἐνεργεῖν εἴτ' οὖν τὸ ποιεῖν σημαίνει μονοειδῶς. ἀλλ' εἰ τὸ ποιεῖν τὸ ἐνεργεῖν παρίστησι, διὰ τί τὸ γένος οὐκ ἐνέργειαν μᾶλλον τίθεμεν ἀλλὰ τὸ ποιεῖν; εἰ δὲ ἡ ἐνέργεια διὰ τοῦτο οἰκειοτέρα τῆς ποιήσεως, διότι τὸ κατὰ κίνησιν ἐμφαίνει, πῶς οὐκ αὐτόθεν γένος ἐν κατηγορίαις τὴν κίνησιν ἠριθμήσαμεν; ὥσπερ γὰρ τὰ ἄλλα πάντα περὶ τὴν οὐσίαν, οὕτω καὶ ἡ κίνησις, ἐν ᾗ τὸ ποιεῖν καὶ τὸ πάσχειν· ἄμφω γὰρ ἐν κινήσει. ἀλλ' ἦν ἂν τοῦτο, εἴπερ πᾶν ποιοῦν ἐκινεῖτο ἢ πᾶσα ἐνέργεια κίνησις· νυνὶ δὲ τὸ πρώτως ποιοῦν καὶ κυρίως ποιοῦν ἀκίνητον, αἵ τε νοεραὶ πᾶσαι ἐνέργειαι καὶ αἰσθητικαὶ καὶ ἁπλῶς αἱ τέλειαι ἵσταται κατὰ τὴν τελειότητα, οὐ κινοῦνται· ὥστε οὔθ' ἅπαν τὸ ποιοῦν ἢ ἐνεργοῦν ἡ κίνησις περιλήψεται, καὶ τοῦ ποιεῖν τὸ πάσχειν διακριθήσεται καὶ ὡς διάφορα γένη τοῦ ὄντος καταταχθήσεται. ὑπομνήσειε δ' ἄν τις τὸ δύο γένη εἶναι τό τε ποιεῖν καὶ τὸ πάσχειν καὶ ἀπὸ τῆς ἐν τῷ παντὶ φύσεως. εἰ γὰρ τὸ μὲν γεννᾷ τὸ δὲ ὑποδέχεται τὴν γένεσιν, καὶ τὸ μέν ἐστι δραστικὸν τὸ δὲ παθητικόν, ἐξ ἀνάγκης δεῖ ταῖς ἀρχαῖς ὁμολογουμένως καὶ τὰ γένη διττὰ εἶναι. καὶ ἐπεὶ πανταχοῦ τὸ ἄμικτον προηγεῖται τοῦ μὴ τοιούτου, ἐξ ἀνάγκης καὶ τὸ καθαρῶς ποιεῖν καὶ πάσχειν τοῦ μικτοῦ τῆς κινήσεως γένους προϋπάρχει· αὕτη γὰρ ὑπὸ ἄλλου γινομένη εἰς ἄλλο ποιεῖ. καὶ εἴπερ εἴη γένος, κἂν ἄμικτον εἴη· πολλὰ μέντοι τῶν ποιούντων καὶ πάσχει ὑπὸ τοῦ δύο ἀρχὰς τήν τε παθητικὴν καὶ τὴν δραστικὴν εἰς μίαν συμπίπτειν φύσιν, ὥσπερ ὁ κασσίτερος ποιεῖ μὲν καθαίρων τὸν ἄργυρον, πάσχει δὲ ὑπ' ἐκείνου ἀναλισκόμενος. μήποτε δὲ τῷ γε καθαρῶς διορίζοντι φανείη οὔτε τὸ ποιοῦν, ᾗ ποιεῖ, καὶ πάσχειν, οὔτε τὸ πάσχον, ᾗ πάσχει, καὶ ποιεῖν, ἀλλὰ καθ' ἑτέρους λόγους ἑκάτερον καὶ ποιεῖν καὶ πάσχειν. διὸ τὰ μὲν πρῶτα τῶν αἰτίων ἀκίνητά ἐστιν ὧν κινήσεων αἴτια γίνεται, τινὰ δὲ τῶν ἑξῆς κινούντων καὶ κινεῖται ὑπὸ τοῦ ἀμφοτέρας ἔχειν ἐν ἑαυτοῖς τὰς ἀρχὰς καὶ εἶναι μέν τι αὐτῶν κινοῦν,

4 τῷ] τοῦ M ἆρα scripsi: ἄρα libri 5 ὑπ' αὐτῆς M 8 ἐξ scripsi: εἰς libri 9 ποιὸν M 19 πρώτως] πρότερον M 26 ὁμολογουμένως BM Simpl: ὁμολογούμενα L 29 γένους B Simpl.: om. LM 30 πάσχειν M 33 ἀναλισκόμενον L γε om. M 34 καὶ πάσχειν — καὶ ποιεῖν scripsi: καὶ πάσχει — καὶ ποιεῖ libri ἢ καὶ πάσχει M καὶ (post πάσχει) om. M 35 ἑκατέρους M 36 καὶ om. M 37 ἑαυτᾶς L μέν τι Simpl.: μέντοι libri

εἶναι δὲ καὶ κινούμενον ἕτερον, καὶ οὕτως τὸ ὅλον κινεῖν καὶ κινεῖσθαι δοκεῖ. περισπᾷ δὲ τοὺς πολλοὺς εἰς τὸ καὶ ἐν ταῖς ποιήσεσι ταῖς πρώταις κινήσεις τίθεσθαι τὸ νομίζειν ὥσεσι καὶ μοχλείαις κἀκείνας γίνεσθαι, ἀλλὰ μὴ τῇ ὁραστηρίῳ δυνάμει τοῦ ποιοῦντος καὶ τῇ ἐπιτηδειότητι τοῦ πάσχοντος. τὰ γὰρ ὠθοῦντα καὶ ἕλκοντα καὶ τὰ τοιαῦτα σύμμικτά ἐστιν ἔκ τε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν. ὥσπερ δὲ ἔν τισι τῶν ποιούντων καὶ τὸ πάσχειν συνέγνωμεν τῷ τὴν ὅλην οὕτως ἔχειν, οὕτω καὶ ποιεῖ ἐν αὐτοῖς καὶ τῶν ἐν τῷ πάσχειν ἔνια, οἷον τὸ ἰοῦσθαι τὸν σίδηρον καὶ σήπεσθαι τὸ μῆλον, διὰ τὴν ἑτεροφυῆ τῶν ὑποκειμένων σύνθεσιν καὶ τῶν ἐναντίων μῖξιν τῶν μὲν πασχόντων τῶν δὲ ποιούντων. ἀκριβεῖ δὲ λόγῳ ἡ περὶ τοῦ ποιεῖν θεωρία περὶ αἰτίου ἐστί, καὶ τούτου τοῦ μάλιστα· ἡ μὲν γὰρ ὅλη καὶ τὸ εἶδος, ὡς συναίτια μᾶλλον ὄντα ἢ αἴτια, οὐκ ἂν εἶεν τῆς περὶ τοῦ ποιεῖν ἐνεργείας συνειλημμένα, τὸ δὲ τέλος καὶ τὸ παράδειγμα οὐκ ὄντα τοῦ ἀποτελέσματος προσεχῶς, ἀλλὰ τῷ ποιοῦντι τοῦ ποιεῖν αἴτια· πρός τι δ' ἂν καὶ αὐτὰ τοῦ γινομένου ἀλλ' οὐ κυρίως αἴτια λέγοιτο. λείπεται δὴ τὸ ποιοῦν εἶναι τὸ μάλιστα αἴτιον, καὶ τὸ ποιοῦν τοῦ ποιητικοῦ αἰτίου ὀνόματι διαφέρει μόνον. ὅσα οὖν τὰ ποιοῦντα αἴτια καὶ ὁποῖα, καὶ τίνα μὲν αὐτῶν πρῶτα, τίνα δὲ δεύτερα ἢ τρίτα, πάντα ταῦτα καὶ ἐπὶ τὸ ποιεῖν οἰκείως μετενεκτέον.

Ἐπεὶ δὲ καθόλου διώρισται τί ἐστι ποιεῖν, δεῖ διελέσθαι καὶ κατ' εἴδη αὐτό. τοῦ δὴ ποιεῖν τὸ μέν ἐστιν ἐν λογικοῖς, τὸ δὲ ἐν ἀλόγοις, τὸ δὲ ἐν ἀναισθήτοις καὶ ἀψύχοις. τοῦ δὴ λογικῶς ποιεῖν τὸ μέν ἐστι θεωρεῖν, τὸ δὲ ὁμωνύμως τῷ γένει ποιεῖν, τὸ δὲ πράττειν. καὶ θεωρεῖν μέν ἐστι τὸ ἀύλοις ἐνεργείαις καὶ ἀτρέπτοις χρώμενον, ποιεῖν δὲ τὸ εἰς οὐσίαν ἄγειν τὰ μηδέπω τοῦ εἶναι μετέχοντα, πράττειν δὲ τὸ τὰς τοῦ λόγου περὶ τὰ αἰσθητὰ καὶ σύνθετα προαιρέσεις ἐπιτροπεῦον. καὶ τοῦ θεωρεῖν δὲ τὸ μὲν ὁμωνύμως τῷ γένει καὶ αὐτὸ θεωρητικὸν λέγεται, ὃ περὶ τῶν νοητῶν καὶ ἀμερίστων οὐσιῶν ἐπισκοπεῖται ἁπλαῖς νοήσεσιν, οἷόν ἐστι τὸ νοερόν· τὸ δὲ ὃ περὶ τῶν ἀκινήτων καὶ μαθηματικῶν οὐσιῶν ποιεῖται τὴν διανόησιν, οἷόν ἐστι τὸ γεωμετρεῖν ὡρισμέναις μὲν οὐ μὴν ἁπλαῖς ἔτι χρώμενον ταῖς ἐπιβολαῖς, ἀλλὰ συνθέτοις ἤδη καὶ κατὰ διέξοδον, οἷαι τῆς καθαρᾶς διανοίας εἰσὶν ἐνέργειαι. τρίτον δέ ἐστιν ὃ περὶ τῶν ἀιδίων καὶ ἀεικινήτων αἰσθητῶν οὐσιῶν ποιεῖται τὴν ἐπίσκεψιν. αἰσθήσει μετὰ λογισμοῦ χρώμενον, οἷόν ἐστι τὸ ἀστρονομεῖν συμφώνους τοὺς λόγους τοῖς φαινομένοις ἐπιδεικνύον. καὶ τέταρτον τὸ περὶ τῶν αἰσθητῶν καὶ ἐν γενέσει καὶ φθορᾷ διαλαμβάνον οὐσιῶν, ὃ καὶ φυσιολογικὸν καλεῖται, τά τε πάθη καὶ τὰς παντοίας τροπὰς καὶ μεταβολὰς αἰτιολογοῦν τὰς περὶ αὐτάς. καὶ ταῦτα μὲν τοῦ θεωρεῖν. τοῦ δὲ ποιεῖν τὸ μέν ἐστι θεῖον καὶ δημιουργικόν, τὸ δὲ ἐν τῇ φύσει τοῦ παντὸς καὶ μάλιστα ἀπὸ τοῦ οὐρανοῦ καθῆκον ἐπὶ πᾶν

1 δὲ om. L ἕτερον om. M 6 ὥσπερ καὶ L 7 ποιεῖ] ποιεῖν M ἐν αὐτοῖς] sic etiam Simpl., sed is ad sententiam accommodatius 15 δὴ] δὲ M τὸ ποιοῦν (post δὴ) scripsi: τὸ ποιεῖν libri 17 αὐτῶν om. M 19 τὸ ποιεῖν M καὶ om. M 23 χρώμενοι LM ἄγειν] fort. ἄγον 26 θεωρητικὸν καὶ αὐτὸ M 27 ἁπλῶς M 30 αἱ ἐνέργειαι M 31 ἀκινήτων M οὐσῶν M[1] 33 ἀποδεικνύον M 35 αἰτιολογοῦν scripsi: αἰτιολογῶν libri περὶ αὐτά B

τὸ γινόμενον, τὸ δὲ τεχνικόν, οἷον οἰκοδομεῖν, γεωργεῖν, ὑφαίνειν. ἡ γὰρ τέχνη τὴν φύσιν μιμεῖται, τὸ ἐλλεῖπον ἐκείνῃ ἀναπληροῦσα· ὑγείαν γὰρ τὴν μὲν ἡ φύσις ποιεῖ, τὴν δὲ ἰατρός. καὶ σκέπῃ τοῖς ζώοις ἡ μὲν αὐτοφυῆ ὡς τὰ ἄντρα τε καὶ τὰ δέρματα, ἡ δὲ τεχνικὰ ὡς οἰκία καὶ ἱμάτιον. τοῦ δὲ πράττειν τὸ μέν ἐστι καθόλου τὰ τῶν πόλεων πράγματα διοικοῦν, ὃ καὶ πολιτικὸν λέγεται· τὸ δὲ ὃ τὰς οἰκίας εὐθετίζει, ὅπερ οἰκονομικὸν καλεῖται· τὸ δὲ τὸ τὰ ἤθη ἐπανορθοῦν καὶ τὰς ἀλόγους τῆς ψυχῆς δυνάμεις ὑποτάττον τῷ λογικῷ, ὃ καὶ ἠθικὸν ὀνομάζεται. ἕτεροι δὲ ποιητικὰς τέχνας τῶν πρακτικῶν ἐν τούτῳ διορίζουσιν. ὧν γάρ, φασί, καὶ μετὰ τὴν ποίησιν τὰ ἀποτελέσματα μένει, ποιητικαί εἰσιν, οἷον τεκτονική, οἰκοδομική· ὧν δὲ τὰ ἐνεργήματα ἐν τῷ γίνεσθαι μόνον τὸ εἶναι ἔχει, πρακτικαί, ὡς αὐλητική τε καὶ ὀρχηστική. τὸ δὲ ἐν τοῖς ἀλόγοις ποιεῖν, ὃ καὶ ἄνευ διανοίας Ἀρχύτας ἀποκαλεῖ, κατὰ τὰ διάφορα τῶν ζώων εἴδη διαιρεθήσεται· ὅσα γὰρ ἐν ἐκείνοις καὶ ὁποῖα, τοσαῦται καὶ τοῦ ποιεῖν τούτοις διαφοραί, ἃς ἐν ταῖς τῶν ζώων ἱστορίαις διαριθμεῖσθαι εἰώθαμεν. ἔσχατον δὲ τοῦ ποιεῖν γένος καὶ τελευταῖαι ἐνέργειαι τὸ ἐν ἀναισθήτοις καὶ ἀψύχοις· τοῦτο γὰρ ψυχῆς μὲν καὶ φύσεως καὶ λόγων καὶ ζωῆς οὐκέτι ἐπιδείκνυσι ποίησιν, τῶν δὲ σωμάτων, ᾗ σώματά εἰσιν ἄψυχα, φανερὰν καθίστησι τὴν σωματοειδῆ ἐνέργειαν, κατὰ πάσας μὲν τὰς περὶ τὸ σῶμα φαινομένας ἰδιότητας, κατὰ πάσας δὲ αὐτῶν τὰς δυνάμεις, οὐχ ᾗ μόνον στερεά ἐστι καὶ ἀντίτυπα, ἀλλ' ᾗ καὶ περὶ αὐτὰ δραστηρίους πολλὰς ἔχει δυνάμεις. αἵ τε γὰρ ἔμφυτοι τῶν στοιχείων ἐνέργειαι καὶ αἱ τῆς ῥοπῆς κινήσεις αἵ τε πληκτικαὶ κατὰ τὴν ὦσιν γινόμεναι ἔσχαταί τε ὑπάρχουσιν καὶ ἐν τοῖς συνθέτοις θεωροῦνται· συμμιγεῖσαι δ' ἐν τούτοις τῶν ἐναντίων αἱ φύσεις οὔτε τὸ δραστικὸν οὔτε τὸ παθητικὸν εἰλικρινὲς ἔχουσιν, ἀντιδρῶσι δὲ παντοίως ἀλλήλας καὶ ἀντιπάσχουσιν. ἔτι τῶν ποιήσεων αἱ μέν εἰσι πρὸς ἕτερον τὸ πάσχον ἀντιτιθέμεναι, ὡς τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον, αἱ δὲ ἁπλαῖ καὶ ἀπόλυτοι, ὥσπερ τὸ λέγειν καὶ τρέχειν. ἐπεὶ δὲ καὶ τῶν ποιούντων τὰ μὲν ἦν γεννητικὰ τὰ δὲ εἰδοποιὰ τὰ δὲ τελεσιουργά, καὶ τούτων τὰ μὲν ἑνωτικὰ τὰ δὲ διακριτικὰ τὰ δὲ ἄλλην τινὰ ἐν τοῖς οὖσιν ἔχοντα ποίησιν, καὶ τὰ μὲν πεπερασμένα καὶ ἔγχρονα, ὡς τὰ ἐπὶ τῶν τεχνῶν, τὰ δὲ ἄπειρα καὶ ἀίδια ὡς ἐπὶ τῶν θείων καὶ τῶν οὐρανίων, εἴπερ ὁ κόσμος ἀίδιος, διήκει διὰ τούτων ὅλων τὸ ποιεῖν καὶ ἡ περὶ αὐτοῦ θεωρία. ἀλλὰ καὶ εἰ τῷ εἶναί τινα ἀπεργάζοιτο, ὥσπερ ὁ ἥλιος τῷ εἶναι φωτίζει, καὶ εἰ τῷ νοεῖν ποιεῖ ὥσπερ ὁ δημιουργὸς νοῦς, ἔσται καὶ κατὰ πάντων τούτων τὸ ποιεῖν κυρίως λεγόμενον. ὅσα δὲ καὶ ἐν αὐτοῖς ἐνεργεῖ μηδενὸς ἑτέρου προσδεόμενα, καὶ τὰ εἰς ἕτερον ἐνεργοῦντα καὶ τὰ εἰς ἑαυτά τε ὁμοῦ καὶ εἰς ἕτερον, καὶ τὰ προηγουμένως μὲν εἰς ἑαυτά, ἔχοντα δὲ κατὰ δεύτερον λόγον καὶ τὴν πρὸς ἄλληλα ἐνέργειαν,

---

1 τέχνην L 2 ἐκείνης M 3 ὁ ἰατρός M αὐτοφυῆ Simpl.: αὐτοφυὴς libri 4 τεχνικὰ scripsi: τεχνικὴ libri τοῦ δὲ πράττοντος M 5 καθολικόν L[1] τὰ BM Simpl.: ὡς τὰ L 9 μετὰ LM Simpl.: κατὰ B 10 δὲ] καὶ M 11 ὀρχιστικὴ L 13 διαιρεθήσονται M 14 τούτοις scripsi: τούτου libri τοῖς L 16 γὰρ om. M 20 ἀλλ' ἢ M αὐτὰ scripsi: αὐτὰ libri 27 ἦν] ἢ M 33 ὥσπερ] deficit B 35 αὐτοῖς scripsi: αὐτοῖς libri

καὶ ταῦτα ἂν ἐν τῷ ποιεῖν περιέχοιτο. ἀλλὰ δὴ καὶ περὶ πάντα τὰ εἴδη τῶν κατηγοριῶν κατὰ τὴν παροῦσαν διαίρεσιν διατέτακται τὸ ποιεῖν· κατὰ μὲν οὐσίαν τὸ εἰς οὐσίαν ἄγειν τὸ γινόμενον, κατὰ δὲ τὴν ποιότητα τὸ εἰς ποιότητα ἄγειν τὸ ἀλλοιούμενον, κατὰ δὲ τὸ ποσὸν ἐν τῷ μεγεθύνειν, καὶ ἐπὶ τῶν ἄλλων δὲ γενῶν ὡσαύτως. πότερον δὲ ἐν τῷ ἐσχάτῳ χρόνῳ περιγράφεται τὸ ποιεῖν καὶ μεταβάλλει εἰς τὸ πεποιηκέναι, ἢ ἐν τῷ μετὰ τὸν ἔσχατον πρώτῳ; τὸ γὰρ ἔσχατον τοῦ ποιεῖν ἔτι ἐν τῷ ποιεῖν ἐστι. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ ἐσταδιευκότος καὶ ἰατρευκότος καὶ τεθνηκότος ἐπαπορεῖν ἔχομεν. μήποτε δὲ τὸ πέρας τοῦ ποιεῖν ἐστι τὸ πρώτως πεποιηκέναι, οὐκ ἐν χρόνῳ ὄν, ὥσπερ οὐδὲ τὸ τῆς κινήσεως πέρας, ὃ κίνημα καλοῦμεν.

Διωρισμένου δὲ τί τέ ἐστι ποιεῖν καὶ ἐν τίσι θεωρεῖται, λείπεται καὶ περὶ τοῦ πάσχειν κατὰ τὸν αὐτὸν διαλαβεῖν τρόπον. καὶ πρῶτον ἐκεῖνο λέγομεν ὅτι τὸ πάσχειν πρὸς τὸ ποιεῖν οὐκ ἔχει ἐναντίωσιν, κἂν ὅτι μάλιστα ἀντιθέτοις χρῆται φωναῖς· ὡς μέντοι συνεζευγμένον αὐτῷ καὶ ἀχώριστον ταῖς κατιούσαις ἀπ' αὐτοῦ ἐνεργείαις συνθεωρεῖν ὀφείλομεν. ὅταν γὰρ αἱ ἐπὶ τὰ ἐκτὸς τοῦ ποιοῦντος προϊοῦσαι ἐνέργειαι ἐξομοιοῦσι πρὸς αὐτὸ τὰ αὐτοῦ μετέχειν δυνάμενα οὐ κατὰ τὴν ἐνέργειαν, κατὰ δὲ τὴν ἀδιάδοχον τοῦ ἐνεργήματος κίνησιν, τότε αἱ κινήσεις αὗται τὸ κοινὸν τοῦ πάθους χαρακτηρίζουσι γένος. κατ' ἄλλην δὲ ἀγωγήν, ἐπειδὴ πᾶσα κίνησις καὶ γένεσις ἡ ἐν τῷ παντὶ τὸ μὲν ἔχει κινητικὸν καὶ γενεσιουργόν, τὸ δὲ κινούμενον καὶ γινόμενον, εἴη ἂν πάσχον τὸ ὡς ἐν ἀποτελέσματος τάξει θεωρούμενον, αὐτὸ δηλαδὴ τὸ κινούμενον καὶ τρεπόμενον. καὶ ὅλως δὲ τὸ δεκτικὸν ἐπικτήτου παντὸς καὶ τοῦ παρ' ἄλλου ἐπεισιόντος καὶ μηδαμῶς ἑαυτοῦ ὄν, ταῖς δὲ ῥοπαῖς τοῦ ἡγουμένου ἑπόμενον τῆς τοῦ πάσχειν κατηγορίας ἐστί. τοιοῦτον δὲ πρώτως ἐστὶ τὸ κοινὸν ὑποκείμενον τὸ πάσης μορφῆς δεκτικὸν καὶ παντὸς εἴδους μεταλαμβάνον καὶ δύναμιν ἔχον τοῦ τελειοῦσθαι· τοῦτο δὲ ἡ ὕλη. εἰ δέ τις καὶ τὴν ὑπὸ σελήνην τῶν ὑλικῶν στοιχείων σύστασιν ὡς παθητικὴν ὑποθείη πρὸς ποιητικὴν αἰτίαν τῶν οὐρανίων, καὶ οὗτος ἂν ἔχοι τι δεικνύναι κοινὸν ἐν τῷ παντὶ πάθους γνώρισμα. δυνατὸν δὲ καὶ ἐν ἑνὶ τῷ ποιοῦντι καὶ τὸ πάσχειν θεωρεῖν· καὶ γὰρ ἡ φύσις ποιοῦσα εἰς ἑαυτὴν καὶ πάσχει ὑφ' ἑαυτῆς. καθὸ μὲν γὰρ τοὺς λόγους ἐπιτίθησι τοῖς γινομένοις, ποιητικὴν αὐτὴν ἀφοριζόμεθα, καθὸ δὲ τὴν διακόσμησιν τῶν λόγων τούτων αὐτὴ παρ' ἑαυτῆς ὑποδέχεται, πάσχουσαν. καὶ ἐπὶ τῆς ψυχῆς δὲ κἂν μὴ οὕτως, ὅμως πολὺ διήρηται τοῦ ποιητικοῦ τὸ παθητικόν. καθ' ἑτέραν δὲ αὖθις ἀναλογίαν καὶ ἐπὶ τοῦ λόγου καὶ τοῦ ψυχικοῦ νοῦ θεωρεῖταί πως ἡ κατὰ πάθος ὑποδοχὴ τῶν τελειοτέρων νοήσεων. καὶ ὅλως ἐν πᾶσιν, ἐν οἷς τὸ μέν ἐστι τελειότερον, τὸ δὲ ἀτελέστερον, καὶ τὸ μὲν ἐνδίδωσι τὸ δὲ ὑποδέχεται, θεωρεῖταί τις ἀναλογία καὶ ἐνεργείας καὶ πάθους, καθ' ἃ τὸ μὲν ἐμποιεῖ τὸ

---

6 τὸ ποιὸν M 7 πρῶτον M 8 ἐσταδιευκότος M Simpl.: ἐσδιευκότος L ἰατρεύοντος M 11 Διωρισμένου] Περὶ τοῦ πάσχειν superscribunt L et M² τί ποτε M 15 αἱ om. M 16 πρὸς αὐτὸ scripsi: πρὸς ἑαυτὸ libri 17 διάδοχον M 18 αὐταὶ M 20 κινητὸν M 22 ἐκτικὸν L πάντη M τὸ παρ' ἄλλου M 26 τῶν ὑπὸ M 28 ἔχοι Simpl.: ἔχει libri 29 τῷ πάσχειν L 33 καθ' ἑκατέραν M

τέλειον εἶδος, τὸ δὲ εἰσδέχεται. ἀεὶ μέντοι ἀπ' ἄλλου ἐνδίδοται ἡ τοιαύτη μετουσία τοῦ πάθους· κἂν ποτε δὲ δοκῇ τι ἀφ' ἑαυτοῦ πάσχειν, οὐ κατὰ ταὐτὸ πάσχει τε καὶ τὴν αἰτίαν ἑαυτῷ παρέχει τοῦ πάσχειν, καθ' ἕτερον δὲ καὶ ἕτερον. ἡ μὲν γὰρ δραστήριος ἐνέργεια δύναται καὶ ἑαυτῆς εἶναι αἰτία καὶ
5 οἴκοθεν ἄρχεσθαι, τὸ δὲ πάθος ὡς ἀτελὲς εἰς τὴν ἑαυτοῦ οὐκ ἐξηγεῖται γένεσιν. οὐδὲν οὖν ἔσται ἀπόλυτον πάθημα, ὥσπερ ἦν ἀπόλυτον ἐνέργημα τὸ βαδίζειν. τὰ μὲν γὰρ κρείττονα καὶ ἀπολελυμένα τῆς πρὸς ἕτερα σχέσεως αὐτάρκη πρὸς τὸ καθ' ἑαυτὰ εἶναι καὶ ἐν ἑαυτοῖς ὑπάρχειν· τὰ δὲ χείρονα ἐπιδεῖται τῶν κρειττόνων πρὸς τὴν ὑπόστασιν ⟨καὶ⟩ τῷ ἐξηρτῆσθαι ἐκείνων καὶ αὐτὰ
10 τοῦ εἶναι μεταλαμβάνει, καὶ σύνεστιν ἀεὶ τοῖς ποιοῦσι τὰ πάσχοντα. ὁ μέντοι Ἀρχύτας διάκρισιν τοῦ πάθους καὶ τοῦ πεπονθότος καὶ τοῦ ποιήματος καὶ παθήματος παραδέδωκεν. λέγει γὰρ ὧδε "τὸ δὲ πάθος τοῦ πεπονθότος διαφέρει· πάθος μὲν γὰρ γίνεται μετ' αἰσθήσεως, οἷον θυμός, ἀδονά, φόβος, πεπονθέναι δὲ δύναταί τι καὶ ἄνευ αἰσθήσεως, οἷον ὁ κηρὸς τακεὶς καὶ ὁ πηλὸς ξηραν-
15 θείς. ὁμοίως δὲ καὶ τὸ ποίημα τοῦ παθήματος· τὸ μὲν γὰρ ποιηθὲν καὶ πέπονθέ πως, τὸ δὲ πεπονθὸς οὐκ εὐθὺς καὶ πεποίηται· δύναται γὰρ πεπονθέναι τι καὶ κατ' ἔνδειαν ἢ στέρησιν". ἐπεὶ δὲ πάθος ἐν τούτοις ἀκούομεν τὴν ἐν τῷ πάσχειν συναίσθησιν καὶ τὸ παρακολουθεῖν καὶ μὴ λανθάνειν ἑαυτὸ ἀλλοιούμενον καὶ τρεπόμενον, ὡς ἐπὶ τῆς λογικῆς καὶ αἰσθητικῆς ζωῆς καὶ εἴ τις
20 ἀνωτέρα τούτων. εἴη ἂν τὸ ἅπαν τοῦτο ὡς ἓν τῷ πρώτῳ τοῦ ποιεῖν γένει τῷ θεωρεῖν ἀντικείμενον. ἕξει δὲ καὶ πολυειδῆ κατ' αὐτὸ τὴν διαίρεσιν. κατά τε γὰρ τῶν δυνάμεων τῆς ἐν τῇ λογικῇ ψυχῇ ζωῆς, πολλῶν οὐσῶν καὶ διαφόρων, λεχθήσεται, κατά τε τῶν ἀλόγων ζώων, καὶ ἔτι ἐπὶ τῶν ἀμυδρὰν ἐχόντων φυσικὴν τοῦ πάσχειν ἀντίληψιν· ἐσχάτη γὰρ κἀκεῖ τις συναίσθησις πάρεστι.
25 καὶ πάθος μὲν τοῦτο· πεπονθὸς δὲ ὅπερ ἐν μὲν τῷ γίνεσθαι οὐ συνεμφαίνει τὸ πάθος, ἔνδηλος δὲ αὐτοῦ ἡ τροπὴ μετὰ τὸ γενέσθαι πέφυκεν, ὡς τὸ τετηκέναι τὸν κηρὸν ἢ τὸν πηλὸν ἐξηράνθαι· διὰ γὰρ πάθους ὁδεῦσαν ὅμως κατὰ τὸ πεπονθέναι χαρακτηρίζεται. τοῦτο δέ ἐστι τὸ ἄνευ αἰσθήσεως τὰ ἐν τῇ φύσει περιέχον παθήματα. ὅσαι τε γὰρ ἐν τοῖς φυσικοῖς στοιχείοις ἔν τε τοῖς
30 συνθέτοις καὶ τοῖς ἁπλοῖς ἀπαρακολούθητοι γένοιντ' ἂν ἀλλοιώσεις, πᾶσαι κατὰ τὸ πεπονθέναι χαρακτηρίζονται. γένοιτο δ' ἂν καὶ τούτων πολλαχῶς ἡ διαίρεσις, εἴς τε τὰ τεμνόμενα καὶ αὐξανόμενα καὶ ἄλλως πως μεταβαλλόμενα καὶ τρεπόμενα ἢ σώματα. τὸ δὲ ποίημα καὶ τὸ πάθημα ἀντιταχθείη ἂν τῷ τοῦ ποιεῖν εἴδει τῷ θεωρουμένῳ κατὰ τὸ ποιητικόν· καὶ τοῦτο γὰρ τῷ εἰς οὐσίαν
35 ἄγεσθαι ἀφορίζεται. ὡς γὰρ τὸ οἰκοδομεῖν ἰδίως καλεῖται ποιητικόν, οὕτως καὶ τὸ οἰκοδομεῖσθαι καὶ τὸ οἰκοδόμημα ποίημα καὶ πάθημα λέγεται· ἅπαν γὰρ μετὰ πάθους ποιεῖται τὸ ποιούμενον. ὅσα τε οὖν καὶ οἷα ἀποδεδώκαμεν εἴδη

---

2 δοκῇ M Simpl.: δοκεῖ L 9 καὶ ex Simplicio addidi 11. 12 καὶ τοῦ παθήματος M 15 παθήματος] πεπονθότος recte Simpl. 18 ἑαυτῷ M 19 λογιστικῆς M 26 τετακέναι M 27 ξηρανθέντα M ὅμως Simpl.: οὐ libri 29 περιέχοντα M τοῖς (post ἔν τε) om. M 30 ante πᾶσαι add. καὶ M 31 γένοιτο δὲ καὶ M 32 τε om. M 33 ἀντιταχθείη ἂν Simpl.: ἀντιταχθῇ ἂν L^1: ἀντιταχθήτω ἂν L^2: ἀντιταχθῆτον ἂν M 34 τῷ εἰς scripsi: τὸ εἰς libri 36 πάθημα] πάθη M

ταῖς ποιητικαῖς ἐνεργείαις. εἴτε θεῖα εἴτε ἀνθρώπινα εἴτε τεχνικὰ εἴτε ἐπιστητὰ εἴτε ἄλλως ὁπωσοῦν διαιρούμενα. τοιαῦτα καὶ τοσαῦτα ἀπονέμειν χρὴ τοῖς ποιήμασι καὶ παθήμασι τοῖς ἀπὸ τῶν ποιήσεων ἀποτελεσθεῖσι. τοιαύτη μέν τις καὶ ἡ τοῦ πάσχειν ὥσπερ καὶ τοῦ ποιεῖν ὑπὸ τοῦ Ἀρχύτα παραδεδο-
5 μένη διαίρεσις. ἐπεὶ δὲ καὶ τὴν πρὸς ἄλληλα σύμμιξιν τῶν γενῶν ἐπισκοπῶν ἐκεῖνος ἐκτίθησι, δεῖ μηδὲ ταῦτα παραδραμεῖν. λέγει γὰρ ὧδε "τὸ μέν ἐντι ποιέον, τὸ δὲ πάσχον, τὸ δὲ καὶ ποιέον καὶ πάσχον· οἷον ἐν τοῖς φυσικοῖς ποιέον μὲν ὁ θεός, πάσχον δὲ ἁ ὕλα, καὶ ποιέον δὲ καὶ πάσχον τὰ στοιχεῖα", ἀρχηγικώτατα παραδείγματα ποιήσεως καὶ παθήσεως παραλαβὼν θεὸν καὶ ὕλην.

10 Ἐπιδέχεται δὲ καὶ ἐναντιότητα τὸ ποιεῖν καὶ πάσχειν, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. τὸ γὰρ θερμαίνειν τῷ ψύχειν ἐναντίον καὶ τὸ θερμαίνεσθαι τῷ ψύχεσθαι καὶ τὸ ἥδεσθαι τῷ λυπεῖσθαι. ὥστε ἐπιδέχεται ἐναντιότητα. καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον· θερμαίνειν γὰρ μᾶλλον καὶ ἧττον ἔστι καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον καὶ λυπεῖσθαι μᾶλλον καὶ ἧττον.
15 οὐκ ἔστι μέντοι οὐδέτερον ἴδιον τοῦ ποιεῖν καὶ πάσχειν· οὔτε γὰρ μόνοις οὔτε πᾶσι ταῦτα θεωρεῖται. τὸ γὰρ λέγειν ἢ γράφειν τίνι ἕξει ἐναντίον, ἢ τὸ λέγεσθαι ἢ γράφεσθαι; ἐπεὶ γὰρ τὸ ποιεῖν καὶ πάσχειν καὶ ἐν τοῖς ἄλλοις ἐπεκτείνεται γένεσιν, ἐν οὐσίᾳ μὲν τὸ εἰς οὐσίαν ἄγειν καὶ ἄγεσθαι, ἐν ποσῷ δὲ τὸ μεγεθύνειν ἢ μεγεθύνεσθαι, ἐν ποιότητι δὲ τὸ ἀλλοιοῦν ἢ ἀλλοιοῦσθαι, καὶ ἐν τοῖς
20 ἄλλοις οὕτως, ἐν ὅσοις μὲν οὖν ἐστιν ἐναντιότης καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὰ ἐν ἐκείνοις ποιοῦντα καὶ πάσχοντα τὰ εἰρημένα ἕξουσιν. ἐν ὅσοις δὲ μή, οὐδὲ ταῦτα. τὸ γὰρ γεννᾶν ἢ γεννᾶσθαι ἢ ἀριθμεῖν ἢ ἀριθμεῖσθαι πρὸς οὐδὲν ἕξει τὴν ἐναντίωσιν, οὐδὲ μᾶλλον ἢ ἧττον ῥηθήσεται. τῶν μὲν οὖν εἰρημένων οὐδὲν δεῖ προσάπτειν ὡς ἴδιον· εἰ δέ τις τοῦ μὲν ποιεῖν τὸ εἰς
25 ἕτερον ὁρᾶν, τοῦ δὲ πάσχειν τὸ ὑφ' ἑτέρου ἀλλοιοῦσθαι ἴδιον εἴποι, συμφώνως ἀποδεδωκὼς ἔσται τοῖς πεπραγματευμένοις περὶ αὐτῶν. τὸ πέρας δὲ ἀμφοτέροις κοινόν. τοῦτο δὲ ἔργον ἢ εἶδος· καὶ ἔργον μέν ἐστι τὸ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον. εἶδος δὲ τὸ ἐπιδιαμένον ἀποτέλεσμα. παράκειται δὲ καὶ τῷ μὲν ποιεῖν ποίησις καὶ ποιοῦν, τῷ δὲ πάσχειν πεῖσις καὶ πάσχον. καὶ περὶ μὲν
30 τοῦ ποιεῖν καὶ πάσχειν τοσαῦτα.

Περὶ δὲ τοῦ κεῖσθαι μετὰ ταῦτα λέγομεν διὰ τὴν πρὸς ἄλληλα τῶν γενῶν οἰκειότητα· τὸ γὰρ ποιοῦν ἢ πάσχον ἐν τοῖς οἰκείοις τόποις ἢ ἀλλοτρίοις κείμενα πρότερον ποιοῦσιν ἢ πάσχουσιν. ἔστι δὲ τὸ κεῖσθαι τὸ τοιάνδε θέσιν ἔχειν. οἷον ἀνακεκλίσθαι, καθῆσθαι, ἑστάναι. ὅταν γὰρ ἅπαντα τὰ τοῦ ὅλου
35 μόρια ἐπὶ τῆς θέσεως ὤρθωται, ἑστάναι λέγεται. ἀνακεκλίσθαι δὲ ὅταν ἅπαντα πλάγια. καθῆσθαι δὲ ὅταν τὰ μὲν ὤρθωται τὰ δὲ ἐπλαγίασται. ἀλλὰ τὸ μὲν διὰ παραδειγμάτων ὑπογράφειν ἔχει μέν τινα ὑπόμνησιν. οὐ μὴν αὐτάρκες εἰς

---

4 μέν τις corr. M Simpl.: μέντοι L ἀρχύτου M 6 ἐντι Simpl.: ἔν τι libri
7 οἷον Simpl.: οἷς libri 8 ἁ ὕλα Simpl.: ἄυλα libri 11 τοῦ ψύχειν M
11. 12 τοῦ ψύχεσθαι M 12 τῷ (ante λυπεῖσθαι) scripsi: τὸ L: τοῦ M 13 θερμαίνειν—ἧττον (14 ante καὶ λυπεῖσθαι) om. M 15 post ἴδιον add. μᾶλλον M
16 καὶ γράφειν M 26 ἀποδεδωκὼς scripsi: ἀποδεδωκὸς libri 31 Περὶ δὲ τοῦ] Περὶ τοῦ κεῖσθαι superscribunt L et al. m. M 33 τῶ κεῖσθαι M 36 ἐπλαγίασθαι L

ἀκριβῆ διάγνωσιν. βέλτιον οὖν διακαθαίρειν τὴν περὶ αὐτοῦ ἔννοιαν, ἀφαιροῦντα τὴν ἐπεισιοῦσαν τοῦ πρός τι σχέσιν, ἔτι δὲ καὶ κίνησιν καὶ στάσιν καὶ πρὸς τούτοις τὸ ποιεῖν καὶ πάσχειν. καὶ μόνην ἁπλῆν θεωροῦντα τὴν τῆς θέσεως σχέσιν. ὡς γὰρ ἡ πρὸς τὸν τόπον σχέσις ποιεῖ τὸ ποῦ καὶ ἡ πρὸς τὸν χρόνον τὸ ποτέ, οὕτως ἡ πρὸς τὴν θέσιν ποιεῖ τὸ κεῖσθαι. οὔτε οὖν τὸ κείμενον σῶμα οὔτε τὸν τόπον, ἐν ᾧ, τῇ διανοίᾳ περιλαμβάνοντα τὸ κεῖσθαι δεῖ νοεῖν, μόνην δὲ τὴν ἔχουσάν πως θέσιν ὑπολογίζεσθαι καὶ ταύτῃ τῇ τοῦ κεῖσθαι κατηγορίᾳ προσμαρτυρεῖν. διὸ ὅσα πέφυκεν ἕτερα ὑφ' ἑτέρων ἀνέχεσθαι ἢ ἐνιδρύεσθαι ἐν ἑτέροις ἕτερα, τῷ κεῖσθαι περιληφθήσεται· ἡ γὰρ τοιάδε συμπλοκὴ τῶν ἐνιδρυμένων καὶ τῶν τὴν ἕδραν παρεχόντων κυριωτάτη καὶ πρωτίστη τοῦ κεῖσθαι ὑπογραφή. τὴν μέντοι διαίρεσιν κατὰ πλείονας ἕξει ἐπιβολάς. διαιρεθήσεται γὰρ κατά τε τὰς εἰδοποιοὺς διαφορὰς καὶ τὰς ἐπουσιώδεις καὶ κατὰ τρόπους διαφόρους. αὐτίκα γὰρ τῶν ἐν τῷ κεῖσθαι θεωρουμένων τὰ μέν ἐστι φύσει, ὡς τὰ τέσσαρα στοιχεῖα ἐν τοῖς οἰκείοις ἱδρυμένα τόποις, καὶ ὁ οὐρανὸς τὴν ἀνωτάτω χώραν ἐπέχων, τὰ δὲ θέσει ὡς ἀνδριάντες καὶ εἰκόνες καὶ σκεύη καὶ ὅλως τὰ κατὰ τέχνην τινὰ ἢ χρείαν τιθέμενα. ἔτι δὲ τὰ μὲν ἐν στάσει ἔχει τὴν θέσιν ὡς ἡ γῆ καὶ τὰ τῶν στοιχείων ἑστῶτα, τὰ δὲ ἐν κινήσει ὡς αἵ τε τοῦ οὐρανοῦ περιφοραὶ ἐν ἀλλήλαις ἱδρυμέναι καὶ τὰ τῶν στοιχείων κινούμενα. καὶ τῶν κινουμένων δὲ καὶ ἑστώτων τὰ μὲν ἀίδιον ἔχει τὸ κινεῖσθαι ἢ ἵστασθαι ὡς τὰ τῶν σωμάτων ἀίδια, τὰ δὲ ἔγχρονα ὡς τὰ ἐν μέρει χρόνου ὑφεστῶτα. ἔτι τοῦ κεῖσθαι τὸ μὲν ἐν δυνάμει, τὸ δὲ ἐν στάσει. τοῦ δὲ ἐν δυνάμει τὸ μὲν ἐνεργεῖν ἐστι, τὸ δὲ πάσχειν. δύναμιν δὲ ἐνταῦθα λαμβάνομεν τὴν κατὰ τελείαν ἑστῶσαν ἐνέργειαν καὶ παρακτικήν, ἥτις ἀνέχει τὰ κείμενα ἐν αὐτῇ. ὅθεν εἰ τὰς ἀρχηγικωτέρας αἰτίας καὶ περιεκτικωτέρας εἶναι τῶν δευτέρων καὶ κεῖσθαι ἐν τοῖς προτέροις τὰ μετ' αὐτὰ ἰσχυριούμεθα, εὐλόγως ἂν ἐροῦμεν. ἔτι τῶν κειμένων τὰ μὲν ἁπλοῦν ἔχει τὸ κεῖσθαι, τὰ δὲ διπλοῦν καὶ ἔτι περαιτέρω. ὁ μὲν γὰρ κενὸς ἀμφορεὺς κεῖταί που, εἰ τύχοι, ἐν τῷδε τῷ λίθῳ· τοῦτο ἁπλοῦν· ὁ δέ γε πλήρης αὐτός τε κεῖταί που καὶ ὁ ἐν αὐτῷ οἶνος· τοῦτο διπλοῦν. κατ' ἄλλην δὲ ἐπίνοιαν ἐπιβαλλόντων ἡμῶν τετραπλῆν ἕξει τὴν θέσιν ὁ πλήρης ἀμφορεύς· αὐτός τε γὰρ κεῖταί που καὶ τὰ μέρη αὐτοῦ ἐν αὐτῷ ὡς ἐν ὅλῳ, ὅ τε οἶνος ἐν τῷ ἀμφορεῖ καὶ τὰ τοῦ οἴνου μέρη ἐν αὐτῷ τῷ οἴνῳ δηλαδὴ ὡς ἐν ὅλῳ. πότερον δὲ ἐπὶ σωμάτων μόνον τὸ κεῖσθαι θήσομεν, ἢ δεῖ ἐπεκτείνειν καὶ μέχρι τῶν ἀόλων καὶ τῶν νοητῶν; μήποτε δὲ οὐδὲ πάσῃ τῇ σωματικῇ φύσει παρακολουθεῖν αὐτὸ ὑποτίθεσθαι δίκαιον. τὸ γὰρ μὴ ὂν ἐν τόπῳ οὐδὲ κεῖταί που· ὅθεν καὶ τὸ τῆς ἀπλανοῦς σφαίρας σῶμα καὶ τὸ τοῦ παντός, ἐπεὶ μὴ ἐν τόπῳ (οὐ γὰρ περιέχεται ὑπό τινος· οὐ γὰρ ὑπολείπει τι ἔξωθεν αὐτοῦ), οὐδὲ κεῖσθαι λέγοιτ' ἄν. ὥστε κυριώτατα μὲν ἐπὶ τῶν σωμάτων καὶ τῶν ἐντὸς τοῦ παντός, ἔτι δὲ καὶ

1 οὖν om. M περὶ αὐτῶν M 3. 4 σχέσεως θέσιν M 4 γὰρ οἱ πρὸς L τοῦ ποῦ L 6 περιλαμβάνονται M 7 ταύτην M 9 περιληφθήσονται M 10 ἐχόντων M 12 ἐπουσιώδη L 15 ὁ om. L 18 ἀλλήλοις M 19 καὶ (ante τῶν) om. M 21 ἔτι τὰ τοῦ M 24 ἀρχηγικωτέρους M 25 πρότερον M 27 τύχη M 33 μόνων M τῶν (post καὶ) om. M 37 αὐτοῦ scripsi: αὐτοῦ libri 38 κυριώτερον M

ἐν τοῖς τῶν σωμάτων πέρασιν ἐπιφανείᾳ γραμμῇ καὶ σημείῳ ἡ θέσις προσαρτηθήσεται. ἀποστάντων γὰρ τῆς αὐτοκρατοῦς τῶν ἀμερίστων εἰδῶν φύσεως καὶ μὴ δυναμένων ἐν ἑαυτοῖς εἶναι ἀλλ' ἐν ἑτέροις τοῖς τὴν πτῶσιν αὐτῶν ὑποδεχομένοις καὶ εὐθετίζουσι καὶ συνέχουσι τὸν σκοπισμόν. ὁ τόπος ἐξ
5 ἀνάγκης προσείληπται, τάξιν τοῖς μορίοις ἀφορίζων καὶ θέσιν. ἐπὶ μέντοι τῶν ἀσωμάτων καὶ νοητῶν εἴ τι ἐπιλέγοιμεν τῶν τοιούτων, κατὰ μεταφορὰν ἔσται καὶ ἀναλογίαν. τόπον γὰρ λέγομεν τὴν ψυχὴν τῶν ἐν αὐτῇ λόγων ὡς χώραν αὐτοῖς παρέχουσαν εἰς τὸ ἐνεργεῖν ἐν αὐτῇ καὶ ἱδρύεσθαι, καὶ τὸν νοῦν τῶν εἰδῶν ὡς τῆς αὐτῆς οὐσίας ὄντα αὐτοῖς καὶ συνέχοντα ἐν ἑαυτῷ τὰς νοήσεις
10 ὁμοῦ τοῖς εἴδεσιν. καὶ πρότερον ὁ θεὸς τόπος τῶν ὄντων καὶ ἐν αὐτῷ κεῖσθαι τὰ πάντα λέγεται· τὰ γὰρ μετ' αὐτὸν ἐν αὐτῷ τῇ δραστικῇ δυνάμει συνείληπται. εἰ δέ τις ἀκριβῶς σκοποίη κατὰ τὸ καθόλου καὶ περιεκτικόν, μίαν καὶ τὴν αὐτὴν ἐπί τε τῶν σωμάτων καὶ ἀσωμάτων τὴν τῆς θέσεως θεωρήσει ἀναλογίαν κατὰ τὸ περιέχειν καὶ περιέχεσθαι καὶ κατὰ τὸ ἕδραν παρέχειν καὶ
15 ἐνιδρύεσθαι, καὶ εἰς ἐπὶ τούτων πάντων ὁ τοῦ κεῖσθαι διήξει λόγος τοῦ ἕτερον ἐν ἑτέρῳ ἀποπερατοῦσθαι κατ' αἰτίαν ἢ δύναμιν ἢ ἐνέργειαν ἢ οὐσίαν ἢ διάστασιν. ἡ μέντοι ἑτερότης περὶ τὰ διάφορα γενήσεται πράγματα. προσκείσθωσαν δὲ τοῖς ἔμπροσθεν περὶ τόπου θεωρήμασι καὶ ταῦτα· πότερον γάρ, ἐπεὶ τὸ κείμενον ἔν τινι κεῖται, τοῦτο δὲ τόπος, ὁ τόπος αὐτὸς ἔν τινι κείσεται
20 [καὶ] ἢ μηδαμοῦ; καὶ τὸ μὲν μὴ ὑπολείπειν θέσιν αὐτῷ ἄλογον· περὶ γὰρ τὰ σώματα καὶ οὗτος, καὶ τὰς τῶν σωμάτων ἔχει διαφοράς. διίσταται γὰρ καὶ μεμέρισται, καὶ τὸ ἄνω καὶ τὸ κάτω καὶ τἄλλα, ἃ δὴ καὶ ἐν σώμασι πρωτοτύπως, καὶ ἐπ' αὐτοῦ θεωρεῖται. εἰ δὲ κεῖταί που, ἐν τίνι; εἰ μὲν ἐν τόπῳ, πῶς καὶ τίνι παρὰ τοῦτον ὄντι; κἀκεῖνος δὲ ἐν τίνι; καὶ οὕτως ὁ λόγος
25 βαδιεῖται εἰς ἄπειρον, τόπον τόπου ζητῶν. ἢ πέρας ὢν τοῦ περιέχοντος σώματος κείσεται ὥσπερ καὶ αἱ ἄλλαι ἐπιφάνειαι ἐν τοῖς σώμασιν ὧν εἰσι πέρατα. ἀλλ' εἰ μὲν τοῦτο καθάπαξ ὁ τόπος εἴη, πέρας τοῦ περιέχοντος, ἴσως ἂν ἀποχρώντως ἔχοι. εἰ δὲ διάστημά τις λέγοι τὸν τόπον ἢ μέτρον καὶ εὐθετισμὸν τῆς τῶν μεγεθῶν παραθέσεως, ὥσπερ τὸν χρόνον μέτρον τῆς κατὰ κί-
30 νησιν παρατάσεως, οὐ χρή τι ἄλλο ζητεῖν, ἐν ᾧ δὴ ὁ τόπος κείσεται· ἕδρα γὰρ ὧν τῶν ἄλλων αὐτὸς ἑτέρας ἕδρας οὐ δεηθήσεται κατὰ τὰ πέρατα τῶν μεγεθῶν· ὡς γὰρ αὐτοπέρατα τῶν περατούντων οὐ δεῖται. παρακολουθεῖ δὲ τῷ κεῖσθαι καὶ τὸ τὰ ἐναντία ἐπιδέχεσθαι, τοῦτο δὲ παρά τε τὸν τόπον καὶ τὴν θέσιν· ὥσπερ γὰρ ὁ ἄνω κείμενος τῷ κειμένῳ κάτω ἐναντίως ἔχει, οὕτω
35 καὶ ὁ ὕπτιος τῷ πρηνεῖ ἐναντίαν ἔχει θέσιν. ἀλλ' ἡ μὲν κατὰ τόπον τοῦ κεῖσθαι ἐναντίωσις ἐφ' ἅπαντι τῷ γένει ἐφήπλωται, ἡ δὲ τῆς θέσεως οὔ· ἡ γὰρ τοῦ κύβου θέσις πρὸς τὴν τῆς σφαίρας καὶ τῶν ἄλλων διάφορος μέν, οὐκ

3 τὴν om. M 4 καὶ μὴ συνέχουσι M 9 τῆς om. L οὐσίας om. M ὄντα αὐτῆς M 10. 11 τὰ πάντα κεῖσθαι L[1] 11 αὐτῷ scripsi: ἑαυτῷ libri 15 ὁ τοῦ κεῖσθαι om. M τοῦ ἑτέρου M 19 ἐπεὶ] ἐπὶ L 20 καὶ delevi ἢ scripsi: εἰ libri αὐτὸ M 22 τὸ (ante κάτω) om. M 23 ὑπ' αὐτοῦ M 24 οὗτος ML[1] 25 πέρας ὂν M 28 ἔχοι scripsi: ἔχει L: ἔχη M λέγει M 29 μέτρον om. M 30 δὴ] δεῖ L 33 τὸ κεῖσθαι M 34 γὰρ om. M

ἐναντία δέ· καὶ ὅλως τὰ ἐπὶ τῶν ἀψύχων. ἐπὶ μέντοι τῶν ζώων ἔσται, ἐφ' ὧν καὶ τὸ κυρίως ἔμπροσθεν καὶ ὄπισθεν λέγεται καὶ τὸ δεξιὸν καὶ ἀριστερόν. καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον ἐν τῷ κεῖσθαι ἀμηγέπη φανήσεται, ἐπειδὴ καὶ τὰ ἐναντία. διττὸν δέ, τὸ μὲν ἐν τῇ συνηθείᾳ, τὸ δὲ ἐν τῷ τῆς λέξεως σχή-
5 ματι· κεῖσθαι γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγομεν, ὅταν ὁ μὲν ἀνακέκλιται ὁ δὲ κάθηται. τῷ πλατυτέραν εἶναι θέσιν τῆς καθέδρας τὴν ἀνάκλισιν, κατὰ δὲ τὸ δεύτερον, ὅταν ὑπερβολή τις ἐν τῇ δοκούσῃ συγκρίσει ἐμφαίνηται, ὡς ὅταν τις ὑπτιώτερος σκάφης λέγηται. οὐκ ἐπὶ πάντων δὲ τῶν ἐν τῷ κεῖσθαι· οὔτε γὰρ ἐν ἐπιφανείᾳ ἢ γραμμῇ ἢ σημείῳ ἤ τινι ἄλλῳ τῶν ἐν τῷ
10 κεῖσθαι ἀσωμάτων τὰ τοιαῦτα θεωρηθήσεται.

Ἡ μέντοι τοῦ ἔχειν κατηγορία τάξιν ἐσχάτην καὶ τελευταίαν ἀπείληφεν. ἐπεὶ γὰρ πᾶν τὸ ἐν ἑαυτῷ ὂν ἢ καθ' αὑτὸ ἀρχηγικώτερον τοῦ ἔξωθεν προσγινομένου καὶ ἐπικτήτου, εἰκότως τὰ μὲν ἄλλα γένη ἢ ἐν οὐσίᾳ ἢ ἐν σχέσεσί τισιν ὄντα καὶ ἀφ' ἑαυτῶν τινα μοῖραν πρὸς τὸ εἶναι συμβάλλοντα προετέθη-
15 σαν· τὸ δὲ ἔχειν ὡς ἔξωθεν ὅλον ὂν περὶ ἡμᾶς καὶ ἐπίκτητον τελευταῖον συντέτακται. ζητοῦμεν δὲ περὶ αὐτοῦ γνῶναι τήν τε οὐσίαν ὅ τι ἐστὶ καὶ τὴν ἰδιότητα τήν τε ἀπὸ τῶν ὁμωνύμως συμπλακέντων αὐτῷ καὶ ἑτεροφυῶν διάκρισιν καὶ τὴν εἰς τὰ οἰκεῖα εἴδη διαίρεσιν. καὶ ἐπὶ πᾶσι, τίνα χρείαν ἐν τῷ παντὶ παρέχει καὶ ὅθεν ὑφίσταται. ἔχειν οὖν ἐστιν οὐσίας περὶ οὐσίαν περί-
20 θεσις. τοῦτο δὲ σῶμα πάντως· ἐπὶ γὰρ τῶν ἀσωμάτων καὶ νοητῶν ὥσπερ τὸ κεῖσθαι, οὕτω καὶ τὸ ἔχειν κατὰ μεταφοράν τινα προσρηθήσεται. δεῖ δὲ ἐν χρήσει τὸ ἔχειν εἶναι, καὶ οἷον κατ' ἐπαφήν. καὶ τούτῳ τοῦ κεκτῆσθαι διαφέρει· εἰ γάρ τις ἱμάτιον πριάμενος μὴ φοροίη, κεκτῆσθαι μὲν ἂν λέγοιτο, ἔχειν δ' οὔ. καὶ οὐκ ἔστιν ἁπλῶς τὸ ἔχειν ἐνέργειά τις ἀπόλυτος, οὔτε ἄλλου
25 πρὸς ἄλλο ἁπλῶς, ἀλλὰ πρὸς ἄλλο εἰς ἑαυτὸ κράτησις. πολλῷ τῶν ἄλλων ἐκβεβηκυῖα κατηγοριῶν ὡς οὐσῶν ἀφέτων καὶ ἀπολύτων. οὐκοῦν καὶ τῶν ἀψύχων οὐδὲ τῶν ἀλόγων οὐδὲν κυρίως ἔχειν ἂν λέγοιτο, ἀλλὰ παρ' οἷς καὶ λόγος· ἔχεσθαι γὰρ δεῖ τὸ ἐχόμενον κατὰ βούλησιν καὶ προαίρεσιν. ἔστι δὲ τὸ ἔχειν τῶν ὁμωνύμως καὶ πλεοναχῶς λεγομένων· καὶ γὰρ τὸ ἄγον κατὰ τὴν ἐν αὐτῷ
30 φύσιν καὶ ὁρμὴν ἔχειν λέγεται καὶ ὅλως ἐν ᾧ ἡ ἀρχὴ τῆς τοῦ ἐχομένου κινήσεως, οἷον ὁ τύραννος ἔχει τὴν πόλιν καὶ ὁ πυρετὸς τόνδε τινὰ ἢ ἡ βήξ, καὶ ἐπὶ τῶν ἀντικειμένων αὐτοῖς· καὶ γὰρ ἡ πόλις ἔχειν τύραννον λέγεται καὶ ὅλως ἄρχοντας, καὶ ἡ ναῦς κυβερνήτην καὶ ὁ παῖς παιδαγωγόν. ταῦτα μὲν οὖν οὕτως ἔχειν λέγεται ἢ ὅτι ἄγει κατὰ τὴν ἑαυτοῦ ἀρχὴν ἢ ἄγεται κατὰ
35 τὴν ἐν ἐκείνῳ. καὶ ἔστι τῆς τοῦ ποιεῖν καὶ πάσχειν κατηγορίας. ἑτέρως δὲ ἡ ὕλη τὸ εἶδος ἔχειν λέγεται, οἷον ὁ χαλκὸς ἢ ὁ κηρὸς τὸ σχῆμα καὶ τὸ σῶμα τὴν ὑγείαν ἤγουν τὸ χρῶμα καὶ ὁ Σωκράτης δικαιοσύνην ἢ σωφροσύνην, καὶ ὅλως τὸ δεκτικόν του πολλαχῶς λέγεται. καὶ εἷς μὲν τρόπος ὁ εἰρημένος·

---

3 φανήσονται M 6 ὁ δὲ κάθηται — ἀνάκλισιν om. L 7 ἐμφαίνηται M Simpl.: ἐμφαίνεται L 8 ὡς] καὶ M λέγεται M 11 Ἡ μέντοι] Περὶ τοῦ ἔχειν superscribunt L et al. m. M 13 ἢ σχέσεσι M 20 ἐπὶ μὲν γὰρ M 22 τούτῳ scripsi: τοῦτο libri 24 ἀπόλυτος L² 28 δεῖ] δὴ M 37 ἤγουν] ἢ M 38 τοῦ] που M

ἕτερος δὲ τὸ ὡς ἐν ἀγγείῳ. οὕτως οἶνον ἔχειν λέγεται ὁ ἀμφορεὺς καὶ ἔλαιον ἡ λήκυθος καὶ ὄχλον τὸ βαλανεῖον. ἀγρὸν δὲ ἔχειν καὶ ἵππον καὶ βοῦν δοκεῖ μὲν διαφόρως λέγεσθαι, λέγεται δὲ κατὰ τὸν πρῶτον τοῦ ἔχειν πρόπον· ὅτι γὰρ κρατοῦμεν καὶ κύριοί ἐσμεν χρῆσθαι αὐτοῖς κατὰ τὴν ἑαυτῶν προαίρεσιν, ἔχειν αὐτὰ λεγόμεθα. ἄλλως δὲ καὶ τὰ μέρη ἔχειν λεγόμεθα. χεῖρα καὶ κεφαλήν. καὶ τὰ δένδρα τὰς ῥίζας. λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν καὶ πατέρα καὶ συγγενεῖς καὶ ἀδελφούς, εἰ καὶ τούτων ἕνια ὑπὸ τὸν πρῶτον τρόπον πεσεῖται· γυναῖκα μὲν ἔχει ὁ ἀνήρ, ὅτι ἄγει κατὰ τὴν ἑαυτοῦ ἀρχήν, γυνὴ δὲ ἄνδρα, ὅτι ἄγεται κατὰ τὴν ἐν ἑτέρῳ. τούτων δὲ τὰ μὲν εἰς τὴν οὐσίαν, τὰ δὲ εἰς τὸ ποιεῖν καὶ πάσχειν ἀχθήσεται. πράγματα δέ τις ἔχειν λέγεται, ὅτι πράττει καὶ πρὸς αὐτοῖς ἐστι, λόγον δὲ ἔχειν, ὅτι φροντίζει καὶ οὐκ ὀλιγωρεῖ αὐτοῦ. ὑποδήματα δὲ καὶ ἐσθῆτα καὶ ὡς κτήματα λεγόμεθα ἔχειν καὶ τῷ ἠμφιάσθαι καὶ ὑποδεδέσθαι· καὶ ἔστι ταῦτα ὑπὸ τὴν τοῦ ἔχειν κατηγορίαν διά τε τὴν ἕξιν καὶ τὴν περίθεσιν. τὰ μὲν οὖν ἄλλα τῶν σημαινομένων ἀφείσθωσαν· τοῦτο δὲ προσληπτέον, ὃ δὴ καὶ τῶν ἄλλων ἀποκρίνοντες καὶ καθ' αὑτὸ ἀφορίζοντες οὕτω φαμέν· ἔχειν ἐστίν, οὗ ἡ μετουσία μὴ συμφυὴς ἀλλ' ἐπίκτητος. καὶ ὃ δὴ κεχωρισμένον ὂν τῆς τοῦ ὑποκειμένου οὐσίας οὔτε διατίθησιν αὐτὴν καθ' αὑτὸ οὔτ' ἀλλοιοῖ ἢ ὀνομάζει ἀφ' ἑαυτοῦ. καὶ πρότερον δεῖ σωματικὸν τοῦτο ἢ σωματῶδες εἶναι τὸ ἔξωθεν. ὡς εἴρηται, περικείμενον. διαιρεθείη δ' ἂν τὰ οὕτως ἐχόμενα τοῦτον τὸν τρόπον· ἢ γὰρ κατὰ πόλεμον ἔχεται τὰ τοιάδε ἢ κατ' εἰρήνην. καὶ τὰ κατὰ πόλεμον τὰ μὲν περικείμενά ἐστι, τὰ δὲ κρατούμενα. καὶ τούτων ἑκατέρων τὰ μὲν φυλάγματά εἰσιν, ὡς θώραξ περικείμενος καὶ ἀσπὶς κρατουμένη, τὰ δὲ καὶ ἀμυντήρια, ὡς ξίφος περικείμενον καὶ δόρυ κρατούμενον. τῶν δὲ ἐν εἰρήνῃ τὰ μὲν κόσμου ἕνεκα κατὰ διάφορα μέρη τοῦ σώματος, ὡς διάδημα καὶ περιδέραιον καὶ δακτύλιος, τὰ δὲ σκέπης· καὶ τούτων τὰ μὲν περὶ ὅλον τὸ σῶμα ὡς χιτών, τὰ δὲ περὶ μέρος ὡς ὑπόδημα. τινὰ δὲ καὶ ὡς ὄργανα ἔχει ὡς τὸ σκέπαρνον καὶ τὸ πηδάλιον καὶ τὴν βακτηρίαν, τινὰ δὲ καὶ ὡσαύτως κτήματα ὡς ἀργύριον ἤ τι ἄλλο, ὃ διὰ τὸ ἔχειν κρατοῦμεν. ἀλλ' εἰ τὸ ἔχειν ἅπαν ἐν τούτῳ, εἰς στενόν τι κομιδῇ συγκατακλεισθήσεται καὶ οὐ πάνυ τι γενναία οὐδ' ἀποχρῶσα ἡ περὶ αὐτοῦ πραγματεία συμπερανθήσεται. μήποτε δὲ δεῖ καὶ πρὸς τὸ πᾶν ἐπισκοπεῖν αὐτὸ καὶ κατὰ τὴν ὅλην ἐπεκτείνειν φύσιν· οὕτω γὰρ ἂν καὶ ὡς ἐπικαιροτάτην τὴν ἐν τῷ παντὶ χρείαν αὐτοῦ ἐποψόμεθα. αὐτίκα πολλὰ τῶν ὄντων μὴ συνυπάρχοντα ἀλλήλοις μηδὲ συμπεφυκότα μήτ' ἔξωθεν περικείμενα ἀπ' ἀλλήλων δυνάμεις τινὰς καὶ ὠφελείας εἰσδέχονται· ἅπερ εἰ μὴ ἐπὶ τὸ ἔχειν ἀνήσομεν, ποῦ δεῖ προσθεῖναι, οὐχ ἕξομεν. τοῦτο δ' οἶμαι καὶ τὴν τοῦ παντὸς μηχανήσασθαι φύσιν ἐπὶ τὴν τῶν ὅλων διαμονὴν καὶ σωτηρίαν, ὡς ἐπιπλοκὴν

---

2 λέκυθος L: λύκινθος M 5 ἄλλως — λεγόμεθα om. M 15 δὴ om. M 17 τοῖς τοῦ L 19 δεῖ H: δὴ LM ὡς εἴρηται om. M 20 κατὰ — ἔχεται (21)] κατ' ἔχθραν M 21 τὰ (ante κατὰ) om. M 22 ἑκατέρων Simpl.: ἑκάτερον libri 25 δακτύλιον M 27 ὑποδήματα M 29 ἐν τούτοις M 30 πάνυ τοι M 32 καὶ κατὰ scripsi: καὶ om. L: καὶ πρὸς M ἂν om. M ἐπικαιρότατον M 35 ἐπὶ om. M 36 ἀνύσομεν M

εἶναι καὶ τῶν πόρρωθεν ὄντων καὶ διῳκισμένων ἀλλήλοις καὶ δύναμιν τῆς κτήσεως τῶν μήπω παρόντων, ὄντων δὲ ὠφελίμων. οὐ γὰρ ἔδει τὴν ἐν γενέσει φερομένην οὐσίαν, πολλῶν οὖσαν καθ' ἑαυτὴν ἐπιδεᾶ διὰ τὸν εἰς ἔσχατον μερισμόν, ἄμοιρον τελέως τῆς τῶν ὑπὲρ αὐτὴν μετουσίας ἀπολείπεσθαι. πόρον οὖν τινα καὶ ἰσχὺν εἰς τὴν κράτησιν ἐπεκτήσατο, τῶν μὲν ὠφελίμων καὶ πρωτουργῶν ἐγειρομένων, τῶν δὲ ἐχομένων διδόντων ἑαυτὰ ἑτοίμως εἰς τὰ ἀντιλαμβανόμενα ἑαυτῶν. πολὺ δὲ πρὸ τῆς φύσεως ἡ τοῦ παντὸς πρώτη αἰτία κατευθύνει καὶ συναρμόζει καταλλήλως ἕκαστα καὶ τὴν προσήκουσαν ἀπονέμει χώραν καὶ συνέχει καὶ οἰκειοῖ τά τε κτήματα τοῖς ἔχουσι καὶ τοῖς προτέροις τὰ δεύτερα, καὶ πρὸ πάντων τοὺς ἔχοντας ἐφ' ἑαυτὴν ἀνεγείρουσα. χρείαν μὲν οὖν τῷ παντὶ τοιαύτην τοῦτο τὸ γένος παρέχεται εἰς τὰ ὄντα προελθόν, αὐτάρκειάν τε τῶν ἐνδεῶν καὶ ἕνωσιν τὴν δυνατὴν καὶ τῶν πάντη διεστηκότων. τὴν δὲ ὅλην αὐτοῦ φύσιν ἔνθεν ἂν κατοπτεύσαιμεν. καὶ πρῶτον ἀνιόντες ἐπὶ τὴν ψυχὴν τὴν ἡμετέραν καὶ τὴν φύσιν κατὰ τὰς ἐπικτήτους καὶ μὴ συμφυεῖς περικρατήσεις τὸ ἔχειν θεωρητέον. οὐ γὰρ δὴ τῷ μὲν σώματι περίκειται ὁμοφυὴ πρὸς αὐτὸ σώματα, τῇ δὲ ψυχῇ πολυειδεῖς ἐχούσῃ δυνάμεις οὐκ ἔσονται ἐπίκτητοί τινες ζωαί, αἱ μὲν ὁμοφυεῖς αἱ δὲ ὑποδεέστεραι τῶν οἰκείων ἐν αὐτῇ μέτρων. ἴδοι δ' ἄν τις τοῦτο καὶ ἀπὸ τῶν ἐναργῶς φαινομένων· εἰ γὰρ εἰς τὸ σῶμα κατιοῦσα προβάλλει τινὰς ζωὰς περὶ αὐτὴν ὥσπερ ἐπικτήτους, ἄλλας δὲ ἀπὸ τοῦ σώματος παραδέχεται, ὅσαι ἐν τροπῇ καὶ ἐκστάσει θεωροῦνται, πῶς οὐκ ἂν λέγοιτο ταύτας ἔχειν; ἀλλὰ καὶ εἰς ἕκαστα μέρη τοῦ κόσμου παραγινομένη ζωάς τινας καὶ δυνάμεις παραδέχεται, τὰς μὲν αὐτὴ προβάλλουσα, τὰς δὲ λαμβάνουσα ἀπὸ τοῦ κόσμου. σώματά τε οἰκεῖα ἐν ἑκάστῳ μέρει τοῦ παντὸς τὰ μὲν λαμβάνει, τὰ δὲ αὐτὴ ὀργανικὰ ποιεῖ κατὰ τοὺς οἰκείους λόγους· καὶ ταύτας τὰς δυνάμεις καὶ τὰς ζωὰς ἀποτίθεται, ὅταν τύχῃ εἰς ἄλλην λῆξιν μεθισταμένη. φανερὸν δὴ ἐκ τούτων γέγονεν ὅτι ἐπίκτητα ταῦτα πάντα αὐτῇ ἦν καὶ εἶχεν αὐτὰ ὡς ἕτερα, οὐσίας ἑτέρας ὄντα· οὐ γὰρ συνεφύετο αὐτοῖς ὥσπερ τὰ συγκρινόμενα σώματα, ἀλλ' ἀμιγὴς οὖσα καθ' αὑτὴν εἶχεν αὐτὰ περικείμενα. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς φύσεως τοῦ παντός, ὅταν κατὰ τοὺς λόγους ἐν ἑαυτῇ περιέχει τὰ γινόμενα ὑπ' αὐτῆς, καὶ τούτων τινὰ ἀπογίνοιντο ὥσπερ ἐπίκτητα ὄντα, αὐτὴ δὲ μένει ἡ αὐτὴ οὖσα καὶ περιδραττομένη τὰ ἐν αὐτῇ σώματά τε καὶ ζῶα καὶ φυτὰ καὶ ἀφιεῖσα μηδέν. τότε καὶ περὶ τὴν φύσιν τοῦ παντὸς τὸ ἔχειν θεωρηθήσεται. τούτων δὲ ἔτι μᾶλλον ἐν ὅλῳ τῷ κόσμῳ τῷ κατὰ τὰς ζωὰς αὐτοῦ πάσας νοουμένῳ καὶ τὰς ψυχὰς τὰς ἐν αὐτῷ στοιχεῖά τε καὶ φύσεις καὶ τὰ κοινῶς ὑπ' αὐτῶν συνιστάμενα θεωρεῖται ἡ νυνὶ λεγομένη ἕξις. ὅλος γὰρ ὁ κόσμος αὐτοτελὴς ὢν καὶ συμπεπληρωμένος ἐκ μερῶν τελείων ἔχει ἐν ἑαυτῷ πάντα

3 ἐπιδεῆ L 6 ἐγειρομένων] fort. ἐγειρόντων, cf. v. 10 7 πολλὴ M 8 καὶ συναρμόζει κτλ.] συναρμόζουσα οἰκείως τὰ οἰκεῖα κτήματα εἰς τὴν προσήκουσαν χρῆσιν τοῖς ἔχουσι καὶ τοὺς ἔχοντας ἐπ' αὐτὴν ἀνεγείρουσα Simpl. 9 ἀπόνειμε L 12 καὶ (ante τῶν) om. M 13 αὐτῶν M 19 αὐτὴν scripsi: αὐτὴν libri 20 παραδέχεται] περιέχεται M

24 μέρει L αὐτὴ H: αὐτὸ LM 25 ὑποτίθεται M 26 τούτου M 30 ἐν αὐτῇ L 31 αὐτὴ] αὐτοὺς L 32 σώματα M Simpl.: om. L 33 καὶ om. M

πλήρη καὶ οὐδενὸς ἀμοιροῦντα τῶν ἐπιβαλλόντων ἑαυτοῖς. εἴτ' οὖν εἴη ταῦτα σύμφυτα, μετέχει τούτων, εἴτ' ἐπίκτητα, περικρατεῖ καὶ ταῦτα, εἴτε καὶ τὸ συναμφότερον, καὶ ταῦτα περιέχει, οἷα ἡ γῆ· ἔχει γὰρ τὰ ἐν αὐτῇ ζῶα, ποτὲ μὲν γινόμενα ποτὲ δὲ καὶ ἀπογινόμενα. εἴποις οὖν ἐπίκτητα εἶναι κατὰ μετουσίαν τινὰ αὐτῇ συνόντα καὶ αὖθις ἀφιστάμενα. καὶ ἡ θάλασσα δὲ ὁμοίως τὰ ἐν αὐτῇ ζῶα περιείληφεν. εἰ δ' ἐφ' ἡμῶν μὲν ἔξωθεν περίκειται τὰ ἐχόμενα, ἐπὶ δὲ τοῦ παντὸς εἰς τὰ ἐντὸς μᾶλλον περιειργόμενα οὕτως ἔχεται, καὶ τοῦτο οὐκ ἀποδεῖ τῆς μεριστῆς καὶ τῆς ὅλης φύσεως· τὰ μὲν γὰρ ἡμέτερα σώματα μεριστὰ ὄντα. ἔξωθεν ἔχει τὰ ἐχόμενα σώματα. τὸ δὲ πᾶν τέλειον καὶ οὐδὲν ἔξωθεν ἑαυτοῦ ἀπολεῖπον ἐν ἑαυτῷ περιέχει τὰ περιεχόμενα καὶ εἴσω ἑαυτοῦ πανταχόθεν αὐτὰ περιείληφεν. ἑτέρῳ δὲ τρόπῳ ὁ σύμπας οὐρανὸς τὰς ἐν αὐτῷ σφαίρας καὶ τὰ ἄστρα συμπεριλήψεται. ταῦτα δὲ τὰ τέσσαρα στοιχεῖα καὶ τὰ ἐν αὐτοῖς ζῶα. καὶ ὅλως ἀεὶ τὰ περιέχοντα ἔχει τὰ περιεχόμενα· διακέκριται γὰρ καθ' ἕκαστα τεταγμένως τὰ ἐν τῷ κόσμῳ. καὶ τὰ ἀνωτέρω καὶ πρεσβύτερα ἀεὶ περιείληφε τὰ ὑποδεέστερα· καὶ οὕτως ἐξ ἀρχῆς τὸ τοῦ ἔχειν γένος παρήχθη. καὶ εἰ ὁ κόσμος δὲ ὅλος νῦν μὲν ταῦτα ἔχει τὰ πληροῦντα αὐτόν, αὖθις δὲ ἄλλα. ὅσα ἡ γένεσις εἰς αὐτὸν ἐνδίδωσιν. ἔσται καὶ ἡ ἕξις αὐτοῦ διάφορος καὶ ἄλλοτε ἄλλη διὰ τὴν τῶν παραγινομένων εἰς αὐτὸν μεταβολήν. καὶ εἴπερ αἱ δυνάμεις αἱ ἐν τῷ παντὶ αἱ δαιμόνιοι ἢ αἱ θεῖαι ἔχουσι μέρη τοῦ κόσμου περικείμενα αὐταῖς, καὶ τοῦτο ἀδιαλείπτως ἐν τῷ παντὶ γίνεται, ὡς δαιμονίων ἢ θείων λήξεων ἐχουσῶν τὰ διακληρωθέντα αὐτοῖς μόρια τοῦ κόσμου. καὶ οὕτως ἂν μεστὰ πάντα εἴη τοῦ ἔχειν. ἔτι δὲ εἰ αἱ τῆς ζωῆς τοῦ παντὸς μοῖραι μέρη ἔχουσι τοῦ κόσμου περικείμενα οὐ συμφυῆ ἀλλ' ὡς ἔξωθεν αὐτοῖς ἐπίκτητα, εἰς τὸ ἔχειν ἂν καὶ πᾶσα ἡ τοιαύτη τάττοιτο σύνταξις. ἀπορήσειεν ἄν τις ἐπὶ τοῖς εἰρημένοις· εἰ γὰρ ἔχειν ἐστίν, ὥσπερ εἴρηται, τοῦτο δὴ τὸ ἅπαν σωματικὸν καὶ ἐπίκτητον. πῶς τὰς προβαλλομένας ὑπὸ τῆς ψυχῆς ζωὰς καὶ τὰς ἀπὸ τοῦ σώματος ἐνδιδομένας δυνάμεις αὐτῇ ἔχειν τὴν ψυχὴν ἐλέγετο. εἴπερ εἰσὶ σώματα τὰ ἐχόμενα καὶ περὶ σώματα τὰ ἔχοντα κατὰ τὴν τοῦ ἔχειν κατηγορίαν: πῶς δὲ καὶ ὑπὸ τῆς ὅλης φύσεως ἔχεσθαι τὰ ὑπ' αὐτῆς γινόμενα: οὐ γὰρ ταὐτὸν ἦν τὸ ἔχειν κατ' αἰτίαν καὶ τὸ ἔχειν κατὰ τὸ τοῦ ἔχειν γένος. ἔτι δὲ μᾶλλον ἀπορῶ, πῶς τὸν ὅλον κόσμον τὸν κατὰ τὰς ζωὰς πάσας νοούμενον καὶ τὰ στοιχεῖα καὶ τὰς φύσεις, εἴτε σύμφυτα εἴη ταῦτα, μετέχειν αὐτῶν, εἴτ' ἐπίκτητα, περικρατεῖν αὐτῶν * * πρῶτον εἰ σώματα τὰ ἐχόμενα, πῶς συνέξονται αἱ ζωαὶ οὖσαι ἀσώματοι: ἔπειτα εἰ μὲν συμφυῆ ἢ μέρη ὁπωσοῦν τοῦ παντός, οὐκ ἂν εἴη ἐχόμενα· εἰ δὲ γεννήματα, ἄλλον ἄν τις τὸν τῆς συνοχῆς εἴποι τρόπον. καὶ τὰ ἐν τῇ γῇ δὲ καὶ τὰ ἐν τοῖς ἄλλοις στοι-

---

2 καὶ (ante ταῦτα) om. M 3 οἷα scripsi: οἶα libri γὰρ καὶ τὰ M 4 καὶ om. M ἀπογενόμενα M κατὰ] καὶ τὰ M μετ' οὐσιῶν L¹: μετ' οὐσίαν corr. L 8. 9 ἀποδεῖ — μεριστῆς — μεριστὰ] sic libri et Simpl.: legendum est ἀπᾴδει — μερικῆς — μερικά 10 ἐν αὐτῷ M 13 αὐτῆς L¹ 14 ἑκατεταγμένως L 16 ὅλως L¹ 17 γένησις L 18 μεταβολήν Simpl.: καταβολήν libri 19 δαιμόνιαι M 22 καὶ οὕτως — κόσμου (23) om. M 28 παρὰ M 29 προσηγορίαν M ἀπ' αὐτῆς M 32 κινούμενον M 33 addendum est ἐλέγετο: φησὶν Simpl. τὰ om. M 36 εἴπη L

χείοις ζῶα, εἴτε μέρη θεωροῖτο τῆς ὅλης γῆς, εἴτε ὡς γεννήματα, οὐκ ἂν ἔχεσθαι λέγοιτο ὑπ' αὐτῆς. πῶς δὲ καὶ ὁ οὐρανὸς τὰς ἐν αὐτῷ σφαίρας ἔχει, εἰ μὴ ὡς μέρη; συμφυεῖς γὰρ αὗται καὶ οὐκ ἐπίκτητοι. πῶς δὲ τὸ κοινὸν ζῶον μικρότερα ζῶα ἐν ἑαυτῷ περιείληφεν, εἰ μὴ ὡς μέρη ἢ ὡς γεννή-
5 ματα; ταῦτα μὲν οὖν ἄν τις ἐπιστήσοι καὶ ἄλλα προχείρως· δυνατὸν δ' οἶμαι λέγειν, ὡς ἐπίκτητον μὲν εἶναι δεῖ καὶ τῆς οὐσίας κεχωρισμένον τὸ ἐχόμενον, οὐ πάντως δὲ σῶμα ἀλλὰ σωματοειδές. καὶ γὰρ καὶ Ἀρχύτας οὐ σῶμα εἶπεν ἀλλὰ σωματοειδές, διότι τοῦτό ἐστι τὸ ἐπίκτητον καὶ κεχωρισμένον· τὰ γὰρ ἀσώματα τελέως συμφύεται. καὶ ἡ ζωὴ οὖν ἡ σωματοειδής, κεχωρισμένη
10 τῆς ψυχικῆς οὐσίας καὶ ἐπίκτητος αὐτῇ γενομένη οὕτως ὡς μὴ ἀλλοιοῦν αὐτὴν μηδὲ ἕν τι σὺν αὐτῇ ποιεῖν, ἔχεσθαι ἂν ὑπ' αὐτῆς λέγοιτο· ᾗ μέντοι ἀλλοιωτική τίς ἐστιν ἡ ζωὴ καὶ ᾗ ποιητικὴ τῆς ὅλης οὐσίας, οὐκ ἂν ἔχεσθαι λέγοιτο. τὰ δὲ μέρη τῶν ὅλων καὶ τὰ γεννήματα οὐκ ἂν ἔχοιτο· ὡς δὲ ἐπίκτητα καὶ κεχωρισμένα καὶ προσηρτημένα τῷ ὅλῳ ἔχεσθαι ἂν λέγοιτο καὶ αὐτὰ δικαίως.
15 οὔτε γὰρ τὰ μέρη ἐκείνων οὕτως ἀτόμως συμπέφυκεν ὡς ἐφ' ἡμῶν οὔτε τὰ γεννήματα οὕτως ἀπέσπασται, ὥσπερ δὴ τὰ ἡμέτερα. ἀλλὰ ταῦτα μὲν ζητητέον ἐπὶ πλέον καὶ διαπορητέον.

---

4 μικρότερον M 6 καὶ τῆς οὐσίας ex Simplicio scripsi: τῆς οὐσίας καὶ L: καὶ om. M 8 καὶ om. M 10 αὐτῇ Simpl.: αὕτη libri αὐτὴν Simpl.: αὐτῇ libri 11. 12 ᾗ—ᾗ scripsi: ἡ—ἡ L: εἰ—ἡ M: εἰ—οὐ Simpl. 13 καὶ (post ἐπίκτητα) om. M 14 αὐτὰ Simpl.: αὐτὸς libri 15 τὰ (ante μέρη) om. M

I N D I C E S

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis

Ἀγωγή 63,19 ἀγωγὴν ποιεῖσθαι 31,24
ἀγώνιος 48,19
ἀδιάδοχος 63,17
ἀδιαιρέτως 27,34
ἀδιαλείπτως 71,20
ἀδιάστατος 9,22 27,30 coni. ἀμέριστος 9,8
ἀδιαφόρως 28,28
ἀδύναμος 43,31 45,5
ἀεικίνητος 61,31
ἀίδιος. σωματικαὶ μὲν ἀίδιοι δὲ οὐσίαι 19,7 λόγοι ἀίδιοι 40,9
αἰσθητικός 20,25 αἰσθητικὴ ζωή 64,19 αἰσθητικαὶ ἐνέργειαι 60,20
αἰσθητός opp. νοητός 9,29. 30 αἰσθητὴ οὐσία 19,12. 19. 25 coni. μερική 20,12 αἱ αἰσθηταὶ ποιότητες 19,7 — τὸ αἰσθητὸν εἰ πρότερον τῆς αἰσθήσεως 35,33 sqq.
αἰτία. αἴτιον 10,7 61,10. 14 ἀκίνητον αἴτιον 36,26 αἰτία πρώτη τοῦ παντός 70,7. 8 αἰτία πρωτουργός 39,16 ποιητικὴ αἰτία (αἴτιον) 61,16 63,27
αἰτιατός 10,7
αἰτιολογεῖν 61,35
αἴτιος v. s. αἰτία
αἰών 53,21 55,7 57,6
ἀκατάτακτος 8,22
ἀκάτιον 33,12
ἀκίνητον αἴτιον 36,26
ἀκρατήτως 40,15
ἀλληλουχεῖν. ἀλληλουχούμενος 28,5
ἀλληλουχία coni. συνέχεια 22,14 coni. ἕνωσις 28,2
ἀλλοίωσις 39,1
ἀλλοιωτικός 72,11
ἀλλοτριοῦν 16,36
ἄλογος 16,21 23,29 61,20 64,23 68,27 αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις 62,7
ἅμα. τὰ πρός τι ἅμα τῇ φύσει ἐστίν 35,15 sqq.
ἀμέρεια 57,11
ἀμέσως 40,17
ἀμετάβατος 20,25
ἀμετάβλητος οὐσία 19,6. 13 ἕξις 47,24
ἀμοιρεῖν 71,1
ἀμύδρωσις 26,9
ἀμυντήριον opp. φύλαγμα 69,22. 23
ἀμφιάζειν 69,13
ἀνάγειν ἕν τινι 10,26. 28 εἴς τι 10,17 49,30 ὑπό τι 11,12
ἀναγωγὴ εἴς τι 10,16. 34 ἀναγωγὴν ἕν τινι ἔχειν 11,19
ἀναιρετικός 36,32
ἀναίσθητος 20,25 61,21 62,15
ἀναίτιος 59,29 τὸ ἀναίτιον 39,29
ἀναλογία 63,34. 37 67,14 κατ' ἀναλογίαν 10,5 ὁμώνυμα κατ' ἀναλογίαν 2,1
ἀναλογιστικός. τὸ ἀναλογιστικόν 4,14
ἀνάλυσις 27,24
ἀναμφισβήτητος 15,31 42,25 ἀναμφισβητήτως 52,7
ἀναντίθετος 23,21
ἀνάπλασμα φαντασίας 35,26
ἀναπλοῦν opp. συνάγειν 49,26
ἀναφορὰ ἐπὶ τὸ γένος 30,23. 24 32,2. 3
ἀνελλιπής. τὸ ἀνελλιπές 7,17
ἄνεσις opp. ἐπίτασις 32,22
ἀνθρωπότης 40,5 50,33
ἄνισος. τὸ (ἴσον τε καὶ) ἄνισον 26,18 sqq.

ἀνιχνεύειν 29,30
ἀνομοιογενής. τὰ ἀνομοιογενῆ 24,30
ἀνομοιοειδής 26,36
ἀνόμοιος. τὸ (ὅμοιον καὶ) ἀνόμοιον κατὰ τὸ ποιὸν λέγεται 27,1 cf. 52,18 sq.
ἀντακολουθεῖν 34,23
ἀντακολούθησις 32,28
ἀντεξέτασις. ἡ εἰς βάθος ἀντεξέτασις καὶ διαίρεσις opp. ἡ κατὰ πλάτος παραβολὴ καὶ παράθεσις 13,13 sqq.
ἀντιδιαιρεῖν 8,2 12,2 τὰ τῇ οὐσίᾳ ἀντιδιῃρημένα ἐννέα γένη 12,14 αἱ ἀντιδιῃρημέναι τῶν οὐσιῶν 16,20
ἀντιδρᾶν 62,24
ἀντίθεσις 7,17
ἀντικατηγορεῖν. τὰ ἀντικατηγορούμενα 32, 30
ἀντικεῖσθαι. τὰ ἀντικείμενα 36,28 sqq.
ἀντιληπτικός 32,8
ἀντιμετρεῖν 54,6
ἀντιπάσχειν 62,24
ἀντιστρέφειν 9,10 sq. 13,4 32,25 sqq. 33, 3. 8. 13. 21 34,15. 18 sqq. 56,24
ἀντιστροφή 33,2 38,19 τριττὴ ἡ ἀντιστροφή 32,26
ἀντίτυπος 48,25 62,20
ἀντίφασις 36,29 ἡ κατ' ἀντίφασιν ἀντίθεσις καὶ διαίρεσις 7,17
ἀνύπαρκτος 51,3
ἀνυποδετεῖν 10,36
ἀνυπόστατος 29,10 39,6 54,19. 20
ἄνω (καὶ κάτω) τὸ πρὸς τὸ πᾶν dist. πρὸς ἡμᾶς 25,12 sqq.
ἀνωμαλία 50,12
ἀοριστία 42,16
ἀόριστος 40,30 τὸ ἀόριστον 26,14 coni. ἀτελές 40,29 τὸ ἀόριστον ποσόν 24,27 sq. — ἀορίστως εἰδέναι, λέγειν 38,9 56,17
ἀπαγής 42,17
ἀπαθῶς coni. φιλοσόφως 29,38
ἀπαρακολούθητος 64,30
ἀπαρίθμησις dist. διαίρεσις 9,2
ἀπαρτίζειν 19,22
ἀπερημοῦν 27,19
ἀπλανὴς σφαῖρα 66,36
ἁπλοῦς. ἁπλᾶ (opp. σύνθετα) τῇ προφορᾷ, τῇ σημασίᾳ 5,3 sqq.
ἀποβλαστάνειν 42,14
ἀποδιδόναι 33,4 sqq. 34,1 sqq.
ἀπόδοσις 31,14 sqq. 33,14. 36 δύο οἱ τρόποι τῆς ὀρθῆς ἀποδόσεως 33,23
ἄποιος 45,5 ἡ ἄποιος ὕλη 6,19 τὸ ἄποιον διαστατόν 20,35. 36
ἀπόλυτος 68,26 (ποίησις) 62,26 ἐνέργεια 68,24 ἀπόλυτον πάθημα, ἐνέργημα 64,6 — ἀπολύτως 26,13
ἀπονεύειν πρός τι 34,28. 34 53,10
ἀποπερατοῦν 49,31 67,16
ἀποπεράτωσις 48,24. 32
ἀποπλήρωσις (i. q. τελείωσις) 44,18
ἀποστατεῖν 7,6
ἀποτέλεσμα 35,4 60,12 61,13 62,9 63, 21 65,28
ἄπους 8,8
ἀπόφασις 8,34 10,26. 34 11,1 sq. 27,4 ἀπόφασις οὐκ ἐναντίον 16,23
ἀπροσδεής 57,5
ἀραιός 45,24
ἀρετὴ ἀτελής, τελεία 41,26 sqq.
ἄρθρον 10,24. 27
ἀριθμητική 28,14
ἀριθμὸς ποσὸν διωρισμένον 20,37 ἀριθμοὶ τρίγωνοι, τετράγωνοι 50,34
ἁρμονία 29,6 54,30 sq.
ἀρρενικῶς 2,34
ἀρρεπής 22,32
ἀρτηρία 21,12
ἄρτιος. τὸ ἄρτιον 23,28
ἀρχηγικός 39,25 42,15 59,3 65,9 66,24 68,12 ἀρχηγικώτερον 55,30
ἀστρονομεῖν 61,32
ἀστρονομία 28,13
ἀσύζυγος 59,28
ἀσύμμετρος 42,30
ἀσύμπλοκος. διττὸν τὸ ἀσύμπλοκον 11,5
ἀσύνακτος 17,7
ἀσύστατος 7,14
ἄσχετος 9,7. 21. 22 45,7 ἄσχετος σχέσις 35,10
ἀσώματος 9,12 16,21 22,14. 33 31,13 39,10 40,6 57,28 58,27. 33 67,6. 13 71,34 72,9 τὰ μετὰ τὰ νοητὰ ἀσώματα 29,14 τὸ ἀσώματον οὐκ ἔστιν ἐναντίον τῷ σώματι 23,21 cf. 16,20 sqq.
ἄτομος 15,32 ἄτομος οὐσία 16,9 37,19 τὰ ἄτομα 15,8 sqq. αἱ ἄτομοι 39,20 — ἀτόμως συμπεφυκέναι 72,15
ἄτρεπτος 10,4 61,23
αὐλητική 62,11
αὔλος. τὰ αὔλα εἴδη 24,35 28,9 αὔλοι ἐνέργειαι 61,22. 23
αὐτοκίνητος 55,13

αὐτοκρατής 67,2
*αὐτοπέρας. αὐτοπέρατα 67,32
αὐτοτελής 70,37
ἀφαίρεσις. ἐξ ἀφαιρέσεως 35,25
ἀφή 46,21 dist. ἕνωσις 7,3
ἀφιλόσοφος 29,9
ἀφορισμός 16,3
ἀφυής 43,30
ἀφωρισμένως εἰδέναι 38,6. 8. 13. 15 sq.
ἄψυχος 61,21 62,16. 17 68,1. 26

Βάθος. κατὰ βάθος 7,16 διὰ βάθους χωρεῖν 50,30 ἡ εἰς βάθος ἀντεξέτασις καὶ διαίρεσις 13,13
βαρύς. περὶ τοῦ βαρέος 49,18 sqq.
βίᾳ opp. ὑπὸ φύσεως 19,19
βούλησις coni. προαίρεσις 68,28
βραβεῖον 56,28

Γενεσιουργός 55,17 63,20
γενικός 5,29 13,11 γενικὴ πτῶσις 2,34 31,15. 19 sqq. 33,2
γέννημα 71,35 72,1. 4. 13. 16
γεννητικός 62,28
γεῦσις 46,20
γεωμετρεῖν 61,28
γεωμετρία 28,13 29,9
γνώρισμα 63,28
γνῶσις dist. εἴδησις, ἐπιστήμη 32,4 sq.
γόνιμος. τὸ γόνιμον 45,6
γραμμή 20,37 21,17. 18. 20 22,32 27,26. 28 54,27. 29. 32 sqq. 67,1 68,9
γραφή 2,31
γυμνάσιον 2,9
γωνιοῦν. γεγωνιῶσθαι 48,19

Δαιμόνιος 71,19. 21
δεικτικός 56,16
δεῖξις. δεῖξει ὑποκεῖσθαι 15,27
δέκα ὁ ἐν ἀριθμοῖς ἐντελής 5,18
δεκτικός 6,19 8,13 15,30 18,4. 6. 9. 20 19,1. 5. 17. 35 21,22 τὸ δεκτικόν 6,32 19,16 51,15 63,22. 25 68,38
δεξιός. τὸ δεξιόν (καὶ ἀριστερόν) τὸ ἐν τοῖς τοῦ ζώου μέρεσι opp. τὸ κατὰ στάσιν 31,8. 10
δευσοποιῶς coni. μονίμως 47,28
δεύτερος. δεύτεραι οὐσίαι 14,2. 9 15,33
δημιουργικός 61,36 δημιουργικὴ τῶν ὄντων αἰτία 20,19. 20
δημιουργός 62,34
διαγώνιος 7,18 — διαγωνίως ibid. 16
διάθεσις. περὶ (ἕξεως καὶ) διαθέσεως 41, 14 sqq. ψυχικαὶ διαθέσεις 51,14 — μέση διάθεσις 11,11
διαίρεσις. αἱ εἰς δέκα διαιρέσεις τῶν γενῶν 9,1 sqq. 19 sqq.
διαιτᾶν 25,7
διακόσμησις 63,31
διακριτικὸν χρῶμα 50,35
διάμετρος 25,21
διαμονή 69,37
διανόημα 4,34
διανοητὴ οὐσία (coni. καθόλου) 20,12
διάνοια 66,6 ἡ καθαρὰ διάνοια 61,30 ὁμώνυμα ἀπὸ διανοίας (opp. ἀπὸ τύχης) 1,26 2,13
διανομή 11,15
διαπορία 49,25 53,1
διάστασις 9,22 27,25. 30 67,16 coni. μερισμός 27,3 ἡ εἰς δύο διάστασις 23,18 ἡ εἰς πλῆθος 8,18 — διττὴ ἡ διάστασις 25,18
διαστατός 58,15 τριχῇ διαστατός 21, 23 23,20 τὸ ἄποιον διαστατόν 20,35. 36
διάστημα 55,12. 26. 31 sq. 58,5. 6 67,28
διαστηματικὴ διάστασις (opp. εἰδητική) 25, 19 τὸ διαστηματικόν ibid. 25
διαφορά 7,30 sqq. 14,16. 19. 22. 28 19,32 διαφοραί coni. ποιότητες 16,28 διαφοραὶ εἰδοποιοί 8,1 οὐσιώδεις 51,10. 12 sq. μονοειδεῖς ibid. 12
διασχίζειν opp. συγχεῖν 9,34
διάσχισις 29,26
διεξοδικῶς 8,25 διεξοδικώτερον 41,6
διέξοδος. διέξοδοι coni. μεταβάσεις 55,19 κατὰ διέξοδον 61,30
διίστασθαι διχῇ 25,8
διπλῆ 10,29
δισύλλαβος 7,26
δόξα οὐ δεκτικὴ τῶν ἐναντίων 18,13 sqq.
δοξάζειν 18,17. 18. 34
δοτική (πτῶσις) 31,18 sq. 33,3
δραστήριος δύναμις 61,3. 4 62,20 ἐνέργεια 64,4
δραστικός 57,24 60,26 62,24 δραστικαί (opp. παθητική) ἀρχή 60,31 δύναμις 67, 11

δύναμις opp. λέξις 11,5. 9 — δύναμις πολλαχῶς λεγομένη 43,22 sqq. περὶ δυνάμεως φυσικῆς καὶ ἀδυναμίας 43,12 sqq. δύναμις πῶς προηγεῖται ἐνεργείας 44,5 sqq. τί αἴτιον τῆς τῶν δυνάμεων ὑποστάσεως 45, 10 sqq. αἱ δαιμόνιοι, αἱ θεῖαι δυνάμεις 71, 19 — τὸ δυνάμει 11,19 36,12 περὶ τοῦ δύναμει 44,15 sqq. — ἐν δυνάμει opp. ἐν στάσει 66,21
δυσάερος 50,37
δυσαπάλλακτος 47,6
δυσαπόβλητος 50,25
δυσδιαίρετος 45,30
δυσκίνητα πάθη 46,30 47,3 τὸ δυσκίνητον 47,22
δύσμορφος 48,21

Ἐγγράμματος 50,9
ἐγκατασπείρειν 7,7
ἔγκλισις. αἱ ῥηματικαὶ ἐγκλίσεις 10,24. 25. 32 ἔγκλισις ὁριστική 10,25. 33
ἐγκύκλιοι περιφοραί 55,24
ἔγχρονος 62,30 66,20
ἑδράζειν. ὕπαρξις πρὸς ἕτερον ἥδρασται opp. καθ' ἑαυτὴν ἕσταται 15,25
ἐθνικὰ ὀνόματα 3,25
εἴδησις dist. γνῶσις, ἐπιστήμη 32,4 sqq.
εἰδητικός 57,26 35 εἰδητικὴ διάστασις opp. διαστηματική 25,18
εἰδοποιεῖν 40,19 49,1 53,17
εἰδοποιός 8,1 62,28
εἶδος 7,29 sqq. 8,1 sqq. 58,23 67,2 τὰ οὐσιώδη εἴδη 48,20 — εἶδος opp. ἔργον 65,27. 28
εἱρμὸς τῆς θεωρίας 45,22
εἷς. τὸ ἕν 11,20. 23 ἓν ὅλον τί λέγεται 27, 17 ἀφ' ἑνὸς καὶ πρὸς ἕν 2,11 9,31
εἰσαγωγή 39,3 55,36
ἐκβαίνειν. ἐκβεβηκυῖα ἑτερότης 16,35
ἔκλειψις (σελήνης) 36,20. 21
ἔκστασις coni. τροπή 70,20 ἔκστασις μανική 47,4 50,28 ἐκστάσεις 47,6
ἔκτασις 45,8
ἐκτός. τὰ ἐκτά 39,7. 23. 32 40,6
ἐλάττωσις 26,8
ἔλλαμψις 48,31
ἔλλειψις opp. ὑπεροχή 28,22
ἐλλιπής 10,14
ἐλλόγιμον 44,22
ἐλπίς. τὰ κατ' ἐλπίδα καὶ μνήμην λεγόμενα (τῶν ὁμωνύμων) 2,13
ἔμβρυον 44,8. 11
ἔμφασις coni. ὑποδοχή 17,34
ἐναντίος. ἐναντία def. 25,6. 7 οὐδὲν ἐναντίον ταῖς οὐσίαις 16,13 sqq. οὐδὲ τῷ ποσῷ 23, 13 sqq. ἐναντίων δεκτικὴ ἡ οὐσία 18,3 sqq. τἀναντία οὐδὲν ἅμα ἐπιδέχεται 24,17 τὸ κεῖσθαι τὰ ἐναντία ἐπιδέχεται 67,33
ἐναντιότης 19,8 25,3 ὑπάρχει ἐν τοῖς πρός τι 32,1 sqq. ὑπάρχει κατὰ τὸ ποιόν 51,24 sqq. ἐναντιότητα ἐπιδέχεται τὸ ποιεῖν καὶ πάσχειν 65,10 sqq.
ἐναντίωσις 16,29 17,2. 11 ἐναντίωσιν ἐπιδέχεται τὸ ποῦ καὶ τὸ ποτέ 56,30 sqq. οὐκ ἔχει τὸ πάσχειν πρὸς τὸ ποιεῖν 63,13
ἐνάρετος 50,8
ἔνδειξις 20,29
ἐνδιάθετος λόγος 18,16
ἐνδιδόναι τινί τι. τὸ εἶναι 38,32 δυνάμεις 71,27 μετουσίαν τοῦ πάθους 64,1. 2 ἐνδιδόναι τι εἴς τι 71,17
ἐνέργεια 59,12 60,8. 11 sqq. 62,18. 37 63, 15. 17. 37 ἡ δραστήριος ἐνέργεια 64,4 νοεραί, αἰσθητικαὶ ἐνέργειαι 60,20 αἱ ἔμφυτοι τῶν στοιχείων ἐνέργειαι 62,21 τὸ ἐνεργείᾳ 11,19 sqq. 36,12
ἐνέργημα 62,10 63,17
ἑνικῶς 27,6 28,33
ἐνίστασθαι 18,12 49,10
ἔννοια 4,11
ἐνοειδής 59,13
ἑνοποιεῖν 27,36
ἑνοῦν 57,4 59,12
ἕνωσις 14,24 70,12 def. 27,21 ἕνωσις dist. ἁφή 7,3 coni. ἀλληλουχία 28,2
ἑνωτικός 62,28
ἐξαπλοῦν 7,7
ἕξις 39,33 ἕξις θεωρητική 12,18 περὶ ἕξεως καὶ διαθέσεως 41,14 sqq.
ἐξορίζειν 53,28
ἐξυμνεῖν 7,17
ἐξωτερικοὶ λόγοι 20,4
ἐπακολούθησις 58,15. 16
ἐπαναβαίνειν 32,7
ἐπείσακτος opp. οὐσιώδης 6, 33
ἐπεισοδιώδης 29,19. 25
ἐπίβλεψις βαθυτέρα 42,4
ἐπιβολή. ἁπλαῖ ἐπιβολαί 61,29 κατ' ἐπιβολὰς πλείονας 30,17. 18 66,11 αἱ νοερώτεραι ἐπιβολαί 44,12

ἐπιγέννημα 48,4
ἐπιγραφή 28,28
ἐπιδεκτικός 19,8. 10. 14 32,21
ἐπιδιατείνειν 58,29
ἐπίκτητος 19,15. 23 41,32 49,13 63,22 68,13. 15 opp. συμφυής, σύμφυτος 69,17 70,14. 15. 17. 20 71,2. 4. 24. 26 72,3. 6 sqq.
ἐπίπεδον 21,19
ἐπιπλοκή 9,25
ἐπιστήμη dist. εἴδησις, γνῶσις 32,4 sqq. διττὴ ἡ ἐπιστήμη 41,26 sqq.
ἐπιστημονικὴ ἐπίσκεψις 20,11 κατ' ἐπιστημονικὴν ἔφοδον 8,38
ἐπιστητός. τὸ ἐπιστητὸν εἰ πρότερον τῆς ἐπιστήμης 35,20 sqq.
ἐπιστροφή i. q. ἀντιστροφή 31,15. 19
ἐπισυμβαίνειν 58,16
ἐπισύμβαμα 48,3
ἐπίτασις 42,13.30 opp. ἄνεσις 32,23
ἐπιτροπεύειν 61,25
ἐπιφάνεια 21,18. 20 27,26 sq. 57,28. 32 67,1. 26 68,9
ἐπουσιώδης opp. εἰδοποιός 66,12
ἔργον τί ἐστι 65,27
ἔρευθος 48,6
ἐρυθριᾶν 46,37
ἐρυθρίας 46,38
ἕτερος. ἕτερα def. 1,14. 15
ἑτεροφυής 61,8 68,17
ἑτερώνυμος 1,2 sqq. 4,19 ἑτερώνυμα def. 1,11 sqq.
ἐτυμολογικῶς 4,18 opp. πραγματικῶς 39,33
εὐάερος 50,36
εὐαπόβλητος 41,33 50,25
εὐδιαίρετος 45,31
εὐθεῖα (πτῶσις) 2,34
εὐθετίζειν 57,11 62,6 67,4
εὐθετισμός 67,28
εὔθετος 51,2
εὐμετάβολος 41,20 47,22
εὔμορφος 48,21
*εὐπερίβλητος 51,2
εὐρύνειν 21,11
εὐσύνοπτος 8,24
εὐωδία 7,5
ἐφαπλοῦν 67,36
ἐχέγγυος 42,25
ἔχειν. περὶ τοῦ ἔχειν 68,11 sqq. ἔχειν τί ἐστι 69,16 dist. κεκτῆσθαι 68,22 sq. τὸ ἔχειν ἐστὶ τῶν πλεοναχῶς λεγομένων 68,28 sqq. διαίρεσις τῶν (κυρίως) ἐχομένων 69,20 sqq.

Ζωή λογική, αἰσθητική 64,19 σωματοειδής 72,9 ζωαί 70,19. 22. 25. 34 71,26. 31. 34 ἐπίκτητοι ζωαί 70,17
ζωόφυτον 14,26 20,26
ζωτικός 57,33. 34 58,22

Ἠθικός 62,8
ἥλιος 19,8 34,20. 25 62,33
ἠρεμία 54,17

Θεῖος. ἡ θεία οὐσία 59,12 θεῖαι δυνάμεις 71,19 λήξεις ibid. 21 ὁ θεῖος τόπος 59,16
θεὸς τόπος τῶν ὄντων 67,10
θέσις 20,32 sq. 21,31 sq. 22,3 sqq. 49,10. 17 65,33 66,3 sqq. 15. 17. 30 67,1. 5 sqq. dist. τάξις 22,6. 9 τὸ μέλλον ἕξειν θέσιν τριῶν δεῖται 22,12
θεωρεῖν τί ἐστι 61,22 διαίρεσις τοῦ θεωρεῖν ibid. 25 sqq.
θεώρημα 39,3 67,18
θεωρητικός 32,7 61,26 θεωρητικὴ ἕξις 12,18 — θεωρητικῶς 8,25
θηλυκῶς 2,34

Ἴασις 2,7
ἰατρικός 2,5 sqq. ἰατρική ibid.
ἰδέα. ἰδέαι 14,34 16,8 39,34
ἰδικός. ἰδικώτερον opp. κοινότερον 41,29
ἴδιος. τὰ ἴδια ὀνόματα 10,20
ἵδρυσις. ἱδρύσεις ἐν ἀλλήλοις (τῶν νοητῶν) 10,6. 7
ἰοῦσθαι 61,8
*ἱπποκενταυρότης 51,3
ἴσος. τὸ ἴσον def. 26,27 μάλιστα ἴδιον τοῦ ποσοῦ 26,18
ἰσόστοιχος 51,22
ἰσχνός. τὸ ἰσχνόν 49,22 sqq.

Καθαροὶ λόγοι 24,36
καθαρότης ἡ τῶν εἰδῶν 42,10. 35
καθολικός 7,36 13,10
καθόλου 5,24 37,14. 17. 21 sqq.

καθομιλεῖν. τὰ καθωμιλημένα 5,22
κακωτικός 50,22. 27. 30
καρκίνος 33,20
κασσίτερος 60,32
κατάληψις 19,34
καταλλήλως 37,18 15,31 70,8
κατάστασις 47,13
κατάφασις 8,34 10,35. 37 sq.
καταφατικὴ δύναμις 16,23
κατηγόρημα 39,9. 13. 15 sqq. 40,20
κατηγορία 5,14 8,5 9,5 10,19. 28. 35 sq. 11,16 15,5. 17 28,29 30,26 52,36 56, 6. 7 all.
κάτω def. 25,4 κάτω (ἄνω) πρὸς τὸ πᾶν opp. πρὸς ἡμᾶς 25,11 sqq.
κεῖσθαι. περὶ τοῦ κεῖσθαι 65,31 sqq.
κενός. τὸ κενόν Democriti 39,28
κένωμα 45,26
κεφάλαιον 58,21
κεφαλαιώδης 5,17 34,23
κεφαλωτός 33,18 38,20
κίνημα 63,10
κίνησις 11,18 sqq. 22,31 23,3 28,14 29, 24 66,2. 18 ἡ οὐσιώδης τῆς ψυχῆς κίνησις 55,15 διὰ τί οὐ γένος ἐν κατηγορίαις ἠρίθμηται 60,16 sqq.
κίσσηρις 49,14
κίων 39,14
κλίμα 11,14
κοινός. τὰ κοινὰ ὄνοματα 10,20
κοινότης 10,2 11,31 33,32 39,5
κόλλα 10,31
κόραξ 3,10
κορωνίς 10,30
κόσμος 35,3 70,34. 36 71,14. 16. 20 sqq.
κοσμωτός 35,3
κοῦφος. περὶ τοῦ (βαρέος καὶ) κούφου 49, 18 sqq.
κράτησις 68,25 70,5
κύβος 67,37
κυκλοφορία 54,10. 11
κυκλοφορικός 22,29
κυριολεκτεῖν 26,31
κύριον ὄνομα 3,19. 21. 24 10.20

Λεῖος. περὶ τοῦ λείου 49,5
λέξις 5,11 11,5 56,9 dist. λόγος 10,32
λῆξις (ψυχῆς) 70,26 λήξεις δαιμόνιαι ἢ θεῖαι 71.21

λογικός 58,23 64,19. 22 τὸ λογικόν opp. τὸ ἄλογον 16,21 23,28 62,7 τὰ λογικά (ζῶα) 61,20 ἡ λογικὴ πραγματεία 59,24 — λογικῶς ποιεῖν 61,21
λογικότης 17,29
λόγος *oratio* 10,18. 27. 31 λόγος ποσὸν διωρισμένον 20,37 cf. 21,7 sqq. dist. λέξις 10,32 — λόγος *enuntiatio* τέλειος, ἐντελής 5,11 11,9 οὐ δεκτικὸς τῶν ἐναντίων 18, 23 λόγος ἐνδιάθετος 18,16 — λόγος (λ. ὁριστικός, λ. τῆς οὐσίας) 1,6. 20 3,3. 5 12, 8 sqq. 14,9. 10 — λόγος (λόγοι) τῆς ποιότητος 38,33 40,9. 14. 32 λόγος σχέσεως 29,1 λόγοι (τῆς φύσεως) 63,30. 31 λόγοι οἱ ἐν τῇ ψυχῇ 55,16 70,25. 30 — λόγος coni. νοῦς 16,26

Μαθηματικός 28,12 μ. οὐσίαι 61,28 μ. ἐπιφάνειαι, σώματα 57,32
μαλακός. μαλακόν def. 43,20. 21 περὶ τοῦ μαλακοῦ (καὶ σκληροῦ) 45,22 sqq.
μᾶλλον. τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται ἡ οὐσία 17,12 sqq. οὐδὲ τὸ ποσόν 26,1 sqq. ἐπιδέχεται τὰ πρός τι 32,11 sqq. τὰ ποιά 51,35 sqq. τὸ ποῦ καὶ τὸ ποτέ 56,34 sqq. τὸ ποιεῖν καὶ τὸ πάσχειν 65, 10. 13 sqq. τὸ μᾶλλον καὶ ἧττον ἐν τῷ κεῖσθαι φαίνεται 68,3 sqq.
μανικός 47,4. 5 50,28
μανός. περὶ τοῦ μανοῦ 49,5 sqq.
μάνωσις 45,8. 24
μέγας. τὸ μέγα καὶ μικρὸν οὐ ποσὰ ἀλλὰ πρός τι 23,35 24,1 sqq.
μεγεθύνειν 63,4 65,18. 19
μεθεκτός. τὰ μεθεκτά 38,27
μέθεξις 10,6 14,36 45,21
μερικός 5,24. 36 6,4 7,25 10,11
μερισμός 10,11 27,3
μέρος. τὰ τοῦ λόγου μέρη 10,18. 27
μεσιτεύειν 14,28
μέσος. μέση διάθεσις 11,11
μετάβασις 10,6
μεταβατικός 20,26
μετάγειν (i. q. μεταφέρειν) 15,24
μετάπτωτος opp. ἀίδιος 40,12
μετάσχεσις 29,24
μεταφέρειν (ὄνομα) 2,18 15,21 μετενεκτέον 61,18
μεταφορά 2,17. 24 8,9 68,21

μετέχειν. μετέχεσθαι 39,19 40,2 45,19
μετουσία τοῦ εἴδους 44,23 τῶν λόγων 45, 13 sq.
μετοχή 10,23
μετρητός. ἅπαν ποσὸν μετρητόν 26,25 sq.
μέτρον. τὰ νοητὰ μέτρα 27,38 κατὰ μέτρα 44,24
μῆκος. κατὰ μῆκος *in obliquum* opp. κατὰ βάθος καὶ διαγωνίως 7,15. 16
μνήμη. τὰ κατὰ μνήμην λεγόμενα (τῶν ὁμωνύμων) 2,13
μοναδικός 8,14. 21
μονάς 11,18 sq. 27,13. 22 sqq.
μοναχῶς διεστηκέναι 23,16
μονή 28,14
μονοειδής 1,6 8,12 coni. οὐσιώδης 51,15 56,9 μονοειδῶς 60,13
μόνος. μόνον def. 27,19. 20
μόνωσις 27,21
μορφή 57,30 63,25 διττὴ ἡ μορφή 48, 19 sqq.
μουσική 28,15 29,10
μοχλεία 61,3

Ναστός 45,23. 24
ναστότης 39,21
νεύειν πρός τι 22,27
νοερός. τὸ νοερὸν εἶδος 44,26 νοεραὶ ἐνέργειαι 60,20 νοερὰ πέρατα 57,34 νοερώτερον 57,25 coni. περιεκτικώτερον 55,11
νοήσις 44,27 58,25 αἱ νοήσεις 67,9 ἁπλαῖ νοήσεις 61,27
νοητὴ οὐσία 19,6. 13 20,13 αἱ νοηταὶ ποιότητες 51,19 τὰ νοητὰ μέτρα 27,38 τὰ νοητά 29,14 35,24 67,6
νοῦς 14,33 sqq. 16,26 58,25 59,2. 11 67,8 ὁ ψυχικὸς νοῦς 63,34 dist. ὁ χωριστός 44, 25 ὁ δημιουργὸς νοῦς 62,34

Ὄγκος 26,34. 36 39,1 49,2. 3 57,10
ὁδὸς ἡ τῆς φύσεως 44,7
οἰκοδομική 62,10
οἰκονομικός. τὸ οἰκονομικόν 62,6
οἰστικός τινος 29,28
ὁμογενής 2,33 11,21 24,3. 30 sq. 27,20
ὅμοιος. τὸ ὅμοιον κατὰ τὸ ποιὸν λέγεται 27,1 cf. 52,18
ὁμοιότης. ὁμώνυμα καθ' ὁμοιότητα 1,26
ὁμοούσιος 29,4
ὁμόστοιχος 13,12 17,19
ὁμοταγής 17,19
ὁμοφυής 70,16. 17
ὁμωνυμεῖν 30,30
ὁμωνυμία 2,25 sq. 8,9
ὁμώνυμος 1,3. 19 sqq. 9,30 11,14 — ὁμωνύμως 11,23 50,10. 20 58,30 61,22. 25 68,17. 29
ὄνομα 1,6 sqq. 10,19 12,8 sqq. 15,15
ὀνοματοποιεῖν 33,9. 26 34,14
ὀργανικός 70,24
ὀργίλος 47,5
ὁριστικὸς λόγος 1,6 ὁριστικὴ ἔγκλισις 10, 25. 33 τὰ τρίτα τῶν ὁριστικῶν (ῥημάτων πρόσωπα) 10,22 τὸ ὁριστικόν coni. δραστικὸν καὶ ὑποδεκτικόν 57,24
ὁριστός 8,14
ὁρμή 68,30
ὅρος κοινός 21,1 sqq. ὅροι φυσικοί, ζωτικοί 57,33. 34
ὀρχηστική 62,11
ὄστρεον 33,19
οὐράνιος. τὰ οὐράνια 63,27 coni. θεῖα 62, 31
οὐρανός 19,9 20,22 28,14 66,15. 18 71, 11 72,2
οὐσία πρώτη 12,33. 38 13,17 15,36 37,3. 19. 29 def. 11,28 δευτέρα 12,3 sqq. 15, 33 37,3. 10. 13. 29 ἡ κατ' ἐνέργειαν, κατὰ δύναμιν 14,37 — ἡ θεία οὐσία 59,12 χωριστὴ καὶ ἀσώματος opp. ἀτελὴς καὶ σωματική 15,1 οὐσία νοητή coni. ἀμετάβλητος 19,6 νοηταί coni. ἀμέριστοι 61,26 οὐσία νοητή, διανοητή, αἰσθητή 11,30 sqq. 20,12. 13 οὐσίαι μαθηματικαί 61,28 αἰσθητὴ καὶ φυσική 53,12 ἡ κατὰ τὸ σύνθετον οὐσία 11,34 περὶ οὐσίας 11,28 sqq. οὐσίας κατὰ φύσιν καὶ ἐπιστήμην διαίρεσις 20,18 sqq. πότερον οὐδεμία οὐσία τῶν πρός τι ἢ τοῦτο ἐνδέχεται 37,1 sqq.
οὐσιοῦν. οὐσιῶσθαι ἕν τινι 19,15 34,34
οὐσιώδης 6,27 17,29 47,31 opp. ἐπίκτητος 49,12 τὰ οὐσιώδη εἴδη 48,20 οὐσιώδεις διαφοραί 51,10 sqq. οὐσιώδης ποιότης 34,22 49,17 διάστασις 48,24 τόπος 57, 26 κίνησις τῆς ψυχῆς 55,15 — οὐσιωδῶς 7,21 15,13. 22

Πάθημα 64,15. 19. 33 sqq. 65,3
πάθησις 65,9

παθητικός 60,26 62,24 63,27 παθητικὴ ἀρχή 60,31 παθητικαὶ ποιότητες τρίτον εἶδος ποιότητος 46,9 sqq. τὸ παθητικόν 63,33
πάθος. πάθη 46,9 sqq. dist. ποιότητες 46, 35. 36 cf. 47,8 πάθη δυσκίνητα 47, 3 coni. παραμόνιμα 46,30 τριττὸν τὸ πάθος 47,15 sqq.
παρακολούθημα 15,27 32,25 35,14 48,6
παρακτικὴ δύναμις 66,23
παράλληλος. ἐκ παραλλήλου 32,6
παράτασις ἡ τοῦ εἶναι 57,4. 7. 9 ἡ κατὰ κίνησιν παράτασις 67,29. 30
παραφύεσθαι 29,18
παρεγκλίνειν 27,11
παριστᾶν 23,26
παρομαρτεῖν 53,6
παρονομάζειν 3,31 4,2
παρονομασία 31,21
παρωνυμία 12,16
παρώνυμος. παρώνυμα def. 1,15 sqq. περὶ τῶν παρωνύμων 3,28 sqq. — παρωνύμως 30,14 49,34. 35 50,2 sqq.
πάσχειν. περὶ τοῦ ποιεῖν καὶ πάσχειν 59, 19 sqq. 63,11 sqq.
πατρωνυμικά 4,1
παχύς. περὶ τοῦ παχέος 49,22 sqq.
πεῖσις 65,29
πέρας 54,27 57,18. 28. 31. 34 58,1. 14 sq. 59,8. 10 sq. 63,9 sq. 65,26 67,1
περατοῦν 27,25 sq. 59,8 67,32
περιγραφή (σωμάτων) 48,23. 34
περιδράσσεσθαι 70,32
περιεκτικός 66,24 67,12 — περιεκτικώτερον 25,28 55,11
περικρατεῖν τι 71,2 τινός 71,33
περικράτησις 70,15
περιληπτικός 58,24 59,17
περίοδοι τῆς ψυχῆς καὶ τοῦ νοῦ 55,23. 24
περιοχή 28,30 58,3. 5 59,14. 15
περιττός. τὸ περιττὸν καὶ τὸ ἄρτιον οὐκ ἐναντία 23,28
πηδάλιον 2,21 33,10 sqq. 38,20
πηδαλιωτός. τὸ πηδαλιωτόν 33,15. 16
πλαγιάζειν 65,36
πλάτος. ἡ κατὰ πλάτος παραβολὴ καὶ παράθεσις opp. ἡ εἰς βάθος διαίρεσις 13,14. 15 ἐν πλάτει opp. κατὰ περιγραφήν 56,18
πληθύνειν 41,13
πληθυντικῶς 27,6
πληθυσμός coni. διάστασις 9,9
πληκτικός 62,22
πνεύμων *pulmo* 46,1 — οἱ ἐν θαλάττῃ πνεύμονες 33,19
ποιεῖν. περὶ τοῦ ποιεῖν καὶ πάσχειν 59, 19 sqq. διαίρεσις τοῦ ποιεῖν 61,19 sqq. ποιεῖν dist. θεωρεῖν, πράττειν 61,22 τὸ πέρας τοῦ ποιεῖν 63,9
ποίημα 64,15. 33 sqq. 65,3 ποίημα θεοῦ (ὁ ἄνθρωπος) 37,7
ποίησις 65,3. 9. 29 διπλῆ ἡ ποίησις 60, 11 sqq. αἱ πρῶται ποιήσεις 61,2
ποιητικός 63,31 — ποιητικὴ αἰτία (αἴτιον) 61,16 63,27 ποιητικαὶ ἐνέργειαι 65,1 τέχναι dist. πρακτικαί 62,8 sqq. τὸ ποιητικόν 63,33 64,34
ποικιλία. αἱ ποικιλίαι τῶν ὄντων 40,9
ποιότης 6,23. 25. 33 14,22 20,36 32,23 ποιότητες αἰσθηταί 19,7 οὐσιώδεις 34,22 49,17 παθητικαί 46, 9 sqq. 50, 26. 29 ποιητικαὶ καὶ παθητικαί 51,1 περὶ ποιότητος 38,25 sqq. διαίρεσις τῆς ποιότητος κατ' ἐπιστημονικὴν ὁδόν 50,17 sqq.
πολιτικός 62,5
πολλαπλασιάζειν 7,10
πολυειδής 4,26 31,14 70,16 πολυειδὴς διαίρεσις 64,21
πολυμερής 1,7
πολυσχιδής 30,17
πολύχους 28,11 50,32
πολυώνυμος def. 1,10 περὶ τῶν πολυωνύμων 4,3 sqq.
ποσός. περὶ τοῦ ποσοῦ 20,31 sqq. ποσὸν διωρισμένον, συνεχές 20,31. 36 sq. 27, 16 sqq. ποσὸν ὡρισμένον, ἀόριστον 24,26 ποσὰ κατὰ συμβεβηκός opp. προηγουμένως 22,34 sqq. ἅπαν ποσὸν μέτρον ἐστίν 22, 15
ποσοῦν 20,34. 35
ποτέ. περὶ τοῦ ποτέ 53,16 sqq.
ποῦ. περὶ τοῦ ποῦ καὶ τοῦ τόπου 55,37 sqq.
ποῦς homonymiae exemplum 2,22
πραγματικῶς opp. ἐτυμολογικῶς 39,32
πρακτικός dist. ποιητικός 62,8 sqq.
πρηνής 67,35
προβάλλειν ζωάς 70,19. 23 71,26
προβολὴ λόγων 55,16 τῶν φυομένων ibid. 19
προδιατάσσειν 55,34
προευκρινεῖν 5,25
προηγουμένως 20,9 22,34
προθέρμανσις 44,22

πρόθεσις 10,24 31,24
προκοπή 45,18. 19
πρόνοια 5,7 35,11
πρός τι. περὶ τοῦ πρός τι 28,17 sqq. ἡ τοῦ πρός τι τάξις ἀμφισβητήσιμος 28,17 ἡ πρός τι σχέσις εἰ ἐν ὑποστάσει ἐστίν 28,34 ἡ τῶν πρός τι διαίρεσις 30,17 sqq. 27 sqq. πρός τι καθ' αὑτό, κατὰ συμβεβηκός 31,3 sqq.
προσμαρτυρεῖν τινι 66,8
προσφυῶς 15,30
προσῳδία 2,31
πρόσωπον 5,5
πρότερος. πρότερον κατὰ τὸν τῆς γενέσεως λόγον opp. κατὰ τὸν τῆς οὐσίας 44,5
προφορά i. q. λέξις 5,3. 8. 12
πρωτοτύπως 48,7 67,23
πρωτουργός 70,6 πρωτουργὸς αἰτία 39,16
πτερόν 33,4 sqq. 34,8 38,21
πτερωτός 33,7 sqq. 34,11
πτῶσις 2,31. 35 3,28 32,37 34,36 πτώσεις ῥήματος 10,33 πτώσεις τοῦ ποσοῦ 27,4
πυκνός. περὶ τοῦ πυκνοῦ 49,5 sqq.
πύκνωσις 45,8. 24
πῦρ 19,10. 14. 17
πυρρός 51,27

Ῥέπειν εἰς γένεσιν 47,13
ῥῆμα 2,28 5,5
ῥηματικαὶ ἐγκλίσεις 10,24. 25
ῥοπή 22,22 sqq. 26,33 62,21
ῥυθμίζειν 40,13
ῥυτιδοῦν 7,11

Σελήνη 36,19 ὑπὸ σελήνην 63,26
σεμνύνειν 11,38
σημαντικός τινος 11,4 23,31
σημασία 4,14 5,8. 20 10,28 11,6. 14 50, 11 56,10. 13
σημεῖον 11,18 sq. 27,27 67,1 68,9
σήπεσθαι 61,8
σῆψις 47,15
σκληρός. σκληρόν def. 43,20
σκοπός libelli 4,22
σκορπισμός 67,4
σμιλίον 2,6
σπέρμα 44,8. 10
σπινθήρ 7,9
σπόγγος 49,14
στάσις 66,2. 17 ἐν στάσει opp. ἐν δυνάμει 66,21
στενοῦν 21,12
στέρησις 10,25. 35 27,8 36,29 64,17
στερητικὴ δύναμις (i. e. ἀδυναμία) 43,29 — στερητικῶς 27,8
στιγμή 21,18 27,13. 22 54,33 περὶ στιγμῆς 27,24
στοιχεῖον. τὰ στοιχεῖα 16,28 22,23 49,20 62,21 65,8 66,14. 17. 19 τὰ ὑλικὰ στοιχεῖα 63,26. 27 τὰ φυσικὰ στοιχεῖα 64,29 τὸ πέμπτον στοιχεῖον 22,29 — τὰ τοῦ λόγου στοιχεῖα 10,31
σύγκριμα 40,10
συγκριτικὸν χρῶμα 50,35 — συγκριτικά (ὀνόματα) 4,1
συγχεῖν opp. διασχίζειν 9,33
σύζευξις 7,18
συζυγία 7,15 53,10
σύζυγος 53,34 60,5
συλλαβή 54,30 συλλαβὴ βραχεῖα, μακρὰ διὰ τί λέγεται 21,11 sqq.
συλληπτικός 11,36
συμβεβηκός 5,23 6,26 14,22 sqq. 19,23 συμβεβηκότα τὰ μερικὰ καὶ ἄτομα 5,36 τὰ καθόλου 6,3 τὸ κοινῶς συμβεβηκός 6,12
σύμβολον 1,8
συμμετρία 42,16
σύμμετρος 29,9
συμπληροῦν οὐσίαν 14,29
συμπληρωτικός 53,34 τῆς οὐσίας 6,25
συμπλοκή 5,14 8,27
σύμπτωμα 39,10 46,26. 30 47,6
συμφόρησις 19,20
συμφύεσθαι 69,34 70,28 72,9. 15
συμφυής opp. ἐπίκτητος 69,16 71,23. 34 72,3
σύμφυσις 29,5
σύμφυτος opp. ἐπίκτητος 41,32 71,2. 32
σύμφωνος 61,32 — συμφώνως 65,25
συναίσθησις 64,18. 24
συναναιρεῖν 20,16 35,17. 27 sq. 34 sq.
συναίτιος. συναίτια 61,11
συναφή 4,33
σύνδεσμος 10,24. 26. 31 56,15
συνδιαφορεῖσθαι 7,11
συνεισφέρειν 20,16
συνεχής. συνεχὲς ποσόν opp. διωρισμένον 11, 21 20,31 sqq. 27,31
συνεχίζειν 57,10

συνήθεια 2,32 33,28. 30. 32 53,29
συνίζησις 45,26
συνουσιῶν 51,7
συνοχή 45,27 71,36
συντυχία 8,17
συνυπάρχειν 34,18. 24. 31 36,10. 19 53,3 69,34
συνώνυμος. συνώνυμα def. 1,11 3,3 15,15 περὶ τῶν συνωνύμων 3,3 sqq. τετραχῶς συνοπτέον τὸ συνώνυμον τῷ ὁμωνύμῳ 3,7 sqq. — συνωνύμως 15,4. 18 19,34 coni. οὐσιωδῶς 7,21
συσσημαίνειν 10,29. 30
σύστασις 4,15 46,28. 31
συστατικὸς οὐσίας 6,27 συστατικαὶ διαφοραί opp. διαιρετικαί 7,36 sq.
συστολή 45,8
σφαῖρα. αἱ ἐν οὐρανῷ σφαῖραι 71,12 72,2 ἡ ἀπλανής 66,36
σφαιρικός 28,5
σφίγγειν 25,33
σχέσις 4,17 16,32. 37 17,35 28,31 sqq. 29, 1 sqq. 58,31 αἱ τοῦ πρός τι σχέσεις 28,23 πολύ τι τὸ τῆς σχέσεως γένος 29,13 ἡ τῆς θέσεως σχέσις 66,3. 4 λόγος σχέσεως 29,1 σχέσις ὕλης 45,7 ἄσχετος σχέσις 35, 10. 11 κατὰ σχέσιν 9,7. 9. 12 53,33 opp. ἁπλῶς 24,32 dist. κατὰ μέθεξιν 32,33
σχετικὴ κατηγορία 38,37 ἰδιότης 28,33
σχῆμα 49,14. 16 57,30 68,36 περὶ σχήματος καὶ μορφῆς 48,13 sqq. ποσὸν καὶ ποιὸν τὸ σχῆμα 27,2 sqq. — σχῆμα τῆς λέξεως 51,4. 5 68,4 τῆς προσηγορίας 15, 33. 34
σχηματίζειν 40,14
σχηματισμός 48,18
σωματοειδής 62,18 72,7 sqq.
σωματότης 39,21
σωματώδης 69,19
σωρεία 28,3

Τάξις dist. θέσις 22,6. 9 τάξις τῶν κατηγοριῶν 38,34 τῶν φυσικῶν πραγμάτων ibid. 35 sqq.
ταυτότης 2,30 sqq.
ταυτώνυμος 1,2. 3
τεκτονική 62,10
τελειωτικός 50,21. 22. 30
τελεσιουργός 62,28
τέλος 61,12
τετραγωνισμὸς ὁ τοῦ κύκλου 35,30
*τεττιγότης 51,4
τεχνικός 62,1. 4
τομή 2,7 coni. διαίρεσις 5,17
τοπικὴ κατηγορία 52,36
τόπος 21,24 22,31 25,23 sqq. 65,32 66,14 67,7. 18. 19. 24 sqq. δοκεῖ τἀναντία ἐπιδέχεσθαι 23,33 25,3 sqq. τὸ ἐν τόπῳ 53, 30 αἱ τόπου διαφοραί 56,10 sqq. διττὸς ὁ τόπος 57,13 sqq. ἡ τοῦ τόπου χρεία 57,3 sq.
τραχύς. περὶ τοῦ τραχέος 49,5 sqq.
τροπή 61,35 64,26 70,20
τροπικῶς opp. κυρίως 2,19
τύπος 29,35 ὡς ἐν τύπῳ εἰπεῖν 8,29
τύπωμα 48,20
τύχη. ὁμώνυμα ἀπὸ τύχης 1,25

Ὕλη 6,19. 23 8,21 16,10 17,30 19,20 45, 1 sqq. 47,36 61,7. 11 63,26 68,36
ὑλικός. τὰ ὑλικὰ στοιχεῖα 63,26. 27 τὸ ὑλικόν 40,30 42,34
ὑπαρκτός. τὰ μὴ ὑπαρκτὰ ὄντα 51,3
ὕπαρξις 5,32 15,24 29,32 39,35 ὑπάρξεις dist. ἐνέργειαι, πάθη 9,2 sqq. ὑπάρξεις καθ' ἑαυτὰς οὖσαι (i. e. οὐσίαι) opp. ἐν ἑτέροις ὑφεστηκυῖαι 9,6
ὑπερεξαιρεῖν 20,20 (sed v. Add.)
ὑπερθετικός. τὰ ὑπερθετικά 4,1
ὑπεροχή 25,31. 34 31,21 sqq. opp. ἔλλειψις 24,28 28,22 30,18
ὑπογράφειν 11,26 29,34 65,37
ὑπογραφή 11,38 20,4 31,34 66,11 ἐν ὑπογραφῇ coni. παραδείγμασιν 13,34
ὑποδεκτικός 57,24
ὑποδοχὴ τοῦ εἴδους 44,34 τῆς ἕξεως 45,14. 18
ὑπόθεσις 39,31
ὑποκεῖσθαι. ὑποκείμενον opp. κατηγορούμενον 7,21. 22 διττὸν τὸ ὑποκείμενον 6,17 καθ' ὑποκειμένου λέγεσθαι 5,26. 30. 32. 37 6,4 7,28 12,7. 23. 29 all. ἐν ὑποκειμένῳ εἶναι 5,26. 30. 32. 37 12,13. 23. 30 all. def. 6,11. 12
ὑποκοριστικός. τὰ ὑποκοριστικά 4,1
ὑπόπους 8,7
ὑπόστασις 16,7 17,3 28,34 35,1. 5. 24 39,2. 7 40,33 44,37 53,5 59,18 64,9 κατὰ τὰς διαφόρους ὑποστάσεις 58,32

ὑποστορνύναι. ὑπεστρῶσθαι i. q. ὑποκεῖσθαι 6,19
ὕπτιος 67,35 68,8
ὑπώρεια 2.21
ὑστερογενής 39,25
ὕφεσις 26,8 41,12

Φανέρωσις 13,37
φαντάζεσθαι 17,32
φάρμακον 2,7. 9
φθαρτικός 36,32
φοίνιξ 8,16. 19. 20
φύλαγμα opp. ἀμυντήριον 69,22. 23
φυσικὴ τάξις 14,24 φυσικὰ σώματα 57,33 στοιχεῖα 64,29 φυσικοὶ ὅροι 57,33 φυσικὴ ἀντίληψις 64,24 — φυσικῶς coni. οὐσιωδῶς 15,12. 13
φυσιολογικός 61,34
φυσιοῦν 41,25
φύσις 14,25 54,35 55,12. 26 sq. 62,16 63, 29 64,29 70,14. 30. 33 71,29
φυτόν 14,26
φωνή 4,31. 34 φωνὴ σημαντική 10,17 11,4 φωναὶ ἁπλαῖ 4,23 φωνὴ σύνθετος 56,8 φωναὶ ἀντίθετοι 63,13. 14

Χαρακτήρ 30,35
χαρακτηρίζειν 53,31 63,18 64,28. 31
χίμαιρα 35,26
χιών 19,10. 14 def. 48,4
χορεία 55,23. 24
χορηγεῖν 38,33
χρησιμεύειν 4,29 8,23
χρονικός 54,17 ἡ χρονικὴ κατηγορία 52,36
χρόνος 22,31 ὁ χρόνος ποσόν 54,1 sqq. συνεχής 21,24 μέτρον (ἀριθμός) κινήσεως 22, 19 54,2 τὸ ἐν χρόνῳ 53,22. 30 τίνα χρείαν ὁ χρόνος παρέχεται τῷ παντί 55, 6 sqq. πῶς οἱ παλαιότεροι τὸν χρόνον ὡρίσαντο 55,22
χρῶμα 12,18 τὸ χρῶμα ἐπὶ τῇ διαφορᾷ τῶν μελῶν (λεγόμενον) 33,29
χωριστὴ ὑπόστασις 59,17 ὁ χωριστὸς νοῦς 44,25

Ψιλός 53,18 57,28. 31 — ψιλῶς 58,5
ψιμμίθιον 51,14
ψυχή 4,31. 33 14,34. 35 44,31 59,2. 11 62,16 70,14. 16 ἡ λογικὴ ψυχή (ψυχαί) 44,25 64,22 ἡ νοητικὴ ψυχή 58,20
ψυχικός. ἡ ψυχικὴ οὐσία 72,10 αἱ ψυχικαὶ διαθέσεις 48,6 51,14 ψυχικὸς νοῦς 63,34

Ὠθεῖν. τὰ ὠθοῦντα (καὶ ἕλκοντα) 61,5
ὦσις 62,22 ὦσεις coni. μοχλεῖαι 61,3
ὠχριᾶν 46,38
ὠχρίας 46,38 51,27
ὠχρίασις 50,28

II INDEX NOMINUM

Ἄγριος ὁ παρ' Ὁμήρῳ 3,18. 21
Ἀθῆναι 56,19 Ἀθήνηθεν, Ἀθήναζε 56,14
Ἄθως 26,11. 14
Αἴας ὁ Τελαμῶνος, ὁ Λοκρός 3,13
Ἀλέξανδρος ὁ Μακεδών, ὁ Πάρις 1,25
Ἄργος 2,35
Ἄρειος πάγος 56,19
(Ἀριστοτέλης) ἐν τοῖς Φυσικοῖς (Δ 4, 212a 6) 25,29 Μετὰ τὰ φυσικά (Θ 1 sqq.) 59,21 Περὶ γενέσεως καὶ φθορᾶς (A, 7—9) 59, 22 — Ἀριστοτέλεις 2,14
Ἀρχύτας τὴν ποιότητα μετὰ τὴν οὐσίαν ἔταξε 38,28 sq. πῶς λέγει περὶ βαρέος καὶ κούφου 49,18 sqq. περὶ χρόνου 54,18 sqq. περὶ τόπου 59,4 περὶ τοῦ ποιεῖν καὶ πάσχειν 59,33 τὸ ἐν ἀλόγοις ποιεῖν ὃ καὶ ἄνευ διανοίας Ἀρχύτας ἀποκαλεῖ 62,12 διάκρισιν τοῦ πάθους καὶ τοῦ πεπονθότος καὶ τοῦ ποιήματος καὶ παθήματος παραδέδωκεν 64,11 sqq. ἡ τοῦ πάσχειν ὥσπερ καὶ τοῦ ποιεῖν ὑπὸ τοῦ Ἀρχύτα παραδεδομένη διαίρεσις 65,4 sqq. Ἀρχύτας οὐ σῶμα εἶπεν ἀλλὰ σωματοειδές (τὸ ἐχόμενον) 72, 7. 8
Δημόκριτος. τοῖς περὶ Δημόκριτον ἐγκαλέσειεν ἄν τις, τί δήποτε τινὰς μὲν διαφορὰς περὶ τὰς ἀτόμους ἀπολείπουσιν (τινὰς δ' οὔ) 39,19 sqq. νόμῳ ἔσται χροιὴ κατὰ τὸν Δημόκριτον - τῇ ἀληθείᾳ δὲ ἄτομον καὶ κενόν ibid. 28
Ἐλευσίνιος 3,25
Θαλῆς 36,19
Ἰταλικός 3,25
Καύκασος 26,11. 13
Κρητικός 3,25
Λύκειον 8,31 56,15. 16
Μέλας ὁ παρ' Ὁμήρῳ 3,18 sq.
Ὅμηρος 3,18
Πλάτων 12,5 37,19 τὰς ἰδέας χωριστὰς ἀφορίζεται 39,34 ἐν Παρμενίδῃ τὸ ἓν διὰ πασῶν διατείνει τῶν ὑποθέσεων 9,37 10,1 αὐτοκίνητος ἡ ψυχὴ κατὰ Πλάτωνα 55,13 Πλάτωνες 2,13
Πυθαγόρειοι περιεκτικώτερον τὸν τόπον ὡρίσαντο 25,28 sqq. τὸν χρόνον διάστημα ἔφασαν εἶναι τῆς τοῦ παντὸς φύσεως 55,11. 12 αὐτοκίνητος ἡ ψυχὴ κατ' αὐτούς ibid. 13 Πυθαγόρειος αἵρεσις 55,25. 26
Σωκράτης 12,5 19,3 37,19
*Σωκρατότης 50,33
Τρωικός. τὰ ἐπὶ τῶν Τρωικῶν 55,9
Ὑμηττός 26,11. 14

ADDENDA ET CORRIGENDA

p. 3,30 καὶ om. Simplicius
p. 4,11 κυρίως tuetur Simplicius
p. 6,25 μόνον om. Simplicius
p. 7,14 legendum est συνδυαζομένων
p. 17,1 παράγεται Simplicius
ibid. τοῦ om. Simplicius
p. 17,2 ἔχοι Simplicius
p. 20,20 fort. legendum est ὑπερεξῆρται
p. 21,13 legendum est δι' ὀλιγότητα, quod etiam Simplicius habet
p. 23,19 ἐπιφάνεια Simplicius
p. 57,17 μετὰ τὴν ἥβην Simplicius

COMMENTARIA IN ARISTOTELEM GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS XXIII

PARS III THEMISTII QUAE FERTUR IN ARISTOTELIS ANALYTICORUM PRIORUM LIBRUM I PARAPHRASIS

PARS IV ANONYMI IN SOPHISTICOS ELENCHOS PARAPHRASIS

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMER
MDCCCLXXXIV

Themistius

THEMISTII
QUAE FERTUR IN ARISTOTELIS
ANALYTICORUM PRIORUM
LIBRUM I PARAPHRASIS

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

MAXIMILIANUS WALLIES

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMER
MDCCCLXXXIV

PRAEFATIO

Themistii quae fertur in Analyticorum priorum librum primum paraphrasis ut huic voluminі inserta sit, V. Rose, qui in bibliotheca Parisiensi latentem[1]) in lucem protraxit, commentatione effecit: *'Ueber eine angebliche Paraphrase des Themistius'* (Hermae tom. II p. 191—213). cui nova ab aliis argumenta addi nondum potuerunt, quia ipsa nunc primum integra in publicum editur. a Themistio quidem praeter nomen nihil mutuatam eam esse illico apparet, quippe quae ex Alexandri et Philoponi commentariis misere conflata sit[2]). interpretandi autem genus idem est, quod in librorum De anima, Categoriarum, Elenchorum paraphrasibus reperitur cuiusque inventorem in prooemio paraphrasis suae (XXIII 1 p. 1—3) Sophonias se profitetur. eidem in animo fuisse novam suam rationem ad alios Aristotelis libros illustrandos adhibere ex verbis καὶ πρῶτον ἐν τοῖς Περὶ ψυχῆς (p. 2,38—3,1) colligendum est. sed num revera haec Pseudothemistii paraphrasis Sophoniae auctori debeatur, non iam certo constat. quam ad rem diiudicandam praecipue ratio compilandi accuratius examinanda erit, quod ab huius praefationis instituto abhorret.

Interim editoris est non praeoccupato iudicio munere suo fungi. etenim cum haec paraphrasis uno codice Parisino ad memoriam nostram servata sit, codicum tamen inopiae Alexandri et Philoponi commentariis adhibitis subvenire liceat, dubium saepe est, quae vitia librario, quae paraphrastae ipsi tribuenda sint. nam multos et manifestos errores ut ab hoc tran-

[1]) Buhle Arist. opp. I p. 314: *„Paraphrasis Analyticorum priorum.“ Haec quidem, a Fabricio et aliis in deperditis habita, exstat msta Graece in codice bibl. Paris.* cf. Fabric. B. Gr. VI, 819. — Brandis act. Acad. Berolin. 1833 p. 288: *„Das Gerücht, diese Paraphr. des Them. habe sich in einer Paris. Hds. erhalten, fand ich leider nicht bestätigt.“*

[2]) quare indicibus hic fasciculus carebit.

scriptos relinquendos esse intactos Alexandri codicum consensu indicatur.[1]) interdum velut p. 131,5 (ἐγένετο)[2]) paraphrastes interpretum verba parum intellexit aut velut p. 61,19—21 (συνάγουσι . . αὗται . . . ἀναγομένης αὐτῆς) neglegentius transcripsit. satis hinc apparebit, quam mediocri ingenio paraphrastes fuerit et quantopere cavendum sit, ne eos quos aut transcripsit aut ipse commisit errores emendemus. restant sane multa librarii menda, quo in numero sunt tritae illae confusiones vocabulorum ἤ et εἰ, περί et παρά, ἔτι, ἐστί, ὅτι et ἄρα, multaque alia, quae ex interpretum illorum commentariis corrigi possunt. imprimis librarius ad homoeoteleuta aberrans intericcta verba omisit, rarius iteravit. haec igitur supplere non dubitavi; alia subnotatis interpretum verbis asteriscis indicare satis habui. praeterea saepissime, ubi paraphrastes ab interpretibus differt, horum verba subnotavi. formas inusitatas velut ἔσεται, ἀξιώῃ, ἀποδώῃ et structuras insolentiores intactas reliqui (cf. XXIII 1 praef. p. VIII). accentus tamen et orthographica, quae ad certam normam erant dirigenda, ad nostram aptavi consuetudinem.

Codex Parisinus 2054, ex quo hanc paraphrasin ab Ernesto Maass descriptam edidi, bombycinus, quadratus, saeculi XIV vel XV, foliorum est 183, quorum numeros in dextro margine adscribendos curavi. ordo foliorum turbatus sic est restituendus: f. 64—79. f. 87—94. f. 80—86. f. 95—144. f. 152—158. f. 145—151. f. 159—183.[3]) inter f. 147 et 149 insertum est folium eadem manu exaratum initium commentarii[4]) in Isagogen continens, cuius margini inferiori antiqua manu inscriptum est τοῦτο περιττόν ἐστι τὸ φύλλον. — multa librarius per compendia scripsit;

[1]) Eis locis, quos in Alexandri editione II 1 p. XVI n. 2, XVII n. 1. 2 enumeravi, hosce addo: 72,4 δυνατὸν (B) || 74,32 κατασκευάζει τὸ P (B) || 74,38 ἀποφατικοῦ (B) || 79,35 ᾱ om. (B) || 85,25 αἰτώῃ (αἰτῶ. ᾖ B) || 99,28 ἀόργητον (a B pr.) || 110,11 ἀλλ' (a) || 118,14. 15 προσλαμβάνειν (a) || 120,20 προτιθέναι (a) || 121,27 δύο ὡς (B) || 124,4 οὐσίας alterum (B) || 132,39 ἀποδεικτικὸν (B) || 136,16 κλίσεις (B) || 138,2 τὸ (B) || 149,27 ὅτι (a). — veriorem memoriam paraphrastes praeter eos quos p. XVII—XVIII notavi locos sequi videtur: 21,7 post καὶ om. γάρ, quod add. a B Al. 170,20 || 41,29 τὸ ἐνδεχόμενον (τὸ ἐνδέχεται a B Al. 200,17) || 66,5. 6 ἂν ἡ ἀποφατικὴ ἐλάττων οὖσα ἐνδεχομένη ᾖ || 85,22 συντελεῖ (scripsi Al. 279,33: συνετέλει a B) || 89,25 οὕτως (οὗτος a B Al. 286,30) || 101,7 ὄν (addidi Al. 304,2: om. a B) || 141,2. 3 τοῖς σημαινομένοις (scripsi Al. 372,30: ταῖς σημαινομέναις a B).

[2]) Alex. scripsisse videtur: ἐπὶ (a Al. 356,22: ἐπεὶ B P) κειμένῳ τῷ ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, ὃ (non debebam delere Al. 356,23) οὐκ ἦν συγχωρούμενον.

[3]) etiam f. 40—47 post f. 31 transponenda esse Rose l. c. p. 198 testatur.

[4]) eiusdem, qui in cod. Paris. 1939 Davidi tribuitur.

ου, ων, ω itemque ο et ω saepius vix possunt discerni. figuras syllogisticas in marginibus rubro colore appinxit, flavo terminos inscripsit. aliae quoque notae in margine archetypi videntur fuisse, quarum nonnullae in textum irrepserunt (cf. p. 97,6. 99,32—33. 100,4—5. 12—14. 101,32—33. 106,9. 121,19. 128,8. 131,37. 139,23. 135,22). manus correctrices sigiis P^1 i. e. librarii ipsius et P^2 i. e. manum recentiorem distinxi.

Secundum catalogum hic codex Joannis Philoponi in Analyticorum priorum librum primum commentarium continet. et inscribitur f. 1 ἰωάννου ἀλεξανδρέως τοῦ φιλοπόνου εἰς τὸ πρῶτον τῶν προτέρων ἀναλυτικῶν σχόλια καὶ ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν ἀμμωνίου τοῦ ἑρμείου τῶν εἰς [τὸ] γ̄ τὸ ᾱ: sequitur primus huius commentarii liber περὶ τῶν τριῶν σχημάτων f. 1—62ᵛ (= f. 3—31ᵛ editionis Victoris Trincavelli Venetiis apud Zanettum a. MDXXXVI). subscribitur f. 63ʳ [1]) τέλος σὺν θεῷ τῶν ἐξ ἀμφοτέρων ὑπαρχουσῶν προτάσεων συζυγιῶν γινομένων ἐν τοῖς τρισὶ σχήμασι: cui subscriptioni neque spatio intermisso neque rubro colore distinctum continuatur τοῦ αὐτοῦ φιλοπόνου ἀποσημείωσις ἐκ τῶν συνουσιῶν ἀμμωνίου τῶν εἰς γ̄ τὸ β̄: καὶ θεμιστίου παράφρασις: similiter f. 64ᵛ interpretum nomina coniuncta alterius libri περὶ τῶν μίξεων initio inscribuntur nullo aut ab antecedentibus aut a sequentibus intervallo separata (cf. p. 1 n. 1). tertio περὶ εὐπορίας προτάσεων libro unius Themistii nomen praefixum est (cf. p. 95,9). quaeritur, ubi Philoponi commentarius in paraphrasis formam transeat.[2]) errat enim Rose, qui iam inde a Themistii nomine primum addito omnia αὐτοπροσώπως proferri dicit. immo praeter paraphrastae consuetudinem in sequenti parte prima et tertia persona promiscue usurpantur.[3]) accedit, quod in hac parte interpretatio lemmatis insertis interrumpitur, id quod et ipsum a paraphrastae more alienum est. itaque ipsius paraphrasis initium ab altero demum titulo f. 64ᵛ duxi, praesertim cum hinc revera novus περὶ μίξεων liber incipiat, illa autem pars, quamquam huius libri initium poni solet, potius ad praecedentem περὶ τῶν τριῶν σχημάτων pertineat.

[1]) intercedit f. 62ᵛ—63ʳ scholium quoddam, quod Philoponi non est.

[2]) breviandi causa hoc factum esse Rose mihi non persuasit (l. c. p. 200). Philoponi enim in primum Analyticorum priorum librum commentarius f. 3ʳ—94ᵛ exemplaris Zanettiani complet; foliorum autem 183 vel 181 codicis Paris. 1—62ᵛ respondent exempli editi foliis 3ʳ—31ᵛ.

[3]) semel praeterea (p. 108,22) tertia persona φησίν sive librarii sive ipsius paraphrastae neglegentia retenta rubroque manu recentiore notata est. Aristoteles ipse p. 20,32 appellatur. nam quod in capite περὶ ὑποθετικῶν συλλογισμῶν commemorantur p. 91,22 οἱ μαθηταὶ Ἀριστοτέλους, huc non cadit.

Iam ipsam illam partem iudicandam proponam:

Ἐπεὶ δὲ ἕτερόν ἐστι τὸ ὑπάρχειν τε καὶ ἐξ ἀνάγκης ὑπάρχειν καὶ ἐνδέχεσθαι ὑπάρχειν (Arist. p. 29ᵇ29): περὶ τῶν τοῦ ἀναγκαίου προτάσεων: πληρώσαντες τὸν περὶ τῶν τριῶν σχημάτων τῶν ἐξ ὑπαρχουσῶν προτάσεων λόγον μετέλθωμεν ἐπὶ τὰς τοῦ ἀναγκαίου προτάσεις. εἰκότως δὲ δευτέραν αὐταῖς ἐπιτίθεμεν τάξιν. ἐπειδὴ γὰρ τὰ μὲν τῶν ὄντων ἀεὶ ὡσαύτως ἔχουσι καὶ πᾶσιν ὑπάρχουσι, τὰ δὲ ὑπάρχει μέν, οὐκ ἐξ ἀνάγκης δὲ ὑπάρχει, ἀλλὰ δύναται καὶ μὴ ὑπάρχειν, τὰ δὲ οὔτε ὑπάρχει οὔτε ἐξ ἀνάγκης ὑπάρχει, δύναται δὲ ὅμως ὑπάρξαι καὶ μὴ ὑπάρξαι, ὧν τὸ μὲν πρῶτόν ἐστι τοῦ ἀναγκαίου, τὸ δὲ δεύτερον τοῦ ὑπάρχοντος, τὸ δὲ τρίτον τοῦ ἐνδεχομένου, καὶ διὰ τοῦτο τὸν μὲν περὶ τῶν ὑπαρχουσῶν προτάσεων πρῶτον ἐποιησάμεθα λόγον ὡς ἁπλουστέρων· τῷ γὰρ ὑπάρχοντι προσιόντα τινὰ οἷον τὸ 'ἀεί' καὶ 'παντί' ποιεῖ τὸ ἀναγκαῖον, τὸ δὲ 'ποτέ' τὸ ἐνδεχόμενον. μέσον δὲ τετάχαμεν τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν λόγον ὡς μέσην ἐχουσῶν τάξιν τῶν τε ἁπλῶς ὑπαρχουσῶν καὶ τῶν ἐνδεχομένως. ὑπάρχουσι μὲν γὰρ καὶ αὗται, ἀλλ' ἀεὶ ἀναγκαίως· αἱ δὲ τοῦ ἐνδεχομένου οὐχ ὑπάρχουσι μέν, δύνανται δὲ καὶ ὑπάρξαι καὶ μὴ ὑπάρξαι. διὰ τοῦτο μὲν οὖν δεύτερον τὸν περὶ τοῦ ἀναγκαίου συζυγιῶν ποιούμεθα λόγον. εἰ δὲ ἕτεραι μὲν αἱ ὑπάρχουσαι προτάσεις, ἕτεραι δὲ τοῦ ἀναγκαίου καὶ ἕτεραι τοῦ ἐνδεχομένου, δῆλον ὅτι ἑτέρων τῶν προτάσεων οὐσῶν ἕτερον ἔσται καὶ τὸ συμπέρασμα. διὰ τί; ὅτι οὐκ ἐξ ὁμοίων προτάσεών τε καὶ ὅρων· ἐκ μὲν γὰρ ὑπαρχουσῶν προτάσεων ὑπαρχον, ἐκ δὲ ἀναγκαίων ἀναγκαῖον, καὶ ἐξ ἐνδεχομένων ἐνδεχόμενον: ἐπὶ μὲν οὖν τῶν ἀναγκαίων σχεδὸν ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ὑπαρχόντων (Arist. p. 29ᵇ36): ὥσπερ, φησίν, ἔχουσιν αἱ τοῦ ὑπάρχοντος προτάσεις, οὕτως ἔχουσι σχεδὸν καὶ αἱ τοῦ ἀναγκαίου. | αἱ αὐταὶ γὰρ εἰσιν ἐν τούτοις συλλογιστικαί 63ᵛ τε καὶ ἀσυλλόγιστοι ἐν ἑκάστῳ σχήματι, καὶ ὡσαύτως ἀλλήλαις τὰς δείξεις ἔχουσι. διαίρουσι δὲ μόνον τῷ τὰς μὲν μετὰ τρόπου εἶναι τὰς δὲ ἄνευ τρόπου. τὸ δὲ σχεδὸν πρόσκειται διὰ τὸν τέταρτον συλλογιστικὸν τρόπον τοῦ δευτέρου σχήματος καὶ τὸν πέμπτον τοῦ τρίτου· ἔστι γὰρ ἐν τούτοις διαφορὰ τῶν ἀναγκαίων πρὸς τοὺς ὑπάρχοντας, ὡς ἑξῆς ἔστιν ἡμῖν ἐπιδεῖξαι. τό τε γὰρ στερητικὸν ⟨ὡσαύτως ἀντιστρέφει, καίτοι οὐ μόνον τὸ στερητικὸν⟩ ἀλλὰ καὶ τὸ κατηγορικόν. τί οὖν μὴ καὶ τούτου ἐμνήσθη; ἐροῦμεν οὖν, ὅτι τὸ μὲν κατηγορικὸν ἐπὶ πάντων τῶν τρόπων ὁμοίως ἀντιστρέφει καὶ οὐδὲν θαυμαστόν, εἰ καὶ ἐπὶ τούτων· τὸ δὲ στερητικὸν οὐχ ὁμοίως ἐπὶ τοῦ ἐνδεχομένου, ὡς αὐτός φησι. διὸ ταύτης μόνης τῆς ἀντιστροφῆς ἐμνήσθη ὡς τοῖς δυσὶ τρόποις μόνοις ὑπαρχούσης, τὴν δὲ ἄλλην ὡς κοινὴν ἁπάντων παρῆκεν. ἡ γὰρ καθόλου ἀποφατικὴ οὐχ ὁμοίως ἐπὶ τοῦ ἐνδε-

9 καὶ om. Phil. f. 32r 16. τῶν ἀναγκαίων Phil. 17 δὲ αἱ διὰ τοῦ ἀναγκαίου καὶ αἱ ἐνδεχόμενοι Phil. 28 ἐπιδείξει omisso ἔστιν Phil. ὡσαύτως . . . στερητικὸν (29) Phil.: om. P 29 καὶ Phil.: γὰρ P

χομένου ὥσπερ καὶ ἐπὶ τῶν δύο τούτων τρόπων, τοῦ τε ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου. ἀντιστρέφει. καὶ τὸ ἐν ὅλῳ δὲ καὶ τὸ ⟨κατὰ⟩ παντὸς ὁμοίως ἀποδώσομεν. ἐν μὲν οὖν τοῖς ἄλλοις τὸν αὐτὸν τρόπον δειχθήσονται οἱ ἀναγκαῖοι (ἢ γὰρ κατ' εὐθεῖαν ἢ δι' ἀντιστροφῆς), ὅτι τὸ συμπέρασμα ἀναγκαῖον, ὥσπερ ἐπὶ τοῦ ὑπάρχοντος· ὁμοίως γὰρ ἢ κατ' εὐθεῖαν δειχθήσονται ἢ δι' ἀντιστροφῆς οἵ τε ἀναγκαῖοι καὶ οἱ ὑπάρχοντες: ἐν δὲ τῷ μέσῳ σχήματι, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν τὸ δὲ ἐν μέρει στερητικόν ⟨,καὶ πάλιν ἐν τῷ τρίτῳ, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν τὸ δὲ ἐν μέρει στερητικόν⟩, οὐχ ὁμοίως ἔσται ἡ ἀπόδειξις (Arist. p. 30ᵃ6): τῶν ἄλλων, φησίν, ὁμοίως ἐχόντων κατὰ πάντα ἐπὶ τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος μόνον, φησίν, ἐν τῷ τετάρτῳ τρόπῳ τοῦ μέσου σχήματος καὶ ἐν τῷ πέμπτῳ τοῦ τρίτου διαφέρουσιν ἐν τῷ ὑπάρχοντι τρόπῳ καὶ τῷ ἀναγκαίῳ. ἐν μὲν γὰρ τῷ ὑπάρχοντι δι' ἀντιστροφῶν οὐκ ἐδείκνυντο ἀλλὰ [καὶ] διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς: ἐπὶ μέντοι τοῦ ἀναγκαίου οὐ δυνατὸν διὰ τῆς ἀδυνάτου δείξεως τούτους ἀποδεῖξαι. οἷον ὡς ἐπὶ τοῦ τετάρτου τρόπου τοῦ δευτέρου σχήματος προΐτω ἡμῖν ὁ λόγος· ἔστω γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τῷ δέ γε Γ ἐξ ἀνάγκης μὴ παντί· λέγω, ὅτι τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐ παντὶ ὑπάρχει. τοῦτο δέ, ὥσπερ εἶπον, οὐ δυνατὸν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι λέγοντας οὕτως, ὅτι, εἰ ψεῦδός ἐστι τὸ ἐξ ἀνάγκης | οὐ παντὶ ὑπάρχειν, ἔστω 63ᵛ ἀληθὲς τὸ ὅτι τὸ Β ἐνδέχεται παντὶ τῷ Γ ὑπάρχειν· τοῦτο γὰρ ἀντίκειται τῷ ἀναγκαίῳ· ἀλλὰ καὶ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης ὑπῆρχεν. εἶτα ποῖον ἀκολουθεῖ συμπέρασμα, ἀγνοοῦμεν· γίνεται γὰρ ἡ συζυγία ἐν πρώτῳ σχήματι ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης, ἥτις ποῖον συνάγει συμπέρασμα, οὔπω ἴσμεν πρὸ τοῦ διδαχθῆναι, τί τὸ συναγόμενον ἐκ τῆς τοιαύτης μίξεως. ὥστε καλῶς ἐλέγομεν μὴ δύνασθαι δεικνυσθαι τὸν τέταρτον τοῦ δευτέρου σχήματος συλλογισμὸν δι' ἀδυνάτου δείξεως. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ πέμπτου τρόπου τοῦ τρίτου σχήματος συμβαίνει. διὰ ταῦτα ἐκεῖνον μὲν τὸν τρόπον τῆς δείξεως ὡς ὁσαφῆ τε καὶ διὰ τῶν ὑστέρων γινόμενον παραιτητέον, τὴν διὰ τοῦ ἀδυνάτου φημί, ἐπ' ἀμφοτέρων αὐτῶν· δεικτέον δὲ δι' ἐκθέσεως. ἡ δὲ ἔκθεσις ἐνταῦθα τοιαύτη· ἐπὶ μὲν τοῦ τετάρτου ἐν δευτέρῳ σχήματι, εἰ τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης τῷ δέ γε Γ οὐ παντὶ ἐξ ἀνάγκης ὑπάρχει. ληπτέον μέρος τοῦ Γ, ᾧ τὸ Α οὐχ ὑπάρχει, οἷον τὸ Δ καὶ τακτέον οὕτως· εἰ τὸ Α οὐδενὶ τῷ Δ, οὐδὲ τὸ Δ οὐδενὶ τῷ Α· τὸ δὲ Α παντὶ τῷ Β· τὸ ἄρα Δ οὐδενὶ τῷ Β. οὐκοῦν οὐδὲ τὸ Β οὐδενὶ τῷ Δ· τὸ δὲ Δ τί τοῦ Γ ἐστί· τὸ ἄρα Β τινὶ τῷ Γ οὐχ ὑπάρχει. ἐπὶ δὲ τοῦ τρίτου σχήματος· εἰ τὸ Α τινὶ τῷ Γ οὐχ ὑπάρχει, τὸ δὲ Β

2 κατὰ Arist.: om. P 8. 9 unc. incl. ex Arist. addidi 14 καὶ om. Phil.
15 post τῆς add. τοῦ Phil. 16 ἀ παντὶ Phil.: ἅπαντι P 35 εἰ Phil. f. 32ᵛ: οὐ P

παντὶ τῷ Γ. τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρχει· προκείσθω μέρος τοῦ Γ, ᾧ τὸ Α οὐχ ὑπάρξει. οἷον τὸ Δ, καὶ ἔσται οὕτως· εἰ τὸ Α τῷ Δ οὐδενί, τὸ δὲ Β παντὶ τῷ Δ, εἴ γε καὶ τῷ Γ παντί, οὗ μέρος τὸ Δ, ἀντιστρέψει ἡ Β Δ, καὶ ἔσται τὸ Δ τινὶ τῷ Β. εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Δ, τὸ δὲ Δ τινὶ τῷ Β, τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρχει. εἰκότως δὲ οἱ συλλογισμοὶ τοῦ ἀναγκαίου ὡσαύτως ἔχουσι τοῖς τοῦ ὑπάρχοντος καὶ ὁμοίως αὐτοῖς δείκνυνται, διότι καὶ αἱ ἀντιστροφαὶ τῶν προτάσεων τοῦ ἀναγκαίου ὡσαύτως ἐλέγοντο ἔχειν ταῖς τοῦ ὑπάρχοντος. ἑκάτερος δὲ τῶν εἰρημένων δύο συλλογισμῶν διὰ τοῦ οἰκείου σχήματος δείκνυται τὸ ἴδιον συμπέρασμα συνάγων. ἀλλ' ὁ μὲν τέταρτος τοῦ δευτέρου σχήματος διὰ τοῦ δευτέρου τρόπου τοῦ αὐτοῦ σχήματος οὕτως· εἰ γὰρ τὸ Α παντὶ μὲν τῷ Β ὑπάρχει τῷ δὲ Γ οὐ παντί, ὑπέκειτο δὲ μέρος τοῦ Γ τὸ Δ, ᾧ οὐχ ὑπάρχει τὸ Α, τὸ ἄρα Α παντὶ μὲν τῷ Β οὐδενὶ δὲ τῷ Δ ὑπάρχει, ὅσπερ ἐστὶ δεύτερος | τρόπος τοῦ δευτέρου σχήματος ἐκ τῆς 64v
μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. τὸ ἄρα Β οὐδενὶ τῷ Δ ὑπάρχει, ὅπερ ἐστὶ μέρος τοῦ Γ· τὸ ἄρα Β οὐ παντὶ τῷ Γ ὑπάρχει. ὁμοίως δὲ καὶ ὁ πέμπτος ἐκ τοῦ τρίτου σχήματος διὰ τοῦ δευτέρου τρόπου τοῦ αὐτοῦ σχήματος τρίτου δείκνυται οὕτως. εἰ γὰρ τὸ μὲν Α ἐξ ἀνάγκης οὐ παντὶ τῷ Γ τὸ δὲ Β ἐξ ἀνάγκης παντὶ ὑπάρχει, λέγω, ὅτι τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐ παντὶ ὑπάρχει. ἐπεὶ γὰρ τὸ Α ἐξ ἀνάγκης οὐ παντὶ τῷ Γ ὑπάρχει, εἰλήφθω μέρος τι τοῦ Γ, ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ Α, ὅ ἐστι τὸ Δ· τὸ ἄρα Α οὐδενὶ τῷ Δ ἐξ ἀνάγκης ὑπάρχει· καὶ ἐπεὶ τὸ Β ἐξ ἀνάγκης παντὶ τῷ Γ, ἓν δὲ τῶν μερῶν τοῦ Γ τὸ Δ, τὸ ἄρα Β παντὶ τῷ Δ. εἰ τοίνυν τὸ Α μηδενὶ τῷ Δ τὸ δὲ Β παντὶ ἐξ ἀνάγκης ὑπάρχει, δηλονότι γέγονε πάλιν τοῦ τρίτου σχήματος ὁ δεύτερος τρόπος, ὥστε ἡ ἔκθεσις ἐπ' ἀμφοτέρων τῶν συλλογισμῶν τὸ οἰκεῖον πάλιν ἐποίησε σχῆμα.

---

3 ὁ prius Phil.: ᾱ P 11 τὸ (ante ᾱ) Phil.: τῷ P ᾱ παντὶ Phil.: ἅπαντι P

Scr. Berolini
Idibus Aprilibus MDCCCLXXXIV M. Wallies.

THEMISTII
QUAE FERTUR IN ARISTOTELIS
ANALYTICORUM PRIORUM
LIBRUM I PARAPHRASIS

[ΘΕΜΙΣΤΙΟΥ] ΠΑΡΑΦΡΑΣΙΣ

Περὶ τῶν μίξεων.

Εἰπόντες καὶ παραδόντες τάς τε τοῦ ὑπάρχοντος τάς τε τοῦ ἀναγκαίου 64v
προτάσεις καὶ δείξαντες, ποίους ποιοῦσι καθ' ἕκαστον σχῆμα συλλογισμούς,
5 ἑξῆς λέγομεν περὶ τῶν ἐκ μίξεως ἀναγκαίας τε καὶ ὑπαρχούσης προτάσεως
γινομένων καθ' ἕκαστον σχῆμα συλλογισμῶν, τίνες τέ εἰσι, καὶ ποῖόν τι ἐν
ταῖς μίξεσιν αὐτῶν γίνεται τὸ συμπέρασμα, καὶ τίνες αἱ κατὰ τὰς μίξεις τῶν
τρόπων τούτων ἐν τοῖς γινομένοις συλλογισμοῖς διαφοραί. φημί οὖν, ὅτι γίνεταί
ποτε ἐκ μίξεως ἀναγκαίας ⟨καὶ⟩ ὑπαρχούσης προτάσεως ἀναγκαῖον συμπέρασμα,
10 καὶ πότε γίνεται τὸ συμπέρασμα τοιοῦτον. ἐν γὰρ πρώτῳ σχήματι ἀμφοτέρων
οὐσῶν καθόλου, εἰ ἡ μείζων ἀναγκαία, ἄν τε καταφατική, ὡς ἐν τῷ πρώτῳ
τρόπῳ, ἄν τε ἀποφατική, ὡς ἐν τῷ δευτέρῳ τρόπῳ, ἀναγκαῖον γίνεται τὸ
συμπέρασμα. περὶ γὰρ τῶν δύο συζυγιῶν νῦν διαληπτέον πρῶτον, τῆς τε ἐκ
τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας καὶ τῆς ἐλάττονος καθόλου κατα-
15 φατικῆς ὑπαρχούσης καὶ τῆς ἐκ καθόλου ἀποφατικῆς ἀναγκαίας τῆς μείζονος
καὶ καθόλου καταφατικῆς ὑπαρχούσης τῆς | ἐλάττονος. οἷον εἰ τὸ Α τῷ Β 65r
ἐξ ἀνάγκης, τὸ δὲ Β τῷ Γ ὑπαρχόντως, ἐξ ἀνάγκης τὸ Α τῷ Γ ὑπάρξει
παντί. ἐπεὶ γὰρ τὸ Α κατὰ παντὸς τοῦ Β ἐξ ἀνάγκης, τὸ δὲ Γ ὑπὸ τὸ Β
ἐστὶ καὶ τί τοῦ Β, εἴη ⟨ἂν καὶ κατὰ⟩ τοῦ Γ ἐξ ἀνάγκης· ὁ γὰρ κατὰ παντὸς τοῦ Β
20 ἐξ ἀνάγκης. καὶ κατὰ τῶν ὑπὸ τὸ Β ἐξ ἀνάγκης ἂν κατηγοροῖτο. εἴ γε τὸ
κατὰ παντός ἐστιν, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου, καθ' οὗ τὸ κατη-
γορούμενον οὐ ῥηθήσεται· τὸ δὲ Γ τί τῶν Β ἐστί. καὶ γὰρ τὸ κατὰ παντὸς
ἐξ ἀνάγκης ὁμοίως λαμβάνεται, ὡς προείπομεν ἐπὶ τῶν ἀναγκαίων· τό τε γὰρ
στερητικὸν ὡσαύτως ἀντιστρέφει καὶ τὸ ἐν ὅλῳ εἶναι καὶ κατὰ παντὸς ὁμοίως

---

1 Ἰωάννου σχολαστικοῦ Ἀλεξανδρέως εἰς τὸ πρῶτον τῶν προτέρων ἀναλυτικῶν σχόλαια καὶ ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν Ἀμμωνίου τοῦ Ἑρμείου καὶ Θεμιστίου παράφρασις titulum textui continuat P 3 καὶ τὰς pro altero τάς τε Philop. f. 32v (ed. Zanetti Venetiis a. MDXXXVI.) 5 ἑξῆς . . . τὸ συμπέρασμα (13) Alex. p. 123,30—124,7 9 καὶ Al. 124,3: om. P 18 ἐπεὶ γὰρ . . . καθόλου (2,4) Al. 126,1—12 7 Al. 126,2: ὁ P 19 ἂν καὶ κατὰ Al.: om. P

ἀποδώσομεν. λεπτέον δὲ τὴν ὑπάρχουσαν καθόλου καταφατικὴν ἐν τοιαύτῃ μέσῃ ἀληθῆ μὴ πρὸς ὑπόθεσιν ἀλλὰ ἀληθῶς ὑπάρχουσαν· αἴτημα γὰρ ἐκείνως γίνεται καὶ οὐκέτ' ἀληθὴς ἡ πρότασις. ληφθείσης δὲ ἀληθοῦς ἐν τῷ ὑπάρχειν καὶ καθόλου ἀναγκαῖον συμπέρασμα γίνεται· οἷον κίνησις πάσῃ βαδίσει ἐξ ἀνάγκης, βάδισις παντὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ κίνησις παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης.

Εἰ δὲ ἡ ἐλάττων ληφθείη ἀναγκαία καθόλου ἡ δὲ μείζων ὑπάρχουσα καθόλου, οὐκ ἀναγκαῖόν φημι ἔσεσθαι τὸ συμπέρασμα. τούτου χάριν εἴρηταί μοι ἐν τοῖς ἔμπροσθεν τὸ 'συμβαίνει δέ ποτε καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα'· οὐδὲ γὰρ ἀεὶ τοῦτο γίνεται, ἀλλ' ὅτι ἡ μείζων εἴη ἀναγκαία. ὅτι δὲ μὴ ἀναγκαῖον ἐν ταύτῃ τῇ συζυγίᾳ τὸ συμπέρασμα ἀλλ' ὑπάρχον, δεικτέον τοῦτο διχόθεν, καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ καὶ τῇ διὰ τῶν ὅρων δείξει. καὶ γὰρ τῶν μεθόδων ἡ χρεία ἡμῖν καθέστηκεν οὐ δι' ἑαυτάς, ἀλλ' ἵνα τοῖς πράγμασιν αὐτὰς ἁρμόζωμεν· διὸ καὶ ἐν τοῖς ἀσυλλογίστοις ὅρους παρατιθέμενοι ἠρκούμεθα τούτοις εἰς ἔλεγχον ὡς μὴ δυναμένων αὐτῶν ἐφαρμοσθῆναι τοῖς πράγμασιν. ὅτι γὰρ μὴ ἀναγκαῖον, δεικτέον τοῦτο διά τε τοῦ πρώτου σχήματος καὶ διὰ τοῦ τρίτου, ὑποτιθέμενοι ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα καὶ δείξαντες ταύτῃ τῇ ὑποθέσει ψεῦδος ἀκολουθοῦν οὕτως αὐτὴν ἐλέγξομεν. δῆλον γὰρ ὅτι ᾗ δ' ἂν ὑποθέσει ψεῦδος ἀκολουθεῖ, ψευδὴς ἔσται· οὐδεμιᾷ γὰρ ἀληθεῖ ὑποθέσει ψεῦδος ἀκολουθεῖ. δείκνυμεν δὲ τὸ ψεῦδος ἀκολουθοῦν διὰ μὲν τοῦ πρώτου | σχήματος οὕτως· 65ᵛ
εἰ τὸ Α τῷ Β ὑπαρχόντως, τὸ δὲ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, ἐγὼ μὲν λέγω, ὅτι τὸ Α παντὶ τῷ Γ ὑπαρχόντως ὑπάρξει. εἰ δέ τις λέγοι ἐξ ἀνάγκης, συγχωρείσθω τοῦτο· καὶ εἰ μὲν μὴ ψεῦδος ἀκολουθήσει, ἔστω ἀληθὲς τὸ συμπέρασμα· εἰ δὲ εὕρωμέν τι ψεῦδος ἑπόμενον, δῆλον ὅτι ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα τὸ ἀναγκαῖον συνάγεσθαι. ὥστε τὸ ὑπάρχον μόνον συναχθήσεται. ἐπεὶ οὖν τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ⟨ὑπεθέμεθα, ἦν δὲ καὶ τὸ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης⟩, καὶ τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρξει· ἀντιστρέφει γάρ. εἰ τοίνυν τὸ μὲν Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρξει· γίνεται γὰρ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἀλλὰ τοῦτο ψεῦδος· ὑπέκειτο γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχειν μόνον· τὸ δὲ παντὶ ὑπάρχον ἐνδέχεται καὶ μηδενὶ ὑπάρχειν· τοιαύτη γὰρ ἡ τοῦ κυρίως ὑπάρχοντος φύσις. ψεῦδος ἄρα τὸ ἐξ ἀνάγκης τὸ Α τινὶ τῷ Β ὑπάρχειν· τὸ δὲ ψεῦδος ἠκολούθησε διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν λέγουσαν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα· ὑπάρχον ἄρα συναχθήσεται. οὐκ ἔφην δὲ ἀδύνατον εἶναι τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχειν ἀλλ' ὡς ψεῦδος· οὐ γάρ, εἴ τι ψεῦδος, τοῦτο καὶ ἀδύνατον, ἀλλ' εἴ τι ἀδύνατον, τοῦτο καὶ ψεῦδος. οὐδὲ γὰρ προεθέμην τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι τοῦτο, οὐ χάριν οὐδὲ τὸ ἀντικείμενον ἔλαβον τῷ ὑπάρχειν

1. 2 [illegible] γ' τοῦ Al. 126,11: ἐκεῖναι γίνονται P 4 γίνεται scripsi: γίνονται P 6 εἰ δὲ . . . συμπέρασμα (9) Al. 128,3 sq. ὑπάρχουσα Al.: ὑπάρχει P 8 συμβαίνει Al. 128,5: συμβαίνειν P 11 ὑπάρχον scripsi: ὑπάρχει P δεικτέον . . . ἀλλ' ὑπαρχόντως (3,19) Philop. f. 33ᵛ 18 δ' habet etiam Phil. 19 ἀκολουθῇ (ante ψευδὴς) Phil. 21 τὸ μὲν α Phil. 26 ὑπεθέμεθα . . . ᾗ ἐξ ἀνάγκης (27) Phil.: om. P 28. 29 ὑπάρχει . . . ὑπάρξει Phil.: ὑπάρξει . . . ὑπάρχει P 34 τὴν λέγουσαν Phil. f. 34ʳ 36 ἀλλ' ὡς P: ἀλλὰ Phil.

παντί, ἀλλὰ μόνον δεῖξαι τὸ ψεῦδος τὸ λέγον, ὅτι ἀναγκαῖον συνάγεται συμπέρασμα. οὐδὲ γὰρ ἐπί τινος ἀδύνατον τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπαρχόντως παντὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν· τοιοῦτον γάρ ἐστι τὸ κοινότερον ὑπάρχον. ψεῦδος δὲ τὸ τινὶ ἐξ ἀνάγκης ὑπάρχον τοῦτο καὶ παντὶ ὑπάρχειν κατὰ τὸ ἁπλῶς, τουτέστι τὸ καθόλου ⟨τοῦ⟩ ὑπάρχοντος σημαινόμενον, ὅπερ δύναται μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν καὶ μηδενὶ ἐνδέχεσθαι ὑπάρχειν. οὕτως μὲν οὖν διὰ τοῦ πρώτου σχήματος. διὰ δὲ τοῦ τρίτου οὕτως· εἰ γὰρ τὸ Α παντὶ ἐξ ἀνάγκης τῷ Γ, ὡς ἄν τις ὑπολάβοι, ὑπῆρχε δὲ καὶ τὸ Β ἐξ ἀνάγκης παντὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχον. γίνεται γὰρ ὁ πρῶτος τρόπος τοῦ τρίτου σχήματος τῶν δύο καταφατικῶν ἀναγκαίων οὐσῶν μερικὸν καταφατικὸν ἀναγκαῖον συνάγων συμπέρασμα. ὑπέκειτο δὲ καὶ παντὶ τῷ Β τὸ Α ὑπαρχόντως· ψεῦδος ἄρα τὸ τινὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχειν τὸ Α· ἐνδέ-|χεται γὰρ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου τὸ ληφθὲν ὡς παντὶ ὑπάρχειν καὶ μη- 66r
δενὶ αὐτῷ ὑπάρχειν. ψεῦδος ἄρα τὸ τινὶ ἐξ ἀνάγκης· τὸ δὲ ψεῦδος ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τῷ Γ ἐξ ἀνάγκης παντὶ τὸ Α ὑπάρχειν. ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν, ὅτι οὐκ ἔστιν ἀναγκαῖον τὸ συμπέρασμα· κίνησις μὲν γὰρ παντὶ ζώῳ ὑπαρχόντως ὑπάρχει, ζῶον δὲ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ συμπέρασμα συνάγεται οὐκ ἀναγκαῖον ἀλλ' ὑπάρχον· κίνησις γὰρ παντὶ ἀνθρώπῳ ὑπάρχει οὐκ ἀναγκαίως ἀλλ' ὑπαρχόντως.

Ὁμοίως δὲ δειχθήσεται μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα, κἂν ἡ μείζων ᾖ καθόλου ὑπάρχουσα ἀποφατική, εἰ τοίνυν τὸ Α οὐδενὶ τῷ Β ὑπαρχόντως· πάλιν γὰρ ἐκθησόμεθα τὸ συμπέρασμα ἀναγκαῖον καθόλου ἀποφατικόν. καὶ ἐν μὲν τῷ πρώτῳ σχήματι τὴν δεῖξιν ποιούμενοι ἀντιστρέψομεν τὴν καθόλου καταφατικὴν ἀναγκαίαν τὴν Β Γ, καὶ ἔσται τὸ Α τῷ Γ οὐδενὶ ἐξ ἀνάγκης, τὸ Γ τῷ Β τινὶ ἐξ ἀνάγκης· ἐξ ὧν συναχθήσεται τὸ Α τινὶ τῷ Β μὴ ὑπάρχειν ἐξ ἀνάγκης, ὃ ψευδές ἐστιν· ὑπέκειτο γὰρ μηδενὶ ὑπάρχειν. εἰ δὲ ἐν τρίτῳ ποιούμεθα τὴν δεῖξιν, τὸ Α οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ· ἐξ ὧν πάλιν συναχθήσεται τὸ Α τινὶ τῷ Β μὴ ὑπάρχειν ἐξ ἀνάγκης. ἀλλὰ καὶ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται πάλιν, ὡς μὴ ἀναγκαῖον συνάγομεν τὸ συμπέρασμα· κίνησις μηδενὶ ζώῳ ὑπαρχέτω, ζῶον δὲ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, κίνησις οὐδενὶ ἀνθρώπῳ, ἀλλ' οὐκ ἐξ ἀνάγκης. δεῖ μέντοι εἰδέναι, ὡς ἣν πεποιήμεθα δεῖξιν, ἔοικε μὲν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, οὐ μὴν ἡ αὐτή ἐστιν ἐκείνῃ. οὔτε γὰρ τὸ ἀντικείμενον τοῦ συναγομένου ὑπεθέμεθα (οὐ γὰρ ἀντίκειται τῷ παντὶ ὑπάρχειν τὸ Α τῷ Γ τὸ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, οὔτε τῷ μηδενὶ ὑπάρχειν τὸ μηδενὶ ἐξ ἀνάγκης· ταῦτα δὲ ὑπεθέμεθα), ἀλλ' οὐδὲ τὸ δειχθὲν ἐκ τῶν ὑποθέσεων ἀδύνατον ἦν, ὥσπερ καὶ ἐπεσημηνάμεθα, ἀλλὰ ψεῦδος· ψεῦδος γὰρ καὶ τὸ ὑποτεθέν. οὐ γὰρ ἀδύνατον· οὔτε γὰρ τὸ παντὶ ὑπάρχον ἀδύνατον καὶ ἐξ ἀνάγκης τινὶ αὐτῶν ὑπάρχειν, οὔτε τὸ μη-

1 τὸ prius om. Phil. 4 ὑπάρχειν scripsi: ὑπάρχον P 5 τὸ καθόλου τοῦ Phil.: τοῦ καθόλου P 9 ὑπάρξει Phil. 11 καταφατικὸν Phil.: ἀποφατικὸν P
14 αὐτῷ Phil.: αὐτὸ P 20 ὁμοίως . . . γίνεσθαι τὸ συμπέρασμα (4,13) Al. 130,27 sq.
23 ποιούμενοι Al. 130,30: ποιούμενος P 28 post τῷ γ add. ἐξ ἀνάγκης Al. 131,3
32 δεῖξιν] δεῖ evan. 33 τὸ Al. 131,9: τὸν P

δενὶ ὑπάρχον κεκώλυται καὶ ἐξ ἀνάγκης τινὶ αὐτῶν μὴ ὑπάρχειν. ψευδεῖ οὖν ἀποδόσει ψεῦδος ἠκολούθησεν· ἀδυνάτῳ μὲν γὰρ ἀδύνατον ἀκολουθήσει, ψευδεῖ δὲ ψεῦδος. ἔτι ὅσον ἐπὶ τῇ δείξει, οὐ κατεσκεύασται τὸ προκείμενον. οὔτε γὰρ εἰ ἀναιρεθῇ τὸ παντὶ ἐξ ἀνάγκης ὡς ψεῦδος ὄν, ἤδη ἀνάγκη ἀληθὲς εἶναι τὸ παντὶ ὑπάρχον· μόνον γὰρ ἐξ ἀνάγκης τίθεται τῇ ἄρσει τινὸς καὶ ἀνασκευῇ | τὸ ἀντικείμενον· ταῦτα δὲ οὐκ ἀντίκεινται. οὐδ' ἐγὼ αὖ τῷ τρόπῳ τῆς δείξεως 66v τῷ παντὶ χρῶμαι. ἀλλὰ προσχρῶμαι αὐτῷ δεικνύς. ὅτι. εἰ ἀναγκαίως ληφθέντος τοῦ συμπεράσματος ψεῦδός τι ὑπεται. ὑπάρχοντος δὲ μή. δεῖ δὲ τοιοῦτον αὐτὸ εἶναι, ἐπεὶ καὶ αἱ προτάσεις τοιαῦται, ὑπάρχον ἂν δεικνύοιτο. οὐ γὰρ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ κέχρημαι, ἀλλὰ μεταλαβὼν ἄλλην πρότασιν, ἀντὶ τῆς ὑπαρχούσης ἀναγκαίαν, καὶ ποιήσας ἐκ ταύτης τε καὶ τῆς δευτέρας τῶν κειμένων τῆς ἐλάττονος συλλογιστικὴν συζυγίαν· εὑρὼν γὰρ τὸ συναγόμενον ψεῦδος ὂν τούτῳ προσχρῶμαι εἰς τὸ μὴ ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα.

Ἐπὶ δὲ τῶν τὴν ἐλάττονα ἐπὶ μέρους ἐχόντων καταφατικὴν τὴν δὲ μείζονα καθόλου καταφατικὴν ἢ ἀποφατικήν. ἂν ἡ μείζων ἀναγκαία ἢ καταφατικὴ οὖσα καθόλου ἢ ἀποφατική, ἡ δὲ ἐλάττων ὑπάρχουσα, ἀναγκαῖόν ἐστι τὸ συμπέρασμα καθάπερ καὶ ἐπὶ τῶν πρώτων συζυγιῶν, ἂν δὲ ἡ ἐλάττων ἢ ἀναγκαία, ὑπάρχον. ἔστω δὴ πρῶτον ἡ μείζων καὶ καθόλου ἀναγκαία. εἰ οὖν τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ Β τινὶ τῷ Γ ὑπάρχει, συναχθήσεται τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχειν. εἰ γὰρ παντὶ τῷ Β τὸ Α ἐξ ἀνάγκης, τὶ δὲ τῶν Γ μέρος ἐστὶ τοῦ Β, καὶ τὸ Α ἄρα τινὶ τῷ Γ ὑπάρχει ἐξ ἀνάγκης μέρει ὄντι τοῦ Β. ἔστωσαν δὲ ὅροι ἐπιστήμη, γραμματική, ἄνθρωπος· ἐπιστήμη πάσῃ γραμματικῇ ἐξ ἀνάγκης, γραμματικὴ δὲ τινὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ συνάγεται ἐπιστήμη τινὶ ἀνθρώπῳ ἐξ ἀνάγκης.

Ὁμοίως δέ, καὶ εἰ καθόλου εἴη ἀποφατικὴ ἡ μείζων ἀναγκαία, ἀναγκαῖον οὕτωσ συναχθήσεται τὸ συμπέρασμα. εἰ γὰρ τὸ Α μηδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Α οὐ τινὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει· ἐπειδὴ γὰρ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης τὸ Α, τὶ δὲ τοῦ Γ τοῦ Β μέρος ἐστί, καὶ τὸ Α ἄρα οὐ παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει. ὅροι δὲ ἐγρήγορσις, ὕπνος, ἄνθρωπος· ἐγρήγορσις οὐδενὶ ὑπνοῦντι ἐξ ἀνάγκης, ὕπνος τινὶ ἀνθρώπῳ ὑπαρχόντως, καὶ ἐγρήγορσις οὐ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ ἁπλῶς τὰ ἀντιδιῃρημένα δεῖ λαμβάνειν καὶ τὸ μὲν μείζονα ὅρον τιθέναι τὸ δὲ μέσον, ἐλάττονα δὲ ἄλλο τι, ᾧ ὁ μείζων ὑπάρχει ⟨οὐκ⟩ ἐξ ἀνάγκης.

Ἐὰν δὲ ἡ μερικὴ πρότασις ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ὥσπερ γὰρ ἐπὶ τῶν καθόλου συζυγιῶν οἱ τὴν ἐλάττονα ἔχοντες ἀναγκαίαν 67r οὐ συνῆγον ἀναγκαῖον, οὕτως καὶ ἐπὶ τῶν μερικῶν συζυγιῶν οὐκ ἀναγκαῖον ἀλλ' ὑπάρχον τὸ συμπέρασμα. δῆλον δέ, ὅτι τοῦτο συνάγεται, ἐξ ὧν τούτῳ

---

6 ἀντίκειται Al. 131,21 12 γὰρ om. Al. 131,28 15 ἂν . . . ὑπάρχον (18) Al. 133,9—11 ἂν μὲν Al. 16 ἔσται Al. 133,10 18 εἰ οὖν . . . ὅπερ ἔδει δεῖξαι (9,36) Phil. f. 34v—37r 21 μέρος Phil.: μερικῶν P 22 ὑπάρξει Phil. 27 οὐχ ὑπάρξει omisso οὐ Phil. 29 ὑπάρξει Phil. 29 et 30 ὑπνοῦν Phil. 33 οὐκ Phil.: om. P 35 τῶν Phil.: τοῦ P

μὲν τῷ συμπεράσματι οὐδὲν ἀδύνατον ἕπεται οὔτε ἐνταῦθα οὔτε ἐπὶ τῶν καθόλου προτάσεων, τῷ δὲ ἀναγκαίῳ ἀκολουθεῖ. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπαρχόντος, τὸ δὲ Β τινὶ τῷ Γ ἐξ ἀνάγκης, καὶ τὸ Α τινὶ τῷ Γ ὑπάρξει. καὶ ἡ αἰτία· οὐδὲν γὰρ ἀδύνατον συμπίπτει, καθάπερ οὐδὲ ἐν τοῖς καθόλου
5 συλλογισμοῖς. ἡνίκα γὰρ ἐπ' ἐκείνων ἐλαμβάνομεν τὴν ἐλάττονα ἐξ ἀνάγκης καὶ ὑπετιθέμεθα ὑπάρχον συνάγεσθαι τὸ συμπέρασμα, οὐδὲν ψεῦδος εἵπετο· ⟨εἰ δὲ ἀναγκαῖον ὑπεθέμεθα συνάγεσθαι συμπέρασμα, ψεῦδός τι εἵπετο⟩. ὡς οὖν ἐπ' ἐκείνων ἀναγκαίου μὲν ὑποτεθέντος τοῦ συμπεράσματος ψεῦδός τι συνήγετο ὑπάρχοντος δὲ οὐκέτι, οὕτω καὶ ἐπὶ τῶν ἐν μέρει, εἰ
10 ὑπεθέμεθα ἐξ ἀνάγκης ἕπεσθαι τὸ συμπέρασμα, ψεῦδος ἕπεται, εἰ δὲ ὑπάρχον, οὔ. ὁμοίως δὲ καὶ εἰ ἡ στερητικὴ εἴη καθόλου ὑπάρχουσα, ἀναγκαία δὲ ἡ ἐλάττων, ὑπάρχον συνάγεται συμπέρασμα. καὶ τοῦτο πάλιν δεικτέον τὸ συμπέρασμα ἐπὶ ὅρων· κίνησις παντὶ ζώῳ ὑπαρχόντως, ζῶον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ συνάγεται κίνησις τινὶ λευκῷ ὑπαρχόντως οἷον κύκνῳ· καὶ ἐπὶ
15 τοῦ 'οὐ πᾶς' συνάγεται κίνησις οὐ παντὶ ζώῳ ὑπαρχόντως. ἢ οὕτως· κίνησις οὐδενὶ ζώῳ ὑπαρχόντως, ζῶον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ κίνησις τινὶ λευκῷ οὐχ ὑπάρχει.

Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος εἰ μὲν ἡ στερητικὴ πρότασις καθόλου εἴη καὶ ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον, εἰ δὲ ἡ κατηγορική,
20 οὐκ ἀναγκαῖον. ἐπειδὴ γὰρ οἱ ἐν δευτέρῳ σχήματι συλλογισμοὶ τελειοῦνται τῇ εἰς πρῶτον σχῆμα ἀναγωγῇ. ἐν δὲ τῷ πρώτῳ σχήματι δεῖ πάντως τὴν ἀποφατικὴν μείζονα εἶναι. ἐδείκνυον δέ, ὅτι, ὅπως ἂν ἔχῃ ἡ μείζων ἐν πρώτῳ, οὕτως ἀνάγκη ἔχειν καὶ τὸ συμπέρασμα, εἰκότως ἄρα, φημί, ὅπως ἂν ἔχῃ ἐν δευτέρῳ σχήματι ἡ ἀποφατικὴ πρότασις, οὕτως ἀνάγκη ἔχειν καὶ τὸ συμπέ-
25 ρασμα. ἀναγομένου γὰρ τοῦ δευτέρου σχήματος εἰς τὸ πρῶτον πάντως ἡ ἀποφατικὴ μείζων εὑρίσκεται. ἔστω γὰρ ἡ στερητικὴ πρῶτον ἀναγκαία, ἡ δὲ κατηγορικὴ ὑπάρχουσα, καὶ τὸ Α τῷ μὲν Β μηδενὶ ἐξ ἀ|νάγκης τῷ δὲ Γ 67ᵛ παντὶ ὑπαρχόντως· συνάγεσθαί φημι τὸ συμπέρασμα ἀναγκαῖον. ἀντιστραφείσης γὰρ τῆς ἀποφατικῆς γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος·
30 εἰ γὰρ τὸ Α ἐξ ἀνάγκης μηδενὶ τῷ Β, οὐδὲ τὸ Β μηδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ δέ γε Α παντὶ τῷ Γ ὑπαρχόντως· γίνεται τὸ πρῶτον σχῆμα· τὸ ἄρα Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης. ὅροι ἀρετή, κακία, ἄνθρωπος· ἀρετὴ οὐδεμιᾷ κακίᾳ ἐξ ἀνάγκης. ἀρετὴ παντὶ ἀνθρώπῳ ὑπαρχόντως. κακία οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ καθόλου εὐπορήσομεν λαμβάνοντες ἀντιδιῃρημένα ἀλλήλοις εἴδη
35 καὶ τὸ ἕτερον ποιοῦντες μείζονα ὅρον τὸ δὲ ἕτερον μέσον, ἕτερον δέ τι ἐλάττονα δυνάμενον μετέχειν ἀνὰ μέρος ἑκατέρου μὴ ἀναγκαίως.

Ὡσαύτως δέ, καὶ ⟨εἰ⟩ ἡ μείζων καθόλου καταφατικὴ ὑπάρχουσα εἴη, ἡ δὲ ἐλάττων καθόλου ἀποφατικὴ ἀναγκαία· ἀναγκαῖον γὰρ καὶ αὕτη συνάγει συμπέρασμα διά τε τῆς ἀντιστροφῆς τῆς ἐλάττονος, τουτέστι τῆς ἀποφατικῆς,
40 καὶ ἔτι τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπαρ-

7 εἰ δὲ . . . εἵπετο (8) Phil. f. 35ᵛ: om. P 20 ἀναγκαῖον Arist. p. 30ᵇ9: ἀναγκαία P
29 γὰρ Phil.: δὲ P 37 εἰ addidi: om. P

γόντως τῷ δὲ Γ οὐδενὶ ἐξ ἀνάγκης. καὶ τὸ Β ἄρα τῷ Γ οὐδενὶ ἐξ ἀνάγκης. ἐπεὶ γὰρ τὸ Α οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης. καὶ τὸ Γ οὐδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ δὲ Α παντὶ τῷ Β ὑπαρχόντως· τὸ ἄρα Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης. ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι, ἀλλ' εἰ τὸ Β μηδενὶ τῷ Γ ἐξ ἀνάγκης. ἐπεὶ οὖν ἀντιστρέφει ἡ καθόλου ἀποφατικὴ ἐπὶ τοῦ ἀναγκαίου, εἰ τὸ Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, οὐδὲ τὸ Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης. ὅροι ὑγεία, νόσος, ἄνθρωπος· ὑγεία παντὶ ἀνθρώπῳ ὑπαρχόντως, ὑγεία οὐδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, ὁ ἄνθρωπος οὐδεμιᾷ νόσῳ ἐξ ἀνάγκης. ἀλλὰ καὶ νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, ἀντιστρεφομένης τῆς ἐλάττονος προτάσεως καὶ τοῦ συμπεράσματος. εἰ γὰρ ὑγεία οὐδεμιᾷ νόσῳ, καὶ νόσος οὐδεμιᾷ ὑγείᾳ· ὑγεία δὲ παντὶ ἀνθρώπῳ· καὶ νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. εἰ δὲ ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον. εἶπον δὲ τὴν αἰτίαν, τί δήποτε ταῖς στερητικαῖς ἐν τούτῳ τῷ σχήματι ἀκολουθεῖ τὸ συμπέρασμα. ὑπαρχέτω γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, οὐδενὶ δὲ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Β οὐδενὶ τῷ Γ ὑπαρχόντως. εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Γ, καὶ τὸ Γ οὐδενὶ τῷ Α ὑπαρχόντως, ἐπειδὴ | ἀντιστρέφει, τὸ δὲ Α παντὶ τῷ Β ἐξ ἀνάγκης· γέγονε τὸ 68r πρῶτον σχῆμα (ἐκ) τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης. ἐδείχθη δὲ ἐν πρώτῳ σχήματι, ὅτι, ὁποῖος ἂν ᾖ ὁ μείζων ὅρος, τοιοῦτον συνάγεται καὶ τὸ συμπέρασμα· ἀντιστρεφομένης οὖν τῆς στερητικῆς καὶ τὸ Β οὐδενὶ τῷ Γ ὑπαρχόντως, ὅπερ ἔδει δεῖξαι.

Δειχθείσης δὲ τῆς προκειμένης συζυγίας δι' ἀντιστροφῆς τὸ ὑπαρχόντως καὶ ⟨οὐ⟩ τὸ ἀναγκαίως συναγούσης νῦν αὐτὸ τοῦτο δεικτέον καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ. εἰ γὰρ ὑποθώμεθα ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα, ἕψεταί τι ἄτοπον τῇ ὑποθέσει ταύτῃ· εἰ δὲ τῇ ὑποθέσει ταύτῃ ἄτοπόν τι ἀκολουθεῖ, καὶ ψεῦδός ἐστι· ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. εἰ γάρ τις εἴπῃ συνάγεσθαι τὸ Β μηδενὶ τῷ Γ ἐξ ἀνάγκης, ἀντιστρέφει δῆλον ὅτι, καὶ τὸ Γ μηδενὶ τῷ Β ὑπάρξει ἐξ ἀνάγκης· εἰ τοίνυν τὸ μὲν Γ οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Α ἐξ ἀνάγκης, ἐκ δύο δὲ ἀναγκαίων ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, καὶ τὸ Γ ἄρα ἐξ ἀνάγκης τινὶ τῷ Α οὐχ ὑπάρξει. ἀλλ' ἐπειδὴ ὑπέκειτο τὸ Α μηδενὶ ὑπαρχόντως τῷ Γ, καὶ τὸ Γ μηδενὶ ἄρα τῷ Α ὑπαρχόντως, ἐδείχθη δὲ τὸ ὑπάρχειν τοιοῦτον ὄν, ὡς δύνασθαι, ὃ μηδενὶ ὑπάρχει, τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ ὑπάρχειν, καὶ παντὶ ὑπαρχόντως καὶ τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρξει τῷ Α τὸ Γ, ὅπερ ἄτοπον. δῆλον ἄρα, ὅτι τὸ ἄτοπον ἠκολούθησεν ἐκ τοῦ ὑποθέσθαι ἡμᾶς ἐξ ἀνάγκης μηδενὶ τῷ Γ τὸ Β· ἀληθῶς ἄρα τὸ ὑπαρχόντως μηδενί, ὅπερ ἔδει δεῖξαι. ἔτι οὐ μόνον τοῖς καθόλου λόγοις τὸ προκείμενον πιστωσόμεθα ἀλλὰ καὶ τῇ διὰ τῶν ὅρων, τουτέστι τῇ τῶν πραγμάτων δείξει, ὅτι τὸ συμπέρασμα ὑπαρχόντως συνάγεται καὶ οὐχὶ κυρίως ἀναγκαῖον, ἀλλ' εἴ γε ἄρα, τὸ ἐξ ὑποθέσεως. οἷον ἔστω τὸ Α ζῶον, τὸ δὲ Β ἄνθρωπος, τὸ Γ λευκόν· ζῶον

1 εἰ Phil.: ἢ P 9 προτάσεως Phil.: πρότερον P 15 et 16 ὑπαρχόντως Phil. f. 35v: ὑπαρχέτω P 17 ἐκ Phil.: om. P ὑπαρχούσης Phil.: ὑπάρχουσαν P 21. 22 ὑπάρχον . . . ἀναγκαῖον Phil. 22 οὐ Phil.: om. P 32 ὑπάρχει Phil.: ὑπάρχειν P 33 τῷ α τὸ scripsi: τὸ α τῷ P 37 τῶν πραγμάτων P: διὰ τῶν παραδειγμάτων Phil. 38 ὑπάρχον Phil.

παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, ζῶον οὐδενὶ λευκῷ· καὶ συνάγεται ἀντιστραφείσης τῆς ἀποφατικῆς καὶ τοῦ συμπεράσματος, ὅτι ἄνθρωπος οὐδενὶ λευκῷ ὑπαρχόντως. οὐ γάρ ἐστιν ἐξ ἀνάγκης τὸ μηδένα λευκὸν εἶναι ἄνθρωπον, ἀλλ' εἰ ἄρα, ἐξ ὑποθέσεως, ἕως ἂν ὑποκέηται τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχειν. σαφέστερον δὲ μᾶλλον ἔσται ἡ δεῖξις, ἐὰν κίνησιν καὶ βάδισιν | καὶ ἄνθρωπον 68v λάβωμεν ἢ ἁπλῶς καθολικώτερόν τι καὶ μερικώτερον καὶ ἕτερόν τι, ᾧ ὑπάρχουσι ταῦτα οὐκ ἐξ ἀνάγκης. κίνησις γὰρ πάσῃ μὲν βαδίσει ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ οὐδενὶ ὑπαρχόντως· καὶ συνάγεται βάδισις οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως. ὥστε τούτων μὲν ὄντων ἔσται τὸ συμπέρασμα ἀναγκαῖον, τουτέστιν ἕως ἡ μὲν τῶν προτάσεων ἀναγκαίως ὄντως ὑπάρχει ἡ δὲ ἐξ ὑποθέσεως. καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως ἔσται ἀναγκαῖον καὶ οὐχ ἁπλῶς, τουτέστι κυρίως ἀναγκαῖον. δῆλον δὲ ἄρα, ὅτι ἐν ταῖς μίξεσιν, ὅταν ἀναγκαῖον λέγω γένεσθαι τὸ συμπέρασμα, τὸ ἁπλῶς ἀναγκαῖον λέγω καὶ οὐ τὸ μετὰ διορισμοῦ, τουτέστιν ἐξ ὑποθέσεως.

Ὁμοίως δὲ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. τῇ γὰρ ἀποφατικῇ καὶ ἐπὶ τούτων ἀκολουθεῖ τὸ συμπέρασμα καθόλου οὔσῃ, κἂν μείζων ᾖ κἂν ἐλάττων· μερικῆς δὲ οὔσης τῆς ἀποφατικῆς οὐκέτι. ἔστι δὴ πρῶτον ἡ στερητικὴ καθόλου τε καὶ ἀναγκαία, ἡ δὲ ἐλάττων μερικὴ καταφατικὴ ὑπαρχόντως. οἷον τὸ Α οὐδενὶ μὲν τῷ Β ἐξ ἀνάγκης, τῷ δὲ Γ τινὶ ὑπάρχει· λέγω, ὅτι τὸ Β τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει. εἰ γὰρ τὸ Α ἐξ ἀνάγκης μηδενὶ τῷ Β, καὶ τὸ Β οὐδενὶ τῷ Α ἐξ ἀνάγκης· τὸ δὲ Α τινὶ τῷ Γ ὑπάρχει· τὸ ἄρα Β τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει· δέδεικται γὰρ τοῦτο ἐν πρώτῳ σχήματι. οἱ δὲ αὐτοὶ ὅροι ἁρμόσουσι κἀνταῦθα πρὸς τὸ δεῖξαι ὑπάρχον συναγόμενον τὸ συμπέρασμα. οἵπερ καὶ ἐν τῷ πρώτῳ σχήματι ἐν τούτῳ τῷ τρόπῳ. πάλιν ἔστω ἡ κατηγορικὴ καθόλου ἀναγκαία, ἡ δὲ μερικὴ ἀποφατικὴ ὑπάρχουσα. οἷον εἰ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης ὑπάρχει, τῷ δὲ Γ οὐ παντὶ ὑπάρχει, τὸ Β ἄρα τῷ Γ οὐ παντὶ ὑπαρχόντως. δείκνυται δὲ αὕτη ἡ συζυγία διὰ τῶν ὅρων τῶν αὐτῶν, δι' ὧν καὶ τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας ἐδείξαμεν τῆς δὲ ἐλάττονος ὑπαρχούσης καθόλου ἀποφατικῆς. κίνησις μὲν γὰρ πάσῃ βαδίσει ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ οὐ παντὶ ὑπαρχόντως, καὶ συνάγεται βάδισις οὐ παντὶ ἀνθρώπῳ ὑπαρχόντως· αἱ γὰρ αὐταὶ ἁρμόσουσι κἀνταῦθα δείξεις, αἵπερ καὶ ἐπὶ τῶν καθόλου. ἀλλ' οὐδὲ εἰ ἡ μὲν καθόλου καταφατικὴ ὑπάρχουσα, ἡ δὲ ἐν μέρει στερητικὴ ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον ἀλλ' ὑπάρχον. καὶ οἱ αὐτοὶ ὅροι ἁρμόσουσι καὶ ἐπὶ τούτων, πλὴν ὅσον μεπατιθεμένης τῆς τάξεως· τὸν γὰρ ἐλάττονα μείζονα | δεῖ ποιῆσαι, τὸν δὲ μείζονα μέσον οὕτως· βάδισις παντὶ ἀνθρώπῳ 69r ὑπαρχόντως, κινήσει δὲ οὐ πάσῃ ἐξ ἀνάγκης· καὶ συνάγεται ἄνθρωπος οὐ πάσῃ κινήσει ὑπαρχόντως. οὐ δείκνυται δὲ αὕτη ⟨δι'⟩ ἀντιστροφῆς διὰ τὸ μηδεμίαν μερικὴν στερητικὴν ἀντιστρέφειν πρὸς ἑαυτήν. τὴν δὲ λοιπὴν συζυγίαν παραλελοίπαμεν τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης

---

3 εἰ Phil.: ἢ P 5 σαφεστέρα Phil. 12 δὲ om. Phil. 17 ἔστω Arist p. 31a5 21 τῷ α . . . γ Phil. f. 36r: τῷ γ . . . β P 33 ὑπάρχουσα scripsi: ὑπάρχει P 38 δι' Phil.: om. P 40 ἀποφατικῆς ὑπαρχούσης Phil.: ἀποφατικὴν ὑπάρχουσαν P

τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας, ὡς δῆλον γεγονότος, ὅτι μερικὸν ἀποφατικὸν ὑπάρχον συμπέρασμα συνάγει δι' ἀντιστροφῆς δεικνύμενον.

Ἐπεὶ δὲ τὸν περὶ τῆς μίξεως ἀναγκαίου καὶ ὑπάρχοντος ἐν δευτέρῳ σχήματι ἐπληρώσαμεν λόγον, μεταβῆναι δεῖ ἐπὶ τὸ τρίτον σχῆμα καὶ δεῖξαι καὶ τούτῳ, πότε μὲν ἀναγκαῖον γίνεται τὸ συμπέρασμα τῆς ἑτέρας ἀναγκαίας οὔσης προτάσεως τῆς δὲ ἑτέρας ὑπαρχούσης, πότε δὲ ὑπάρχον. φημὶ οὖν, ἐν τοῖς ἐξ ἀμφοτέρων καταφατικῶν προτάσεων συζυγίαις πάντως ἀναγκαῖον ἔσται τὸ συμπέρασμα· ἐφ' ὧν δὲ ἡ μέν ἐστι καταφατικὴ ἡ δὲ ἀποφατική, τῇ ἀποφατικῇ πάντως ἕπεται τὸ συμπέρασμα. καὶ εἰκότως· πάλιν γὰρ ἀντιστρεφομένης τῆς καταφατικῆς καὶ ποιούσης τὸ πρῶτον σχῆμα μείζων εὑρεθήσεται ἡ ἀποφατική· ἐν δὲ τῷ πρώτῳ σχήματι τῇ μείζονι ἀεὶ εἵπετο τὸ συμπέρασμα. εἰ δὴ τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Β τῷ αὐτῷ παντὶ ὑπαρχόντως, ἀντιστραφείσης τῆς ἐλάττονος τὸ πρῶτον γίνεται σχῆμα· τὸ γὰρ Γ τινὶ τῷ Β. εἰ τοίνυν τὸ μὲν Α παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Β ὑπαρχόντως, τὸ Α ἄρα τινὶ τῷ Β ἐξ ἀνάγκης, ὅπερ μέρος ἐστὶ τοῦ Γ. οἱ αὐτοὶ δὲ ὅροι ἁρμόσουσι δεῖξαι αὐτὴν ἀναγκαίαν, οἵπερ καὶ ἐν τῷ πρώτῳ σχήματι· κίνησις πάσῃ βαδίσει ἐξ ἀνάγκης, ἄνθρωπος πάσῃ βαδίσει ὑπαρχόντως, καὶ κίνησις τινὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ὁμοίως δὲ δειχθήσεται, καὶ εἰ πρὸς τῷ Β Γ, τουτέστι τῇ ἐλάττονι, εἴη τὸ ἀναγκαῖον· λέγω γὰρ καὶ αὐτὴν τὸ ἀναγκαῖον συνάγειν. δείκνυται δὲ τοῦτο διὰ δύο ἀντιστροφῶν τῆς τε μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος. ὑπαρχέτω γὰρ τὸ μὲν Β παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Α [ἐξ ἀνάγκης] ὑπαρχόντως μόνον· δῆλον ὅτι συνάγεται τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης· δέδεικται γὰρ τοῦτο ἐν πρώτῳ σχήματι. ἀλλ' ἐζητοῦμεν ἡμεῖς, εἰ τὸ Α τινὶ τῷ Β. τοῦτο οὖν δείκνυται δι' ἀντιστροφῆς τοῦ συμπεράσματος· εἰ γὰρ | τὸ Β τινὶ τῷ Α ἐξ ἀνάγκης, καὶ τὸ Α τινὶ τῷ Β 69v
ἐξ ἀνάγκης. ζητήσει δὲ ἄν τις, τί δήποτε δυνάμενοι τὴν ἐλάττονα ἀντιστρέψαι πρότασιν καὶ ποιῆσαι ὑπάρχον τὸ συμπέρασμα μιᾶς δεηθέντες ἀντιστροφῆς τὴν μείζονα ἀντιστρέφομεν καὶ δεόμεθα δύο ἀντιστροφῶν, ἵνα ποιήσωσιν ἀναγκαῖον τὸ συμπέρασμα· οἷον τὸ Α παντὶ τῷ Γ ὑπαρχόντως, τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης, καὶ συμπέρασμα τὸ Α τινὶ τῷ Β ὑπαρχόντως. τί οὖν λέγομεν; ὅτι, εἰ καὶ ἐδυνάμεθα τοῦτο ποιῆσαι, ἀλλ' οὖν τὸ ἀεὶ ἀκολουθοῦν συνηγάγομεν· ἀμφοτέρων γὰρ οὐσῶν καθόλου καταφατικῶν προτάσεων, πρὸς ᾧ ποτε ἂν ᾖ ἄκρῳ τὸ ἀναγκαῖον, ἠδύνατο τὸ ἀναγκαῖον συνάγεσθαι, οὐκέτι δὲ τὸ ὑπάρχον ἀεί· ὥστε τὸ ἀεὶ ὑπάρχον συνηγάγομεν.

Πάλιν ἔστω ἡ μὲν μείζων πρότασις στερητικὴ καθόλου ἀναγκαία, ἡ δὲ ἐλάττων κατηγορικὴ ὑπάρχουσα. ἐπεὶ τοίνυν ἀντιστρέφει τὸ καθόλου καταφατικόν, εἰ τὸ Β παντὶ τῷ Γ ὑπαρχόντως ⟨,καὶ τὸ Γ τινὶ τῷ Β ὑπαρχόντως⟩. ἐπεὶ οὖν τὸ μὲν Α οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῷ Β ὑπαρχόντως, γίνεται τὸ πρῶτον σχῆμα, καὶ συνάγεται τὸ Α οὐ παντὶ τῷ Β ἐξ ἀνάγκης· μέρος γὰρ τοῦ Γ τὸ τὶ Β, ᾧ τὸ Α οὐδενὶ ὑπάρχει ἐξ ἀνάγκης. οἱ δὲ αὐτοὶ

10 ποιούσης Phil.: ποιοῦσι P 22 ἐξ ἀνάγκης ut ex vs. sq. translatum delevi
30 ὑπαρχόντως scripsi: ὑπαρχέτω P 37 καὶ . . . ὑπάρχει (ὑπαρχόντως scripsi) Phil. f. 36v: om. P 38 τῷ β Phil.: τὸ β̄ P

ὅροι τοῦ δεῖξαι, ὅτι ἀναγκαίως καὶ ὑπαρχόντως συνάγεται, οἷπερ καὶ ἐν τῷ πρώτῳ ἡμῖν παρελήφθησαν σχήματι. ὃ δὲ ἤδη εἴπομεν, τοῦτο ὑπομνηστέον, ὅτι ἐπὶ τῶν συζυγιῶν τῶν ἐκ τῆς μιᾶς ἀποφατικῆς τῆς δὲ ἑτέρας καταφατικῆς τοῦ ἀποφατικοῦ καθόλου ὄντος αὐτῷ μὲν ἀεὶ ἀκολουθεῖ τὸ συμπέρασμα ἐν πᾶσι τοῖς σχήμασι. ⟨ἐν μὲν τῷ πρώτῳ⟩, διότι ἀποφατικὴ οὖσα μείζων πάντως ἐστίν, ὡς ἂν δὲ εἶχεν ἡ μείζων, οὕτως εἶχε καὶ τὸ συμπέρασμα, ἐν ⟨δὲ⟩ τοῖς λοιποῖς, διότι ἡ ἀντιστροφὴ εἰς τὸ πρῶτον σχῆμα ἀνῆγε καὶ τὴν ἀποφατικὴν πάντως μείζονα ἐποίει. εἰ δὲ ἡ κατηγορικὴ πρότασις ἀναγκαία ἡ δὲ στερητικὴ ὑπάρχουσα, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. εἰ γὰρ τὸ μὲν Α οὐδενὶ τῷ Γ ὑπαρχόντως τὸ δὲ Β παντὶ ἐξ ἀνάγκης, ἔσται καὶ τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης· εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Γ ὑπαρχόντως τὸ δὲ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης, τὸ ἄρα Α οὐ παντὶ τῷ Β ὑπαρχόντως· δέδεικται γὰρ ἐν τῷ πρώτῳ. ἔτι καὶ διὰ τῶν ὅρων φανείη ἂν φανερόν. ἔστω τὸ μὲν Α ἀγαθόν, | τὸ δὲ Β ζῶον, τὸ δὲ Γ ἵππος· ἀγαθὸν μὲν οὐδενὶ ἵππῳ ὑπαρχέτω, 70ᵃ ζῶον δὲ παντὶ ἵππῳ ἐξ ἀνάγκης. καὶ συνάγεται ἀγαθὸν τινὶ ζώῳ μὴ ὑπάρχειν μόνως· δύναται γὰρ καὶ πᾶν ζῶον εἶναι ἀγαθόν, δηλονότι κατὰ τὸ φυσικὸν ἀγαθόν. εἰ δέ τις πρὸς τοῦτο ἐνίσταται μὴ συγχωρῶν τῇ μείζονι προτάσει (εἶναι γάρ τι ζῶον ἐξ ἀνάγκης οὐκ ἀγαθὸν οἷον τὰ ἰοβόλα), μεταληπτέον τὸν ὅρον καὶ θετέον ἀντὶ τοῦ ἀγαθοῦ ἢ τὸ ἐγρηγορέναι ἢ τὸ καθεύδειν μηδενὶ ἵππῳ ὑπάρχον, ζώῳ δὲ παντὶ ἐξ ἀνάγκης, καὶ συνάγεται ἐγρήγορσις ἢ τὸ καθεύδειν τινὶ μὴ ὑπάρχειν ζώῳ ὑπαρχόντως, οὐ μὴν ἐξ ἀνάγκης· ἅπαν γὰρ ζῶον δεκτικὸν τούτων· εἰ γὰρ δεκτικὸν τούτων ἅπαν ζῶον, οὐδὲν ἔσται ζῶον, ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ ἐγρηγορέναι ἢ τὸ κοιμᾶσθαι.

Ἐπὶ δὲ τῶν τὴν ἑτέραν ἐχουσῶν καθόλου τὴν δὲ ἑτέραν μερικὴν καταφατικῶν οὐσῶν ἀμφοτέρων τῶν προτάσεων τῇ καθόλου ἕπεται τὸ συμπέρασμα· τῆς ⟨γὰρ⟩ μερικῆς ἀντιστρεφομένης τῇ ἀναγωγῇ τῇ εἰς τὸ πρῶτον σχῆμα ἡ καθόλου μείζων γίνεται· ἐκεῖ δὲ τῇ μείζονι ἠκολούθει τὸ συμπέρασμα. καλῶς οὖν ἄρα εἴρηται ἐπὶ τούτων τῇ καθόλου ἀκολουθεῖν τὸ συμπέρασμα. θετέον οὖν πρότερον μὲν ἔχουσαν τὴν μείζονα μερικὴν καταφατικὴν ὑπάρχουσαν τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ἀναγκαίαν συνάγουσαν διὰ τῆς ἀντιστροφῆς τῆς μείζονος καὶ τοῦ συμπεράσματος ἀναγκαῖον συμπέρασμα. ἔστω γὰρ τὸ μὲν Α τινὶ τῷ Γ ὑπαρχόντως, τὸ δὲ Β παντὶ ἐξ ἀνάγκης· συνάγει τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης. εἰ γὰρ τὸ Α τινὶ τῷ Γ, καὶ τὸ Γ τινὶ τῷ Α ὑπαρχόντως· οὐκοῦν εἰ τὸ μὲν Β παντὶ τῷ Γ ἐξ ἀνάγκης τὸ δὲ Γ τινὶ τῷ Α ὑπαρχόντως, ἐξ ἀνάγκης καὶ τὸ Β τινὶ τῷ Α· ἐπεὶ δὲ ἀντιστρέφει τὸ 'τίς', καὶ τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης, ὅπερ ἔδει δεῖξαι.

Ὁμοίως δὲ ἀναγκαῖον ἔσεται τὸ συμπέρασμα, κἂν ἡ μὲν μείζων καθόλου

---

5 ἐν μὲν τῷ πρώτῳ Phil.: om. P 6 δὲ alterum Phil.: om. P 8. 9 ἀναγκαία . . . ὑπάρχουσα scripsi: ἀναγκαῖον . . . ὑπάρχον P 10. 11 τὸ γ τινὶ τῷ β ἐξ ἀνάγκης Phil.: τὸ α οὐ παντὶ τῷ β ὑπαρχόντως (cf. vs. 12) P 13 φανείη ἂν P: πάνυ ἂν εἴη Phil. 24. 25 μερικὴν καταφατικῶν Phil. f. 37ᵃ: καταφατικὴν μερικὴν P 26 γὰρ Phil.: om. P 31 τοῦ συμπεράσματος Phil.: τῷ συμπεράσματι P 37 ὁμοίως . . . τὴν ἐλάττονα ἀναγκαίαν (11,16) Al. 148,16 sq.

καταφατικὴ ἀναγκαία ληφθῇ ἡ δὲ ἐλάττων ἐπὶ μέρους καταφατικὴ ὑπάρχουσα. πάλιν γὰρ ταύτης, φημὶ δὴ τῆς ἐπὶ μέρους, ἀντιστραφείσης γίνεται ἐν πρώτῳ σχήματι ἡ μείζων καθόλου καταφατικὴ ἀναγκαία· διὸ καὶ ἐπὶ μέρους καταφατικὸν ἀναγκαῖον γίνεται πάλιν τὸ συμπέρασμα. πλὴν ἐπὶ μὲν τῆς πρὸ ταύτης συμπλοκῆς καὶ τὸ συμπέρασμα ἐδέησεν ἀντιστρέψαι, ἐπὶ δὲ ταύτης | τῆς ἐχούσης τὴν μείζονα καθόλου καταφατικὴν ἀναγκαίαν τὴν ἐλάττονα πρότασιν μόνην ἀντιστρέφομεν. τὸ γὰρ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης, τὸ δὲ Β ὑπάρχει μόνον τινὶ τῷ Γ, καὶ τὸ Γ τινὶ τῷ Β ὑπαρχόντως· οὐκοῦν εἰ μὲν τὸ Α παντὶ τῷ Γ δεῖ, τὸ δὲ Γ τινὶ τῷ Β ὑπαρχόντως, τὸ ἄρα Α τινὶ τῷ Β ἐξ ἀνάγκης· δέδεικται γὰρ ἤδη πρότερον. ἂν δὲ ἡ ἐπὶ μέρους πρότασις ἀναγκαία ληφθῇ, οὐκέτι γίνεται τὸ συμπέρασμα ἀναγκαῖον τῷ γίνεσθαι οὕτως τὴν ἐλάττονα πρότασιν ἐν τῷ πρώτῳ σχήματι ἀναγκαίαν· ἧς οὔσης τοιαύτης τῆς δὲ μείζονος ὑπαρχούσης ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα. ἔστω γὰρ τὸ μὲν Β τινὶ τῷ Γ ὑπάρχον ἐξ ἀνάγκης. τὸ δὲ Α παντὶ τῷ Γ ὑπαρχόντως· ἂν δὴ ἀντιστρέψωμεν τὴν Β Γ τηρήσαντες τὴν Α Γ τὴν καθόλου ὑπάρχουσαν (οὐ γὰρ οἷόν τε ἄλλως), γίνεται τὸ Α τῷ Γ παντὶ ὑπάρχειν, τὸ Γ τινὶ τῷ Β ἐξ ἀνάγκης· οὕτως δ' ἐχουσῶν οὐκ ἐγίνετο τὸ συμπέρασμα ἀναγκαῖον. ὅτι δὲ μὴ ἀναγκαῖον γίνεται, δεικτέον καὶ τῇ τῶν ὅρων παραθέσει. ληπτέον γὰρ ἐπὶ μὲν τοῦ Α ἐγρήγορσιν, ἐπὶ δὲ τοῦ Β δίπουν, ἐπὶ δὲ τοῦ Γ ζῶον· τὸ μὲν δίπουν τινὶ ζώῳ ἐξ ἀνάγκης ὡς τῷ ἀνθρώπῳ, ἡ δὲ ἐγρήγορσις παντὶ ζώῳ ὑπαρχέτω, καὶ ἐγρήγορσις τινὶ δίποδι ὑπαρχόντως, ἀλλ' οὐκ ἐξ ἀνάγκης. ὁμοίως δὲ καὶ διὰ τῶν ὅρων δειχθήσεται μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα, κἂν ἡ μὲν μείζων ἡ Α Γ ἐπὶ μέρους ἀναγκαία καταφατικὴ μερικὴ ληφθῇ ἡ δὲ Β Γ καθόλου καταφατικὴ ὑπαρχόντως. πάλιν δὲ δεήσει μεταθεῖναι ἐπὶ μὲν τοῦ Α δίπουν, ἐπὶ δὲ τοῦ Β ἐγρήγορσιν· ἔσται γὰρ οὕτως δίπουν τινὶ ζώῳ ἐξ ἀνάγκης, ἐγρήγορσις παντὶ ζώῳ ὑπαρχόντως, καὶ συναχθήσεται τὸ δίπουν τινὶ ἐγρηγόρσει ὑπαρχόντως, οὐ μὴν ἐξ ἀνάγκης. οὐδὲν δὲ ἔλαττον ἔστι καὶ τοῦτο διὰ τῆς ἀντιστροφῆς τῆς ἐπὶ μέρους καταφατικῆς ἀναγκαίας ἀνάγοντας εἰς τὸ πρῶτον σχῆμα δεῖξαι τὴν ἐλάττονα πάλιν ἐν τῷ αὐτῷ γινομένην ἀναγκαίαν ἀντιστρεφομένου καὶ τοῦ συμπεράσματος.

Εἰ δὲ ἡ μὲν κατηγορικὴ ἡ δὲ στερητικὴ τῶν προτάσεων, ἂν μὲν ἡ στερητικὴ καθόλου ᾖ καὶ ἀναγκαία, ἀναγκαῖον καὶ τὸ συμπέρασμα· περὶ γὰρ τῶν τὴν ἑτέραν ἐχουσῶν ἐν μέρει ὁ λόγος νῦν· ἂν δ' ἡ καταφατικὴ ἀναγκαία, ὑπάρχον καὶ ⟨οὐκ⟩ ἀναγκαῖον. αἴτιον δὲ καὶ ἐν τούτοις, ὅτι ἡ στερητικὴ ὅταν ᾖ καθόλου, ἀντιστραφείσης τῆς καταφατικῆς αὕτη γίνεται ἡ μείζων πρότασις

1 ἡ Al. 148,17: ὁ P ὑπάρχουσα Al. 148,18: ὑπάρχει P 7 τὸ γὰρ . . . πρότερον (10) Phil. f. 37r τὸ γὰρ P: εἰ γὰρ τὸ Phil. 9 δεῖ P: ἐξ ἀνάγκης Phil. 11 τῷ Al. 148,27: τοῦ P 12 ἀναγκαίαν Al. 148,28: ἀναγκαῖον P 13 ὑπαρχούσης Al.: ὑπάρχειν P 16 ὑπάρχειν om. Al. 148,32 21 ὑπαρχόντως scripsi: ὑπαρχέτω P: om. Al. 149,3 τῶν αὐτῶν ὅρων Al. 149,13 23 μέρους Al. 149,14: μέσου P 24 ὑπάρχουσα Al. 149,15 πάλιν δὲ P: πλὴν Al. post μεταθεῖναι add. τοὺς ὅρους καὶ ἀλλάξαι τὴν τάξιν αὐτῶν· ὁμοίως γὰρ αὐτῶν κειμένων οὐκ ἀληθεῖς αἱ προτάσεις. δεῖ οὖν θεῖναι Al. 149,16. 17 33 δὴ P 34 οὐκ Al. 149,28: om. P

ἐν πρώτῳ | σχήματι, ὥστε, ἂν ᾖ ἀναγκαία, ἀναγκαῖον καὶ τὸ συμπέρασμα. 71r
μὴ οὔσης δὲ αὐτῆς ἀναγκαίας ἀλλὰ τῆς καταφατικῆς, ἥτις ἐλάττων γίνεται ἐν πρώτῳ σχήματι ἀναγκαία, τὸ συμπέρασμα οὐκ ἀναγκαῖον. εἰ γὰρ τὸ Α τῷ Γ μηδενὶ ἐξ ἀνάγκης, τὸ δὲ Β τῷ Γ τινὶ ὑπαρχόντως, ἀντιστραφήσεται μὲν ἡ Β Γ, καὶ ἔσται τὸ Γ τινὶ τῷ Β. μένει δὲ ἡ Α Γ μείζων οὖσα καθόλου ἀποφατικὴ ἀναγκαία· διὸ συναχθήσεται τὸ Α τινὶ τῷ Β ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ἂν δὲ γένηται τὸ καταφατικὸν ἀναγκαῖον ἢ καθόλου ὂν ἢ ἐν μέρει, ὡς εἶναι τὴν μὲν μείζονα ἢ καθόλου ἀποφατικὴν ὑπάρχουσαν ἢ ἐπὶ μέρους ἀποφατικὴν ὑπάρχουσαν ἢ ἐπὶ μέρους ἀποφατικὴν ἀναγκαίαν τὴν δὲ ἐλάττονα ἢ καθόλου καταφατικὴν ἀναγκαίαν ἢ ἐπὶ μέρους καταφατικὴν ὁμοίως ἀναγκαίαν ἢ καθόλου καταφατικὴν ὑπάρχουσαν. ὅταν μὲν ᾖ καθόλου ἀποφατικὴ ἡ μείζων ὑπάρχουσα, αὕτη γινομένη ἐπὶ μέρους καταφατικὴ ἀναγκαία, ὅταν δὲ ᾖ ἐπὶ μέρους ἀποφατικὴ ὑπάρχουσα, αὕτη καθόλου καταφατικὴ ἀναγκαία, ὅταν δὲ ᾖ ἐπὶ μέρους ἀποφατικὴ ἀναγκαία, αὕτη καθόλου καταφατικὴ ὑπάρχουσα. οὐδὲν ἀναγκαῖον συναχθήσεται, διότι ἀντιστραφείσης τῆς ἐλάττονος, ὅταν ἐπὶ μέρους ᾖ, γίνεται τὸ πρῶτον σχῆμα ἔχον τὴν ἐλάττονα ἀναγκαίαν. αὗται οὖν αἱ τρεῖς, ἥ τε ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας καὶ ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καταφατικῆς μερικῆς ἀναγκαίας καὶ ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ἀναγκαίας καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης, τὸ ὑπάρχον συνάγουσι.

Τὰ μὲν γὰρ ἄλλα τὰ αὐτά, ἃ καὶ ἐπὶ τῶν πρότερον, ἐροῦμεν· τὰ ἄλλα δέ φημι, δι' ὧν ἐδείκνυμεν καὶ τὰς ἄλλας συζυγίας, λέγω δὲ τῆς ἀντιστροφῆς. οὐ περὶ τῶν τριῶν δὲ τοῦτό φημι (οὐδὲ γὰρ αἱ τρεῖς δι' ἀντιστροφῆς δείκνυνται) ἀλλὰ περὶ τῆς μιᾶς μόνης τῆς ἐχούσης τὴν μείζονα καθόλου ἀποφατικὴν ὑπάρχουσαν τὴν δὲ ἐλάττονα μερικὴν καταφατικὴν ἀναγκαίαν· αὕτη γὰρ τῆς μερικῆς καταφατικῆς ἀντιστραφείσης, τῆς ἐλάττονος λέγω ἀναγκαίας, ἀνάγεται εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος. ἔστω γὰρ τὸ μὲν Α 71v
τῷ Γ μηδενὶ ὑπαρχόντως, τὸ δὲ Β τῷ Γ τινὶ ἐξ ἀνάγκης· συνάγεται, ὅτι τὸ Α οὐ παντὶ τῷ Β ὑπαρχόντως. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ μερικὸν καταφατικὸν ἀναγκαῖον, ἔσται ἐξ ἀνάγκης καὶ τὸ Γ τινὶ τῷ Β· ἐπεὶ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Γ ὑπαρχόντως, τὸ δὲ Γ τινὶ τῷ Β ἀναγκαίως, τὸ Α οὐ παντὶ τῷ Β ὑπαρχόντως· γίνεται γὰρ ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος. οὕτως μὲν οὖν αὕτη δι' ἀντιστροφῆς δείκνυται. αἱ δὲ ἄλλαι δύο οὐ δύνανται δι' ἀντιστροφῆς δειχθῆναι διὰ τὸ τὴν ἐλάττονα εἶναι ἐν ἀμφοτέραις καθόλου καταφατικήν· ἐὰν γὰρ αὐτὴν ἀντιστρέψωμεν, πρὸς τὴν μερικὴν ἀντιστρέψει καὶ ἀσυλλόγιστον ποιήσει τὴν συζυγίαν. ἀλλ' οὐδὲ ἡ μείζων δύναται ἀντιστραφῆναι μερικὴ οὖσα ἀποφατική. ὅροι, ὅταν μὲν ἡ μείζων μερικὴ ἀπο-

---

4 τῷ Al. 149,35: τὸ P 7 post ἐν μέρει requiro ἢ τὸ στερητικὸν ἐν μέρει
12. 13 ᾖ . . . ὑπάρχουσα Al. 150,8: ἡ . . . ὑπάρχη P 13 καταφατικὴ Al. 150,9: ἀποφατικὴ P 14 ὑπάρχουσα] ὑπαρ χ P 16 αὗται οὖν . . . ποιοῦσι συλλογισμόν (13,7) Phil. f. 37v—39v 23 ante τῆς add. διὰ Phil. 26 καταφατικὴν Phil.: ἀποφατικὴν P

φατικὴ ὑπάρχουσα ᾖ, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία. ἐγρήγορσις μὴ παντὶ ἀνθρώπῳ ὑπαρχόντως, ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ζώῳ ὑπαρχόντως. ὅταν δὲ ἡ μείζων καθόλου ἀποφατικὴ ὑπάρχουσα ᾖ, ἡ δὲ ἐλάττων μερικὴ καταφατικὴ ἀναγκαία, ἐγρήγορσις οὐδενὶ λευκῷ ὑπαρχόντως, ζῶον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ζώῳ ὑπαρχόντως καὶ οὐκ ἀναγκαίως. ὅταν δὲ τὸ στερητικὸν μερικὸν ἀναγκαῖον ᾖ καὶ πρὸς τῷ μείζονι, τὸ δὲ κατηγορικὸν καθόλου καταφατικὸν ὑπάρχον, δίπουν οὐ παντὶ ζώῳ ἐξ ἀνάγκης, κινούμενον παντὶ ζώῳ ὑπαρχόντως, καὶ συνάγεται δίπουν οὐ πάσῃ κινήσει ὑπαρχόντως.

Φανερὸν οὖν ἐστιν ἐκ τῶν εἰρημένων, ὅτι ἐστί ποτε ἐν συμπλοκῇ τινι συλλογιστικῇ ἀναγκαίου καὶ ὑπάρχοντος ἀδύνατον τὸ συμπέρασμα τοῦ ὑπάρχειν γενέσθαι, εἰ μὴ εἶεν ἀληθεύεται αἱ προτάσεις ὑπάρχουσαι. τοῦτο δὲ οὐ καθόλου φαμέν (οὐδὲ γὰρ ἀληθές ἐστιν) ἀλλὰ περὶ τῆς ἐν τρίτῳ σχήματι συμπλοκῆς τῆς ἐκ δύο καθόλου καταφατικῶν· ἀπεδείξαμεν γάρ, ὅτι αἱ δύο αὗται συζυγίαι τὸ ἀναγκαῖον συνάγουσιν οἵας δή ποτε ἀναγκαίας λαμβανομένης προτάσεως, κἂν τῆς ⟨μείζονος κἂν τῆς⟩ ἐλάττονος, ὅπερ ἐπὶ τῶν ἄλλων συμπλοκῶν οὐκ ἀληθές ἐστι λέγειν. ἐν ἀμφοτέροις δὲ τοῖς τρόποις, τῷ τε ὑπάρχοντι [καὶ ἀναγκαίῳ] καὶ | τῷ ἀναγκαίῳ, καὶ ἀποφατικῶν καὶ καταφατικῶν ὄντων τῶν 72r
συμπερασμάτων καὶ ⟨ὑπαρχόντων καὶ⟩ ἀναγκαίων ἀνάγκη μίαν τῶν προτάσεων ὁμοίαν εἶναι τῷ συμπεράσματι, καὶ εἰ μὲν ὑπάρχον εἴη τὸ συμπέρασμα, ὑπάρχουσαν, εἰ δὲ ἀναγκαῖον, ἀναγκαίαν. περὶ μὲν οὖν τοῦ ἀναγκαίου, πῶς γίνεται ἀναγκαῖον συμπέρασμα, εἴρηται, ὅτι ἐκ δύο προτάσεων ⟨ἀναγκαίων⟩ ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, ⟨καὶ⟩ ὅτι, κἂν μόνη ἡ μείζων ᾖ ἀναγκαία, πάλιν ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, καὶ ὅτι τὸ ἀναγκαῖον τοῦ ὑπάρχοντος τῷ ἀεὶ εἶναι διαφέρει. ταῦτα οὖν εἴρηται ἱκανῶς.

Διαλεχθεὶς περί τε τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων, ὅπως τε ἔχουσι καθ' ἑαυτὰς καὶ ὅπως ἀλλήλαις συμπλεκόμεναι, νῦν λοιπὸν περὶ τῶν τοῦ ἐνδεχομένου προτάσεων ποιήσομαι τὸν λόγον. πρὶν δὲ τὸν περὶ τῶν προτάσεων τοῦ ἐνδεχομένου παραδοῦναι λόγον θεωρήματά τινα περὶ αὐτοῦ παραδώσομεν, πρῶτον μέν, τί ποτέ ἐστιν ὅλως τὸ ἐνδεχόμενον, ἔπειτα τὸν περὶ τῶν ἀντιστροφῶν τοῦ ἐνδεχομένου λόγον, τουτέστι περὶ τῆς ἐνδεχομένης ἀντιστροφῆς, ἐπεὶ καὶ ὅλως περὶ τοῦ ἐνδεχομένου ἐστὶν ὁ λόγος, ποῖαί εἰσιν αἱ ἀντιστρέφουσαι πρὸς ἀλλήλας προτάσεις, καὶ τρίτον ἐπὶ τούτοις παραδώσομεν τὴν διαίρεσιν τοῦ ἐνδεχομένου, ποσαχῶς λέγεται, ὅπερ καὶ ἐν τῷ Περὶ ἑρμηνείας ἐποιήσαμεν, καὶ οὕτως λοιπὸν διδάξομεν, ὅπως τε ἔχουσιν αἱ τοῦ ἐνδεχομένου προτάσεις, καὶ τίνες τίσι συμπλεκόμεναι ποιοῦσι συλλογιστικὰς συζυ-

1 ὑπάρχουσα ᾖ scripsi: ὑπάρχῃ P 8 ὑπάρχον scripsi: ὑπάρχει P 12 ὑπάρχοντος postea add. P¹ 17 μείζονος κἂν τῆς Phil. f. 38r: om. P 18. 19 καὶ ἀναγκαίῳ delevi 20 ὑπαρχόντων καὶ addidi: ἢ ἀναγκαίων ἢ ὑπαρχόντων Phil. 23 ἀναγκαίων ex Phil. addidi 24 καὶ Phil.: om. P 25 post συμπέρασμα add. καὶ ὅτι ταῖς ὑπαρχούσαις ὁμοίως αἱ ἀναγκαῖαι συμπλεκόμεναι γίνονται συλλογιστικαί Phil.

γίας, ἔπειτα μίξομεν αὐτὰς τῷ ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ τρόπῳ, καὶ μετὰ τοῦτο διδάξομεν περὶ τῆς ἁπλῆς τοῦ ἐνδεχομένου ἀντιστροφῆς. σημαίνει δὲ ἡμῖν τὸ μὲν 'διὰ τίνων' τὸ διὰ δύο τοὐλάχιστον προτάσεων, τὸ δὲ 'πῶς' τὴν τῶν ὅρων τάξιν, ὅτι δεῖ τὸν μέσον ἢ τοῦ μὲν κατηγορεῖσθαι τῷ δὲ ὑπο-
5 κεῖσθαι ἢ ἀμφοτέρων κατηγορεῖσθαι ἢ ἀμφότεροις ὑποκεῖσθαι· διὰ δὲ τοῦ 'πότε' δεδηλώκαμεν, ὅτι οὐχ ὡς ἔτυχε συμπλεκόμεναι αἱ προτάσεις ποιοῦσι συλλογισμόν.

Ὁρισόμεθα οὖν τὸ ἐνδεχόμενον οὐ τὸ ὁμωνύμως λεγόμενον (οὐ γὰρ οἷόν τέ τι ὁμωνύμως λεγόμενον ὁρίσασθαι), ἀλλ' ἀποτεμόμενοι τὸ παρὰ τὸ ἀναγκαῖον
10 καὶ τὸ ὑπάρχον· δεδείχαμεν γάρ, ὅτι τὸ ἐνδεχόμενον καὶ κατὰ τούτων κατηγορεῖται. ἔστιν οὖν τοῦτο τὸ ἐνδεχόμενον, οὗ μή ἐστιν ἐξ ἀνάγκης ἡ ὕπαρξις, ἐὰν δέ τις καθ' ὑπόθεσιν | τὸ μήπω ἐκβεβηκὸς ὡς ἐκβεβηκὸς θείη, μηδὲν 7a
ἀδύνατον ἀκολουθεῖν τῇ ὑποθέσει αὐτοῦ· οἷόν ἐστιν ἐνδεχόμενον τὸ νύκτωρ ἐσθίειν τὸν Σωκράτην, ὃ οὐκ ἔστι μὲν ἀληθές, ἐὰν δὲ ὑποθώμεθα νύκτωρ
15 αὐτὸν ἐσθίειν, οὐδὲν ἀδύνατον ἀκολουθήσει ταύτῃ τῇ ὑποθέσει, κἂν ψευδὴς ᾖ. εἴρηται γοῦν, ὅτι τὸ μὲν ἀδύνατον πάντως καὶ ψεῦδος, οἷον ⟨τὸ⟩ τὸν ἄνθρωπον εἶναι πτερωτόν, τὸ δὲ ψεῦδος οὐ πάντως καὶ ἀδύνατον. τὸ γὰρ ἐνδεχόμενον ὁμωνύμως ἐστὶ φερόμενον καὶ κατὰ τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου καὶ κατὰ τοῦ κυρίως ἐνδεχομένου, οὗ εἴπομεν οἷα ἐστὶν ἡ ὕπαρξις. δύναται δὲ
20 καὶ ὑπάρξαι καὶ μὴ ὑπάρξαι· ᾗ μὲν γὰρ μὴ ὄν, οὐκ ἀναγκαῖον, ᾗ δὲ οὔπω πάρεστιν, οὐχ ὑπάρχον. ἴδιον οὖν τοῦ ἐνδεχομένου τὸ μὴ ὂν ὑποτίθεσθαι εἶναι καὶ ὑποτεθὲν μηδὲν ἔχειν ἀδύνατον ἑπόμενον· ὅταν γὰρ μὴ ὑπάρχον ὑποτεθῇ ὑπάρχειν καὶ μηδὲν συμβαίνει ἀδύνατον, τοῦτο ἐστι τὸ περὶ οὗ ἡμῖν ὁ λόγος ἐστὶ κυρίως ἐνδεχόμενον. ὅτι δὲ τὸν ἀποδεδομένον περὶ τοῦ ἐνδεχο-
25 μένου λόγον καλῶς ἀποδεδώκαμεν εἰπόντες ἐνδεχόμενον εἶναι, 'οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ ὑπάρχειν οὐδὲν ἀδύνατον ἀκολουθεῖ', πιστωτέον ἔκ τε τῶν ἀποφάσεων καὶ τῶν φάσεων ἀντικειμένων. τῇ μὲν οὖν τοῦ ἐνδεχομένου καταφάσει τῇ 'ἐνδέχεται ὑπάρχειν' ἀκολουθεῖ ἥ τε τοῦ ἀδυνάτου ἀπόφασις καὶ ἡ τοῦ ἀναγκαίου· ὁμοίως καὶ τῇ ἀποφάσει αἱ ἀντικείμεναι ταύταις. εἰ
30 τοίνυν τῷ 'ἐνδέχεται ὑπάρχειν' ἀκολουθεῖ τὸ 'οὐκ ἀνάγκη μὴ ὑπάρχειν', καλῶς ἄρα εἴρηται τὸ 'οὗ μὴ ὄντος ἀναγκαίου'· καὶ πάλιν εἰ τῷ 'ἐνδέχεται ὑπάρχειν' ἀκολουθεῖ τὸ 'οὐκ ἀδύνατον ὑπάρχειν', καλῶς ἄρα εἴρηται τὸ 'τεθέντος δὲ τοῦ ἐνδεχομένου οὐδὲν ἀδύνατον ἀκολουθεῖ'· ὃ γὰρ ἐνδέχεται εἶναι, τοῦτο ἐδείχθη οὐκ ἀδύνατον εἶναι. αὗται δὲ αἱ προτάσεις ἢ αἱ αὐταί εἰσιν
35 ἢ ἀκολουθοῦσιν ἀλλήλαις. αἱ αὐταὶ μὲν γάρ εἰσι τῷ σημαινομένῳ· συναληθεύουσι γάρ· ἀκολουθοῦσι δὲ ἀλλήλαις μὴ πάντη οὖσαι αἱ αὐταί· διαφέρουσι γὰρ κατὰ τὴν τῆς φωνῆς προφοράν. ὅτι δὲ καλῶς εἰρήκαμεν ἀκολουθεῖν

---

1 τρόπῳ om. Phil. 3 τοὐλάχιστον Phil.: τοῦ ἐλάχιστον P 8 ὁρισόμεθα . . . κατηγορεῖται (10) Al. 156,12—15 ὁρισόμεθα scripsi: ὁρισάμεθα P 9 παρὰ Al. 156,14: περὶ P ut saepe 11 ἔστιν οὖν . . . συμβαίνει (14,17) Phil. f. 38ᵛ 12 θῇ Phil. 16 τὸ Phil.: om. P 26 τιθέντος P 27 φάσεων] ἀνφάσεων P 31 τὸ Phil.: τοῦ P τῷ Phil.: τὸ P

ἤτοι ἰσοδυναμεῖν ταύτας ἀλλήλαις τὰς προτάσεις, | δῆλον ἐξ ὧν ἐπὶ παντὸς 73r
πράγματος ἀνάγκη ἢ τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας. τῷ γὰρ 'ἐνδέχεται ὑπάρχειν' πᾶσα ἀνάγκη ἢ τὸ 'ἀνάγκη μὴ ὑπάρχειν' συναληθεύειν ἢ τὸ 'οὐκ ἀνάγκη μὴ ὑπάρχειν'· εἰ τοίνυν τὸ αὐτὸ ἐνδέχεσθαι ὑπάρχειν καὶ ἀναγκαῖον μὴ ὑπάρχειν ψεῦδός ἐστι λέγειν, ἀληθὲς ἄρα τὸ ἀντικείμενον ἀκολουθεῖν, λέγω δὲ τῷ ἐνδέχεσθαι ὑπάρχειν τὸ 'οὐκ ἀνάγκη μὴ ὑπάρχειν'. ὁμοίως καὶ ἐπὶ τοῦ ἀδυνάτου· εἰ γὰρ τὸ ἐνδέχεσθαι ὑπάρχειν μὴ δύναται συναληθεύειν τῷ 'ἀδύνατον ὑπάρχειν', δῆλον ὅτι τῷ ἀντιφατικῶς ἀντικειμένῳ συναληθεύσει τῷ 'οὐκ ἀδύνατον ὑπάρχειν'· ὃ γὰρ ἐνδέχεται ὑπάρχειν, τοῦτο οὐκ ἀδύνατον ὑπάρχειν. εἰ τοίνυν τῷ ἐνδεχομένῳ ἀνάγκη ἢ τὸ ἀναγκαῖον ἢ τὸ μὴ ἀναγκαῖον ὑπάρχειν, οὐ δύναται δὲ ⟨τὸ⟩ ἀναγκαῖον ὑπάρχειν (πῶς γὰρ τὸ αὐτὸ ἐνδεχόμενόν τε ἅμα εἴη καὶ ἀναγκαῖον;), τὸ ἄρα μὴ ἀναγκαῖον ὑπάρξει. καλῶς ἄρα εἴρηται, ὅτι ἐνδεχόμενον τοῦτό ἐστιν, 'οὗ μὴ ὄντος ἀναγκαίου'. καὶ πάλιν εἰ ἀνάγκη τὸ ἐνδεχόμενον ἢ ἀδύνατον εἶναι ἢ οὐκ ἀδύνατον, ἀδύνατον δὲ οὐκ ἔστι (πῶς γὰρ ἂν τὸ αὐτὸ ἐνδεχόμενόν τε ἦν ἅμα καὶ ἀδύνατον;), οὐκ ἀδύνατον ἄρα ἔσται. καλῶς οὖν ἄρα εἴρηται, ὅτι τεθέντος ὑπάρχειν τοῦ ἐνδεχομένου οὐδὲν ἀδύνατον συμβαίνει. ὅτι δὲ καλῶς ὡρισάμεθα τὸ ἐνδεχόμενον εἰπόντες 'οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον', φανερὸν ἔκ τε τῶν ἀποφάσεων καὶ τῶν καταφάσεων τῶν ἀντικειμένων. εἰ γὰρ τὸ 'οὐκ ἐνδέχεται ὑπάρχειν' καὶ 'ἀδύνατον ὑπάρχειν' καὶ 'ἀνάγκη μὴ ὑπάρχειν' ἢ ταὐτά ἐστιν ἢ ἀκολουθεῖ ἀλλήλοις, ὡς πάντες ἂν φαῖεν καὶ ἐν τῷ Περὶ ἑρμηνείας δέδεικται (καὶ γὰρ εἰ μὴ ταὐτὰ πάντη, ὅτι τὸ μὲν ἀπόφασις τὰ δὲ καταφάσεις, ἀλλ' ἐφ' οὗ τὸ ἓν ἀληθὲς ἐξ αὐτῶν, καὶ τὰ ἄλλα), δῆλον τοίνυν, ὡς καὶ αἱ τούτων ἀντιφάσεις ἀκολουθοῦσιν ἀλλήλαις. ἔστι δὲ τοῦ μὲν 'οὐκ ἐνδέχεται ὑπάρχειν' ὄντος ἀποφατικοῦ κατάφασις τὸ 'ἐνδέχεται ὑπάρχειν', τῶν δὲ 'ἀδύνατον ὑπάρχειν', 'ἀνάγκη μὴ ὑπάρχειν' καταφάσεων, αἳ εἴποντο τῇ 'οὐκ ἐνδέχεται ὑπάρχειν' ἀποφάσει, τό τε 'οὐκ ἀδύνατον ὑπάρχειν' καὶ 'οὐκ ἀνάγκη μὴ ὑπάρχειν'. ἀκολουθήσουσιν ἄρα καὶ ταῦτα, καὶ ἔσται τὸ 'ἐνδεχόμενον εἶναι' καὶ 'οὐκ ἀδύνατον εἶναι' καὶ 'οὐκ ἀνάγκη μὴ εἶναι' ἅμα ἀληθῆ. τὸ ἄρα ἐνδεχόμενον εἶναι οὐκ ἀδύνατον ἔσται εἶναι οὐδὲ ἀναγκαῖον μὴ εἶναι. οὐκ ὄντι ἄρα | τῷ ἐνδεχομένῳ ἀναγκαίῳ, ἀλλὰ 73v
μηδὲ ὑπάρχοντι, ὑποτεθέντι δὲ ὑπάρχειν, ἐπεὶ οὐκ ἀδύνατόν ἐστιν, οὐδὲν ἀδύνατον ἀκολουθήσει.

Ἐπεὶ δέ, τί ποτέ ἐστι τὸ ἐνδεχόμενον, ἡμῖν εἴρηται, ἐντεῦθεν ἤδη περὶ τῆς ἀντιστροφῆς αὐτοῦ τὸν λόγον ποιήσομαι, ἀντιστροφῆς δέ, ὡς εἴρηται, τῆς ἐνδεχομένης, ἥτις τὴν μὲν τάξιν τῶν ὅρων φυλάττει τὴν αὐτήν, τὴν δὲ ποιότητα μόνον ἀμείβει. συμβαίνει δὲ πάσας τὰς κατὰ τὸ ἐνδεχόμενον προτάσεις ἀντιστρέφειν ἀλλήλαις· καὶ γὰρ ἴδιον τῶν ἐνδεχομένων τὸ ἀντιστρέφειν, τοῦτ'

5 ἀναγκαῖον Phil.: ἀνάγκη P 11 τὸ alterum Phil.: om. P 15 οὐκ (post δὲ) Phil.: τοῦτο P 15 ἦν P: εἴη Phil. 16. 17 τιθέντος P 18 τιθέντος P 20 εἰ γὰρ ... ἀκολουθήσει (33) Al. 158,1—14 23 τὸ μὲν ἀπόφασις Al. 158,4: τὰ μὲν ἀποφάσεις P 26 ante ἀνάγκη add. καὶ Al. 158,8 27 post ἀποφάσει addidi ἀποφάσεις Al. 158,9; fort. ἀποφάσεις 29 post ταῦτα add. ἀλλήλοις Al. 158,10 34 ἐπεὶ ... ἀμείβει (37) Phil. f. 38v 37 συμβαίνει ... ἀνακολουθοῦσι (16,15) Al. 158,22—160,25

ἔστι τὸ ἀντακολουθεῖν ἀλλήλαις τὰς κατ' αὐτὸ γινομένας καταφάσεις τε καὶ ἀποφάσεις. ἀποφάσεις δὲ λέγω κατὰ τὸ ἐνδέχεσθαι οὐ τὰς τοῦ ἐνδεχομένου ἀποφάσεις ἀλλὰ τὰς ἐνδεχομένας ἀποφατικάς· διαφέρει γὰρ καὶ ἐνδεχομένη ἀποφατικὴ καὶ ἐνδεχομένης ἀπόφασις, ὥσπερ ἀναγκαία ἀποφατικὴ καὶ ἀναγκαίας ἀπόφασις. ἡ μὲν γὰρ 'ἀνάγκη μὴ ὑπάρχειν' λέγουσα ἀναγκαία ἐστὶν ἀποφατική, οὐκ οὖσα ἀπόφασις τῆς 'ἀνάγκη ὑπάρχειν'· ἡ δὲ 'οὐκ ἀνάγκη ὑπάρχειν' ἀναγκαίας τῆς 'ἀνάγκη ἐστὶν ὑπάρχειν' ἀποφατική, ἥτις κυρίως ἐστὶν ἀποφατική· ἡ δ' ἑτέρα ἁπλῶς μέν ἐστι καταφατική, τὸ δ' ὅλον ἀναγκαία ἀποφατική. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τοῦ ἐνδεχομένου ἀπόφασις μὲν τοῦ ἐνδεχομένου ἡ κυρίως ἀπόφασις ἡ 'οὐκ ἐνδέχεται εἶναι', ἐνδεχομένη δὲ οὖσα ἁπλῶς κατάφασις ἡ 'ἐνδέχεται μὴ εἶναι'. τὰς δὴ ἐνδεχομένας ἀποφατικὰς καὶ τὰς ἐνδεχομένας καταφατικὰς συμβέβηκεν ἀντακολουθεῖν ἀλλήλαις, κατὰ τὸ σημαινόμενον τὸ κείμενον νῦν καὶ ὁρισθὲν λαμβανομένου τοῦ ἐνδεχομένου· πᾶν γάρ, ὃ οὕτως ἐνδέχεται εἶναι, ἐνδέχεται καὶ μὴ εἶναι. λέγω οὖν ἀντιστρέφειν οὐ τὰς καταφατικὰς ταῖς κυρίως ἀποφατικαῖς, τὴν 'ἐνδέχεται εἶναι' τῇ 'οὐκ ἐνδέχεται εἶναι', ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα κατὰ τὴν ἀντίθεσιν. ἀντικεῖσθαι μὲν γὰρ δοκοῦσιν ἡ ἐνδέχεσθαι εἶναι τῇ ἐνδέχεσθαι μὴ εἶναι λεγούσῃ διὰ τὸ ἐν μὲν τῇ τὸ εἶναι ἐν δὲ τῇ τὸ μὴ εἶναι συντετάχθαι, ἃ δοκεῖ ἀλλήλοις ἀντικεῖσθαι· οὐ μὴν ἀλλὰ ἀμφότεραι καταφατικαί εἰσιν διὰ τὸ καταφάσεις εἶναι ἐκείνας, ἐν αἷς μὴ πρόσκειται τῷ τρόπῳ τὸ ἀποφατικόν. καὶ οὐ μόνον αὗται συναληθεύουσι (λέγω γὰρ ἡ 'ἐνδέχεται εἶναι' τῇ 'ἐνδέχεται μὴ εἶναι' ἀπροσδιόριστος οὖσα), ἀλλὰ καὶ ἡ παντὶ ἐνδέχεσθαι τῇ ἐνδέχεσθαι | μηδενὶ ἢ μὴ παντί, ὧν ἡ μὲν καθόλου ἀποφατικὴ 74r
ἐνδεχομένη ἡ 'ἐνδέχεται μηδενί', ἡ δὲ ἐπὶ μέρους ἡ 'ἐνδέχεται μὴ παντί'. καὶ γὰρ τῇ ἐνδεχομένῃ καταφάσει καθόλου πᾶσαι αἱ ἐνδεχόμεναι ἀποφάσεις συναληθεύονται· καὶ γὰρ ἡ ὡς ἐναντία καὶ ἡ ὡς ἀντίφασις, οὐδετέρα αὐτῶν πρὸς ἀλήθειαν οὔτε ἐναντία οὖσα οὔτε ἀντίφασις· οὐδὲ γὰρ ἂν ἅμα ἦσαν ἀληθεῖς. ὅτι δὲ αἱ οὕτως λαμβανόμεναι ἀντακολουθοῦσιν, ἐκ τῆς ἐπαγωγῆς δῆλον. ἀντιστρέφει δὲ καὶ τὸ τινὶ τῷ μὴ τινὶ ἐπὶ τῶν ἐνδεχομένων τοῦ τινὸς ἐπὶ τοῦ αὐτοῦ λαμβανομένου· ἴδιον γὰρ τοῦ ἐνδεχομένου τὸ τὰς ἐπὶ τοῦ αὐτοῦ λεγομένας οὕτως ἅμα ἀληθεῖς εἶναι. ἐπεὶ τό γε [τὸ] τινὶ καὶ τὸ μὴ τινὶ ὅταν ἐπ' ἄλλου καὶ ἄλλου λαμβάνηται, οὐχ αἱ ἐνδεχόμεναι μόνον ἐπὶ μέρους συναληθεύσουσιν, ἀλλὰ δύναναί ποτε καὶ αἱ ὑπάρχουσαι καὶ ἀναγκαῖαι· καὶ ἔστιν ἴσον τὸ τινὶ ἐνδέχεσθαι καὶ τὸ ἐνδέχεσθαι μὴ τινὶ ἐπὶ τούτων τῷ Σωκράτη λαβεῖν † μέρος εἰπεῖν ἤ τινα τῶν καθέκαστα καὶ ἐπ' αὐτῶν τὴν κατὰ τὸ ἐνδέχεσθαι ἀντίθεσιν ποιήσασθαι κατὰ τὸν εἰρημένον τρόπον. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων, φημὶ δὲ τῶν ἰσοδυναμουσῶν τῇ ἐνδεχομένῃ· αὗται δ' εἰσί, καταφάσεις ἡ 'δυνατὸν εἶναι', ἧ ἀντιστρέφει ἡ 'δυνατὸν μὴ εἶναι' κατὰ πάντας τοὺς ὁρισμούς, τὸν παντί, μηδενί, μὴ παντί, τινὶ μή,

4 ἐνδεχομένης Al. 158,27. 28: ἐνδεχομένη P 11 δὴ Al. 159,3: δὲ P 26 ἡ ὡς ἐναντία Al. 159,29: ὡς ἡ ἐναντίως P οὐδ' ἑτέρα P 31 τὸ alterum om Al. 159,34 34 τῷ Al. 160,3: τὸ P 35 μέρος εἰπεῖν P: ἢ Πλάτωνα Al. 160,4

τῶν. ἐπὶ τῆς ἐνδεχομένης. ἀποφάσεις δὲ ἥ τε τοῦ ἀναγκαίου μὴ εἶναι. τουτέστιν ἡ 'οὐκ ἀνάγκη μὴ εἶναι' (αὕτη γὰρ εἴπετο τῇ 'ἐνδέχεται [μὲν] εἶναι'), ἥ ἀκολουθεῖ τε καὶ ἀντιστρέφει ἡ 'οὐκ ἀνάγκη εἶναι', καὶ ἡ 'οὐκ ἀδύνατον εἶναι' (καὶ γὰρ αὕτη εἵπετο τῇ 'ἐνδέχεται εἶναι'), πρὸς ἣν ἀντιστρέφει ἡ λέγουσα 'οὐκ ἀδύνατον μὴ εἶναι'.

Ἐπεὶ δ' ἡμῖν εἴρηται, ὅτι ἀντακολουθοῦσιν αἱ ἐνδεχόμεναι ἀποφατικαὶ ταῖς ἐνδεχομέναις καταφατικαῖς, καὶ τίνες εἰσὶν αὗται, παρεθέμεθα, νῦν καὶ τὴν αἰτίαν ἐπιδώσομεν τοῦ ἀντακολουθεῖν αὐτὰς καὶ ἀντιστρέφειν ἀλλήλαις. ἐπεὶ γὰρ τὸ ἐνδέχεσθαι ὑπάρχειν οὐκ ἐξ ἀνάγκης τίθησι τὸ ὑπάρχειν (ἦν γὰρ τὸ ἐνδεχόμενον, ὡς ἐν τῷ λόγῳ αὐτοῦ ἐδηλώθη, 'οὗ μὴ ὄντος ἀναγκαίου'), τὸ δὲ μὴ ἀναγκαῖον ἐγχωρεῖ καὶ μὴ ὑπάρχειν, εἰκότως τῷ ἐνδέχεσθαι ὑπάρχειν συναληθεύει τὸ 'ἐνδέχεται μὴ ὑπάρχειν'· ὁμοίως ἐπὶ πάντων τῶν διορισμῶν. διὰ τὸ αὐτὸ δὲ αἵ τε ἀδιορίστως λεγόμεναι καὶ αἱ διωρισμένως ἐπὶ τοῦ καθόλου ἀντηκολούθουν | καταφάσεις τε καὶ ἀποφάσεις ἀλλήλαις καὶ ἐπὶ μέρους 74ᵛ τε καὶ καθ' ἕκαστα ἐπὶ τοῦ αὐτοῦ λεγόμεναι ἀντακολουθοῦσιν. εἰ γὰρ ἐνδέχεται Σωκράτην λούσασθαι σήμερον, ἐνδέχεται καὶ μὴ λούσασθαι, καὶ εἰ ἐνδέχεται πάντας ἀνθρώπους κινεῖσθαι, ἐνδέχεται καὶ μηδένα κινεῖσθαι. εἰσὶ δὲ αἱ τοιαῦται προτάσεις καταφατικαί, οὐκ ἀποφατικαί. ὥσπερ γὰρ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου τὸ τηνικαῦτα μόνον ἐγίνοντο ἀποφατικαὶ αἱ προτάσεις, ὅταν τῷ 'ἔστιν' ἡ ἄρνησις συνετάττετο, οὕτω καὶ ἐπὶ τῶν μετὰ τρόπου μόνως ⟨τῷ⟩ τρόπῳ συνταττομένης τῆς ἀρνήσεως γίνεται ἀπόφασις, ἄλλως δὲ οὐδαμῶς. εἰ τοίνυν ἐπὶ τῆς 'ἐνδέχεται μὴ εἶναι' καὶ τῶν τοιούτων ἀκέραιοι εἶναι φαίνονται, δηλονότι καταφατικαί εἰσι τῷ σχήματι, ὡς πολλάκις εἴρηται.

Ἐζήτησαν, εἰ τὸ ἐνδεχόμενον τοιοῦτόν ἐστιν, ὁποῖον ὡρίσθη, μήτε ἀναγκαῖον μήτε ὑπάρχον, πῶς ἔτι ταῖς καταφατικαῖς ἐνδεχομέναις αἱ ἀποφατικαὶ ἐνδεχόμεναι ἀντιστρέφουσι φυλασσομένου τοῦ κατὰ τὸν ὁρισμὸν ἐνδεχομένου ἐν ἀμφοτέραις. εἰ γάρ, ὃ ἐνδέχεται εἶναι, τοῦ μήπω εἶναι τοῦτο, ὃ λέγεται, ἐστί (τοῦτο γὰρ ἴδιον εἶναι δοκεῖ τοῦ ἐνδεχομένου τὸ μήπω εἶναι τοῦτο, ὃ λέγεται), ἔσται ἄρα τοῦτο οὐχ ὑπάρχον· καὶ ὃ ἐνδέχεται [καὶ ὃ ἐνδέχεται] μὴ εἶναι, οὔπω ἐστὶ μὴ ὑπάρχον· ὑπάρχον ἄρα· ὥστε τὸ μὲν καταφατικὸν ληφθὲν κατὰ τοῦ μὴ ὑπάρχοντος, τὸ δὲ ἀποφατικὸν ἐπὶ τοῦ ὑπάρχοντος· ἀδύνατον δὲ ἅμα ἄμφω· οὐκ ἄρα τὸ κατὰ τὸν ὁρισμὸν ἐνδεχόμενον ἐν τῇ ἀποφάσει ληφθήσεται. τί οὖν φημι; ὅτι, εἰ τὸ ἐνδέχεσθαι ἐπὶ τοῦ μήπω ὄντος λέγεται, τὸ ἐνδέχεσθαι εἶναι ἀντὶ τοῦ 'ἐνδέχεται γενέσθαι' λέγοιτ' ἄν· πᾶν δέ, ὃ μήπω ὂν ἐνδέχεται γίνεσθαι, τοῦτο ἐνδέχεται καὶ μὴ γενέσθαι· ὥστε ἄφω ἐπὶ τοῦ μήπω ὄντος.

Ἐπεὶ δέ, τίς ποτέ ἐστιν ἡ φύσις τοῦ ἐνδεχομένου, εἴρηται, καὶ πῶς ἀντιστρέφουσιν αἱ κατ' αὐτὸ προτάσεις, νῦν λεκτέον, ποσαχῶς λέγεται.

2 μὲν (μὴ?) P: om. Al. 160,11 12 συναληθεύει Al. 160,21 17 εἰσὶ δὲ . . . [illegible] 18 τῶν Phil.: τοῦ P 21 μόνως τῷ Phil.: μόνῳ P 24 ἐζήτησαν . . . μήπω ὄντως (36) Al. 161,3 26 ἐζήτησα Al. 25 ἔτι Al. [illegible] P 29 καὶ ὃ ἐνδέχεται alterum om. Al. 161,9 37 ἐπεὶ δέ . . . ὡς ἐπὶ τὸ πολύ (17,13) Phil. f 39r—39v

διχῶς τοίνυν λέγεται τὸ ἐνδεχόμενον οὐχ ὁμωνύμως τῆς διαιρέσεως αὐτοῦ γινομένης· οὐδὲ γὰρ ἄλλου τινὸς ἢ οὗ διωρισάμεθα τὴν διαίρεσιν ἐποιησάμεθα, ἢν ὡς γένους τοῦ ἐνδεχομένου εἰς εἴδη ἢ ὡς ὅλου εἰς μέρη | ποιούμεθα. ἢ γὰρ 75r
ὡρισμένον ἐστὶν ἢ ἀόριστον, καὶ ὡρισμένον μὲν τὸ ὡς ἐπὶ τὸ πολύ, περὶ ὃ
5 ἥ τε φύσις καὶ ἡ τέχνη καταγίνεται· λέγω δὲ τὸ μᾶλλον πενταδάκτυλον γίνεσθαι ἢ μή, ὑγιάζειν τὸν ἰατρὸν ἢ μή, ἃ διὰ τὸ μὴ ἀεὶ γίνεσθαι οὕτω ἀλλὰ διαλείπειν καὶ διακόπτεσθαι τὸ ἀεὶ καὶ τὸ ἐξ ἀνάγκης, διὰ τοῦτο ἀφαιρεῖται αὐτῶν τὸ ἀναγκαῖον· καὶ γὰρ οὐκ ἀεὶ ἡ φύσις τοῦ οἰκείου ἐφικνεῖται τέλους οὔτε ἡ τέχνη. ἀλλὰ καὶ ἡ φύσις διαμαρτάνουσα τέρας ἐποίησε, καὶ ὁ τεχνί-
10 της διήμαρτε τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν διαλείμματα ἐν τούτοις γίνεται, διὰ τοῦτο ἐνδεχόμενά ἐστιν· οὔτε γὰρ πάντως ἐν γήρᾳ πολιοῦται ἄνθρωπος οὔτε ὁ ἰατρὸς ὑγιάζει· οὐδὲ ὅλως τῶν φυσικῶν τι, λέγω δὲ τῶν ἐν γενέσει καὶ φθορᾷ, οὔτε τῶν τεχνητῶν τὸ ἀναγκαῖον, ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ. δύο δὲ αἰτίαι, δι' ἃς τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον οὐκ ἔχει τὸ ἀναγκαῖον, μία
15 μὲν ἐκ τοῦ ὑποκειμένου, ὅτι μὴ ἀεί εἰσιν, οἷς ταῦτα ὑπάρχει· τὰ γὰρ κατὰ φύσιν γινόμενα οὐκ ἀΐδια. διὰ τὸ οὖν μὴ ταῦτα εἶναι ἀεί, οἷς ἐνδέχεσθαί φαμεν τὰ κατὰ φύσιν ὑπάρχειν (τοῖς γὰρ καθέκαστα ταῦτα ὑπάρχει), οὐκ ἐξ ἀνάγκης τὰ κατὰ φύσιν· τὸ γὰρ ἀναγκαῖον ἀΐδιόν τε καὶ ἀεὶ ὁμοίως ἐπὶ τῶν ὁμοίως ἐχόντων. λέγοιτ' ἂν οὖν ἐνδέχεσθαι καὶ τὸ ἐξ ἀνάγκης ὑπάρχον τῷ οὐκ
20 ἀϊδίῳ, ἂν μὴ ἀπόληται, διότι ἐνδέχεται προαπολομένου αὐτοῦ μὴ γενέσθαι τοῦτο, ὃ ἐξ ἀνάγκης ἂν ἐγένετο, εἰ ἦν ἀεὶ ὁ ἄνθρωπος. ἔχει μὲν γὰρ ἡ φύσις ἐν γήρᾳ πολιοῦσθαι ἄνθρωπον, συμβαίνει δὲ τοῦτο πολλάκις μὴ γενέσθαι τοῦ ἀνθρώπου πρὶν εἰς γῆρας ἀφικέσθαι τελευτήσαντος· πάλιν πέφυκεν ὁ ἄνθρωπος περὶ εἰκοστὸν ἔτος ἐκφῦσαι γένειον, καὶ συμβαίνει πρὶν εἰς τοῦτο ἱκέσθαι τε-
25 λευτῆσαι τὸν ἄνθρωπον. καὶ αὕτη μὲν ἡ ἐκ τοῦ ὑποκειμένου μία αἰτία τοῦ διαλιμπάνειν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. ἑτέρα δὲ ἡ ἐκ τοῦ κατηγορουμένου· πολλάκις γὰρ εἰς τὸ γῆρας ἀφίκετο ἄνθρωπος, πολιὰς δὲ οὐκ ἐποίησεν, ἢ εἰς τὸ εἰκοστὸν ἔτος ἐλθὼν οὐκ ἐβλάστησε γένειον, καὶ ὅσα τοιαῦτα. καὶ γὰρ τὰ κατὰ φύσιν γινόμενα οὐκ ἐξ ἀνάγκης ἐστί· καὶ γάρ, ὡς ἔφθην εἰπών,
30 ⟨κἂν ᾖ⟩ οὗτος, ᾧ ὑπάρχει | τὸ κατὰ φύσιν, εἰς ἑξήκοντα ἔτη προεληλυθώς, ὡς 75v
ἐπὶ τὸ πλεῖστον μὲν πολιωθήσεται, οὐ μὴν ἐξ ἀνάγκης.

Τὸ μὲν οὖν ἕτερον τοῦ ἐνδεχομένου σημαινόμενον τοιοῦτον. ἀόριστον δὲ τό τε ἐπίσης καὶ τὸ ⟨ἐπ'⟩ ἔλαττον· καὶ γὰρ ἑνὶ ὀνόματι τῷ τοῦ ἀορίστου ἀμφότερα καλῶ, τό τε ἐπίσης φημὶ καὶ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον. ἐπίσης
35 δέ ἐστι, περὶ ὃ ἡ προαίρεσις ἔχει, βαδίζειν ἢ μὴ βαδίζειν καὶ τὰ ὅμοια· ἐπ' ἔλαττον δέ, περὶ ὃ ἡ τύχη, ὡς τὸ ὀρύττοντα θησαυρὸν εὑρεῖν. ἀόριστον δὲ

---

1 διχῶς . . . ποιούμεθα (3) cf. Al. 161,30—162,1 6 ἃ διὰ τὸ . . . ἐξ ἀνάγκης (7) Al. 162,2. 3 13 post ἀναγκαῖον add. ἔχει Phil.; cf. vs. sq. δύο δὲ αἰτίαι . . . ὁ ἄνθρωπος (21) Al. 162,13—20 19 λέγοιτ' Al. 162,18: λέγοιντ' P 20 ἀπόλληται (sic) P: προαπόληται Al. 162,19 προαπολομένου Al.: προαπολλουμένου P 21 ἔχει . . . ὅσα τοιαῦτα (28) Phil. f. 39v 24 ἐκφῦσαι Phil.: ἐκφῦναι P 27 γὰρ Phil.: δὲ P 29 τὰ κατὰ φύσιν . . . τοιοῦτον (32) Al. 162,26—32 30 κἂν ᾖ οὗτος Al. 162,27: οὕτως P 32 ἀόριστον . . . λόγος (18,26) Phil. f. 39v 34 ἀμφότερα scripsi: ἀμφοτέρω P 36 τὸ Phil.: τὸν P

εἶπον διὰ τὸ ἐπίσης δύνασθαι τὰ τοιαῦτα εἶναι ἢ μὴ εἶναι. καίτοι τὸ ἐπ' ἔλαττον δοκεῖ ὡρίσθαι μᾶλλον μὴ εἶναι ἢ εἶναι. πῶς οὖν ἀόριστόν φημι; λέγω, ὅτι ἀόριστον εἶπον αὐτὸ κατὰ τὸ εἶναι· οὐχ ὥρισται γὰρ αὐτοῦ ἡ ὕπαρξις, ὥσπερ τοῦ ὡς ἐπὶ τὸ πολύ, ἀλλὰ ἡ ἀνυπαρξία μᾶλλον· καὶ γὰρ σπάνια καὶ ἐπ' ἔλαττον τὰ ἀπὸ τύχης γινόμενα, ὡς τὸ προελθεῖν ἐπ' ἄλλο παρὰ τύχην ἢ ἐφ' ὅ τις ἐβούλετο, ἢ καὶ τὸ ἀδικηθέντα καὶ τῆς οὐσίας ἀφαιρεθέντα φιλοσοφῆσαι ἢ σκάπτοντα θησαυρῷ περιτυχεῖν. εἰ καὶ κατὰ διαφόρων δὲ σημαινομένων φέρεται τὸ ἐνδεχόμενον * * * τὸ ἐπὶ πολὺ ἔχον τὸ κῦρος τῷ τὴν κατάφασιν αὐτοῦ μᾶλλον ἢ τὴν ἀπόφασιν ὑπάρχειν, ἐπὶ δὲ τοῦ ἐπίσης τὸ μηδὲν μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν, τοῦ δὲ ἐπ' ἔλαττον * τὴν ἀπόφασιν μᾶλλον ἢ τὴν κατάφασιν.

Ἐπεὶ δὲ τὰ διάφορα τοῦ ἐνδεχομένου σημαινόμενα διωρισάμεθα, ἀφορισώμεθα λοιπόν, περὶ ποίου ἐστὶ νῦν ἡμῖν ἡ διάσκεψις· καὶ φαμέν, ὅτι περὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. αἱ γὰρ ἐπιστῆμαι περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα ἀναστρέφονται, διόπερ καὶ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον ὡς συνεγγίζον μᾶλλον τῷ ἀναγκαίῳ. διὰ δὲ τὴν ἀοριστίαν τοῦ ἑτέρου οὐ καταγίνεται περὶ αὐτὸ ἐπιστήμη. ἀόριστον δέ ἐστι διὰ τὴν ἀταξίαν τοῦ μέσου· ὁ γὰρ μέσος ἐστὶν ὁ χαρακτηρίζων τὰ σχήματα. ἐπειδὴ τοίνυν οὗτος ἐπὶ μὲν τοῦ ἐπίσης οὐδὲν μᾶλλον τῷ πρώτῳ ὑπόκειται ἢ οὐχ ὑπόκειται καὶ τοῦ ἐσχάτου οὐ μᾶλλον κατηγορεῖται ἢ οὐ κατηγορεῖται, | ἐπὶ δὲ τοῦ ἐπ' ἔλαττον μᾶλλον οὐχ 76r
ὑπόκειται τῷ πρώτῳ ἢ ὑπόκειται καὶ τοῦ ἐλάττονος μᾶλλον οὐ κατηγορεῖται ἢ κατηγορεῖται καὶ διὰ τοῦτο τῇ τοῦ ὑπάρχειν ἀοριστίᾳ περιπέπτωκε, διὰ τοῦτο ἐξοριζέσθω τῶν ἐπιστημονικῶν μεθόδων· ὡς γάρ εἴρηται, περὶ τῶν ἐπιστημῶν ἡ σκέψις τοῖς ἐπιστήμοσι γίνεται. εἰ καὶ δυνατὸν δὲ περὶ τοῦ ἀορίστου ἐνδεχομένου ἐστὶ συλλογίσασθαι, ἀλλ' οὖν διὰ τὸ μὴ ἐν πολλῇ εἶναι χρήσει ἀφείσθω ὁ περὶ τούτου λόγος. δεῖ γὰρ τὸ εὔχρηστον ἐν τῇδε τῇ πραγματείᾳ πρὸς τὸ δεχθησόμενα μᾶλλον λαμβάνειν τε καὶ ἐξεργάζεσθαι, τὸ δ' ἄχρηστον, εἰ καὶ ἔχει τινὰ συμπλοκήν, παραιτεῖσθαι. παντὸς γὰρ ὀργάνου μέτρον ἡ χρεία ἡ πρὸς τὸ ὑπ' αὐτοῦ δεικνύμενόν τε καὶ γινόμενον· τὸ γὰρ ἄχρηστον σκέπαρνον τῷ τέκτονι οὐκ ἔστι σκέπαρνον ἀλλ' ἢ ὁμωνύμως. περὶ μὲν οὖν τοῦ τοιούτου ἐνδεχομένου ὡς ἀχρήστου πρὸς τὰς ζητήσεις, ὡς ἔφην, λέγειν παραιτοῦμαι. περὶ δὲ τοῦ ἑτέρου ἐρῶ, ὅτι πολλαὶ τέχναι στοχαστικαὶ οὖσαι ἐκ τοῦ οὕτως ἐνδεχομένου τὸ προκείμενον συλλογίζονται, ὡς ἰατρική, κυβερνητική, γυμναστική. ἀλλὰ καὶ ὅλως τὰ ἐκ τοῦ βουλεύσασθαι λαμβάνομενα διὰ τοῦ τοιούτου ἐνδεχομένου δείκνυται· οἷον εἰ ζητοίη τις, εἰ νῦν δεῖ πλεῦσαι, καὶ λάβῃ 'ὅτε κεκριμένα τὰ πνεύματά ἐστιν, οἱ πλέοντες ὡς ἐπὶ τὸ πολὺ σώζονται· νῦν δὲ κεκριμένα τὰ πνεύματα· οἱ νῦν ἄρα πλέοντες ὡς ἐπὶ τὸ πολὺ σωθήσονται'. ταῦτα μὲν οὖν διορισθήσεται μᾶλλον ἐν τοῖς ἑπομένοις, ὅτι ἐπὶ τῶν ἐνδεχομένων ἀντιστρέφει τὸ καταφατικὸν τῷ ἀποφατικῷ. καὶ πῶς, καὶ ὅτι τὸ ἐνδεχόμενον διττόν, καὶ ὅτι τὸ ἀόριστον ἄχρηστον πρὸς τὰς νῦν ζητήσεις.

5 προελθόντα . . . παρατυχεῖν Phil. 6 ἐβούλετο Phil.: ἐβάλλετο P 8 excidisse videntur τὸ (ὡς) ἐπὶ (τὸ) πολύ, τὸ ἐπίσης, τὸ ἐπ' ἔλαττον, ἀλλ' οὖν ἕκαστον τούτων ὁμοίως ἕξει τὰς ἀντιστροφάς. (Phil.) 10 τῷ add. Phil.: τὸ? 13. 14 ἀναστρέφονται Phil.: ἀντιστρέφονται P 21 ὑπάρχειν Phil.: ὑπάρχοντος P 25 δεῖ γὰρ . . . ζητήσεις (39) Al. 164,25—165,19 32 οὕτως Al. 165,9: ὄντος P 35 λάβοι Al. 165,12 36 σώζονται . . . πολὺ Al. 165,13. 14

Ἐπεὶ δὲ ἐδιδάξαμεν, ὅσα χρὴ προδιαλαβεῖν περὶ τοῦ ἐνδεχομένου, ἐντεῦθεν λοιπὸν ὁρμητέον ἐπὶ τὴν τῶν ἐνδεχομένων συλλογισμῶν διδασκαλίαν. ἐπεὶ διχῶς ἔστιν ἐξακοῦσαι τῆς προτάσεως τῆς λεγούσης ἐνδέχεσθαι τὸ Α τῷ Β ὑπάρχειν· ὁτὲ μὲν γὰρ ἔστιν ἀκοῦσαι ὡς τοῦτο λεγούσης, ὡς ὑπάρχει τὸ Α τῷ Β ἤδη, τουτέστιν ὑπαρχόντως, ἢ ὅτι τὸ Α τῷ Β οὔπω μὲν ὑπάρχει, δύναται δὲ ὑπάρξαι. ὅταν γὰρ εἴπωμεν, ὅτι τὸ Α κατὰ παντὸς τοῦ Β ἐνδέχεται, ⟨ἢ τοῦτό φαμεν, ὅτι, ὅσοις ἤδη ὑπάρχει τὸ Β, ἐνδέχεται⟩ τὸ Α ὑπάρχειν. ἢ ὅτι, ὅσοις μήπω μὲν ὑπάρχει τὸ Β, δύναται δὲ ὑπάρξαι, ὑπάρχει τὸ Α, ὡς ὅταν εἴπωμεν, ὅτι ἐνδέχεται κίνησιν παντὶ λευκῷ ὑπάρχειν· ἢ γὰρ ὅτι πᾶσιν, οἷς ἤδη | ἐνεργείᾳ τὸ λευκὸν ὑπάρχει, ἢ οἷς ὑπάρξει 76v
νῦν μὴ ὑπάρχον. οὐδὲν δὲ διαφέρει. κἄν τε 'κατὰ παντὸς τοῦ Β τὸ Α' εἴπωμεν κἄν τε 'καθ' οὗ τὸ Β, τὸ Α'· οὐδὲν γὰρ θάτερον θατέρου διαφέρει, ἀλλὰ ταὐτὸν σημαίνει ἄμφω καὶ ἀντ' ἀλλήλων λέγεται· οὐδὲν γὰρ ἄλλο σημαῖνον τὸ 'καθ' οὗ' ἢ τὸ 'κατὰ παντός'. φανερὸν οὖν, ὅτι διχῶς λέγοιτο τὸ ⟨ἐνδέχεσθαι τὸ⟩ Α τῷ Β ὑπάρχειν, ἢ ὅτι ὑπαρχόντως ἢ ὅτι ἐνδεχομένως.

Πρῶτον οὖν δεῖ περὶ τῆς συζυγίας τῆς ἐξ ἀμφοτέρων ἐνδεχομένων προτάσεων λέγειν, ποῖον συνάγουσι συμπέρασμα· οἷον τὸ Α κατὰ παντὸς τοῦ Β ἐνδέχεται, τὸ Β κατὰ παντὸς τοῦ Γ ἐνδέχεται. ἐὰν γὰρ εἴπωμεν, ὅτι τὸ Α ἐνδέχεται ὑπάρξαι πᾶσιν, οἷς ὑπάρχει τὸ Β, μικτὰς τὰς προτάσεις ποιοῦμεν ἐξ ὑπάρχοντος καὶ ἐνδεχομένου· δεῖ δέ, ὡς εἶπον, πρῶτον περὶ τῶν ὁμοιοσχημόνων, τουτέστι τῶν ἁπλῶν, διαλαβεῖν. ταὐτὸν δὲ εἰπεῖν περὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδεχομένως, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρξει· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ τὸ Β παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρξαι· τὸ ἄρα Α παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρξει. τοῦτο γὰρ φανερὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ παντός· κατὰ παντὸς γάρ ἐστιν, ὅταν μηδὲν ἔστι λαβεῖν τοῦ ὑποκειμένου μέρος, καθ' οὗ μέρους οὐ κατηγορηθήσεται τὸ κατηγορούμενον. οὐκοῦν εἰ κατὰ παντὸς τοῦ Β τὸ Α ἐνδεχομένως, μέρος δὲ τοῦ Β τὸ Γ, καὶ κατὰ παντὸς ἄρα τοῦ Γ τὸ Α ἐνδεχομένως. ὅροι δὲ κίνησις, ἐγρήγορσις, ἄνθρωπος· κίνησις παντὶ ἐγρηγορότι ἐνδεχομένως ὑπάρξει. ἐγρήγορσις παντὶ ἀνθρώπῳ ἐνδεχομένως ὑπάρξει, καὶ κίνησις παντὶ ἀνθρώπῳ ἐνδεχομένως ὑπάρχει. καὶ εἰ τὸ μὲν Α μηδενὶ τῷ Β ἐνδεχομένως καὶ τὸ Β παντὶ τῷ Γ ἐνδέχεται, ἔσται ἄρα συμπέρασμα 'τὸ Α τῷ Γ οὐδενὶ ἐνδέχεται'. τοῦτο γὰρ ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ μηδενὸς δῆλον· κατὰ μηδενὸς γάρ ἐστιν, ὅταν μηδὲν ᾖ μέρος τοῦ ὑποκειμένου λαβεῖν, καθ' οὗ μέρους οὐκ ἀποφαθήσεται τὸ κατηγορούμενον, τουτέστιν οὐκ ἀποφάσκεται. ὅροι δὲ πάλιν οἱ αὐτοὶ καὶ ἐπὶ τούτου τοῦ τρόπου, κίνησις, ἐγρήγορσις, ἄνθρωπος· κίνησις οὐδεμιᾷ ἐγρηγόρσει. ἐγρήγορσις παντὶ ἀνθρώπῳ ἐνδέχεται. καὶ κίνησις οὐδενὶ ἀνθρώπῳ ἐνδέχεται.

---

1 ἐπεὶ δὲ . . . ἀνθρώπῳ ἐνδέχεται (38) Phil. f. 39v—40r 3 ἐπεὶ . . . λεγούσης (4) cf. Al. 165,25—27 5 ἤδη scripsi: spatium 3—4 lit. P 7 ἢ . . . ἐνδέχεται Phil.: om. P 9 ὑπάρχει] immo ἐνδέχεται ὑπάρχειν; at cf. 21,9 11 β̄ τὸ ᾱ scripsi: ᾱ τὸ β̄ P 12 οὗ τὸ] οὕτω P 14 ἂν λέγοιτο Ar. 15 ἐνδέχεσθαι τὸ ex Ar. addidi: om. P 22 ᾱ παντὶ Phil.: ἅπαντι P 23 ὑπάρξει scripsi: ὑπάρξαι P 27 οὐκουν P 32 ἄρα scripsi: γὰρ P; cf. 20,2

Ὅταν δὲ τὸ μὲν Α παντὶ τῷ Β ἐνδέχεται, τὸ δὲ Β οὐδενὶ τῷ Γ ἐνδέχεται, τούτων ἄρα τῆς μὲν μείζονος οὔσης καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς, εἰ ἡ ἐλάττων οὕτω φυλάττοιτο ἔχουσα, οὐδὲν συναχθήσεται συλλογιστικῶς. εἰ μέντοι μεταληφθείη εἰς τὴν καταφατικήν (δυνατὸν δὲ τοῦτο καὶ τὸ δεδεῖχθαι, ὅτι ἀντιστρέφουσιν ἀλλήλαις· τῷ γὰρ ἐνδεχομένῳ μηδενὶ ἀντιστρέφει τὸ ἐνδεχόμενον παντί, ὡς ἐδείχθη), ἔσται συλλογιστικὴ ἡ συζυγία· ἔσται γὰρ οὕτως ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν ἐνδεχομένων, τὸ Α παντὶ τῷ Β ἐνδεχομένως, τὸ Β οὐδενὶ τῷ Γ ἐνδέχεται· εἰ οὖν ἡ ἐλάττων αὕτη μεταληφθείη, ἔσται συλλογιστικὴ ἡ συζυγία. ὁμοίως δὲ καὶ εἰ ἀμφότεραι εἶεν ἀποφατικαί, οὕτω μὲν φυλαττόμεναι οὐδὲν συνάγουσι, μεταλαμβανόμεναι δὲ ἔσονται συλλογιστικαί· οἷον τὸ Α οὐδενὶ τῷ Β, τὸ Β οὐδενὶ τῷ Γ. οὕτω μὲν ⟨οὖν⟩ γίνονται | συλλογιστικαὶ αἱ ἀσυλλόγιστοι διὰ τῆς μετα- 77r
λήψεως, ὥσπερ εἴπομεν· ὥστε διὰ τοῦτο οὐδὲ τέλειοί εἰσιν οἱ τοιοῦτοι συλλογισμοί, εἴ γε δέονται ἀντιστροφῶν. πάλιν εἰδέναι χρή, ὅτι μεταλαμβανομένων τῶν ἀποφατικῶν εἰς τὰς καταφατικὰς οἱ γινόμενοι συλλογισμοὶ οὐκέτι φυλάττουσι τὸ ὡς ἐπὶ τὸ πολὺ λεγόμενον ἐνδεχόμενον, εἴ γε τὴν ἀρχὴν ἐλήφθησαν αἱ ἀποφατικαὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον οὖσαι ἐνδεχομένου. τῷ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀποφατικῷ ἐνδεχομένῳ τὸ ἐπ' ἔλαττον καταφατικὸν ἀντιστρέφει. ὥσθ', ὅταν ἡ μετάληψις τῶν ἀποφατικῶν τῶν κειμένων ἐν ταῖς συζυγίαις εἰς τὰς ἐνδεχομένας καταφατικὰς γένηται, τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον καὶ τὸ ἀόριστον τεθήσεται. τούτου δὲ κειμένου συλλογισμὸς ἔσται, οὐ μὴν χρήσιμόν τι ἔχων, ὡς ἤδη προείπομεν. διὸ ἐροῦμεν ταύτας τὰς συζυγίας ὡς μὲν πρὸς τὸ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχόμενον, καθ' ὃ γίνονταί τινες συλλογισμοὶ καὶ κατὰ τέχνας τινὰς καὶ κατὰ συμβουλίας τε καὶ πράξεις καὶ προαιρέσεις, ἀχρήστους καὶ ἀσυλλογίστους εἶναι, ἁπλῶς μέντοι ὡς πρὸς τὰς συμπλοκὰς συλλογιστικάς. λέγει δέ τις καὶ ἄλλος σχεδὸν τὸ αὐτὸ περὶ τούτου· ἔστι δὲ τοῦτο· "αἱ ἀντιστροφαὶ τῶν προτάσεων τοῦ ἐνδεχομένου οὐ πρὸς τὸ αὐτὸ τοῦ ἐνδεχομένου σημαινόμενον ἀντιστρέφουσαι, ἀλλὰ δῆλον ὅτι τὸ ἐπὶ πλέον ἐνδεχόμενον πρὸς τὸ ἐπ' ἔλαττον ἀντιστρέφει, καὶ ἔμπαλιν τὸ ἐπ' ἔλαττον πρὸς τὸ ἐπὶ πλεῖον· ὃ γὰρ ἐνδέχεται παντὶ ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ, τοῦτο οὐδενὶ ὑπάρχειν ἐνδέχεται ὡς ἐπ' ἔλαττον· τὸ δὲ ἐπ' ἴσης πρὸς ἑαυτὸ ἔχει ἰσοτίμους ἀντιστρεφούσας τὰς καταφάσεις καὶ τὰς ἀποφάσεις." ἴσως δὲ καὶ Ἀριστοτέλης αὐτὸ τοῦτο ἐφορώμενος εἶπε τὸ "ἢ οὐ γίνεται συλλογισμός"· ὡς γὰρ πρὸς τὸ χρήσιμον ἀφορῶν οὐκ ἂν εἴποι τοὺς τοιούτους συλλογισμούς, πλὴν εἰ μόνον τις εἰς τὰς συμπλοκὰς ἀποβλέποι.

Ἐὰν δὲ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δὲ ἐν μέρει ληφθῇ, ἐὰν ἡ μείζων ἡ καθόλου ἡ δὲ ἐν μέρει καταφατική, συλλογισμὸς ἔσται τέλειος· εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδέχεται καὶ τὸ Β τινὶ τῷ Γ ἐνδέχεται, αὐτόθεν ἐκ τῶν κειμένων καὶ διὰ τῶν κειμένων ἔσεται τὸ συμπέρασμα, ὅτι τὸ Α τινὶ

2 ἄρα scripsi: γὰρ P; cf. 19,32 7 ἐξ addidi (cf. Al. 168,17) 12 οὖν addidi
13. 14 ὥστε . . . χρή Phil. f. 40v 14 πάλιν P: πλὴν Phil. (cf. 10,24) ὅτι . . . συλλογι-
[illegible] 169,10 27 ὅ . . . ἀποφάσεις 32) Phil. f. 40v 32 ἴσως
[illegible] ἴσοι (22,39) Al. 169,10—173,19 33 ὑφορώμενος Al. 169,11

τῷ Γ ἐνδέχεται. τοῦτο γὰρ φανερὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ ἐνδέχεσθαι παντί· εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδέχεται, | οὐδὲν ἔσται τοῦ Β μέρος, καθ' οὗ 77ᵃ
οὐκ ἐνδέχεται τὸ Α· τὶ δὲ μέρος τοῦ Γ ὑπὸ τὸ Β ἐστίν· ὥστε καὶ τινὶ τῷ Γ τὸ Α ἐνδέχεται ὑπάρξαι. ὁμοίως δέ, κἂν ἡ μὲν καθόλου ἀποφατικὴ ἐνδε-
5 χομένη ᾖ ἡ δὲ ἐλάττων μερικὴ καταφατική· ἐκ τῶν κειμένων γὰρ καὶ διὰ τῶν κειμένων πάλιν συνάγεται. ὅτι τὸ Α οὐ παντὶ τῷ Γ. ὁ γὰρ ὁρισμὸς τοῦ ἐνδέχεσθαι μηδενὶ γνώριμον καὶ ἐν ταύτῃ τῇ συζυγίᾳ ποιεῖ τὸ συμπέρασμα. εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Β ἐνδέχεται, οὐδὲν ἔσται μέρος λαβεῖν τοῦ Β, καθ' οὗ τὸ Α οὐκ ἀποφάσκεται· τὸ δὲ Β τινὶ μέρει τοῦ Γ ὑπάρχει· ὥστε
10 τὸ Α οὐ παντὶ τῷ Γ, εἴ γε οὐδὲ τὸ Β παντὶ αὐτῷ ἀλλὰ τινὶ ὑπῆρχεν ἐνδεχομένως. ἂν μέντοι ⟨τῆς⟩ μείζονος καθόλου οὔσης καταφατικῆς ἢ ἀποφατικῆς ἡ ἐλάττων ἐπὶ μέρους στερητικὴ ληφθῇ, γενήσεται ὁ συλλογισμός, ἀλλ' οὐκ ἐκ τῶν κειμένων, ἀλλὰ μεταληφθέντος τοῦ ἐπὶ μέρους ἀποφατικοῦ εἰς τὸ ἐπὶ μέρους καταφατικόν, διὰ τὸ ἀντιστρέφειν τὸ ἐνδεχόμενον.

15 Ὅταν μέντοι ἡ μείζων οὐκ ᾖ καθόλου, ἀλλ' αὐτὴ μὲν ἐπὶ μέρους ἡ δὲ ἐλάττων καθόλου, οὐδεὶς ἔσται συλλογισμός, οὔτε ἂν ὁμοιοσχήμονες ληφθῶσιν αἱ προτάσεις, τουτέστι καταφατικαὶ ἀμφότεραι ἢ ἀποφατικαὶ ἀμφότεραι, οὔτε ἐὰν ἀνομοιοσχήμονες, τουτέστιν ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, ἐάν τε ἀμφότεραι ἀδιόριστοι ἢ κατὰ μέρος. τοῦ δὲ ἀσυλλογίστους πάσας τὰς τοιαύτας
20 προτάσεις γίνεσθαι, ἐν αἷς ἡ μείζων ἐπὶ μέρους ἐνδεχομένη, αἰτία αὕτη· κειμένου τοῦ Α τινὶ τῷ Β ἐνδέχεσθαι, οὐδὲν κωλύει τὸ Β ὑπερτείνειν καὶ ἐπὶ πλειόνων λέγεσθαι ἢ τὸ Α· οἷόν ἐστι τὸ γραμματικόν, εἰ εἴη κείμενον ἐνδέχεσθαι τινὶ κοιμωμένῳ· τὸ γὰρ κοιμώμενον ἐπὶ πλειόνων κατηγορεῖται ἢ τὸ γραμματικόν. ἂν δὴ τούτων τι ληφθῇ τῶν ὑπὸ τὸ κοιμώμενον, καθ' ὃ ὑπερ-
25 τείνει τοῦ Α, τουτέστι τοῦ γραμματικοῦ, τὸ Β, τουτέστι τὸ κοιμώμενον οἷον ἵππος, τῷ ἵππῳ οὔτε παντὶ τὸ Α ἐνδέχεται οὔτε ἐνδέχεται μηδενί· ὃ γὰρ ἐνδέχεται μηδενί, τοῦτο καὶ παντὶ ἐνδέχεται· τὸ δὲ γραμματικὸν πῶς ἂν ἐνδέχοιτο παντὶ ἵππῳ; οὐδενὶ γὰρ αὐτῷ ἐξ ἀνάγκης. ἀλλ' οὐδὲ τινὶ ἵππῳ ἐνδέχεται τὸ γραμματικόν· ἀλλ' οὐδὲ ἐνδέχεται τινὶ μή· ὃ γὰρ ἐνδέχεται τινὶ
30 μή, τοῦτο καὶ | ἐνδέχεται τινὶ διὰ τὴν τοῦ ἐνδεχομένου ἀντιστροφήν· εἴπομεν 78ᵃ
γὰρ ἤδη, ὡς ἀντιστρέφουσιν αἱ κατὰ τὸ ἐνδέχεσθαι προτάσεις. εἰ δὲ δεῖ μὲν τὸ συμπέρασμα ἢ καθόλου εἶναι [ἢ] καταφατικὸν ἢ καθόλου ἀποφατικὸν ἢ τῶν ἐπὶ μέρους θάτερον, οὐδὲν δὲ τούτων δύναται ἐπὶ τῶν ἐνδεχομένων οὔσης τῆς μείζονος μερικῆς τῆς δὲ ἐλάττονος καθόλου ἐν τῷ πρώτῳ σχήματι, οὐδ'
35 ἂν ὅλως γένοιτο συλλογισμός. ἔτι δὲ καὶ ἐκ τῶνδε τῶν ὅρων φανερόν, ὡς ἀσυλλόγιστοι πᾶσαι αἱ συζυγίαι αἱ ἐξ ἐνδεχομένου ἐν πρώτῳ σχήματι, ἐν αἷς ἡ μείζων ἐπὶ μέρους ἐστίν. ἤδη μὲν οὖν καὶ τὴν αἰτίαν προστεθείκαμεν προσθέντες, ὅτι ἐνδέχεται τὸν μέσον ὅρον ὑπερτείνειν τοῦ ἄκρου· οὐδὲν δὲ ἧττον καὶ πάλιν δείξομεν ἀσυλλόγιστον καὶ ταύτην τὴν συμπλοκὴν καὶ διὰ τῆς
40 παραθέσεως τῶνδε τῶν ὅρων· οὕτω γὰρ ἐναργεστέρα τε καὶ πληκτικωτέρα ἡ

---

11 τῆς Al. 170,21: om. P 12 μὲν ὁ Al. 170,22 28 οὐδενὶ Al. 171,4: οὐδὲν P 32 ἢ alterum om. Al. 171,9 38 προσθέντες scripsi: προσθέντος P

παντὶ δεῖξις καὶ ὁ ἔλεγχος ἔσται. οἷον λευκὸν τινὶ περιπατοῦντι ἐνδεχομένως, περιπατοῦν παντὶ κύκνῳ ἐνδεχομένως· καὶ ἔσται συμπέρασμα λευκὸν κύκνῳ ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ λευκὸν τινὶ περιπατοῦντι ἐνδεχομένως, περιπατοῦν παντὶ κόρακι ἐνδεχομένως, καὶ λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης. εἰ δὲ ἐξ ἀνάγκης τὸ πρῶτον ἄκρον τῷ ἐσχάτῳ παντὶ καὶ μηδενί, πάντα ἂν εἴη τὰ ἐνδεχόμενα καὶ τὰ ὑπάρχοντα καὶ τὰ ἀναγκαῖα ἀνῃρημένα, καὶ τὸ 'πᾶς' καὶ τὸ 'τίς' καὶ τὸ 'μηδείς' καὶ τὸ 'μὴ πᾶς'. ἑκατέρῳ γὰρ τῶν καθόλου ἀναγκαίων πάντα ἀναιρεῖται τὰ ἐνδεχόμενα συμπεράσματα, τῷ μὲν 'πᾶς ἐξ ἀνάγκης' καὶ τὸ 'οὐδείς' καὶ τὸ 'μὴ πᾶς', τῷ δὲ 'οὐδεὶς ἐξ ἀνάγκης' τὸ 'παντί' καὶ τὸ 'τινί'. εἰ γὰρ παντὶ ἐξ ἀνάγκης καὶ μηδενὶ ὡσαύτως συνάγεται ἐκ τῆς τῶν ὅρων παραθέσεως, οὐ μόνον οὐκ ἐνδεχόμενόν τι συνάγεται, ἀλλ' οὐδὲ ὅλως τι οἷον ὑπάρχον ἢ ἀναγκαῖον· τὸ μὲν γὰρ παντὶ ἐξ ἀνάγκης ἀναιρετικόν ἐστι τοῦ μηδενὶ ἐξ ἀνάγκης καὶ τοῦ μηδενὶ ὑπαρχόντως, τὸ δὲ μηδενὶ ἐξ ἀνάγκης τοῦ τε παντὶ ἐξ ἀνάγκης καὶ τοῦ παντὶ ὑπαρχόντως· τούτοις γὰρ προσχρώμενοι ἀσυλλογίστους ἐδείκνυμέν τινας συμπλοκὰς ἔν τε ταῖς ἀναγκαίαις καὶ ταῖς ὑπαρχούσαις προτάσεσιν. ἔτι ἔδει μέν, ὅταν ἀναγκαῖον ἢ ὑπάρχον ἢ συμπέρασμα, ἢ τὴν ἑτέραν τῶν προτάσεων ἢ ἀμφότερας τοιαύτας εἶναι· ἐπὶ δὲ τοῦ προκειμένου ἀμφότεραί | εἰσιν ἐνδεχόμεναι. καὶ διὰ τοῦτο 78v
ἂν δεικνύοιτο μήτε ἀναγκαῖον μήτε ὑπάρχον γινόμενον τὸ συμπέρασμα. ἀλλ' οὐδὲ ἐνδεχόμενον οἷόν τε συναχθῆναι ἐν τῇ τοιαύτῃ συμπλοκῇ, εἴ γε καὶ τὸ παντὶ ἐξ ἀνάγκης καὶ τὸ μηδενὶ ἐξ ἀνάγκης συνάγεται, τοῦτο δὲ ἀναιρετικόν ἐστι τοῦ ἐνδεχομένου· τὸ γὰρ ἐνδεχόμενον ὡρισάμεθα 'οὗ μὴ ὄντος ἀναγκαίου'. ὃ γὰρ παντὶ ἐξ ἀνάγκης καὶ οὐδενὶ ἐξ ἀνάγκης, τοῦτο οὔτε παντὶ ἐνδέχεται οὔτε οὐδενὶ οὔτε τινὶ οὔτε μὴ παντί.

Φανερὸν δέ, ὅτι ἐν πρώτῳ σχήματι, ἂν ὦσιν ἄμφω αἱ προτάσεις καθόλου, συλλογισμὸς γίνεται, ὁποῖαι ἂν ὦσι κατὰ τὸ ποιόν, πλὴν εἰ μὲν εἶεν ἀμφότεραι καταφατικαί, τέλειος, ὁμοίως δέ, κἂν ἡ μείζων ἀποφατικὴ μόνη, ἀτελεῖς δέ εἰσιν αἱ διὰ τῆς τοῦ ἐνδεχομένου ἀντιστροφῆς, καὶ ὅτι δεῖ τοῦτο τὸ ἐνδεχόμενον λαμβάνειν ἐν ταῖς προτάσεσι τὸ μὴ ἀναγκαῖον· τὸ γὰρ κατὰ τοῦ ἀναγκαίου κατηγορούμενον οὐκ ἀντιστρέφει. ἔστι δὲ πολλάκις τὸ τοιοῦτον διαλανθάνον· τὸ γὰρ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχον λέγομεν ἐνδέχεσθαι μηδενί· ἐφ' οὗ οὐκ ἔστι λέγειν, ὅτι καὶ παντὶ ἐνδέχεται. ἀλλὰ καὶ αὐτὸς ἐγὼ ἐν τῇ τῶν ὅρων ἐκθέσει τὸ ζῶον ἔλαβον ἐνδέχεσθαι τινὶ λευκῷ, καίτοι ἐξ ἀνάγκης τινὶ αὐτῷ ὑπάρχει. καὶ τούτου χάριν ἔστιν, ὅτε προστίθημι τὸ 'ληπτέον δὲ τοὺς ὅρους βέλτιον'. ἔδειξα δὲ γινομένους ἐν πρώτῳ σχήματι ἐξ ἐνδεχομένων ἀμφοτέρων οὐσῶν καθόλου συλλογισμῶν τελείους μὲν δύο, ἀτελεῖς δὲ τοσούτους ὑπάρχειν εἶναι· ὁμοίως πάλιν τεσσάρων ὄντων τῆς ἑτέρας προτάσεως τῆς ἐλάττονος ἐπὶ μέρους οὔσης εἰσὶ τέλειοι μὲν καὶ ἐκ τούτων δύο, ἀτελεῖς δὲ ἴσοι.

Ἀπορήσοι δ' ἄν τις, τί δή ποτε μή, ὥσπερ τὰς ἀποφατικὰς μεταλαμβάνομεν εἰς τὰς καταφατικὰς καὶ οὕτω ποιοῦμεν συλλογιστικὰς συζυγίας, οὕτως

παντὶ κύκνῳ Al. 171,33 ante λευκὸν fort. addendum λευκόν, περιπατοῦν, κόραξ· Al. 172,3.4): at cf. 34,40 et 49,5 34 αὐτῷ Al. 173,9: αὐτὸ P ὑπάρχει Al.: ὑπάρχειν P(a) 39 ἀπορήσοι . . . καθόλου (23,28) Phil. f. 41r

τὰς καταφατικὰς μεταλαμβάνομεν εἰς τὰς ἀποφατικὰς καὶ δεικνύομεν οὕτω τὰς συλλογιστικὰς ἀσυλλογίστους. εἰ γὰρ αἱ τοῦ ἐνδεχομένου προτάσεις εἰς ἑαυτὰς ἰσοτίμως ἀντιστρέφουσι, τίς ἡ ἀποκλήρωσις τοῦ τὰς μὲν ἀποφατικὰς μεταλαμβάνειν εἰς καταφατικάς, μηκέτι δὲ καὶ τὰς καταφατικὰς εἰς ἀπο|φατικάς; ἐπι- 79r
5 λυσόμεθα οὖν τὴν ἀπορίαν. τῶν ἀποφάσεων αἱ μὲν τὸν τρόπον ἀναιροῦσιν, αἱ δὲ τὸ πρᾶγμα· ἡ μὲν λέγουσα 'οὐκ ἀνάγκη περιπατεῖν' τὸ μὲν πρᾶγμα οὐκ ἀνεῖλε, λέγω δὲ τὸ περιπατεῖν, τὸν δὲ τρόπον ἀνεῖλε τὸν ἀναγκαῖον· ἡ δὲ λέγουσα 'ἀνάγκη μὴ περιπατεῖν' τὸν μὲν τρόπον οὐκ ἀνεῖλε, τὸ δὲ πρᾶγμα ἀνεῖλεν, ἥτις τῷ μὲν σχήματί ἐστι κατάφασις τῇ δὲ δυνάμει ἀπόφασις· τὸ
10 μὲν γὰρ πρᾶγμα ἀνεῖλε, τὸ περιπατεῖν, τὸν δὲ τρόπον ἐφύλαξε. καὶ ἐπὶ πάντων τῶν ἄλλων ὁμοίως. αἱ δὲ τοῦ ἐνδεχομένου ἀποφάσεις αἱ ἐνταῦθα παραλαμβανόμεναι, αἵτινες τῷ σχήματί εἰσι καταφατικαί, οὔτε τὸ πρᾶγμα οὔτε τὸν τρόπον ἀναιροῦσιν· ἡ γὰρ λέγουσα 'ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν' οὔτε τὸν τρόπον ἀναιρεῖ (ἀκέραιος γάρ ἐστιν) οὔτε τὸ πρᾶγμα. εἰ τοίνυν μηδὲ
15 τὸν τρόπον ἀναιροῦσι μηδὲ τὸ πρᾶγμα, δηλονότι ταῖς καταφάσεσιν ἰσοδυναμοῦσι. διὰ τοῦτο οὖν τὰς τοιαύτας ἀποφατικὰς εἰς τὰς καταφατικὰς μεταλαμβάνω, ὥσπερ ἀπὸ ἀσαφεστέρων καταφάσεων εἰς σαφεστέρας ποιούμενος τὴν μετάληψιν. ἴσως δ' ἄν τις ἡμᾶς κἀκεῖνο ἀπορήσειε, διὰ τί μὴ καὶ τὰς μερικὰς εἰς τὰς καθόλου μεταλαμβάνομεν καὶ ποιοῦμεν καὶ τὰς ἐν μερικαῖς
20 ἀσυλλογίστους συλλογιστικάς, εἴπερ πᾶσαι πρὸς ἑαυτὰς αἱ τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφουσι. τούτου δὲ τὴν λύσιν ἔφθημεν εἰπόντες, ὅτι τὰς μὲν καθόλου δυνατὸν εἰς τὰς μερικὰς μεταλαβεῖν, διότι τῷ καθόλου ⟨τὸ⟩ μερικὸν ἀκολουθεῖ (ὃ γὰρ ἐνδέχεται παντί, τοῦτο καὶ τινὶ ἐνδέχεται, καὶ ὃ μηδενί, τοῦτο καὶ μὴ παντί), οὐκέτι δὲ πάντως καὶ ἀναπάλιν· οὐ γάρ, ὃ τινὶ ἐνδέχε-
25 ται, τοῦτο ἀνάγκη καὶ παντὶ ἐνδέχεσθαι· δυνατὸν γὰρ τινὶ μὲν ἐνδέχεσθαι παντὶ δὲ μηκέτι· οἷον τινὶ μὲν ζώῳ ἐνδεχομένως τὸ λευκὸν ὑπάρχει, παντὶ δὲ οὐκέτι ἐνδεχομένως· τῷ γὰρ κύκνῳ ἐξ ἀνάγκης. διὰ τοῦτο οὖν οὐ μεταλαμβάνομεν τὰς μερικὰς εἰς τὰς καθόλου.

Μῖξις ὑπάρχοντος καὶ ἐνδεχομένου.

30 Ἦν μὲν οὖν ἀκόλουθον περὶ τοῦ δευτέρου καὶ τρίτου σχήματος πρῶτον εἰπεῖν, εἶθ' οὕτως περὶ τῶν μίξεων. ἀλλ' ἐπειδὴ δι' ἀντι|στροφῶν τῶν κατὰ 79v
τοὺς ὅρους οἱ ἐν ἐκείνοις συλλογισμοὶ δείκνυνται, οὐδέπω δὲ εἰρήκαμεν περὶ τῆς κατὰ τὰς ἐνδεχομένας προτάσεις τοιαύτης ἀντιστροφῆς, πρῶτον λεκτέον περὶ τῶν μίξεων τῶν ἐν τῷ πρώτῳ σχήματι ἐξ ἐνδεχομένης τε καὶ ὑπαρ-
35 χούσης καὶ ἐνδεχομένης καὶ ἀναγκαίας, ἐπειδὴ οὐδὲν δεῖται τὰ ἐν τούτῳ τῷ σχήματι δεικνύμενα ἀντιστροφῆς. ἔτι δὲ καὶ δειχθήσεται, ὅτι ἐν δευτέρῳ σχήματι ἐκ δύο ἐνδεχομένων οὐδὲν συνάγεται, ὅτι μηδὲ ἐκ δύο καταφατικῶν,

---

11. 12 παραλαμβανόμεναι Phil.: περιλαμβανόμεναι P (cf. 13,9) 22 τῷ καθόλου τὸ Phil.: τὸ καθόλου P 25 ἐνδέχεσθαι (post παντὶ) Phil.: ἐνδέχεται P 30 ἦν μὲν . . . συνάγεται (24,1) Al. 173,22—30 35 ἐπειδὴ Al. 173,27: ἐπεὶ δὲ P

ἐκ δὲ μίξεως ἐνδεχομένης τε καὶ ὑπαρχούσης συνάγεται. ὅταν γὰρ ἡ μείζων ἐνδεχομένη ᾖ ἡ δὲ ἐλάττων ὑπάρχουσα, τὸ τηνικαῦτα ἔσονται συλλογιστικαὶ συζυγίαι, ὅταν καὶ ἡ μείζων τὸ ἴδιον ποσὸν φυλάττῃ (λέγω δὴ τὸ καθόλου) καὶ ἡ ἐλάττων τὸ ποιόν· λέγω δὴ τὸ καταφατικόν. καὶ πάντες οἱ τοιοῦτοι συλλογισμοὶ τέλειοί εἰσιν· οὐ δέονται γὰρ οὔτε ἀντιστροφῆς οὔτε τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. καὶ συνάγουσι συμπέρασμα ἐνδεχόμενον τὸ κατὰ τὸν ὁρισμόν, ὅ ἐστιν 'οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ ὑπάρχειν οὐδὲν ἀδύνατον ἕπεται'. τέλειοι οὖν οἱ τοιοῦτοι συλλογισμοί, τουτέστιν αὐτόθεν δεικνύντες τὸ προκείμενον· διὰ γὰρ τοῦ κατὰ παντὸς ἡ δεῖξις καὶ τοῦ κατὰ μηδενὸς· οἱ δὲ διὰ τούτων ἔχοντες γνώριμον τὸ συμπέρασμα τέλειοι. ὅταν δὲ ἡ μὲν μείζων ὑπάρχουσα ἡ δὲ ἐλάττων ἐνδεχομένη, τότε ἔσονται συλλογιστικαὶ συζυγίαι, ὅταν μόνη ἡ μείζων καθόλου ᾖ. οὐκέτι μέντοι ἀνάγκη καὶ τὸ ποιὸν τῆς ἐλάττονος ὡρισμένον εἶναι· κἂν γὰρ ἀποφατικὴ ᾖ ἡ ἐλάττων, γενήσεται συλλογιστικὴ ἡ συζυγία μεταληφθείσης πάλιν τῆς τοῦ ἐνδεχομένου ἀποφάσεως εἰς κατάφασιν. αἱ μὲν οὖν συλλογιστικαὶ συζυγίαι ἐν αὐτοῖς αὗται. συνάγουσι δὲ συμπεράσματα αἱ μὲν τὴν μείζονα ἔχουσαι ἐνδεχομένην ἐνδεχόμενα· αἱ δὲ τὴν μείζονα ὑπάρχουσαν ἔχουσαι οὐ συνάγουσι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλὰ τὸ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, αἵτινες εἰσὶν ἀποφατικαί μέν, οὐ τὸ πρᾶγμα δὲ ἀναιροῦσιν ἀλλὰ μόνον τὸν ἀναγκαῖον τρόπον· ἀναιρουμένου δὲ τοῦ ἀναγκαίου τρόπου ἐνδεχόμενα ἔσονται ἐξ ἀνάγκης τὰ συμπεράσματα, ἀλλ' οὐχὶ τοῦ κατὰ τὸν διορισμὸν | ἐνδεχομένου. τὸ οὐδέπω γὰρ 87r ὑπάρχον ἐκεῖνο σημαίνει· ταῦτα δὲ τὸ ὑπάρχον μέν, μὴ ἐξ ἀνάγκης δὲ ὑπάρχον· τὸν γὰρ ἀναγκαῖον τρόπον, οὐ τὸ ὑπάρχειν ἀναιροῦσιν. εἰ γὰρ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης, ἐνδέχεσθαί φαμεν καὶ μηδενὶ καὶ μὴ παντὶ ὑπάρχειν· εἰκότως· εἰ γὰρ μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης τὸ βαδίζειν, ἐνδεχομένως που πάντως ὑπάρχει. ἐνδεχέσθω γὰρ τὸ Α παντὶ τῷ Β, τὸ δὲ Β παντὶ τῷ Γ κείσθω ὑπάρχειν. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδεχομένως ὑπάρχει, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ὑπάρχειν· τὸ Α ἄρα τῷ Γ ἐνδεχομένως ὑπάρξει μέρει ὄντι τοῦ Β. ὅροι δὲ διαλέγεσθαι, περιπατεῖν, ἄνθρωπος· διαλέγεσθαι περιπατοῦντι παντὶ ἐνδεχομένως, περιπατεῖν παντὶ ἀνθρώπῳ ὑπαρχόντως (ὑποκείσθωσαν γὰρ πάντες περιπατοῦντες), καὶ συνάγεται συμπέρασμα τὸ διαλέγεσθαι παντὶ ἀνθρώπῳ ἐνδεχομένως. τὰ αὐτὰ καὶ τῆς μείζονος στερητικῆς λαμβανομένης τῆς δὲ ἐλάττονος καταφατικῆς· εἰ γὰρ τὸ Α ἐνδεχομένως οὐδενὶ τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως οὐχ ὑπάρχει· μέρος δὲ τοῦ Β τὸ Γ· ὑπόκειται γὰρ παντὶ τῷ Γ τὸ Β ὑπαρχόντως· οὐδενὶ ἄρα τῷ Γ τὸ Α ἐνδεχομένως ὑπάρχει. οἱ αὐτοὶ δὲ ὅροι κἀνταῦθα ἁρμόσουσιν. ὅτι μὲν οὖν πᾶσαι αἱ συμπλοκαὶ αἱ τὴν μὲν μείζονα ἔχουσαι ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν συλλογιστικαὶ οὖσαι τέλειοί εἰσι, φανερόν· οὐκ ἐδεήθησαν γὰρ

1 ὅταν ... ἀπαγωγῆς (6) Phil. f. 41v 6 καὶ συνάγουσι ... τέλειοι (10) Al. 174,4—9 διαιρῶν Al. 174,5 (cf. vs. 17 et 21) 10 ὅταν δὲ ... πᾶσαι (25,4) Phil. f. 41v—42r 15. 16 συνάγουσι δὲ Phil.: εἰς κατάφασιν P 16 συμπεράσματα Phil.: συμπέρασμα P 17 οὐ Phil.: om. P 21 τὸ οὐδέπω ... ἀναιροῦσιν (23) cf. Al. 174,15—17 29 γὰρ ripsi: δὲ P (cf. vs. 36) γ̄ τὸ β̄ Phil. f. 42v: β̄ τὸ γ̄ P

οὔτε τῆς δι' ἀντιστροφῆς οὔτε τῆς δι' ἀδυνάτου δείξεως. αἱ δὲ ἀντικείμενως ἔχουσαι ταύταις, λέγω δὴ αἱ τὴν μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην, οὐ τῇ κατ' εὐθεῖαν δείξει δεικνύμεναι ἀλλ' ἢ τῇ δι' ἀντιστροφῆς ἢ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀτελεῖς εἰσι πᾶσαι.

5 Ἐπεὶ δὲ μέλλομεν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ προσχρώμενοι δεικνύναι συλλογιστικὴν οὖσαν συζυγίαν τὴν ἐξ ὑπαρχούσης τῆς μείζονος καὶ ἐνδεχομένης τῆς ἐλάττονος, ἐν δὲ τῇ δείξει τῇ εἰς ἀδύνατον ἐπὶ τῶν προκειμένων οὐ μόνον τὸ ἀντικείμενον τοῦ, οὗ βουλόμεθα δεῖξαι συναγόμενον, ὑποτιθέμεθά τε καὶ λαμβάνομεν, ἀλλὰ καὶ τὴν ἐνδεχομένην πρότασιν εἰς ὑπάρχουσαν μεταλαμβά-
10 νομεν, ὃ οὐκ ἔστιν ἀδύνατον (ὃ γὰρ ἐνδέχεται γενέσθαι, οὐκ ἀδύνατον ὑποθέσθαι εἶναι, ὡς ὁ ἀποδεδομένος αὐτοῦ ὁρισμὸς δηλοῖ) ψεῦδος μέντοι. ἵνα 87r
οὖν τὸ συναγόμενον ἀδύνατον ἐκ τοῦ ⟨λαβεῖν τὸ ἀντικείμενον, οὗ βουλόμεθα δεῖξαι ἐν τῇ ἐκκειμένῃ συζυγίᾳ, καὶ ἐκ τοῦ⟩ μεταλαβεῖν τὸ ἐνδεχόμενον εἰς ὑπάρχον, ὃ ψεῦδος μέν ἐστιν οὐ μὴν ἀδύνατον, μὴ ἡγῆταί
15 τις συνάγεσθαι παρὰ τὴν τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον μετάληψιν, ἀλλὰ παρὰ τὸ ὑποτιθέμενον ἀδύνατον, ὅ ἐστιν ἀντικείμενον. ᾧ βουλόμεθα δεῖξαι γινομένῳ συμπεράσματι, πρῶτον δείξομεν, ὅτι μὴ οἷόν τε δυνατῷ τι ἀδύνατον ἀκολουθεῖν, ἀλλ' ἀνάγκη ἀδύνατον εἶναι, ᾧ τὸ ἀδύνατον ἀκολουθεῖ, ἐπὶ πάσης ἀναγκαίας ἀκολουθίας. ἔστι δὲ ἀναγκαία ἀκολουθία οὐχ ἡ πρόσκαιρος ἀλλὰ
20 ἐν ᾗ ἀεὶ τὸ εἰλημμένον ἕπεσθαι ἔστι διὰ τὸ ⟨τὸ⟩ εἰλημμένον [ὡς ἑπόμενον] ὡς ἡγούμενον εἶναι. οὐ γὰρ ἀληθὲς συνημμένον τὸ 'εἰ Ἀλέξανδρος ἔστιν, Ἀλέξανδρος διαλέγεται' ἢ 'εἰ Ἀλέξανδρός ἐστι, τοσῶνδε ἐτῶν ἐστι', καὶ εἰ ᾗ, ὅτε λέγεται ἡ πρότασις, τοσούτων ἐτῶν. τούτου γὰρ δειχθέντος τὸ γινόμενον συμπέρασμα ἐκ τῶν κειμένων ἐπὶ τῇ ἐκτεθείσῃ συζυγίᾳ, ⟨εἰ⟩ ἀδύνατον εἴη,
25 οὐ παρὰ τὸ τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν μετειλῆφθαι γίνεται (τοῦτο γὰρ ψεῦδος μέν, οὐ μὴν ἀδύνατον) ἀλλὰ παρὰ τὸ τὸ ἀντικείμενον ληφθῆναι τοῦ συναγομένου ὂν ἀδύνατον. ἅμα δὲ διὰ τοῦ νῦν δεικνυμένου καὶ τὴν δεῖξιν τὴν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὅτι ἐστὶν ὑγιής, κατασκευάζειν δόξομεν. μὴ γὰρ ὄντος ὁμολογουμένου τοῦ τὸ ἀδύνατον ἀδυνάτῳ ἕπεσθαι οὐδ' ἂν ἡ εἰς
30 ἀδύνατον ἀπαγωγὴ ἰσχὺν ἔχειν φαίνοιτο τῷ μὴ πάντως ἀναιρεθήσεσθαι τὴν ὑπόθεσιν ἀδυνάτου τινὸς συναχθέντος ὡς ἀδύνατον καὶ αὐτήν.

Ὅτι δὲ δυνατὸν δυνατῷ ἀεὶ ἀκολουθεῖ καὶ οὐχ οἷόν τε ἀδύνατον ἕπεσθαι δυνατῷ, δείκνυμεν οὕτως. ἔστω γὰρ οὕτως ἐχόντων, ὡς προειρήκαμεν, τὸ μὲν ἐφ' ᾧ τὸ Α δυνατόν, τὸ δὲ ἐφ' ᾧ τὸ Β ἀδύνατον· εἰ οὖν τοῦ Α
35 ὄντος ὑπόκειται ἐξ ἀνάγκης ἕπεσθαι αὐτῷ τὸ Β, ἐπειδὴ τὸ μὲν Α ἐστὶ προηγούμενον τὸ δὲ Β ἑπόμενον, ἀνάγκη, εἰ τὸ Α δυνατὸν εἴη, καὶ τὸ Β δυνατὸν εἶναι. εἰ γὰρ τοῦτο ψεῦδος καὶ ἐγχωρεῖ τοῦ Α δυνατοῦ ὄντος τὸ Β ἀδύνατον εἶναι, ὑποκείσθω οὕτως. ἐπειδὴ τοίνυν τὸ Α δυνατόν ἐστι, τὸ δὲ

---

5 ἐπεὶ δὲ . . . δείκνυμεν οὕτως (33) Al. 175,22—176,20 12. 13 λαβεῖν . . . καὶ ἐκ τοῦ Al. 175,29. 30: om. P 13. 14 ἐνδεχόμενον Al.: ἀντικείμενον P 15 παρὰ Al.: περὶ P cf. 23,11. 12 18 ᾧ Al. (a) 176,1: ὡς P 20 ἀεὶ τὸ Al. 176,3: εἰλημμένον ἀεὶ collocat P τὸ alterum addidi ὡς ἑπόμενον om. Al. 24 εἰ Al. 176,7: om. P 29 ἀδυνάτῳ Al. 176,12: ἀδυνάτως P 34 εἰ οὖν . . . αὐτὸ οὕτως (26,22) Phil. f. 42r. 42v. 12r

δυνατὸν οἷόν τέ ἐστι γενέσθαι, ἐκβαινέτω εἰς ἐνέργειαν τὸ Α· ἐκβὰν δὲ ἔστι δηλονότι. εἰ τοίνυν τὸ μὲν | Α ἔστι, τὸ δὲ Β ἀκολουθεῖν τῷ Α ἐξ ἀνάγκης 88r
ὑπόκειται, ἔσται ἄρα καὶ τὸ Β. ἀλλ' ἐπειδὴ ἀκολουθεῖν μὲν τῷ Α φασὶν οἱ ἀντιλέγοντες τὸ Β, ἀδύνατον δὲ εἶναι, τὸ δὲ ἀδύνατον εἶναι οὐκ ἔστι, τὸ Β ἄρα οὐκ ἔστιν. ἀλλὰ μὴν ὑπέκειτο καὶ εἶναι· ἐξ ἀνάγκης γὰρ ἠκολούθει τῷ Α· τὸ αὐτὸ ἄρα ἔστι καὶ οὐκ ἔστιν, ὅπερ ἀδύνατον. δέδεικται ἄρα διὰ τούτων, ὅτι πᾶσα ἀνάγκη τὸ τῷ δυνατῷ ἑπόμενον δυνατὸν εἶναι. [περὶ αὐτοῦ ἄλλο.] ἐπεὶ δὲ μέλλομεν παραδιδόναι τὰς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης συζυγίας, θεώρημά τι προλάβωμεν συμβαλλόμενον ἡμῖν εἰς τὴν τούτων δεῖξιν. ἐπειδὴ γὰρ πᾶσαι διὰ τοῦ ἀδυνάτου δείκνυνται καὶ τῆς μεταλήψεως τῶν προτάσεων εἰς ἀλλήλας, τῆς τε ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν καὶ ἀνάπαλιν τῆς ὑπαρχούσης εἰς τὴν ἐνδεχομένην, τοῦτο δέ, εἰ καὶ ψευδός ἐστιν, οὐ μὴν ἀδύνατον ἀλλὰ δυνατόν (τό τε γὰρ ἐνδεχόμενον δυνατὸν ἐκβῆναι καὶ γενέσθαι ὑπάρχον, καὶ τὸ ὑπάρχον διακοπέν, ἐπειδὴ καὶ τοιαύτην ἔχει τὴν φύσιν, δύναται πάλιν γενέσθαι ἐνδεχόμενον), ἐπειδὴ τοίνυν μεταλαμβάνοντες τὰς προτάσεις διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυμεν ταύτας τὰς συζυγίας, ἵνα μή τις εἴπῃ διὰ τὴν μετάληψιν τῶν προτάσεων ἠκολουθηκέναι τὸ ἀδύνατον, διὰ τοῦτο πρότερον προτιθέμεθα δεῖξαι, ὅτι οὐδέποτε δυνατὸν δυνατῇ τινι ὑποθέσει τι ἀδύνατον ἀκολουθεῖν, ἀλλὰ πάντως τὸ δυνατὸν δυνατῷ ἔσται ἑπόμενον. εἴπερ οὖν τὴν μετάληψιν τῶν προτάσεων δυνατὸν γενέσθαι καὶ οὐκ ἀδύνατον, δυνατῷ δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, οὐδὲν ἄρα ἀκολουθήσει τῇ μεταλήψει αὐτῶν ἀδύνατον. δείκνυμεν δὲ αὐτὸ οὕτως· εἰ τοῦ Α ὄντος ἀνάγκη τὸ Β εἶναι, οὔσης δὲ ταύτης ἐξ ἀνάγκης τῆς ἀκολουθίας τοῦ ἕπεσθαι τῷ Α τὸ Β, ὑποκείσθω τὸ μὲν Α δυνατὸν εἶναι τὸ δὲ Β ἀδύνατον. τὸ δὴ Α, ἐπεὶ δυνατόν ἐστι, κἂν γένοιτο, ὅτε δυνατόν ἐστι γενέσθαι· τὸ δὲ ἀδύνατον, ὅτε ἀδύνατόν ἐστι γενέσθαι, οὐκ ἂν γένοιτο. εἰ δὴ ἅμα τὸ μὲν δυνατὸν τὸ δὲ ἀδύνατον, ὅτε τὸ Α ἐστί, τὸ Β, καθὸ μέν ἐστιν ἀδύνατον, οὐκ ἂν εἴη, καθὸ δὲ ἀνάγκη τοῦ Α ὄντος εἶναι αὐτό, εἴη ἄν. ἅμα τε οὖν ἂν εἴη καὶ οὐκ εἴη τὸ Β, ὅπερ ἀδύνατον. δυνατοῦ ἄρα ὄντος τοῦ ἡγουμένου δυνατὸν ἔσται καὶ 88v
τὸ ἑπόμενον ἐξ ἀνάγκης αὐτῷ· τοῦτο δὲ ἦν τὸ Β.

Ἡμεῖς μὲν οὖν, ὅτι ⟨μὴ⟩ οἷόν τέ ἐστι δυνατῷ ἀδύνατον ἕπεσθαι, δείκνυμεν διὰ τὸ δεῖν μὲν ἐν τῷ ἀληθεῖ συνημμένῳ ἐξ ἀνάγκης ἕπεσθαι τὸ λῆγον τῷ ἡγουμένῳ· τὸ δὲ ἐξ ἀνάγκης τινὶ ἑπόμενον ἀεὶ αὐτῷ ἕπεται· καὶ τὸ ἀδύνατον δὴ ἀεὶ ἀκολουθήσει τῷ ἡγουμένῳ αὐτοῦ, ὥστε, εἰ δυνατόν ἐστι γενέσθαι, καὶ γενομένῳ αὐτῷ ἀκολουθήσει· ἀκολουθοῦν δὲ αὐτῷ τότε καὶ ἔσται· ἔσται ἄρα τὸ ἀδύνατον γενέσθαι· τοῦτο δὲ ἀδύνατον. Χρύσιππος δὲ λέγων μηδὲν κωλύειν καὶ δυνατῷ ἀδύνατον ἕπεσθαι πρὸς μὲν τὴν ὑφ' ἡμῶν εἰρημένην δεῖξιν οὐδὲν λέγει. πειρᾶται δὲ διὰ παραδειγμάτων τινῶν οὐχ ὑγιῶς συγκειμένων δεικνύναι τοῦτο μὴ οὕτως ἔχον· δυνατὸν γάρ φησι τὸ τῷ δυνατῷ ἑπόμενον

6.8 περὶ αὐτοῦ ἄλλο ut ex marg. illatum delevi 10 τούτων Phil.: τούτου P
[illegible] δυνατῷ P 22 δείκνυμεν . . . οὕτως ἔχον (39) Al. 176,22—177,27 31 μὴ Al. 177,19: om. P 34 δὴ Al. (B) 177,22: δὲ P (aM) 39 δυνατὸν γάρ . . . ἄρα ζῶον (28,34) Phil. f. 42v—43r

ἀδύνατον εἶναι. λέγει γὰρ οὕτω· εἰ τέθνηκε Δίων, ἀκολουθεῖ τὸ 'τέθνηκεν οὗτος'· τὸ μὲν οὖν τεθνάναι Δίωνα δυνατόν· τὸ δὲ τοῦτον τεθνάναι ἀδύνατον· ἕπεται δὲ πάντως τῷ Δίωνα τεθνάναι τὸ τεθνάναι τοῦτον· εἰ μὲν γὰρ ἀποθάνοι Δίων, πάντως καὶ οὗτος, ὁ δεικνύμενος δηλονότι, τέθνηκεν· αὐτὸ δὲ τὸ τοῦτον τεθνάναι ἀδύνατον· τὸ γὰρ τοῦτο δεικτικὸν ὑπάρχον ὅν τι πρᾶγμα σημαίνει· τὸ δὲ τεθνάναι μὴ ὄν· τὸ δὲ ὂν ἀδύνατον μὴ εἶναι· τὸ ἄρα τεθνάναι τοῦτον ἀδύνατον· τοῦτο δὲ ἀκολουθεῖ τῷ Δίωνα τεθνάναι δυνατῷ ὄντι· ἀδύνατον ἄρα δυνατῷ τινι ἀκολουθεῖ. πάλιν εἰ ἔσται νύξ, αὕτη ἡμέρα οὐκ ἔστι· τὸ δὲ ταύτην ἡμέραν μὴ εἶναι ἀδύνατον· ἕπεται ἄρα τῷ εἶναι νύκτα δυνατῷ ὄντι τὸ μὴ εἶναι ταύτην ἡμέραν ἀδύνατον ὄν. ταῦτα μὲν οὖν οὗτος. ἔστι δὲ πρὸς ταῦτα φάναι, ὅτι τὸ κυρίως ἑπόμενον ἐπὶ πλέον ἐστὶ τοῦ ἡγουμένου. εἰ δὲ ἧ ἐπ' ἔλαττον, οὐχ ὑγιῶς ἕψεται τῷ ἡγουμένῳ· οἷον τῷ ἄνθρωπον εἶναι ἕπεται ἐξ ἀνάγκης τὸ ζῶον εἶναι· κυρίως ἄρα ἑπόμενον τὸ ζῶον, διότι καὶ ἐπὶ πλέον· πάντως γὰρ ἕπεται τῷ ἄνθρωπον εἶναι καὶ τῷ ἵππον εἶναι ἢ κύνα ὁμοίως. οὐκέτι μέντοι, εἰ λάβοιμεν προηγούμενον τὸ ζῶον, ἑπόμενον δὲ τὸν ἄνθρωπον ἢ τὸν ἵππον ἢ τὸν κύνα, οὐκέτι ὑγιῶς οὐδὲ κυρίως ἔσται τὸ ἑπόμενον· οὐ γὰρ πάντως τῷ ζώῳ ἕπεται | ἄνθρωπος ἢ ἵππος ἤ τι τῶν τοιούτων, διότι 89r
μερικώτερόν ἐστι καὶ ἐπ' ἔλαττον τὸ ἑπόμενον ἢ ἐπὶ πλέον τὸ ἡγούμενον τοῦ ἑπομένου. τὸ μὲν γὰρ τεθνάναι τὸν Δίωνα ἀληθές ἐστι καὶ ἐπὶ παρόντος Δίωνος καὶ ἐπὶ ἀπόντος, τὸ δὲ τεθνάναι τοῦτον ἐπὶ μόνου παρόντος. λέγει οὖν 'εἰ τέθνηκεν οὗτος, τέθνηκε Δίων, καὶ ἀδύνατον τῷ δυνατῷ ἕπεται'. οὐχ οὕτω δὲ ὤφειλεν ἡ ἀκολούθησις γίνεσθαι· καὶ γὰρ τῷ ἵππον εἶναι ἢ Σωκράτην ἕπεται τὸ ζῶον εἶναι. εἰ τοίνυν τοῦτο οὕτως καὶ δεῖ πάντως τὸ ἑπόμενον ἐπὶ πλεῖον εἶναι τοῦ ἡγουμένου, οὐκ ἄρα καλῶς ἔλαβεν ὁ λαβὼν τῷ Δίωνα τεθνάναι ἡγουμένῳ ἑπόμενον τὸ τοῦτον τεθνάναι· ἐπὶ πλεῖον γὰρ τὸ 'Δίων τέθνηκε' τοῦ 'οὗτος τέθνηκε'. τὸ μὲν γὰρ 'Δίων τέθνηκεν' ἐπὶ πλείονος χρόνου λαμβάνεται, ἐπί τε τοῦ κατὰ τὸ ζῆν καὶ ἐπὶ τοῦ κατὰ τὸ τεθνάναι· τὸ δὲ 'οὗτος' ἐπὶ μόνου τοῦ τῆς ζωῆς χρόνου· ἐπὶ πλέον ἄρα τοῦ 'οὗτος' τὸ 'Δίων'. διὰ τοῦτο ἄρα δυνατῷ ἔδοξεν ἀδύνατον ἕπεσθαι, διὰ τὸ τὴν ἀκολούθησιν μὴ κυρίως ληφθῆναι, ὡς ἂν εἰ ἐλέγομεν ἐπὶ ἀνθρώπου 'εἰ ζῶόν ἐστιν οὗτος, καὶ ἄνθρωπός ἐστιν'. ὥσπερ οὖν εἰ τοῦ Δίωνος ὁμωνύμου ὄντος ἐλέγομεν ἁπλῶς οὕτως 'εἰ Δίων τέθνηκεν', ὁ δὲ τεθνηκὼς τύχοι ὢν φέρε εἰπεῖν ὁ ἐκ Θετταλίας, εἶτα ἐπιφερόμενοι 'οὗτος ὁ Δίων τέθνηκεν'. οἷον ὁ ἐξ Ἀθηνῶν. ἐδείκνυμεν ἀδύνατόν τι ἀκολουθοῦν τῷ ἡγουμένῳ τὸν μὴ τεθνηκότα Δίωνα ἀποθανεῖν, τοῦ παραλογισμοῦ δι' οὐδὲν ἕτερον γενομένου ἢ διὰ τὸ τὸν ἡγούμενον ὁμώνυμον λαβεῖν καὶ διὰ τοῦτο ἐπὶ πλεῖον τὸν δὲ ἑπόμενον μερικὸν οἷον ἐπὶ τοῦ Ἀθηναίου, οὕτως κἀνταῦθα λέγομεν, ὅτι δι' οὐδὲν ἕτερον γέγονεν ὁ παραλογισμὸς ἢ διὰ τὸ τὸν ἑπόμενον μερικώτερον λαβεῖν. καὶ ἄλλως δὲ οὐδέποτε ὁ ἡγούμενος ἀναιρεθεὶς ἀναιρεῖ τὸν ἑπόμενον, ἀλλὰ τοὐναντίον ὁ ἑπόμενος τὸν ἡγούμενον ἀναιρεῖ· οἷον προηγεῖται ὁ ἄνθρωπος, ἕπεται τὸ ζῶον· ἀναιρεθεὶς ὁ ἄνθρωπος οὐ συναναιρεῖ τὸ ζῶον, τὸ δὲ ζῶον ἀναιρεθὲν συναναιρεῖ

---

5 ὄντι P 10 τὸ Phil.: τί P 12 εἰ P: ἐὰν Phil. 23 post οὕτως add. ὡς Phil. ἔχει Rose Herm. t. II p. 204

τὸν ἄνθρωπον. εἰ τοίνυν αὕτη ἡ φύσις τοῦ ἑπομένου ὥστε μὴ συναναιρεῖσθαι τῷ ἡγουμένῳ, κακῶς ἄρα ἔλαβε τὸν ἑπόμενον ὁ λαβὼν ἀναιρούμενον ὑπὸ τοῦ ἡγουμένου. ὅταν γὰρ εἴπωμεν 'ὁ Δίων τέθνηκεν', ἀναιροῦμεν τὸ λέγειν ἐπὶ αὐτοῦ τὸ 'οὗτος', εἴ γε τὸ 'οὗτος' δεικτικὸν ὂν ἐπὶ ὑφεστώτων | πραγμάτων 89v
λέγεται, ὁ δὲ τεθνηκὼς οὐχ ὑφέστηκε. κακῶς ἄρα λαμβάνομεν τὸ ἑπόμενον ἀναιρούμενον ὑπὸ τοῦ ἡγουμένου, μὴ πεφυκὸς συναναιρεῖσθαι τῷ ἡγουμένῳ· ἀλλὰ τοὐναντίον τὸν ἡγούμενον τὸ ἑπόμενον ἑαυτῷ συναναιρεῖ. τοῦτο δὲ συμβαίνει διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, διότι βούλεται ὁ ἑπόμενος ἐπὶ πλέον εἶναι τοῦ ἡγουμένου. εἰ δὲ δύναται καὶ ἐπίσης εἶναι, ὅτε καὶ ἰσοτίμως ἔχουσι πρὸς ἀλλήλους ὅροι, ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ γελαστικοῦ, οὐδὲν ἡμῖν τοῦτο πρὸς τὸ προκείμενον, πλὴν ὅτι ἀδύνατον τὸν ἡγούμενον ἐπὶ πλέον εἶναι τοῦ ἑπομένου. πρὸς δὲ τούτοις κἀκεῖνο λέγομεν, ὅτι, εἰ κατὰ τοὺς Στωϊκοὺς ὑμᾶς τὰ ὀνόματα τὸ ἰδίως ποιὸν σημαίνουσιν, ἰδίως δὲ ποιόν φατε τὰ συμβεβηκότα τὰ χαρακτηρίζοντα οὐσίαν ἑκάστην, τὸ ἄρα Δίων ἀδύνατον φέρειν ἐπὶ τοῦ τεθνηκότος ἰδίως ποιοῦ μὴ ὄντος ἀλλ' ἢ φθαρέντος ἢ ἐπὶ φθορὰν ὁδεύοντος· ἀδυνάτῳ δὲ ὄντι τούτῳ, λέγω δὲ τῷ λέγεσθαι ἐπὶ τοῦ τεθνηκότος, ὅτι Δίων, εἰ ἀδυνάτῳ ἀδύνατόν ἐστι τὸ ἀκολουθοῦν, οὐδὲν θαυμαστόν. εἰ δὲ λέγετε, ὅτι κατὰ ἀναφορὰν λέγομεν τὸ 'Δίων', οἷον ὁ ποτὲ Δίων, φήσομεν καὶ ἡμεῖς, ὅτι καὶ τὸ 'οὗτος' κατὰ ἀναφορὰν ληψόμεθα, ὁ ποτὲ οὗτος, καὶ οὕτως οὐκ ἔσται ἀδύνατον ἀλλὰ δυνατὸν τὸ ἑπόμενον. καὶ γὰρ πολλὰ λέγομεν κατὰ ἀναφορὰν καὶ ἐπὶ τοῦ παρεληλυθότος καὶ ἐπὶ τοῦ μέλλοντος χρόνου, οἷον ὡς ὅταν εἴπωμεν 'ὁ τάφος οὗτος Ἀχιλλέως ἐστί' πολλάκις μηδὲ τοῦ τυχόντος λειψάνου τῶν ὀστῶν Ἀχιλλέως ἐν τάφῳ ὄντος, ἀλλὰ δῆλον ὅτι τοῦ ποτὲ Ἀχιλλέως ὄντος· πάλιν οἰκίας οἰκοδομουμένης λέγομεν, ὅτι ὁ οἶκος οὗτος Πλάτωνός ἐστιν οἶκος, ἀλλὰ δῆλον ὅτι ὁ ἐσόμενος οἶκος. ὅτι μὲν οὖν οὐκ ἐγχωρεῖ δυνατοῦ ὄντος τοῦ ἡγουμένου τὸ ἑπόμενον εἶναι ἀδύνατον, δῆλον. ἐγχωρεῖ δὲ δυνατοῦ ὄντος τοῦ ἑπομένου τὸ ἡγούμενον εἶναι ἀδύνατον, ὡς εἴ τις λέγων ἑαυτὸν ὄνον εἶναι ἐπιφέροι. ⟨ὅτι⟩ καὶ ζῶον εἴη. ἐν τούτοις γὰρ τὸ μὲν ἑπόμενον δυνατόν, τὸ δὲ ἡγούμενον ἀδύνατον· ἀδύνατον γὰρ τὸν ἄνθρωπον ὄνον εἶναι· ἕπεται δὲ τῷ ὄνον εἶναι τὸ ζῶον εἶναι, καὶ δυνατὸν τὸν ἄνθρωπον ζῶον εἶναι· ὥστε ἀδυνάτῳ δυνατὸν ἕπεται. οὕτως καὶ ἡμεῖς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ δείξομεν ψευδέσι προτάσεσιν, αἵτινες προηγοῦνται τοῦ συμπεράσματος, ἀληθὲς συμπέρασμα ἀκολουθοῦν, | ὡς εἴ τις λέγοι 'ὁ ἄνθρωπος κύων, ὁ κύων [τὸ] ζῶον, 90r
ὁ ἄνθρωπος ἄρα ζῶον'. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Ἐπεὶ δὲ εἴπομεν καὶ ἐδείξαμεν ἐν ταῖς ἀκολουθίαις, ὅτι δυνατοῦ ὄντος τοῦ ἡγουμένου δυνατόν ἐστι καὶ τὸ ἑπόμενον, προσθετέον τούτοις, ὅτι, κἂν ὑπάρχον ᾖ τὸ ἡγούμενον, ὑπάρχον ἔσται καὶ τὸ ἑπόμενον, κἂν ἀληθές, τουτέστιν ἀναγκαῖον, ἀναγκαῖον ὁμοίως. οὐ γὰρ ἐπὶ μόνου τοῦ δυνατοῦ, τουτέστι τοῦ ἐν γενέσει, ὅ ἐστι τὸ μήπω μὲν ὂν ἐνδεχόμενον δὲ γενέσθαι, εἴρη-

2 κακῶς Phil.: καλῶς P ὁ λαβὼν P: ὅρον Phil. 10 ante ὅροι add. ex Phil. cl Rose l. c. p. 205 28 ἐπιφέροι Phil. (cf. vs. 33) ὅτι ex Phil. add. Rose: om. P δυνατόν Phil. f. 43r: ἀδύνατον P 33 τὸ om. Phil. 35 ἐπεὶ δὲ . . . ἀκολουθίαις (30, 1) Al. 182,23 — 185,1

ται τὰ εἰρημένα ἀλλὰ καὶ ἐπὶ τούτων. καὶ γὰρ εἰ τὸ δυνατὸν ὡς ὑπάρχον λαμβάνοιτο ἐπὶ τοῦ ἡγουμένου, ἐπεὶ καὶ κατὰ τούτου λέγεται τὸ δυνατόν, οὐκ ἔσται ἑπόμενον αὐτῷ τὸ ἀδύνατον ὑπάρχειν ἀλλὰ τὸ δυνατὸν ὑπάρχειν. ἀλλὰ καὶ εἰ κατὰ τὸ ἀληθεύεσθαι λαμβάνηται τὸ ἡγούμενον δυνατόν, δεῖ καὶ τὸ ἑπόμενον ἀληθὲς εἶναι· ἀληθεῖ γὰρ ἀληθὲς ἕπεται. λέγω δὲ τῷ ἐν τῷ ἀληθεύεσθαι δυνατῷ τὸ ἀναγκαῖον, ἐπεὶ τὸ ἀναγκαῖον ὁ λέγων εἶναι ἀεὶ ἀληθεύει. καὶ τῷ οὕτως δὲ δυνατῷ τὸ ἑπόμενον ἔσεται ἀναγκαῖον καὶ ἀεὶ ἀληθὲς καὶ ὁμοίως τῷ ἡγουμένῳ δυνατόν. τὸ δὲ ἀδύνατον δύναται μὲν καὶ ἐπὶ τῆς ἀπὸ τοῦ ἑπομένου ἀκολουθίας λέγεσθαι· εἰ γὰρ ἀδύνατον τὸ ἑπόμενον, ἀδύνατον καὶ τὸ ἡγούμενον, καθ' ὃν ἂν τρόπον τὸ ἀδύνατον ληφθῇ, ὡσαύτως γινομένου καὶ τοῦ ἡγουμένου ἀδυνάτου· εἴτε γὰρ γενέσθαι ἀδύνατον εἴη τὸ ἑπόμενον, τοιοῦτον καὶ τὸ ἡγούμενον, εἴτε ὑπάρχειν ἀδύνατον τὸ ἑπόμενον, ἀδύνατον ὑπάρχειν καὶ τὸ ἡγούμενον, εἴτε ἀδύνατον ἀληθεύεσθαί ποτε τὸ ἑπόμενον, ὁμοίως καὶ τὸ ἡγούμενον. ἔμπαλιν γάρ, ὡς εἶπον, ἡ ἀκολουθία ἔχει· τὸ μὲν γὰρ δυνατὸν ἀπὸ τοῦ ἡγουμένου τὴν ἀκολουθίαν ἔχει κατὰ πάντα τὰ τοῦ δυνατοῦ σημαινόμενα, τὸ δὲ ἀδύνατον ἀπὸ τοῦ ἑπομένου. ἀδυνάτου μὲν γὰρ ὄντος τοῦ ἡγουμένου οὐ κεκώλυται τὸ ἑπόμενον δυνατὸν εἶναι, ὡς ἐν τῷ '⟨εἰ⟩ ἱπποκένταυρος εἶ, ζῶον εἶ'· εἰ δὲ ἀδύνατον τὸ ἑπόμενον, δεῖ καὶ τὸ ἡγούμενον ἀδύνατον εἶναι, καθ' ὃ ἂν σημαινόμενον τὸ ἀδύνατον ληφθῇ. λέγεται γὰρ τὸ ἀδύνατον καὶ ἐπὶ τοῦ ψεύδους· διὸ καὶ εἰ ψεῦδος τὸ ἑπόμενον, ψεῦδος καὶ τὸ ἡγούμενον. οὐ μήν, εἰ τὸ ἡγούμενον ψεῦδος, καὶ τὸ ἑπόμενον· ὡς γὰρ δυνατὸν τὸ ἀληθές, οὕτως καὶ τὸ ψεῦδος. παράδειγμα τοῦ μὲν | ἐν γενέσει δυνατοῦ 90v τὸ 'εἰ τέθνηκεν ὁ Δίων, τέθνηκεν ἄνθρωπος', ἐπὶ ζῶντος ἔτι Δίωνος εἰ λέγοιτο, τοῦ δὲ κατὰ τὸ ὑπάρχειν 'εἰ ἡμέρα ἐστί, φῶς ἐστιν', εἰ λέγοιτο οὔσης ἡμέρας (ὁμοίως γὰρ τῷ ἡγουμένῳ καὶ τὸ ἑπόμενον ὑπάρχον), τοῦ δὲ ἀναγκαίου 'εἰ θεός ἐστι, κόσμος ἐστί'. καὶ ὁσαχῶς δὲ ἄλλως λέγεται τὸ δυνατόν, οἷον τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ ἐπίσης, τὸ ἐπ' ἔλαττον· ἐν ἅπασι γὰρ ὁμοίως ἕξει. δυνατὸν δέ φημι τὸ κυρίως, ὃ μήπω μὲν ἐξέβη, δύναται δὲ ἐκβῆναι.

Ἐπεὶ δ' ἐδιδάξαμεν πᾶσαν ἀκολουθίαν ἀναγκαίαν οὕτως ἔχουσαν ὡς τῷ τρόπῳ τῆς κατὰ τὸ δυνατὸν ὑπάρξεως τῷ ἡγουμένῳ ἀκολουθεῖν καὶ τὴν τοῦ ἑπομένου αὐτοῦ ὕπαρξιν ὁμοίαν, μετενεγκτέον τὸ καθόλου δεδειγμένον ἐπὶ τὴν συλλογιστικὴν ἀκολουθίαν, οὗ χάριν καὶ τὴν δεῖξιν ἐποιησάμεθα. δεῖ οὖν μὴ μόνον ἐπὶ τῶν ἁπλῶν ἀκολουθήσεων εἰρημένον λαμβάνειν τοῦτο ἀλλὰ καὶ ἐπὶ τῶν κατὰ συλλογισμὸν γινομένων· καὶ γὰρ ἐν τούτοις ἀκολουθεῖ τὸ συμπέρασμα ταῖς προτάσεσιν· εἰ γὰρ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα, ὥστε καὶ δυνατῶν οὐσῶν καὶ τὸ συμπέρασμα δυνατὸν ἔσται, καθ' ὃ ἂν σημαινόμενον τοῦ δυνατοῦ αἱ προτάσεις λαμβάνονται. ἂν γὰρ ἀντὶ μὲν τῶν προτάσεων ληφθῇ τὸ Α ἀντὶ δὲ τοῦ συμπεράσματος τὸ Β, εἴη ἂν ἡ προειρημένη δεῖξις

---

7 δὲ P (a M): δὴ Al. (B) 183,5 ἔσεται scripsi (cf. velut 9,37. 20,6. 7. 39): ἕπεται P (ἔσεσθαι Al. 183,6) 9 ἀδύνατον (post γάρ) Al. 183,8: δυνατὸν P 17 εἰ Al. 183,16: om. P (a M) 22 post ψεῦδος addidi ἀδύνατον Al. 183,21 26 θεός (compend.) ἐστι P: θεοί εἰσι Al. 183,28 28 δυνατὸν . . . ἐκβῆναι Phil. 43r 37 λαμβάνονται P (a B): λαμβάνωνται Al. (M) 184,30

ἁρμόζουσα καὶ ταῖς τοιαύταις ἀκολουθίαις. οὐ γὰρ ὡς ἐπὶ μιᾶς προτάσεως ἐλάβομεν τὴν δεῖξιν ταύτην ἀλλ' ὡς ἐπὶ συλλογισμοῦ· λαμβάνομεν γὰρ τὸ Α ἀνάλογον ταῖς προτάσεσι, τὸ δὲ Β τῷ συμπεράσματι. ἀνάγκη οὖν, ὡς εἶπον, δυνατῶν οὐσῶν τῶν προτάσεων δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα, καὶ ἀδύνατον συμπέρασμα δυναταῖς προτάσεσιν ἀκολουθεῖ οὐδέποτε. οὐ γὰρ ἔστιν ἑνός τινος ἡγουμένου συμπέρασμα ἀκολουθῆσαι, τουτέστι μιᾶς προτάσεως οὔσης οὐχ ἕπεταί τι συμπέρασμα, ἀλλὰ δεῖ τοὐλάχιστον δύο εἶναι τὰς προτάσεις, ὡς πολλάκις εἴρηται. οἷον ὅταν αἱ προτάσεις οὕτω συμπλακῶσιν, ὥσπερ εἴπομεν, κατὰ συλλογιστικὴν μέθοδον ἀνάγκη καὶ τὸ συμπέρασμα ἕπεσθαι· οὕτως δὲ ἕπεται, ὡς ἂν ἔχωσιν αἱ προτάσεις· δυνατῶν γὰρ οὐσῶν πᾶσα ἀνάγκη δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα, καὶ εἰ ἀναγκαῖον, πάντως ἀναγκαῖον. οἷον τὸ Β κατὰ | τοῦ Δ, τὸ Δ κατὰ τοῦ Ζ· καὶ τὸ Β ἄρα κατὰ τοῦ Ζ. τούτου δὲ 91r
δεχθέντος, ὅτι πάντως ἡγουμένου δυνατοῦ ὄντος πᾶσα ἀνάγκη καὶ τὸ ἑπόμενον δυνατὸν εἶναι, ἐὰν ὡς ἐν ὑποθέσει προηγούμενόν τι λάβωμεν, ὅπερ ψεῦδός ἐστι διὰ τὸ αὐτὸ τοῦτο καθ' ὑπόθεσιν εἰλῆφθαι καὶ μήπω εἰς ἐνέργειαν ἐκβεβηκέναι. ἀδύνατον δὲ οὐκ ἔστι διὰ τὸ δύνασθαι εἰς ἐνέργειαν ἐκβῆναι. δηλονότι καὶ τὸ ἑπόμενον τούτῳ ψεῦδος μὲν ἔσται, ἀδύνατον δὲ οὐκ ἔσται. οἷον εἰ καθημένου Σωκράτους εἴποιμι, ὅτι ⟨εἰ⟩ βαδίζει Σωκράτης, ἐξ ἀνάγκης καὶ κινεῖται, λαμβάνω προηγούμενον μὲν τὸ Σωκράτην βαδίζειν, ὅπερ ψεῦδός μέν ἐστιν (ὑπάκειται γὰρ καθήμενος), οὐ μέντοι ἀδύνατον· οὐκοῦν καὶ τὸ ἑπόμενον τούτῳ τὸ κινεῖσθαι αὐτὸν ψεῦδος μέν, οὐ μὴν καὶ ἀδύνατον. καὶ πάλιν τὸ λέγειν μὴ οὔσης ἡμέρας 'εἰ ἡμέρα ἐστίν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν' ὁμοίως, καὶ τὸ ἑπόμενον καὶ τὸ ἡγούμενον ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. εἰ γὰρ πάντως ἕπεται μὲν τῷ Α τὸ Β, τὸ δὲ Α ἐστὶ δυνατόν, ἀνάγκη πᾶσα καὶ τὸ Β εἶναι δυνατόν· εἰ γὰρ ἀδύνατον εἴη τὸ Β, ἕπεται δὲ τῷ Α, τὸ αὐτὸ καὶ δυνατὸν καὶ ἀδύνατον ἔσται· εἰ μὲν γὰρ ἕπεται τῷ Α ἐξ ἀνάγκης, δυνατὸν ἔσται· ἐστὶ δὲ καὶ ἀδύνατον, ὡς ἡ ὑπόθεσις τῶν οὕτω βουλομένων· τὸ αὐτὸ ἄρα δυνατὸν καὶ ἀδύνατον ἔσται καὶ ὂν καὶ μὴ ὄν, ὅπερ ἄτοπον· ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι δυνατῷ ἀδύνατον ἀκολουθεῖν· οὐκοῦν ἀληθὲς τὸ τῷ ἀδυνάτῳ πάντως ἀδύνατον ἀκολουθεῖν, ὅπερ ἔδει δεῖξαι.

Διωρισμένων δὲ τούτων ἐντεῦθεν λοιπὸν τὰς προτάσεις παραδώσομεν τὰς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, αἵτινες ἐνδεχόμενον συνάγουσι συμπέρασμα. παραδοτέον δὲ πρῶτον τὴν ἐκ δύο καθόλου καταφατικῶν, καὶ δεικτέον οὕτως· τὸ Α ὑπαρχέτω παντὶ τῷ Β, τὸ δὲ Β ἐνδεχέσθω παντὶ τῷ Γ· λέγω οὖν, ὅτι συνάγεται τὸ Α παντὶ τῷ Γ ἐνδέχεσθαι. εἰ γὰρ τις φαίη ψεῦδος εἶναι τὸ συμπέρασμα, δηλονότι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς ἔσται τὸ 'οὐκ ἐνδέχεται παντί'. ὑποκείσθω οὖν τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι παντί. ἐπειδὴ τοίνυν τὸ 'οὐκ ἐνδέχεται παντί' ἰσοδυναμεῖ τῷ 'ἀνάγκη μὴ παντί' (ὃ γὰρ οὐκ ἐνδέχεται παντί, τοῦτο ἀνάγκη μὴ παντί·

1 οὐ γὰρ ὡς ἐπὶ . . . ὅπερ ἀδύνατον (33, 17) Phil. f. 43r — 44v 2 post τὸ add. μὲν Phil. 18 καθημένου Phil. f. 43v: σωκρμένου (sic) P εἰ Phil.: om. P 24 πᾶσα Phil: παντὶ P 31 παραδώσομεν Phil.: περιδώσομεν P (cf. 25, 15)

εἰ γὰρ οὐκ ἐνδέχεται παντὶ ζώῳ δίποδι εἶναι, ἀνάγκη μὴ πᾶν ζῶον δίπουν εἶναι), εἰ τοίνυν ἰσοδυναμεῖ, ὑποκείσθω τὸ Α τῷ Γ ἐξ ἀνάγκης μὴ παντὶ ὑπάρχειν. πάλιν ἐπειδὴ τὸ Β ὑπόκειται παντὶ τῷ Γ ἐνδέχεσθαι, ὑποκείσθω 91
τὸ ἐνδεχόμενον ἐκβεβηκὸς καὶ γινόμενον ὑπάρχον· τοῦτο γὰρ εἰ καὶ ψεῦδος.
5 ἀλλ' οὖν οὐκ ἀδύνατον. εἰ τοίνυν τὸ μὲν Α ἀνάγκη μὴ παντὶ τῷ Γ, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχόντως, γίνεται τὸ τρίτον σχῆμα ἐξ ἀναγκαίας τε καὶ ὑπαρχούσης προτάσεως· ἐδείχθη δέ, ὅτι ἐν τρίτῳ σχήματι, ὅταν ἡ μείζων ἀναγκαία ᾖ μερικὴ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ὑπάρχουσα, μερικὸν καταφατικὸν ὑπάρχον συνάγεται συμπέρασμα· τὸ ἄρα Α οὐ παντὶ τῷ Β
10 ὑπαρχόντως· ὑπέκειτο δὲ καὶ παντὶ ὑπαρχόντως· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντὶ ὑπαρχόντως, ὅπερ ἀδύνατον. πόθεν οὖν τὸ ἀδύνατον ἠκολούθησε; λέγω, ὅτι παρὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι. εἰ τοίνυν τῇ ὑποθέσει ταύτῃ ἀδύνατόν τι ἠκολούθησε, ψεῦδος ἄρα τὸ λέγειν πάντως, ὅτι τὸ οὐκ ἐνδεχόμενον παντὶ συνάγεται· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς
15 τὸ ἀντικείμενον τὸ 'ἐνδέχεται παντί'. ἀπορήσειε δ' ἄν τις πρὸς ταύτην ἡμῶν τὴν δεῖξιν, ὅτι οὐδὲν ἴσως ἀδύνατον συμβαίνει, ἐὰν ὑποθώμεθα συνάγεσθαι τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι παντί. τί γὰρ συνήγετο; ὅτι τὸ Α τῷ Β οὐ παντὶ ὑπάρχει. ὑπῆρχε δὲ καὶ παντί· τοῦτο δὲ ψεῦδος μέν ἐστι τὸ ⟨τὸ⟩ αὐτὸ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν. οὐ μέντοι καὶ ἀδύνατον. εἰ γὰρ τὸ ὑπάρχον τοιοῦτόν
20 ἐστιν ὡς ποτὲ δύνασθαι καὶ μὴ ὑπάρχειν, δυνατὸν ἄρα τὸ παντὶ ὑπάρχον ποτὲ μὴ παντὶ ὑπάρχειν, ὥσπερ οὖν καὶ ὑμεῖς, φασίν, μετελάβετε τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν, ὅπερ ψεῦδός ἐστιν, οὐ μέντοι ἀδύνατον, τί ἄτοπον, εἰ ἐκ προτάσεως ψευδοῦς μὲν οὐκ ἀδύνατον δὲ ψευδὲς συναχθείη συμπέρασμα καὶ οὐκ ἀδύνατον; τί οὖν πρὸς ταῦτα ἡμεῖς λέγομεν; ὅτι ἡ μετάληψις τῆς ἐνδε-
25 χομένης εἰς τὴν ὑπάρχουσαν οὐκ ἐπὶ τοῦ αὐτοῦ χρόνου οὐδὲ μενούσης τῆς ἐνδεχομένης ἐνδεχομένη γέγονε καὶ ὑπάρχουσα (τοῦτο γὰρ οὐ μόνον ψεῦδος ἀλλὰ καὶ ἀδύνατον τὴν αὐτὴν ἐνδεχομένην τε ἅμα εἶναι καὶ ὑπάρχουσαν), ἀλλὰ μετεληφθη ἡ πρότασις ἀπὸ μέλλοντος χρόνου εἰς ἐνεστῶτα, εἴπερ ἡ μὲν ἐνδεχομένη τὸν μέλλοντα δηλοῖ ἡ δὲ ὑπάρχουσα τὸν ἐνεστῶτα. τὸ τοίνυν
30 μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν, εἰ καὶ ψεῦδός ἐστι, διότι ἀντὶ μέλλοντος χρόνου ἐνεστῶτα | λαμβάνομεν, οὐ μέντοι τοῦτο ἀδύνατον γενέ- 92
σθαι τὸ τὴν ἐνδεχομένην ποτὲ ὑπάρχουσαν γενέσθαι. ἐπὶ δὲ τῆς Α Β προτάσεως μενούσης αὐτῆς καθόλου καταφατικῆς ὑπαρχούσης καὶ μὴ μεταληφθείσης εἰς ἑτέραν συνήχθη ἐκ τοῦ ὑποθέσθαι ἡμᾶς τὸ 'ἀνάγκη μὴ παντὶ τῷ Γ τὸ Α
35 ὑπάρχειν'. ὅτι τὸ Α τῷ Β οὐ παντὶ ὑπάρχει· κατὰ δὲ τὸν αὐτὸν χρόνον ἀδύνατον τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ ὑπάρχειν καὶ μὴ παντί· ὥστε οὐ μόνον ψεῦδος τὸ τοιοῦτον ἀλλὰ καὶ ἀδύνατον. ἴδωμεν οὖν, πόθεν τὸ ἀδύνατον ἠκολούθησε. δύο ὑποθέσεων κειμένων, μιᾶς μὲν τῆς λεγούσης 'τὸ Α τῷ Γ ἀνάγκη οὐ παντί' καὶ ἑτέρας τῆς μεταλαμβανούσης τὴν ἐλάττονα πρότασιν ἐνδεχομένην
40 οὖσαν εἰς ὑπάρχουσαν, πᾶσα ἀνάγκη διὰ τὴν ἑτέραν τούτων ἀκολουθῆσαι τὸ

11 ὑπαρχόντως scripsi: ὑπαρχέτω P (cf. 8,30; ὑπάρχειν Phil.) 18 τὸ alterum addidi (cf. vs. 31. 32): om. P et Phil. 21 ὑπάρχειν Phil.: ὑπάρχον P ὑμεῖς, φασίν Phil.: ἡμεῖς φαμεν, P

συμπέρασμα. ὅτι μὲν οὖν οὐ διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν τοῦτο ἠκολούθησε τὸ ἀδύνατον, δῆλον. εἰ γὰρ δυνατόν ἐστι τὸ μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν [οὐκ ἠκολούθησε τὸ ἀδύνατον, δῆλον. εἰ γὰρ δυνατόν ἐστι τὸ μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν] καὶ οὐκ ἀδύνατον, ἐδείχθη δὲ μικρῷ πρότερον, ὅτι οὐδέποτε δυνατῷ ὑποτεθέντι ἀδύνατόν τι ἀκολουθεῖ (διὰ τοῦτο γὰρ καὶ προείληπται τὸ περὶ τούτου θεώρημα). δῆλον ἄρα, ὅτι οὐ διὰ ταύτην τὴν ὑπόθεσιν τὸ ἀδύνατον ἠκολούθησεν. οὐκοῦν λείπεται διὰ τὴν ἑτέραν τὸ Α τῷ Γ οὐκ ἐνδέχεσθαι παντὶ λέγουσαν. εἰ τοίνυν ψευδὴς ἠλέγχθη αὕτη ἡ ὑπόθεσις, δηλονότι τὸ ἀντικείμενον τούτῳ συνάγεται τὸ 'ἐνδέχεται παντί', ὅπερ ἔδει δεῖξαι. ἰστέον μέντοι καὶ τοῦτο, ὅτι τὸ 'οὐκ ἐνδέχεται παντὶ τὸ Α τῷ Γ', ὅπερ ἐξ ὑποθέσεως ἐλάβομεν ὡς συναγόμενον, εἰς τὴν 'ἀνάγκη οὐ τινί' μετελάβομεν ὡς ἰσοδυναμοῦσαν, εἰ καὶ μὴ αὐτόθεν τοῦτο ποιοῦντες φαινόμεθα. ἐκ γὰρ τοῦ συμπεράσματος δῆλον ἡμῶν τὸ βούλημα πεποιήκαμεν· τί γὰρ ἐλέγομεν συμπεραίνοντες; "τὸ δὴ Α οὐ παντὶ τῷ Β ἐνδέχεται", τουτέστιν 'οὐ παντὶ ὑπάρχει'· τὸ γὰρ ἐνδέχεσθαι ἀντὶ τοῦ ὑπάρχειν εἶπον. καὶ ὅτι τοῦτο συνῆγον τὸ ἄτοπον, δῆλον ἀφ' ὧν ἐπήγαγον "ἀλλ' ὑπέκειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν" (καὶ μὴν οὐχ ὑπέκειτο 'τὸ Α τῷ Β παντὶ ἐνδέχεται') τὸ ἐνδέχεσθαι ἀντὶ τοῦ ὑπάρχειν εἰπών. ὅπερ οὖν ἔλεγον, δῆλός εἰμι μετα λαμβάνων τὴν 'οὐκ ἐνδέχεται παντί' εἰς 92v
τὴν 'ἀνάγκη οὐ τινί'· ἐπεὶ εἰ μὴ μετελάμβανον, πόθεν δῆλον, ὅτι ἐν τῷ σχήματι ἐκ τῆς μείζονος μερικῆς ἐνδεχομένης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης ὑπάρχον τι συνάγεσθαι ἤμελλεν; οὐδὲν γὰρ οὐδέπω περὶ μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος εἶπον· περὶ μέντοι μίξεως ἀναγκαίου καὶ ὑπάρχοντος εἴρηκα. διόπερ εἰς τὸ ὁμολογούμενον μετέλαβον τὴν 'οὐκ ἐνδέχεται παντί' πρότασιν.

Ἐγχωρεῖ δὲ καὶ διὰ τοῦ πρώτου σχήματος δεῖξαι τὸ ἀδύνατον ἀκολουθοῦν τῇ λεγούσῃ ὑποθέσει τὸ μὴ ἐνδέχεσθαι παντὶ συνάγειν τὴν προκειμένην πρότασιν. δείκνυται δὲ τοῦτο, εἰ μεταλάβω ἑκατέραν τῶν προτάσεων εἰς τὴν ἑτέραν. λέγω δὲ τὴν μὲν μείζονα ὑπάρχουσαν οὖσαν εἰς τὴν ἐνδεχομένην καὶ τὴν ἐλάττονα ἐνδεχομένην οὖσαν εἰς τὴν ὑπάρχουσαν. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐνδεχομένως ὑπάρχει, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχόντως, συνάγεται συμπέρασμα, ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδεχομένως· πρὸ μικροῦ γὰρ τοῦτο δέδεικται· ἀλλὰ μὴν ὑπέκειτο μὴ ἐνδέχεσθαι παντὶ ὑπάρχειν τῷ Γ τὸ Α, ὡς ἡ ὑπόθεσις· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐνδέχεται παντὶ καὶ οὐκ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησεν οὐ διὰ τὴν τῶν προτάσεων μετάληψιν (αὗται γὰρ ψευδεῖς μὲν ἦσαν, οὐ μέντοι ἀδύνατοι, καὶ οὐδὲν δυνατῷ ἀδύνατον ἀκολουθεῖ, ὡς δέδεικται), ἀλλὰ δηλονότι διὰ τὸ ὑποθέσθαι μὴ ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν. ἦν μὲν οὖν δυνατὸν καὶ μεταλαβόντας τὰς πρώτας προτάσεις αὐτόθεν τὸ 'ἐνδέχεται παντί' δεῖξαι συναγούσας· τοῦτο γὰρ συνῆγον καὶ μὴ δεηθεῖσαι τῆς εἰς ἄτοπον ἀπαγωγῆς. ὅμως ἐκ περιουσίας ποιοῦντες ὑπεθέμεθα καὶ τὸ ἀντικείμενον καὶ ἐδείξαμεν τοῦτο ἀδύ-

[illegible] pro [illegible] vs. 2 Phil. f. 41c, qui οὐ vs. 1 omittit) ἠκολούθησε . . . ὑπάρχουσαν (4) [illegible]evi: cf. 38,3. 4 et 47,13. 14 12 συναγόμενον Phil.: συναγομένην P 38 πρώτας Phil.: ἀναγκαίας P 39 δεηθῆναι Phil.

νατον. ἰστέον δέ, ὅτι οὐκ ἔστιν αὕτη κυρίως ἡ εἰς ἀδύνατον ἀπαγωγή· ἡ γὰρ ἀπαγωγὴ ὑποθεμένη τὸ ἀντικείμενον τῷ συμπεράσματι τῷ ἐξ ἀρχῆς καὶ τοῦτο πρότασιν ποιησαμένη καὶ προσθεῖσα αὐτῇ τῶν ἀληθῶν τινα ἐξ ἀρχῆς κειμένων προτάσεων οὕτω δείκνυσι τὸ ἑπόμενον ἀδύνατον, ὡς πολλάκις διὰ τῶν
5 προλαβόντων ἐδείξαμεν. ἐνταῦθα δὲ | τὴν 'οὐκ ἐνδέχεται παντί' οὐκ ἐποιή- 93r
σαμεν μέρος τοῦ συλλογισμοῦ, ἀλλὰ τὰς κειμένας προτάσεις ἀντιστρέψαντες καὶ μεταλαβόντες εἰς ἀλλήλας καὶ δείξαντες συναγόμενον τὸ ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν ἐπηγάγομεν, ὅτι, εἰ κατὰ τὴν ὑπόθεσιν δῶμεν τὸ μὴ ἐνδέχεσθαι παντὶ τῷ Γ τὸ Α ὑπάρχειν συνάγεσθαι, εἰς ἀντίφασιν περιπεσού-
10 μεθα, ὅπερ ἀδύνατον. ἰστέον, ὅτι, κἂν μίαν τῶν προτάσεων μόνην ἀντιστρέψομεν πρὸς τὴν ἑτέραν, ὡσαύτως τὸ αὐτὸ δείξομεν ἀδύνατον γινόμενον· εἴτε γὰρ τὴν μείζονα ἐνδεχομένην ποιήσομεν, γίνεται ὁ συλλογισμὸς ἐξ ἀμφοτέρων ἐνδεχομένων καταφατικῶν ἐνδεχόμενον καθόλου συνάγων συμπέρασμα, καὶ πάλιν ἡ ἀντίφασις ἀκολουθήσει, εἴτε τὴν ἐλάττονα εἰς ὑπάρχουσαν μεταλάβωμεν,
15 γίνεται ὁ συλλογισμὸς ἐκ δύο ὑπαρχουσῶν καθόλου καταφατικῶν ὑπάρχον καθόλου συνάγων, καὶ ὁμοίως πάλιν τὸ ἄτοπον ἀκολουθήσει· τὸ αὐτὸ γὰρ τῷ αὐτῷ ἢ ὑπάρχει παντὶ ἢ οὐκ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον.

Δεῖ δὲ ἐν τῇ προκειμένῃ μίξει τὸ παντὶ ὑπάρχειν τὸν πρῶτον ἄκρον τῷ μέσῳ προσλαμβάνειν μὴ προσχρώμενον ὡρισμένῳ ὑπάρχοντι. τὸ δὲ λεγόμενον
20 τοιοῦτον ἂν εἴη· αὗται τῶν ὑπαρχουσῶν προτάσεων καθόλου κατὰ χρόνον ὁρίζονται, ὅσαι μὴ ἀεὶ δύνανται λαμβάνεσθαι ὑπάρχουσαι καθόλου ἀλλὰ πρὸς καιρόν, ὡς ἡ τὸ ζῶον παντὶ κινουμένῳ ὑπάρχειν τιθεῖσα ἢ τὸν ἄνθρωπον παντὶ κινουμένῳ. τὸ δὲ αἴτιον, ὅτι ἐπὶ πλέον ὁ μέσος ἐν ταῖς τοιαύταις ὑπαρχούσαις ὢν δύναται καὶ ἄλλοις ὑπάρχειν, οἷς ὁ κατηγορούμενος αὐτοῦ καθόλου
25 οὐ δύναται ὑπάρχειν· οὕτω γὰρ ἔχων πρὸς χρόνον ὁρίζει τὴν ὑπάρχουσαν. ὅταν γάρ, ᾧ ἐνδέχεται ὑπάρχειν αὐτόν, τὸν μέσον δηλαδή, ἄλλῳ δηλονότι ὄντι καὶ μὴ ὑπὸ τὸν μείζονά τε καὶ κατηγορούμενον αὐτοῦ, ληφθῇ ὑπάρχειν, οὐκέτι δύναται ἡ καθόλου ὑπάρχουσα ἀληθὴς εἶναι, ἥτις ἐστὶν ἡ μείζων πρότασις. ἂν γὰρ τὸ ζῶον ὑποθώμεθα παντὶ κινουμένῳ, τῷ τὸ κινούμενον
30 δύνασθαι καὶ μὴ ζώοις ὑπάρχειν, ὅταν ὑπάρχει κἀκείνων τινί, οὐκ ἔσται τότε ἔτι ἀληθὴς ἡ ὑπάρχουσα καθόλου ἡ τὸ ζῶον παντὶ κινουμένῳ ὑπάρχειν λέγουσα. ἔστ' ἂν γὰρ μηδενὶ ἄλλῳ ὑπάρχῃ | τὸ κινεῖσθαι, δυνατὸν ἔσται τὸ ζῶον παντὶ 93v
κινουμένῳ ὑπάρχειν ὑποτίθεσθαι. ἀλλὰ μὴν ἐν ᾗ συμπλοκῇ τοιαύτη πρότασις ἡ μείζων ἐστίν, ἀδύνατον ἐκείνην τὴν συμπλοκὴν εἶναι συλλογιστικήν. ἐπειδή-
35 περ δεῖ τὴν ἐλάττονα, εἰ μέλλει συλλογιστικὴ εἶναι, καταφατικὴν εἶναι ἢ ὑπάρχουσαν ἢ ἀναγκαίαν ἢ ἐνδεχομένην· εἰ δὲ ἐνδεχομένη εἴη καὶ μεταληφθείη εἰς ὑπάρχουσαν, οὐχ οἷόν τε τὴν μείζονα καθόλου καταφατικὴν ὑπάρχουσαν εἶναι ἀλλ' ἐπὶ μέρους γίνεσθαι. ὥστ' οὐ χρήσιμος πρὸς συλλογισμὸν ἡ

13 καταφατικῶν Phil. f. 44v: fort. ⟨καταφατικῶν⟩ καταφατικὸν 15 καταφατικὸν Phil.: fort. καταφατικῶν ⟨καταφατικὸν⟩ ut vs. 13 18 δεῖ δὲ . . . συνάγειν (35,31) Al. 188,20—191,24 19 προσχρώμενον ὡρισμένῳ ὑπάρχοντι P: πρὸς χρόνον ὡρισμένον ὑπάρχον Al. 188,21 (cf. vs. 25) 26 ᾧ Al. 188,28: ὡς P τὸν μέσον δηλαδὴ αὐτόν P: transposui

τοιαύτη καθόλου ὑπάρχουσα, ἧς ἡ μετ᾽ αὐτὴν ἐνδεχομένη λαμβανομένη ὁρίζει τὸ ἀληθές· ἕως γὰρ ἐκείνη ἐνδεχομένη ἦ, μέχρι τότε αὕτη ἀληθής· γινομένης δὲ ἐκείνης ὑπαρχούσης οὐκέτι αὕτη ἀληθής. ὅταν γὰρ τὸ κινεῖσθαι ἐνδεχομένως ὑπάρχον λίθῳ ὑπαρχόντως ὑπάρξῃ, τότε οὐκέτι τὸ ζῶον παντὶ κινουμένῳ ὑπάρχειν δύναται λαμβάνεσθαι. ἀλλὰ γίνεται ἡ ἀπόφασις ἀληθὴς τότε ἡ ‘τὸ ζῶον οὐ παντὶ κινουμένῳ’, ἥτις ἐστὶν ἐπὶ μέρους ἀποφατική. διὸ οὔτε ὑπάρχειν δύναται ληφθῆναι τὸ ζῶον τῷ λίθῳ οὔτε ἐνδέχεσθαι ὑπάρχειν· ἐξ ἀνάγκης γὰρ αὐτῷ οὐδενὶ ὑπάρχει. οὐ γὰρ οἷόν τε ἐπὶ μέρους οὔσης τῆς μείζονος προτάσεως ἐν πρώτῳ σχήματι συλλογισμὸν γίγνεσθαι. δεῖ οὖν τὴν ὑπάρχουσαν τοιαύτην λαμβάνεσθαι, ἧς οὐχ ὥρισται τὸ ἀληθὲς ὑπὸ τῆς προστιθεμένης αὐτῇ ἐνδεχομένης, ἀλλὰ τοιαύτην εἶναι ὡς μένειν καθόλου καταφατικὴν ὑπάρχουσαν καὶ τῆς ἐνδεχομένης καθόλου μεταλαμβανομένης εἰς τὴν ὑπάρχουσαν. οὐδὲν γὰρ διαφέρει ἢ προσθεῖναί τινα ὁρισμὸν τῇ ὑπαρχούσῃ ὡς κατὰ χρόνον ὁρίζειν αὐτὴν ἢ ἐνδεχομένην τοιαύτην αὐτῇ συντάξαι, ἥτις ἀναιρεῖ αὐτὴν εἰς τὸ ὑπάρχειν μεταβάλλουσα. οὐ γὰρ τὴν ἀεὶ ὑπάρχουσαν λέγω (αὕτη γὰρ ἀναγκαία ἤδη), ἀλλὰ τὴν μένειν δυναμένην ὑπάρχουσαν καθόλου καταφατικὴν ἀληθῆ, καὶ ὅτε ἡ ἐνδεχομένη καθόλου καταφατικὴ εἰλημμένη μετὰ ταύτης εἰς τὴν ὑπάρχουσαν μεταλαμβάνεται. οὕτω γὰρ καὶ ἡ δι᾽ ἀδυνάτου δεῖξις σώζεται ἐπὶ τῆς συζυγίας, ᾗτινι χρώμενοι δείκνυμεν αὐτὴν συλλογιστικήν. λέγοι δ᾽ ἂν ἡμῖν ὁ λόγος ἤτοι μὴ δεῖν τὴν ὑπάρχουσαν καθόλου τοιαύτην λαμβάνεσθαι ὡς δύνασθαι αὐτῆς τὸ ἀληθὲς κατὰ χρόνον | ὁρίζεσθαι ὑπὸ τῆς προστιθεμένης ἐνδεχομένης προτάσεως, ἢ μᾶλλον, ὅτι μὴ 94ᵃ
δεῖ τὴν προστιθεμένην αὐτῇ ἐνδεχομένην τοιαύτην εἶναι ὡς ὁρίζειν τῆς ὑπαρχούσης τῆς πρὸ αὐτῆς εἰλημμένης τὸ ἀληθὲς κατὰ χρόνον.

Λέγων δὲ μὴ δεῖν κατὰ χρόνον ὡρίσθαι τὴν ὑπάρχουσαν οὐ παρὰ τὴν ὅλην δόξαιμι ἂν ποιεῖν τὸ συλλογιστικὸν ἢ ἀσυλλόγιστον τῆς συμπλοκῆς, ὡς ἂν δόξαι τινί, ἀλλὰ παρὰ τὸ σχῆμα ἴσως μᾶλλον. κατὰ χρόνον γὰρ ὁρισθεῖσα μεταπίπτουσα ποιεῖ ἐν πρώτῳ σχήματι ἐπὶ μέρους ἀποφατικὴν τὴν μείζονα· τούτου δὲ γινομένου ἀσυλλόγιστος ἡ συμπλοκή. τοῦ δ᾽ ἀσυλλόγιστον γενέσθαι τὴν συμπλοκήν, ἐν ᾗ ἡ μείζων πρότασις οὖσα καθόλου καταφατικὴ ὑπάρχουσα ὥρισται κατὰ χρόνον, σημεῖον τοιαύτης οὔσης τῆς συζυγίας ἐν πρώτῳ σχήματι ὡς εἶναι τὴν μὲν μείζονα καθόλου καταφατικὴν ὑπάρχουσαν ὡρισμένην χρόνῳ ὑπὸ τῆς ἐλάττονος προτάσεως οὔσης ἐνδεχομένης τὸ καὶ τοῦ παντὶ καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης ὅρους λαμβάνειν συνακτικοὺς ὁμοίως ἀληθῶν οὐσῶν τῶν προτάσεων. ἄνθρωπος παντὶ κινουμένῳ ὑπαρχόντως (ὑποκείσθω γὰρ τὰ κινούμενα μόνα ἀνθρώπους εἶναι), κινούμενον παντὶ ἵππῳ ἐνδεχομένως, καὶ συνάγεται ἄνθρωπος οὐδενὶ ἵππῳ ἐξ ἀνάγκης. τὸ γὰρ κινεῖσθαι διὰ τὸ ἐπὶ πλέον εἶναι τοῦ ἀνθρώπου, εἰ ληφθείη ἐνδέχεσθαι παντὶ ἵππῳ, ὁρίζει κατὰ χρόνον τὴν ὑπάρχουσαν· ὅτε γὰρ τὸ κινεῖσθαι ὑπάρχει παντὶ ἵππῳ, τότε οὐχ οἷόν τε ἔτι παντὶ κινουμένῳ τὸν ἄνθρωπον ὑπάρχειν. τοῦ δὲ παντὶ ζῶον παντὶ κινουμένῳ, τὸ κινεῖσθαι παντὶ ἐνδέχεται ἀνθρώπῳ, καὶ ζῶον παντὶ

2 γὰρ ἂν Al. 189,18 11 αὐτῇ Al. 189,28: αὐτῆς P 25 et 27 παρὰ Al. 190,8. 9: περὶ P ut saepe 26 τὸ Al.: τὸν P 31 ante τοιαύτης add. τὸ Al. 130,13
40 τοῦ δὲ κτλ. cf. 22,3 et 49,5 41 ἐνδέχεται Al. 190,25: ἐνδέχεσθαι P

ἀνθρώπῳ ἐξ ἀνάγκης. ἔστι δὲ τὸ δεικνύμενον καὶ ποιοῦν ἀσυλλόγιστον τὴν συζυγίαν οὐ διὰ τὸ παντὶ ἐξ ἀνάγκης δείκνυσθαί τι ἐν αὐτῇ προηγουμένως (ἀληθὴς γὰρ ἡ 'ἐνδέχεται παντί' καὶ ἐπὶ τῆς 'ἐξ ἀνάγκης παντί', εἰ καὶ μὴ εἴη τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου) ἀλλὰ διὰ τὸ τοῦ ἐξ ἀνάγκης ⟨μηδενὶ⟩ ὅρους εὑρίσκεσθαι ἐν αὐτῇ, ὃ γίνεται τῷ ὑπερτείνοντος τοῦ μέσου τὸν κατηγορούμενον τὴν προστιθεμένην ἐνδεχομένην τοιαύτην λαμβάνεσθαι ὡς κατὰ χρόνον τῆς μείζονος καθόλου καταφατικῆς ὑπαρχούσης τὸ ἀληθὲς ὁρίζειν. μὴ γὰρ ὑπερτείνοντος τοῦ τοιούτου μηδὲ τοιαύτης λαμβανομένης τῆς ἐνδεχομένης οὐχ οἷόν τε τοῦ μηδενὶ ὅρους λαβεῖν· οἷον τὸ περιπατεῖν παντὶ γραμματικῷ | ὑπαρ- 94v
χέτω, τὸ γραμματικὸν παντὶ ἀνθρώπῳ ἐνδεχόμενος· οὐ γὰρ γίνεται κατὰ χρόνον ὁριζομένη ἡ τὸ περιπατεῖν παντὶ γραμματικῷ τιθεῖσα· οὐ γὰρ ἀναιρεῖται ὑπὸ τῆς συντασσομένης αὐτῇ καθόλου καταφατικῆς ἐνδεχομένης, εἰ ὀρθῶς λαμβάνοιτο. καὶ ἐπὶ τῶν ὅρων δέ, ἐφ' ὧν τὸ ἐξ ἀνάγκης ⟨παντὶ⟩ συνάγεται. οὐ διότι ὑπερτείνει ὁ μέσος τὸν μείζονα, διὰ τοῦτο ἐξ ἀνάγκης συνάγεται (οὐ γὰρ ἐλήφθη τοιαύτη ἡ ἐνδεχομένη ὡς ὁρίζειν κατὰ χρόνον τὸ ἀληθὲς τῆς ὑπαρχούσης· οὐ γάρ τι τῶν μὴ ζώων ἐλήφθη, ὥστε ἐπὶ μέρους ποιεῖν τὴν μείζονα καὶ ὁρίζειν κατὰ χρόνον αὐτήν), ἀλλ' ὅτι ἐλήφθη ὁ ἔσχατος ὅρος περιεχόμενος ὑπὸ τοῦ πρώτου καὶ ἐν ἐκείνῳ ὤν. οὕτως γὰρ ἔχει ὁ ἄνθρωπος πρὸς τὸ ζῶον· τοιαύτης γὰρ πάλιν λαμβανομένης τῆς ἐνδεχομένης ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, ἀλλ' οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον. ἂν μέντοι μήτε κατὰ τὸν χρόνον ὁρίζηται ὑπὸ τῆς ἐνδεχομένης ἡ ὑπάρχουσα μήτε τοιοῦτος ὁ ἔσχατος ὅρος λαμβάνηται ὡς εἶναι ὑπὸ τὸν πρῶτον, ἐνδεχόμενον δόξει γίνεσθαι τὸ συμπέρασμα· ἔστω γὰρ τὸ κοιμᾶσθαι παντὶ ζῴῳ ὑπαρχόντως, ζῶον ἐνδεχέσθω παντὶ κινουμένῳ, καὶ τὸ κοιμᾶσθαι ἐνδέχεται παντὶ κινουμένῳ. ἐπισκεπτέον δέ, μή ποτε μᾶλλον ἡ τῶν ὅρων παράθεσις καὶ δεῖξις ἐπὶ ἀληθέσι ταῖς προτάσεσι καὶ τοῦ παντὶ ἐξ ἀνάγκης καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης τὸν πρῶτον τῶν ὅρων τῷ ἐσχάτῳ ὑπάρχειν μᾶλλον τοῦ ἀσυλλόγιστον εἶναι τὴν συζυγίαν ἐστὶ δεικτική. φανερὸν οὖν, ὅτι τὸ καθόλου κατὰ τὸ ὑπάρχειν ληπτέον ἁπλῶς ἀληθὲς καὶ μὴ ὁριζόμενον χρόνῳ· ἀσυλλόγιστος γὰρ γίνεται ἡ συζυγία οὕτως ἔχοντος διὰ τὸ καὶ τὸ παντὶ ἐξ ἀνάγκης καὶ τὸ μηδενὶ συνάγειν.

Πάλιν ἔστω ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης. καὶ δεικτέον καὶ ταύτην τῇ αὐτῇ δείξει, λέγω δὴ τῇ μεταλήψει καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. οἷον εἰ τὸ Α οὐδενὶ τῷ Β ὑπαρχόντως, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχομένως, λέγω. ὅτι καὶ τὸ Α οὐδενὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'οὐκ ἐνδέχεται μηδενὶ ὑπάρχειν τὸ Α τῷ Γ'· τοῦτο δὲ πάλιν ταὐτόν ἐστι τῷ 'ἀνάγκη | τινί'· ὃ γὰρ οὐκ ἐνδέχεται μηδενὶ 80r

1 δεικνύμενον P (a M): δεικνύον Al. 190,26 (B) 2 et 4 διὰ om. Al. 190,27 et 29
4 μηδενὶ Al. 190,29: om. P 5 τῷ Al. 190,30: τὸ P 12 ἀληθὴς Al. 191,1: ἀληθὲς P 13 παντὶ Al. 191,2: om. P 14 τὸν Al. 191,3: τὴν P
20. 21 μέντοι Al. 191,10: μέν τι P 27 τὸν Al. 191,16: τοῦτον P 28 δεικτική Al. 191,17: δεικτικά P 32 πάλιν . . . τὸ ἥμισυ (40,11) Phil. f. 44v—46r
38 τῷ Phil.: τὸ P

ὑπάρξαι, τοῦτο ἀνάγκη τινὶ ὑπάρχειν. εἰ τοίνυν τὸ μὲν Α ἀνάγκη τινὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ (μεταλαμβανέσθω γὰρ πάλιν ἡ ἐνδεχομένη εἰς τὴν ὑπάρχουσαν διὰ τὸ εὔσημον), τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρξει· ὑπέκειτο δὲ καὶ οὐδενί· τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον πάλιν ἠκολούθησεν οὐ διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν· εἰ γὰρ καὶ ψευδὴς ἦν, ἀλλ' οὐκ ἀδύνατος· δῆλον ἄρα, ὅτι διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ 'ἀνάγκη τινὶ τῷ Γ τὸ Α' ἤτοι 'οὐκ ἐνδέχεται οὐδενί'· ταὐτὸν γάρ ἐστι· ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχεται μηδενί', ὅπερ ἔδει δεῖξαι. τοῦτο δὲ τὸ συμπέρασμα οὐκ ἔστι τοῦ κατὰ τὸν ὁρισμὸν ἐνδεχομένου, ὃ ὡρισάμεθα ἐξ ἀρχῆς, ὅπερ καὶ ἐλέγομεν ἀντιστρέφειν κατὰ τὰς καταφατικὰς καὶ ἀποφατικάς. ἀλλ' ἔστι τοῦ μηδενὶ ἐξ ἀνάγκης. ὅπερ ἡμισύ ἐστι τοῦ ἐνδεχομένου. ὅπως δὲ ἔχει τοῦτο, δείξομεν ὧδε ἐκθέμενοι διαγράμματι πάσας τὰς προτάσεις.

οὐκ ἀνάγκη παντί		ἀνάγκη παντί	περιέχει τὰς δύο
οὐκ ἀνάγκη τινί		ἀνάγκη τινί	
οὐκ ἀνάγκη μὴ παντί	δι' ἑαυτὴν μάχεται	ἀνάγκη μὴ παντί	
ἐνδέχεται μηδενί	διὰ τὴν ἐνδέχεται παντὶ μάχεται	οὐκ ἐνδέχεται μηδενί	
ἐνδέχεται παντί		οὐκ ἐνδέχεται παντί.	

τὴν 'ἐνδέχεται μηδενί' βουλόμενοι δεῖξαι συναγομένην ἐλάβομεν τὴν ἀντιφατικῶς ἀντικειμένην ταύτῃ τὴν 'οὐκ ἐνδέχεται οὐδενί', ἵνα δείξαντες ταύτῃ ἀδύνατόν τι ἀκολουθοῦν συναγάγωμεν τὴν ἀντιφατικῶς αὐτῇ ἀντικειμένην τὴν 'ἐνδέχεται μηδενί'. ἐπειδὴ δέ, ὡς εἴρηται, διὰ τοῦ τρίτου σχήματος ἡ εἰς ἀδύνατον ἀπαγωγὴ λαμβανόντων ἡμῶν ὡς μίαν πρότασιν τοῦ συλλογισμοῦ τὸ ἐξ ὑποθέσεως λαμβανόμενον συμπέρασμα εἶναι τὸ 'οὐκ ἐνδέχεται οὐδενί' καὶ τὴν ἐλάττονα πρότασιν εἰς ὑπάρχουσαν μεταλαμβανόντων, ἄδηλον ⟨δ'⟩ ἐστὶν ἐν τρίτῳ σχήματι ἐκ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ποῖον συνάγεται συμπέρασμα (οὔπω γὰρ οὐδὲν εἴρηται περὶ αὐτῶν). διὰ τοῦτο μεταλαμβάνομεν τὴν 'οὐκ ἐνδέχεται οὐδενί' πρότασιν εἰς τὴν ἰσοδυναμοῦσαν αὐτῇ τὴν 'ἀνάγκη τινί'· ὃ γὰρ οὐκ ἐνδέχεται οὐδενί, τοῦτο ἀνάγκη τινί. μεταλαμβάνοντες τοίνυν τὴν 'οὐκ ἐνδέχεται οὐδενί' εἰς τὴν 'ἀνάγκη τινί' καὶ δεικνύντες ταύτῃ | τῇ ὑποθέσει ἀδύνατόν τι ἀκολουθοῦν, ὡς ἐδείξαμεν τὸ τὸ Α τῷ Β 50ᵃ καὶ τινὶ καὶ οὐδενὶ ὑπάρχειν. καὶ διὰ τοῦτο ἐλέγχοντες ὡς ψευδῆ τὴν ὑπόθεσιν τὴν 'ἀνάγκη τινὶ τὸ Α τῷ Γ ὑπάρχειν' δείκνυμεν εἰκότως ἀληθῆ τὴν προσεχῶς ἀντικειμένην αὐτῇ τὴν 'οὐκ ἀνάγκη τινί' καὶ διὰ τοῦτο τὴν 'ἐνδέχεται μηδενί', ὅπερ ἐξ ἀρχῆς προὔκειτο δεῖξαι. τοῦτο δὲ τὸ 'ἐνδέχεται μηδενί' οὐκ ἔστι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλὰ τὸ ἥμισυ τούτου, ὅπερ ἐστὶ τὸ 'οὐδενὶ ἐξ ἀνάγκης'. πῶς καὶ τίνα τρόπον; ⟨ὅτι⟩ τῇ 'ἐνδέχεται μηδενί' ἀντίκειται δι' ἑαυτὴν μὲν ἡ 'ἀνάγκη τινί', διὰ δὲ τὴν 'ἐνδέχεται παντί' ἰσο-

6 γὰρ Phil.: δὲ P 8 ἀντιφατικῶς Phil. f. 45r: ἀντιφατικὸν ὡς P; cf. ad vs. 19. 20 10 διορισμὸν Phil.; at cf. 38,8 ὅπερ Phil.: ὅνπερ P 11 κατὰ Phil.: om. P 13 ἐν διαγράμματι Phil. 19. 20 ἀντιφατικῶς Phil.: ἀντιφατικὴν ὡς P; cf. ad vs. 8 20 ταύτῃ Phil.: ταύτην P 25 δ' addidi: δέ Phil. 30 οὐκ Phil.: om. P ut 37,7 37 ὅτι Phil.: om. P 38 ἐνδέχεται Phil.: ἐνδέχεσθαι P

δυναμοῦσαν αὐτῇ ἡ 'ἀνάγκη μὴ παντί'. ὥστε αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου προτάσεις μάχονται τῇ 'ἐνδέχεται μηδενί'. ἀλλ' ἡ μὲν κατάφασις ἡ 'ἀνάγκη τινί' ὡς ἀντικειμένη αὐτῇ κατὰ πάντα, κατὰ ποσόν, κατὰ ποιόν, κατὰ τρόπον· ἡ δὲ 'ἀνάγκη μὴ παντί' ἀντίκειται μὲν τῇ 'ἐνδέχεται παντί', ἐπεὶ δὲ ἰσοδυναμεῖ ἡ 'ἐνδέχεται μηδενί' τῇ 'ἐνδέχεται παντί', διὰ τοῦτο καὶ 'ἡ ἀνάγκη μὴ παντί' μάχεται τῇ 'ἐνδέχεται μηδενί'. εἰ τοίνυν τῇ μὲν 'ἐνδέχεται οὐδενί' ὡς μὲν καταφάσει ἀπόφασις μάχεται ἡ ⟨οὐκ⟩ ἐνδέχεται οὐδενί, μάχονται δὲ κατὰ ποιόν, κατὰ ποσόν, κατὰ τρόπον ἀμφότεραι αἱ μερικαὶ τοῦ ἀναγκαίου προτάσεις κατὰ τὸν εἰρημένον τρόπον, δῆλον ἄρα, ὅτι ἡ 'οὐκ ἐνδέχεται οὐδενί' περιέχει τὰς δύο μερικὰς τοῦ ἀναγκαίου προτάσεις. εἰ τοίνυν τοῦτο οὕτως ἔχει, εὑρίσκομεν δὲ τῇ μὲν 'ἀνάγκη τινί' ὑποτιθεμένῃ ἀδύνατόν τι ἀκολουθοῦν, τῇ δὲ 'ἀνάγκη μὴ παντί' οὐκέτι, δῆλον ἄρα, ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'ἀνάγκη τινί' μόνως συνάγεται, ὅπερ ἐστὶ τὸ 'οὐκ ἀνάγκη τινί'. εἰ τοίνυν αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου, ὥσπερ εἴπομεν, περιέχονται ὑπὸ τῆς 'οὐκ ἐνδέχεται οὐδενί', τὸ δὲ ἀντικείμενον τῇ ἑτέρᾳ τούτων μόνον συνάγεται, δῆλον ἄρα, ὅτι τὸ ἥμισυ τοῦ ἀντικειμένου τῷ 'οὐκ ἐνδέχεται οὐδενί' ἐστὶ τὸ συναγόμενον, ὅπερ ἐστὶ τὸ 'οὐκ ἀναγκαῖον τινί'· τοῦτο γὰρ ἦν ἀντιφατικῶς ἀντικείμενον τῷ 'ἀνάγκη τινί', ᾧπερ μόνῳ ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησεν. ὅτι γὰρ τῷ 'ἀνάγκη μὴ παντί' ὑποτεθέντι οὐδὲν ἀδύνατον ἀκολουθεῖ, δῆλον 81r ἐξ αὐτῶν τῶν προτάσεων· εἰ γὰρ τὸ Α ἀνάγκη μὴ παντὶ τῷ Γ ὑπάρχειν, τὸ δὲ Β παντὶ τῷ Γ ὑπάρχει, τὸ ἄρα Α οὐ παντὶ τῷ Β ὑπάρχει· ἦν δὲ οὐδενί· καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ οὐδενὶ καὶ οὐ παντί.

Ζητήσειε δ' ἄν τις, τί δή ποτε, ⟨εἰ⟩ οὐ μόνον τοῦ 'ἀνάγκη τινί' τιθεμένου ἀδύνατόν τι ἀκολουθεῖ ἀλλὰ καὶ τοῦ 'ἀνάγκη παντί', μὴ λέγομεν τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον συνάγεσθαι τὸ 'οὐκ ἀνάγκη παντί'. εἰ γὰρ τὸ ⟨Α⟩ ἀνάγκη παντὶ τῷ Γ, τὸ δὲ Β ὑπάρχει παντὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρχει· ἦν δὲ καὶ οὐδενί· τὸ αὐτὸ τινὶ καὶ οὐδενί, ὅπερ ἀδύνατον. ὥστε οὐ μόνον τὰ ἀντικείμενα ἀντιφατικῶς συνάγεται δι' ἐκείνων ἀλλὰ καὶ διὰ τούτων· ὥστε, εἰ τῷ 'παντὶ ἐξ ἀνάγκης' ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησε, διὰ τί μὴ λέγομεν τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ συνάγεσθαι, λέγω δὲ τὸ 'οὐκ ἀνάγκη παντί'; λέγω οὖν πρὸς τοῦτο, ὅτι, εἰ περιείχετο ἡ 'ἀνάγκη παντί' ὑπὸ τῆς 'οὐκ ἐνδέχεται οὐδενί', ἐλέγομεν ἂν καὶ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'ἀνάγκη παντί' συνάγεσθαι, ἐπειδὴ τὸ ἀντικείμενον τῷ 'οὐκ ἐνδέχεται μηδενί' τοῦτό ἐστι τὸ συναγόμενον. νῦν δὲ οὐ περιέχεται ὑπ' αὐτῆς. ἡ δὲ αἰτία, δι' ἣν οὐ περιέχεται, αὕτη· εἰ γὰρ τῇ 'ἐνδέχεται οὐδενί' ἀντίκειται ἡ 'οὐκ ἐνδέχεται μηδενί', ἡ δὲ 'ἐνδέχεται μηδενί' ἰσοδυναμεῖ τῇ 'ἐνδέχεται παντί', ἡ δὲ 'ἐνδέχεται παντί' οὐκ ἀντίκειται τῇ 'ἀνάγκη παντί', οὐκ ἄρα περιέξει ἡ 'οὐκ ἐνδέχεται οὐδενί' τὴν 'ἀνάγκη παντί' ἀντικειμένως ἔχουσα τῇ 'ἐνδέχεται παντί' διὰ τὸ ἰσοδυναμεῖν αὐτὴν τῇ 'ἐνδέχεται μηδενί'. ἠκολούθησε δὲ ὅλως τῇ 'ἀνάγκη παντί' ἀδύνατον, διότι τῇ καθόλου ἀποφάσει δύο

7 οὐκ Phil: om. P ut 36,30 16 τῷ Phil.: τὸ P 17 ἀνάγκη Phil.: ἀναγκαῖον P (cf. 40,30) 18 et 19 ὑποτεθέντι Phil.: ὑποτιθέντι P 21 post δὲ alterum add. καὶ Phil. 23 εἰ addidi 26 α prius Phil.: om. P 35 οὐδενί scripsi: οὐδὲν P (μηδενὶ Phil. f. 45v)

[illegible] ἥ τε καθόλου καὶ ἡ μερική. ἡ μὲν ὡς ἀντιφατικῶς ἀντικειμένη, ἡ δὲ ὡς ἐναντίως. διὰ ταῦτα οὖν καὶ τῇ 'παντί' τεθείσῃ [ἀδύνατόν τι] ἠκολούθησε τὸ ἀδύνατον οὐχ ὡς ἀντιφατικῇ ἀλλ' ὡς ἐναντίᾳ. μόνως ἄρα ἐστὶ συναγόμενον τὸ ἀντικείμενον τῷ 'ἀνάγκῃ τινί', ὅπερ ἐστὶ τὸ 'οὐκ [illegible] ὅπερ τοῦτό ἐστι τῷ 'οὐδενὶ ἐξ ἀνάγκης'. διαφέρει δὲ τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' καὶ τὸ 'ἐνδέχεται μηδενί'· καὶ διὰ τοῦτο ἔφην, ὅτι τὸ 'ἐνδέχεται | μηδενί' συναγόμενον ἐν τούτῳ τῷ συλλογισμῷ οὐκ ἔστι τοῦ κατὰ 81v
τὸν ὁρισμὸν ἐνδεχομένου ἀλλὰ τοῦ 'οὐδενὶ ἐξ ἀνάγκης'.

Ἐπὶ πλέον δέ ἐστι τό 'οὐδενὶ ἐξ ἀνάγκης' τοῦ 'ἐνδέχεται μηδενί'. καὶ ὅτι τοῦτό ἐστι, δείξομεν καὶ λογικώτερον καὶ διὰ παραδειγμάτων. καὶ λογικώτερον μὲν δι' αὐτῶν τῶν προτάσεων οὕτως· τῇ 'ἐνδέχεται μηδενί' ἀντίκειται ἥ τε 'ἀνάγκῃ τινί' καὶ ἡ 'ἀνάγκῃ μὴ παντί', ὡς εἴρηται· ἐφ' ὧν γὰρ ἐκείνη ψεύδεται, αὗται ἀληθεῖς, καὶ ἀνάπαλιν. τῷ δὲ 'οὐκ ἀνάγκῃ τινί', ὅπερ ταὐτόν ἐστι τῷ 'οὐδενὶ ἐξ ἀνάγκης', ἀντίκειται μόνη ἡ 'ἀνάγκῃ τινί'· ὥστε καὶ ἐν-
ταῦθα, ἐφ' ὧν ἡ ἑτέρα ψευδής, ἡ ἑτέρα ἀληθής, καὶ ἔμπαλιν. εἰ τοίνυν τῇ 'ἐνδέχεται μηδενί' δύο μάχονται τοῦ ἀναγκαίου προτάσεις, ἥ τε 'ἀνάγκῃ τινί' καὶ ἡ 'ἀνάγκῃ μὴ παντί', τῇ δὲ 'οὐκ ἀνάγκῃ τινί', ἥτις ἰσοδυναμεῖ τῇ 'οὐδενὶ ἐξ ἀνάγκης', ἡ ἑτέρα τούτων μόνον ἡ 'ἀνάγκῃ τινί', ἐφ' ὧν ἄρα αἱ δύο προτάσεις, ἥ τε 'ἀνάγκῃ τινί' καὶ ἡ 'ἀνάγκῃ μὴ παντί', ἀληθεῖς, ἐπὶ τούτων ἡ 'ἐνδέχεται μηδενί' ψευδής· ἐφ' ὧν δὲ ἡ 'ἀνάγκῃ τινί' ἀληθής, ἐπὶ τούτων μόνον ἡ 'οὐκ ἀνάγκῃ τινί' ψευδής, ἥτις ἰσοδυναμεῖ τῇ 'οὐδενὶ ἐξ ἀνάγκης'. ἐπ' ἐλαττόνων ἄρα ψεύδεται ἡ 'οὐκ ἀνάγκῃ τινί' τῆς 'ἐνδέχεται μηδενί'· εἰ δὲ ἐπ' ἐλαττόνων ψευδὴς ἡ 'οὐκ ἀνάγκῃ τινί', ἐπὶ πλειόνων ἀληθής. ὅτι δὲ μόνη ἡ 'ἀνάγκῃ τινί' μάχεται τῇ 'οὐκ ἀνάγκῃ τινί', οὐκέτι δὲ καὶ ἡ 'ἀνάγκῃ μὴ παντί', δῆλον ἐξ ὧν καὶ συναληθεύουσιν ἐπί τινων ὅρων ὡς ἐπὶ τοῦ περιπατεῖν καὶ τοῦ ζώου. καὶ γὰρ τὸ λέγειν, ὅτι οὐκ ἀνάγκῃ τινὶ ζώῳ τὸ περιπατεῖν ὑπάρχειν, ἀληθές (οὐδὲν γὰρ ζῶον ἐξ ἀνάγκης περιπατεῖ), καὶ πάλιν τὸ λέγειν, ὅτι ἀνάγκῃ μὴ παντὶ ζώῳ τὸ περιπατεῖν ὑπάρχειν, ἀληθὲς διὰ τὰ ἑρπετά· οὐδὲν γὰρ τῶν ἑρπετῶν περιπατεῖ. οὕτως μὲν οὖν κοινῷ λόγῳ δεδείχθω ἐπὶ πλεῖον οὖσα τῆς 'ἐνδέχεται μηδενί' ἡ 'οὐδενὶ ἐξ ἀνάγκης'. δειχθήσεται δὲ καὶ τοῖς παραδείγμασι, λέγω δὲ διὰ τῶν ὅρων αὐτῶν. πάλιν [illegible] ἐπὶ τοῦ ζώου καὶ τοῦ περιπατεῖν τὸ μὲν εἰπεῖν 'οὐδενὶ ἐξ ἀνάγκης ζώῳ τὸ περιπατεῖν ὑπάρχει' ἀληθεύει καὶ ἐπὶ τῶν περιπατούντων ζώων) καὶ ἐπὶ τῶν ἑρπετῶν· οὐκ ἔστι γὰρ ἀναγκαῖον τούτοις περιπατεῖν. τὸ δὲ 'ἐνδέχεται μηδενὶ ζώῳ τὸ περιπατεῖν' οὐκ ἔστιν ἀληθὲς ἐπὶ πάντων ἀλλ' ἐπὶ τῶν περι-
πατούντων· | ἐπὶ δὲ τῶν ἑρπετῶν οὐκ ἔστιν ἀληθές, διότι, ἐφ' ὧν τὸ 'ἐνδέ- 82r
χεται μηδενί', ἐπὶ τούτων καὶ τὸ 'ἐνδέχεται παντί' ἀληθές· εἰ τοίνυν τὸ 'ἐνδέχεται παντί' ἐπὶ τῶν ἑρπετῶν ψεῦδος, δηλονότι καὶ τὸ 'ἐνδέχεται μηδενί'. ἐπὶ πλειόνων ἄρα τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' ἀληθεύει τοῦ 'ἐνδέχεται μηδενί'.

[illegible] ὡς P: [illegible] 36, 8. 13. 20 2. 3 ἀδύνατόν τι P: om. Phil. 8 διορισμὸν Phil.: cf. 36,10 18 et 21 μόνον Phil.: μόνων P 19 ἀληθεῖς scripsi: ἀληθής P (ἀληθεύουσιν Phil.) 26 περιπατεῖν Phil.: περιπατεῖ P 27 et 28 ὑπάρχειν Phil.: ὑπάρχει P 33 τὸ περιπατεῖν . . . ζώων Phil.: om. P

Δυνατὸν δὲ καὶ τὴν ἐκ δύο καταφατικῶν συζυγίαν δεῖξαι τῷ αὐτῷ τρόπῳ μὴ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συνάγουσαν ἀλλὰ καὶ ταύτην τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγουσαν. ὑποκείσθω δὲ πρῶτον ἡμῖν τὸ διάγραμμα. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπαρχόντως, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχομένως, τὸ Α ἄρα παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται παντί', ὅπερ ἰσοδυναμεῖ τῷ 'ἀνάγκη μὴ παντί'. εἰ τοίνυν τὸ μὲν Α τῷ Γ ἀνάγκη μὴ παντί, τὸ δὲ Β τῷ Γ ὑπάρχει μεταληφθείσης τῆς ἐνδεχομένης, τὸ ἄρα Α τῷ Β ὑπάρχει οὐ παντί· ⟨ἢν δὲ καὶ παντί·⟩ τὸ αὐτὸ καὶ παντὶ καὶ οὐ παντί, ὅπερ ἀδύνατον. ψεῦδος ἄρα τὸ 'οὐκ ἐνδέχεται παντί'· ἀληθὲς δὲ τὸ 'ἐνδέχεται παντί', ὅπερ ἔδει δεῖξαι. ἔστιν οὖν καὶ ἐνταῦθα ὁμοίως δεῖξαι, ὅτι τὸ 'ἐνδέχεται παντί' οὐκ ἔστι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλ' ἥμισυ τούτου. εἰ γὰρ μάχεται τῇ 'ἐνδέχεται παντί' ὡς καταφάσει ἀπόφασις ἡ 'οὐκ ἐνδέχεται παντί', μάχονται δὲ αὐτῇ ⟨καὶ⟩ αἱ δύο τοῦ ἀναγκαίου μερικαὶ προτάσεις, ἡ μὲν 'ἀνάγκη μὴ παντί' δι' ἑαυτὴν ὡς κατὰ πάντα ἀντικειμένην, μάχεται δὲ καὶ ἡ 'ἀνάγκη τινί' διὰ τὴν 'ἐνδέχεται μηδενί' ὡς ἰσοδυναμοῦσαν αὐτῇ, περιέξει ἄρα ἡ 'οὐκ ἐνδέχεται παντί' τὰς δύο τοῦ ἀναγκαίου μερικάς. εἰ γὰρ αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου μάχονται τῇ 'ἐνδέχεται παντί', μάχεται δὲ αὐτῇ ⟨καὶ⟩ ἡ 'οὐκ ἐνδέχεται παντί', περιέξει αὕτη ἄρα τὰς δύο. πάλιν τῶν δύο τούτων λαμβανομένων ἐν τῷ συλλογισμῷ. τῇ μὲν 'ἀνάγκη μὴ παντί' ὑποτεθείσῃ εὑρήκαμεν ἀδύνατόν τι ἀκολουθοῦν. ὥστε τὸ ἀντικείμενον αὐτῇ εἶναι τὸ συναγόμενον· τῇ δὲ 'ἀνάγκη τινί' ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ, ὥστε οὐ συνάγεται τὸ ἀντικείμενον. ὅτι γὰρ οὐδὲν ἀδύνατον αὐτῇ ὑποτεθείσῃ ἀκολουθεῖ, δῆλον· εἰ γὰρ τὸ Α ἀνάγκῃ τινὶ τῷ Γ, | τὸ δὲ Β παντὶ 82ᵃ τῷ Γ ὑπαρχόντως, τὸ ἄρα Α τινὶ τῷ Β ὑπάρχει· ἢν δὲ καὶ παντί, καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ παντὶ καὶ τινί. μόνως ἄρα συνάγεται τὸ ἀντικείμενον τῷ 'ἀνάγκη μὴ παντί'· τὸ δὲ 'ἀνάγκη μὴ παντί' ἡμισυ ἦν τοῦ 'οὐκ ἐνδέχεται παντί'· τὸ ἄρα ἀντικείμενον τῷ ἡμίσει τοῦ 'οὐκ ἐνδέχεται παντί' ἐστὶ τὸ συναγόμενον. πῶς οὖν οὐκ εἴπομεν τοῦτο ἐπὶ ταύτης τῆς συζυγίας, ἀλλ' ἐπὶ τῆς στερητικῆς μόνης; ἀκόλουθα, φήσαιμι ἄν, ποιῶν ἐμαυτῷ, ἐπειδὴ τὴν μὲν ἀποφατικὴν ἐνδεχομένην μεταλαμβάνω εἰς τὴν καταφατικὴν (τὴν δὲ καταφατικὴν) οὐκέτι εἰς τὴν ἀποφατικήν, διὰ τοῦτο ἐπὶ μόνης τῆς στερητικῆς, ἐπειδὴ τὸ συμπέρασμα ἀποφατικὸν ἦν ἐνδεχόμενον κατὰ τὰς ἐνταῦθα παραλαμβανομένας προτάσεις. λέγω δὲ τὸ ἐνδέχεσθαι μηδενί. καὶ διὰ τοῦτο εὑρίσκομεν αὐτῷ μαχομένας τὰς δύο τοῦ ἀναγκαίου μερικὰς προτάσεις. τὴν μὲν δι' ἑαυτὴν τὴν δὲ διὰ τὴν 'ἐνδέχεται [μὴ] παντί', ἐπειδὴ λαμβάνομεν ἰσοδυναμοῦσαν τὴν 'ἐνδέχεται μηδενί' τῇ 'ἐνδέχεται παντί'. ἐπειδὴ οὖν ἐνταῦθα εὑρίσκομεν τὰς τοῦ ἀναγκαίου δύο μερικὰς ἀντικειμένας τῇ 'ἐνδέχεται μηδενί'

2 αὐτὴν Phil. 8 ἦν δὲ καὶ παντὶ Phil.: om. P; cf. vs. 24 11 τοῦ ... ἐνδεχομένου Phil.; cf. 36,10. 11 et 40,36 13 καὶ Phil.: om. P 14 ἀντικειμένη Phil. 17 ἀναγκαίου Phil. f. 46ᵛ: ἀνάγκη P 18 καὶ Phil.: om. P 20 αὐτῇ Phil.: αὐτοῦ P 30. 31 τὴν δὲ καταφατικὴν Phil.: om. P 32. 33 παραλαμβανομένας Phil.: περιλαμβανομένας P ut 23,11. 12 35 μὴ P: om. Phil.

καὶ διὰ τοῦτο περιεχομένας ὑπὸ τῆς ταύτης ἀποφατικῆς τῆς 'οὐκ ἐνδέχεται μηδενί' καὶ εὑρίσκομεν τὸ ἀντικείμενον μόνῳ τῷ ἑτέρῳ τῶν μερικῶν προτάσεων συναγόμενον, διὰ τοῦτο ἐλέγομεν τὸ ἥμισυ τοῦ ἐνδεχομένου μόνον συνάγεσθαι. ἐπειδὴ δὲ ἐν τῇ κατηγορικῇ συζυγίᾳ καταφατικὸν ἐνδεχόμενόν ἐστι τὸ συμπέρασμα, οὐ μεταλαμβάνεται δὲ ἡ κατάφασις εἰς τὴν ἀπόφασιν, δῆλον ἄρα, ὅτι ἡ μία μόνη τοῦ ἀναγκαίου μερικὴ πρότασις ἀντίκειται τῷ συμπεράματι ἡ 'ἀνάγκη μὴ παντί', ὥστε ἡ 'οὐκ ἐνδέχεται παντί' αὐτὴν μόνην περιέξει· τιθεμένῃ δὲ ταύτῃ ἀδύνατόν τι ἠκολούθει· δῆλον ἄρα, ὅτι τὸ ἀντικείμενον αὐτῇ ἐστιν ἀληθές. ἔστι δὲ αὕτη οὐχ ἥμισυ τοῦ ἐνδεχομένου ἀλλ' ὅλον· καὶ ἡ ἀντικειμένη ἄρα οὐχ ἥμισυ ἔσται τοῦ ἐνδεχομένου. εἰκότως ἄρα ἐπὶ τῆς καταφατικῆς συζυγίας οὐκ εἶπον συνάγεσθαι τοῦ ἐνδεχομένου τὸ ἥμισυ.

Καὶ ταῦτα μὲν μέχρι τούτου. ἐπανακτέον δὲ πάλιν τὸν λόγον ἐπὶ τὴν προκειμένην συμπλοκὴν ἔχουσαν ὧδε· εἰ τὸ Α τῷ Β μηδενὶ ὑπαρχόντως, τὸ δὲ Β τῷ Γ ἐνδεχομένως παντί, τὸ Α τῷ Γ ἐνδέχεται μηδενί. εἰ γὰρ μή, τὸ ἀντικείμενον τὸ 'οὐκ ἐνδέχεται μηδενὶ τὸ Α τῷ Γ'. ὃ μεταληπτέον εἰς τὸ 83r
'ἐξ ἀνάγκης τινί'. ἀλλὰ καὶ τὸ Β τῷ Γ παντὶ ὑπαρχόντως· μετειλήφθω γὰρ πάλιν τὸ ἐνδεχόμενον εἰς τὸ ὑπάρχον. γίνεται οὖν ἐν τρίτῳ σχήματι ἐξ ἀναγκαίας ἐπὶ μέρους καταφατικῆς τῆς μείζονος καὶ ὑπαρχούσης καθόλου καταφατικῆς τῆς ἐλάττονος ἐπὶ μέρους καταφατικὸν ὑπάρχον, ὡς ἐδείχθη, συμπέρασμα. ἀλλὰ μὴν ἀδύνατον τὸ τὸ Α τῷ Β τινὶ ὑπάρχειν· ἔκειτο γὰρ μηδενὶ ὑπάρχειν. τὸ δὴ ἀδύνατον τοῦτο πάλιν οὐ παρὰ τὸ μεταλαμβάνειν ἡμᾶς τὴν καθόλου καταφατικὴν ἐνδεχομένην εἰς τὴν καθόλου καταφατικὴν ὑπάρχουσαν συνήχθη· τοῦτο γὰρ εἰ καὶ ψεῦδος, ἀλλ' οὐκ ἀδύνατον· τὸ δ' ἀδύνατον ἀδυνάτῳ ἐδείχθη ἑπόμενον· παρὰ τὴν ὑπόθεσιν ἄρα τὴν 'οὐκ ἐνδέχεται μηδενί'· ἀληθὲς ἄρα τὸ 'ἐνδέχεται μηδενί'. τὸ συμπέρασμα δὲ τοῦτο τὸ ἐνδέχεσθαι μηδενὶ οὐκ ἔστι τοιούτου ἐνδεχομένου, οἵουπερ ἡμεῖς ἐξ ἀρχῆς ὡρισάμεθα· τοῦτο δὲ ἦν, ὃ ἀντιστρέφουσαν εἶχε τὴν 'μηδενί' πρὸς τὴν 'παντί'. τοῦτο δὲ τὸ συμπέρασμα οὐκ ἔστι τοιοῦτον. ὅτι γὰρ οὐ δύναται ἀντιστρέφειν πρὸς τὴν 'παντί', ἐδείξαμεν ἤδη θέντες τὸ ἀντικείμενον τῷ 'ἐνδέχεται παντί' (λέγω δὴ τὸ 'ἀναγκαῖον μὴ παντί') καὶ μηδὲν αὐτῷ εὑρηκότες ἄτοπον ἀκολουθοῦν. ἵνα οὕτως κατασκευάσωμεν τὸ ἀντικείμενον· ὥστε οὐ δύναται συμπεραίνεσθαι τὸ ⟨ἀντικείμενον τῷ⟩ 'ἀνάγκη μὴ παντί'. εἰ δὲ μὴ συμπεραίνεται, οὐκ ἄρα ἰσοδυναμεῖ ἐνταῦθα τὸ συναχθὲν συμπέρασμα, λέγω δὲ τὸ ἐνδέχεσθαι μηδενί, τῷ ἐνδέχεσθαι παντί· τὸ δὲ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἰσοδυναμούσας ταύτας εἶχε τὰς προτάσεις. οὐκ ἄρα τοῦ κατὰ τὸν ὁρισμὸν ἐνδεχομένου τοῦτό ἐστι τὸ συμπέρασμα ἀλλὰ τοῦ μηδενὶ ἐξ ἀνάγκης. τίς δὲ ἡ φύσις τούτου πρὸς τὸ 'ἐνδέχεται μηδενί', εἴπομεν. καὶ ὅτι τοῦτό ἐστι τὸ συναγόμενον, δῆλον· τῇ γὰρ εἰς ἀδύνατον ἀπαγωγῇ βουλόμενοι κατασκευάσαι τὸ 'ἐνδέχεται μηδενί' καὶ λαβόντες τὸ ἀντικείμενον αὐτῷ τὸ 'οὐκ ἐνδέχεται μηδενί', ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη τινί', εἰς ὃ μετελάβομεν διὰ τὸ σαφές, ὑποθέμενοι οὖν τὸ

13 εἰ τὸ α . . . ἐνδεχόμενον μηδενί (25) Al. 193,25 — 194,6 22 μεταλαμβάνειν Al. 194,1: λαμβάνειν P 25 τὸ συμπέρασμα . . . ἐνδεχόμενον (41,25) Phil. f. 46r — 46v 30 ἀνάγκη Phil. (cf. 37,17) 31 οὕτω Phil.: οὕπως P 32 ἀντικείμενον τὸ correxi τῷ) Phil.: om. P 35 διορισμὸν Phil. 36 φύσις P: διαφορὰ Phil.

'ἀνάγκη τινί' εὕρομεν ἀδύνατόν τι ἀκολουθοῦν. οὐκοῦν πᾶσα ἀνάγκη τὸ ἀντικείμενον τούτῳ ἀληθὲς εἶναι τὸ 'ἐξ ἀνάγκης | οὐδενί'· τοῦτο γὰρ τῷ 'ἐξ 83v ἀνάγκης τινί' ἀντίκειται· τὸ γὰρ 'ἐξ ἀνάγκης οὐδενί' ταὐτὸν τῷ 'οὐκ ἀνάγκη τινί'. ἀνάγκη γὰρ πᾶσα, ὅταν συλλογισμὸν διὰ τοῦ ἀδυνάτου δείκνυμεν, τὴν ἀντικειμένην φάσιν, τουτέστι πρότασιν, τῇ ὑποθέσει, ᾗ ἀδύνατόν τι ἠκολούθησε, ταύτην εἶναι ἀληθῆ.

Ἔτι δὲ καὶ ὅρους ἐκθετέον, δι' ὧν δείκνυται τέως μέν, ὅτι οὐ συνάγεται τὸ 'ἐνδέχεται μηδενί'· κόραξ, διανοούμενον, ἄνθρωπος· κόραξ οὐδενὶ διανοουμένῳ ὑπαρχόντως, διανοούμενον παντὶ ἀνθρώπῳ ἐνδέχεται, καὶ κόραξ οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ὥστε τέως ἔχομεν διὰ τούτων, ὅτι οὐ συνάγεται τὸ ἐνδεχόμενον. ἀλλ' οὐδὲ τὸ ἀναγκαῖον ἀεί· οἷον κινούμενον οὐδεμιᾷ ἐπιστήμῃ ὑπάρχει, ἐπιστήμη παντὶ ἀνθρώπῳ ἐνδέχεται, καὶ κινούμενον οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει. ὥστε, εἰ μήτε ἀεὶ ἐνδεχόμενόν ἐστι τὸ συμπέρασμα μήτε ἀναγκαῖον ἀεί, εἰκότως εἴρηται, ὅτι τὸ 'οὐδενὶ ἐξ ἀνάγκης' ἐστὶ τὸ συναγόμενον. πλὴν ὅτι οὔτε τούτους οὔτε τοὺς πρὸ τούτων καλῶς ἐλάβομεν ὅρους. καὶ διὰ τοῦτο βέλτιον αὐτοὺς ληπτέον, βαδίζον, ἀλλοιούμενον, ζῶον· βαδίζον οὐδενὶ ἀλλοιουμένῳ ὑπαρχέτω. ἀλλοιούμενον παντὶ ζώῳ ἐνδεχομένως. καὶ βαδίζον οὐδενὶ ζώῳ ἐξ ἀνάγκης. οὐ γὰρ ἀληθὲς τὸ μηδενὶ ζώῳ λέγειν τὸ βαδίζειν ἐνδέχεσθαι, ἐπειδή, ἐφ' ὧν τὸ 'μηδενί' ἀληθεύει, ἐπὶ τούτων καὶ τὸ 'παντὶ ἐνδέχεται'· οὐ πάντα δὲ τὰ ζῶα βαδίζει· οὐδὲ γὰρ τὰ ἑρπετά· ὥστε διὰ τοῦτο οὐκ ἀληθὲς ἐπὶ τούτων τὸ εἰπεῖν μηδενὶ ἐνδέχεσθαι. μόνως ἄρα ἀληθὲς τὸ 'οὐδενὶ ἐξ ἀνάγκης ζώῳ τὸ βαδίζειν ὑπάρχει'· ἀληθὲς γὰρ καὶ ἐπὶ τῶν ἑρπετῶν, ὅτι οὐδενὶ αὐτῶν ἐξ ἀνάγκης τὸ βαδίζειν ὑπάρχει. ὥσπερ δὴ καὶ πρὸ τούτου εἴπομεν. ὥστε τέως εἴχομεν διὰ τούτων, ὅτι οὐ συνάγεται τὸ ἐνδεχόμενον.

Ἐὰν δὲ ἡ μὲν μείζων καθόλου ᾖ καταφατικὴ ὑπάρχουσα ἡ δὲ ἐλάττων καθόλου ἀποφατικὴ ἐνδεχομένη, μενούσης μὲν τῆς ἐλάττονος ἀποφατικῆς οὐδὲν συναχθήσεται· μεταληφθείσης δὲ αὐτῆς εἰς τὸ καταφατικόν, ἐπεὶ τὸ μηδενὶ ἐνδεχόμενον καὶ παντὶ ἐνδέχεται (ἀντιστρέφει γὰρ ἀλλήλοις), ἔσται συλλογισμός. ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἐδείχθη, ἐν οἷς ἐκ μὲν τῶν κειμένων οὐδὲν συνήγετο, | μεταληφθέντος δὲ τοῦ ἐνδεχομένου ἀποφατικοῦ εἰς ἐνδεχό- 84r μενον καταφατικὸν ἐγίνετο. ἔσται γὰρ συμπέρασμα καθόλου καταφατικὸν ἐνδεχόμενον οὔσης τῆς συζυγίας ἐκ καθόλου καταφατικῆς ἐνδεχομένης τῆς ἐλάττονος, καθὰ δεδεῖχθαι δοκεῖ. εἰ μὲν οὖν ἡ μείζων καταφατικὴ ᾖ [ἡ] ὑπάρχουσα, δῆλον ὅτι ἀντιστραφείσης τῆς ἐλάττονος γενήσεται συμπέρασμα τοιοῦτον, οἷον ἐγίνετο καὶ ἐκ τῶν δύο καταφατικῶν. εἰ δὲ ἀποφατικὴ καὶ ἡ μείζων ᾖ, πάλιν ἀντιστραφείσης τῆς ἐλάττονος εἰς τὴν καταφατικὴν τὸ συμπέρασμα ἕξουσιν, οἷον ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης, λέγω δὴ τὸ 'οὐδενὶ ἐξ ἀνάγκης'· καὶ ὅσα ἁπλῶς εἴρηται ἐπ' ἐκείνων, ταῦτα καὶ ἐπὶ τούτων λεχθήσεται. ἐὰν δὲ ἀποφατικὴ ὑπάρχουσα ἡ ἐλάττων ᾖ, οὐδεὶς ἔσται συλλογισμός, κἂν τε ἐνδεχομένη

3 γὰρ scripsi: δὲ P (cf. 54,3) 26 ἐὰν δὲ ... δοκεῖ (34) Al. p. 200,12—23 32 καταφατικόν (ante ἐγίνετο) Al. 200,20: ἀποφατικὸν P 34 εἰ μὲν ... λεχθήσεται (40) Phil. f. 46v ἡ delevi

καταφατικὴ ἡ μείζων κἄν τε ἐνδεχομένη ἀποφατική. καὶ τοῦτο, ὅτι οὕτως ἔχει, δεικτέον πάλιν τῇ τῶν ὅρων παραθέσει· οἷον τοῦ μὲν παντὶ λευκόν, ζῶον, χιών, τοῦ δὲ μηδενὶ λευκόν, ζῶον, πίσσα. ἀληθέστερον δ' ἂν αἱ προτάσεις κατὰ τὴν ἐκκειμένην συζυγίαν ἔχοιεν, εἰ λάβοιμεν ὅρους ἐπὶ μὲν τοῦ παντὶ ὑπάρχειν κινεῖσθαι, λευκόν, περιπατεῖν· κινεῖσθαι παντὶ καὶ οὐδενὶ λευκῷ ἐνδέχεται. λευκὸν οὐδενὶ περιπατοῦντι ὑπαρχόντως, καὶ τὸ κινεῖσθαι ἐξ ἀνάγκης παντὶ περιπατοῦντι. τοῦ δὲ μηδενὶ κινεῖσθαι, λευκόν, ἑστώς· κινεῖσθαι παντὶ καὶ οὐδενὶ λευκῷ ἐνδέχεται). λευκὸν οὐδενὶ ἑστῶτι ὑπαρχόντως. καὶ κινεῖσθαι οὐδενὶ ἑστῶτι ἐξ ἀνάγκης.

Φανερὸν μὲν οὖν, ὅτι καθόλου τῶν ὅρων ὄντων καὶ τῆς μὲν ὑπάρχειν τῆς δὲ ἐνδέχεσθαι λαμβανομένης τῶν προτάσεων, ὅταν ἡ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέχεσθαι λαμβάνηται πρότασις, ἀεὶ γίνεται συλλογισμός, πλὴν ὁτὲ μὲν ἐξ αὐτῶν, ὁτὲ δὲ ἀντιστραφείσης τῆς | προτάσεως. τὸ δὲ ἐξ αὐτῶν εἰπὼν 84r
οὐ τοῦτό φημι, ὅτι τῇ δι' εὐθείας δείξει (πάντες γὰρ ἐδείχθησαν τῇ μεταλήψει τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ), ἀλλ' ὅτι οἱ φυλάξαντες τὸ ἴδιον ποιόν, οἷοι ἦσαν οἱ ἔχοντες τὴν ἐλάττονα καταφατικήν. οἱ δὲ ἄλλοι οὐ δι' ἑαυτῶν ἐδείχθησαν, ἀλλὰ μετελήφθησαν ἐξ ἀποφατικῶν εἰς καταφατικάς. τί οὖν, φήσειεν ἄν τις, οὐχὶ καὶ ἐπ' ἐκείνων πάντων μετελαμβάνομεν τὸν ἐνδεχόμενον τρόπον εἰς τὸν ὑπάρχοντα, ὥσπερ καὶ ἐπὶ τούτων τὴν ἀπόφασιν εἰς τὴν κατάφασιν, ὥστε οὐδ' ἐκεῖνοι δι' ἑαυτῶν ἐδείχθησαν; τί οὖν εἴποιμι ἄν; ὥσπερ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμοὶ ἀνήγοντο εἰς τὸ πρῶτον σχῆμα, οὐχ ὡς οὐκ ἔχοντες ἀφ' ἑαυτῶν τὸ ἀναγκαῖον (οὐδὲν γὰρ ἧττον, εἰ μὴ ἀνηνέχθησαν εἰς τὸ πρῶτον σχῆμα, εἶχον ἐξ ἀνάγκης τὸ συμπέρασμα ἑπόμενον), ἀλλὰ διὰ τοῦτο καὶ μόνον ἀνήγοντο ὥστε σαφεστέραν ἡμῖν τὴν δεῖξιν διὰ τῶν γνωριμωτέρων γενέσθαι. οὕτω φημὶ καὶ ἐπὶ τῆς μεταλήψεως τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον, ὅτι, κἂν μὴ μετελήφθησαν αἱ προτάσεις, οὐδὲν ἧττον τὸ συμπέρασμα εἶχον ἑπόμενον. ἀλλ' ἐπειδὴ ἄδηλος τέως ἡμῖν ἡ μῖξις τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου, διὰ τοῦτο γνωριμωτέραν ποιοῦντες τὴν διδασκαλίαν μετελάβομεν τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν. ἐν μέντοι ταῖς ἐχούσαις τὴν ἐλάττονα ἀποφατικὴν οὐχ ἁπλῶς διὰ τὴν σαφήνειαν τῆς διδασκαλίας ἡ μετάληψις γίνεται, ἀλλ' ὅτι φυλαττομένης τῆς ἀποφατικῆς τὸ ὅσον ἐπ' αὐτῇ ἀσυλλόγιστός ἐστιν ἡ συζυγία· ἐπειδὴ δὲ οὐκ ἀδύνατόν ἐστιν μεταλαμβάνειν αὐτὴν εἰς καταφατικήν, μεταλαμβανομένη ποιεῖ τὴν συζυγίαν συλλογιστικήν. πότε δὲ ἕκαστον αὐτῶν καὶ δι' ἣν αἰτίαν, εἰρήκαμεν, ὅτι δι' ἑαυτῶν μὲν δείκνυνται, ὅτε ἔχουσι τὴν ἐλάττονα καταφατικὴν εἴτε ὑπαρχουσαν εἴτε ἐνδεχομένην, δι' ἀντιστροφῆς δέ, ὅτε ἡ ἐλάττων ἐστὶν ἀποφατικὴ ἐνδεχομένη· δι' ἣν δὲ αἰτίαν, ὅτι τῶν μὲν συλλογιστικῶν συζυγιῶν χαρακτηριστικὸν τὸ ἐν πρώτῳ σχήματι τὴν ἐλάττονα εἶναι καταφατικήν, | καὶ ὅτι ἡ ἀποφατικὴ ἐνδεχομένη κατὰ τὸν ἐνδεχομένου προσδιορισμὸν δύναται 85
μεταληφθῆναι εἰς τὴν καταφατικήν.

3 ἀληθέστερον . . . ἐξ ἀνάγκης (9) Al. p. 201,12—19 8 ἐνδέχεται ex Al. 201,17 addidi (cf. vs. 6) 13 τὸ δὲ ἐξ αὐτῶν . . . ὑπάρχει (48,6) Phil. f. 47r—49v 14 ἐδείχθησαν Phil.: ἐλήφθησαν P 34 ἑκάτερος Arist. 39 ἐνδεχομένου Phil. — τοῦ pro τὸν): ἐνδεχόμενον P

Ἐὰν δὲ ἡ μὲν μείζων τῶν προτάσεων καθόλου ἐνδεχομένη ἡ δὲ ἑτέρα ἢ ἐλάττων μερικὴ ἢ καταφατικὴ ὑπάρχουσα τῆς μείζονος εἴτε καταφατικῆς εἴτε ἀποφατικῆς οὔσης συλλογισμὸς γίνεται, ὥσπερ ἐγίνετο καὶ ἐπὶ τῶν τοιούτων καθόλου προτάσεων. τουτέστιν ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα. δείκνυται καὶ οὗτοι οἱ συλλογισμοὶ τῇ αὐτῇ δείξει, διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. εἰ γὰρ τὸ Α παντὶ τῷ Β ὑπάρχειν ἐνδέχεται, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχόντως μόνον, καὶ τὸ Α ἄρα τινὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. ἐπεὶ γὰρ [γὰρ] τὸ Α ἐνδεχομένως παντὶ τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· τὶ δὲ τῶν τοῦ Γ μέρος αὐτοῦ ἐστιν· τὸ Α ἄρα ἐνδεχομένως ⟨τινὶ τῷ Γ⟩ ὑπάρχει. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῆς ἀποφατικῆς. ὅροι δὲ ὑπνοῦν, περιπατοῦν, ζῶον· τὸ ὑπνοῦν παντὶ περιπατητικῷ ἐνδεχομένως ὑπάρχει ἢ οὐ ὑπάρχει. περιπατητικὸν τινὶ ζώῳ ὑπαρχόντως, καὶ συνάγεται ‘τὸ ὑπνοῦν τινὶ ζώῳ ἐνδέχεται’.

Ὅταν δὲ ἡ μὲν καθόλου ὑπάρχουσα ᾖ ἡ δὲ ἐλάττων ἐνδεχομένη, ὥσπερ ἐπὶ τῶν καθόλου συζυγιῶν τὰς οὕτως ἐχούσας ἐλέγομεν πάσας συλλογιστικὰς εἶναι, ὅπως ἂν κατὰ ποιὸν ἔχωσιν, οὕτω καὶ ἐπὶ τούτων φημί, καὶ ἁπλῶς εἰπεῖν, οἷα εἶχον συμπεράσματα αἱ καθόλου συζυγίαι, τὰ αὐτὰ ταῦτα ἕξουσι καὶ αἱ ὁμοίως ἐκείναις κατὰ τὸ ποιὸν ἔχουσαι μερικαί. ἀτελεῖς δέ εἰσι καὶ αὗται πᾶσαι αἱ συζυγίαι ὥσπερ καὶ αἱ καθόλου αἱ ὁμοίως αὐταῖς ἔχουσαι, διότι οὐκ ἐκ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενὸς δείκνυνται ἀλλὰ δέονται τῆς ⟨διὰ⟩ τοῦ ἀδυνάτου δείξεως πᾶσαι· πλὴν οἱ μὲν διὰ τοῦ ἀδυνάτου δειχθήσονται, οἱ δὲ καὶ διὰ τῆς ἀντιστροφῆς· καὶ γὰρ οἱ δι᾽ ἀντιστροφῆς δεικνύμενοι δέονται καὶ τῆς δι᾽ ἀδυνάτου δείξεως. δείκνυνται οὖν διὰ μὲν τοῦ ἀδυνάτου μόνον οἱ ἔχοντες τὴν ἐλάττονα καταφατικήν, ὥσπερ καὶ ἐπὶ τῶν καθόλου. εἰ γὰρ τὸ Α παντὶ ἢ μηδενὶ τῷ Α ὑπάρχει, τὸ δὲ | Β τῷ Γ τινὶ ἐνδεχομένως, λέγω δή, ὅτι συνάγεται τὸ Α τινὶ ἢ οὐ παντὶ τῷ Γ ἐν- 85r
δέχεσθαι ὑπάρχειν, ἐπὶ μὲν τῆς ἐχούσης τὴν μείζονα ἀποφατικὴν τὸ μὴ παντί, ἐπὶ δὲ τῆς ἐχούσης αὐτὴν καταφατικὴν τὸ τινί. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθῆ τὰ ἀντιφατικῶς ἀντικείμενα, ἐπὶ μὲν τῆς καταφατικῆς τὸ ‘ἐξ ἀνάγκης οὐδενί’, ἐπὶ δὲ τῆς ἀποφατικῆς τὸ ‘παντί’. ἀλλ᾽ ἀμφοτέραις ἀδύνατόν τι ἀκολουθεῖ, ἐπὶ τῆς καταφατικῆς μέν, εἰ τὸ ⟨Α⟩ ἐξ ἀνάγκης μηδενὶ τῷ Γ κατὰ τὴν ὑπόθεσιν, τὸ δὲ Β τῷ Γ ὑπάρχει τινί· μεταληψόμεθα γὰρ πάλιν διὰ τὸ σαφὲς τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν· τὸ Α ἄρα οὐ παντὶ τῷ Β ὑπάρχει· ἦν δὲ καὶ παντί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ⟨τὸ Α τῷ Γ ἐξ ἀνάγκης μηδενί· ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ κατὰ πάντα ἀντικείμενον τὸ ‘ἐνδέχεται τὸ Α τῷ Γ⟩ τινί’, ὅπερ ἔδει δεῖξαι. ὁμοίως καὶ ἐπὶ τῆς ἀποφατικῆς ἔχει· λέγω γάρ, ὅτι συνάγει τὸ Α τῷ Γ ἐνδέχεσθαι μὴ παντὶ ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ κατὰ πάντα ἀντικείμενον τὸ ‘ἀνάγκη παντί’· ἐπεὶ οὖν τὸ Α τῷ Γ ἀνάγκη παντί, τὸ δὲ Β τῷ Γ ὑπάρχει τινί, τὸ Α τινὶ τῷ Β· ἦν δὲ καὶ μηδενί, ὅπερ ἀδύνατον· ψεῦδος ἄρα τὸ ‘ἀνάγκη παντὶ τῷ Γ τὸ Α’, ἀληθὲς δὲ τὸ ἐνδέχεσθαι μὴ παντί, ὅπερ ἔδει δεῖξαι. καὶ οὗτοι μὲν οἱ διὰ τοῦ ἀδυνάτου μόνου δεικνύμενοι, διὰ δὲ τοῦ ἀδυνάτου καὶ

---

2 ἡ addidi 7 γὰρ bis P 9 τινὶ Phil. f. 47v: om. P 11 περιπατητικῷ Phil.: περιπατητικῶς P 19 διὰ Phil.: om. P 28 ἀμφοτέροις Phil. 29 α Phil.: om. P 32 τὸ α . . . ἐνδέχεται (34) Phil. (τὸ α τῷ γ vs. 34 ipse addidi): om. P

τῆς ἀντιστροφῆς οἱ ἔχοντες τὴν ἐλάττονα ἀποφατικήν· ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος οὕτως ἡ δι' ἀδυνάτου γίνεται δεῖξις. ὥσπερ καὶ ἐπὶ τῶν πρότερον. σημειωτέον δέ, ὡς διαστήματα τὰς προτάσεις καλοῦμεν, ἐπειδὴ ἐξομοιῶσαι βουλόμεθα τὸ ἐν συλλογισμοῖς τοῖς κατὰ γεωμετρίαν. εἰκότως οὖν ὥσπερ αἱ προτάσεις σχήματα (ἔχουσαι) ταῖς γραμμαῖς διαστήματα καλοῦνται ὥσπερ αἱ γραμμαί. οὕτως καὶ οἱ συλλογισμοὶ ἀνάλογον τοῖς σχήμασιν ἔχοντες, διότι ὥσπερ ἐκεῖνα ἐκ γραμμῶν οὕτως καὶ οὗτοι ἐκ προτάσεων σύγκειν̄ται, σχήματα ἐκλήθησαν.

Ὅταν δὲ ἡ ἐλάττων πρότασις οὖσα μερικὴ ἀποφατικὴ ὑπάρχουσα ληφθῇ, οὔ φημι ἔσεσθαι συλλογισμόν, | καὶ εἰκότως· οὐκέτι γὰρ ἡ μερικὴ ὑπάρχουσα 86r
ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. δεικτέον δὲ αὐτήν, ὅτι ἀσυλλόγιστός ἐστι, διὰ τοῦ ἀορίστου. ὥσπερ καὶ ἐν τοῖς ἁπλοῖς συλλογισμοῖς ἐλέγομεν τοῖς ἔχουσι μερικὴν ἀποφατικήν, ὅτι δείκνυνται αἱ τοιαῦται ἀσυλλόγιστοι ἐκ τοῦ ἀόριστον ἔχειν τὴν μερικὴν ἀποφατικήν. ἐπειδὴ γὰρ ἀληθεύει ἢ δι' ἑαυτὴν ἢ διὰ τὴν καθόλου ἀποφατικήν, ὅταν μὲν δι' ἑαυτὴν ἀληθεύῃ, ὑποδύεται συλλογιστικὴν συζυγίαν τῷ δύνασθαι μεταλαμβάνεσθαι εἰς τὴν καταφατικήν, διότι, ὃ μὴ ὑπάρχει παντί, τοῦτο τινὶ ὑπάρχει· διὰ τοῦτο ἐκβλητέον αὐτὴν ὡς ἀόριστον. ὅταν δὲ λάβωμεν αὐτὴν διὰ τὴν καθόλου ἀληθεύουσαν, τότε προδήλως ἀσυλλόγιστος οὖσα ἐλέγχεται· συνάγει γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί. ἔστωσαν οὖν ὅροι τοῦ μὲν παντὶ κινούμενον, λευκόν, βαδίζον· κινούμενον παντὶ λευκῷ ἐνδέχεται ὑπάρχειν, λευκὸν ὑπαρχέτω μὴ παντὶ βαδίζοντι, καὶ συνάγεται κίνησις παντὶ βαδίζοντι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ κίνησις, λευκόν. ἔστω· κίνησις ἐνδεχομένως παντὶ λευκῷ. λευκὸν μὴ τινὶ βαδίζοντι ὑπαρχόντως, καὶ κίνησις οὐδενὶ ἐστῶτι ἐξ ἀνάγκης. λειπόμεναί εἰσι συζυγίαι αἱ ἔχουσαι τὴν μείζονα μερικὴν τὴν δὲ ἐλάττονα καθόλου. αἵτινες ἀσυλλόγιστοι πᾶσαί εἰσιν, ὅπως ἂν ἔχωσι τοῦ τε τρόπου καὶ τοῦ ποιοῦ. ὁμοίως δέ, κἂν μερικαὶ ἀμφότεραι ληφθῶσι, κἂν ἀμφότεραι ἀδιόριστοι ἢ ἡ μὲν μερικὴ ἡ δὲ ἀδιόριστος· καὶ αὗται γὰρ πάλιν, ὅπως ἂν ἔχωσι κατά τε τὸ ποιὸν καὶ τοὺς τρόπους, πᾶσαι ἀσυλλόγιστοί εἰσιν. ἀπόδειξις δὲ τοῦ ἀσυλλογίστους αὐτὰς εἶναι ἡ αὐτή, ἥπερ καὶ ἐπὶ τῶν ἄλλων ἀσυλλογίστων· αὕτη δέ ἐστιν ἡ παραδειγματική. εὑρίσκονται γὰρ ὅροι συνάγοντες καὶ τὸ παντὶ καὶ τὸ μηδενί· ἐφ' ὧν δὲ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνήγετο, αὗται ἀσυλλόγιστοι ἦσαν διὰ τὴν ἀοριστίαν. ἔστωσαν οὖν ὅροι πάντων κοινοὶ τοῦ μὲν παντὶ ἐπιστήμη, κινούμενον, γραμματική· ἐπιστήμη τινὶ κινουμένῳ ἐνδεχομένως ὑπάρχει ἢ μὴ ὑπάρχει, κίνησις παντὶ ἢ μηδενὶ γραμματικῷ ὑπαρχέτω, καὶ | συνάγεται ἐπι- 86v
στήμη παντὶ γραμματικῷ ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ ἐπιστήμη, κίνησις. ἵππος ἢ ἁπλῶς ἄλογον· ἐπιστήμη ἐνδεχομένως τινὶ κινουμένῳ ἢ μὴ παντί, κίνησις ὑπαρχέτω παντὶ ἢ μηδενὶ ἵππῳ, καὶ συνάγεται ἐπιστήμη ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Φανερὸν οὖν, ὅτι τῆς μείζονος προτάσεως καθόλου οὔσης ἀεὶ γίνεται συλλογισμός, ὅταν ἡ ἐλάττων καταφατικὴ εἴη. ζητητέον δέ, μή ποτε οἱ ὅροι

5 ἔχουσαι Phil.: om. P 6 ἐκεῖνα Phil.: ἐκεῖναι P 7 σύγκειν̄ται Phil.: σύγκειν (sic) P 13 τὴν ἀλήθειαν post ἀποφατ. add. Phil.; fort. post τὴν addendum 22 λευκῷ Phil. f. 48r: λευκόν P τοῦ P: παντὶ ut vs. 20 Phil. 26 ληφθῶσι Phil.: ἀδιόριστοι (aberrante librario ad alterum ἀμφότεραι) P 36 post ἄλογον add. ζῶον Phil. 37 μηδενὶ Phil.: μὴ P

οἱ ληφθέντες εἰς τὸ δεῖξαι τὴν συζυγίαν τὴν ἔχουσαν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν ὑπάρχουσαν τῆς μείζονος καθόλου οὔσης ἐνδεχομένης ἀποφατικῆς ἢ καταφατικῆς, ἐὰν οἱ αὐτοὶ ὅροι ληφθῶσι καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης οὔσης, δείξουσιν αὐτὴν ἀσυλλόγιστον· συνάξουσι γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐξ ἀνάγκης. λέγω γὰρ οὕτως· κίνησις παντὶ λευκῷ ἐνδεχομένως, λευκὸν τινὶ βαδίζοντι ὑπαρχόντως, καὶ συνάγεται κίνησις παντὶ βαδίζοντι ἐξ ἀνάγκης. καὶ τὸ οὐδενὶ οὕτως· κίνησις παντὶ λευκῷ ἐνδεχομένως, λευκὸν ὑπαρχέτω τινὶ ἐστῶτι. καὶ κίνησις οὐδενὶ ἐστῶτι ἐξ ἀνάγκης. ὁμοίως, κἂν ἐνδεχομένως ὑπάρχῃ ἡ μερική, τὰ αὐτὰ πάλιν συμβαίνει, ὥστε ἐκ τῶν ὅρων τούτων δειχθήσονται καὶ αὗται ἀσυλλόγιστοι. τί οὖν ἐροῦμεν; εἴπομεν ἤδη, ὅτι δεῖ τὴν μείζονα πρότασιν μὴ ὁρίζεσθαι χρόνῳ ὑπὸ τῆς ἐλάττονος· ὡρίζετο δὲ χρόνῳ, ὁπηνίκα ὑπερέτεινεν ὁ μέσος ὅρος τὸν μείζονα. εἰ γὰρ τὸ λευκόν, ὅπερ ἐστὶν ὁ μέσος ὅρος, κατηγορεῖται ἐπὶ τοῦ βαδίζοντος καὶ ἐπὶ τοῦ ἑστῶτος, τὸ δὲ κινούμενον, ὁ μείζων, ἐπὶ μόνου τοῦ βαδίζοντος κατηγορεῖται, οὐκέτι δὲ καὶ ἐπὶ τοῦ ἑστῶτος, δηλονότι ἐπὶ πλέον ἐστὶν ὁ μέσος ὅρος τοῦ μείζονος. εἰ δὲ τοῦτο, μερικὴ γίνεται ἡ μείζων πρότασις· μερικῆς δὲ αὐτῆς γινομένης ἀσυλλόγιστος ἡ συζυγία, ὥστε εἰκότως συνήγαγε καὶ τὸ παντὶ καὶ οὐδενὶ οὕτω καταφατικῆς οὔσης τῆς ἐλάττονος. εἰ μέντοι ἀποφατικὴ εἴη, οὐκέτι ὁρίζεται ὁ μείζων ὑπὸ τοῦ ἐλάττονος ὑπερτείνοντος τοῦ μέσου τὸν μείζονα· εἰ γὰρ καὶ ἐλέγομεν τὸ λευκὸν μηδενὶ ὑπάρχειν βαδίζοντι μηδὲ ἑστῶτι, 95r ἐπειδὴ ἀποφάσκεται αὐτῶν καὶ οὐ κατηγορεῖται, διὰ τοῦτο οὐκ ἔσται ἐπὶ πλεῖον τοῦ μείζονος. δῆλον οὖν, ὅτι ἡ ἔχουσα τὴν μερικὴν ἀποφατικὴν τὴν δὲ μείζονα καθόλου δι' αὐτὸ τοῦτο τὸ ἔχειν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν μόνον ἀσυλλόγιστός ἐστι καὶ οὐ διὰ τὸ ὁρίζεσθαι χρόνῳ τὴν μείζονα.

Μῖξις ἀναγκαίου καὶ ἐνδεχομένου.

Διαλεχθεὶς περὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος τῆς ἐν τῷ πρώτῳ σχήματι καὶ δείξας, ποῖαι μὲν αὐτῶν εἰσι συλλογιστικαί, ποῖαι δὲ ἀσυλλόγιστοι, νῦν τρέψομαι ἐπὶ τὴν μῖξιν τοῦ ⟨ἀναγκαίου καὶ τοῦ⟩ ἐνδεχομένου. ἰστέον γάρ, ὡς ἐπὶ τούτων γίνονται συλλογιστικαὶ συζυγίαι ὡσαύτως ἐχούσης τῆς τάξεως τῶν ὅρων, ὥσπερ εἶχε καὶ ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος· λέγω δὲ τῆς μὲν μείζονος ἀναγκαίας οὔσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιὸν ἀμφότεραι. κἂν γὰρ ἡ ἐλάττων ᾖ ἀποφατικὴ [ἢ], οὐδὲν ἧττον συλλογιστικὴ ἔσται ἡ συζυγία μεταλαμβανομένης αὐτῆς εἰς καταφατικὴν διὰ τὸ ἐνδεχομένην εἶναι. ἐὰν δὲ ἡ μείζων ἐνδεχομένη ᾖ ἡ δὲ ἐλάττων ἀναγκαία, τῆς μείζονος ὁμοίως τὸ ποιὸν ἐστιν ἀδιάφορον, τῆς δὲ ἐλάττονος οὐκέτι, ἀλλὰ μόνον δεῖ αὐτὴν καταφατικὴν εἶναι, ἵνα γένηται συλλογιστική. ὥσπερ δὲ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος

---

10 11 ἤδη ὅτι transposui: ὅτι ἤδη P 12 post μείζονα add. κἀνταῦθα τοίνυν ὑπερέτεινεν ὁ μέσος ὅρος τὸν μείζονα (homoeotel.!) Phil. 18 τὸ οὐδενὶ Phil. 19 ὑπερτείνοντος Phil.: ὑποτείνοντος P τὸν Phil.: τὴν P 24 μόνον Phil. f. 48v: μόνην P 28 ἀναγκαίου καὶ τοῦ Phil.: om. P 33 ἢ alterum om. Phil.

καὶ τοῦ ἐνδεχομένου διάφορα ἐγίνετο τὰ συμπεράσματα καὶ ποτὲ μὲν τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ποτὲ δὲ ἄλλου τινός, οὕτως καὶ ἐπὶ τούτων. ἐὰν μὲν γὰρ ὦσιν ἀμφότεραι καταφατικαὶ ἢ ἡ μείζων ἐνδεχομένη ἀποφατική, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα· ὅταν δὲ ἡ μείζων ἀποφατικὴ ἀναγκαία, οὐκέτι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα ἀλλὰ τοῦ συντρέχοντος τῷ ὑπάρχοντι. τέλειοι δὲ γίνονται συλλογισμοὶ ἐπὶ ταύτης τῆς μίξεως οἱ ἔχοντες τὴν ἀναγκαίαν καταφατικὴν οὖσαν ἐν τῇ ἐλάττονι τὴν δὲ μείζονα ἀπο|φατικὴν ἢ καταφατικὴν ἐνδεχομένην. ὁμοίως 95v
δὲ ἔχουσι καὶ αἱ μερικαὶ ἐπί τε τῶν συμπερασμάτων καὶ ἐπὶ τῶν τελείων. ὡς
10 εἶχον καὶ αἱ καθόλου συζυγίαι. τὸ δὲ ἐνδέχεσθαι ἐν τῷ συμπεράσματι ἐνταῦθα λαμβάνειν δεῖ οὐ κατὰ τὸν διορισμὸν ἀλλ' ὥσπερ τὸ πρὶν ἐλαμβάνομεν. τὸ συντρέχον ἄλλῳ τινί, τουτέστι τῷ ὑπάρχοντι· κατηγορεῖται γὰρ καὶ κατὰ τοῦ ὑπάρχοντος τὸ ἁπλῶς ἐνδεχόμενον. τοῦ ⟨δ'⟩ ἐξ ἀνάγκης μὴ ὑπάρχειν κατ' οὐδένα τρόπον γίνεται συλλογισμός· εἰ δὲ τοῦτο, οὐδαμῶς ἄρα τοῦ ἀναγ-
15 καίου ἔσται συλλογισμός. ἕτερον γάρ ἐστι τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν· τὸ μὲν γὰρ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ⟨τὸ μηδαμῇ μηδαμῶς ὑπάρχον⟩ σημαίνει, ὅπερ φημὶ ἐνταῦθα μὴ συνάγεσθαι· τὸ δὲ μὴ ἐξ ἀνάγκης ὑπάρχειν τὸ ὑπάρχον μὲν οὐκ ἀναγκαίως δὲ ἀλλ' ἐνδεχομένως ἀποφασκόμενον.

20 Ἐπεὶ δὲ ἱκανῶς ἡμῖν περὶ τούτων εἴρηται, ἐντεῦθεν λοιπὸν ἐκθετέον τὰς συζυγίας τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου, καὶ δεικτέον, ὅτι ἐπ' οὐδεμιᾶς τούτων ἀναγκαῖον συνάγεται συμπέρασμα ἀλλ' ἐκεῖνο, ὅπερ προλαβὼν εἴρηκα. πρῶτον δὲ ἐκθετέον τὰς ἐκ δύο καθόλου καταφατικῶν συζυγίας, τῆς μὲν μείζονος ἀναγκαίας τῆς δὲ ἐλάττονος ἐνδεχομένης. ἐνδεχόμενον γὰρ κα-
25 θόλου καταφατικὸν συνάγεται συμπέρασμα. ἔστω γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχομένως· λέγομεν, ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται παντί', ὅπερ ταὐτόν ἐστι τῷ 'ἀνάγκη μὴ παντί'. ἐπεὶ οὖν τὸ Α τῷ μὲν Β ἐξ ἀνάγκης ὑπάρχει, τῷ δὲ Γ οὐ παντί, γίνεται τὸ δεύτερον
30 σχῆμα ἐξ ἀμφοτέρων ἀναγκαίων καὶ συνάγει τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐ παντί· ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ Α τῷ Γ μὴ ἐνδέχεσθαι παντί· οὐκοῦν ψεῦδος τοῦτο, ἀληθὲς δὲ τὸ ἀντικείμενον ἀντιφατικῶς τὸ ἐνδέχεσθαι παντί, ὅπερ 96r
ἔδει δεῖξαι. φανερὸν δὲ καὶ ὅτι ἀτελὴς ὁ συλλογισμὸς οὗτός ἐστιν, εἴ γε διὰ
5 τοῦ ἀδυνάτου δέδεικται, καὶ ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγει, εἴ γε τῷ 'ἀνάγκη μὴ παντί' ὑποτεθέντι τὸ ἀδύνατον ἠκολούθησε. πάλιν ἡ δευτέρα συζυγία ἡ ἐκ δύο καθόλου καταφατικῶν ἡ τὴν ἐλάττονα ἀναγκαίαν ἔχουσα τὸ ἐνδεχόμενον πρὸς τῇ μείζονι τὸ ἐνδέχεσθαι καὶ αὐτὴ συνάγει διὰ τῆς ἐπ' εὐθείας δείξεως· διὸ καὶ τέλειος ὁ συλλογισμός. ἐπειδὴ γὰρ τὸ Α παντὶ ἐν-
40 δεχομένως τῷ Β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· ⟨ἐν δὲ⟩

9 δὲ P et Phil.: conicio δὴ 13 δ' ex Arist. addidi 16. 17 τὸ μηδαμῇ μηδαμῶς ὑπάρχον Phil. f. 49r: om. P 33 ἀντιφατικῶς Phil.: ἀποφατικῶς P 38 αὐτὴ scripsi: αὕτη P 40 ἐν δὲ Phil.: om. P (cf. 48,4)

τῶν μερῶν τοῦ Β ἐστὶ τὸ Γ· τὸ Α ἄρα παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. ἐν τούτῳ δὲ τῷ συμπεράσματι τὸ κατὰ τὸν διορισμὸν συνάγεται ἐνδεχόμενον.

Εἰ δὲ μὴ ὁμοιοσχήμονες εἶεν αἱ προτάσεις, ἀλλ' ἡ μὲν ἀποφατικὴ οἷον ἡ μείζων, ἡ δὲ καταφατική, καθόλου δὲ ἄμφω, ὅταν ἡ μείζων ἀναγκαία ᾖ, καθόλου ἀποφατικὸν ὑπάρχον συνάγεται. ἔστω γὰρ τὸ Α οὐδενὶ ἐξ ἀνάγκης τῷ Β, τὸ δὲ Β ἐνδεχομένως παντὶ τῷ Γ· λέγω, ὅτι τὸ Α οὐδενὶ ὑπαρχόντως τῷ Γ. εἰ γὰρ τοῦτο ψεῦδος, ἔστω τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ ὑπάρχειν τινὶ ἢ τὸ ἐναντίον τῷ οὐδενὶ τὸ ὑπάρχειν παντί. ἐπεὶ οὖν τὸ μὲν Α ἐξ ἀνάγκης οὐδενὶ τῷ Β, οὐδὲ τὸ Β οὐδενὶ τῷ Α ἐξ ἀνάγκης ὑπάρχει· ἀλλὰ μὴν καὶ τὸ Α παντὶ ἢ τινὶ τῷ Γ ὑπάρχει μόνον· καὶ συνάγεται τὸ Β τῷ Γ ἢ οὐδενὶ ἢ οὐ παντὶ ἐξ ἀνάγκης· ὑπέκειτο δὲ καὶ παντὶ ⟨ἐνδέχεσθαι⟩, ὅπερ ἀδύνατον. ἰστέον δέ, ὅτι οὐ μόνον, ἐὰν τὸ Α τῷ Γ ὑπάρχειν παντὶ ὑποθώμεθα, ἀδύνατον ἀκολουθεῖ, [ἀλλὰ καὶ ἐὰν τὸ αὐτὸ τῷ αὐτῷ ἐξ ἀνάγκης τινὶ ἢ παντὶ ὑποθώμεθα, ἀδύνατον ἀκολουθεῖ] ἀλλὰ καὶ ἐὰν τὸ αὐτὸ τῷ αὐτῷ ἐξ ἀνάγκης τινὶ ἢ παντὶ ὑποτεθῇ, οὐδὲν ἧττον ἕψεται τὸ ἀδύνατον. ἔστω γὰρ τῶν αὐτῶν ὅρων ὄντων τὸ Α τῷ Γ ἀνάγκη παντὶ ἢ τινὶ ὑπάρχειν· ἐπεὶ οὖν 'τὸ Α τῷ Β μηδενὶ ἀνάγκη' ὑπόκειται, καὶ τὸ Β τῷ Α ἐξ ἀνάγκης | οὐδενὶ ὑπάρχει· τὸ 96v
δὲ Α τῷ Γ ἀνάγκη παντὶ ἢ τινὶ ὑπετέθη· γίνεται τὸ πρῶτον σχῆμα καὶ συνάγεται 'τὸ Β τῷ Γ ἀνάγκη μηδενὶ ἢ μὴ παντί'· ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι παντί, ὅπερ ἀδύνατον. ἔτι δέ, κἂν ὑποτεθῇ τὸ 'ἐνδέχεται παντὶ τῷ Γ τὸ Α ὑπάρχειν', καὶ οὕτως ἀδύνατον ἀκολουθεῖ. ὑποκείσθω γὰρ τὸ Α τῷ Γ παντὶ ἐνδέχεσθαι· ἐπεὶ οὖν ὑπέκειτο καὶ τὸ Β παντὶ τῷ Γ ἐνδέχεσθαι, καὶ τὸ Γ ἄρα τινὶ τῷ Β ἐνδέχεται ὑπάρχειν· ἀντιστρέφει γὰρ οὕτως. εἰ τοίνυν τὸ μὲν Α παντὶ τῷ Γ ἐνδεχομένως τὸ δὲ Γ τινὶ τῷ Β ἐνδεχομένως, τὸ Α ἄρα τινὶ τῷ Β ἐνδέχοιτο ἂν ὑπάρχειν· γίνεται γὰρ τὸ πρῶτον σχῆμα· ὑπέκειτο δὲ ἐξ ἀνάγκης μηδενὶ τῷ Β τὸ Α, ὅπερ ἀδύνατον. εἰ τοίνυν καὶ τούτοις ὑποτεθεῖσι τὸ ἀδύνατον ἠκολούθησεν, ἔσται τὰ ἀντικείμενα τούτοις ἀληθῆ, καὶ συμβήσεται μὴ μόνον τὸ ὑπάρχειν μηδενὶ συνάγεσθαι ἀλλὰ καὶ τὸ 'οὐκ ἀνάγκη παντί' ἢ 'οὐκ ἀνάγκη τινί' καὶ τὸ 'οὐκ ἐνδέχεται παντί'. τί οὖν ἔστιν εἰπεῖν πρὸς ταῦτα; ὅπερ καὶ ἄλλοτε ἐν τοῖς ἔμπροσθεν εἶπον, ὅτι τὸ ἀδύνατον τούτοις ἠκολούθησε πᾶσιν οὐ διὰ τοὺς τρόπους ἀλλὰ διὰ τὸ ποιόν, ἐπειδὴ τῷ ὑπάρχειν οὐδενὶ ὑποτεθέντι τὸ ἀντικείμενόν ἐστι τὸ καταφατικὸν ἢ τὸ ἀντιφατικῶς τὸ μερικὸν ἢ τὸ ἐναντίως τὸ καθόλου. ἐν πάσαις οὖν ταῖς ὑποθέσεσι τὸ αὐτὸ καταφατικὸν ληφθὲν εἰκότως τὸ αὐτὸ συνήγαγεν ἀδύνατον. φανερὸν δέ, ὅτι καὶ τὸ ὑπάρχειν οὐδενὶ συνάγεται· πρόδηλον, ὅτι καὶ τὸ ἐνδέχεσθαι μηδενί, ἀλλ' ἐνδεχόμενον οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ ἁπλῶς ἐνδεχόμενον τὸ κατηγορούμενον καὶ κατὰ τοῦ ὑπάρχοντος.

Πάλιν ἔστω ἡ μείζων πρότασις ἐνδεχομένη ἀποφατική, ἡ δὲ ἐλάττων ἀναγκαία καταφατική· φημὶ οὖν ἐνδεχόμενον καθόλου ἀποφατικὸν συνάγεσθαι συμπέρασμα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου καὶ οὐ τοῦ κατὰ τοῦ ὑπάρ-

---

11 ἐνδέχεσθαι Phil.: om. P (cf. vs. 20) 13. 14 uncinis inclusa delevi (cf. 32,23—5, 38,3.4); Phil. f. 49v cum vs. 15. 16 consentit 18 ὑπετέθη Phil.: ὑποτεθῇ ut vs. 15 P 35 post ὅτι prius habet εἰ Phil.

γοντος καταχρωμένου. τοῦτο δὲ δείκνυται οὐ τῇ | εἰς ἀδύνατον ἀπαγωγῇ 97r
ἀλλὰ τῇ δι' εὐθείας δείξει διὰ μόνου τοῦ κατὰ μηδενός· διὸ καὶ τέλειός ἐστι
συλλογισμός. ἐπεὶ γὰρ τὸ Α οὐδενὶ τῷ Β ἐνδέχεται, πάντων ἄρα τῶν μερῶν
αὐτοῦ κεχώρισται ἐνδεχομένως· ἓν δὲ τῶν μερῶν τοῦ Β τὸ Γ ἐστί· παντὶ
γὰρ τῷ Γ τὸ Β ἐξ ἀνάγκης ὑπάρχει· τὸ ἄρα Α οὐδενὶ τῶν Γ ἐνδεχομένως
ὑπάρχει. ὅτι δὲ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου γίνεται τὸ συμπέρασμα,
δῆλον· ἥ τε γὰρ μείζων πρότασις οὕτως ἐλήφθη· ἐνδεχομένη γάρ· ἐρρέθη
δὲ ἡμῖν, ὅτι τῆς μείζονος οὔσης ἐνδεχομένης τέλειοι οἱ συλλογισμοὶ καὶ τοῦ
κατὰ τὸν διορισμὸν ἐνδεχομένου. καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὐκ
ἔστι δεῖξαι τοῦ ὑπάρχειν γινόμενον τὸ συμπέρασμα, ὡς ἐπὶ τῆς πρὸ αὐτῆς
συζυγίας ἐποιήσαμεν. εἰ γὰρ ὡς ἐπ' ἐκείνης καὶ ⟨ἐπὶ⟩ ταύτης λαβόντες τὸ Α
τῷ Γ μηδενὶ ὑπάρχειν τὸ ἀντικείμενον αὐτοῦ τὸ τινὶ ὑπάρχειν ἢ καὶ τὸ παντὶ
ὑποθοίμεθα θέλοντες δεῖξαι τοῦ μηδενὶ ὑπάρχειν γινόμενον τὸ συμπέρασμα
ἀλλ' οὐ τοῦ ἐνδέχεσθαι μηδενί, εἶτα κειμένῃ ταύτῃ προσλάβοιμεν τὸ Α τῷ Β
ἐνδέχεσθαι μηδενί. ἀσυλλόγιστος ἡ συζυγία γίνεται οὖσα ἐν δευτέρῳ σχήματι ἐκ
καταφατικῆς ὑπαρχούσης ἐπὶ μέρους καὶ καθόλου ἀποφατικῆς ἐνδεχομένης τῷ
τὸ ἐνδεχόμενον ἴσον εἶναι καταφατικῇ. ἔνεστι δὲ δεῖξαι καὶ διὰ τῆς εἰς ἀδύ-
νατον ἀπαγωγῆς. ὑποκείσθω γὰρ τὸ μὲν Α μηδενὶ τῷ Β ἐνδεχομένως, τὸ
δὲ Β παντὶ τῷ Γ ἀναγκαίως· λέγω, ὅτι οὐ δυνατὸν δεῖξαι τῇ εἰς ἀδύνατον
ἀπαγωγῇ τὸ Α μηδενὶ ὑπαρχόντως τῷ Γ. ὑποκείσθω γὰρ τὸ ἀντικείμενον
ἀντιφατικῶς τῷ ὑπάρχειν μηδενὶ τὸ ὑπάρχειν παντί, ἵνα, ἐὰν τούτῳ ἀκολου-
θήσῃ τὸ ἀδύνατον, εἴπωμεν τὸ μηδενὶ ὑπάρχειν εἶναι τὸ συναγόμενον. ἐπεὶ
οὖν τὸ Β τῷ Γ ἀνάγκη παντὶ ὑπάρχειν, καὶ τὸ Γ τῷ Β τινὶ ἐξ ἀνάγκης
ὑπάρξει. εἰ τοίνυν τὸ Α παντὶ τῷ Γ, ὡς ἡ ὑπόθεσις, τὸ δὲ Γ τινὶ τῷ Β
ἐξ ἀνάγκης, γίνεται τὸ πρῶτον σχῆμα τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ
ἀναγκαίου. τὸ ἄρα Α | τινὶ τῷ Β ὑπάρξει· ὑπέκειτο δὲ καὶ οὐδενὶ ἐνδέχεσθαι, 97v
ὅπερ οὐκ ἀδύνατον· οὐκ ἄρα οὐδὲ διὰ τοῦ ἀδυνάτου δείκνυται τὸ ὑπάρχειν
μηδενὶ συναγόμενον.

Ἐὰν δὲ ἡ ἐλάττων ἀποφατικὴ εἴη, ὅταν μὲν ἐνδεχομένη ᾖ, τῆς μείζονος
δηλονότι ἀναγκαίας οὔσης καὶ διαφορούσης κατὰ τὸ ποιὸν γίνεται συλλογισμὸς
μεταλαμβανομένης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. τὰ δὲ
συμπεράσματα τοιαῦτα ἔσται, οἷα καὶ πρότερον ἦσαν ἐν ταῖς τοιαύταις συζυ-
γίαις. τῆς γὰρ ἐλάττονος ἐνδεχομένης ἀποφατικῆς τῆς δὲ μείζονος ἀναγκαίας
ἢ ἀποφατικῆς ἢ καταφατικῆς, μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς
καταφατικὴν αἱ αὐταὶ δηλονότι πάλιν συζυγίαι γίνονται· ὥστε καὶ τὰ αὐτὰ
συμπεράσματα καὶ οἱ αὐτοὶ τρόποι τῶν δείξεων ταῖς προτέραις, λέγω δὴ ταῖς
ἔχούσαις τὴν μείζονα ἀναγκαίαν ἢ καταφατικὴν ἢ ἀποφατικὴν τὴν δὲ ἐλάττονα
ἐνδεχομένην καταφατικήν. ἐὰν δὲ μὴ ἐνδέχεσθαι, τουτέστιν, ἐὰν δὲ ἀναγκαία
ἡ ἀποφατικὴ ἡ ἐλάττων, οὐ ποιεῖ συλλογισμόν· ἀπόλλυσι γὰρ τοῦ πρώτου

2 δι' (ἐπ' Phil.) εὐθείας scripsi cf. 42,14: δι' εὐθεῖαν P 6 ὅτι δὲ . . . καταφατικῇ (17) Al. 210,3—20 11 ἐπὶ Al. 210,14: om. P 16 καὶ Al. 210,20: om. P 17 καταφατικῷ Al. ἔνεστι . . . τὸ συμπέρασμα (50,3) Phil. f. 49v—51r 26 ἐνδέχεσθαι Phil. 29 εἴη P: ᾖ Phil. f. 50r 36 ταῖς προτέραις, λέγω δὴ Phil.: τοῖς προτέροις λόγοις καὶ P 38 καταφατικήν scripsi: ἀποφατικήν P et Phil. μὴ ἐνδέχεσθαι] scil. σημαίνῃ Arist. p. 36a26

σχήματος τὸ ἴδιον μὴ ἔχουσα τὴν ἐλάττονα καταφατικήν· οὐκέτι γὰρ μεταλαβεῖν τὴν ἀποφατικὴν ἀναγκαίαν εἰς καταφατικὴν οἷόν τε. οὐδ' ὅταν ἀμφότεραι αἱ προτάσεις ἀποφατικαὶ ὦσι, μὴ ᾖ δὲ ἡ ἐλάττων ἐνδεχομένη ἀλλ' ἀναγκαία. ὅροι δὲ οἱ αὐτοί, οἳ καὶ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου, τοῦ μὲν παντὶ λευκὸν μηδενὶ ἵππῳ, ἵππος οὐδενὶ κύκνῳ, καὶ λευκὸν παντὶ κύκνῳ, τοῦ δὲ μηδενί, εἰ ἀντὶ κύκνου κόρακα ληψόμεθα· λευκὸν γὰρ ἐνδεχομένως οὐδενὶ ἵππῳ, ἵππος οὐδενὶ κόρακι ἐξ ἀνάγκης, καὶ λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης.

Τὸν αὐτὸν δὲ τρόπον ἔσται καὶ ἐπὶ τῶν τὴν ἑτέραν μερικὴν ἐχουσῶν, δηλονότι τὴν ἐλάττονα, ὅνπερ ὅτε ἀμφότεραι καθολικαὶ ἦσαν· κατά τε γὰρ τὰ συμπεράσματα ὡσαύτως ἔχουσι καὶ τοὺς τρόπους τῶν δείξεων, καὶ μόνῳ τῷ καθόλου καὶ τῷ μερικῷ ἐκείνων διαλλάττουσιν. ἐκθετέον δὲ πρότερον τὰς ἀνομοιοσχήμονας συζυγίας πρώτας, ἐφ' ὧν καὶ ἡ διαφορὰ τῶν συμπερασμάτων 98ᵃ ἐγίνετο (αἱ μὲν γὰρ τὸ ἐνδεχόμενον συνῆγον, αἱ δὲ τὸ ὑπάρχον), ἵνα κατὰ συνέχειαν πληρώσωμεν τὸν περὶ τῶν ἀνομοιοσχημόνων λόγον. πρώτας δὲ ἐκθετέον τὰς τὸ ὑπάρχον συναγούσας. ὅταν οὖν ἡ μείζων ἀναγκαία ᾖ ἀποφατικὴ καθόλου ἡ δὲ ἐλάττων μερικὴ καταφατικὴ ἐνδεχομένη, τὸ συμπέρασμα ὑπάρχον ἔσται καὶ οὐ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, ὡς δέδεικται καὶ ἐπὶ τῶν καθόλου συζυγιῶν. ἔστω γὰρ τὸ μὲν Α ἐξ ἀνάγκης μηδενὶ τῷ Β ὑπάρχειν, τὸ δὲ Β τινὶ τῷ Γ ἐνδεχομένως ὑπάρχειν· λέγω, ὅτι τὸ Α τινὶ τῷ Γ οὐχ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ὑπάρχειν παντί. ἐπεὶ οὖν τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐδενί, καὶ τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενί· εἰ τοίνυν τὸ Β τῷ Α ἐξ ἀνάγκης οὐδενί, τὸ δὲ Α τῷ Γ ὑπάρχει παντί, ὡς ἡ ὑπόθεσις, γίνεται ἄρα τὸ πρῶτον σχῆμα τῆς μίξεως τοῦ ὑπάρχοντος (καὶ) ἀναγκαίου· ἐπὶ δὲ τῆς τοιαύτης μίξεως τῇ μείζονι καθ' ἡμᾶς τῶν προτάσεων ἠκολούθησε τὸ συμπέρασμα· τὸ ἄρα Β οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχει· ὑπέκειτο δὲ καὶ τινὶ ἐνδέχεσθαι ὑπάρχειν, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ Α τῷ Γ παντὶ ὑπάρχειν· ψεῦδος ἄρα τοῦτο· οὐκοῦν ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ παντὶ ὑπάρχειν, ὅπερ δεῖξαι προὔκειτο. ὁμοίως δέ, κἂν τὴν ἐλάττονα ἐνδεχομένην μερικὴν ἀποφατικὴν ὑποθώμεθα, ἵνα ὁμοιοσχήμων γένηται ἡ συζυγία ἐξ ἀμφοτέρων ἀποφατικῶν, τὸ αὐτὸ πάλιν * * * *.

* * * τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης τὸ μὴ ὑπάρχειν συνήγετο συμπέρασμα καὶ τὸ μὴ ἐνδέχεσθαι ὑπάρχειν τὸ κατὰ τοῦ ὑπάρχοντος δηλονότι κατηγορούμενον. [ἀπορία.] ἐπιζητήσαι δ' ἄν τις, πῶς ἐνδεχόμενον ἦν τὸ συμπέρασμα ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου, ἡνίκα ἡ μείζων ἀποφατικὴ ἦν ὑπάρχουσα ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη· καίτοι ἀνωτέρω ἔλεγον, ὅτι ἐπὶ τῆς τοιαύτης μίξεως κατὰ ταύτην τὴν συζυγίαν οὐ συνάγεται τὸ ἐνδεχόμενον ἀλλὰ τὸ μηδενὶ ἐξ ἀνάγκης. [λύσις.] λέγομεν | οὖν, ὅπερ κακεῖ 98ᵃ εἰρήκαμεν, ὅτι τὸ οὐδενὶ ἐξ ἀνάγκης περιεκτικόν ἐστι καὶ τοῦ ἐνδεχομένου

1 ἔχουσα Phil.: ἔχοντος P 5. 6 habet Phil., quae desideras, ἐνδέχεται (post λευκὸν) et ἐξ ἀνάγκης (post κύκνῳ et vs. 6 ante παντί); at cf. 56,36.37 22 τῷ β Phil.: τῶ γ P 25 καὶ Phil.: om. P 30 κἂν Phil.: καὶ P 32 deest γίνεται συμπέρασμα et huius mistionis finis (Phil. f. 50ᵛ—51ᵛ) 35 ἀπορία et 39 λύσις ut ex margine illata delevi 38 συνάγεται Phil.: συνάγεσθαι P

καὶ τοῦ ἀναγκαίου. ἐπειδὴ οὖν τὸ οὐδενὶ ἐξ ἀνάγκης κατά τί ἐστιν ἐνδεχόμενον, εἰ καὶ μὴ τὸ κατὰ τὸν διορισμόν, διὰ τοῦτό φημι, ὅτι τοῦ ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα. δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσιν οἱ συλλογισμοί, ἐν οἷς ἡ ἐλάττων ἐνδεχομένη τῆς μείζονος ὑπαρχούσης οὔσης ἢ ἀναγκαίας· διὰ γὰρ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ τῆς μεταλήψεως δείκνυνται ὄντες συνακτικοί, ἥτις ⟨εἰς⟩ ἀδύνατον ἀπαγωγὴ γίνεται διά τινος τῶν κειμένων σχημάτων.

Σχῆμα δεύτερον.

Ἐπεὶ δ' εἴρηται ἡμῖν περὶ πασῶν τῶν ἐν τῷ πρώτῳ μίξεων, μεταβατέον ἐπὶ τὸ δεύτερον σχῆμα. ἰστέον, ὡς ἐν τούτῳ τῷ σχήματι ἐκ δύο ἐνδεχομένων οὐ γίνεται συλλογισμὸς οὔτε καταφατικῶν οὔτε ἀποφατικῶν οὐσῶν, οὔτε ἂν ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, οὔτ' ἂν ἀμφότεραι καθόλου ὦσιν, οὔτε ἂν ἡ μὲν ἑτέρα ἐπὶ μέρους. τὸ δ' αἴτιον, ὅτι ἐν δευτέρῳ σχήματι ἐδείχθη ἀδύνατον ἐκ δύο καταφατικῶν προτάσεων γίνεσθαι συλλογισμόν. διὸ οὐδ' ἐξ ἀμφοτέρων ἐνδεχομένων· κἂν γὰρ ἀποφατικαὶ ληφθῶσι, τῷ ἀντιστρέφειν ταῖς ἀποφατικαῖς τὰς καταφατικὰς ἐνδεχομένας ἴσον δυνήσονται ταῖς καταφατικαῖς. ὅταν δὲ ἡ μὲν ὑπάρχουσά ἐστιν ἡ δὲ ἐνδεχομένη, ὅταν ἡ καταφατικὴ πρότασις ὑπάρχουσά ἐστιν, οὐδέποτε ἔσται συλλογισμός· κἂν γὰρ ἡ ἀποφατικὴ ᾖ ἐνδεχομένη, διὰ τὸ πάλιν μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν εἰς καταφατικὴν καὶ ὁμοιοσχήμονας γίνεσθαι τὰς προτάσεις ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι. ὅσαι δὲ ἀποφατικὴν τὴν ὑπάρχουσαν ἔχουσι, τῆς ἐνδεχομένης ὡς ἔτυχεν ἐχούσης, εἴτε ἀποφατικῶς εἴτε καταφατικῶς, πάντως γίνεται συλλογιστικὴ ἡ συζυγία· μένει γὰρ ἡ συζυγία τηνικαῦτα ἀνομοιοσχήμονας ἔχουσα τὰς προτάσεις διὰ τὸ [εἰς] ἀποφατικὴν εἶναι τὴν ὑπάρχουσαν, καταφατικὴν δὲ τὴν ἐνδεχομένην, κατὰ δὲ τὸ ἡμῖν δοκοῦντα, κἂν ἀποφατικὴ ᾖ ἡ ἐνδεχομένη, δύνασθαι ταύτην εἰς καταφατικὴν μεταληφθῆναι καὶ ποιεῖν ἀνομοιοσχήμονα τὴν συζυγίαν. δεῖ δὲ τὴν ἀποφατικὴν ὑπάρχουσαν καθόλου εἶναι διὰ τὸ ἀντιστρέφειν δύνασθαι πρὸς ἑαυτήν· εἰ γὰρ μερικὴ εἴη, οὐ ποιήσει συλλογισμόν.

Ὅσα δὲ | ἐπὶ τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου εἴρηται, τὰ αὐτὰ καὶ ὅταν 99r
ἡ μὲν ἐνδεχομένη τῶν προτάσεων ἡ δὲ ἀναγκαία. τὰ δὲ συναγόμενα συμπεράσματα ἐν τούτῳ τῷ σχήματι ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον καὶ τῆς μίξεως τοῦ ἐνδεχομένου πρὸς τὸ ἀναγκαῖον ⟨ἐνδεχόμενα ὄντα τοιούτου ἐνδεχομένου δεῖ λαμβάνειν ὄντα, οἵου ἦν καὶ τὸ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου⟩ πρὸς τοὺς αὐτοὺς δύο τρόπους, δηλονότι τῶν συζυγιῶν ὁμοίως ἐχουσῶν ἐκείνοις τῶν ἐνταῦθα. οἷον ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος, τῆς μείζονος οὔσης ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς, ὥσπερ καὶ ἐπὶ τοῦ πρώτου σχήματος τοῦ οὐδενὶ ἐξ ἀνάγκης δεῖ λαβεῖν τὸ

2 μὴ τὸ κατὰ Phil. f. 51r: τὸ μηδὲ P 6 εἰς ἀδύνατον . . . καταφατικαῖς (15) Al. 217,28—218,7 εἰς ἀδύνατον Al.: ἀδύνατος P 8 μίξεων Al. 217,32: μειζόνων P 14 τῷ Al. 218,6: τὸ P 15 ἀποφατικαῖς τὰς καταφατικὰς Al. 218,6: ἀντιφατικαῖς τὰς ἀποφατικὰς P 16 ὅταν δὲ . . . ἐν δευτέρῳ (51,4) Phil. f. 51v—52r 20 ἀποφατικὴν scripsi: ἀποφατικαὶ P et Phil. 21 ἀποφατικῶς . . καταφατικῶς Phil.: ἀποφατικῆς . . καταφατικῆς P 23 εἰς delevi 27 ποιήσει scripsi: ποιήσεις P (ποιεῖ Phil.) 31 πρὸς τὸ ἀναγκαῖον, quod post δηλονότι (34) habet P, transposui ἐνδεχόμενα . . . ἐνδεχομένου (32. 33) Phil.: om. P

συναγόμενον, ὅπερ ἐστὶ τὸ ἥμισυ τοῦ ἐνδεχομένου. ἐπὶ δὲ τῆς μέσεως τοῦ ἐνδεχομένου καὶ ἀναγκαίου ὁμοίως ἐχούσης πάλιν τῆς συζυγίας τὸ ἐνδεχόμενον μηδενὶ τὸ τοῦ μὴ ὑπάρχοντος κατηγορούμενον. καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν, ὥσπερ εἶχον αἱ τοῦ πρώτου σχήματος κατὰ τὰ συμπεράσματα, οὕτως ἔχουσι καὶ ἐν δευτέρῳ.

5 Ἐπεὶ δέ, ὅτε τῶν κατὰ τὰς προτάσεις ἀντιστροφῶν ἐποιούμεθα τὸν λόγον δεικνύντες, τίνες τίσιν ἀντιστρέφουσι, μὴ ἀντιστρέφειν μὲν ἑαυτῇ τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην εἴπομεν, ὑπερεθέμεθα μέντοι τὴν αἰτίαν ἀποδώσειν. ὕστερον εἰπόντες ταύτην ἀποδώσειν, νῦν ἤδη δεικτέον, ὅτε καὶ ὁ καιρὸς ἀπαιτεῖ, τῷ τὰς ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συζυγίας συλλογιστικὰς ἀν-
10 τιστροφῶν προσδεῖσθαι. πρῶτον μὲν οὖν ἐπ᾽ αὐτῶν τῶν προτάσεων καὶ τῶν καθόλου λόγων γυμνάσομεν τὸν λόγον, ὅτι τοῦτο ἀδύνατον τὸ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικήν. ἔπειτα διὰ τῆς τῶν ὅρων παραθέσεως (παραδειγματικὴ δὲ ἡ τοιαύτη πίστις), καὶ τρίτον, ὅτι οὐδ᾽, ὡς ἄν τις ὑπολάβοι, οὐδὲ διὰ τῆς ⟨εἰς⟩ ἀδύνατον δείξεως δυνατὸν πιστώσασθαι, ὅτι πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ τοῦ
15 καθόλου ἐνδεχομένου ἀποφατική. πρῶτον οὖν δι᾽ αὐτῶν τῶν προτάσεων δείκνυμι οὕτως τῇ εἰς ἀδύνατον ἀπαγωγῇ προσχρώμενος. οὐκ ἐπειδὴ τὸ Α τῶν Β ἐνδέχεται μηδενί, δυνατὸν ἀντιστρέψαντας εἰπεῖν, ὅτι καὶ τὸ Β ἐνδέχεται μηδενὶ τῶν Α. εἰ γὰρ δυνατόν, ὑποκείσθω ἀντιστρέφειν καὶ τὸ Α μηδενὶ τῶν Β ἐνδέχεσθαι καὶ τὸ | Β μηδενὶ τῶν Α ἐνδέχεσθαι. εἰ τοίνυν μηδενὶ τῶν 99v
20 Α τὸ Β ἐνδέχεται, καὶ παντὶ ἄρα ἐνδέχεται, ὅτι αἱ προτάσεις τοῦ ἐνδεχομένου πρὸς ἑαυτὰς ἀντιστρέφουσι πᾶσαι. αἵ τε καταφάσεις πρὸς τὰς ἀποφάσεις καὶ ⟨αἱ⟩ ἀποφάσεις πρὸς τὰς καταφάσεις, οἷον αἱ ἐναντίαι, ἡ 'πᾶς' καὶ ἡ 'οὐδείς'· ἀντιστρέφουσι γὰρ αὗται πρὸς ἀλλήλας, ἥ τε 'οὐδείς' πρὸς τὴν 'πᾶς' καὶ ἀνάπαλιν καὶ ἡ 'τίς' πρὸς τὴν 'οὐ πᾶς'. οὕτω μὲν αἱ ἐναντίαι· αἱ δὲ ἀντιφατικαὶ
25 ἀντιστρέφουσιν ἡ μὲν 'πᾶς' πρὸς τὴν 'οὐ πᾶς' ἡ δὲ 'οὐδείς' πρὸς τὴν 'τίς', οὐκέτι δὲ καὶ τὸ ἀνάπαλιν ἡ 'τίς' πρὸς τὴν 'οὐδείς', οὐδὲ ἡ 'οὐ πᾶς' πρὸς τὴν 'πᾶς'· εἴρηται γὰρ ἡμῖν ἤδη ἐν τῷ περὶ τούτων λόγῳ, ὅτι τὰ μὲν καθόλου εἰσάγει τὰ μερικά, οὐκέτι δὲ τὰ μερικὰ τὰ καθόλου. εἰ τοίνυν μηδενὶ τῶν Α τὸ Β ἐνδέχεται ὑπάρχειν, καὶ παντὶ ἄρα ἐνδέχεται. πάλιν εἰ τὸ Α
30 οὐδενὶ τῶν Β ἐνδέχεται (τοῦτο γὰρ ὑπόκειται ἐξ ἀρχῆς), διὰ τὴν αὐτὴν αἰτίαν, ἣν εἴπομεν, καὶ παντὶ τῷ Β τὸ Α ἐνδέχεται· ὥστε συνάγεται ἐκ τούτου, ὅτι, ἐπεὶ τῷ Β παντὶ τὸ Α ἐνδέχεται, καὶ τῷ Α παντὶ τὸ Β ἐνδέχεται. ἡ ἄρα καθόλου καταφατικὴ ἐνδεχομένη, ὡς ἔφθην εἰπών, πρὸς ἑαυτήν, εἰ πρὸς τὴν καθόλου ἀποφατικήν, ἀντιστρέφει * * *. οὐδὲ γάρ, εἰ τὸ Α παντὶ τῷ Β ἐνδέ-
35 χεται, διότι κεῖται ἐνδέχεσθαι μηδενί, ἀνάγκη καὶ τὸ Β τῷ Α ἐνδέχεσθαι παντί· γίνεται γὰρ οὕτως ἡ καθόλου καταφατική, ὡς ἔφθην εἰπών, πρὸς ἑαυτὴν ἀντιστρέφουσα, ὅπερ οὐκ ἔστιν ἀληθὲς οὐδὲ κατ᾽ ἐκείνους, οἷς τοὐναντίον ἡμῖν δοκεῖ. ἰδοὺ γοῦν τὸ μὲν λευκὸν ἐνδέχεται παντὶ ἀνθρώπῳ, ἐπεὶ καὶ μηδενί·

5 ἐπεὶ δὲ ... προσδεῖσθαι (10) Al. 219,35—220,3 10 πρῶτον μὲν ... ἀντιστρέψει (34) Phil. f. 52r 14 εἰς ἀδύνατον scripsi: ἀδύνατος P (cf. 52,12 et ad 50,6) 21 αἱ alterum addidi 22 καὶ scripsi: δὲ P 24 μὲν οὖν Phil. 32 τῷ β̄, τῷ ᾱ ex τὸ β̄, τὸ ᾱ (Phil.) corr. P1 τὸ ᾱ, τὸ β̄ ex τῷ ᾱ, τῷ β̄ (Phil.) corr. P1 33 εἰ scripsi: ἢ P (cf. ad 58,14) 34 deest velut ὅπερ ἀδύνατον· ἐν οὐδενὶ γὰρ τρόπῳ ἡ καθόλου καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει (cf. Phil.) οὐδὲ ... οὐχ ὑπάρχει (52,6) Al. 220,29—221,2

οὐκέτι μέντοι τὸν ἄνθρωπον ἐνδέχεται παντὶ λευκῷ εἶναι· τισὶ γὰρ λευκοῖς ἐξ ἀνάγκης οὐχ ὑπάρχει ὡς κύκνῳ, χιόνι, μυρίοις ἄλλοις. εἰ δὲ ψεῦδος τὸ ἐνδέχεσθαι τὸν ἄνθρωπον παντὶ λευκῷ, ψεῦδος καὶ τὸ ἐνδέχεσθαι μηδενί. ὥστε οὐκ εἰ τὸ Α τῷ Β ἐνδέχεται μηδενί, καὶ τὸ Β τῷ Α ἐνδέχεσθαι μηδενί· οὐ γὰρ τὸ μηδενὶ [καὶ τὸ Β τῷ Α ἐνδέχεσθαι μηδενί· οὐ γὰρ τὸ μηδενὶ] ὑπάρχον ἤδη καὶ ἐνδεχομένως οὐχ ὑπάρχει. ληπτέον δὲ κάλλιον τοὺς ὅρους λαμβάνοντας κίνησιν καὶ ἄνθρωπον. κίνησις μὲν γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. ἐπειδὴ καὶ παντί, ἄνθρωπον δὲ ἀδύνατον μηδεμιᾷ κινήσει | ὑπάρχειν· εἰ γὰρ ἐνδέχεται μηδεμιᾷ κινήσει ἄνθρωπον ὑπάρχειν, καὶ πάσῃ 100r
ἐνδέχεται· τοῦτο δὲ ἀδύνατον· τινὶ γὰρ κινήσει ἐξ ἀνάγκης οὐχ ὑπάρχει οἷον τῇ κυκλοφορικῇ.

Ἀλλὰ μὴν οὐδέ, δι' ἧς ἄν τις ὑπονοήσει δείξεως, λέγω δὲ διὰ τῆς εἰς ἀδύνατον, τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρότασιν δείξει πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. οἷον εἰ τὸ Α οὐδενὶ τῶν Β ἐνδέχεται, λέγω, ὅτι καὶ τὸ Β οὐδενὶ τῶν Α ἐνδέχεται. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντικείμενον ἀληθὲς τὸ 'οὐκ ἐνδέχεται μηδενὶ τῶν Α τὸ Β', ὅπερ ταὐτὸν τῷ 'ἀνάγκη τινί'· ὃ γὰρ οὐκ ἐνδέχεται μηδενί, τοῦτο ἀνάγκη τινί. ἐπεὶ οὖν τὸ Β ἐξ ἀνάγκης τινὶ τῶν Α ὑπάρχει, ὡς ἡ ὑπόθεσις, καὶ τὸ Α ἄρα τινὶ τῶν Β ἐξ ἀνάγκης ὑπάρχει· ἀντιστρέφει γὰρ ἐν παντὶ τρόπῳ τὰ μερικὰ πρὸς ἑαυτά· ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι μηδενὶ τὸ Α τῶν Β· τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐνδέχεται μηδενὶ καὶ ἀνάγκη τινί, ὅπερ ἀδύνατον. οὐκ ἄρα τὸ 'ἀνάγκη τινί' ἀληθές, τουτέστι τὸ 'οὐκ ἐνδέχεται μηδενί'· εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ 'ἐνδέχεται μηδενὶ τῶν Α τὸ Β'. οὕτω μὲν οὖν ἡ δοκοῦσα διὰ τοῦ ἀδυνάτου δεῖξις δεικνύναι ἀντιστρέφειν τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην. ἐλεγκτέον οὖν αὐτὴν οὐκ οὖσαν ἀληθῆ οὕτως· οὐ δεῖ, ὡς τῇ 'ἀνάγκη τινί' ὑποτεθείσῃ ἀδύνατόν τι ἠκολούθησε, τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ 'ἐνδέχεται μηδενί' λέγειν ἀληθὲς εἶναι καὶ διὰ τοῦτο ἀντιστρέφειν οἴεσθαι πρὸς ἑαυτὴν τὴν τοῦ ἐνδεχομένου ἀπόφασιν· ἡ γὰρ 'οὐκ ἐνδέχεται μηδενί', ἣν ὑπεθέμεθα, ἵνα δείξωμεν τὸ ἀδύνατον, οὐ μόνον τὴν 'ἀνάγκη τινί' περιέχει ἀλλὰ καὶ τὴν 'ἀνάγκη μὴ παντί'. εἰ τοίνυν τῆς 'οὐκ ἐνδέχεται μηδενί' ἀμφότεραι αἱ μερικαὶ τοῦ ἀναγκαίου μέρη εἰσί (περιέχονται γὰρ ὑπ' αὐτῆς), οὐ δεῖ τῷ ἑνὶ μόνῳ αὐτῆς μέρει δεῖξαι τὸ ἀδύνατον ἀκολουθοῦν τῷ 'ἀνάγκη τινί', ἀλλὰ καὶ τῷ 'ἀνάγκη μὴ παντί'. δεῖ οὖν καὶ ταύτην ὑποθέσθαι καὶ δεῖξαι ἀδύνατόν τι ἀκολουθοῦν, ἵνα τῇ ὅλῃ προτάσει τῇ 'οὐκ ἐνδέχεται μηδενί', τουτέστι τοῖς μέρεσιν αὐτῆς πᾶσι, δείξαντες ἀκολουθοῦν τὸ ἀδύνατον τότε τὴν ἀντιφατικῶς αὐτῇ | ἀντικει- 100v
μένην εἰσαγάγωμεν τὴν 'ἐνδέχεται μηδενί'· ὅλον γὰρ δεῖ δεῖξαι πρὸς ἑαυτὸ τὸ ἐνδεχόμενον ἀντιστρέφον, τουτέστι τὴν ὅλην πρότασιν ὅλην πρὸς ἑαυτὴν καὶ οὐ πρὸς τὸ ἥμισυ. ἀλλὰ μὴν τῇ 'ἀνάγκη μὴ παντί' ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ· τὴν γὰρ ἀρχὴν οὐδὲ ἀντιστρέφει· δῆλον ἄρα, ὅτι οὐκ ἔστι χρησαμένους τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι τὴν ἀποφατικὴν ἐνδεχομένην

1 εἶναι om. Al. 221,34 5 καὶ τὸ β̄ . . . τὸ μηδενὶ (librarii errore aberrantis iterata) delevi 6 ληπτέον δὲ . . . ἐξ ἀνάγκης (55,9) Phil. f. 52r — 54r τοὺς Phil.: τὸ P 9 πάσῃ Phil.: πᾶσι P 22 post τὸ alterum ras. P 25 δεῖ Phil. f. 52v: δὴ P 26 τὸ alterum Phil.: τῷ P 31 αὐτῆς (post ὑπ') Phil.: αὐτοῦ P οὐ δεῖ Phil.: οὐδ' εἰ P 37 πρὸς ὅλην Phil.

πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. ὥσπερ οὖν εἴ τις ἀξιώσει ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν καθόλου καταφατικὴν καὶ λέγοι οὕτως 'ἐπεὶ τῷ Γ παντὶ τὸ Δ ἐνδέχεται ὑπάρχειν, καὶ τῷ Δ τὸ Γ παντὶ ἐνδέχεται ὑπάρχειν', εἶτα τοῦτο ἐπιχειροῖη κατασκευάζειν (εἰ γὰρ ψεῦδος τὸ παντὶ ⟨τὸ Γ⟩ τῷ Δ ἐνδέχεσθαι ὑπάρχειν, ἀληθὲς ἄρα τὸ 'οὐκ ἐνδέχεται παντὶ τῷ Δ τὸ Γ''), εἶτα ἀντὶ τούτου παραλάβοι τὸ 'ἀνάγκη μὴ παντί', κακῶς ποιεῖ, διότι ἐπί τινων ὅρων τὸ Γ τῷ Δ παντὶ ὑπάρχει, οὕτω δὲ παντὶ ὑπάρχει, ὡς τισὶ μὲν ἐξ ἀνάγκης ὑπάρχειν τισὶ δὲ ὑπαρχόντως· καὶ διὰ τοῦτο συμβαίνει, διὰ τὸ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν, ἀληθεύειν τὸ 'ἀνάγκη μὴ παντὶ τῷ Δ τὸ Γ'', διότι δὲ πάλιν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχει, ἀληθεύειν τὸ 'ἀνάγκη τινί'· οἷον ἔστω κινούμενον καὶ σῶμα· λέγω οὕτως· κινούμενον παντὶ σώματι ὑπαρχόντως, καὶ ἔστιν ἀληθὴς ὁ λόγος· δύναμαι ἐπὶ τούτων τῶν ὅρων ἀντιστρέψας εἰπεῖν καὶ ὅτι σῶμα παντὶ κινουμένῳ ὑπάρχει· ἀλλὰ τινὶ μὲν ἐξ ἀνάγκης οἷον τῇ κυκλοφορίᾳ τοῦ οὐρανοῦ, τινὶ δὲ οὐκ ἐξ ἀνάγκης οἷον τῇ βαδίσει· οὐδὲ γὰρ ἀεὶ συνυπάρχουσιν ἀλλήλοις σῶμα καὶ βάδισις· διόπερ οὐκ ἀναγκαίως ἡ συνύπαρξις αὐτῶν· ὥστε οὐ καλῶς τις λαμβάνει, ὅτι, εἰ μὴ τὸ Γ τῷ ⟨Δ⟩ ἐνδέχεται παντί, ἀνάγκη μὴ παντὶ μόνως· δέδεικται γάρ, ὅτι δυνατὸν εὑρεῖν ὅρους τὸ ὑπάρχειν παντὶ τῷ Δ τὸ Γ συναγόντας· εἰ δὲ παντὶ ὑπάρχει, ψεῦδος τὸ λέγειν, ὅτι ἀνάγκη μὴ παντὶ μόνως, ἀλλ' ὅτι καὶ ἀνάγκη τινί· ὥστε τῷ ἐνδέχεσθαι παντὶ δύο ἀντίκεινται προτάσεις, ἥ τε 'ἀνάγκη μὴ παντί' καὶ ἡ 'ἀνάγκη τινί', καὶ οὐ δεῖ τὴν 'ἀνάγκη μὴ παντί' μόνην παραλαμβάνειν ὡς ἀντιφατικήν. ὡσαύτως δὲ | καὶ τῇ 101r
'ἐνδέχεται μηδενί' αἱ αὐταὶ δύο ἀντίκεινται, καὶ οὐ δεῖ τὴν 'ἀνάγκη τινί' μόνην παραλαμβάνειν τοὺς εἰς ἀδύνατόν τι βουλομένους ἀπαγαγεῖν καὶ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ 'οὐκ ἐνδέχεται μηδενί' εἰσάγειν τὸ 'ἐνδέχεται μηδενί'. δῆλον οὖν ἡμῖν ἐστιν, ὅτι τοῦ ὁρισθέντος ἡμῖν ἐξ ἀρχῆς ἐνδεχομένου, οὐ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ (ἔστι γὰρ καὶ τὸ κοινότερον λεγόμενον ἐνδεχόμενον, ὡς πολλάκις εἰρήκαμεν), καὶ τῇ ἀποφάσει τῇ 'ἐνδέχεται μηδενί' καὶ τῇ καταφάσει τῇ 'ἐνδέχεται παντί' δύο εἰσὶ καὶ τὰ αὐτὰ ἑκάστῳ ἀντικείμενα, τὸ 'ἀνάγκη τινί' καὶ 'ἀνάγκη μὴ παντί'. ὥστε τοὺς κεχρημένους τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐφ' ἑκατέρᾳ τῶν προτάσεων τούτων ἀμφότερα δεῖ λαμβάνειν τὰ ἀντικείμενα. ὑποτεθέντος δὲ τοῦ 'ἀνάγκη μὴ παντί' οὐδὲν ἀδύνατον ἀκολουθεῖ, ὥστε οὐ γίνεται συλλογισμός, τουτέστιν οὐδὲν ἀδύνατον συμπέρασμα ἡμῖν ἀκολουθήσει. εἰ δὲ μὴ ἀκολουθεῖ τι ἀδύνατον, οὐδὲ διὰ τούτου ἄρα δειχθήσεται ἀντιστρέφουσα πρὸς ἑαυτὴν ἡ τοῦ ἐνδεχομένου καθόλου ἀπόφασις. φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐκ ἀντιστρέφει ἡ καθόλου ἀποφατικὴ ἐνδεχομένη.

Ἐπεὶ δὲ εἴπομεν τὰ χρήσιμα ἡμῖν ἐσόμενα πρὸς τὴν διδασκαλίαν τῶν ἐν δευτέρῳ σχήματι συλλογισμῶν, νῦν ἐπὶ τὰς συζυγίας αὐτὰς μετελευσόμεθα

1 ἀξιώσειεν Phil.; at cf. 78, l. 26 2 τῷ γ̄ παντὶ τὸ scripsi: τὸ γ̄ παντὶ τῷ P (τὸ δ̄ παντὶ τῷ γ̄ Phil.) 3 τῷ δ τὸ scripsi: τὸ δ τῷ P (τὸ γ̄ παντὶ τῷ δ̄ Phil.) 4 τὸ γ̄ Phil.: om. P post κατασκευάζειν add. οὕτως Phil. 8 συμβαίνει Phil.: συμβαίνειν P 11 οὕτως superscr. P 16 δ̄ Phil. f. 53r: om. P 17. 18 συνάγοντας Phil. 18 τὸ λέγειν ὅτι Phil.: ὅτι τὸ λέγειν P 23 ἀπαγαγεῖν Phil.: ἐπαγαγεῖν P 38 δευτέρῳ σχήματι Phil.: δύο σχήμασι P

δεικνύντες, ὅτι οὐκ ἐνδέχεται ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι συλλογισμὸν γενέσθαι. δεῖ γὰρ ἐν τούτῳ τῷ σχήματι ἀνομοιοσχήμονας εἶναι τὰς συλλογιστικὰς προτάσεις· ἐνδεχομένων δὲ ἀμφοτέρων οὐσῶν ἀδύνατον αὐτάς, ὅπως ἂν λαχθῶσιν, ἀνομοιοσχήμονας εἶναι ἀεὶ τῆς ἀποφατικῆς μεταλαμβανομένης εἰς τὴν καταφατικήν. ὑποκείσθω γὰρ συζυγία ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς· οἷον τὸ Α τῷ μὲν Β μηδενὶ ἐνδεχομένως τῷ δὲ Γ παντί· ταύτην οὔτε δι' ἀντιστροφῆς δεῖξαι δυνατὸν ἀνάγοντας εἰς τὸ πρῶτον σχῆμα οὔτε τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὔτε τῇ τῶν ὅρων παραθέσει. καὶ ὅτι μὲν δι' ἀντιστροφῆς οὐ δυνατόν,
10 δῆλον· δέδεικται γάρ, ὅτι ἡ ἀπόφασις | τοῦ ἐνδεχομένου οὐκ ἀντιστρέφει 101ᵛ
πρὸς ἑαυτήν. ἀλλ' οὐδὲ διὰ τοῦ ἀδυνάτου· τεθέντος γὰρ τοῦ Β παντὶ τῷ Γ ἐνδέχεσθαι ὑπάρχειν οὐδὲν συμβαίνει ψεῦδος· ἐνδέχοιτο γὰρ ἂν τὸ Α τῷ Γ καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν. οὐ δυνατὸν τοίνυν οὐδὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ συμπέρασμά τι συναγαγεῖν ἐν δευτέρῳ σχήματι. ἔστω γὰρ τὸ Α τῷ
15 Β ἐνδέχεσθαι μηδενὶ τῷ δὲ Γ ἐνδέχεσθαι παντί. ἴδωμεν οὖν, εἰ δυνατὸν τῇ εἰς ἀδύνατον δείξει χρήσασθαι. ὑποκείσθω γὰρ συνάγειν, ὅτι τὸ Β ἐνδέχεται μηδενὶ τῷ Γ ὑπάρχειν· τοῦτο γὰρ συνῆγεν ἄν. εἴπερ συνῆγε· δεικνύομεν οὖν τοῦτο μὴ δυνατὸν τῇ δείξει ⟨τῇ διὰ⟩ τοῦ ἀδυνάτου. εἰ γὰρ ψεῦδος τὸ 'ἐνδέχεται μηδενὶ τῶν Γ τὸ Β', ἔσται τὸ 'οὐκ ἐνδέχεται μηδενί' ἀληθές, ὅπερ
20 τοῦτόν ἐστι τῷ 'ἀνάγκη τινί'. εἰ τοίνυν τὸ Α ἐνδέχεται μηδενὶ τῷ Β, τὸ δὲ Β ἀνάγκη τινὶ τῷ Γ, γίνεται τὸ πρῶτον σχῆμα ἐκ τῆς μείζονος ἐνδεχομένης ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἀναγκαίας μερικῆς καταφατικῆς· συνάγει δὲ τὸ Α οὐ παντὶ τῷ Γ ἐνδέχεσθαι· ἦν δὲ καὶ παντὶ ἐνδεχομένως, καὶ οὐδὲν κωλύει τὸ παντὶ ἐνδεχόμενον ἐνδέχεσθαι μὴ παντί. οὕτως μὲν ⟨οὖν⟩ οὐ δυνατὸν τῇ δι' ἀδυνάτου χρήσασθαι δείξει. ὅλως δέ, εἰ συνάγουσί τι συμπέρασμα αἱ τοῦ ἐνδεχομένου προτάσεις ἐν δευτέρῳ σχήματι, ἐνδεχόμενον συνάγουσιν, ἐπεὶ ἀμφότεραί εἰσιν ἐνδεχόμεναι· καὶ τοῦτο πάντως ἀνάγκη ἢ καταφατικὸν εἶναι ἢ ἀποφατικόν. εἰ μὲν οὖν καταφατικὸν ὑπόθοιτο εἶναι τὸ συμπέρασμα, πρῶτον μὲν ἄλογον τῆς μιᾶς ἀποφατικῆς οὔσης μὴ ἀποφατικὸν
30 εἶναι τὸ συμπέρασμα, εἴ γε ἀληθὴς ὁ λόγος, ὅτι τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. ἔπειτα ἐλέγχεται τὸ τοιοῦτον τῇ τῶν ὅρων παραθέσει, δι' ὧν συνάγεται καὶ τὸ 'ἀνάγκη μηδενί'· λευκὸν γὰρ ἐνδέχεται ἵππῳ μὲν μηδενὶ ὑπάρχειν ἀνθρώπῳ δὲ παντί, καὶ ὅμως ἵππος ἐξ ἀνάγκης ἀνθρώπῳ οὐχ ὑπάρχει. ὅτι μὲν οὖν οὐ γίνεται καταφατικὸν συμπέρασμα, δῆλον ἐξ ὧν διὰ τῶν ὅρων εὑρήκαμεν τὸ ἐξ ἀνάγκης μηδενὶ συναγόμενον· τοῦτο γὰρ ἀναιρετικόν ἐστι πάντων τῶν | καταφατικῶν. ὅτι δὲ οὐδὲ ἀποφατικὸν ἐνδεχόμενον 102ʳ
συνάγεται, δῆλον ἐξ ὧν τὸ ἀναγκαῖον ἀποφατικὸν διὰ τῶν ὅρων συνηγάγομεν· τοῦτο γὰρ ἀναιρετικόν ἐστι πασῶν τῶν τοῦ ἐνδεχομένου προτάσεων. ὥστε οὔτε καταφατικὸν οὔτε ἀποφατικὸν ἐνδεχόμενον συνάγεται. ταῦτα μὲν οὖν

3 δὲ Phil.: γὰρ P (cf. 56,10) 11 τεθέντος Arist.: τιθέντος P 12 συμβαίνει Arist.: λαμβάνει P 16 δείξει χρήσασθαι Phil.: χρήσει δείξασθαι P 18 τῇ διὰ τοῦ ἀδυνάτου Phil. f. 53ᵛ: τοῦ δυνατοῦ P 23 οὐδὲν Phil.: οὐδενὶ P 24 οὖν Phil.: om. P 25 εἰ συνάγουσι Phil.: εἰσάγουσι P 28 τις ὑπόθοιτο Phil. 30 γε Phil.: δὲ P 36 ἀποφατικὸν Phil.: καταφατικὸν P

εἰρήσθω τῆς μείζονος οὔσης ἀποφατικῆς ἐνδεχομένης τῆς δὲ ἐλάττονος καταφατικῆς. ἀλλὰ δὴ κἂν ἀμειφθείη ἡ τάξις καὶ ἡ μὲν μείζων εἴη καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική, καὶ οὕτως ἀσυλλόγιστος ἡ συζυγία. ὁμοίως δέ, κἂν ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις· ἐπὶ πασῶν γὰρ τούτων τῶν συζυγιῶν οἱ προσεχῶς εἰρημένοι ὅροι πρὸς τὸ δεῖξαι αὐτὰς ἀσυλλογίστους ἀρκέσουσι τὸ ἀναγκαῖον ἀποφατικὸν συνάγοντες. καὶ ὅταν ἡ μὲν καθόλου ἡ δὲ ἐπὶ μέρους ἢ ἀμφότεραι κατὰ μέρος ἢ ἀδιόριστοι ἢ ὁσαχῶς ἄλλως ἐνδέχεται μεταλαβεῖν τὰς προτάσεις· πᾶσαι γὰρ ἔσονται ἀσυλλόγιστοι· συνάγουσι γὰρ διὰ τῶν αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ οὐδενὶ ἐξ ἀνάγκης. φανερὸν οὖν, ὅτι ἐν δευτέρῳ σχήματι ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων οὐσῶν οὐκ ἔσται συλλογισμός.

Ἐπεὶ δ' ἐδείξαμεν, ὅτι ἐκ δύο ἐνδεχομένων προτάσεων ἐν δευτέρῳ σχήματι οὐ γίνεται συλλογισμός, ἐπὶ τὰς μίξεις μετέλθωμεν· καὶ λέγομεν, ὅτι, ἂν ἡ μὲν ὑπάρχουσα εἴη καταφατικὴ ἡ δὲ ἐνδεχομένη ἀποφατική, οὐδεὶς ἔσται συλλογισμός, ὅπως ἂν ἔχουσαι ληφθῶσιν αἱ προτάσεις. ὡς φανεροῦ δηλονότι ὄντος, εἰ ἀμφότεραι εἶεν καταφατικαί. [καὶ] μηδὲν συναχθήσεσθαι συλλογιστικῶς. ὅτι δὲ οὔσης τῆς ὑπαρχούσης καταφατικῆς ἀποφατικῆς δὲ τῆς ἐνδεχομένης οὐδὲν συνάγεται συλλογιστικῶς, ἀπόδειξις ἡ αὐτὴ διὰ τῶν αὐτῶν ὅρων· δείκνυται γὰρ ἀσυλλόγιστος ἡ τοιαύτη συμπλοκὴ διά τε τοῦ μὴ ἀντιστρέφειν τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην, ἀλλὰ μηδὲ τὴν ὑπάρχουσαν καταφατικὴν καθόλου· γίνεται γάρ, εἰ αὕτη ἀντιστραφείη, ἐν πρώτῳ σχήματι ἡ μείζων πρότασις ἐπὶ μέρους καταφατική. ἔτι διὰ τοῦ μὴ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἐνδείκνυσθαί τι· τοῦ γὰρ ἀντικειμένου ἢ τῷ ἐνδεχομένῳ συμπε- 102v
ράσματι | ἢ τῷ ὑπάρχοντι, εἴ τις ὑπάρχον λέγοι δύνασθαι γίνεσθαι τὸ συμπέ-
ρασμα, ὑποτεθέντος συνάγεσθαι ἐν τῷ πρώτῳ σχήματι τὸ Α τινὶ τῷ Γ ὑπάρχον, ᾧ ἔκειτο μηδενὶ ἐνδέχεσθαι, ὃ οὐκ ἀδύνατον. ἀλλὰ καὶ διὰ τῆς τῶν ὅρων παραθέσεως· τὸ γὰρ λευκὸν καὶ ἄνθρωπος καὶ ἵππος ληφθέντα δεικνύουσιν, ὅτι μὴ ἐνδεχόμενον ἢ καταφατικὸν ἢ ἀποφατικὸν γίνεται τὸ συμπέρασμα μήτε ὑπάρχον, ἀλλὰ ἀναγκαῖον ἀποφατικόν. καίτοι ἔδει ἢ τοῦ ἐνδέχεσθαι ἢ τοῦ ὑπάρχειν εἶναι τὸ συμπέρασμα, εἰ συλλογιστικῶς συνήγετο· αἱ γὰρ προτάσεις τοιαῦται. ἀλλὰ καὶ τοῦ παντὶ ἐξ ἀνάγκης καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης ἔστιν ὅρων εὐπορῆσαι. τοῦ μὲν μηδενὶ ἐξ ἀνάγκης λευκόν, ἄνθρωπος, ἵππος· τὸ γὰρ λευκὸν δύναται τῷ μὲν ἑτέρῳ τούτων ὑπάρχον παντὶ ληφθῆναι τῷ δὲ ἑτέρῳ ἐνδεχόμενον, ὥσπερ εἴρηται, καὶ ὁ ἄνθρωπος ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. τοῦ δὲ παντὶ ἐξ ἀνάγκης λευκόν, ἄνθρωπος, γραμματικόν· τὸ γὰρ λευκὸν ἐνδεχέσθω μηδενὶ ἀνθρώπῳ, ὑπαρχέτω δὲ παντὶ γραμματικῷ, καὶ ὁ ἄνθρωπος παντὶ γραμματικῷ ἐξ ἀνάγκης.

---

9 τὸ οὐδενὶ Phil. f. 54r 11 ἐπεὶ δ' ... ἀποφατικῆς ὑπαρχούσης (56,7) Al. 230,27—231,26 12 λέγομεν scripsi: ἐλέγομεν P (φησίν Al.) 13 εἴη P: ᾖ Al. 230,30 14. 15 φανερο̃ .. ὄντος Al. 230,31: φανεραὶ .. οὕτως P 15 μηδὲν συναχθήσεσθαι Al. 230,32: καὶ μηδενὶ συναχθήσονται P 17 post αὐτὴ add. καὶ Arist. 21 διὰ τοῦ Al. 231,2. 3: μὴ τῶν P 24 συνάγεσθαι P (a B): συνάγεται scripsi Al. 231,5 25 ᾧ Al. 231,6: ὃ P 26 ἄνθρωπος καὶ Al. 231,8: om. P 27 μήτε scripsi (μηδὲ a B) ἐνδεχόμενον Al. 231,8: ἐνδεχομένως P 32 παντὶ λ. Al. 231,14: παραληφθῆναι P 33 post ἐνδεχόμενον add. μηδενί Al. 231,15

Ἐὰν δὲ ἡ μὲν ἐνδεχομένη καθόλου καταφατικὴ εἴη ἡ δὲ ὑπάρχουσα καθόλου ἀποφατική, ἔσται συλλογισμὸς ἀντιστραφείσης τῆς καθόλου ἀποφατικῆς ὑπαρχούσης· οὕτως γὰρ ἔσται τὸ πρῶτον σχῆμα. καὶ τὸ συμπέρασμα ⟨τοῦ⟩ ἐνδεχέσθαι μηδενί, τοῦτο δέ, πρὸς ὁπότερον ἂν τὸ ὑπάρχον στερητικὸν τεθῇ, τουτέστι κἂν ἡ ἐλάττων ληφθῇ καθόλου ἀποφατικὴ ὑπάρχουσα ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη. ὁ αὐτὸς ἔσται συλλογισμὸς ἀντιστραφείσης τῆς ἀποφατικῆς ὑπαρχούσης. καὶ τέως δεικτέον τὴν ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης. εἰ γὰρ τὸ Α τῷ μὲν Β μηδενὶ ὑπαρχόντως, αὖθις τὸ Β οὐδενὶ τῷ Α ὑπαρχόντως· τὸ δὲ Α παντὶ τῷ Γ ἐνδεχομένως· δύναται δὲ ἡ τοιαύτη συζυγία ἐν πρώτῳ σχήματι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ οὐδενὶ ἐξ ἀνάγκης συνάγουσα, ὅπερ ἦν τὸ ἥμισυ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. ὁμοίως δέ, κἂν ἡ ἐλάττων ληφθῇ καθόλου ἀποφατικὴ ὑπάρχουσα ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, ὁ | αὐτὸς γίνεται 103r
συλλογισμὸς ἀντιστρεφομένης τῆς ἀποφατικῆς ὑπαρχούσης. οἷον τὸ Α τῷ μὲν Β παντὶ ἐνδεχομένως, μηδενὶ δὲ τῶν Γ ὑπαρχόντως· εἰ οὖν τὸ Α οὐδενὶ τῶν Γ ὑπαρχόντως, οὐδὲ τὸ Γ οὐδενὶ τῶν Α ὑπαρχόντως· τὸ δὲ Α παντὶ τῷ Β ἐνδεχομένως· τὸ ἄρα Γ οὐδενὶ τῶν Β ἐνδεχομένως ὑπάρχει. ἀντιστραφέντος οὖν τοῦ συμπεράσματος (οὐ γὰρ τοῦ κατὰ τὸν διορισμὸν ἐστιν ἀλλὰ τοῦ κατὰ τοῦ ὑπάρχοντος ἀληθευομένου) [ἔχει ὅτι] καὶ τὸ Β οὐδενὶ τῶν Γ ἐνδεχομένως ὑπάρχει. ἐδείχθη γὰρ ἐν πρώτῳ σχήματι τὸ τοιοῦτον συναγόμενον τῆς μείζονος ἀποφατικῆς ληφθείσης· ἡ δὲ τοιαύτη ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει. ὅτι δὲ τοιοῦτον γίνεται τὸ συμπέρασμα καὶ οὐχὶ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, καὶ διὰ τῶν ἑξῆς μὲν δῆλον, προείρηκα ⟨δὲ⟩ καὶ ἀρχόμενος τοῦ δευτέρου σχήματος. ὅτι δεῖ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον ὥσπερ ἐν τοῖς πρότερον.

Ἐὰν δὲ ἀμφότεραι μὲν ὦσιν ἀποφατικαί, μεταληφθείσης μὲν τῆς ἐνδεχομένης εἰς καταφατικὴν γίνεται συλλογισμός, ὅτι τὸ Β οὐδενὶ τῶν Γ ἐνδεχομένως ὑπάρχει, καὶ τὸ συμπέρασμα οὐ κατὰ τὸν διορισμόν· γίνεται γὰρ ἡ μείζων ἀποφατικὴ ὑπάρχουσα ἐν πρώτῳ σχήματι δι' ἀντιστροφῆς. καθάπερ καὶ ἐν τοῖς πρότερον. ἐὰν δὲ ἀμφότεραι τεθῶσι καταφατικαί, ἀσυλλόγιστοί εἰσιν· οἱόπως· οὐ γὰρ μεταλαμβάνεται ἡ ἐνδεχομένη καταφατικὴ εἰς ἀποφατικήν, ἵνα, ὥσπερ ἐξ ἀμφοτέρων τῶν προτάσεων ἀποφατικῶν μεταληφθείσης τῆς ἐνδεχομένης εἰς καταφατικὴν γίνεται συλλογισμός, οὕτως καὶ ἐκ τῆς καταφατικῆς πάλιν εἰς τὴν ἀποφατικὴν ἡ μετάληψις ποιήσει συλλογιστικὴν συζυγίαν. ὅροι δέ, δι' ὧν συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί, ὑγεία παντὶ ζώῳ ἐνδεχομένως ὑπάρχει. ἀνθρώπῳ δὲ ὑπαρχόντως παντί. καὶ συνάγεται ζῶον παντὶ ἀνθρώπῳ· πάλιν ὑγεία ἵππῳ μὲν παντί, ἀνθρώπῳ δὲ οὐδενί, καὶ ἄνθρωπος οὐδενὶ ἵππῳ.

Τὸν αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. τῆς ἀποφατικῆς γὰρ ἐνδεχομένης οὔσης καὶ διὰ τοῦτο μεταλαμβανομένης εἰς τὴν καταφατικὴν γίνονται ὁμοιο|σχήμονες αἱ συζυγίαι· αἱ δὲ τοιαῦται πᾶσαι ἐν δευτέρῳ 103v

2 Al. 231,23: om. P 6 καταφατικὴ Al. 231,25: ἀποφατικὴ P 7 καὶ τέως ὑπαρχόντως μηδενί (57,32) Phil. 54r — 55r 10 δὲ Phil.: γὰρ P (cf. 54,3) 19 ἔχει ὅτι delevi 23 δὲ Phil. f. 54v 31 μεταλαμβάνεται scripsi: μεταλαμ- P 34 ποιήσει Phil.: ποιεῖ P 36. 37 cf. 49,5. 6

σχήματι ἀσυλλόγιστοί εἰσιν. ὅταν δὲ ἡ καθόλου ἀποφατικὴ ὑπάρχουσα ᾖ καὶ μείζων, ἀεὶ γίνεται συλλογισμός, διὰ τῆς ἀντιστροφῆς ἀναγομένης αὐτῆς εἰς τὸ πρῶτον σχῆμα. ὅπως δὲ ἔχουσιν αἱ συζυγίαι αἱ τὴν ὑπάρχουσαν ἔχουσαι μερικὴν ἀποφατικήν, προϊὼν δείξω. πάλιν ἐὰν ἄμφω τὰ διαστήματα στερητικὰ τεθῇ, μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς καταφατικήν (δεῖ δὲ τὴν ὑπάρχουσαν ἐν τούτοις ἀεὶ μείζονα εἶναι, ἵνα καὶ σώζηται τὰ ἴδια τοῦ δευτέρου σχήματος) πάλιν τὰ αὐτὰ συνάγεται συμπεράσματα, οἷα καὶ αὐτόθεν ἀνομοιοσχήμοσιν οὔσαις μερικαῖς συζυγίαις. ἐὰν δὲ ἡ ὑπάρχουσα στερητικὴ μὲν ληφθῇ μερικὴ δέ, τῆς ἑτέρας προτάσεως καθόλου καταφατικῆς ἐνδεχομένης οὔσης ἢ ἀποφατικῆς, οὐδεὶς γίνεται συλλογισμός· καὶ εἰκότως· δεῖ μὲν γὰρ ἀντιστραφῆναι τὴν μερικήν, ἵνα εἰς τὸ πρῶτον ἀναχθῇ σχῆμα· οὐκ ἀντιστρέφει δὲ ἡ μερικὴ ἀποφατικὴ ὑπάρχουσα ἐπὶ πάσης ὕλης, ὡς ἐδείχθη, καὶ ἀντιστρεφόμενη μερικὴν ἐποίει τὴν μείζονα καὶ ἀσυλλόγιστον διὰ τοῦτο τὴν συζυγίαν. εἰκότως ἄρα οὐδεὶς ἐν τούτῳ γίνεται συλλογισμός. ἀλλ' οὐδ' εἰ ἀμφότεραι ληφθῶσι μερικαὶ ἢ ἀμφότεραι ἀδιόριστοι, ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν, οὐδεὶς ἔσται συλλογισμός· δείκνυται δὲ ταῦτα διὰ τῶν αὐτῶν ὅρων· ὑγεία, ζῶον, ἄνθρωπος τοῦ ὑπάρχειν, ὑγεία ἵππος, ἄνθρωπος τοῦ μὴ ὑπάρχειν.

Μῖξις ἐνδεχομένου καὶ ἀναγκαίου ἐν δευτέρῳ σχήματι.

Πληρώσαντες τὰς μίξεις ἐνδεχομένου καὶ ὑπάρχοντος μετέλθωμεν ἐπὶ τὴν ἐξ ἀναγκαίου καὶ ἐνδεχομένου μῖξιν ἐν δευτέρῳ σχήματι· καὶ φαμέν, ὅτι, εἰ μὲν ἡ ἀναγκαία ἀποφατικὴ εἴη εἴτε μείζων οὖσα εἴτε ἐλάττων, πάντως γίνεται συλλογισμὸς τοῦ ἐνδεχομένου καὶ οὐ τοῦ κατὰ τὸν διορισμὸν ἀλλὰ τοῦ κατηγορουμένου κατὰ τοῦ μὴ ὑπάρχοντος. εἰ μέντοι ἀναγκαία καταφατικὴ εἴη, δηλονότι ἀποφατικῆς οὔσης τῆς ἐνδεχομένης, ἀσυλλόγιστοι πᾶσαι αἱ τοιαῦται | συζυγίαι. ἡ δὲ αἰτία τὸ μεταλαμβάνεσθαι πάλιν τὴν ἀποφατικὴν ἐν- 104r
δεχομένην εἰς καταφατικὴν καὶ διὰ τοῦτο γίνεσθαι ὁμοιοσχήμονας τὰς συζυγίας. κείσθω γὰρ τὸ Α τῷ μὲν Β ἐξ ἀνάγκης μηδενὶ ὑπάρχειν τῷ δὲ Γ παντὶ ἐνδέχεσθαι· ἀντιστραφείσης οὖν τῆς ἀποφατικῆς τὸ πρῶτον γίνεται σχῆμα· τὸ Β τῷ Α ἐξ ἀνάγκης ⟨μηδενί⟩, τὸ δὲ Α παντὶ τῷ Γ ἐνδέχεται. γίνεται δὴ τὸ πρῶτον σχῆμα τῆς μείζονος ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης· συνῆγε δὲ αὕτη ἡ συζυγία τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ 'ἐνδέχεται μηδενί' τὸ ἰσοδυναμοῦν τῷ 'ὑπαρχόντως μηδενί'. καὶ ὅτι γίνεται καθόλου ἀποφατικὸν τὸ συμπέρασμα ὑπάρχον καὶ οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικτέον. εἰ γὰρ μὴ ἀληθὲς τὸ Β μηδενὶ τῷ Γ ὑπάρχειν, τὸ ἀντικείμενον αὐτοῦ εἰλήφθω, καὶ κείσθω τὸ Β τῷ Γ τινί. εἰ τοίνυν τὸ μὲν Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β τινὶ τῷ Γ ὑπαρχόντως, γίνεται οὖν τὸ Α τινὶ τῷ Γ ἐξ ἀνάγκης μὴ ὑπάρχον· δέδεικται γάρ, ὅτι ἐν πρώτῳ σχήματι τῆς μείζονος οὔσης ἀναγκαίας ὑπαρχούσης δὲ τῆς ἐλάττονος ἀναγκαῖον τὸ συμπέρασμα. τὸ ἄρα Α

8 μερικαῖς P: ταῖς τοιαύταις Phil. f. 55r 9 μερικὴ Phil.: μερικῆς P 19 τοῦ ante ἐνδεχομένου et ante ὑπάρχοντος add. Phil. 25 τὸ Phil.: τοῦ P 29 μηδενί addidi 32 ὑπάρχει Phil. 33 καὶ ὅτι ... μὴ ὑπάρχειν (58,13) Al. 235,9—30

τινὶ τῷ Γ ἐξ ἀνάγκης οὐχ ὑπάρχει, ὅπερ ἀδύνατον· ὑπέκειτο γὰρ τὸ Α παντὶ τῷ Γ ἐνδέχεσθαι. ἀδύνατος ἄρα ἡ ὑπόθεσις, ᾗ τοῦτο τὸ συμπέρασμα ἠκολούθησε· τὸ ἄρα ἀντικείμενον αὐτῆς· ἦν δὲ τὸ Β μηδενὶ τῷ Γ ὑπάρχειν. δεῖ δὲ εἰδέναι, ὅτι ἡ δεῖξις αὕτη καὶ τὸ ἀπ' αὐτῆς ἀδύνατον ἠκολούθησε, διότι ἡγούμεθα ἀληθὲς εἶναι ἐν πρώτῳ σχήματι ἐξ ἀναγκαίας τῆς μείζονος καὶ τῆς ὑπαρχούσης ἐλάττονος ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. ἐπεὶ κατά γε τοὺς ὑπάρχον λέγοντας γίνεσθαι ἐν ταῖς τοιαύταις μίξεσι τὸ συμπέρασμα οὐ προχωρεῖ ἡ τοιαύτη δεῖξις· οὐδὲν γὰρ ἀδύνατον ἕπεται. γίνεται γὰρ συναγόμενον ἐκ τῆς ὑποθέσεως τῆς τὸ Β τινὶ τῷ Γ ὑπάρχειν λεγούσης καὶ ἐκ τῆς κειμένης τῆς 'τὸ Α ἐξ ἀνάγκης οὐδενὶ τῷ Β' τὸ Α τινὶ τῷ Γ μὴ ὑπάρχον, | ὃ οὐδὲν ἀδύνατόν ἐστι κειμένου τοῦ τὸ Α παντὶ τῷ Γ ἐνδέχεσθαι· 104v
ἅμα γὰρ ἀληθῆ οὐδὲν κωλύει εἶναι τό τε παντὶ ἐνδέχεσθαι τὸ Α τῷ Γ καὶ τὸ τινὶ αὐτῷ μὴ ὑπάρχειν.

Τὸν αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἰ μὲν ἡ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη εἴη ἡ δὲ ἐλάττων καθόλου ἀποφατικὴ ἀναγκαία. συνάγει γὰρ καὶ αὕτη τὸ ⟨αὐτὸ⟩ συμπέρασμα, τὸ ὑπάρχειν μηδενὶ καὶ τὸ ἐνδέχεσθαι μηδενί, διὰ τοῦ αὐτοῦ τρόπου τῆς δείξεως· τὸ Α παντὶ τῷ Β ἐνδεχομένως, τῷ δὲ Γ ἀνάγκη μηδενί· οὐκοῦν καὶ τὸ Γ τῷ Α ἀνάγκη μηδενί· τὸ δὲ Α τῷ Β ἐνδεχομένως παντί· λέγω, ὅτι καὶ τὸ Γ τῷ Β ὑπάρχει οὐδενί. ἀλλ' οὐ τοῦτο ἐβουλόμεθα δεῖξαι, ἀλλ' εἰ τὸ Β τῷ Γ ὑπάρχει οὐδενί. ἐπεὶ τοίνυν ἀντιστρέφει ἡ καθόλου ἀποφατική, καὶ τὸ '⟨τὸ⟩ Γ τῷ Β ὑπάρχει οὐδενί' ἀντιστραφήσεται, καὶ τὸ Β οὐδενὶ τῷ Γ. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ὑπάρχειν τινί. ἐπειδὴ τοίνυν τὸ Α ἐνδέχεται παντὶ τῷ Β, τὸ δὲ Β ὑπάρχει τινὶ τῷ Γ, τὸ ἄρα Α τινὶ τῷ Γ ἐνδέχεται ὑπάρχειν· ἦν δὲ καὶ ἀνάγκη μηδενί, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ Β τῷ Γ ὑπάρχειν τινί· οὐκοῦν ψεῦδος τοῦτο, ἀληθὲς δὲ τὸ ὑπάρχειν οὐδενί.

Ἐὰν δὲ ἀνάπαλιν ἔχωσιν αἱ συζυγίαι, οἷον τὴν μὲν ἀναγκαίαν καταφατικὴν τὴν δὲ ἐνδεχομένην ἀποφατικήν, ἀσυλλόγιστοι ἔσονται διὰ τὸ τὴν ἀποφατικὴν ἐνδεχομένην μεταλαμβάνεσθαι εἰς τὴν καταφατικὴν καὶ ποιεῖν ὁμοιοσχήμονας τὰς συζυγίας· αὗται δ' ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοί εἰσι. δείκνυνται γὰρ αὗται διὰ τῶν ὅρων μηδὲν συμπέρασμα συνάγουσαι μήτε ⟨ἐνδεχόμενον μήτε⟩ ὑπάρχον μήτε ἀναγκαῖον· λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ ἐνδεχομένως μηδενί, καὶ ὅμως κύκνος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. οὕτως μὲν οὖν διὰ τῶν ὅρων τὸ 'ἀνάγκη μηδενί' δείκνυται συναγόμενον, καὶ ἐκ τούτου δῆλον, ὅτι οὐδὲν συνάγουσιν αἱ τοιαῦται προτάσεις συμπέρασμα. ὅτι μὲν γὰρ οὐδὲν ἐνδεχόμενον συνάγουσιν αἱ τοιαῦται προτάσεις συμπέρασμα, δῆλον ἐξ ὧν ἀναγκαῖον ἀποφατικὸν συνῆκται· τὸ δὲ ἀναγκαῖον πάντων | τῶν ἐνδεχομένων 105r
ἐστὶν ἀναιρετικόν. ὅτι δὲ οὐδὲ ἀναγκαῖον συνάγεται, δῆλον ἐντεῦθεν· τὸ γὰρ ἀναγκαῖον συμπέρασμα ἢ ἐξ ἀναγκαίων ἀμφοτέρων ἢ τῆς ἀποφατικῆς ἀναγκαίας οὔσης· νῦν δὲ οὐδέτερον τούτων ἐστίν. ἵνα δὲ μή τις ὑπολάβοι, ἐπειδὴ ὅλως

6 ὑπάρχουσης τῆς Al. 235,22. 23 14 τὸν αὐτὸν . . . καταφατικήν (59,36) Phil. 1. 55v—56v εἰ Arist.: ἡ P 16 αὐτὸ Phil.: om. P 28 ἔσονται scripsi: ἔσονται P (cf. 29,7) 32 post ἀναγκαῖον add. οὕτως Phil. (cf. ad 53,4)

ἀνωτέρω τὸ 'ἀνάγκη μηδενί' συνήγετο, διὰ τῶν ὅρων τοῦτο ὡρισμένως συνάγεσθαι, δεικτέον, ὅτι τῶν αὐτῶν οὐσῶν προτάσεων ἐγχωρεῖ εὐπορῆσαι ὅρων τὸ ἐξ ἀνάγκης παντὶ συναγόντων, ὥστε καὶ ταύτῃ πάντα ἀναιρεῖσθαι τὰ συμπεράσματα. διὰ μὲν γὰρ τοῦ καθόλου ἀποφατικοῦ ἀναιρεῖται πάντα τὰ κατα-
5 φατικά, διὰ δὲ τοῦ καθόλου καταφατικοῦ πάντα τὰ ἀποφατικά. κίνησις. ἐγρήγορσις. ζῶον· [διὰ δὲ τοῦ καθόλου καταφατικοῦ πάντα τὰ ἀποφατικά] κίνησις παντὶ ζώῳ ἐνδεχομένως, ἐγρηγορότι δὲ ἐξ ἀνάγκης παντί, καὶ ὁμοίως ζῶον παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης. φανερὸν οὖν, ὅτι οὐδὲ ὑπάρχον συνάγεται· τὰ μὲν ⟨γὰρ⟩ καταφατικὰ πάντα ἀναιρεῖται πάντως ὑπὸ τῆς ἀναγκαίας ἀποφατικῆς,
10 τὰ δὲ ἀποφατικὰ διὰ τῆς καταφατικῆς ἀναγκαίας. ἐπιστῆσαι δὲ δεῖ τοῖς ὅροις· οὐ γάρ εἰσι καλῶς εἰλημμένοι· δεῖ ⟨γὰρ⟩ κατὰ τὸν αὐτὸν χρόνον ἀληθευούσας λαμβάνεσθαι τὰς προτάσεις. εἰ γὰρ παντὶ ζώῳ ἐνδεχομένως κίνησις, οὐκ ἔσται τι ζῶον ἐξ ἀνάγκης κινούμενον· καὶ ἡ ἐγρήγορσις γὰρ κίνησις ἐλήφθη ἐξ ἀνάγκης ὑπάρχουσα τῷ ἐγρηγορότι· εἰ δὲ ἔσται τι ἐγρηγορὸς ὡς ἐξ ἀνάγκης
15 ὑπάρχειν αὐτῷ τὴν κατὰ τὸ ἐγρηγορέναι κίνησιν (ἐν ᾧ γὰρ ἐγρήγορεν, ἐξ ἀνάγκης ἐγρήγορε), ψευδὴς ἡ λέγουσα ⟨ἐνδέχεσθαι⟩ παντὶ ζώῳ κίνησιν ὑπάρχειν· τινὶ γὰρ ζώῳ ὑπάρχει ἐξ ἀνάγκης, τῷ ἐγρηγορότι. ὁμοίως δὲ δειχθήσεται καὶ ἀνάπαλιν τεθείσης τῆς καταφάσεως, λέγω δὲ τῆς μὲν ἐλάττονος ἐνδεχομένης ἀποφατικῆς τῆς δὲ μείζονος ἀναγκαίας καταφατικῆς· καὶ αὕτη γὰρ
20 ἀσυλλόγιστος διὰ τῶν αὐτῶν δείξεων, δι' ὧν καὶ τὴν πρὸ αὐτῆς ἐδείξαμεν.

Εἰ δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, ἀμφοτέρων μὲν οὐσῶν ἀποφατικῶν συλλογιστικαὶ γίνονται αἱ συζυγίαι, οὐ διὰ τῶν εἰλημμένων προτάσεων ἀλλὰ διὰ μεταλήψεως τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς | καταφατικήν. καὶ τὰ 105v
συμπεράσματα τὰ αὐτὰ συνάγονται ταῖς ἤδη παραδεδομέναις προτάσεσι καὶ
25 διὰ τῶν αὐτῶν δείξεων, ἐπειδὴ καὶ μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν αἱ αὐταὶ γίνονται συζυγίαι. ἐὰν μέντοι ἀμφότεραι ληφθῶσι καταφατικαί, ἀσυλλόγιστοί εἰσι πᾶσαι διὰ τὸ μὴ μεταλαμβάνεσθαι τὴν ἐνδεχομένην καταφατικὴν εἰς τὴν ἀποφατικήν, ὡς πολλάκις εἰρήκαμεν.

Ἐπεὶ δ' ἀπηρτίσαμεν τὸν ἐξ ἀμφοτέρων καθόλου λόγον, νῦν τὰς ἐχούσας
30 τὴν ἑτέραν μερικὴν παραδώσομεν. ὥσπερ οὖν εἶχον αἱ καθόλου, οὕτως ἔχουσι καὶ αὗται· αἵτινες γὰρ ἐκεῖ ἦσαν συλλογιστικαί, αὗται καὶ ἐνταῦθα γίνονται· ὁμοίως καὶ αἱ ἀσυλλόγιστοι. εἰ μὲν γὰρ τὸ ἀποφατικὸν ἀναγκαῖον εἴη καθόλου τὸ δὲ μερικὸν καταφατικὸν ἐνδεχόμενον, συνάγει συμπέρασμα τὸ οὐ παντὶ ἐξ ἀνάγκης, λέγω δὴ τὸ ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. εἰ δὲ
35 καταφατικὸν ᾖ τὸ ἀναγκαῖον, οὐδέποτε γίνεται συλλογιστικὴ ἡ συζυγία διὰ τὸ μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν ἐνδεχομένην εἰς τὴν καταφατικήν. οὐδὲ ὅταν ἀμφότεραι ληφθῶσι καταφατικαί, οὐδεὶς ἔσται συλλογισμός. οὐδὲ γάρ,

2 ἐγχωρεῖ Phil.: οὐ χωρεῖ P 6 διὰ . . . ἀποφατικά ex vs. 5 iterata delevi
9 γὰρ Phil. f. 56r: om. P 10 ἀποφατικὰ Phil. f. 56r: καταφατικὰ P 11 γὰρ addidi 12 post προτάσεις add. ἐν δὲ τοῖς εἰλημμένοις ὅροις οὐ δυνατὸν κατὰ τὸν αὐτὸν ἀμφοτέρας λαβεῖν ἀληθευούσας τὰς προτάσεις Phil f. 55v — 56r 13. 14 κίνησις . . . ὑπάρχουσα scripsi (κίνησιν ἔλαβεν . . . ὑπάρχουσαν Phil.): κινήσει . . . ὑπάρχειν P
16 ἐνδέχεσθαι Phil.: om. P 18 καὶ Arist.: ἡ P τεθείσης Arist.: τιθείσης P
37 οὐδὲ . . . τὸ συμπέρασμα (61, 9) Al. 241, 2—242, 35

ὅταν ἀμφότεροι καθόλου ὦσιν. οὕτως λαμβανομένων ἐγίνετο· ἐδείχθη γὰρ ἐπὶ τῶν ὅρων ἀμφοτέρων οὐσῶν καταφατικῶν καταφατικὸν ἀναγκαῖον συναγόμενον· ἦσαν δ' οἱ παρατεθέντες ὅροι λευκόν, ἄνθρωπος, κύκνος.

Εἰ μὲν οὖν ἀμφότεραι μὲν στερητικαί, εἴη δὲ ἀναγκαία ἡ ἀποφατικὴ καθόλου, συλλογισμὸς ἔσται ἀντιστραφείσης τῆς ἐνδεχομένης μερικῆς ἀποφατικῆς εἰς μερικὴν καταφατικήν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ἐφ' ὧν ἦν ἡ συζυγία συλλογιστική, οὔσης τῆς ἀναγκαίας ἀποφατικῆς καθόλου. ἐὰν δὲ ἀμφότεραι ἀδιόριστοι εἶεν ἢ ἐν μέρει ληφθῶσιν, ὡς ἂν ἔχωσι ποιότητος, οὐκ ἔσονται συλλογιστικαί. ἡ δ' ἀπόδειξις διὰ τῶν αὐτῶν ὅρων· λέγοιμι ⟨δ'⟩ ἂν διὰ τῶν αὐτῶν ὅρων, δι' ὧν καὶ ἐν τῷ πρώτῳ σχήματι ἐδείξα τὰς ἐξ ἀναγκαίας καὶ ἐνδεχομένης ἀμφοτέρων οὐσῶν ἐπὶ μέρους ἀσυλλογίστους συζυγίας. οἱ δὲ ὅροι τοῦ μὲν παντὶ ἐξ ἀνάγκης λευκόν, ζῶον, ἄνθρωπος· μέσον δηλονότι τὸ λευκὸν ἐν τούτῳ | τῷ σχήματι. ἦν δὲ καὶ ἐν τῷ πρώτῳ, ἀλλ' οὐ κατὰ τὴν αὐτὴν 106r
τάξιν· τότε μὲν γὰρ τὸ ζῶον τινὶ λευκῷ ἐξ ἀνάγκης, καὶ τὸ λευκὸν τινὶ ἀνθρώπῳ ἐνδεχομένως. νῦν δὲ τὸ λευκὸν καὶ τινὶ ζώῳ ἐξ ἀνάγκης καὶ πάλιν τινὶ ἐξ ἀνάγκης οὔ, ὡς κόρακι καὶ κύκνῳ καὶ ἀνθρώπῳ· πάλιν καὶ τινὶ ἐνδέχεται καὶ ἐνδέχεται τινὶ μή, ὡς ἀνθρώπῳ· καὶ τὸ ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ λευκὸν ἦν καὶ ζῶον καὶ ἄψυχον. καὶ εἰ μὴ τούτοις, οἷς πρὸ ὀλίγου ἐχρησάμεθα οὐσῶν καθόλου τῶν προτάσεων καὶ καταφατικῶν· οὗτοι δ' ἦσαν λευκόν, κύκνος, ἄνθρωπος τοῦ μηδενὶ ἐξ ἀνάγκης, τοῦ δὲ παντὶ ἐξ ἀνάγκης κίνησις, ζῶον, ἐγρήγορσις. ἂν γὰρ μὴ καθόλου τὰς προτάσεις λαμβάνωμεν ἐπὶ τούτων τῶν ὅρων ὡς τότε ἀλλ' ἐπὶ μέρους, δεικνύοιτο ἂν ἐπ' αὐτῶν ἀληθῶν οὐσῶν καὶ τοῦ παντὶ καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης συναγωγή.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι τῆς ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης ἐν δευτέρῳ σχήματι τῆς δὲ ἑτέρας ἐνδεχομένης ἢ καταφατικῆς καθόλου ἢ ἀποφατικῆς ἢ πάλιν ἐν μέρει ἢ καταφατικῆς ἢ ἀποφατικῆς γίνεται συλλογιστικὴ συζυγία. ἐδείχθη δὲ καὶ ὅτι τὸ συμπέρασμα οὐ μόνον τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν ἀλλὰ καὶ τοῦ μὴ ὑπάρχειν, τουτέστιν οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, γίνεται· ἀμφοτέρων γὰρ δοκεῖ γίνεσθαι τῷ τὸ ἐνδεχόμενον καὶ κατὰ τοῦ ὑπάρχοντος κατηγορεῖσθαι. δέδεικται δὲ καὶ ὅτι τῆς καταφατικῆς ἀναγκαίας λαμβανομένης οὐ γίνεται συλλογιστικὴ ἡ συζυγία. ἀλλ' ὅτι καὶ ἐν ταῖς ἐξ ὑπαρχουσῶν καὶ ἐνδεχομένων μίξεσι καὶ ταῖς ἐξ ἀναγκαίων καὶ ἐνδεχομένων ὁμοίως τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος τιθεμένων αἱ συζυγίαι συλλογιστικαί· καὶ γὰρ ὅτε τὸ ὑπάρχον καθόλου ἀποφατικόν, ἐλαμβάνετο ἐν ταῖς συλλογιστικαῖς καὶ τὸ ἀναγκαῖον ὁμοίως· μὴ τοιούτου δὲ λαμβανομένου ὁμοίως πάλιν ἀσυλλόγιστοι. ἀλλὰ καὶ ὅτι πάντες οἱ ἐν δευτέρῳ σχήματι συλλογισμοὶ ἐκ τῶν μίξεων ἀτελεῖς (καὶ γὰρ καθόλου οἱ ἐν δευτέρῳ σχήματι ἀτελεῖς· διὰ γὰρ τῆς εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῆς τελειοῦνται), καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων συζυγιῶν καὶ συμπλοκῶν· δι' ὧν γὰρ ἔδειξα

---

3 παρατεθέντες Al. 241,4: πάντες P 8 εἶεν om. Arist. 9 δ' Al. 241,22: om. P
16 καὶ ἀνθρώπῳ delevi Al. 241,30 18 μηδενὶ Al. 241,31: μηδεὶς P 19 πρὸ ὀλίγου Al. 241,35: πρὸς ὀλίγον P

συζυγιῶν οὐσῶν ἐν τῷ πρώτῳ | σχήματι, εἰς ὃ ἀνάγονται διὰ τῆς ἀντιστροφῆς, 106v
διὰ τοιούτων τελειοῦνται συμπλοκῶν τε, ὡς εἶπον, καὶ συζυγιῶν· ἐδείχθησαν δὲ διά τε τῆς τοῦ δευτέρου καὶ διὰ τῆς τοῦ τετάρτου συμπλοκῆς.

Σχῆμα τρίτον.

Ἐν δὲ τῷ τελευταίῳ σχήματι καὶ ἀμφοτέρων οὐσῶν ἐνδεχομένων τῶν προτάσεων γίνεται συλλογισμός, ὃ οὐκ ἐγίνετο ἐν τῷ δευτέρῳ σχήματι· ἐδείξαμεν γάρ, ὅτι ἐκ δύο ἐνδεχομένων ἐν δευτέρῳ σχήματι οὐδὲν συνάγεται συλλογιστικῶς. ἐνδεχομένων οὖν οὐσῶν ἀμφοτέρων ἔσται καὶ τὸ συμπέρασμα ἐνδεχόμενον. ἀλλὰ καὶ ἐξ ἐνδεχομένης καὶ ὑπαρχούσης ἐνδεχόμενον τὸ συμπέρασμα. ἐὰν δὲ ἡ μὲν ἀναγκαία ᾖ ἡ δὲ ἐνδεχομένη, εἰ μὲν καταφατικὴ εἴη ἡ ἀναγκαία, ἐνδεχόμενον πάλιν συνάγει τὸ συμπέρασμα· εἰ δὲ ἡ ἀναγκαία ἀποφατικὴ εἴη καθόλου, οὐ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου τὸ συμπέρασμα ἔσται ἀλλὰ τοῦ μὴ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου τοῦ ἰσοδυναμοῦντος αὐτῷ. ὃ καὶ ἐπὶ τῶν πρὸ τούτου ἐπεσημηνάμεθα σχημάτων, ὅτι οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συμπέρασμα ληπτέον ἀλλὰ τὸ ἑπόμενον τῷ ὑπάρχοντι καὶ κατ' αὐτοῦ λεγόμενον ἀληθῶς.

Πρώτας δὲ θετέον τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων συζυγίας· δεῖ γὰρ προηγεῖσθαι τὰς ἁπλᾶς προτάσεις τῶν μικτῶν· καὶ πρώτας τὰς ἐκ δύο καταφατικῶν καθόλου. συνάγουσι δὲ ἐνδεχόμενον αὗται καταφατικὸν μερικὸν συμπέρασμα, διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης ἀναγομένης αὐτῆς εἰς τὸ πρῶτον σχῆμα. ἀλλὰ κἂν ἡ μὲν μείζων καθόλου ἐνδεχομένη ἀποφατικὴ ληφθῇ ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη καταφατική, τῆς ἐλάττονος τῆς καθόλου καὶ καταφατικῆς ἐνδεχομένης ἀντιστραφείσης πάλιν γίνεται τὸ πρῶτον σχῆμα, ἐκ καθόλου ἀποφατικῆς ἐνδεχομένης τῆς μείζονος καὶ ἐπὶ μέρους [τῆς] καταφατικῆς ἐνδεχομένης τῆς ἐλάττονος ἐπὶ μέρους ἀποφατικοῦ ἐνδεχομένου συναγομένου. ἐὰν δὲ ἀμφότεραι ἀποφατικαὶ καὶ ἐνδεχόμεναι καθόλου ληφθῶσιν, ἐκ μὲν τῶν κειμένων | οὐδὲν ἔσται συλλογιστικῶς δεικνύ- 107r
μενον, μεταληφθείσης δὲ τῆς ἐλάττονος εἰς τὴν καταφατικὴν ἐνδεχομένην καὶ ἀντιστραφείσης γίνεται ἡ αὐτὴ συζυγία ἐν πρώτῳ σχήματι τῇ φθασάσῃ εἰρῆσθαι. δύνανται δὲ καὶ ἀμφότεραι εἰς καταφατικὴν μεταληφθῆναι. εἰ δὲ ὁ μὲν καθόλου τῶν ὅρων ὁ δὲ ἐν μέρει, ὅσαι ἐξ ὑπαρχουσῶν λαμβανόμεναι προτάσεων συζυγίαι ἐν τῷ τρίτῳ σχήματι συλλογιστικὰς ἐποίουν συμπλοκάς, τοσαῦται καὶ ἐπὶ τῶν ἐνδεχομένων, ὅταν ὁμοίως ληφθῶσιν, ἔσονται συλλογιστικαί. ὁμοίως δὲ καὶ αἱ ἀσυλλόγιστοι ἐπὶ τῶν ἐνδεχομένων ἕξουσι ταῖς ἐπὶ τῶν ὑπαρχουσῶν· καὶ γὰρ αἱ μεταλαμβανόμεναι ἐκ τῶν ἀποφάσεων εἰς τὰς καταφάσεις ὡς ἴσον δυνάμεναι ταῖς καταφατικαῖς λαμβάνονται. ἐάν τε γὰρ ἡ μὲν μείζων ληφθῇ καθόλου καταφατικὴ ἐνδεχομένη ⟨ἡ δὲ ἐλάττων ἐπὶ μέρους καὶ αὐτὴ κατα-

3 τετάρτου Al. 242,27: πρώτου P 9 ἐὰν ... μερικὸν συμπέρασμα (19) Phil. f. 56v
14 ἐπεσημηνάμεθα scripsi (ἐπεσημήνατο Phil.): ἐσημηνάμεθα P 20 διὰ τῆς ... ἀνθρώπῳ (62,39) Al. 243,14—244,40 21 ἀναγομένης αὐτῆς] neglegentius haec transcripta
23 καὶ om. Al. 243,18 25 τῆς prius om. Al. 243,20 34 ταῖς Al. 243,32: τοῖς P 36 δυνάμεναι Al. 243,33: δυναμέναις P 37 ἡ δὲ ... ἐνδεχομένη (62,1) Al. 243,35: om. P

φατικὴ ἐνδεχομένη), συλλογιστικὴ γίνεται ἡ συζυγία (γίνεται δὲ ἡ δεῖξις ἀντι-
στραφείσης τῆς ἐλάττονος προτάσεως τῆς ἐπὶ μέρους ἐνδεχομένης καταφατικῆς·
γίνεται γὰρ οὕτως τὸ πρῶτον σχῆμα), ἐάν τε ἡ μὲν μείζων ᾖ ἐπὶ μέρους
καταφατικὴ ἐνδεχομένη (ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη),
5 συλλογιστικὴ ⟨καὶ⟩ οὕτως ἡ συζυγία· ἀντιστραφείσης γὰρ τῆς μείζονος τῆς
ἐπὶ μέρους ἐνδεχομένης καταφατικῆς γίνεται πάλιν τὸ πρῶτον σχῆμα. δεήσει
δὲ ἐν ταύτῃ τῇ συζυγίᾳ καὶ τὰ συμπεράσματα ἀντιστρέφειν· οὕτως γὰρ
ἔσται τοῦ προκειμένου ὁ συλλογισμός. ἀλλὰ κἂν ἡ μὲν μείζων ληφθῇ
καθόλου ἀποφατικὴ ἐνδεχομένη ἡ δὲ ἐλάττων ἐπὶ μέρους καταφατική,
10 συλλογιστικὴ ἡ συζυγία· ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος ἐπὶ μέρους
[καταφατικῆς συλλογιστικὴ ἡ συζυγία] οὔσης [δὲ] ἐνδεχομένης καταφατικῆς
γίνεται πάλιν τὸ πρῶτον σχῆμα καθόλου καταφατικὴν ἐνδεχομένην ἔχον τὴν
μείζονα καὶ ἐνδεχομένην ἐπὶ μέρους καταφατικὴν τὴν ἐλάττονα, ἐξ ὧν ἐδείχθη
ἐπὶ μέρους ἀποφατικὸν ἐνδεχόμενον γινόμενον τὸ συμπέρασμα. εἰ δὲ εἶεν
15 ἀμφότεραι ἀποφατικαὶ ἐνδεχόμεναι, ἡ μὲν καθόλου ἡ δὲ ἐπὶ μέρους, μετα-
ληφθείσης τῆς ἐπὶ μέρους ἀποφατικῆς εἰς τὴν ἐπὶ μέρους καταφατικὴν καὶ
ἀντιστραφείσης γίνεται τοῦ πρώτου σχήματος ἡ προειρημένη συζυγία· μετα- 107v
ληφθεῖσα γὰρ ἡ ἀποφατικὴ εἰς τὴν καταφατικὴν ποιήσει τὰς προτάσεις ὁμοίας,
ὁποῖαι οὖσαι καὶ ἐπὶ τῶν ὑπαρχουσῶν ἦσαν συλλογιστικαί. τῆς μὲν οὖν ἐλάτ-
20 τονος ληφθείσης ἐπὶ μέρους καταφατικῆς μιᾶς δεηθησόμεθα ἀντιστροφῆς, τῆς
δὲ μείζονος δύο· δεήσει γὰρ καὶ τὸ συμπέρασμα ἀντιστρέψαι ὂν ἐπὶ μέρους
ἀποφατικὸν ἐνδεχόμενον· ἀντιστρέφει δὲ τὸ ἀποφατικὸν ἐνδεχόμενον ὁμοίως
τῷ καταφατικῷ. ὃ οὐκέθ' οἷόν τε ἐπὶ τῶν ὑπαρχουσῶν προτάσεων ἐν τρίτῳ
σχήματι γίνεσθαι τῆς ἐλάττονος ⟨οὔσης⟩ ἀποφατικῆς καθόλου τῆς δὲ μείζονος
25 ἐπὶ μέρους ἀποφατικῆς τῷ μὴ ἀντιστρέφειν τὴν ἐπὶ μέρους ἀποφατικὴν ὑπάρ-
χουσαν· οὐ γίνεται τοῦ προκειμένου ὁ συλλογισμός. διὸ ἐπιζητήσαι τις ἄν,
πῶς ἀληθὲς τὸ "εἰ δ' ὁ μέν ἐστι καθόλου τῶν ὅρων ὁ δ' ἐν μέρει, τὸν αὐτὸν
τρόπον ἐχόντων τῶν ὅρων, ὅνπερ ἐπὶ τοῦ ὑπάρχειν, ἔσται τε καὶ οὐκ ἔσται
συλλογισμός". ἢ δεῖ μεταλαμβάνειν τὸ ἐνδεχόμενον καθόλου ἀποφατικὸν εἰς
30 καταφατικὸν καὶ ἐπὶ τοῦ ἐνδέχεσθαι. οὐκέτι δὲ ὡς ἐπὶ τοῦ 'ἐνδέχεται', οὕτως
ἔξει καὶ ἐπὶ τοῦ ὑπάρχειν διὰ τὸ προειρημένον. ἐὰν δὲ ἀμφότεραι ἢ ἀδιόριστοι
ἢ ἐπὶ μέρους ληφθῶσιν ἐνδεχόμεναι, ἄν τε καταφατικαὶ ἄν τε ἀποφατικαὶ ἄν
τε παραλλάξ, ἀσυλλόγιστοι αἱ συζυγίαι. καὶ τοῦτο δῆλον ἔσται πάλιν τῇ τῶν
ὅρων παραθέσει, τὸ μὲν παντὶ διὰ ζώου καὶ ἀνθρώπου καὶ λευκοῦ· τὸ γὰρ
35 ζῶον καὶ ὁ ἄνθρωπος τινὶ λευκῷ ἑκάτερον αὐτῶν ἐνδέχεται, καὶ ἐνδέχεται
τινὶ μὴ ἑκάτερον, καὶ τὸ μὲν ἐνδέχεται ὑπάρχειν αὐτῷ, τῷ λευκῷ, τὸ δὲ ἐν-
δέχεται μὴ ὑπάρχειν, καὶ τὸ ζῶον ἐξ ἀνάγκης παντὶ ἀνθρώπῳ. τοῦ δὲ μὴ
ὑπάρχειν ἵππος, ἄνθρωπος, λευκόν· ὁμοίως γὰρ ἐχουσῶν τῶν προτάσεων ὁ
ἵππος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ.

---

4 ἡ δὲ . . . ἐνδεχομένη Al. 244,4: om. P 5 καὶ Al. 244,5: om. P 11 uncinis circumclusa om. Al. 244,10 17 τοῦ πρώτου σχήματος ἡ Al. 244,16. 17: τὸ πρῶτον σχῆμα εἰ (sic) P 24 οὔσης Al. 244,24: om. P 26 γίνεται δὴ scripsi Al. 244,26 35 ἑκάτερον αὐτῶν Al. 244,36: ἑκάτερα αὐτῷ P

Ἐὰν δὲ ἡ μὲν ὑπάρχειν ἡ δὲ ἐνδέχεσθαι σημαίνει τῶν προτάσεων, τὸ συμπέρασμα μὲν ἐν τούτοις οὐδαμῶς ἐστιν ὑπάρχον· οὐδὲ γὰρ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς τοιαύτης μίξεως ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα ἀλλ' ἐνδεχόμενον. οὕτως καὶ ἐνταῦθα ἐνδεχόμενον, δηλονότι οὐκ ἐν πάσαις ταῖς συζυγίαις τὸ αὐτό, ἀλλ' ὅσαι μὲν ἔχουσι τὴν ὑπάρχουσαν καταφατικήν, τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν ἐνδεχόμενον, ὅσαι δὲ ἀποφατικὴν ἔχουσι τὴν 108r
ὑπάρχουσαν, αὗται οὐ τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν, ὥσπερ εἴρηται ἡμῖν πλατύτερον ἐν τῷ πρώτῳ σχήματι. ⟨συλλογιστικαὶ δὲ γίνονται συζυγίαι αὗται, αἵτινες καὶ ἐν τῷ πρώτῳ σχήματι⟩ ἦσαν, τουτέστι πᾶσαι αἱ ἄλλαι χωρὶς τῶν ἐχουσῶν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν. ἔστωσαν γὰρ πρῶτον καταφατικαί, ὧν ἡ μὲν μείζων καθόλου καταφατικὴ ⟨ὑπάρχουσα ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ⟩ ἐνδεχομένη· ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης εἰς τὴν ἐπὶ μέρους γίνεται τὸ πρῶτον σχῆμα ἔχον ὑπάρχουσαν καταφατικὴν τὴν μείζονα καὶ ἐπὶ μέρους ἐνδεχομένην καταφατικὴν τὴν ἐλάττονα, ἧς ἐδείχθη τὸ συμπέρασμα ἐπὶ μέρους καταφατικὸν ἐνδεχόμενον γινόμενον. ὁμοίως, κἂν ἡ μὲν μείζων καθόλου καταφατικὴ ληφθῇ ἡ δὲ ἐλάττων ὑπάρχουσα καθόλου καταφατική, συλλογιστικὴ ἔσται ἡ συζυγία· ἀντιστραφήσεται γὰρ ἡ ὑπάρχουσα. εἰ δὲ τὸ στερητικὸν τεθείη πρὸς τὸ ἔλαττον ἄκρον ἢ καὶ ἄμφω ληφθῶσι στερητικαί, διὰ μὲν τῶν προκειμένων οὐκ ἔσται συλλογισμός, μεταληφθείσης δὲ τῆς στερητικῆς ἐνδεχομένης εἰς τὴν καταφατικὴν ἔσται. πάλιν εἰ ἀμφότεραι εἶεν καθόλου ἀποφατικαί, ἡ μὲν ὑπάρχουσα ἡ δὲ ἐνδεχομένη, ἐκ τῶν κειμένων οὐδὲν συναχθήσεται· μεταληφθείσης δὲ τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν ⟨καὶ⟩ ἀντιστραφείσης γίνεται συλλογιστικὴ ἡ συζυγία. εἰ μὲν οὖν ἡ ἐλάττων εἴη ἐνδεχομένη ἀποφατική, φανερὰ ἥ τε μετάληψις καὶ ἡ δεῖξις. εἰ δὲ ἡ μείζων εἴη ἐνδεχομένη ἡ δὲ ἐλάττων ὑπάρχουσα ἀποφατικὴ καθόλου, οὐκ ἔσται συλλογιστικὴ ἡ συζυγία. ἢ δείξει τὴν μείζονα μεταλαβόντας. ἐπεί ἐστιν ἐνδεχομένη ἀποφατική, εἰς τὴν καταφατικὴν ἐνδεχομένην ἀντιστρέψαι τε καὶ ἐλάττονα ποιῆσαι. εἶτα τὸ συμπέρασμα πάλιν ἀντιστρέψαι καὶ αὐτό. εἰ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, ὡς νῦν ὁ λόγος ἡμῖν λέγει. καὶ τῆς μείζονος ἀποφατικῆς οὔσης τῆς δὲ ἐλάττονος καταφατικῆς, τῆς ὑπαρχούσης ἢ πρὸς τῷ μείζονι τιθεμένης ἢ πρὸς τῷ ἐλάττονι δύο γίνονται συζυγίαι· συνάγουσι δὲ ἀμφότεραι ἐνδεχόμενον συμπέρασμα, ἀλλ' ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδε- 108v
χομένην τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, ἡ δὲ ὑπάρχουσαν τὸ 'οὐδενὶ ἐξ ἀνάγκης', ὡς δέδεικται ἐν τῷ πρώτῳ σχήματι. ἡ δὲ δεῖξις ἡ αὐτὴ ἐπ'

---

1 ἐὰν δὲ . . . ὑπάρχουσαν (10) Phil. [f. 57r 4 ἐνδεχόμενον alterum Phil.: ἐχόμενον P 8 συλλογιστικαὶ . . . σχήματι (9) Phil.: om. P 10 ἔστωσαν . . . λέγει (30) Al. 245,9—246,35 11 ὑπάρχουσα . . . καταφατικὴ (12) addidi (cf. Al. 245,10) 16 post μείζων add. ἐνδεχομένη Al. 245,35. 36 μὲν τῶν Al. 23 καὶ Al. 246,28: om. P 27 μεταλαβόντας Al. 246,32: μεταλαβόντες P 29 εἶτα Al. 246,33: εἰς P 30 καὶ . . . πρώτου σχήματος (64,2) Phil. f. 57v τῆς Phil.: ἡ P 34 ὑπάρχουσαν τὸ οὐδενὶ Phil.: ὑπάρχουσα· τὸ οὐδὲν P

ἀμφοτέρων ἀντιστρεφομένης τῆς ἐλάττονος προτάσεως πρὸς τὴν μερικὴν καταφατικὴν καὶ ποιούσης τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

Εἰ δὲ ἡ μὲν καθόλου τῶν προτάσεων ἡ δὲ ἐν μέρει, εἴτε ἀμφότεραι εἶεν καταφατικαί, εἴτε ἡ μὲν ἑτέρα καταφατικὴ ἡ ἐπὶ μέρους ἡ δὲ ἑτέρα ἀποφατικὴ καθόλου, ὁποτέρα ἂν αὐτῶν ᾖ ὑπάρχουσα, συλλογιστικὴ ἔσται συζυγία· τῆς γὰρ καταφατικῆς ἐπὶ μέρους, εἴτε ἐνδεχομένη εἴη εἴτε ὑπάρχουσα, ἀντιστραφείσης γίνεται διὰ τοῦ πρώτου σχήματος συλλογιστική. τὸ δὲ συμπέρασμα ἐνδεχόμενον ἔσται, ὡς ἐν τῷ πρώτῳ σχήματι αἰεὶ ἐν τῇ ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης μίξει τοιούτου γινομένου τοῦ συμπεράσματος. εἰ δὲ ἡ μὲν εἴη ἐλάττων καταφατικὴ καθόλου ἡ δὲ μείζων ἀποφατικὴ ἐν μέρει, συλλογιστικὴ μὲν ἔσται ἡ συζυγία, οὐ μὴν δι' ἀντιστροφῆς δειχθήσεται ἀναχθείσης αὐτῆς εἰς τὸ πρῶτον σχῆμα, ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. κείσθω γὰρ τὸ μὲν Β παντὶ τῷ Γ ὑπαρχόντως, τὸ δὲ Α ἐνδεχομένως τινὶ τῷ Γ μὴ ὑπάρχειν· τὸ δὴ Α ἐνδέχεται τινὶ τῷ Β μὴ ὑπάρχειν. εἰ γὰρ μή, τὸ ἀντικείμενον αὐτῷ ἐξ ἀνάγκης παντί· ἀλλὰ καὶ τὸ Β παντὶ τῷ Γ ὑπάρχει· τὸ ἄρα Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρξει. γίνεται γὰρ ἡ συζυγία ἐν πρώτῳ σχήματι ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος καὶ ὑπαρχούσης καθόλου καταφατικῆς τῆς ἐλάττονος, ἐφ' ἧς ἐδείξαμεν καθόλου καταφατικὸν ἀναγκαῖον συναγόμενον συμπέρασμα. ἀδύνατον δὲ τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης ὑπάρχειν· ἔκειτο γὰρ ἐνδέχεσθαι αὐτῷ τινὶ μὴ ὑπάρχειν.

Αν δὲ ἀόριστοι ἢ ἐν μέρει ληφθῶσιν ἀμφότεραι, ἄν τε καταφατικαὶ ἄν τε ἀποφατικαὶ ἄν τε παραλλάξ, οὐκ ἔσται συλλογιστικὴ ἡ συζυγία. ἀπόδειξις δὲ ἡ αὐτή, ἣ καὶ ἐν τοῖς καθόλου· δι' ὧν γὰρ ὅρων ἐδείχθησαν | καὶ αἱ δι' 109ᵛ
ὅλου ἐνδεχόμεναι ἐκ δύο ἐπὶ μέρους συζυγίαι ἀσυλλόγιστοι, διὰ τῶν αὐτῶν καὶ αὗται. ἦσαν δ' οἱ ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν ζῷον. ἄνθρωπος. λευκόν. τοῦ δὲ μηδενὶ ἵππος. ἄνθρωπος. λευκόν. μέσον λευκόν.

Πληρώσας τὴν μῖξιν τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον νῦν τρέψομαι ἐπὶ τὴν μῖξιν τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου· ταῦτα δὲ συνάγονται ἐν ταύταις ταῖς συζυγίαις τὰ συμπεράσματα, ἃ συνήγοντο καὶ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς αὐτῆς μίξεως ὁμοίως ἐχουσῶν τῶν προτάσεων. εἰ μὲν γὰρ ἀμφότεραι κατηγορικαὶ ὦσι, τὸ κατὰ τὸν διορισμὸν συνάγεται συμπέρασμα. εἰ δὲ ἡ μὲν εἴη καταφατικὴ ἡ δὲ ἀποφατική, εἰ μὲν ἡ ἐνδεχομένη ἀποφατικὴ εἴη, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου πάλιν ἔσται τὸ συμπέρασμα· ⟨εἰ δὲ τὸ ἀναγκαῖον εἴη ἀποφατικόν, ἐνδεχόμενον γίνεται τὸ συμπέρασμα,⟩ οὐ τὸ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ συντρέχον τῷ μὴ ὑπάρχοντι. ἔστωσαν δὴ κατηγορικοὶ πρῶτον οἱ ὅροι, καὶ ἐν τούτῳ μείζων πρότασις ἔστω ἡ ἀναγκαία, ἐλάττων δὲ ἡ ἐνδεχομένη· συνάγει οὖν μερικὸν ἐνδεχόμενον συμπέρασμα ἀντιστραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καὶ ποιούσης τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος.

3 εἰ δὲ . . . μέσον λευκόν (26) Al. 246,36—248,38 5 ante καθόλου addidi ἡ Al. 247,1 14 ἐνδέξεται Al. 247,13 17 ἀναγκαίας Al. 247,16: ἀνάγκης P καταφατικῆς Al.: ἀποφατικῆς P 20 αὐτῷ Al. 247,19: τι τῷ P 21 ἀδιόριστοι Al. 248,31 27 πληρώσας . . . κατηγορουμένου (66,4) Phil. f. 58ʳ—58ᵛ 33 εἰ . . . συμπέρασμα (34) Phil.: om. P

εἰ δὲ καὶ ἐν τούτῳ τῷ σχήματι καὶ ἐν τοῖς ἄλλοις ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου οὐ βούλεται τῇ κρείττονι τῶν προτάσεων ἕπεσθαι τὸ συμπέρασμα ἀλλὰ τῇ χείρονι, δῆλον ἄρα, ὅτι καὶ ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, ὅτε ἔλεγον τῇ μείζονι προτάσει ἕπεσθαι τὸ συμπέρασμα καὶ τὰς ἐχούσας τὴν μείζονα ἀναγκαίαν ἀναγκαῖον τὸ συμπέρασμα συνάγειν, οὐ τὸ κυρίως ἀναγκαῖον ἐβουλόμην συνάγεσθαι ἀλλὰ τὸ ἐξ ὑποθέσεως. ὥσπερ δὲ ἔχει ἡ τὴν μείζονα ἔχουσα ἀναγκαίαν συζυγία κατὰ τὸ συμπέρασμα, οὕτως καὶ ἡ ἀνάπαλιν ἔχουσα, λέγω δὴ ἡ τὴν ἐνδεχομένην. ἐν δὲ τῇ δείξει διαφέρουσιν, ὅτι ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδεχομένην μετὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος τῇ ἐπ' εὐθείας δείξει δείκνυται διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός, ἡ δὲ τὴν μείζονα ἔχουσα | ἀναγκαίαν μετὰ τὴν ἀντιστροφὴν 109v
τῆς ἐλάττονος τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυται. τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντὶ ὑπάρχει, τὸ δὲ Β τῷ Γ παντὶ ἐνδέχεται· οὐκοῦν καὶ τὸ Γ τινὶ τῷ Β· γίνεται οὖν τὸ πρῶτον σχῆμα τοῦ μὲν Α τῷ Γ παντὶ ὑπάρχοντος ἐξ ἀνάγκης, τοῦ δὲ Γ τῷ Β τινὶ ἐνδεχομένου. συνάγει οὖν καὶ τὸ ἐνδεχομένως τινί. καὶ τοῦτο δείκνυμεν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· εἰ γὰρ ψεῦδος τὸ 'ἐνδέχεται τινί', ἀληθὲς τὸ 'ἀνάγκη μηδενί'· εἰ τοίνυν τὸ Α τῷ Β ἀνάγκη μηδενί, τὸ δὲ Β τῷ Γ ἐνδεχομένως παντί, τὸ ἄρα Α τῷ Γ ἐνδέχεται μηδενί· τοῦτο ⟨γὰρ⟩ δείκνυται ἐν τῷ πρώτῳ σχήματι· ἦν δὲ καὶ ἐξ ἀνάγκης παντί, ὅπερ ἀδύνατον, ὅτι, ὃ ἐνδέχεται μηδενί, τοῦτο ἐνδέχεται παντί. ὁμοίως δὲ ἔχουσιν αἱ τοιαῦται προτάσεις ἐπὶ ταύτης τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος· πᾶσαι γὰρ αἱ τὴν μείζονα ἔχουσαι ἢ ὑπάρχουσαν ἢ ἀναγκαίαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην διὰ τοῦ ἀδυνάτου δείκνυνται.

Πάλιν ἔστωσαν ἀνομοιοσχήμονες αἱ προτάσεις, καὶ ἔστω ἡ μὲν μείζων ἀποφατικὴ καθόλου ἐνδεχομένη ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία· συνάγει αὕτη ἀντιστραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καταφατικὴν μερικὸν ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα. ἡ δὲ δεῖξις διὰ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενός· αὕτη γάρ ἐστιν ἡ κατ' εὐθεῖαν. εἰ γὰρ τὸ Α ἐνδέχεται μηδενὶ τῶν Γ. πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ οὐχ ὑπάρχει ἐνδεχομένως· ἓν δὲ τῶν μερῶν τοῦ Γ τι τῶν Β· τὸ γὰρ Γ τινὶ τῶν Β ὑπῆρχε διὰ τὴν ἀντιστροφήν· τὸ Α ἄρα τινὶ τῶν Β ἐνδεχομένως ⟨οὐχ⟩ ὑπάρχει. εἰ δὲ ἡ στερητικὴ πρότασις ἀναγκαία, τουτέστιν ἡ μείζων, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη, τοῦ μὴ ὑπάρχειν γίνεται τὸ συμπέρασμα. ἡ δὲ δεῖξις διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· δέδεικται δὲ ταῦτα ἐν πρώτῳ σχήματι. ὅτε δὲ ἐν πρώτῳ σχήματι οὕτως εἶχον αἱ προτάσεις, τουτέστιν ἡ μείζων ἦν ἀναγκαία ἀποφατικὴ ἡ δὲ ἐλάττων ἐνδεχομένη καταφατικὴ μερική, συνέβαινε τὸ Α τῷ Γ (οὗτοι γὰρ ἦσαν ἐκεῖ οἱ ἄκροι ὅροι) τινὶ μὴ ὑπάρχειν καὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν. οὕτως οὖν καὶ ἐνταῦθα, ἐπειδὴ ἀντιστρέψαντες τὴν | ἐλάττονα πρότασιν τοῦτον τὸν τρόπον ἐποιήσαμεν τοῦ 110r

2 κρείττονι Phil.: μείζονι P 6 οὐ Phil.: ὡς P 12 post τὸ add. γὰρ Phil. (cf. vs. 18) 18 γὰρ Phil.: om. P 19 ὃ Phil.: τὸ P 27 ἀποφατικὸν Phil.: καταφατικὸν P (cf. 66,7. 10) 30 τῶν (post τι) Phil.: τὸ P 31 οὐχ Phil.: om. P 35 post ταῦτα add. πλατύτερον Phil. ὅτε Phil. f. 58v: ὅτι P

πρώτου σχήματος. τὸ αὐτὸ πάλιν ⟨ἀνάγκη⟩ συνάγεσθαι συμπέρασμα· ὥστε τὸ Α τῷ Β (οὗτοι γάρ εἰσιν ἐνταῦθα οἱ ἄκροι), εἰ τινὶ οὐχ ὑπάρχει, καὶ τινὶ ἐνδέχεται μὴ ὑπάρχειν, δηλονότι τοῦ ἐνδεχομένου οὐκ ὄντος τοῦ κατὰ τὸν διορισμὸν ἀλλὰ τοῦ κατὰ τοῦ ὑπάρχοντος κατηγορουμένου. ὅταν δὲ ἡ ἐλάττων ἀποφατικὴ ἡ δὲ μείζων καταφατική, ἂν ἡ ἀποφατικὴ ἐλάττων οὖσα ἐνδεχομένη ᾖ, ἐκ μὲν τῶν κειμένων οὐκ ἔσται συλλογισμός· μεταληφθείσης δὲ τῆς καθόλου ἐνδεχομένης ἀποφατικῆς εἰς καταφατικὴν ἐνδεχομένην καὶ ἀντιστραφείσης ἔσται πάλιν τὸ πρῶτον σχῆμα ἐπὶ μέρους ἐνδεχόμενον καταφατικὸν ἔχον συμπέρασμα ἐπὶ τῇ μείζονι καθόλου καταφατικῇ ἀναγκαίᾳ καὶ τῇ ἐλάττονι ἐπὶ μέρους καταφατικῇ ἐνδεχομένῃ. εἰ δὲ ⟨ἡ⟩ ἐλάττων ἀποφατικὴ οὖσα ἀναγκαία εἴη, οὐκ ἔσται συλλογιστικὴ ἡ συζυγία· συνάγει γὰρ αὕτη τῇ τῶν ὅρων παραθέσει καὶ τὸ παντὶ καὶ τὸ μηδενί. τοῦ μὲν οὖν παντὶ ὑπάρχειν ὅροι ὕπνος, ἵππος καθεύδων, ἄνθρωπος· ὕπνος παντὶ ἀνθρώπῳ ἐνδεχομένως, καθεύδων ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ ὕπνος παντὶ ἵππῳ καθεύδοντι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενὶ ὕπνος, ἵππος ἐγρηγορώς, ἄνθρωπος· ὕπνος παντὶ ἀνθρώπῳ ἐνδεχομένως, ἐγρηγορὼς ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ ὕπνος οὐδενὶ ἵππῳ ἐγρηγορότι ἐξ ἀνάγκης.

Εἰ δὲ ἡ μὲν καθόλου τῶν προτάσεων εἴη ἡ δὲ ἐν μέρει, τὰ αὐτὰ πάλιν λεχθήσεται καὶ ἐπὶ τούτων, ἅπερ καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου συλλογισμῶν, περί τε τῶν συμπερασμάτων περί τε τῶν δείξεων. καὶ ἐπὶ μὲν τῶν ἐχουσῶν τὴν μείζονα καθόλου πρότασιν τὴν δὲ ἐλάττονα μερικὴν συλλογιστικῶν συζυγιῶν, λέγω δὴ ἐχουσῶν τὴν μείζονα ἀποφατικὴν ἢ καταφατικὴν τὴν δὲ ἐλάττονα καταφατικήν (αὗται γάρ εἰσι συλλογιστικαὶ ἐν τρίτῳ σχήματι), τοσοῦτον μόνη διαφορὰ τούτων πρὸς τὰς καθόλου συζυγίας, ὅτι ἐκεῖναι μὲν τὴν ἐλάττονα καθόλου ἔχουσαι πρὸς τὴν μερικὴν εἶχον αὐτὴν ἀντιστρεφομένην, ἐν τούτοις δὲ μερικῆς | οὔσης τῆς ἐλάττονος ἡ ἀντιστροφὴ πάλιν πρὸς αὐτὴν 110ᵛ τὴν μερικὴν γίνεται. ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν ἐλάττονα καθόλου τὴν δὲ μείζονα μερικήν, δηλονότι πάλιν συλλογιστικῶν συζυγιῶν, ἀμφοτέρων μὲν οὐσῶν καταφατικῶν ἡ διαφορὰ αὕτη πρὸς τὰς καθόλου, ὅτι ἐκεῖ μὲν τὴν ἐλάττονα ἀντιστρέφομεν, ἐνταῦθα δὲ τὴν μείζονα, καὶ ἐκεῖ μὲν δείξαντες τὸ συμπέρασμα δι' εὐθείας ἢ διὰ τοῦ ἀδυνάτου οὐδενὸς ἄλλου ἐδεόμεθα. ἐνταῦθα δὲ μετὰ τὸ δεῖξαι καὶ τὸ συμπέρασμα ἀντιστρέφομεν. οἷον ἔστω ἡ μείζων ὑπάρχουσα μερικὴ ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη, καταφατικαὶ ἀμφότεραι. λέγω οὖν οὕτως· τὸ Α τινὶ τῶν Γ ὑπαρχόντως, τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχομένως ὑπάρχει. εἶτα ἀντιστρέφω τὴν μείζονα πρότασιν· ἐὰν γὰρ ἀντιστρέφω τὴν ἐλάττονα, ἀσυλλόγιστος γίνεται ἡ συζυγία· ἀμφότεραι γὰρ γίνονται μερικαί. ἐπεὶ οὖν τὸ Α τινὶ τῷ Γ ὑπαρχόντως, καὶ τὸ Γ τινὶ τῷ Α· εἰ τοίνυν τὸ μὲν Β παντὶ τῷ Γ ἐνδεχομένως τὸ δὲ Γ τινὶ τῷ Α ὑπαρχόντως, γίνεται τὸ

1 ἀνάγκη Phil.: om. P 4 ὅταν . . . ἐξ ἀνάγκης (17) Al. 251,3—19 7 ἀποφατικῆς Al. 251,5. 6: καταφατικῆς P 10 ἐπὶ μέρους Al. 251,8. 9: καθόλου P εἰ δὲ . . . εἴη (11) Phil. f. 58ᵛ εἰ δὲ ἡ . . ἀποφατικὴ Phil.: ἡ δὲ . . καταφατικὴ P 15 ἐγρηγορώς Al. 251,17: ἐγρήγορσις P 18 εἰ δὲ . . . φανερῶν (68,40) Phil. f. 58ᵛ—59ᵛ 21 συλλογιστικῶν Phil.: συλλογιστικὴ P 35 ὑπάρχει scripsi: ὑπάρχειν P (ἐνδεχέσθω ὑπάρχειν Phil.)

πρῶτον· τὸ ἄρα Β τινὶ τῶν Α ἐνδεχομένως ὑπάρχει. ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι, ἀλλ' εἰ τὸ Α τινὶ τῶν Β ἐνδεχομένως ὑπάρχει. ἐπεὶ τοίνυν ἀντιστρέφει τὸ μερικὸν καταφατικόν, ἀντιστρέψας τὸ συμπέρασμα ἔχω τὸ ζητούμενον· εἰ γὰρ τὸ Β τινὶ τῶν Α ἐνδεχομένως ὑπάρχει, καὶ τὸ Α τινὶ τῶν Β ἐνδεχομένως ὑπάρχει, ὅπερ ἔδει δεῖξαι. καὶ ταῦτα δέ, ἐπειδὴ ὑπεθέμεθα τὴν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα ἀναγκαίαν. εἰ δὲ ἀνάπαλιν ὑποθώμεθα τὴν μείζονα ἀναγκαίαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην, μετὰ τὴν ἀντιστροφὴν τῆς μείζονος προτάσεως οὐκέτι τῇ κατ' εὐθεῖαν ἀλλ' ὡς ἐπὶ τῶν καθόλου συζυγιῶν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυται τὸ Β τῷ Α ἐνδεχομένως τινὶ ὑπάρχον, τουτέστιν ὁ ἐλάττων τῷ μείζονι. καὶ οὕτως τὸ συμπέρασμα ἀντιστρέψαντες εὑρήσομεν καὶ τὸ Α τινὶ τῶν Β ἐνδεχομένως ὑπάρχον, τουτέστι τὸν μείζονα τῷ ἐλάττονι. οὕτως μὲν εἰ ἀμφότεραι καταφατικαί. εἰ δὲ ἡ μὲν ἀποφατικὴ ἡ δὲ καταφατική, εἰ ἡ μείζων εἴη ἐνδεχομένη μερικὴ ἀποφατικὴ ἡ δὲ 111ʳ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία, τὸ συμπέρασμα γίνεται μερικὸν ἐνδεχόμενον, ὁποῖον ἐγίνετο, καὶ ὅτε ἦσαν ἀμφότεραι καθόλου. γίνεται δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. τὸ γὰρ Α ἐνδεχομένως μὴ παντὶ τῷ Γ, τὸ δὲ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης· συνάγεται τὸ Α ἐνδέχεσθαι μὴ παντὶ τῷ Β. εἰ γὰρ τοῦτο ψεῦδος, παντὶ ἐξ ἀνάγκης· ἀλλὰ μὴν καὶ τὸ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης· καὶ τὸ Α ἄρα παντὶ τῷ Γ ἐξ ἀνάγκης· ἀλλ' ὑπέκειτο μὴ παντὶ ἐνδέχεσθαι. ὅροι λευκόν, ἄνθρωπος, ζῶον· λευκὸν ἐνδεχομένως οὐ παντὶ ἀνθρώπῳ. ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ λευκὸν ἐνδεχομένως μὴ παντὶ ζώῳ. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί· εἰ τοίνυν λευκὸν παντὶ ζώῳ ἐξ ἀνάγκης, καὶ ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, καὶ λευκὸν παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ὑπέκειτο δὲ καὶ ⟨μὴ⟩ παντὶ ἐνδεχομένως. δυνατὸν δὲ καὶ διὰ τῆς ἐπὶ μέρους ἀντιστροφῆς δεῖξαι τὴν συζυγίαν συλλογιστικήν· ἡ γὰρ ἐπὶ μέρους ἀποφατικὴ ἐνδεχομένη πρὸς τὴν ἐπὶ μέρους καταφατικὴν ἐνδεχομένην ἀντιστρέφει. οἷον εἰ τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Γ, καὶ τὸ Γ ἐνδέχεται τινὶ τῷ Α· ἀλλὰ καὶ τὸ Β παντὶ τῷ Γ ἐξ ἀνάγκης· καὶ τὸ Β ἄρα τινὶ τῶν Α ἐνδέχεται. ἀντιστραφέντος οὖν καὶ τοῦ συμπεράσματος εἰς τὴν μερικὴν ἀποφατικὴν καὶ τὸ Α οὐ παντὶ τῷ Β ἐνδέχεται, ὅπερ ἔδει δεῖξαι. ὅταν δὲ ἡ στερητικὴ πρότασις ἀναγκαία ᾖ, ἡ δὲ καταφατικὴ ἐνδεχομένη, δηλονότι ἐναντίως τῇ πρὸ αὐτῆς συζυγίᾳ τὸ συμπέρασμα γίνεται μερικὸν ἀποφατικὸν ὑπάρχον. ἔστωσαν δὲ ὅροι ἄνθρωπος μὲν ἐπὶ τοῦ Α, περιπατητικὸν δὲ ἐπὶ τοῦ Β, ζῶον ⟨δ'⟩ ἐπὶ τοῦ Γ· ἄνθρωπος μὲν γὰρ οὐ παντὶ ζώῳ ἐξ ἀνάγκης, περιπατητικὸν δὲ ἐνδέχεται παντὶ ζώῳ, καὶ ἄνθρωπος οὐ παντὶ ὑπάρχει περιπατητικῷ. συνάγεται δὲ ἐνδεχόμενον οὐ ⟨τὸ⟩ κατὰ τὸν διορισμὸν ἀλλὰ τὸ συντρέχον τῷ ὑπάρχοντι. | ὅτι γὰρ οὐ συνάγεται τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, δῆλον 111ᵛ ἐντεῦθεν. εἰ γὰρ τὸ Α ἐνδέχεται [ἐνδέχεται] τινὶ τῷ Β ὑπάρχειν, καὶ τὸ Β ἐνδέχεται τινὶ τῶν Α μὴ ὑπάρχειν· ἀντιστρέφει γὰρ τὰ μερικὰ τοῦ κυρίως ἐνδεχομένου· ὑπῆρχε δὲ καὶ τὸ Γ παντὶ τῷ Β· τὸ ἄρα Γ τινὶ τῶν Α ἐν-

1 post πρῶτον add. σχῆμα Phil. 9 δείκνυται Phil.: δείκνυμεν P 12 post μὲν add. οὖν Phil. (cf. 54,24) εἰ Phil.: ἡ P 15 γίνεται Phil. f. 59r: γίνονται P 17 (καὶ) συνάγεται Phil.: συνάγον P 24 μὴ ex Phil. addidi 34 δ' Phil.: om. P 36 τὸ Phil.: om. P 38 ἐνδέχεται bis P 39 μὴ ante ὑπάρχειν vs. 38 transponerem, nisi etiam Phil. hic haberet

δέχεται ὑπάρχειν. εἰ δὲ τοῦτο, καὶ τὸ Α τινὶ τῶν Γ ἐνδέχεται ὑπάρχειν. ὃ δὲ ἐνδέχεται τινί, ἐνδέχεται καὶ μηδενί· ἐνδέχεται ἄρα τὸ Α μηδενὶ τῶν Γ ὑπάρχειν. ὃ δὲ ἐνδέχεται μηδενί, ἐνδέχεται καὶ παντί· ἐνδέχεται γὰρ πάντα ἄνθρωπον λούεσθαι καὶ μὴ λούεσθαι. ἐνδέχεται ἄρα τὸ Α παντὶ τῷ Γ ὑπάρχειν· ἀλλ' ὑπέκειτο καὶ μὴ παντὶ ἐξ ἀνάγκης· οὐκ ἄρα ἀληθὲς τὸ ἐνδεχομένως τὸ Α μὴ παντὶ τῷ Β ὑπάρχειν. ὥστε ὁποῖα ἐπ' ἐκείνων, φημὶ δὲ τῶν ἐξ ἀμφοτέρων καθόλου, ὑπῆρχε τὰ συμπεράσματα, τοιαῦτα καὶ ἐπὶ τούτων συμπίπτει. εἰδέναι δὲ δεῖ, ὅτι τὰ νῦν λεγόμενα κοινῶς ἐξακούειν δεῖ ἐπὶ πάντων ἁπλῶς· ὡς γὰρ ἐν τῷ πρώτῳ σχήματι σχοίη τὰ συμπεράσματα, οὕτως καὶ ἐν τοῖς ἄλλοις ἕξει σχήμασι τοῖς τὴν ὁμοίαν συμπλοκὴν ἔχειν δεικνυμένοις διὰ τῆς ἀντιστροφῆς. ὅταν δὲ ἡ μὲν μείζων μερικὴ καταφατικὴ [ἡ] ἀναγκαία ἡ ἡ δὲ ἐλάττων καθόλου ἀποφατικὴ ἐνδεχομένη, γίνεται συλλογισμὸς τοῦ ἐνδέχεσθαι μὴ παντὶ ἀντιστρεφομένης τῆς μερικῆς καταφατικῆς πρὸς ἑαυτήν· γίνεται γὰρ τὸ πρῶτον σχῆμα. εἰ γὰρ τὸ Α τῶν Γ τινὶ ἐξ ἀνάγκης, καὶ τὸ Γ τινὶ τῶν Α ἐξ ἀνάγκης· εἰ οὖν τὸ μὲν Β οὐδενὶ τῶν Γ ἐνδέχεται, τὸ δὲ Γ τινὶ τῶν Α ἐξ ἀνάγκης, τὸ ἄρα Β ἐνδέχεται μὴ παντὶ τῷ Α. τούτου δὲ τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τὸ Α ἐνδέχεται μὴ παντὶ τῷ Β· ἀντιστρέφει γὰρ ἡ μερικὴ ἀποφατικὴ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. ἐὰν δὲ ἡ ἐλάττων καθόλου ἀποφατικὴ ἀναγκαία εἴη, δηλονότι τῆς μείζονος μερικῆς οὔσης καταφατικῆς ἐνδεχομένης, οὐκ ἔσται συλλογισμός. ἀνάγεται μὲν ⟨γὰρ⟩ εἰς τὸ πρῶτον σχῆμα τῆς μείζονος πάλιν ἀντιστρεφομένης πρὸς ἑαυτήν· εἰ γὰρ τὸ Α ἐνδέχεται τινὶ | τῶν Γ, καὶ τὸ 112r
Γ τινὶ τῶν Α ἐνδέχεται. ἐπεὶ οὖν τὸ μὲν Β οὐδενὶ τῶν Γ ἐξ ἀνάγκης, τὸ δὲ Γ τινὶ τῶν Α ἐνδεχομένως, συνάγεται μὲν τὸ Β μὴ παντὶ τῷ Α ὑπάρχειν· οὐκ ἀντιστρεφούσης δὲ τῆς μερικῆς ἀποφατικῆς ὑπαρχούσης οὐ δυνατὸν ἀντιστρέψαι τὸ συμπέρασμα. ἀντιστρεφομένου γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ὅροι τοῦ μὲν παντὶ ὕπνος, ἵππος, κοιμώμενος ἄνθρωπος· ὕπνος μὲν γὰρ τινὶ ἵππῳ ἐνδέχεται ὑπάρχειν, κοιμώμενος δὲ ἄνθρωπος οὐδενὶ ἵππῳ ἐξ ἀνάγκης· ἀντιστραφείσης οὖν τῆς μείζονος μερικῆς καταφατικῆς (ἐνδέχεται γὰρ ⟨ἵππος⟩ τινὶ ὕπνῳ, τουτέστιν ὑπνοῦντι) συνάγεται ὕπνος παντὶ κοιμωμένῳ ἀνθρώπῳ. τοῦ ⟨δὲ⟩ μηδενί. ⟨ἂν⟩ ἀντὶ τοῦ κοιμωμένου ἀνθρώπου ἐγρηγορότα ἄνθρωπον λάβωμεν· ὕπνος γὰρ οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ. ἀλλὰ κἂν ἡ ἐλάττων εἴη μερικὴ ἀποφατικὴ ἀναγκαία ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, οὐ γίνεται συλλογισμός· πάλιν γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ὅροι οἱ αὐτοί· ὕπνος παντὶ ἵππῳ ἐνδεχομένως, καθεύδων ἄνθρωπος οὐ παντὶ ἵππῳ ἐξ ἀνάγκης, τῆς μερικῆς νῦν ἀντὶ τῆς καθόλου ἀποφατικῆς ⟨λαμβανομένης⟩· συνάγει γὰρ 'ὕπνος παντὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης'. εἰ δὲ ἀντὶ τοῦ καθεύδοντος ἀνθρώπου ἐγρηγορότα λάβοιμεν, καὶ τὸ οὐδενὶ συναχθήσεται. οὐκ ἐμνημονεύσαμεν δὲ καὶ τῶν ἄλλων ἀσυλλογίστων, λέγω δὲ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων καταφατικῶν καὶ ἀποφατικῶν ὡς ὄντων φανερῶν.

12 ἡ delevi 21 γὰρ Phil. f. 59v: om. P 29 οὖν Phil.: ἢ superscr. P 31 δὲ Phil.: om. P ἂν addidi (εἰ Phil.) 30 ἵππος ex Phil. addidi 33 καταφατικὴ Phil.: ἀποφατικὴ P 34 γίνεται Phil.: τινὶ P 36 λαμβανομένης addidi (διὰ τὴν . . . ἀληθευούσης Phil.) 40 ante ὡς add. καὶ ἀνομοιοσχημόνων Phil.

Ὅτι μὲν οὖν οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμοὶ διὰ τοῦ πρώτου σχήματος τελειοῦνται ἢ δεικτικῶς [ἢ] δι' ἀντιστροφῆς τῶν προτάσεων ἢ ἐξ ὑποθέσεως, τουτέστι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δῆλον ἐκ τῶν εἰρημένων· ἐδείξαμεν γὰρ αὐτοὺς τελειουμένους διὰ τῶν ἐν πρώτῳ σχήματι τρόπων τε καὶ συλλογισμῶν. ὅτι δὲ μηδεὶς συλλογισμὸς ἔξω τῶν εἰρημένων γίνεται τριῶν σχημάτων, ἀλλὰ πᾶς ἔν τινι τῶν σχημάτων ἐστὶ τούτων, φανερὸν νῦν ἤδη γενήσεται. οὕτω δ' ἂν εἴη συναποδεικνύμενον καὶ τὸ ὅτι πᾶς συλλογισμὸς εἰς τοὺς δύο τοὺς ἐν τῷ | πρώτῳ ἀνάγεται. ὅτι δὲ ἁπλῶς συλλογισμὸς 112
πᾶς οὕτως ἕξει, ὡς ἐξηριθμησάμεθα καὶ κατελέξαμεν τοὺς καθ' ἕκαστον σχῆμα δεικνύντες συλλογισμούς (εἰς γάρ τις ἔσται τούτων τῶν εἰρημένων ἡμῖν), τοῦτο ἂν δειχθήσεται, ἂν μηδεὶς ἔξω τῶν τριῶν, ὧν ἐξεθέμεθα, δειχθῇ γινόμενος. ἀνάγκη δὲ πᾶσαν ἀπόδειξιν καὶ πάντα συλλογισμὸν ἢ ὑπάρχον τί τινι ἢ μὴ ὑπάρχον δεικνύναι, καὶ ἑκάτερον τούτων ἢ κατὰ μέρος ἢ καθόλου· ἢ γὰρ παντὶ ὑπάρχειν ἢ μηδενί (ταῦτα γὰρ τὰ καθόλου) ἢ τινὶ ὑπάρχειν ἢ μὴ παντί· ταῦτα γὰρ τὰ ἐπὶ μέρους. καὶ ταῦτα διττῷ τρόπῳ δείξεως, ἢ δεικτικῶς ἢ ἐξ ὑποθέσεως. λέγω δὲ δεικτικῶς μὲν τοὺς κατηγορικῶς ἢ δι' οὐδεμιᾶς ὑποθέσεως ἀλλὰ τὸ προκείμενον ἄντικρυς καὶ αὐτόθεν δεικνύντας (οὐκ εἶπον δὲ κατηγορικῶς ἀλλὰ δεικτικῶς, ὅτι μηδὲ χρῶμαι τῷ κατηγορικῷ ὀνόματι ἐπὶ τούτου τοῦ τρόπου τῆς δείξεως ἀλλὰ τῷ δεικτικῷ, κατηγορικὸν δὲ ἐν ἔθει ἡμῖν ἐστι τὸ καταφατικὸν λέγειν), ἐξ ὑποθέσεως δὲ τοὺς ὑπόθεσίν τινα θέντας ἐν τῇ δείξει. τοῦ δὲ ἐξ ὑποθέσεως μέρος καὶ εἶδος ἡ δι' ἀδυνάτου δεῖξις· καὶ γὰρ ἐν τοῖς δι' ἀδυνάτου ὑποθέντες τὸ ἀντικείμενον οὐ βουλόμεθα δεῖξαι, πρὸς τοῦτο τὸν συλλογισμὸν ποιούμεθα δεικνύντες ἀδύνατον αὐτό. προηγουμένως μὲν συλλογιζόμενοι καὶ δεικνύντες τὸ ψεῦδός τε καὶ ἀδύνατον, κατὰ συμβεβηκὸς δὲ κατασκευάζοντες τὸ ἀληθές τε καὶ τὸ προκείμενον.

Πρῶτον μὲν οὖν εἴπωμεν περὶ τῶν δεικτικῶς [εἰ] τι ἢ κατηγορικῶς δεικνύντων· τούτου γὰρ δειχθέντος, ὡς οὗτοι διὰ τῶν προειρημένων γίνονται σχημάτων, ὕστερον καὶ περὶ τῶν δι' ἀδυνάτου καὶ ὅλως περὶ τῶν ἐξ ὑποθέσεως γνώριμον ἔσται, ὅπως κἀκεῖνοι εἰς ταῦτα ἀνάγονται. εἰ δὴ πρόκειται ἡμῖν καταφατικὸν ποιῆσαι συμπέρασμα τοῦ Α πρὸς τὸ Β ἢ ἀποφατικόν (τὸ γὰρ δεικτικὸν τοιοῦτον), ἀνάγκη μὲν λαβεῖν τί τινος κατηγορούμενον· μηδενὸς γὰρ λαμβανομένου οὐδ' ἂν δειχθείη τι. οὐδ' ἂν ὑποθετικὸς ληφθῇ, ὁ συλλογισμὸς ἔτι δεικτικός. ἀλλ' οὐδ' ἂν ἄλλο τι ἄλλου κατηγορούμενον ληφθῇ μὴ συνάπτῃ δὲ πρὸς τὸ Α ἢ τὸ Β, οὐδ' ὅλως περὶ τούτων ὁ λόγος ἔσται. ἀλλὰ μὴν οὐδ' εἰ τὸ Α κατὰ τοῦ Β λαμβάνομεν κατηγορεῖσθαι· εἴημεν γὰρ ἄν, ὃ βουλόμεθα δεῖξαι, τοῦτο λαμβάνοντες, ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ 113r
λαμβάνειν· τὸ γὰρ τὴν ἀρχὴν ζητούμενον οὐχ ὡς ζητούμενον ἀλλ' ὡς οὕτως ἔχον ληψόμεθα. κατ' ἄλλου γ' ἄρα τὸ Α ἢ ἄλλο κατὰ τοῦ Α. εἰ μὲν

---

1 ὅτι μὲν . . γίνονται (76,31) Al. 255,3—267,4 2 ἢ alterum om. Al. 255,6 3 ὑποθέσεως Arist.: ὑποθέσεων P (cf. vs. 16. 20) 8 post πρώτῳ add. σχήματι τοὺς ἐκ καθόλου προτάσεων ἀφοτέρων Al. 255,23 14 post μηδενὶ add. δείκνυσιν ὁ συλλογιζόμενος Al. 256,7 17 αὐτόθεν Al. 256,12: αὐτόθι P 18 κατηγορικῷ Al. 256,12. 13: δεικτικῶ ut vs. sq. P 22 οὗ Al. 256,22: οὐ P 26 τι ἢ scripsi: εἴ τι ἦν P 32 ληφθῇ Al. 256,35: δειχθῇ P 33 ἔτι Al.: εἴ τε P 36 εἴημεν ut Al. 257,1 scripsi: εἴη μὲν P (B) cf. 79,28 38 τὸ Al. 257,4: τοῦ P

οὖν τὸ Α κατὰ τοῦ Γ κατηγορήσαμεν. τὸ δὲ Γ κατὰ μηδενός, μηδ' ἄλλο τι κατὰ τοῦ Γ, ἀλλὰ μηδὲ κατὰ τοῦ Α τι ἕτερον, μηδὲ τὸ Α κατ' ἄλλου, οὐδὲ συλλογιστικῶς ὅλως ποιήσομεν· οὐ γὰρ γίνεται συλλογισμὸς μιᾶς τινος ληφθείσης προτάσεως· μιᾶς γὰρ ληφθείσης οὐδὲν συμβαίνει συλλογιστικῶς· ἦν γὰρ συλλογισμὸς λόγος, ἐν ᾧ 'τεθέντων τινῶν', οὐ 'τινὸς τεθέντος'. δεῖ ἄρα προσλαβεῖν καὶ ἑτέραν πρότασιν, ἵνα δειχθῇ συλλογιστικῶς τί τινι ὑπάρχον ἢ μὴ ὑπάρχον. ἂν μὲν οὖν προσληφθῇ τὸ Α κατά τινος ἄλλου, φέρε εἰπεῖν τοῦ Δ, ἀποφατικῶς, ἔσται συλλογισμὸς ἐν δευτέρῳ σχήματι τοῦ Γ πρὸς τὸ Δ. ἂν δ' ἄλλο τι κατὰ τοῦ Α, φέρε εἰπεῖν τὸ Δ, συλλογιστικῶς, ἔσται συλλογισμὸς ἐν πρώτῳ σχήματι τοῦ Δ πρὸς τὸ Γ. ἂν δὲ κατὰ τοῦ Γ ὡς τὸ Α οὕτως καὶ ἄλλο τι συλλογιστικῶς, φέρε εἰπεῖν τὸ Δ, ἔσται συλλογισμὸς ἐν τρίτῳ σχήματι τοῦ Α πρὸς τὸ Δ. διὸ οὐδὲν κωλύσει ἐκ τῶν ὄντων καὶ λαμβανομένων γίνεσθαι συλλογισμόν· οὐ μέντοι τὸ Β ἢ τὸ Α δειχθήσεται κατηγορούμενον, ὃ προέκειτο, ἢ ὅλως ἄλλο τι τῶν προειρημένων τῷ μηδὲ τὴν ἀρχὴν εἰλῆφθαι τὸ Β ἐν ταῖς κειμέναις προτάσεσι μηδὲ συνῆφθαι αὐτῷ τινα τῶν ὅρων. ἀλλ' οὐδ' ἂν ἐπ' εὐθείας λαμβάνωμεν ὡς τὸ Α κατὰ τοῦ Γ οὕτως τὸ Γ κατ' ἄλλου κἀκεῖνο πάλιν κατ' ἄλλου· καὶ γὰρ οὕτως πάλιν, ἂν συλλογιστικῶς ληφθῶσιν αἱ προτάσεις, ἔσται μὲν τὸ Α τοῦ ἐσχάτου ληφθέντος κατηγορούμενον ἐν πρώτῳ σχήματι, οὐ μὴν τοῦ Β, εἰ μὴ τοῦτο εἴη εἰλημμένον. ὅλως γάρ, εἰ μὴ εἴη πρὸς τὸ Β συναπτόμενός τις ὅρος ὥσπερ πρὸς τὸ Α, οὐδεὶς ἔσται πρὸς τὸ Β συλλογισμὸς τοῦ Α, ὅπερ ἦν δεῖξαι προκείμενον. οὐδεὶς γὰρ γίνεται συλλογισμὸς ἄλλου πρὸς ἄλλο, εἰ μὴ ληφθείη τις αὐτῶν μέσος ὅρος, ὃς πρὸς ἀμφότερα τὰ ἄκρα, ὧν πρόκειται ποιήσασθαι τὴν δεῖξιν, ἕξει σχέσιν τινὰ ὡς ἀμφοτέροις συνῆφθαι ἢ τῷ κατηγορεῖσθαι ἀμφοτέρων | συλλογιστικῶς ἢ τῷ ὑποκεῖσθαι ἀμφοτέροις ἢ τῷ τοῦ μὲν κατηγορεῖσθαι τῷ δὲ ὑποκεῖσθαι. καθόλου μὲν γὰρ ὁ συλλογισμὸς ἐκ προτάσεών ἐστιν ἐχουσῶν μέσον ὅρον τινὰ καὶ κοινόν· ὁ δὲ πρὸς ὡρισμένον τι συλλογισμὸς ἐκ τῶν πρὸς τοῦτο συναπτουσῶν προτάσεων. ὥστε, εἰ μὴ πρὸς τοῦτο συνάπτοιέν πως αἱ συλλαμβανόμεναι προτάσεις, συλλογισμὸν μὲν οὐδὲν κωλύει γενέσθαι, οὐ μὴν πρὸς τοῦτο. εἰ γὰρ εἴη προκείμενον πρὸς τὸ Α ποιήσασθαί τινα συλλογισμόν, δεῖ τὸ πρῶτον ἄκρον ὅρον ληφθῆναι κατά τι τῶν τριῶν σχημάτων συνάπτοντα πρός τινα μέσον ὅρον καὶ ἕτερον ἄκρον· ἄλλως γὰρ οὐκ ἂν γένοιτο πρὸς αὐτὸ συλλογισμός. οἷον εἰ εἴη τι προκείμενον περὶ ἡδονῆς συλλογίσασθαι, ἂν λάβωμεν, ὅτι πᾶσα ἡδονὴ κατὰ φύσιν, πᾶν τὸ κατὰ φύσιν αἱρετόν, καὶ ποιήσομέν τινα συλλογισμὸν πρὸς τὸ προκείμενον. οὐδὲν ἧττον ἔσται πρὸς τὸ προκείμενον, κἂν λάβωμεν 'πᾶσα ἡδονὴ κίνησις, πᾶσα κίνησις ἀτελής'· οὐ γὰρ ἦν ἡμῖν ὡρισμένος ὁ κατηγορούμενος. πάλιν δὲ ὁ τοῦδέ τινος πρὸς τόδε συλλογισμὸς ἀμφοτέρων ὡρισμένων ἐκ τῶν πρὸς τόδε καὶ τόδε συναπτουσῶν προτάσεων. εἰ δὲ δὴ πρόκειται τοῦ Α πρὸς τὸ Β ποιήσασθαι συμπέρασμα, δεῖ καὶ πρὸς τὸ Β συνάπτειν τὰς προτάσεις, μὴ μόνον πρὸς τὸ Α, ὡς ἔχουσιν, ἃς ἐλάβομεν· ἀδύνατον γὰρ συνάπτειν πρός τι πρότασίν τινα μηδενὸς τούτων μήτε ὑποκειμένου λαμβανομένου μήτε κατη-

ἀποφατικῶς Al. 257, 14: ἀποφατικὸς P 12 οὐδὲν Al. 257, 19: οὐδὲ P 29 πῶς P
35 καὶ om. Al. 258, 5

γορουμένου αὐτοῦ. ἀλλ' οὐδὲ τοῦ Α πρὸς τὸ Β γένοιτ' ἄν ποτε συμπέρασμα, εἰ μηδὲν κοινὸν αὐτῶν ληφθείη, ὃ συνάψει αὐτά, ἀλλ' ἑκατέρου αὐτῶν ἰδίᾳ τινὰ ἢ καταφάσκοιτο ἢ ἀποφάσκοιτο. εἰ δὴ μόνως μὲν γένοιτ' ἂν συλλογισμὸς τοῦδέ τινος πρὸς τόδε τι, εἰ κοινόν τι καὶ μέσον αὐτῶν ληφθείη, ἡ δὲ τοῦ μέσου σχέσις πρὸς τούς, ὧν λαμβάνεται μέσον, τριχῶς γίνεται (ἢ γὰρ ἐν μέσῳ τίθεται αὐτῶν, τῷ μὲν ὑποκείμενος τοῦ δὲ κατηγορούμενος, ἢ ἀμφοτέρων κατηγορεῖται, ἢ ἀμφοτέροις ὑπόκειται) καὶ παρὰ ταύτας | οὐχ οἷόν τε αὐτὸν 114r
μὴ σχέσιν καὶ θέσιν πρὸς τούς, ὧν λαμβάνεται μέσος, ἔχειν, αἱ δὲ προειρημέναι θέσεις αὐτοῦ ποιοῦσι τὰ τρία σχήματα, φανερὸν ὡς πᾶς δεικτικὸς συλλογισμὸς διά τινος τῶν τριῶν γίνεται σχημάτων, ὧν εἰρήκαμεν, καὶ κατὰ τὰς ἐν ἑκάστῳ συλλογιστικὰς συζυγίας πάσας· πᾶς ἄρα κατηγορικὸς τουτέστι δεικτικὸς συλλογισμὸς εἷς ὧν εἰρήκαμεν ἔσται συλλογισμῶν. ὁ γὰρ αὐτὸς λόγος, εἰ καὶ διὰ πλειόνων συνάπτοιτο πρὸς τὸ Β· καὶ γὰρ εἰ μὴ δι' ἑνὸς ὅρου μέσου τὸ Α τῷ Β συνάπτοιτο ἀλλὰ καὶ διὰ πλειόνων, καὶ ἡ τῶν πλειόνων μέσων λῆψις κατά τι τῶν τριῶν σχημάτων ἔσται. ἂν μὲν γὰρ ἐπ' εὐθείας ᾖ τὰ πλείω μέσα εἰλημμένα ὡς εἶναι τὸ Α κατὰ τοῦ Γ, τὸ Γ κατὰ τοῦ Δ, τὸ Δ κατὰ τοῦ Ε, τὸ Ε κατὰ τοῦ Β, ἐν πρώτῳ σχήματι ὁ συλλογισμὸς τοῦ Α πρὸς τὸ Β. ἂν δὲ ᾖ τὸ Γ κατὰ μὲν τοῦ Α ἀποφατικῶς κατὰ δὲ τοῦ Δ καταφατικῶς, ἐν δευτέρῳ σχήματι τὸ Α κατ' οὐδενὸς τοῦ Δ συναχθήσεται· ἂν δὴ προσλάβωμεν τῇ Α Δ προτάσει καθόλου οὔσῃ ἀποφατικῇ τὸ Δ παντὶ τῷ Β συναχθήσεται τὸ Α οὐδενὶ τῶν Β ἐν δευτέρῳ σχήματι διὰ μέσων τοῦ τε Γ καὶ τοῦ Δ. ἂν δέ γε τὸ Γ κατὰ παντὸς τοῦ Δ καὶ πάλιν τὸ Β κατὰ παντὸς τοῦ Δ, γίνεται ἐν τρίτῳ σχήματι τὸ Β κατὰ τινὸς τοῦ Γ· ἂν δὴ λάβωμεν τὴν Β Γ πρότασιν ἐπὶ μέρους καταφατικήν, τὸ Α παντὶ τῷ Γ, συναχθήσεται τὸ Α τινὶ τῷ Β. ἂν δέ γε τὸ Α καὶ τὸ Β κατὰ παντὸς τοῦ Δ καὶ πάλιν τὸ Β κατὰ παντὸς τοῦ Γ, γίνεται καὶ τὸ Α κατὰ τινὸς τοῦ Β διὰ πλείονων μέσων (καὶ γὰρ διὰ τῶν Δ, Γ) ἐν τρίτῳ σχήματι.

Ἑξῆς δὲ δεικτέον καὶ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς διὰ τούτων τινὸς τῶν σχημάτων γινομένους, καὶ προχειριστέον ἐξ αὐτῶν τοὺς δι' ἀδυνάτου, καὶ δεικτέον, πῶς καὶ οὗτοι ἐξ ὑποθέσεώς τέ εἰσι καὶ διά τινος τῶν σχημάτων συνάγονται. ἐξ ὑποθέσεως μὲν οὖν εἰσιν, ὅτι, οὗ βούλονται δεῖξαι, τὸ ἀντικείμενον ἀντιφατικῶς τούτου ὑποτίθενται. συλλογιζόμενοι δέ τι διά τε τούτου καὶ ἄλλης | τινὸς ἀληθοῦς προτάσεως δεικτικῶς διὰ τούτου ἀναιροῦσι μὲν 114v
τὴν ὑπόθεσιν ὡς ἂν αἰτίαν ἀδυνάτου συμπεράσματος, τιθέασι δὲ αὐτῆς τὸ ἀντικείμενον, οὐκέτι τοῦτο συλλογιζόμενοι. πάντες δὲ οἱ δεικτικοὶ συλλογισμοὶ ἐδείχθησαν διά τινος τῶν τριῶν σχημάτων γινόμενοι· ὥστε καὶ ὁ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ συλλογισμὸς διά τινος ἂν γένοιτο τῶν τριῶν σχημάτων

---

2 ἴδια P 3 γένοιτ' ἄν, sic etiam a B Al. 258,16, ubi γένοιτο correxi 7 παρὰ Al. 258,20: περὶ ut saepe P 8 μὴ om. Al. 12 ὧν εἰρήκαμεν Al. 258,25: ὠρήκαμεν P 14 καὶ prius om. Al. 258,28 20 κατ' λου (sic) P 24 προσλάβωμεν τῇ . . καταφατικῇ Al. 258,38 (sed λάβωμεν et καταφατικὴν B) 25. 26 δέ γε τὸ α . . . πάλιν τὸ β] sic B quoque Al. 259,1. 2, ubi δὴ τὸ γ . . . πάλιν τὸ α scripsi 27 καὶ om. Al. 259,3 31 οὗ Al. 259,9: οὗ P 32 τούτου scripsi: τοῦτο P: om. Al. 33 post προτάσεως add. ἀδύνατον Al. 259,10 34 ὡς ἂν] sic etiam B corr. Al. 259,11, ubi οὖσαν scripsi

ὧν γε κατηγορικός τε καὶ δεικτικός. ὁ γὰρ δι' ἀδυνάτου τι δεικνὺς συλλογίζεται μὲν δεικτικῶς τὸ ψεῦδος, ὡς εἶπον· ὃ δὲ βούλεται δεῖξαι καὶ ὃ ἐξ ἀρχῆς αὐτῷ πρόκειται τῷ διὰ συλλογισμοῦ δεικτικοῦ τὸ ἀντικείμενον αὐτοῦ, ὃ ὑπέθετο, δεῖξαι δυνατὸν ὄν, τῇ τούτου ἀναιρέσει τίθησί τε καὶ δείκνυσι. βουλόμενος γάρ τις δεῖξαι, ὅτι μηδείς ἐστιν ἄνθρωπος πτηνός, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὑποθέμενος οὗ βούλεται δεῖξαι τὸ ἀντικείμενον (τοῦτο δέ ἐστι τὸ τινὰ ἄνθρωπον πτηνὸν εἶναι), ταύτῃ προσλαβὼν ἀληθῆ καὶ ὁμολογουμένην πρότασιν τὴν 'πᾶν πτηνὸν πτέρυγας ἔχει' συλλογίζεται διὰ κατηγορικοῦ συλλογισμοῦ ὄντος ἐν πρώτῳ σχήματι τὸ τινὰ ἄνθρωπον πτέρυγας ἔχειν. καὶ ὁ μὲν συλλογισμὸς ὁ γινόμενος διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὗτος· τὸ δ' ἐξ ἀρχῆς προκείμενον τὸ μηδένα ἄνθρωπον πτηνὸν εἶναι οὐ διὰ συλλογισμοῦ δείκνυται ἀλλὰ διὰ τὸ τοῦ ἀδυνάτου συμπέρασμα αἰτίαν γενέσθαι τὴν ὑποτεθεῖσαν πρότασιν, ἥτις ἦν ἀντικειμένη τῇ δειχθῆναι προκειμένῃ. καὶ ἀναιρεῖται μὲν ἐκείνη, τίθεται δὲ αὕτη τῷ δεῖν τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς εἶναι. πάλιν βουλόμενός [ὅτι] τις δεῖξαι, ὅτι μή ἔστι κίνησις διὰ κενοῦ, δι' ἀδυνάτου ὑποτίθεται μὲν τὸ εἶναι κίνησιν διὰ κενοῦ, δείξας δὲ καὶ συλλογισάμενός τι ἀδύνατον διὰ τὴν ὑπόθεσιν, ἀνελὼν ταύτην τίθησι τὸ προκείμενον· δεικνυσι γάρ, ὅτι, εἰ ἔστι διὰ κενοῦ κίνησις, ἰσοταχῶς τὰ βαρύτερα καὶ τὰ κουφότερα κινήσεται. ἡ δὲ δεῖξις ⟨διὰ⟩ κατηγορικοῦ συλλογισμοῦ οὕτως· ἐν ᾧ μηδέν ἐστι τὸ διαιρούμενον ὑπὸ τῶν δι' αὐτοῦ κινουμένων, ἐν τούτῳ ἀνάγκη | πάντα τὰ κινούμενα ἰσοταχῶς κινεῖσθαι· ἐν δὲ τῷ κενῷ οὐδέν ἐστι τὸ διαιρού- 115r
μενον ὑπὸ τῶν δι' αὐτοῦ κινουμένων· ἐν τῷ κενῷ ἄρα ἀνάγκη πάντα τὰ κινούμενα ἰσοταχῶς κινεῖσθαι. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· ἀδύνατον ἄρα καὶ τὸ κίνησιν γίνεσθαι διὰ κενοῦ· οὐκ ἄρα ἔσται κίνησις διὰ κενοῦ. καὶ ἐν τούτῳ δὴ τῷ συλλογισμῷ διὰ μὲν συλλογισμοῦ κατηγορικοῦ τὸ ἀδύνατον δέδεικται· τὸ δὲ μὴ εἶναι κίνησιν διὰ κενοῦ τῇ τῆς ὑποθέσεως ἀναιρέσει τίθεται. εἰ δὲ καὶ ἐπὶ τῆς ⟨εἰς⟩ ἀδύνατον ἀπαγωγῆς ὁ γινόμενος τοῦ ψεύδους συλλογισμὸς δεικτικός ἐστι, τουτέστι κατηγορικός, καὶ διά τινος τῶν τριῶν περαίνεται σχημάτων, εἶεν ἂν ἐν τοῖς σχήμασι τοῖς τρισὶ καὶ οἱ δι' ἀδυνάτου συλλογισμοὶ μέρος ὄντες τῶν ἐξ ὑποθέσεως.

Ὡσαύτως δὲ καὶ οἱ ἄλλοι πάντες ὁμοίως τούτοις γίνονται οἱ ἐξ ὑποθέσεως, ὡς γὰρ ἐπὶ τῶν δι' ἀδυνάτου ὁ συλλογισμὸς πρὸς τὸ ὑποτεθὲν γίνεται, ὃ μεταλαβόντες ἀνθ' οὗ βουλόμεθα δεῖξαι, τὸ ἀντικείμενον αὐτῷ ὑποτίθεμεν καὶ δεικτικὸν ἐξ αὐτοῦ τε καὶ ἑνὸς τῶν κειμένων ἐποιήσαμεν συλλογισμόν, οὕτως καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐξ ὑποθέσεως γινομένων· ὁ μὲν γὰρ συλλογισμὸς πρὸς τὸ μεταλαμβανόμενον γίνεται δεικτικὸς ὤν. μεταλαμβανόμενον δὲ λέγω ἐκεῖνο, οὗ ἡ δεῖξις καὶ ὁ συλλογισμὸς γίνεται, ὅ ἐστι ποτὲ μὲν τὸ ἀντικείμενον τοῦ προκειμένου, ὡς ἐπὶ τῆς ⟨δι'⟩ ἀδυνάτου δείξεως, ποτὲ δὲ τὸ

1 ἀδυνάτου Al. 259,16: ἀδύνατον P 3 δεικτικοῦ Al. 259,18: δεικτικῶ P 4 δυνατὸν P (B): ἀδύνατον recte Al. (a) 6 οὗ Al. 259,21: οὐ P 8 ἔχει Al. 259,23: ἔχειν P 11 συλλογισμοῦ Al. 259,26: συλλογισμῶν P (cf. 73,30) 12 συμπέρασμα P (a B): συμπεράσματος scripsi Al. 259,27 15 ὅτι prius om. Al. 259,30 19 διὰ Al. 259,34: om. P 27 εἰς ἀδύνατον Al. 261,25: ἀδυνάτου P συλλογισμὸς Al.: συλλογιστικὸς P 36 μεταλαμβανόμενον prius Al. 262,6: λαμβάνομενον P 38 δι' Al. 262,8: om. P

ἐξ ὁμολογίας ληφθέν· τοῦτο δὲ οἱ νεώτεροι προσλαμβανόμενον λέγουσιν. ὁ μὲν οὖν συλλογισμὸς τούτου γίνεται. τὸ δὲ προκείμενον ἐξ ἀρχῆς εἰς δεῖξιν ἤτοι δι' ὁμολογίας τινὸς τίθεται ἢ διά τινος ἄλλης ὑποθέσεως· ὑπόθεσις γὰρ καὶ ἡ ὁμολογία. οἷον ζητουμένου, εἰ τὰ ἀντικείμενα συνυπάρχειν δύνανται ἢ οὔ, ἂν συνθώμεθα καὶ ὁμολογήσωμεν ἀλλήλοις ὡς ἐφ' ἑνὸς τῶν ἀντικειμένων οὕτως ἔχειν καὶ ἐπὶ πάντων, ἔπειτα τὰ ἐναντία προχειρίσαμενοι δείξαμεν διὰ συλλογισμοῦ ταῦτα μὴ συνυπάρχειν λαβόντες, ὅτι τὰ ἐναντία ἀλλήλων ἐστὶ φθαρτικά, τὰ δὲ ἀλλήλων φθαρτικὰ | οὐχ οἷόν τε συνυπάρχειν ἀλλήλοις, τὰ 115v ἄρα ἐναντία οὐχ οἷόν τε συνυπάρχειν ἀλλήλοις, ὁ μὲν συλλογισμὸς κατηγορικός τε ἅμα καὶ δεικτικὸς γέγονε πρὸς τὸ μεταληφθὲν ἀντ' ἐκείνου τοῦ τὴν ἀρχὴν εἰς δεῖξιν προκειμένου. ἦν γὰρ κείμενον ἐκεῖνο μὲν 'εἰ τὰ ἀντικείμενα δύναται συνυπάρχειν', μετελήφθη δ' ἀντ' ἐκείνου τὰ ἐναντία, καὶ περὶ τούτων ἡ δεῖξις ἐγένετο καὶ ὁ συλλογισμός. τὸ δὲ ἐξ ἀρχῆς προκείμενον τούτου δειχθέντος συλλογιστικῶς ἐξ ὁμολογίας τίθεται, ἐπεὶ συνεθέμεθα καὶ ὡμολογήσαμεν ὡς ἂν ἐφ' ἑνὸς τῶν ἀντικειμένων δειχθῇ, οὕτως ἐπὶ πάντων ἕξειν. οὐκ ἐδεήθημεν δὲ τοιαύτης ὁμολογίας ἐπὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἀλλὰ ψιλῆς τῆς ⟨τοῦ ἀντι⟩κειμένου ὑποθέσεως· τοῦ δὲ τὸ προκείμενον δειχθῆναι τοῦ συλλογισθέντος εὑρεθέντος ἀδυνάτου ἡ τῆς ἀντιφάσεως φύσις αἰτία.

Δι' ὑποθέσεως δὲ ἄλλης, ὡς εἶπον, εἶεν ἂν καὶ οἱ διὰ τροπικοῦ καὶ τῆς προσλήψεως γινόμενοι. τοῦ τροπικοῦ ἢ συνημμένου ὄντος ἢ διεζευγμένου ἢ συμπεπλεγμένου, οὓς οἱ ἀρχαῖοι λέγουσι μικτοὺς ἐξ ὑποθετικῆς προτάσεως καὶ δεικτικῆς, τουτέστι κατηγορικῆς. εἰ γὰρ εἴη ὑποκείμενον συνεχὲς ἢ συνημμένον τὸ 'εἰ ἐπιστήμη ἐστὶν ἡ ἀρετή, διδακτόν ἐστιν ἡ ἀρετή', εἶτα δεικνύοιτο, ὅτι ἐπιστήμη ἡ ἀρετή ἐστι, δεδειγμένη ἂν εἴη, ὅτι καὶ διδακτή· οὕτως γὰρ ἂν προσληφθείη ὡς οὕτως ἔχον, εἰ δειχθείη, ὅτι ἐπιστήμη. ὁ μὲν οὖν συλλογισμὸς πάλιν ἂν εἴη πρὸς τοῦτο καὶ τούτου κατηγορικός· οἷον πᾶσα ἕξις ἀμετάπτωτος ἀπὸ ἀληθοῦς εἰς ψεῦδος ἐπιστήμη· ἡ δ' ἀρετὴ ἕξις ἀμετάπτωτος ἀπὸ ἀληθοῦς εἰς ψεῦδος· ἡ ἀρετὴ ἄρα ἐπιστήμη. οὐδὲ γὰρ ἄλλως ἂν τεθείη, ὅτι ἡ ἀρετὴ ἐπιστήμη ἐστί, διὰ συλλογισμοῦ, εἰ μὴ διὰ κατηγορικοῦ συλλογισμοῦ. δειχθέντος δὲ τούτου διὰ συλλογισμοῦ τὸ ἐξ ἀρχῆς γίνεται κατασκευαζόμενον διὰ τὴν ὑπόθεσιν· ὑπετέθη γὰρ ἐν τῷ συνεχεῖ τὸ εἰ ἀρετὴ ἐπιστήμη ἐστί, διδακτὴν αὐτὴν | εἶναι. εἰ γὰρ εἴη τὸ προσλαμβανόμενον 116r δείξεως μὴ δεόμενον ἀλλὰ φανερὸν καὶ γνώριμον ὡς καὶ τὸ συνημμένον, οὐδὲ συλλογισμὸς ὁ λόγος ἂν εἴη ὁ τοιοῦτος. οὐδὲ γὰρ χρείαν συλλογισμῶν τινα καὶ ἀρχὴν τὸν τοιοῦτον παρέχεσθαι λόγον οἷόν τε· δεῖ γὰρ τὸν συλλογισμὸν δεικνύναι, ὃ ἄνευ τοῦ συλλογισμοῦ οὐκ ἔστι γνώριμον. τὸ μὲν οὖν συνημμένον ὡς γνώριμον ἐν τοῖς ὑποθετικοῖς, ἃ τροπικὰ λέγουσι, λαμβάνεταί τε καὶ τίθεται, ἐν οἷς γε οὕτως ἔχει. λείπεται δὲ τὸ προσλαμβανόμενον ἀμφισβητούμενον εἶναι καὶ δεόμενον δείξεως. ὁ δὴ συλλογισμὸς τοῦ τοῦτο οὕτως

4 δύναται Al. 262,13 (cf. vs. 11) 6 δείξαμεν] sic etiam a B Al. 262,15, ubi δείξωμεν scripsi 15 ἂν Al. 262,23: ἐὰν P 16 ὁμολογίας Al. 262,24: ἀπαγωγῆς P τοῦ ἀντικειμένου Al. 262,25: κειμένου P 25 ὡς οὕτως Al. 262,35: ὡσαύτως P 30 συλλογισμοῦ alterum Al. 263,5: συλλογισμῶν P (cf. 72,11) ἐξ ἀρχῆς Al. 263,5: ἐξάρχον P 34 ὁ λόγος Al. 263,9: ὅλος P συλλογισμοῦ Al. (cf. vs. 30) 35 καὶ] τὴν Al. 39 τοῦ τοῦτο scripsi ut Al. 263,15: τούτου τὸ P (B)

ἔχειν ἔσται κατηγορικός τε καὶ δεικτικός. ὥστε καὶ ἐν τοῖς ὑποθετικοῖς τοῖς
ἐκ τροπικοῦ [καὶ] συνημμένου συλλογισμοῖς τὸ μὲν κατασκευαζόμενον καὶ
δεόμενον δείξεως διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ. τὸ δὲ ἐξ ἀρχῆς
προκείμενον δείκνυται οὐ διὰ τοῦ συλλογισμοῦ ἀλλὰ διὰ τῆς ὑποθέσεως τῆς
5 προτεθείσης· ἦν δὲ αὕτη τοῦ συνημμένου. οὐδὲ γὰρ οἷόν τε τὸ μὴ γνώριμον
δειχθῆναι, ὅτι τόδε τί ἐστιν ἢ τοιόνδε, ἢ ὅλως κατασκευασθῆναί τι καὶ τεθῆναι
ὅλως, εἰ μὴ διὰ κατηγορικοῦ συλλογισμοῦ. κἂν τὸ συνεχὲς δὲ δέηται δείξεως
συλλογιστικῆς, κἀκεῖνο διὰ κατηγορικοῦ δειχθήσεται συλλογισμοῦ· εἰ γὰρ εἴη
ζητούμενον, διὰ τί, εἰ ἡ ἀρετὴ ἐπιστήμη, διδακτή, ληφθείσης καθόλου προτά-
10 σεως τῆς 'πᾶσα ἐπιστήμη διδακτόν, ἡ δ' ἀρετὴ ἐπιστήμη' γίνεται κατη-
γορικὸς συλλογισμός.

Διαφέρειν δὲ δοκεῖ κατὰ τοὺς ἀρχαίους τὸ μεταλαμβανόμενον τοῦ προσλαμ-
βανομένου· ἐφ' ὧν μὲν γὰρ ἐν τοῖς εἰλημμένοις ἔγκειταί τε καὶ ἔστι τὸ
λαμβανόμενον, οὐ μὴν ⟨οὕτως⟩ οὐδὲ τοιοῦτον, οἷον λαμβάνεται, τὸ λαμβανόμενον
15 μεταλαμβανόμενόν ἐστιν· οὐ γὰρ ἔξωθεν προστίθεται, ἀλλὰ κείμενον ἄλλως
μεταλαμβάνεται εἰς ἄλλο. ἐν γὰρ τῷ 'εἰ ἡμέρα ἐστί, φῶς ἐστι' τὸ 'εἰ
ἡμέρα ἐστίν', ὃ προσλαμβανόμενον οἱ νεώτεροι | λέγουσιν, ἔγκειται μέν, οὐ μὴν 116v
τοιοῦτον, ὁποῖον λαμβάνεται· τίθεται μὲν γὰρ ἐν τῷ συνημμένῳ ἐν ὑποθέσει
τε καὶ ἀκολουθίᾳ, λαμβάνεται δὲ ὡς ὑπάρχον. ἐπὶ δὲ τούτων καὶ τῶν τοιού-
20 των μετάληψιν γίνεσθαι λέγουσι· τὸ γὰρ κείμενον οὐχ ὡς κεῖται λαμβανό-
μενον μεταλαμβανόμενον γίνεται· κείμενον γὰρ ἐν σχέσει καὶ ἀκολουθίᾳ
μεταλαμβάνεται εἰς ὕπαρξιν. προσλαμβανόμενον δὲ λέγουσιν, ἐφ' ὧν τοῖς
κειμένοις ἔξωθέν τι προστίθεται δυνάμει πως ἐν αὐτοῖς περιεχόμενον οὐ μὴν
ἐνεργείᾳ, ὡς ἔχει ἐπὶ τῶν κατὰ πρόσληψιν γινομένων συλλογισμῶν. ἐν γὰρ
25 τῷ 'καθ' οὗ τὸ Β, κατ' ἐκείνου τὸ Α, κατὰ δὲ τοῦ Γ τὸ Β' ἔξωθεν τὸ
'κατὰ δὲ τοῦ Γ' τὸ Β' προσείληπται· οὐ γὰρ ἔκειτο ἐνεργείᾳ ἐν τῇ προτάσει
τῇ 'καθ' οὗ τὸ Β, κατ' ἐκείνου τὸ Α' τὸ κατὰ τοῦ Γ τὸ Β λέγεσθαι.
χρῶνται μέντοι καὶ τῇ προσλήψει ἀντὶ τῆς μεταλήψεως. ὁ δ' αὐτὸς λόγος
καὶ ἐπὶ τοῦ διαιρετικοῦ 'ἤτοι τόδε ἢ τόδε', ὃ καὶ αὐτὸ ἐκ τροπικοῦ καὶ τῆς
30 προσλήψεως λέγουσιν· ὁποῖον γὰρ αὐτῶν λαμβάνηται δείξεως δεόμενον, δεῖ-
ται κατηγορικοῦ συλλογισμοῦ πρὸς τὸ δειχθῆναι. οἷον εἰ ληφθείη διαιρετικὸν
τὸ 'ἤτοι σῶμά ἐστιν ἡ ψυχὴ ἢ ἀσώματος', εἶτα κατασκευάζει τὸ ὅτι οὐ
σῶμα (οὕτως γὰρ ἂν προσληφθείη τὸ 'ἀλλὰ μὴν οὐ σῶμα, ἀσώματος ἄρα'),
ἀνάγκη καὶ αὐτὸ δειχθῆναι διὰ κατηγορικοῦ συλλογισμοῦ· οἷον πᾶν σῶμα ἢ
35 στοιχεῖον ἢ ἐκ στοιχείων· ἡ δὲ ψυχὴ οὔτε στοιχεῖον οὔτε ἐκ στοιχείων· ἡ
ψυχὴ ἄρα οὐ σῶμα. ἀλλὰ καὶ ἐπὶ τῆς ἐξ ἀποφατικοῦ συμπλοκῆς, εἴ γε καὶ
αὐτὸς ἄλλος τῶν προκειμένων τρόπων καὶ μὴ ὁ αὐτὸς ⟨τῷ⟩ διὰ συνημμένου

1 ἔχειν Al.: ἔχον P 2 καὶ P: om. Al. 263,16 συλλογισμοῖς Al.: λογισμοῖς P
14 οὕτως Al. 263,28: om. P post λαμβάνεται add. ἐπὶ τούτων Al. 16 εἰ alterum
P (B): om. Al. 263,31 (a) 23 πῶς P 25 ἐκείνου Al. 264,2: ἐκείνην P 26 κατὰ
δὲ τοῦ Al. 264,3: δὲ κατὰ τῆς P 30 post γὰρ add. ἂν Al. 264,8 δεόμενον Al.
264,9: λεγόμενον P 32 κατασκεύζει τὸ] sic B quoque: κατασκευάζοιτο recte a Al.
264,11 36 τοῦ ἐξ ἀποφατικῆς Al. 264,15 (sed ἀποφατικοῦ etiam B) 37 τῷ Al.

τοῦ ἀρχομένου ἀποφατικοῦ καὶ λήγοντος εἰς ἀποφατικόν, οἷον εἰ ἔστι τὸ 'εἰ
A, οὐ τὸ B'· καὶ γὰρ ἐν τούτοις, εἰ εἴη τὸ μεταλαμβανόμενον δείξεως δεό-
μενον, διὰ κατηγορικοῦ δειχθήσεται συλλογισμοῦ. οἷον οὐχὶ καὶ τὸ ἡδέως
ζῆν τέλος ⟨καὶ ἡ ἀρετὴ δι' αὐτὴν αἱρετή· ἀλλὰ μὴν ἡ ἀρετὴ δι' αὐτὴν αἱρετή·
5 οὐκ ἄρα τὸ ἡδέως ζῆν τέλος⟩. τὸ γὰρ μεταληφθὲν τὸ 'ἡ | ἀρετὴ δι' αὐτὴν 117r
αἱρετή' διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ· οἷον ἀφ' ἧς ἕξεως αὐτό τε
τὸ ἔχον αὐτὴν ἄριστα ἔχει καὶ κάλλιστα τὸ ἴδιον ἔργον ἐπιτελεῖ, αὕτη δι'
αὐτήν ἐστιν αἱρετή· ἀπὸ δὲ τῆς ἀρετῆς ἕξεως οὔσης αὐτό τε τὸ ἔχον αὐτὴν
ἄριστα ἔχει καὶ κάλλιστα τὸ ἴδιον ἔργον ἐπιτελεῖ· ἡ ἀρετὴ ἄρα δι' αὐτήν
10 ἐστιν αἱρετή. εἰ μέντοι εἴη ὑποθετικῶς τὸ αὐτὸ εἰλημμένον τόνδε τὸν τρόπον
'εἰ ἡδονὴ τέλος, οὐκ ἔστιν [δὲ] ἀρετὴ δι' αὐτὴν αἱρετή', δεικνύοιτο ἂν καὶ ἡ
ἀκολουθία διὰ συλλογισμοῦ τοιούτου· πᾶν, ὃ ὡς ποιητικόν τινος αἱρετόν ἐστιν,
οὐκ ἔστι δι' αὐτὸ αἱρετόν· ἡ δὲ ἀρετή, εἰ ἡδονὴ τέλος, ὡς ποιητικὴ τῆς
ἡδονῆς αἱρετὴ γίνεται· ἡ ἀρετὴ ἄρα, εἰ ἡδονὴ τέλος, οὐκ ἔστι δι' αὐτήν
15 αἱρετή. πρὸς τὸ μεταλαμβανόμενον οὖν γίνεται ὁ συλλογισμός. οὐκ ἔστι δὲ
καὶ τῆς ἀκολουθίας ἢ τῆς μάχης συλλογισμὸν γίνεσθαι, ὅτι ἡ ἐπ' ἐκείνων
δεῖξις πρὸς τὸ τεθῆναι τὴν ὑπόθεσιν χρήσιμος, ὁ δ' ἐξ ὑποθέσεως συλλογι-
σμὸς ὑποκειμένου τινὸς γίνεται, ὥστε οὐ γίνεται ἡ δεῖξις τῆς ὑποθέσεως ἐν
τοῖς ἐξ ὑποθέσεως συλλογισμοῖς. ἃ μὲν γὰρ λέγεται τροπικά, ἐν πᾶσι δι'
20 ὑποθέσεως καὶ ὁμολογίας ὡς φανερὰ παραλαμβάνεται ἐπὶ τὸ πλεῖστον· δεῖται δὲ
δείξεως τὰ μεταλαμβανόμενα καὶ προσλαμβανόμενα, εἰ ὅλως εἶεν χρειώδεις
οἱ τοιοῦτοι λόγοι, ὡς ὅπου γε μὴ δεῖται δείξεως τὸ μεταλαμβανόμενον, οὐδὲ
συλλογισμὸς τὸ γινόμενόν ἐστι πάντων φανερῶν ὄντων. εἰ μέντοι δέοιτο
δείξεως, εἰ μὲν μὴ δειχθὲν λαμβάνοιτο, οὐδὲν ἐδείχθη οὐδὲ ἐγένετό τινος
25 συλλογισμός· εἰ δὲ δεικνύοιτο, κατηγορικοῦ χρεία συλλογισμοῦ. οὐδὲ γὰρ
ὄφελός τι τὴν ἀρχὴν τῆς ὑποθέσεως πρὸς κατασκευήν τινος, ἂν μὴ λαβόντες
τι τῶν κειμένων τοῦτο κατασκευάσωμεν κατηγορικῶς· οὗ κατασκευασθέντος
συγκατασκευάζεται τούτῳ καὶ τὸ ἑπόμενον. ἄχρηστον γὰρ πρὸς δεῖξιν καὶ
θέσιν τοῦ εἶναί τι τὸ δι' ὅλων ὑποθετικῶν συλλογισμῶν εἶδος· οὔτε γὰρ
30 ὑπάρχειν | τί τινι ἢ μὴ [ἢ μὴ] ὑπάρχειν οὔτε καθόλου οὔτε ἐπὶ μέρους δείκνυται 117v
δι' αὐτῶν, ὃ ἴδιόν ἐστι συλλογισμοῦ. διὸ καὶ ἡ διὰ τριῶν ἀγωγὴ ὑγιὴς μὲν
ἂν εἴη, ὡς δείκνυται, οὐ μὴν καὶ συλλογιστικὴ ἁπλῶς ἂν λέγοιτο. καὶ τοῖς
ὑποθετικοῖς οὖν λόγοις τὸ εὔχρηστον καὶ τὸ συλλογιστικὸν ἥκει παρὰ τῶν
κατηγορικῶν συλλογισμῶν. διὸ ἁπλῶς ἐκεῖνοι συλλογισμοί, οἱ δ' ἐξ ὑποθέσεως
35 οὐχ ἁπλῶς ἀλλὰ τὸ ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμοί· οἱ μὲν ⟨γὰρ⟩
κατηγορικοὶ οὐδὲν προσδέονται πρὸς τὸ δεῖξαι τὸ προκείμενον τῶν ὑποθέσεων
(διὸ καὶ ἁπλῶς συλλογισμοὶ ἀρκοῦντες ἑαυτοῖς), οἱ δὲ ὑποθετικοὶ τούτων χωρὶς

---

1 ἀποφατικοῦ P (B): ἀπὸ καταφατικοῦ recte a Al. 264,16. 17 εἰ prius om. Al. 264,17
4 καὶ ἡ . . . τέλος (5) Al. 264,20. 21: om. P (a) 5 αὐτὴν semper P 11 δὲ P: om. Al. 264,27 15 οὖν scripsi: οὐ P 16 συλλογισμὸν γίνεσθαι Al. 264,33: συλλογισμὸς γίνεται P 20 παραλαμβάνεται Al. 265,4: περιλαμβάνεται P (cf. 23,11. 12) δὲ δεῖται transposui Al. 265,5 25 κατηγορικοῦ Al. 265,9: καταφατικοῦ P 26 μεταλαβόντες Al. 265,11 29 ὑποθετικῶν P: ὑποθετικὸν τῶν Al. 265,14 post ὑποθετικῶν expunxit κερ P 30 ἢ μὴ bis P 35 γὰρ Al. 265,21 om. P

οὐδὲν δεικνύουσιν. ὥστε, ⟨εἰ⟩ καὶ οἱ ἐξ ὑποθέσεων πάντες διὰ τῶν κατηγορικῶν συλλογισμῶν γίνονται, οἱ δὲ κατηγορικοὶ πάντες διὰ τῶν τριῶν σχημάτων, πάντες ἂν εἶεν οἱ συλλογισμοὶ ἀναγόμενοι εἰς τὰ τρία σχήματα. εἰ δὲ τοῦτο, ἐδείχθησαν δὲ πάντες οἱ ἐν τούτοις γινόμενοι συλλογισμοὶ ἀναγόμενοι εἰς τοὺς δύο τοὺς ἐν τῷ πρώτῳ σχήματι τοὺς πρώτους, εἴη ἂν δεδειγμένον, ὅτι πάντες οἱ συλλογισμοὶ εἰς ἐκείνους ἀνάγονται τοὺς δύο. εἶεν δ' ἂν ἐν τοῖς ἐξ ὑποθέσεως καὶ οἱ ἀπὸ τοῦ μᾶλλον καὶ τοῦ ὁμοίως καὶ τοῦ ἧττον· καὶ γὰρ ἐν τούτοις τὸ μὲν ὑποτίθεται τὸ δὲ μεταλαμβάνεται· πρὸς ὃ μεταλαμβανόμενον καὶ συλλογισμοῦ κατηγορικοῦ χρεία· πάντες γὰρ ἐξ ὑποθέσεώς εἰσιν, ἐν οἷς μεταλαμβάνεταί τι. οἷον εἰ τὸ μᾶλλον ἀγαθόν τινος ὂν μή ἐστιν εὐδαιμονίας ποιητικόν, οὐδὲ τὸ ἧττον· ὑγεία δὲ μᾶλλον ἀγαθὴ οὖσα πλούτου οὐκ ἔστιν εὐδαιμονίας ποιητικόν· τοῦτο γὰρ μεταλαμβάνεταί τε καὶ δεῖται κατηγορικῆς δείξεως. ὁμοίως καὶ ἐπὶ τοῦ 'εἰ τὸ ἧττον ἀγαθὸν δι' αὑτὸ αἱρετόν ἐστι, καὶ τὸ μᾶλλον· πλοῦτος δὲ ἧττον ἀγαθὸν ὢν ὑγείας δι' αὑτὸν αἱρετός ἐστι'· πάλιν γὰρ τὸ μεταλαμβανόμενον καὶ δεόμενον δείξεως κατηγορικῆς τοῦτο. τοιοῦτος καὶ ὁ ἀπὸ τοῦ ὁμοίου. λέγω δὲ ἰδίως τοὺς ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίως κατὰ ποιότητα, τοὺς δὲ κατὰ | πρόσληψιν λεγομένους, οἷοί εἰσιν οἱ 115r
μικτοί, ἰδίως κατὰ μετάληψιν, ὡς προϊόντος τοῦ λόγου μαθησόμεθα.

Καὶ ταῦτα μὲν μέχρι τοσούτου. ὑπομνηστέον δὲ πάλιν τῶν ἤδη δεδειγμένων· δῆλον ἐκ τῶν προαποδεδειγμένων ἐστίν, ὡς δύο ἀποφατικαὶ ἢ δύο μερικαὶ οὐδέποτε ποιοῦσι συλλογισμόν· δεῖ γὰρ ἢ ἄμφω καταφατικὰς ἢ μίαν τῶν προτάσεων καταφατικὴν εἶναι, εἰ μέλλοι ἔσεσθαι συλλογισμός, καὶ καθόλου ἢ ἀμφοτέρας ἢ θατέρα. εἰ γὰρ μὴ ἔχοιεν οὕτως αἱ ἐν τῷ συλλογισμῷ παραλαμβανόμεναι προτάσεις, οὐ γίνεται συλλογισμός. προκείσθω γὰρ δεῖξαι τὴν μουσικὴν ἡδονὴν σπουδαίαν εἶναι. ἂν μὲν οὖν ἀδιορίστως λάβοι ἡδονὴν σπουδαίαν εἶναι βουλόμενος δεῖξαι τὸ προκείμενον τὸ πᾶσαν μουσικὴν ἡδονὴν σπουδαίαν εἶναι μὴ προσθεὶς τὸ 'πᾶσαν', ἵνα εἴη πρότασις 'πᾶσα ἡδονὴ σπουδαία ἐστίν', εἶτα προσλαβὼν τὸ 'ἡ δὲ μουσικὴ ἡδονή' συνάγει 'ἡ μουσικὴ ἄρα ἡδονὴ σπουδαία ἐστίν', οὐ ποιήσει συλλογισμὸν τῷ τὸ ἀδιόριστον ὡς ἴσον δυνάμενον τῷ ἐπὶ μέρους λαμβάνεσθαι. τῷ μὴ εἶναι πᾶσαν καθόλου ἡδονὴν σπουδαίαν καθολικὴν πρότασιν ἀσυλλόγιστοι γίνονται. ἐὰν γὰρ εἴπω 'ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν', εἶτα προσθῶ τὴν ἑτέραν πρότασιν λέγων 'τὶς ἡδονὴ σπουδαία ἐστί' (ταὐτὸν δέ ἐστι, κἂν ἀπροσδιορίστως εἴπω), ἐπειδὴ τὸ μερικὸν ἀληθεύει ἐπὶ τινος ἡδονῆς, ταύτην τὴν τινὰ ἡδονήν, ἣν εἰπὼν σπουδαίαν εἶναι τινὰ ἔλαβον, εἰ μὲν ἄλλην τινά, φέρε εἰπεῖν τὴν γεωμετρικήν, οὐδὲν ἔσται πρὸς τὸ προκείμενον· οὐ γάρ, εἰ ἡ γεωμετρικὴ σπουδαία, παρὰ τοῦτο καὶ ἡ μουσική·

---

1 εἰ Al. 265,23: om. P 3 τὰ τρία σχήματα Al. 265,25: τὸ τρίτον σχῆμα P (cf. 53,38) 7 καὶ (ante γὰρ) Al. 265,31: οὐ P 11 ἀγαθὸν Al. 265,35 13. 14 αὐτὸ, αὐτὸν P 14 ὢν Al. 265,38: ὂν P 16 ἰδίως Al. 266,2: ἰδίους P (cf. vs. 18) 18 μαθησόμεθα Al. 266,5: θησόμεθα P 20 δύο ... συλλογισμόν (21) Phil. f. 62v ἀποφατικαὶ Phil.: καταφατικαὶ P 25 λάβῃ Al. 266,33 27 ἡ ἡ Al. 266,35 28 συνάγῃ scripsi Al. 267,1: συνάγεται P (συνάγει a B) ἄρα Al.: P (cf. 81,30) 30 post τῷ alterum addidi: δὴ Al. 267,3 31 ἐὰν γὰρ ... ἡδόνι (77,5) Phil. 62v 34 εἰπὼν Phil. (ἣν om.): εἴπω P

εἰ δὲ εἰπὼν τινὰ ἡδονὴν σπουδαίαν ταύτην τὴν τινὰ ἐπὶ μουσικὴν φέρω, ὡς ἂν εἰ ἔλεγον 'ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστι, ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστί', τὸ ἐξ ἀρχῆς αἰτούμενον τουτέστι τὸ ζητούμενον ὁμολογούμενον ἔλαβον. ὅτι δὲ ἀνάγκη πᾶσα ἐν τοῖς συλλογισμοῖς εἶναί τινα καθόλου πρότασιν, φανερόν
5 ἐστι μᾶλλον ἐν ταῖς γεωμετρικαῖς μεθόδοις· οὐ γὰρ ἂν γένοιτο συλλογισμὸς δίχα καθολικῆς προτάσεως.

Δῆλον δὲ καὶ | ὅτι, εἰ καθόλου τὸ συμπέρασμα εἴη, δεῖ ἀμφοτέρας εἰ- 118v
λῆφθαι καθόλου τὰς προτάσεις· οὐ γὰρ ἂν ἄλλως γένοιτο καθόλου συμπέρασμα. οὐ μήν, ἂν ὦσιν αἱ προτάσεις καθόλου ἀμφότεραι, ἤδη καὶ τὸ συμπέρασμα
10 ἀνάγκη ⟨καθόλου⟩ εἶναι· γίνεται γάρ ποτε καὶ ἐπὶ μέρους συμπέρασμα καὶ ἐκ καθόλου προτάσεων, ὡς ἐπὶ τῶν ἐν τρίτῳ σχήματι ἐδείχθη. δῆλον δὲ καὶ ὅτι ἐν ἅπασι συλλογισμοῖς ὁμοίας ἀνάγκη τῷ συμπεράσματι ἢ ἀμφοτέρας εἶναι τὰς προτάσεις ἢ πάντως γε τὴν ἑτέραν, κατὰ μὲν τὸ καταφατικὸν ἀμφοτέρας (οὐ γὰρ ἄλλως γένοιτο τὸ καταφατικὸν συμπέρασμα, εἰ μὴ ἀμφότεραι αἱ
15 προτάσεις εἶεν καταφατικαί), εἰ δὲ ἀποφατικόν, τὴν ἑτέραν· οὔτε γὰρ ἐκ δύο καταφατικῶν ἀποφατικὸν ἂν γένοιτο συμπέρασμα οὔτε ἐκ δύο ἀποφατικῶν· οὐδὲ γὰρ ὅλως συλλογισμὸς ἐκ δύο ἀποφατικῶν γένοιτ' ἄν ποτε προτάσεων. οὐ κατὰ τὸ καταφατικὸν δὲ καὶ ἀποφατικὸν μόνον δεῖ ἢ ἀμφοτέρας τὰς προτάσεις ὁμοίας εἶναι τῷ συμπεράσματι ἢ πάντως γε τὴν ἑτέραν ἀλλὰ καὶ κατὰ
2 τὸ ἀναγκαῖον καὶ κατὰ τὸ ὑπάρχον καὶ κατὰ τὸ ἐνδεχόμενον. οὔτε γὰρ ἀναγκαῖον γένοιτ' ἂν συμπέρασμα μηδὲ μιᾶς οὔσης προτάσεως ἀναγκαίας (ἀλλὰ ἢ ἀμφοτέρας ἀναγκαίας εἶναι ἢ πάντως γε τὴν ἑτέραν, τὴν γὰρ μείζονα) οὔτε ὑπάρχον οὔτε ἐνδεχόμενον· ὁμοίως γὰρ καὶ ἐπὶ τοῦ ὑπάρχοντος συμπερά-
25 σματος καὶ ἐπὶ τοῦ ἐνδεχομένου αἱ προτάσεις ἕξουσιν.

Ἐπισκέψασθαι δὲ δεῖ καὶ τὰς ἄλλας κατηγορίας· λέγομι δ' ἂν τὰς ἄλλας κατηγορίας τὰς παρὰ τοὺς εἰρημένους τρόπους. εἶεν δ' ἂν αἱ τοιαῦται, εἰ ψεῦδος τὸ συμπέρασμα ἢ ἀδύνατον· δεῖ ⟨γὰρ⟩ καὶ τὰς προτάσεις ἀμφοτέρας ψευδεῖς εἶναι ἢ πάντως τὴν ἑτέραν· ὁμοίως καὶ εἰ ἀδύνατον, ἢ ἀμφοτέρας ἢ πάντως γε τὴν ἑτέραν ἀδύνατον ἀνάγκη εἶναι, εἴ γε ἀδύνατον μὲν ἀδυνάτῳ,
30 ψεῦδος δὲ ψεύδει ἀκολουθεῖ. οὐ μήν, εἰ ἀληθὲς τὸ συμπέρασμα, πάντως καὶ αἱ προτάσεις ἢ ἀμφότεραι ἀληθεῖς | ἢ ἡ ἑτέρα· καὶ γὰρ ἐξ ἀμφοτέρων ψευδῶν 119r
ἀληθές ποτε συναχθήσεται, ὡς ἐν τῷ μετὰ τοῦτο βιβλίῳ δείξομεν. καὶ διὰ τοῦτο εἶπον ἐπισκέψασθαι δεῖν καὶ τὰς ἄλλας κατηγορίας ὑπὲρ τοῦ γνῶναι, ἐπὶ τίνων οὕτως ἔχειν ἀνάγκη· οὐ γὰρ ἐπὶ πάντων ὁμοίως ἔχει. δεήσει δέ,
35 καὶ εἰ ἔνδοξον τὸ συμπέρασμα ἢ ἄδοξόν, καὶ τῶν προτάσεων ἢ τινὰ ἢ τινὰς οὕτως ἔχειν. καὶ εἰ ἄδηλον τὸ συμπέρασμα, καὶ τῶν προτάσεών τις ἄδηλος

---

1 εἰ Phil.: ὁ P 7 δῆλον . . . ἢ οἰκίαν τοῦ ποιῆσαι (91,16) Al. 269,18—289,29
10 καθόλου Al. 269,22: om. P 13 ἀμφοτέρας Al. 269,28: ἀμφότεραι P
14 post γὰρ add. ἂν Al. 18 κατὰ τὸ καταφατικὸν scripsi (ut etiam Al. 269,32 conieci): κατα τὸ φατικὸν (sic) P 22 ante ἢ prius addidi δεῖ Al. 270,3 (εἰ B: om. a)
26 παρὰ Al. 270,10: περὶ P 27 ἢ scripsi: εἰ P (B: ἢ εἰ a) cf. ad 78,7
γὰρ Al.: om. P 29 ἢ πάντως γε Al. 270,13: γε ἢ πάντως P 34 πάντων Al. 270,19: πάντως P 36 ἄδηλον Al. 270,20: ἄδοξον P

ἔσται· εἰ γάρ τις συλλογίζοιτο καὶ συνάγει ἀρτίους εἶναι τοὺς ἀστέρας διὰ τοῦ τὰ ἡμισφαίρια ἐξ ἴσων ἀστέρων κατ' ἀριθμὸν εἶναι, ἄδηλον δι' ἀδήλου συνάξει. ἀλλὰ καὶ εἰ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐνδεχομένου ἢ τοῦ κατὰ φύσιν ἢ κατὰ προαίρεσιν τὸ συμπέρασμα, οὕτως τις καὶ τῶν προτάσεων ἕξει ἢ ἀμφότεραι. λέγοιμι δ' ἂν κατηγορίας καὶ τὰς κατὰ γένη· εἰ γὰρ ἐν τῷ ποιῷ τὸ δεικνύμενόν τε καὶ συμπεραινόμενον, δεῖ καὶ πρότασίν τινα τοιαύτην εἰλῆφθαι· ὁμοίως, εἰ ποσὸν ἢ πρός τι. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν.

Φανερὸν δὲ καὶ πότε καθόλου ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός (εἴρηται γὰρ ἡμῖν καθ' ἕκαστον σχῆμα), καὶ πότε δυνατός, τουτέστιν ἀτελής, καὶ πότε τέλειος. δυνατὸν δὲ λέγω τὸν μήπω φανερὸν μὲν ὄντα συλλογισμὸν δυνάμενον δὲ γενέσθαι φανερὸν ἢ δι' ἀντιστροφῆς ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· διὰ γὰρ τῶν τοιούτων τρόπων ἀτελεῖς τελειοῦνται συλλογισμοί. δῆλον δὲ καὶ ὅτι, ἂν ᾖ ὁ συλλογισμός, ἀνάγκη τὰς προτάσεις ἔχειν κατά τινα τῶν τρόπων, ὧν προειρήκαμεν· ἢ γὰρ ἐν πρώτῳ ἢ ἐν δευτέρῳ σχήματι ἢ τρίτῳ ἔσται. πάντες γὰρ οἱ συλλογισμοὶ ἐδείχθησαν ἐν τοῖς σχήμασι τούτοις γινόμενοι καὶ καθ' ἕκαστον σχῆμα ἔν τινι τῶν συζυγιῶν. κἂν γὰρ σύνθετός τις ᾖ καὶ διὰ πλειόνων μέσων, ὅμως ἡ γένεσις αὐτῷ καὶ ἡ ἀνάλυσις ἐκ τούτων τινὸς τῶν σχημάτων καὶ εἰς τούτων τι ἔσται.

Δῆλον δὲ καὶ ὅτι πᾶς συλλογισμὸς ἔσται διὰ τριῶν ὅρων γινόμενος καὶ οὐ διὰ πλειόνων, τουτέστι διὰ δύο προτάσεων. λέγω δὲ διὰ τῶν προσεχῶν· ἐν γὰρ τοῖς συνθέτοις | πλείους μὲν αἱ προτάσεις, ἀλλ' οὐχ αἱ προσεχεῖς· 119v πάντες γὰρ διὰ δύο προτάσεων προσεχῶν καὶ διὰ τριῶν ὅρων καὶ οὐ πλειόνων, ἂν μὴ τὸ αὐτὸ συμπέρασμα δι' ἄλλου καὶ ἄλλου μέσου δείκνυται. εἰ γὰρ εἴη τινὶ προκείμενον συλλογίσασθαι πᾶσαν ἡδονὴν ἀγαθόν, ὁ δὲ ⟨ἄλλοτε⟩ ἄλλον ὅρον μέσον λαμβάνων δείκνυσι τοῦτο, καθ' ὅσον μὲν ταὐτὸν συμπέρασμα καθ' ἕκαστον τῶν μέσων ποιεῖ, δόξει συλλογισμὸν ἕνα καὶ τὸν αὐτὸν ποιεῖν, καθ' ὅσον δὲ μὴ διὰ τῶν αὐτῶν μέσων ὅρων μηδὲ διὰ τῶν αὐτῶν προτάσεων γίνεται τὸ συμπέρασμα, διαφέροντες ἔσονται πάλιν οἱ συλλογισμοὶ καὶ πλείονες καὶ τοσοῦτοι, ὁσάκις καὶ τὰ μέσα ὑπήλλακται. οὐ γὰρ ὁ αὐτὸς συλλογισμὸς ὁ λέγων 'πᾶσα ἡδονὴ αἱρετόν, καὶ πᾶν αἱρετὸν ἀγαθόν, ⟨πᾶσα ἄρα ἡδονὴ ἀγαθόν'⟩ τῷ λέγοντι 'πᾶσα ἡδονὴ κατὰ φύσιν, πᾶν τὸ κατὰ φύσιν ἀγαθόν, πᾶσα ἄρα ἡδονὴ ἀγαθόν'. ἀλλὰ οὐδὲ τούτων τις ὁ αὐτὸς τῷ λαμβάνοντι πᾶσαν ἡδονὴν ὑπὸ τέχνης γενήσεσθαι, πᾶν τὸ ὑπὸ τέχνης γινόμενον ἀγαθὸν εἶναι, πᾶσαν ἄρα ἡδονὴν ἀγαθὸν εἶναι. καίτοι ἐν πᾶσι τούτοις ταὐτὸν συμπέρασμα. ὁμοίως, εἰ καὶ τὸ ἐναντίον τούτοις συνάγοι τις, ὅτι μηδεμία ἡδονὴ ἀγαθόν, ποτὲ μὲν διὰ τοῦ 'πᾶν ἀγαθὸν ὠφέλιμον, οὐδεμία δὲ ἡδονὴ ὠφέλιμος, οὐδεμία ἄρα ἡδονὴ ἀγαθόν', ποτὲ ⟨δὲ⟩ διὰ τῶν 'πᾶσα ἡδονὴ ἀτελής (εἴ γε κίνησις,

---

1 συνάγει P (a B): συνάγοι scripsi Al. 270,22 (cf. vs. 26) ἀρτίους Al.: ἀρτηρία P
5 ἀμφότεραι Al. 270,25: ἀμφοτέρων P 7 ἢ Al. 270,28: εἰ P 14 ὁ om. Al. 271,6 16 ante τρίτῳ add. ἐν Al. 271,8 (om. a) 17 συζυγιῶν P: δεδειγμένων συζυγιῶν συλλογιστικῶν Al. 271,10 25 τινὶ Al.: τί P ἄλλοτε Al. 271,22: om. P
[illegible] P (a B): [illegible] scripsi Al. 271,23 (cf. vs. 1) 31 πᾶσα . . . ἀγαθόν (32) Al. 271,28: om. P 38 δὲ Al. 272,1: om. P

ἡ δὲ κίνησις ἐνέργεια ἀτελής), οὐδὲν δὲ ἀτελὲς ἀγαθόν, οὐδεμία ἄρα ἡδονὴ ἀγαθόν'. καὶ γὰρ ἐπὶ τούτων ταὐτὸν συμπέρασμα δι' ἄλλων καὶ ἄλλων ὅρων τε καὶ προτάσεων δείκνυται· διὸ καὶ πλείους εἰσὶν οἱ συλλογισμοὶ ἀλλ' οὐχ εἷς. καὶ ὡς ὁ Πλάτων ἀθάνατον εἶναι τὴν ψυχὴν ποτὲ μὲν διὰ τοῦ τὰς
5 μαθήσεις ἀναμνήσεις ⟨εἶναι⟩ δείκνυσι, ποτὲ δὲ διὰ τοῦ ἀνεπίδεκτον εἶναι τοῦ ἐναντίου διὰ τὸ συνεπιφέρεσθαι αὐτῷ τὸ ἐκείνῳ ἐναντίον, ποτὲ δὲ αὖ διὰ τοῦ μὴ φθείρεσθαι ὑπὸ ἀλλοτρίας πονηρίας τὸ ὑπὸ τῆς οἰκείας μὴ φθειρόμενον. ἄλλοτε διὰ τοῦ αὐτοκίνητον εἶναι τὴν ψυχήν· τὸ γὰρ αὐτὸ διὰ πλείονων δείκνυσι μέσων· διὸ πλείους | οἱ συλλογισμοί. οἷον τὸ Ε διά τε τῶν Α, Β καὶ διὰ 120r
10 τῶν Γ, Δ. τὸ μὲν οὖν Ε συμπέρασμα ἡμῖν εἰλήφθω, τὸ δὲ Α, Β καὶ τὸ Γ, Δ προτάσεις ἄλλαι καὶ ἄλλαι, δι' ὧν δείκνυται τὸ Ε, ποτὲ μὲν διὰ τῶν Α, Β προτάσεων ποτὲ δὲ διὰ τῶν Γ, Δ. ἔστω γὰρ τὸ μὲν 'οὐδὲν αἰσχρὸν καλόν' συμπέρασμα ὂν τὸ Ε· τοῦτο δὲ συναγέσθω ποτὲ μὲν διὰ τῶν 'οὐδὲν καλὸν κακόν, πᾶν δὲ αἰσχρὸν κακόν'· ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι.
15 πάλιν δὲ τὸ αὐτὸ δεικνύσθω διὰ τῶν 'πᾶν καλὸν ἀγαθόν, οὐδὲν αἰσχρὸν ἀγαθόν'· συνάγεται γὰρ πάλιν διὰ τούτων τὸ 'οὐδὲν αἰσχρὸν καλόν', ὅπερ ἦν τὸ Ε. ἐν δευτέρῳ σχήματι. τῶν δὲ προτάσεων ἡ μὲν ἔστω τὸ Γ ἡ δὲ Δ. ἢ πάλιν πᾶν τὸ αἰσχρὸν φευκτόν, οὐδὲν φευκτὸν καλόν· συνάγεται γὰρ καὶ ἐκ τούτων ἐν πρώτῳ σχήματι τὸ μηδὲν αἰσχρὸν καλὸν εἶναι. δυνατὸν δὲ καὶ
20 ἄλλα μέσα λαμβάνεσθαι, οἷον τὸ Α, Β ἢ Β, Γ, ὡς μὴ μόνον δύο συλλογισμοὺς δεικτικοὺς τοῦ αὐτοῦ συμπεράσματος γίνεσθαι ἀλλὰ καὶ πλείους· τὸ γὰρ Ε ποτὲ μὲν διὰ τῶν Α, Β προτάσεων ποτὲ δὲ διὰ τῶν Γ, Δ ποτὲ δὲ διὰ τῶν Β, Γ δείκνυσθαι δυνήσεται. δύναται δὲ ἡμῖν τὰ ὕστερα προσκείμενα στοιχεῖα καὶ ἄλλου τινὸς εἶναι δεικτικά, ὅτι οὐ μόνον διαφέροντες συλλογισμοί εἰσιν,
25 ὧν διαφέροντες οἱ μέσοι καὶ αἱ προτάσεις, ἀλλὰ καὶ τῶν αὐτῶν ὅρων λαμβανομένων καὶ τῶν αὐτῶν γινομένων συμπερασμάτων ἡ θέσις τοῦ μέσου καὶ ἡ τάξις διαφορὰν ποιεῖ συλλογισμῶν. καὶ εἴημεν ἂν διὰ μέσου τοῦ Α, Β τὸ πρῶτον λέγοντες σχῆμα, διὰ δὲ τοῦ Α, Γ τὸ δεύτερον, διὰ δὲ τῶν Β, Γ τὸ τρίτον. οὐσῶν γὰρ τῶν προτάσεων τῶν Α, Β ἐν πρώτῳ σχήματι τῶν δεικνυου-
30 σῶν τὸ Ε συμπέρασμα τὸ αὐτὸ συμπέρασμα καὶ ἐν δευτέρῳ σχήματι δειχθήσεται ἐπὶ τοῖς αὐτοῖς ὅροις τῆς μὲν Α προτάσεως τῆς αὐτῆς ληφθείσης, τῆς δὲ Β ὑπαλλαγείσης τουτέστιν ἀντιστραφείσης καὶ γενομένης Γ· αὕτη δ' ἂν ἡ μείζων εἴη. πάλιν δὲ ἐν τρίτῳ τῆς μὲν Β τουτέστι τῆς μείζονος τῆς αὐτῆς ληφθείσης, ἥτις ἦν καὶ ἐν τῷ πρώτῳ, | τῆς δὲ ἀντιστραφείσης καὶ 120v
35 γενομένης Γ. δύναται γὰρ τὸ αὐτὸ συμπέρασμα ἐπὶ τοῖς αὐτοῖς ὅροις διὰ τῶν τριῶν σχημάτων δειχθῆναι οὕτως. οἷον ἔστω προκείμενον δειχθῆναι, ὅτι τις ἄνθρωπος οὐκ ἔστι λευκός. τοῦτο μὲν ἐν πρώτῳ σχήματι οὕτως ἂν

---

5 εἶναι δείκνυσι Al. 272,6: δεικνύναι P 6 ἑαυτῇ scripsi Al. 272,7 (ἑαυτῷ a B) 7 post ἄλλοτε addidi δὲ Al. 272,9 (om. a B) 14 ὁ P (a B): ὃς scripsi Al. 272,16 post σχήματι add. ὧν τὸ μὲν ἔστω τὸ α, τὸ δὲ τὸ β Al. 272,16. 17 17 τὸ alterum om. Al. 272,20 20 desidero ἢ α γ, quod addidi Al. 272,23 (om. a B) 22 γ δ P (a B): α γ scripsi Al. 272,26 23 δύναται Al. 272,27: δείκνυται P προσκείμενα Al.: προκείμενα P 27 εἴη μὲν P (cf. 69,36) 28 τῶν P: τοῦ Al. 273,3 33 τῆς (ante μέν) Al. 273,8: τοῦ P 34 post δὲ add. α a Al. 273,9 (om. B) 37 ἐν μὲν Al. 273,12; at cf. 80,24

δειχθείη· τὶς ἄνθρωπος Αἰθίοψ ἐστί, οὐδεὶς Αἰθίοψ λευκός ἐστι, τὶς ἄρα ἄνθρωπος οὐκ ἔστι λευκός· καὶ ἔστιν ἡ μὲν 'τὶς ἄνθρωπος Αἰθίοψ ἐστίν' πρότασις τὸ Α, ἡ δὲ 'οὐδεὶς Αἰθίοψ λευκός' τὸ Β. ἐν δὲ τῷ δευτέρῳ σχήματι πάλιν οὕτως· τὶς ἄνθρωπος Αἰθίοψ ἐστίν, ἥτις ἦν ἡ Α πρότασις, οὐδεὶς λευκὸς Αἰθίοψ ἐστίν, ἥτις ἐστὶν ἀντιστροφὴ τῆς Β· αὕτη ἔστω τὸ Γ· τὸ γὰρ αὐτὸ καὶ ἐν τούτῳ συνάγεται τὸ 'τὶς ἄνθρωπος οὐκ ἔστι λευκός'. ἡ μὲν οὖν Α πρότασις ἐστι κοινὴ ἡμῖν πρὸς τὴν πρώτην δεῖξιν, ἡ δὲ Γ ἄλλη ἐλήφθη· ἡ γὰρ Β ἀντεστράφη, καὶ διὰ τοῦτο ὅ τε συλλογισμὸς ἄλλος καὶ τὸ σχῆμα· δεύτερον γάρ. πάλιν ἐν τρίτῳ σχήματι· οὐδεὶς Αἰθίοψ λευκός ἐστιν, ἥτις ἦν ἡ Β πρότασις ἐν πρώτῳ σχήματι. τὶς Αἰθίοψ ἄνθρωπός ἐστιν. ἡ ἀντιστρέφουσα τῇ Α, ἥτις ἔσται τὸ Γ. καὶ αὕτη ἡ δεῖξις τὴν μὲν Β πάλιν πρότασιν κοινὴν ⟨πρὸς⟩ τὴν ἐν πρώτῳ σχήματι δεῖξιν ἔχει, ἰδίαν δὲ τὴν Γ· καὶ γὰρ διὰ τούτων πάλιν τὸ αὐτὸ δείκνυται τὸ 'τὶς ἄνθρωπος οὐκ ἔστι λευκός'. καὶ οὕτως δείκνυται τὸ αὐτὸ συμπέρασμα διὰ πλειόνων δεικνύμενον οὐκ ἄλλοτε ἄλλων ὅρων λαμβανομένων, ὡς τὸ πρῶτον ἐδείξαμεν, ἀλλὰ τῶν αὐτῶν ἄλλως καὶ ἄλλως τιθεμένων κατὰ τὰς τῶν σχημάτων διαφορὰς καὶ διὰ τοῦτο πλειόνων συλλογισμῶν γεγενημένων. ἀλλὰ καὶ τὸ μὴ εἶναι τὸ αἰσχρὸν καλὸν δεικνύοιτο ἂν διὰ τῶν αὐτῶν ὅρων ἐν τοῖς τρισὶ σχήμασιν, ἐν μὲν πρώτῳ διὰ τῶν 'πᾶν αἰσχρὸν κακόν, καὶ οὐδὲν κακὸν καλόν', διὰ δὲ δευτέρου διὰ τῶν 'πᾶν τὸ αἰσχρὸν κακόν, οὐδὲν καλὸν κακόν', διὰ δὲ τοῦ τρίτου· 'οὐδὲν κακὸν καλόν, τὶ κακὸν αἰσχρόν'. διοίσει δὲ μόνῳ τῷ ἐν τρίτῳ ἐπὶ μέρους γενέσθαι τὸ συμπέρασμα. ἔνεστι τὸ αὐτὸ συμπέρασμα διὰ τῶν τριῶν σχημάτων | δεῖξαι καὶ μὴ τὸν αὐτὸν μέσον λαμβάνοντας, ὡς νῦν, ἀλλὰ ἄλλοτε ἄλλον. 121r
ἔστω γὰρ συμπέρασμα τὸ τινὰ ἄνθρωπον μὴ εἶναι ἵππον· τοῦτο μὲν ἐν πρώτῳ σχήματι συνάξομεν λαβόντες 'τὶς ἄνθρωπος γραμματικός, οὐδεὶς γραμματικὸς ἵππος. οὐδεὶς ἄρα ἄνθρωπος ἵππος'. ἐν δὲ τῷ δευτέρῳ 'τὶς ἄνθρωπος μουσικός, οὐδεὶς ἵππος μουσικός', ἐν τρίτῳ 'πᾶν γελαστικὸν ἄνθρωπος, οὐδὲν γελαστικὸν ἵππος'· καθ' ἕκαστον γὰρ συλλογισμὸν δι' ἄλλου μέσου τὸ αὐτὸ δίδεικται συμπέρασμα.

Ἢ πάλιν ὅταν ἑκάτερον τῶν Α, Β διὰ συλλογισμοῦ ληφθῇ, καὶ οὕτως τὸ αὐτὸ διὰ πλειόνων ὅρων δειχθήσεται, εἰ ἑκατέρα τῶν προτάσεων, ἥ τε Α καὶ ἡ Β, δι' ὧν συνήγετο τὸ Ε, ⟨εἰ εἴη διὰ προσυλλογισμοῦ εἰλημμένη,⟩ ὡς ἑκατέραν αὐτῶν συμπέρασμα συλλογισμῶν εἶναι, τὴν μὲν Α διὰ τῶν Δ, Ε προτάσεων τὴν δὲ Β διὰ τῶν Ζ, Θ. δεικνύοιτο γὰρ ἂν καὶ τὸ Ε διὰ τῶν Δ Ε Ζ Θ προτάσεων· οὐ μὴν ὁ συλλογισμὸς ἁπλοῦς ἐστιν ἀλλὰ σύνθετος· ἀνάγκη γὰρ τὸ ὑπό τινων συναγόμενον συνάγεσθαι καὶ ὑπὸ τῶν ἐκεῖνα συναγόντων διὰ τοῦ δυνάμει ἐν τοῖς συνάγουσιν εἶναι τὰ συναγόμενα. οἷον εἰ εἴη δεικνύμενον πᾶν δίκαιον συμφέρον εἶναι διὰ προτάσεων τῶν 'πᾶν δίκαιον

5 λευκὸς Αἰθίοψ Al. 273,17: Αἰθίοψ λευκός P ἀντιστροφὴ Al. 273,17: ἀντιστροφῆς P 7 ἡ parum liquet 9 ἦν Al. 273,22: οὖν P 10 τῇ Al. 273,23: τὸ P 12 πρὸς addidi τῇ ... δεῖξει Al. 273,24, sed δεῖξιν B) 20 post τρίτου addidi διὰ τοῦ Al. 273,33 23 λαμβάνοντας Al. 273,36: λαμβάνοντες P 24 ἐν μὲν Al. 273,37; at cf. 79,38 27 ante τούτῳ add. δὲ τῷ a Al. 274,2 (om. B) 32 εἰ ... εἰλημμένη Al. 274,8: om. P 35 ἔτι Al. 274,12 36 ἐκεῖνα Al. 274,13: ἐκεῖ P 37 διὰ τοῦ P (B): διὰ τὸ Al. (a)

ἀγαθόν, πᾶν ἀγαθὸν συμφέρον', ἑκατέρα δὲ τούτων τῶν προτάσεων ᾗ δεικνυμένη συλλογιστικῶς, ἡ μὲν πρώτη διὰ τῶν 'πᾶν δίκαιον καλόν, πᾶν καλὸν ἀγαθόν', ἡ δὲ δευτέρα διὰ τῶν 'πᾶν ἀγαθὸν ὠφέλιμον, πᾶν ὠφέλιμον συμφέρον', συνάξει καὶ τὸ 'πᾶν δίκαιον συμφέρον', ὃ ἦν δεικνύμενον ὑπὸ τῶν διὰ τούτων δεικνυμένων. δι' ὧν δὲ λέγομεν νῦν, ὑπογράφομεν φανερώτερον τὸ λεγόμενον συνθετικὸν θεώρημα, οὗ ἡμεῖς ἐσμεν εὑρεταί. ἔστι δὲ ἡ περιοχὴ αὐτοῦ τοιαύτη 'ὅταν ἔκ τινων συνάγεταί τι, τὸ δὲ συναγόμενον μετὰ τινὸς ἢ τινῶν συνάγει τι, καὶ τὰ συνακτικὰ αὐτοῦ, μεθ' ὧν ἢ δι' ὧν συνάγεται ἐκεῖνο, καὶ αὐτὰ τὸ αὐτὸ συνάξει'. τὰ γὰρ τῶν Α, Β συνακτικά, δι' ὧν δείκνυται τὸ Γ φέρε εἰπεῖν, ταῦτα συνάγει καὶ τὸ ὑπὸ τῶν Α καὶ τῶν Β συναγόμενον, ὃ ἦν τὸ Γ. ἐπεὶ γὰρ τὸ 'πᾶν δίκαιον ἀγαθόν' συναγόμενον ὑπὸ τῶν 'πᾶν | δίκαιον καλόν, πᾶν καλὸν ἀγαθόν' συνάγει μετὰ τοῦ 'πᾶν ἀγαθὸν 121r
συμφέρον' ⟨τὸ 'πᾶν δίκαιον συμφέρον', καὶ τὰ 'πᾶν δίκαιον καλόν, πᾶν καλὸν ἀγαθόν' ὄντα συνακτικὰ τοῦ 'πᾶν δίκαιον ἀγαθόν' μετὰ τοῦ 'πᾶν ἀγαθὸν συμφέρον' συνάξει τὸ 'πᾶν δίκαιον συμφέρον', ὃ συνῆγε καὶ τὸ ὑπ' αὐτῶν συναγόμενον καὶ μετὰ τοῦ 'πᾶν ἀγαθὸν συμφέρον'.⟩ κἂν ληφθῇ τὸ 'πᾶν δίκαιον ἀγαθόν' μετὰ τῶν 'πᾶν ἀγαθὸν ὠφέλιμον, πᾶν ὠφέλιμον συμφέρον', συνάγει τὸ 'πᾶν ἀγαθὸν συμφέρον', καὶ τὰ τοῦ 'πᾶν δίκαιον ἀγαθόν' συνακτικὰ μετὰ τούτων τὸ αὐτὸ συνάξει· διὰ τοῦτο γὰρ πρόσκειται ἐν τῇ περιοχῇ τὸ 'μετὰ τινὸς ἢ τινῶν'.

Καὶ οὕτως γίνεται τὸ αὐτὸ διὰ πλειόνων δεικνύμενον ὅρων, κἂν τῶν συνακτικῶν τινος τὸ μὲν ἐπαγωγῇ τὸ δὲ συλλογισμῷ δεδειγμένον εἴη, οἷον τὸ Α, Β, ἃ τοῦ Ε ἦν συνακτικά, εἰ τὸ μὲν Α δι' ἐπαγωγῆς εἰλημμένον εἴη τὸ δὲ Β διὰ συλλογισμοῦ· πάλιν γὰρ ἔσται καὶ τὸ ⟨Ε⟩ δεικνύμενον ἐκ τῶν ἐπακτικῶς δειξάντων τὸ Α καὶ ἐκ τῶν συλλογιστικῶς τὸ Β. οἷον εἰ δεικνύοιτο, ὅτι ἡ ἰατρικὴ χρήσιμος τῷ βίῳ, διὰ προτάσεων τῶν 'ἡ ἰατρικὴ τέχνη, πᾶσα τέχνη χρήσιμος τῷ βίῳ, ἡ ἰατρικὴ ἄρα χρήσιμος τῷ βίῳ', τούτων δὲ τῶν προτάσεων οἷον 'ἡ ἰατρικὴ τέχνη' διὰ συλλογισμοῦ κατασκευάζοιτο (οἷον ἡ ἰατρικὴ μέθοδός ἐστιν ὁδοποιητική, πᾶσα μέθοδος ὁδοποιητικὴ τέχνη ἐστίν, ἡ ἰατρικὴ ἄρα τέχνη), ἡ δὲ λέγουσα 'τέχνη χρήσιμός ἐστι τῷ βίῳ' δι' ἐπαγωγῆς προχειρισαμένων ἡμῶν πάσας τὰς κατὰ μέρος τέχνας καὶ οὕτως ἐχούσας δειξάντων· καὶ πάλιν ⟨ὅτι⟩ ἡ πολιτικὴ ἀγαθοῦ τινος ἐφίεται, ⟨διὰ προτάσεων τῶν 'ἡ πολιτικὴ μέθοδός ἐστιν, πᾶσα μέθοδος ἀγαθοῦ τινος ἐφίεται'⟩ τούτων δὲ ἡ μὲν λέγουσα 'πᾶσα μέθοδος ἀγαθοῦ τινος ἐφίεται' δι' ἐπαγωγῆς δεικνύοιτο προχειριζομένων ἡμῶν τάς τε τέχνας καὶ τὰς ἐπιστήμας, καθ' ὧν ἡ μέθοδος, καὶ δεικνύντων, ὅτι οὕτως ἔχουσιν, ἡ δὲ λέγουσα τὴν πολιτικὴν

1 εἴη Al. 274,16 4 post καὶ lacunam indicavi Al. 274,18 5 δ' ἐλέγομεν P 8 μεθ' οὗ ἢ μεθ' ὧν Al. 274,23 (cf. 82,27. 84,17) 10 τὸ ὑπὸ τῶν Al. 274,25: τῶν ὑπὸ τὸ P καὶ τῶν (a: καὶ τὸ B) delevi Al. 274,25 13 τὸ πᾶν . . . συμφέρον (16) Al. 274, 27—31: om. P 18 συνάγει P (a B): συνάγειν recte Schol. p. 173b 9 τοῦ Al. 274,33: οὗ P 21 κἂν Al. 275,3: κἀκ P 22 ἐπ' ἀγωγῇ P ᾗ Al. 275,4 23 τὰ (ante ᾱ) Al. 24 συλλογισμοῦ Al. 275,6: συλλογισμῶν P (cf. 73,30) ε̄ Al.: om. P 25 οἷον . . . δείξαντων (32) Phil. f. 64r. 26 ἡ ἰατρικὴ (post ὅτι) Phil.: εἰ ἡ ἀτρικὴ P 28 οἷον prius fort. aberrante librario ex ἡ μὲν λέγουσα ortum est 30 ἄρα Phil.: ἐστι (cf. 76,28) 32 ὅτι Al. 275,8: om. P διὰ . . . ἐφίεται (33) Al. 275,8—9: om. P 34 δὲ Al. 275,9: γὰρ P

μέθοδον εἶναι διὰ συλλογισμοῦ τοῦ 'πᾶσα ἕξις μετά τινος λόγου τῶν ὑπ' αὐτὴν οὖσα θεωρητικὴ μέθοδός ἐστιν. ἡ δὲ πολιτικὴ ἕξις ἐστὶ μετὰ λόγου τῶν ὑπ' αὐτὴν θεωρητική'. ἢ ὡς ὁ Πλάτων δείκνυσιν ἐν πρώτῳ Πολιτείας τὴν μὲν δικαιοσύνην φρόνησίν τινα οὖσαν τὴν δὲ ἀδικίαν ἀφροσύνην | οὕτως· 122r
5 ὁ τοῦ ἀνομοίου μὲν ἀξιῶν τὸ πλέον ἔχειν τοῦ δὲ ὁμοίου ⟨μὴ ἀξιῶν φρόνιμος· ὁ δὲ δίκαιος τοῦ μὲν ἀνομοίου ἀξιοῖ πλέον ἔχειν, τοῦ δὲ ὁμοίου⟩ οὐκ ἀξιοῖ· δίκαιος ἄρα ὁ φρόνιμος. ἑκατέραν γὰρ τῶν προτάσεων τούτων δείκνυσιν, ἀλλὰ τὴν μὲν πρώτην δι' ἐπαγωγῆς τὴν δὲ δευτέραν διὰ συλλογισμοῦ. ἡ μὲν οὖν ἐπαγωγὴ ὑπάρχει τοιαύτη· ὁ ἐν τοῖς ὑγιεινοῖς τοῦ μὲν ὁμοίου οὐκ ἀξιῶν
10 πλέον ἔχειν τοῦ δὲ ἀνομοίου φρόνιμος περὶ ταῦτα· ἔστι δ' οὗτος ὁ ἰατρός· ἀλλὰ καὶ ὁ ἐν τοῖς κατὰ μουσικὴν τοῦ μὲν ὁμοίου μὴ ἐπαξιῶν πλεονεκτεῖν περὶ τὴν ἐπίτασιν τῶν χορδῶν ἢ ἄνεσιν τοῦ δὲ ⟨μὴ⟩ ὁμοίου φρόνιμος ἐν τούτοις· τοιοῦτος γὰρ ὁ μουσικός· καὶ καθόλου ἄρα πᾶς ὁ τοῦ μὲν ὁμοίου πλέον οὐκ ἀξιῶν ἔχειν τοῦ δὲ ἀνομοίου φρόνιμος. τὴν δὲ δευτέραν πρότασιν
15 οὕτως ἔστι συλλογίσασθαι· πᾶς ὁ τοῦ ἴσου ἀπονεμητικὸς "τοῦ μὲν ὁμοίου οὐ πλεονεκτεῖ, τοῦ δὲ ἀνομοίου"· ὁ δὲ δίκαιος τοῦ ἴσου ἀπονεμητικός· "ὁ ἄρα δίκαιος τοῦ μὲν ὁμοίου οὐ πλεονεκτεῖ, τοῦ δὲ ἀνομοίου"· ὁ δὲ τοιοῦτος φρόνιμος. οὐ μὴν οὐδὲ ἡ τοιαύτη δεῖξις ἁπλῆ ἀλλὰ σύνθετος, σύνθετος δὲ οὐκ ἐκ πλειόνων συλλογισμῶν ἀλλ' ἐξ ἐπαγωγῆς καὶ συλλογισμοῦ. διὸ καὶ
20 ἡ ἀνάλυσις αὐτοῦ οὐκ εἰς συλλογισμοὺς ἔσται ὥσπερ τοῦ πρώτου, ἀλλ' ἔσται τούτου ἡ ἀνάλυσις εἰς ἐπαγωγὴν καὶ συλλογισμόν, ἐξ ὧν καὶ συνετέθη. ἀναλύομεν γὰρ τὸν ὅλον λόγον φάσκοντες συνάγεσθαι τὸ μὲν Α ὑπὸ τῶν ἐπακτικῶς αὐτὸ κατασκευασάντων τὸ δὲ Β ἐκ τῶν οἰκείων προτάσεων· ὑπὸ δὲ τῶν Α, Β τὸ Ε· ὥστε καὶ ὑπὸ τῶν ἐξ ἀρχῆς τῶν τε τοῦ Α δεικτικῶν καὶ
25 τῶν τοῦ Β τὸ Ε συναχθήσεται. ἐπειδὴ τὰ συνακτικά τινος, ὡς ἔφαμεν, μεθ' οὗ ἢ μεθ' ὧν τὸ ἐξ αὐτῶν δεικνύμενον συνάγει τι, μετ' ἐκείνου ἢ μετ' ἐκείνων καὶ αὐτὰ συνάξει. τὰ γὰρ συνακτικὰ τοῦ Α ἔστω τὸ Γ, Δ· μεθ' οὗ ἢ μεθ' ὧν τὸ Α τὸ ἐξ αὐτῶν δεικνύμενον συνάγει τι, μετὰ τούτου ἢ μετὰ τούτων καὶ αὐτὰ συνάξει, ὃ καὶ αὐτό· συνῆγε δὲ τὸ Α μετὰ τοῦ Β τὸ Ε· | ἀλλὰ 122v
30 καὶ ⟨μετὰ⟩ τῶν τοῦ Β συλλογιστικῶν (ἔστω δὲ ταῦτα Ζ, Θ) τὸ αὐτὸ συνῆγε (τὸ γὰρ Θ)· καὶ τὸ Γ, Δ ⟨ἄρα⟩ μετὰ τῶν Ζ, Θ ἢ μετὰ τοῦ Β τὸ Ε συνάξει.

Ἀλλὰ καὶ οὕτως πλείους οἱ συλλογισμοί· πλείω γὰρ τὰ συμπεράσματα, οἷον τό τε Α καὶ τὸ Β καὶ τὸ Γ. οὐ γὰρ γίνεται εἷς συλλογισμός, ἐν ᾧ συλλογισμῷ αἱ προτάσεις αἱ δεικτικαὶ τοῦ συμπεράσματος συμπέρασμα ἄλλων
35 τινῶν εἰσιν· ὅσα γὰρ συμπεράσματα, τοσοῦτοι καὶ οἱ συλλογισμοί. ἔστι δὲ συμπέρασμα τό τε Α καὶ τὸ Β· αὗται γὰρ ἦσαν δεικτικαὶ τοῦ Γ προτάσεις, αὗται δὲ ἄλλων συμπέρασμα· ἀλλὰ καὶ τὸ Γ προσεχῶς ἐκ τῶν Α, Β δεικνύμενον. δῆλον δέ, ὅτι ἐφ' ὧν διὰ συλλογισμοῦ αἱ δύο προτάσεις δείκνυνται, τὰ δύο συμπεράσματα τρία γίνεται συμπεράσματα. τὸ γὰρ δι' ἐπαγωγῆς δειχθὲν

---

5 μὴ ... ὁμοίου (6) Al. 275,17—18: om. P 9 ἀξιῶν Al. 275,22: ἀξιοῖ P 11 ἐπαξιῶν scripsi: ἀπαξιῶν P (ἀξιῶν Al. 275,24) 12 μὴ Al. 275,24: om. P 31 θ̄ prius P (a): ε̄ Al. 276,7 (B) ἄρα Al.: om. P 34 τοῦ Al. 276,13: τούτου P 35 ante συμπέρασματα add. τὰ Al. 276,14 37 αὗται .. συμπέρασμα P (B): αὗται .. συμπεράσματα Al. 276,16 (a) post γ̄ add. τὸ Al. (B: om. a) 39 τρία .. συμπεράσματα Al. 276,18: τρίτον .. συμπέρασμα P cf. 76,3

οὐ συλλογισμός. ἀλλ' οὖν κἀκεῖ πλείους οἱ συλλογισμοί, ὅτι ἡτέρα τῶν προτάσεων ἡ Β ἦν διὰ συλλογισμοῦ δεδειγμένη, ὥστε καὶ οὕτως δύο συλλογισμοί. εἰ δ' οὖν ἀξιώη τις καὶ τὸν τοιοῦτον ἕνα συλλογισμὸν εἶναι τῷ πρὸς τὴν τοῦ τελευταίου συμπεράσματος δεῖξιν καὶ τὰς τῶν προτάσεων δείξεις
5 συντελεῖν, οὐ φιλονεικητέον πρὸς τοῦτο, ἀλλὰ γνωστέον, ὅτι οὕτως μὲν καὶ τοῦτον τὸν τρόπον ἐγχωρεῖ διὰ πλειόνων ὅρων καὶ προτάσεων γίνεσθαι τὸ αὐτὸ συμπέρασμα ἐμπεριεχομένων πλειόνων συμπερασμάτων τῷ παντὶ λόγῳ. ὡς δὲ τὸ Γ διὰ τῶν Α, Β, ἀδύνατον, τουτέστιν 'οὕτως δέ, ὡς διὰ δύο προτάσεων δείκνυταί τι, λέγειν καὶ διὰ πλειόνων προσεχῶν λαμβανομένων καὶ
10 μηδὲν ἄλλο ἀλλ' ἢ τὸ προκείμενον συμπέρασμα συναγουσῶν ἀδύνατον'.

Ὅτι μὲν οὖν πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων καὶ διὰ προτάσεων προσεχῶν δύο δείκνυται, δι' ὑποθέσεως δεικτέον. εἰ γὰρ οἷόν τε διὰ πλειόνων, ἔστω τὸ Ε δεδειγμένον διὰ προτάσεων τῶν Α Β Γ Δ. καὶ ποιητέον τὴν δεῖξιν ἐπὶ τοῦ πρώτου σχήματος· ὡς γὰρ ἂν ἐπὶ τούτου δειχθῇ, οὕτως ἔσται
15 καὶ ἐπὶ τῶν ἄλλων σχημάτων. οὐκοῦν εἰ τὸ Ε συλλο|γιστικῶς δείκνυ- 123ʳ
ται διὰ τῶν Α Β Γ Δ προτάσεων, ἀνάγκη ἐν αὐταῖς εἶναι τὸ μέν τι ὡς ὅλον τὸ δὲ ὡς μέρος, τουτέστι τὴν μέν τινα πρότασιν καθόλου τὴν δὲ ὑπὸ ταύτην· ἀδύνατον γὰρ ἄλλως γενέσθαι συλλογισμὸν μὴ τοῦ μὲν καθόλου ληφθέντος τοῦ δὲ ἐπὶ μέρους καὶ ἐν τούτῳ περιεχομένου. δέδεικται γάρ, ὅτι,
20 εἰ εἴη συλλογισμός, ἀνάγκη τινὰς τῶν δεικτικῶν συλλογιστικῶς τοῦ προκειμένου πρὸς ἀλλήλους οὕτως ἔχειν ὡς τὸν μὲν περιέχειν τὸν δὲ περιέχεσθαι. τοῦτο γὰρ δέδεικται μὲν καὶ πρὸ ὀλίγου, εἰρήκαμεν δὲ αὐτὸ ⟨καὶ⟩ ἐν τῇ τῶν συλλογισμῶν καταριθμήσει τε καὶ ἐκθέσει· αὕτη γὰρ ἦν πρώτη γένεσις τῶν συλλογισμῶν· τῷ γὰρ ἐν ὅλῳ ἄλλῳ ἄλλον εἶναι καὶ τῷ κατὰ παντὸς ἄλλον ἄλλου λέγεσθαι
25 τούτων τῶν ἀναποδείκτων τούτων συλλογισμῶν εὑρέσεις. οὐ μόνον δὲ ἔδει τοὺς ὅρους οὕτως ἔχειν πρὸς ἀλλήλους ἀλλὰ καὶ τῶν προτάσεων τὴν μὲν καθόλου εἶναι πρὸς τὸ κείμενον, ἣν καὶ μείζονα ἐλέγομεν, τὴν δὲ ἐλάττονά τε καὶ ὑπὸ ταύτην. δεήσει γοῦν καὶ ἐπὶ τῶν Α Β Γ Δ προτάσεων τοῦτο γίνεσθαι καὶ εἶναί τινα σχέσιν αὐτῶν πρὸς ἀλλήλας τοιαύτην ὡς συνῆφθαί τε ἀλλήλαις
30 καὶ εἶναι τὴν μὲν καθόλου τὴν δὲ ὑπ' αὐτήν, εἰ συναχθήσεταί τι δι' αὐτῶν συλλογιστικῶς. ἐχέτωσαν οὖν οὕτω πρὸς ἀλλήλας αἱ προτάσεις, ἥ τε Α καὶ Β. οὐκοῦν εἰ οὕτως ἔχουσι πρὸς ἀλλήλας, δῆλον ὡς συναχθήσεταί τι ἐξ αὐτῶν· ὅταν γὰρ δύο προτάσεις οὕτως ἔχειν ληφθῶσι πρὸς ἀλλήλας, ἐξ ἀνάγκης συνάγεταί τι ἐξ αὐτῶν, καὶ δείκνυται συλλογιστικῶς τὸ δεικνύμενον, καὶ συνα-
35 γόμενον ἐκ τῶν Α, Β προτάσεων οὕτως ἐχουσῶν πρὸς ἀλλήλας ἤτοι τὸ Γ ἔσται, ὅπερ ἦν προκείμενον δείκνυσθαι ἐκ τῶν Α Β Γ Δ προτάσεων, ἢ τὸ ἕτερον τῶν Γ, Δ, ἃ καὶ αὐτὰ συνακτικὰ μετὰ τῶν Α, Β ἔκειτο τοῦ Ε, ἢ οὔτε

---

3 ἀξιώη sic P 4 δείξεις Al. 276,26: δεῖξις P 5 post φιλονει spatium vacuum habet P 9 λέγειν] συμπλέκειν Al. 276,31 (a: πλέκειν B) 14 τούτου Al. 277,6: τούτοις P 16 μέν τι Al. 277,8: μέντοι P 22 καὶ Al. 277,15: om. P 24 τῷ γὰρ Al. 277,16: τῶν δὲ P 25 ἀναποδείκτων Al. 277,17: ἀποδείκτων P τούτων alterum om. Al. 27 κείμενον, ἣν καὶ μείζονα Al. 277,19. 20: μεῖζον ἣν καὶ μείζονος P 33 ἐξ ἀνάγκης . . . αὐτῶν (34) ante δῆλον (32) habet P

οὔτε τὸ Γ οὔτε τὸ Δ ἀλλὰ ἄλλο τι παρὰ ταῦτα πάντα. εἰ μὲν οὖν τὸ 123v
Ε ἔσται ἂν ἐκ τῶν δύο μόνων, τοῦ τε Α καὶ τοῦ Β, συναγόμενον τὸ Ε ἀλλ'
ἔσται ἐκ τῶν ὑποτεθέντων τεσσάρων. τὰ δὲ δύο, τὸ Γ καὶ τὸ Δ, τουτέστιν
αἱ προτάσεις αἱ δύο αἱ λοιπαί, εἰ μὲν καὶ αὐταὶ οὕτως ἔχουσι πρὸς
ἀλλήλας ὡς τὴν μὲν καθόλου εἶναι, τὴν μείζονα πρότασιν, τὴν δ' ἐλάττονά
τε καὶ ὑπ' ἐκείνην ὡς γίνεσθαι συλλογιστικὴν ὑπ' αὐτῶν συζυγίαν, συναχθήσεταί τι καὶ ἐκ τούτων συλλογιστικῶς, καὶ ἤτοι τὸ Ε ἢ τῶν Α καὶ τῶν
Β τὸ ἕτερον ἢ ἄλλο τι παρὰ ταῦτα. εἰ μὲν οὖν τὸ Ε ἐκ τούτων συνάγεται
ὥσπερ καὶ ἐκ τῶν Α, Β, πλείους ἔσονται συλλογισμοὶ τοῦ αὐτοῦ· ἐδείχθη γάρ,
10 ὅτι, ἂν τὸ αὐτὸ συμπέρασμα δι' ἄλλων καὶ δι' ἄλλων προτάσεων γίνηται,
πλείους οἱ συλλογισμοί. ἀλλὰ κἂν τῶν Α, Β τὸ ἕτερον ὑπὸ τῶν Γ, Δ συνάγεται, καὶ οὕτω πλείους οἱ συλλογισμοὶ τὴν ἑτέραν πρότασιν τῶν Α, Β,
αἳ ἦσαν τοῦ Ε συλλογιστικαί, συμπέρασμα εἶναι ἐπὶ ταῖς Γ, Δ προτάσεσιν.
ἔστι δὲ ἡ τοιαύτη σύνθεσις κατὰ τὸ τρίτον ὑπὸ τῶν νεωτέρων καλούμενον
15 θέμα γινομένη, ὅ ἐστιν ὑπὸ τὸ προκείμενον ἡμῖν θεώρημα συνθετικόν. εἴ γε τοῦ μέν ἐστι περιοχή, ὥσπερ εἰρήκαμεν, 'ὅταν ἔκ τινων συνάγεταί τι, τὸ δὲ συναγόμενον μετὰ τινὸς ἢ τινῶν συνάγει τι, καὶ τὰ συνακτικὰ αὐτοῦ, μεθ' οὗ ἢ μεθ' ὧν συνάγει τι ἐκεῖνο, καὶ αὐτὰ τὸ αὐτὸ συνάξει'. εἰ δὲ μήτε τοῦ Ε
τὸ Γ, Δ μήτε τῶν Α, Β τοῦ ἑτέρου εἴη συλλογιστικά, ἄλλο δέ τι συλλογίζοιτο,
20 πλείους τε ὁμοίως ἔσονται οἱ συλλογισμοὶ καὶ ἀσύναπτοι καὶ οὐδὲν κοινὸν πρὸς ἀλλήλους ἔχοντες· οὔτε γὰρ αὐτὰ τὰ Γ, Δ συνῆπται τῷ Α οὔτε τὸ δεικνύμενον ἐξ αὐτῶν, εἴ γε τὰ μὲν Α, Β τοῦ Ε δεικτικά εἰσι, τὰ δὲ Γ, Δ ἔξωθέν τινος ἄλλου καὶ οὔτε τοῦ Ε οὔτε τῶν Α, Β τινός.

Εἰ δὲ μὴ οὕτως ἔχοιεν αἱ προτάσεις πρὸς ἀλλήλας αἱ Β, Γ ὡς ἔχειν
25 συλλογιστικῶς τὸ συνάγειν, οὐκ ἀναγκαίως ἔσονται εἰλημμέναι· καὶ γὰρ χωρὶς τοῦ ληφθῆναι | αὐτὰς τὸ Ε συνήγετο ἂν ἐκ τῶν Α, Β. παρελκόντως οὖν 124r
καὶ μάτην ἔσται εἰλημμένα καὶ ἀχρήστως, εἰ μὴ ἐπαγωγῆς χάριν ⟨ὡς⟩ πιστώσασθαί τι τῶν τοῦ Α δεικτικῶν δι' αὐτῶν ἢ κρύψεως χάριν ὡς διὰ τὴν τούτων παράθεσιν τὸν προσδιαλεγόμενον συγχωρεῖν ῥᾷον ταῖς τοῦ προκειμένου
30 συλλογιστικαῖς προτάσεσι τῷ ταύτας ἐν μέσῳ τιθεμένας ἀποκρύπτειν καὶ μὴ ἐᾶν τὸ συμβησόμενον ἐκ τῶν συγχωρηθέντων καταφανὲς γίνεσθαι καὶ γνώριμον. ῥᾷον γὰρ οἱ οὐκ εἰδότες τὸ συναχθησόμενον ἐκ τῶν συγχωρηθέντων συγχωροῦσιν, ὃ ποιοῦσιν αἱ κρύψεως χάριν τοῦ συμπεράσματος ἔξωθεν ἐπιλαμβανόμεναι προτάσεις· τοῦτο δὲ ποιοῦσιν οἱ διαλεκτικοί τε καὶ σοφισταί. ἢ
35 εἴ τινος ἄλλου ἕνεκα, οἷον ὄγκου καὶ αὐξήσεως ἢ τοῦ σαφέστερον εἶναι τὸν λόγον· αἱ γὰρ παρὰ τὰς ἀναγκαίας προτάσεις λαμβανόμεναι τούτων τινὸς χάριν εἰώθασι λαμβάνεσθαι, ὡς δεδείχαμεν ἐν τῷ τελευταίῳ τῶν Τοπικῶν, διὰ ἐπαγωγῆς μέν, ὅταν ἡ καθόλου πρότασις δέηται πίστεως, ὡς ἐδείξαμεν ἐν τῷ

2 δύο μόνων Al. 277,31: δυομένων P 3 post δὲ add. λοιπὰ Al. 277,32 7 καὶ τῶν (a: καὶ τὸ B) delevi Al. 277,37 cf. 81,10 12 ante τὴν add. τῷ Al. 278,4 (a): om. P (B) 15 θέμα Al. 278,7: om. P 18 post συνάξει add. etiam alteram definitionem Al. 278,11—14 19 τὸ P: τὰ Al. 278,20 24. 25 ὡς ἔχουσῶν . . τι συνήγετο Al. 278,26. 27 27 ὡς Al. 278,30: om. P 33. 34 ἐπιβαλλόμεναι Al. 279,3 36 παρὰ Al. 279,5: περὶ P 38 post μὲν add. οὖν Al. 279,7 (a): om. P (B)

συνάγοντι λόγῳ τὴν πολιτικὴν ἀγαθοῦ τινος ἐφίεσθαι (ἡ γὰρ πρότασις ἡ 'πᾶσα μέθοδος ἀγαθοῦ τινος ἐφίεται' δι' ἐπαγωγῆς ἐδείκνυτο), αὐξήσεως δέ, ὅταν μηκῦναί τις τὸν λόγον βούληται, ὡς ποιοῦσι πολλάκις οἱ συγγραφεῖς· οὐ γὰρ ἀρκούμενοι ψιλαῖς μόναις ταῖς τοῦ προκειμένου δεικτικαῖς προτάσεσιν ἔξωθέν τινας ἐπεμβάλλουσι κόσμου τε χάριν καὶ ὄγκου τοῦ κατὰ τὸν λόγον, ἢ τῶν ἐν ταῖς προτάσεσι κειμένων τι, ὁποῖόν ἐστιν, ἐξηγούμενοι ἤ τι ἄλλο ἐνείροντες τῷ λόγῳ. οἷον εἰ βουλόμενος δεῖξαί τις τὸ καλὸν ὠφέλιμον λάβοι πρότασιν τὴν 'πᾶν καλὸν ἀγαθόν', ἔπειτα περὶ τοῦ καλοῦ τινα προστιθείη λέγων καὶ ἐπαινετὸν τῇ αὐτοῦ φύσει καὶ δι' αὐτὸ αἱρετόν· τὸ γὰρ καλὸν πρὸς ἑαυτὸ ἐπισπώμενον δι' αὐτὸ αἱρετόν· ἀλλὰ μὴν | καὶ τὴν πλείστην μοῖραν 124r
ἔχειν πρὸς εὐδαιμονίαν αὐτό. καὶ γὰρ μήτε εἰς κατασκευὴν τοῦ τὸ καλὸν αἱρετὸν εἶναι ταῦτα λαμβάνων τῷ μὴ ἀμφισβητεῖσθαι τοῦτο μήτε ὡς πρὸς τὴν δεῖξιν τοῦ προκειμένου ἄλλως δ' αὐτὰ προστιθεὶς [καὶ] αὐξήσεως χάριν αὐτὰ προστίθησι τοῦ λόγου, ὄγκον τινὰ περιτιθεὶς αὐτῷ καὶ φεύγων τὸ ἐκ τῆς τέχνης ξηρόν τε καὶ ψιλόν. κρύψεως δὲ ὑπὲρ τοῦ μὴ δυσχεραίνειν μηδὲ ἀνανεύειν τὸν ἀποκρινόμενον ἀλλὰ ῥᾷον τὸ φαινόμενον διδόναι μὴ συνορῶντα τὸ συμβησόμενον. οἷον εἰ βουλόμενός τις δεῖξαι, ὅτι ἡ ὑγεία ἀγαθόν, λαβὼν τὴν ὑγείαν ὠφέλιμον εἶναι τῷ ἀγαθῷ μὴ εὐθὺς ἐρωτήσῃ. ⟨εἰ⟩ τὸ τῷ ἀγαθῷ ὠφέλιμον ἀγαθόν, διὰ τὸ μὴ δώσειν τὸν ἀντιλέγοντα τῷ δοθέντος τὸ συμβησόμενον φανερὸν εἶναι, ἀλλὰ ἐν μέσῳ ἄλλα τινὰ ἐρωτῶν, οἷον εἰ ἀγαθός ἐστιν ὁ τὰς ἀρετὰς ἔχων, καὶ εἰ ἡ ἀρετὴ ἀγαθόν, ὡς ἐπαινετόν ἐστι, καὶ εἰ δι' αὐτὴν αἱρετή, ἃ οὐδὲν μὲν αὐτῷ συντελεῖ, πρὸς ὃ βούλεται δεῖξαι, διασπᾷ δὲ τὴν συνέχειαν τῶν συναγουσῶν τὸ προκείμενον προτάσεων, εἶτα ἐπὶ τούτοις ἐξετάσει, εἰ τὸ τῷ ἀγαθῷ ὠφέλιμον δύναταί ποτε κακὸν εἶναι ἢ ἀγαθόν ἐστιν ἀεί· ῥᾷον γὰρ οὕτως λήψεται, ἢ ⟨εἰ⟩ εὐθὺς αὐτὸ αἰτῶ. ἢ δύναται τὸ αὐτὸ τοῦτο καὶ δι' ἐπαγωγῆς λαβεῖν λέγων 'ὡς τὸ τῷ μουσικῷ μουσικὸν καὶ τὸ τῷ τέκτονι τεκτονικόν, οὕτως καὶ τὸ τῷ ἀγαθῷ ἀγαθόν'. σαφηνείας δέ, ὅταν ἀσαφῶν οὐσῶν τῶν συλλογιστικῶν τοῦ προκειμένου προτάσεων εἰς σαφήνειαν αὐτῶν ἤ τινα τεθειμένα. ὡς ἔχουσιν αἱ διὰ παραβολῆς προτάσεις παραλαμβανόμεναι. θέλοντες γὰρ λαβεῖν, ὅτι πᾶν τὸ ὅμοιον ταὐτόν, παραβλητέον τὸ ὅτι καὶ γὰρ τὸ ἀνόμοιον ἕτερον· καὶ ὅτι ἐπιστήμη μία τῶν ἐναντίων, βουλομένους λαβεῖν παραβλητέον τὸ ὅτι καὶ γὰρ αἴσθησις ἡ αὐτὴ τῶν ἐναντίων.

Εἰ δὲ ἐκ τῶν Α, Β μὴ τὸ | Ε ἀλλὰ ἄλλο τι γίνεται, τουτέστι συνάγεται, 125r
ἐκ δὲ τῶν Γ, Δ ἢ τὸ ἕτερον τῶν Α, Β ἤ τι ἄλλο ἔξωθεν, οἵ τε συλλογισμοὶ πλείους (πλείονα γὰρ τὰ συμπεράσματα, τὸ μὲν ἐπὶ τοῖς Α, Β τὸ δὲ ἐπὶ τοῖς Γ, Δ, εἴτε τὸ ⟨Α ἢ τὸ⟩ Β εἴη τοῦτο εἴτε ἄλλο τι ἔξωθεν), καὶ ἔτι ⟨οὐ⟩ τὸ προκείμενον ἔσται δεικνύμενον καὶ συναγόμενον· ἔκειτο γὰρ τὸ Ε συμπέρασμα εἶναι. εἰ δὲ τὰ μὲν Α, Β εἴη συνάγοντα ἔξωθέν τι, τὰ δὲ Γ, Δ μηδὲν εἴη δεικνύντα,

8 προστιθείη Al. 279,19: προστεθείη P 9 post λέγων add. τὸ καλὸν εἶναι Al. 279,19 9. 10 αὐτοῦ, αὐτὸ P 11 ἔχειν Al. 279,21: ἔχει P καὶ P: ὁ Al. 13 καὶ P: om. Al. 279,24 18 εἰ Al. 279,29: om. P 19 τῷ Al. 279,30: τοῦ P 20 εἰ Al. 279,31: ὁ P 22 αὐτὴν P 24 ἐξετάσαι Al. 279,35 25 εἰ Al. 279,36: om. P αἰτῶν sic P: αἰτοίη recte a Al. 279,36 (at αἰτῶ. ἢ B) 26 τὸ alterum Al. 280,2: om. P 34 ἄλλο Al. 280,13: ἄλλοθεν P 36 a ἢ τὸ Al. 280,15: om. P οὐ Al. 280,16: om. P

[illegible] ἔσται, ἀλλ' οὐ τοῦ προκειμένου· οὐ γὰρ τὸ Ε ἐδείχθη ἐπὶ τῶν Α, Β ἀλλὰ ἄλλο τι· τὰ δὲ Γ, Δ μάτην ἔσται εἰλημμένα καὶ κείμενα. ὁ δὲ αὐτὸς λόγος, καὶ εἰ τὰ μὲν Γ, Δ εἴη ἔξωθέν τι συνάγοντα, τὰ δὲ Α, Β μηδέν. εἰ δὲ ταῦτα οὕτως ἔχει, δῆλον ὡς πᾶς ἐξ ἀνάγκης συλλογισμὸς διὰ τριῶν ὅρων καὶ διὰ δύο προτάσεων· καὶ γὰρ οἱ σύνθετοι συλλογισμοὶ [illegible] δεικνύσας προτάσεις δύο ἔχουσιν. οἱ γὰρ τρεῖς ὅροι δύο ποιοῦσι προτάσεις, ἐκτὸς εἰ μὴ καὶ ἀντιστροφὴ γίνοιτό τινος τῶν προτάσεων ἢ καὶ ἀμφοτέρων· οὕτως γὰρ δόξουσι πλείους προτάσεις ἐκ τριῶν ὅρων γίνεσθαι. ἐλαμβάνομεν δὲ τὰς ἀντιστροφὰς πρὸς τὴν τελείωσιν τῶν ἀτελῶν συλλογισμῶν· οὗτοι δ' ἦσαν οἱ ἐν δευτέρῳ τε καὶ τρίτῳ σχήματι. ἀλλὰ καὶ ἐπ' ἐκείνων ἐκ δύο προτάσεων ὁ συλλογισμός· τὴν γὰρ ἀντιστρέφουσαν ἐλαμβάνομεν ἀντὶ τῆς, ἣν ἀντέστρεφε, πρὸς τὸ δεῖξαι τὸ συμπέρασμα. ἀλλ' οὐκ ἀμφοτέρας. [illegible] δὲ ἐκ τριῶν ὅρων πᾶς συντελούμενος δείκνυται συλλογισμός· χρήσιμον γὰρ πρὸς τὸ τὰ τρία σχήματα εἶναι μόνα· τριῶν γὰρ ὄντων ὅρων ⟨ἡ τοῦ μέσου⟩ θέσις οὐκ ἄλλως ἕξει πρὸς τὰ ἄκρα παρὰ τὴν ἐν τοῖς τρισὶ σχήμασι κειμένην σχέσιν αὐτοῦ πρὸς αὐτούς.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὡς ἐν ᾧ λόγῳ συλλογιστικῷ μὴ δύο εἰσὶν αἱ προτάσεις, οὗτος ὁ λόγος ἢ οὐ συλλελόγισται | ἢ πλείω τῶν ἀναγκαίων 125v
ἠρώτηκε πρὸς τὴν θέσιν. διὰ τῶν δύο προτάσεων τὸ κύριον τουτέστι τὸ προκείμενον συμπέρασμα δείκνυται· οὐ γὰρ οὐδὲν κωλύει τὰς προσεχεῖς τοῦ δεικνυμένου προτάσεις ἄλλου τινὸς συμπεράσματα δείκνυσθαι, ὡς ἐπὶ τῶν συντε[illegible] ἐδείχθη συλλογισμῶν. ἔνια γὰρ τῶν ἄνωθέν τε καὶ πρώτων δεδειγμένων καὶ συμπερασμάτων ἐπ' ἄλλαις προτάσεσι γεγονότων ἀναγκαῖον εἶναι τῶν μετὰ ταῦτα προτάσεις· τὸ γὰρ ἄλλων προτάσεων συμπέρασμα οὐδὲν κεκώλυται ἄλλου συμπεράσματος πάλιν αὐτὸ εἶναι πρότασιν συνακτικήν. εἰ δὲ μὴ δύο εἶεν αἱ προτάσεις, δι' ὧν γίνεται τὸ προσεχῶς γινόμενον συμπέρασμα, φανερὸν ὅτι οὗτος ὁ λόγος ἢ οὐ συλλελόγισται ἢ πλείω τῶν ἀναγκαίων ἠρώτηκε πρὸς τὴν θέσιν. εἰ μὲν ⟨γὰρ⟩ μήτε τὸ Α καὶ τὸ Β συνάγοιέν τι μήτε τὸ Γ καὶ τὸ Δ, ἃ ἦν τοῦ Ε συνακτικὰ κείμενα, οὐδ' ὅλως ἂν ⟨εἴη⟩ συλλογισμὸς γινόμενος· εἰ δ' ἄλλα τινὰ συλλογίζοιτο, οὐ τοῦ προκειμένου ἂν εἴη συλλογισμὸς γινόμενος. εἰ δὲ τὰ μὲν δύο τὸ Ε δεικνύει, τὰ δὲ δύο ἢ ἄλλο τι ἢ μηδέν, μάτην ἂν εἴη εἰλημμένα κατ' ἀμφότερα· εἰ μὲν γὰρ ἄλλο τι, πλείους οἱ συλλογισμοί, εἰ δὲ μηδέν, μάτην ἂν εἴη εἰλημμένα, μάτην δὲ ὡς πρὸς τὴν τοῦ Ε δεῖξιν, καὶ εἰ ἄλλο τι ἔξωθεν συνάγοιτο ὑπ' αὐτῶν· κατὰ τοῦτο δὲ πλείους ἂν εἶεν τῶν ⟨ἀναγκαίων⟩ εἰλημμέναι.

---

2 ὑπὸ Al. 280,19 12 ἀμφοτέρας Al. 280,34: ἀμφότεραι P 14. 15 ἡ τοῦ μέσου Al. 281,1: om. P 15 παρὰ Al.: περὶ P (B pr.) 16 αὐτοῦ Al. 281,2: αὐτῶν P 17 συλλογιστικῷ Arist. (Al. 281,3 a B): συλλογιστικῶς P (Al. 281,6 etiam B) 19 διὰ ὧν . . . πρὸς τὴν θέσιν (28) post ἢ μηδέν (31) et exiguo intermisso spatio iuxta μάτην ἂν εἴη εἰλημμένα (32) . . . καὶ εἰ (34) collocat P 21 συμπεράσματα scripsi: συμπέρασμα P (cf. 87,19) 21. 22 συνθέτων Al. 281,12 24 προτάσεις Al. 381,17: προτά[illegible] P 26 εἶεν αἱ τοιαῦται Al. 281,19: εἶναι τὰς P 28 γὰρ Al. 281,22: om. P [illegible] P 29 ὁ Al.: ἢ P ἦν Al. 281,23: τὸ P εἴη Al.: om. P [illegible] Al. 281,25 33 μηδέν Al. 281,27: μηδενί P 35 ἀναγκαίων Al.

Κατὰ μὲν οὖν τὰς κυρίας προτάσεις λαμβανομένων τῶν συλλογισμῶν· κυρίας δὲ λέγω προτάσεις τὰς προσεχῶς δεικνυούσας καὶ συλλογιζομένας τὸ προκείμενον, ἃς ἐδείξαμεν δύο οὔσας. τοῦτο δὴ λέγω καὶ νῦν, ὅτι, εἰ τὰς κυρίας τοῦ συμπεράσματος καὶ προσεχῶς αὐτὸ δεικνυούσας λαμβάνομεν, ἔσον-
5 ται ἐν παντὶ συλλογισμῷ προτάσεις μὲν δύο, ὅροι δὲ περιττοί· τρεῖς γὰρ ἐδείχθησαν ὄντες, ἐξ ὧν αἱ προσεχεῖς προτάσεις. ὅτι δὲ τὰ τρία τῶν δύο ἑνὶ περιέχει, δῆλον. ἀλλὰ καὶ ὅτι τὰ συμπεράσματα ἡμίση τῶν προτάσεων τῶν προσεχῶς δεικτικῶν, δῆλον· δύο μὲν γὰρ αἱ προτάσεις, ἓν δὲ τὸ ἐξ αὐτῶν συμπέρασμα. ὁ γὰρ λαβὼν τὸ Α κατὰ τοῦ Β, τὸ Β κατὰ τοῦ Γ, τὸ Γ
10 κατὰ τοῦ Δ καὶ συμπεραινόμενος 'τὸ Α ἄρα κατὰ τοῦ Δ' οὐ διὰ κυρίων οὐδὲ διὰ προσεχῶν προτάσεων ἔδειξε τὸ συμπέρασμα· κύριαι γὰρ | καὶ προσεχεῖς ἡ 126a
'τὸ Α κατὰ τοῦ Γ' καὶ 'τὸ Γ κατὰ τοῦ Δ', αἱ δὲ Α Β καὶ Β Γ δεικτικαὶ προσεχῶς τοῦ Α Γ, ὃ συμπέρασμα τούτων ὂν πρότασις προσεχῶς γίνεται δεικτικὴ τοῦ Α Δ συμπεράσματος.

15 Ἐπεὶ δ' εἴπομεν δύο εἶναι τὰς προσεχεῖς προτάσεις ἐν παντὶ συλλογισμῷ τὰς κυρίως δεικνυούσας τὸ προκείμενον συμπέρασμα καὶ διὰ τοῦτο ἀρτίους, καὶ τρεῖς ὅρους τοὺς τοιούτους, ἐξ ὧν αἱ δύο προτάσεις, διὸ καὶ περιττοὺς καὶ ἑνὶ πλείους τοὺς ὅρους τῶν προτάσεων, νῦν λέγομεν, εἰ μηκέτι μόνον αἱ κύριαι καὶ προσεχεῖς προτάσεις λαμβάνοιντο, ἀλλ' εἶεν μὲν καὶ αὗται συμπεράσματα
20 ἄλλων τῷ μὴ εἶναι ἀναποδείκτους, λαμβάνοιντο δ' ἂν καὶ αἱ τῶν προτάσεων τούτων δεικτικαὶ προτάσεις. τοῦτο γάρ ἐστι διὰ προσυλλογισμοῦ, ὅταν ὦσιν αἱ προσεχεῖς καὶ κύριαι τοῦ προκειμένου συμπεράσματος προτάσεις καὶ αὗται δεικνύμεναι μετὰ συλλογισμοῦ· οἱ γὰρ τῶν εἰς δεῖξίν τινος συμπεράσματος λαμβανομένων προτάσεων δεικτικοὶ συλλογισμοὶ προσυλλογισμοὶ γίνονται τοῦ
25 τελευταίου καὶ ἐκ τούτων γινομένου συλλογισμοῦ. διὰ προσυλλογισμῶν μὲν οὖν λέγω, ὅταν ἑκατέραν τῶν προτάσεων τῶν κυρίων τοῦ τελευταίου συλλογισμοῦ πρῶτον διὰ τῶν οἰκείων προτάσεων συλλογισάμενοι καὶ ποιήσαντες συμπεράσματα τὰς προτάσεις οὕτως αὐτὰς λάβωμεν εἰς τὴν δεῖξιν τοῦ προκειμένου. οἷον εἰ εἴη ἐκ τῶν Α Γ, Γ Ε δεικνύμενόν τι προσεχῶς, αὐτὰ δὲ ταῦτα τὸ μὲν Α Γ
30 διὰ τοῦ Α Β, Β Γ δεικνύοιτο τὸ δὲ Γ Ε διὰ τοῦ Γ Δ, Δ Ε· ὅταν γὰρ συλλογισάμενοι πρῶτον τὸ Α Γ εἶτα τὸ Γ Ε τότε λάβοιμεν τὸ Α Γ καὶ Γ Ε ὡς δεικτικὰ τοῦ Α Ε, διὰ προσυλλογισμῶν τὴν δεῖξιν ποιούμεθα. οὐδὲν δὲ διαφέρει, ἐν ᾧ δήποτε ὦσι σχήματι οἱ προσυλλογισμοὶ γεγονότες· ὁ γὰρ αὐτὸς λόγος, ἄν τε ἐν τῷ αὐτῷ ἄν τε ἐν διαφόροις.

35 Τὸ δὲ 'διὰ πλειόνων μέσων συνεχῶν' ἔστιν, ὅταν συνεχεῖς ἐφεξῆς προτάσεις πλείονας λαμβάνοντες μηκέτι τὰ γινόμενα | ἐξ αὐτῶν συμπεράσματα ἐκλαμβά- 126b
νοντες τούτοις ὡς δεικτικοῖς τοῦ προκειμένου χρησόμεθα ἀλλὰ πάσας τὰς προτάσεις λαμβάνομεν ὡς δεικτικὰς τοῦ προκειμένου· ὅταν γὰρ οὕτως ποιῶμεν,

---

1 κυρίας Arist.: κυρίως P: item vs. 24 7 περιέχει P (a): ὑπερέχει Al. 282,5 (B 12 β γ Al. 282,11: γ δ P 16 ἀρτίους Al. 282,17: ἀρτίως P 19 συμπεράσματα Al. 282,20: συμπέρασμα P (cf. vs. 27) 20 δ' ἂν P: δὲ Al. 282,21 (cf. 71,3) 21 προσυλλογισμοῦ scripsi (προσυλλογισμῶν Al. 282,23): προσεχοῦς συλλογισμοῦ P 22 αὗται P (a B): αὐταὶ scripsi Al. 282,24 27 συμπεράσματα Al. 282,29: συμπέρασμα P (cf. vs. 19) 31 λάβωμεν Al. 282,33 33 ante ἐν add. ἂν Al. 282,34 37 χρησώμεθα Al. 283,5

δύναμει προσυλλογιζόμεθα, οὐκ ἐνεργείᾳ. οἷον εἰ λάβωμεν τὸ Α κατὰ τοῦ Β, τὸ Β κατὰ τοῦ Γ, τὸ Γ κατὰ τοῦ Δ, τὸ Δ κατὰ τοῦ Ε, τὸ Α ἄρα κατὰ τοῦ Ε· συνεχεῖς γὰρ ἐνταῦθα τὰς προτάσεις λαβόντες οὐκ ἐπεκλαβόντες ἐπ' αὐταῖς γινόμενα συμπεράσματα χρώμεθα πᾶσιν αὐτοῖς ὡς ἐκ τούτων ὁμοίως πάντων συναγομένου τοῦ Α Ε συμπεράσματος. ἐν τῇ τοιαύτῃ τῶν προτάσεων συνεχείᾳ τὸ διὰ προσυλλογισμοῦ ἐστιν. εἰ οὖν εἴη μὲν συμπέρασμα τὸ Α Β, δεικνύοιτο δὲ τοῦτο διὰ μέσων τῶν Γ, Δ (τὸ μὲν Α κατὰ τοῦ Γ, τὸ δὲ Γ κατὰ τοῦ Δ, ⟨τὸ δὲ Δ κατὰ τοῦ Β⟩) διὰ προσυλλογισμῶν μὲν ἔσται, ἂν πρῶτον τὸ Α κατὰ τοῦ Δ συλλογισάμενος διὰ τοῦ Γ, εἶτα τὸ Δ κατὰ τοῦ Β λαβὼν ἢ καὶ αὐτὸ συλλογισάμενος διὰ τοῦ Ε λάβῃ τὸ Α Δ, Δ Β συμπέρασμα προτάσεις δεικτικὰς τοῦ Α Β συμπεράσματος, διὰ πλειόνων δὲ μέσων συνεχῶν, ἂν ἁπλῶς λαβὼν τὸ Δ κατὰ τοῦ Γ, τὸ Γ κατὰ τοῦ Δ, τὸ Δ κατὰ τοῦ Β ἐπενεγκὼν ἐπὶ τούτοις 'τὸ ἄρα Δ κατὰ τοῦ Β'. αὕτη γὰρ ἡ διαφορὰ τοῦ τε διὰ προσυλλογισμοῦ καὶ διὰ πλειόνων μέσων συνεχῶν. ἀμφοτέρως δὲ τὸ Α Β συμπέρασμα διὰ τῶν Γ, Δ μέσων.

Ἐπειδὴ τῶν οὕτως γινομένων συλλογισμῶν, οἳ οὐκέτ' εἰσὶν ἁπλοῖ, τὸ μὲν πλῆθος τῶν ὅρων ὁμοίως ὑπερέξει τοῦ τῶν προτάσεων πλήθους ἑνί, ὥσπερ καὶ ὅτε αἱ κύριαι προτάσεις τοῦ προκειμένου συμπεράσματος ἐλαμβάνοντο μόναι. οὐ μέντοι ἔτι αἱ μὲν προτάσεις ἀεὶ ἄρτιαι ἔσονται οἱ δὲ ὅροι περιττοί, ὡς εἶχεν ἐπὶ τῶν ἁπλῶν συλλογισμῶν, ἀλλ' ἔμπαλιν ἔξουσιν, ὁμοίως δέ· ὅταν μὲν γὰρ αἱ προτάσεις ὦ|σιν ἄρτιαι, οἱ ὅροι περισσοί, ὅταν δὲ αἱ προτάσεις 127r περισσαί, οἱ ὅροι πάλιν ἄρτιοι· οὕτως γὰρ ἔσονται ἑνὶ ὑπερέχοντες οἱ ὅροι τῶν προτάσεων. αἴτιον δὲ τοῦ ἑνὶ ὑπερέχειν τοὺς ὅρους τὸν τῶν προτάσεων ἀριθμὸν καὶ παρὰ μέρος ἀρτίους τε καὶ περιττοὺς γίνεσθαι τὸ ἐξ ἀρχῆς μὲν ἐν τοῖς ἁπλοῖς συλλογισμοῖς τοὺς ὅρους ὑπερέχειν ἑνὶ τῶν προτάσεων (αἱ μὲν γὰρ ἦσαν δύο, οἱ δὲ τρεῖς), ἑκάστῃ δὲ προσθήκῃ ὅρου διάστημα προστίθεσθαι. τούτου γὰρ οὕτως γινομένου ἡ ἐξ ἀρχῆς ἐν τοῖς ὅροις ὑπεροχὴ μένει· ὅταν γὰρ ἀνίσοις ἴσα προστεθῇ, τῷ αὐτῷ ἀλλήλων διοίσουσιν, ᾧ διέφερον καὶ πρὸ τοῦ τὰ ἴσα αὐτοῖς προστεθῆναι. ὅταν μὲν οὖν τοῖς τρισὶν ὅροις εἰς προστεθῇ, οἱ μὲν ὅροι τέσσαρές τε καὶ ἄρτιοι ἔσονται, αἱ δὲ προτάσεις τρεῖς τε καὶ περιτταί· δύο γὰρ οὔσαις αὐταῖς προσετέθη τρίτη διὰ τὴν πρόσθεσιν τοῦ ὅρου· ἅμα γὰρ ὅρου τε προσθήκη καὶ προτάσεως, ὡς ἔφαμεν. ἢ γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον προστεθήσεται πᾶς ὅρος, οἷον εἰ πρὸ τοῦ Α εἴη τις εἰλημμένος κατηγορούμενος τοῦ Α οἷον ὁ Δ ἢ μετὰ τὸ Γ ὑποκείμενος τῷ Γ, εἰς τὸ μέσον δέ, εἰ μεταξὺ εἴη τοῦ Α Β ἢ τοῦ Β Γ. ὅπου γὰρ ἂν καὶ ὅθεν ἂν προστεθῇ, σὺν αὐτῷ καὶ μία πρότασις προστίθεται. οὐσῶν γὰρ δύο προτάσεων τῆς τε Α Β καὶ τῆς Β Γ, ἄν τε πρὸ τοῦ Α τὸν Δ ὅρον λαμβάνομεν, ἔσται καὶ πρότασις προστιθεμένη ἡ Δ Α οὐδεμιᾷ τῶν κειμένων οὖσα ἡ αὐτή,

1 λάβωμεν Al. 283,7 2 τὸ δ Al. 283,8: τὸ δὲ P 3 ante ἐπ' add. τὰ Al. 283,10 (a: om. B) 6 οὖν, quod ante διὰ (vs. 5) habet P, transposui 7 τὸ ... β (8) ex Al. 284,22 addidi 8 προ[illegible] Al. 284,23: συλλογισμῶν P 10 τὰ ... συμπεράσματα Al. 12 ἐπενεγκὼν P (B): ἐπενέγκω Al. 284,27 (a) 14 μέσων Ar.: μόνων P 15 ἐπειδὴ P (B): ἐπὶ δὴ recte a Al. [illegible] 16 ὑπερέξει scripsi (φησὶν ὑπερέξειν Al. 284,32): ὑπόρξειν P 23 παρὰ Al. 284,8: περὶ P 25 οἱ Al. 285,10: αἱ P προστίθεσθαι Al. 285,11: προστίθεται P [illegible] τῷ αὐτῷ Al. 285,13: τὸ αὐτὸ P 28 πρὸ Al. 285,14: πρότερον P αὐτοῖς Al.: [illegible]οῖς P 33 τῷ γ Al. 285,32: τῶ δ P 37 προστιθεμένη Al. 285,36: προστιθεμένου P

ἄν τε μεταξὺ τοῦ Α Β· ἔσονται γὰρ αἱ Α Δ καὶ Δ Β δύο προτάσεις ἀντὶ μιᾶς· ἀλλὰ κἂν μεταξὺ τοῦ Β Γ· πάλιν γὰρ ἔσονται Β Δ, Δ Γ· ἀλλὰ κἂν ἔξωθεν μετὰ τὸ Γ· προστεθήσεται γὰρ ὁμοίως πάλιν ταῖς κειμέναις ἡ Γ Δ.

Αἱ μὲν οὖν προτάσεις καὶ οἱ ὅροι ταύτην ἀεὶ τὴν σχέσιν τε καὶ τάξιν φυλάξουσι. τὰ δὲ συμπεράσματα οὔτε πρὸς τοὺς ὅρους οὔτε πρὸς τὰς προτάσεις ἀεὶ τὴν αὐτὴν τάξιν ἕξει. καὶ ἡ αἰτία, ὅτι ἑνὸς ὅρου προστεθέντος συμπε- 127r
ράσματα προστίθεται ἑνὶ ἐλάττω τῶν ὑπαρχόντων ὅρων. οὐ αἴτιον, ὅτι πρὸς μόνον τὸν ἔσχατον τῶν κειμένων ὁ προστεθεὶς αὐτῷ. εἰ κατὰ τοῦτον ἡ προσθήκη γένοιτο, οὐ ποιεῖ συμπέρασμα. εἰ γὰρ εἶεν ὅροι Α Β Γ, προστεθείη δὲ τὸ Δ, ἔσται συμπέρασμα καὶ τοῦ Α πρὸς τὸ Δ καὶ τοῦ Β πρὸς τὸ Δ· ἦν δὲ καὶ τοῦ Α πρὸς τὸ Γ. τριῶν δὲ ὅρων προυπαρχόντων ἡ ἑνὸς ὅρου πρόσθεσις δύο συμπεράσματα προσέθηκεν. ἑνὶ ἐλάττω τῶν προυπαρχόντων ὅρων. οὐκέτι μέντοι τοῦ Γ πρὸς τὸ Δ γίνεται συμπέρασμα, ὅτι μηδεὶς αὐτῶν ἐστι μέσος· δύο οὖν προσετέθη συμπεράσματα ἑνὸς προστεθέντος ὅρου. ἦν δὲ συμπέρασμα μὲν ἐπὶ τοῖς τρισὶν ὅροις τὸ Α Γ, προτάσεις δὲ δύο, ὅροι δὲ τρεῖς· προστεθέντος οὖν τοῦ τετάρτου ὅρου δύο γίνονται συμπεράσματα προστιθέμενα, καὶ τὰ πάντα συμπεράσματα γίνονται τρία· ἀλλὰ καὶ αἱ προτάσεις τρεῖς, οἱ δὲ ὅροι τέσσαρες. * * * * τρία οὖν ἔσται συμπεράσματα προστιθέμενα. ἦν δὲ καὶ τὰ ἐπὶ τοῖς κειμένοις τέσσαρσιν ὅροις ἤδη τρία· τὰ πάντα οὖν ἓξ ἔσται συμπεράσματα ἐπὶ ὅροις πέντε καὶ τέσσαρσι προτάσεσι. πλείω οὖν τὰ συμπεράσματα, καὶ ἔτι μᾶλλον, ἂν ἄλλος ὅρος προστεθῇ· πολὺ γὰρ πλείω γίνεται τὰ συμπεράσματα καθ' ἑκάστην πρόσθεσιν ὅρου, δι' ἣν εἰρήκαμεν αἰτίαν. κἂν ἐν μέσῳ δὲ τεθῇ, ἑνὶ ἐλάττω τὰ προστιθέμενα συμπεράσματα ἔσται τῶν ἐξ ἀρχῆς κειμένων ὅρων πρὸ τῆς προσθέσεως τούτου· πρὸς γὰρ ἕνα μόνον ὅρον τῶν κειμένων καὶ οὕτως τεθεὶς οὐ ποιήσει συμπέρασμα. κείσθωσαν γὰρ ὅροι οἱ Α Β Γ συνάγοντες τὸ Α Γ συμπέρασμα, καὶ ἐμβεβλήσθω μεταξὺ τῶν Α Β Γ ὁ Δ ὅρος· ἔσται δὴ τὰ συμπεράσματα προσκείμενα τῷ Α Γ τό τε Α Β διὰ τοῦ Δ καὶ τὸ Δ Γ διὰ τοῦ Β. δύο μὲν οὖν προσετέθη συμπεράσματα, | οὐ μὴν 128r
τὰ δύο πρὸς αὐτόν, ἀλλὰ τὸ μὲν πρὸς αὐτὸν τὸν Δ (τὸ γὰρ Δ Γ), τὸ δὲ δι' αὐτοῦ· τὸ γὰρ Α Β οὐ πρότερον ὂν συμπέρασμα διὰ τὸ προστεθῆναι τὸ Δ συμπέρασμα γέγονε. πρὸς ἕνα γὰρ ὅρον τὸν ἔσχατον οὐ ποιήσει συλλογισμὸν τουτέστι συμπέρασμα ὁ προστιθέμενος, οἷον φέρε εἰπεῖν ὁ μετὰ τὸ Γ τιθέμενος· κἂν τοῦτο ἐν μέσῳ τιθέμενος αἴτιος ἐγένετο συμπεράσματος οἷον τοῦ Α Β, τοῦ Β Δ, τοῦ Β Γ.

Ἐπειδὴ ἔχομεν, περὶ ὧν οἱ συλλογισμοί (περὶ γὰρ τῶν προβλημάτων· ταῦτα δέ ἐστι τέσσαρα, δύο μὲν καθόλου, ἢ γὰρ καταφατικὸν ἢ ἀποφατικόν, δύο δὲ ἐπὶ μέρους ὁμοίως τὸ μὲν καταφατικὸν τὸ δὲ ἀποφατικόν), ἔχομεν δὲ καὶ ποῖον ἐν ἑκάστῳ σχήματι καὶ ποσαχῶς ἕκαστον τῶν προβλημάτων

---

1 α $\bar{\delta}$, δ $\bar{\beta}$ Al. 285,37: δ α, α $\bar{\beta}$ P 2 δ $\bar{\gamma}$ Al. 286,1: α $\bar{\gamma}$ P 6.7 συμπεράσματα Arist.: συμπέρασμα P 8 προστεθεὶς Al. 286,8: προτεθεὶς P 11 δὴ scripsi Al. 286,11 18 omisit librarius aberrans ἂν δὴ πάλιν ἄλλος ὅρος προστεθῇ, πρότασις μὲν ἔσται μία προστεθειμένη, ὥστε αἱ πᾶσαι τέσσαρες ἔσονται, ὅροι δὲ πέντε οἱ πάντες, συμπεράσματα δὲ ἑνὶ ἐλάττω τῶν ὑπαρχόντων ὅρων ἔσται τὰ προστιθέμενα· ἦσαν δὲ οἱ ὅροι τέσσαρες (Al. 286,18—21) 24 πρὸ Al. 286,29: πρὸς P 27 προσκείμενα τῷ Al. 286,33: προκείμενα τῶν P 29 αὐτὸν prius Al. 286,35: ἑαυτὸν P δ $\bar{\gamma}$ Al. 286,35: $\bar{\gamma}$ δ P 33 β $\bar{\gamma}$ P: fort. δ $\bar{\gamma}$ 36 τὸ . . . τὸ Al. 287,15: τὸν . . . τὸν P

(τὸ μὲν γὰρ καθόλου καταφατικὸν ἐν πρώτῳ σχήματι μόνῳ δείκνυται καὶ μοναχῶς, διὰ γὰρ ἑνὸς συλλογισμοῦ, τὸ δὲ καθόλου ἀποφατικὸν ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι, μοναχῶς μὲν ἐν τῷ πρώτῳ, δι' ἑνὸς γὰρ συλλογισμοῦ, διχῶς δὲ ἐν δευτέρῳ, διὰ γὰρ δύο συλλογισμῶν, τὸ δὲ ἐν μέρει καταφατικὸν ἔν τε τῷ πρώτῳ ⟨σχήματι καὶ ἐν τῷ τρίτῳ, μοναχῶς μὲν ἐν τῷ πρώτῳ.⟩ τριχῶς δὲ ἐν τῷ τρίτῳ, τὸ δὲ ἐν μέρει ἀποφατικὸν ἐν τοῖς τρισὶ σχήμασιν, ἀλλ' ἐν τῷ πρώτῳ μοναχῶς, ἐν δὲ τῷ δευτέρῳ διχῶς, τριχῶς δὲ ἐν τῷ τρίτῳ), ἐπεὶ οὖν ταῦτα φανερά, φανερόν ἐστι καὶ ποῖον τῶν προβλημάτων εὐεπιχείρητόν ἐστι καὶ ποῖον οὔ. τὸ μὲν γὰρ ἐν πλείοσι δεικνύμενον σχήμασι καὶ διὰ πλειόνων συλλογισμῶν εὐεπιχείρητόν ἐστι πρόβλημα· τὸ γὰρ διὰ πλειόνων δεικνύμενον πλείονας ἀφορμὰς ἔχει πρὸς τὸ δειχθῆναι, διὸ καὶ εὐεπιχειρητότερον· τὸ δὲ ἐν ἐλάττοσι καὶ δι' ἐλαττόνων συλλογισμῶν δυσεπιχειρητότερόν τε καὶ χαλεπώτερον. ἔστι δὲ διὰ πλειόνων σχημάτων καὶ διὰ πλείστων συλλογισμῶν τὸ ἐπὶ μέρους ἀποφατικόν· ἔν τε γὰρ τοῖς τρισὶ σχήμασι μόνον τοῦτο τῶν προβλημάτων καὶ διὰ συλλογισμῶν ἕξ. μετὰ δὲ τὸ ἐπὶ μέρους ἀποφατικὸν εἴη ἂν εὐκολώτερον τὸ ἐπὶ μέρους καταφατικόν· δείκνυται γὰρ | διά τε τοῦ πρώτου καὶ τοῦ τρίτου σχήματος 128ᵛ καὶ διὰ συλλογισμῶν τεσσάρων, ἑνὸς μὲν ἐν τῷ πρώτῳ, τριῶν δὲ ἐν τῷ τρίτῳ. μετὰ δὲ τοῦτο τὸ καθόλου ἀποφατικὸν εἴη ἄν· καὶ γὰρ ἐν τῷ πρώτῳ καὶ δευτέρῳ σχήματι δείκνυται, μοναχῶς μὲν ἐν πρώτῳ, διχῶς δὲ ἐν δευτέρῳ. τὸ δὲ καθόλου καταφατικὸν χαλεπώτατον· καὶ γὰρ ἐν τῷ πρώτῳ σχήματι μόνῳ καὶ ἐν τούτῳ μοναχῶς. ἐξ ὧν δῆλον, ὅτι πάντων τὸ καθόλου καταφατικὸν κατασκευασθῆναι μὲν χαλεπώτατον, ῥᾷστον δὲ ἀνασκευασθῆναι· διά τε γὰρ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ ἡ ἀνασκευὴ αὐτοῦ, ὃ ἐν πᾶσι τοῖς σχήμασι δείκνυται καὶ διὰ πλείστων συλλογισμῶν· ἀλλὰ καὶ διὰ τοῦ καθόλου ἀποφατικοῦ, ὃ καὶ αὐτὸ ἐν δύο τε σχήμασι καὶ συλλογισμοῖς τρισίν. ἔτι δὲ καὶ τοῦτο γνώριμον, ὅτι τὸ κατασκευάσαι τὸ καθόλου τοῦ ἀνασκευάσαι χαλεπώτερον. ἔμπαλιν δὲ ἐπὶ τοῦ ⟨ἐπὶ⟩ μέρους ἔχει· κατασκευασθῆναι μὲν γὰρ τὸ ἐπὶ μέρους ῥᾷον, ἀνασκευασθῆναι δὲ χαλεπώτερον. ἀνασκευάζεται μὲν γὰρ τὸ καθόλου καὶ ὑπὸ τοῦ ἀντικειμένου ἀντιφατικῶς τοῦ ἐπὶ μέρους, τὸ μὲν καταφατικὸν ὑπὸ τοῦ ἀποφατικοῦ, ὃ ἐν τοῖς τρισὶ δείκνυται σχήμασι, τὸ δὲ ἀποφατικὸν ὑπὸ τοῦ καταφατικοῦ, ὃ ἐν δυσίν ἐστι σχήμασι, τῷ τε πρώτῳ καὶ τρίτῳ, καὶ ἔτι ὑπὸ τοῦ ἐναντίου, τὸ μὲν καθόλου καταφατικὸν ὑπὸ τοῦ καθόλου ἀποφατικοῦ, ⟨ὃ ἐστι καὶ αὐτὸ ἐν δύο σχήμασι, τὸ δὲ καθόλου ἀποφατικὸν ὑπὸ τοῦ καθόλου καταφατικοῦ,⟩ ὃ ἐστι μόνον ἐν ἑνί, τῷ γὰρ πρώτῳ. ἡ δὲ τῶν ἐν μέρει ἀνασκευὴ οὐκέτι καὶ διὰ τοῦ καθόλου καὶ διὰ τοῦ ἐπὶ μέρους γίνεται, ἀλλὰ μοναχῶς· διὰ γὰρ τοῦ καθόλου μόνου τοῦ ἀντικειμένου. διὸ χαλεπώτερον τὸ ἐπὶ μέρους ἀνασκευάσασθαι. αὐτῶν δὲ τούτων ἔτι χαλεπώτερον τὸ ἐπὶ μέρους ἀποφατικὸν τοῦ ἐπὶ μέρους καταφατικοῦ, ὅτι διὰ τοῦ καθόλου καταφατικοῦ μόνου ἡ ἀνασκευὴ αὐτοῦ, ὃ μοναχῶς ἐν πρώτῳ σχήματι δείκνυται

5 σχήματι . . . πρώτῳ (6) Al. 287,21. 22 6 ἀποφατικὸν Al. 287,23: καταφατικὸν P 26 δύο τε σχήμασι Al. 288,13: δευτέρῳ τε σχήματι P (cf. 82,39) 28 ἐπὶ alterum Al. [illegible] P [illegible] Al. 288,15: μέρους P: item vs. 29.38 29 τὸ scripsi (τὰ Al.): [illegible]ους P 31 ὃ . . . καταφατικοῦ (35) Al. 288,22. 23: om. P 36 οὐκέτι Al. 288,29: οὐκ ἔστι P

μόνῳ. τὸ δὲ ἐπὶ μέρους καταφατικὸν διὰ μὲν τοῦ καθόλου ἀποφατικοῦ ἀναιρεῖται. κατασκευάζεται δέ, ὡς εἶπον, δι' ἐλαττόνων τὰ καθόλου· τὸ μὲν γὰρ καθόλου καταφατικὸν δι' ἑνὸς μόνου συλλογισμοῦ, τὸ δὲ ἀποφατικὸν διὰ τριῶν. τὰ δέ γε ἐπὶ μέρους κατασκευάσαι μὲν ῥᾴδιον· | διὰ γὰρ πλείστων συλλο- 129r
5 γισμῶν, τὸ μὲν ἐν μέρει ἀποφατικὸν ἐν τε τοῖς τρισὶ σχήμασι καὶ δι' ἓξ συλλογισμῶν, τὸ δὲ μερικὸν καταφατικὸν ἐν τέτταρσι συλλογισμοῖς καὶ ἐν δυσὶ σχήμασιν· ἔτι καὶ τοῖς καθόλου συγκατασκευάζεται. ἀνασκευάζεται δὲ χαλεπώτερον· διὰ γὰρ μόνων τὰ ἐπὶ μέρους ἀναιρεῖται τῶν ἀντικειμένων καθόλου.

Ἐπεὶ δέδεικται ἀνασκευαζόμενα μὲν τὰ προβλήματα δι' ἀλλήλων (ὡς
10 γὰρ ὑπὸ τοῦ καθόλου τὸ ἐπὶ μέρους ἀντικείμενον, οὕτω καὶ ⟨ὑπὸ⟩ τοῦ ἐπὶ μέρους τὸ καθόλου), οὐκέτι δὲ καὶ κατασκευαζόμενα δι' ἀλλήλων, καὶ ἐκ τούτου δῆλον εἶναί φημι, ὅτι ῥᾷον τὸ ἀνασκευάσαι τοῦ κατασκευάσαι. δῆλον δέ, ὅτι καὶ ἐπὶ πάντων ῥᾷον ἀνελεῖν τι καὶ φθεῖραι ἢ ποιῆσαί τι καὶ γεννῆσαι, ὁμοίως ἐπί τε τῶν φυσικῶν καὶ τῶν κατὰ τὰς τέχνας γινομένων· χαλεπώ-
15 τερον γὰρ τῶν φύσει γινομένων ἕκαστον γεννῆσαί τε καὶ ποιῆσαι τοῦ φθεῖραι. οἷον ἄνθρωπον ἤ τι ἄλλο τῶν φύσει γινομένων, ἢ πάλιν ἐπὶ τῶν κατὰ τέχνην ῥᾷον φθεῖραι ναῦν ἢ οἰκίαν τοῦ ποιῆσαι. πῶς μὲν οὖν γίνεται πᾶς συλλογισμὸς καὶ διὰ ποίων ὅρων καὶ προτάσεων καὶ πῶς ἔχουσι πρὸς ἀλλήλας, εἴρηται.

20 Περὶ ὑποθετικῶν συλλογισμῶν.

Περὶ δὲ τῶν ὑποθετικῶν συλλογισμῶν ἰστέον, ὅτι πολυστίχους πραγματείας κατεβάλλοντο οἵ τε μαθηταὶ Ἀριστοτέλους, οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ τοὺς ἄλλους, καὶ ἔτι οἱ Στωϊκοί. εἴπωμεν οὖν, τίσιν ὀνόμασιν ἐχρήσαντο ἔν τε τοῖς μέρεσιν αὐτῶν καὶ τοῖς ὅλοις οἱ Περιπατητικοὶ καὶ οἱ Στωϊκοί, καὶ
25 ἔτι τὴν διαίρεσιν αὐτῶν καὶ πόσοι τρόποι ἐκ ταύτης ἡμῖν ὑποθετικῶν συλλογισμῶν ἀναφαίνονται. ἰστέον οὖν, ὅτι ἐφεξῆς ὄντων τούτων ἀλλήλοις, πραγμάτων, νοημάτων, φωνῶν, πάλιν δ' αὖ καὶ τούτων ἐφεξῆς ὄντων ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς, ὡς γνωσόμεθα, τοῦ ἡγουμένου, τοῦ ἑπομένου, τοῦ συνημμένου, τῆς προσλήψεως, τοῦ συμπεράσματος, οἱ μὲν Περιπατητικοὶ κοινῇ
30 συνηθείᾳ κεχρημένοι τὰ μὲν πράγματα αὐτὸ τοῦτο πράγματα ὠνόμασαν, καὶ τὰ νοήματα ὡσαύτως, ὁμοίως δὲ καὶ τὰς φωνάς, ἔτι τε τὸ ἡγούμενον ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς | αὐτὸ τοῦτο ἡγούμενον καὶ τὸ ἑπόμενον ὡσαύτως. 129v
οἷον τὸ 'εἰ ἡμέρα ἐστί' τοῦτο ἡγούμενον. τὸ δὲ 'ἥλιος ὑπὲρ γῆν' τοῦτο ἑπόμενον· ἕπεται γὰρ τῷ πρώτῳ τὸ δεύτερον· τὸ δὲ ὅλον τοῦτο 'εἰ ἡμέρα ἐστίν,
35 ἥλιος ὑπὲρ γῆν ἐστιν' συνημμένον διὰ τὸ συνῆφθαι ἀλλήλοις. τὸ δὲ 'ἀλλὰ μὴν ἡμέρα ἐστί' τοῦτο οἱ Περιπατητικοὶ μετάληψιν καλοῦσι διὰ τὸ μεταλαμβάνεσθαι ἐκ δευτέρου· ἤδη γὰρ ἐλήφθη ἐν τῷ ἡγουμένῳ· τὸ δὲ 'ἥλιος ἄρα ὑπὲρ γῆν ἐστι' τοῦτο συμπέρασμα. οὕτω μὲν οἱ Περιπατητικοί· οἱ δὲ Στωϊκοὶ

---

2 post ἀναιρεῖται desideratur τοῦτο δὲ καὶ διὰ πρώτου καὶ δευτέρου δείκνυται σχήματος Al. 288,35 κατασκευάζεται Al. 289,1: κατασκευάζει P 10 ὑπὸ τοῦ ἐπὶ Al. 289,22: ἐπὶ τοῦ P 16 τέχνην Al. 289,29: τεχνῶν P 18 ἐχουσῶν Arist. 21 περὶ δὲ τῶν ὑποθετικῶν . . . κατασκευάζει (95,7) Phil. f. 60r — 61r 28 ὡς γνωσόμεθα Phil.: ὑπογνωσόμεθα P 34 τῷ . . τὸ Phil.: τὸ . . τῷ P 38 μὲν οὖν Phil. (cf. 67,12)

καινοτέραν βαδίζοντες τὰ μὲν πράγματα τυγχάνοντα ὠνόμασαν, διότι τῶν [illegible] τυγχανόντων [illegible] ἡγούμεθα. τὰ δὲ νοήματα ἐκφορικά. διότι, ἅπερ ἐν αὐτοῖς [illegible] ταῦτα εἰς τὸ ἔξω προφέρομεν. τὰς δὲ φωνὰς λεκτά. τὸ δὲ ἡγούμενον καὶ αὐτοὶ ἡγούμενον ἐκάλεσαν· κατὰ γὰρ τοῦτο μόνον συμφωνοῦσι τοῖς Περιπατητικοῖς· τὸ δὲ ἑπόμενον λῆγον· τὸ δὲ συνημμένον τροπικόν, διότι τρεπόμεθα ἐκ τοῦ ἡγουμένου εἰς τὸ ἑπόμενον, εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν ἐστι· τὴν ⟨δὲ⟩ μετάληψιν πρόσληψιν, καὶ ἔμεινε τοῦτο ἐν τῇ συνηθείᾳ· τὸ δὲ συμπέρασμα ἐπιφοράν, διότι τοῖς ἄλλοις πᾶσιν ἐπιφέρεται. ταῦτα μὲν οὖν τὰ ὀνόματα, οἷς κέχρηνται οἵ τε Περιπατητικοὶ καὶ οἱ Στωϊκοί. λάβωμεν δὲ λοιπὸν ἐκ διαιρέσεως τὰ εἴδη τῶν ὑποθετικῶν συλλογισμῶν. καθόλου πᾶς συλλογισμὸς ὑποθετικὸς ἢ τὸ 'ἔστιν' ἢ τὸ 'οὐκ ἔστι' δείκνυσιν ἢ τίνος ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν ἢ τίνος μὴ ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν. οἱ μὲν οὖν τίνος ὄντος ἢ μὴ ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν δεικνύντες οὗτοι καλοῦνται διὰ τριῶν καὶ δι' ὅλων ὑποθετικοί, ⟨δι' ὅλων μὲν ὑποθετικοί,⟩ ὅτι πᾶσαι αἱ παραλαμβανόμεναι προτάσεις ὑποθετικαί, [ἢ] διὰ τριῶν δέ, ὅτι τοὐλάχιστον οὗτοι οἱ συλλογισμοὶ διὰ τριῶν ὑποθέσεων περαίνονται. οἷον βούλομαι δεῖξαι, ὅτι τῇ ὑποθέσει τῇ [illegible] ἀρχῶν εἶναι τὸν θεὸν ἀκολουθεῖ τὸ ἀΐδιον εἶναι τὸ πᾶν. ἐπειδὴ οὖν δύο ταύτας ὑποθέσεις βούλομαι δεῖξαι ἑπομένας ἀλλήλαις, πᾶσα ἀνάγκη δι' ἑτέρας τοῦτο κατασκευάσαι· ἐπεὶ εἰ αὐτόθεν τοῦτο λάβωμεν, τὸ ἐν ἀρχῇ πάλιν αἰτησόμεθα. οὐκοῦν χρεία ἡμῖν πλειόνων | ἢ τοὐλάχιστον ἄλλης μιᾶς ὑπο- 130r
θέσεως, δι' ἧς μέσης ταύτας ἀλλήλαις συνάψομεν. οἷον ἵνα εἴπω οὕτως· εἰ ὁ θεὸς ἀγαθός, ἀεὶ ἀγαθοποιεῖ· εἰ ἀεὶ ἀγαθοποιεῖ, ἀΐδια ποιεῖ· εἰ ὁ θεὸς ἄρα ἀγαθός, ἀΐδια ποιεῖ. ὁμοίως ἔχουσι καὶ οἱ τίνος ὄντος τί οὐκ ἔστι κατασκευάζοντες· οἷον εἰ ὁ θεὸς δίκαιος καὶ ἀγαθός, εἰσὶ τὰ ἐν Ἅιδου δικαιωτήρια· εἰ τοῦτο, οὐκ εἰσὶ θνηταὶ αἱ τῶν ἀνθρώπων ψυχαί· εἰ ἄρα ὁ θεὸς ἀγαθός, οὐκ εἰσὶ θνηταὶ αἱ τῶν ἀνθρώπων ψυχαί. ἔτι τίνος μὴ ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν· οἷον ὡς ἐπὶ τῶν αὐτῶν, εἰ μή ἐστιν ἄδικον τὸ θεῖον, εἰσὶ τὰ ἐν Ἅιδου δικαιωτήρια· εἰ τοῦτο, ἀθάνατοι αἱ τῶν ἀνθρώπων ψυχαὶ καὶ οὐκ εἰσὶ θνηταί· εἰ μή ἐστιν ἄρα ἄδικον τὸ θεῖον, ἀθάνατοί εἰσιν αἱ τῶν ἀνθρώπων ψυχαὶ καὶ οὐκ εἰσὶ θνηταί. σκόπει δέ, ὅτι διὰ πάντων τούτων οὐ τὸ εἶναί τι ἁπλῶς ἢ μὴ εἶναι κατεσκευάσαμεν, ἀλλ' ὅτι τῷδε ὑποτεθέντι τόδε ἀκολουθεῖ. καὶ ἐπειδὴ οὐδαμοῦ ⟨τὸ εἶναι⟩ τόδε τι ἢ μὴ εἶναι ἀπεδείξαμεν, εἰκότως δι' ὅλου ὑποθετικοὶ καλοῦνται· ἐφ' ὧν γὰρ εἶναί τι ἢ μὴ εἶναι κατασκευάζομεν, δεόμεθα πάντως καὶ κατηγορικοῦ συλλογισμοῦ. τῶν οὖν εἶναί τι ἢ μὴ εἶναι δεικνύντων οἱ μὲν κατηγορικῶς δεικνύουσιν οἱ δὲ ὑποθετικῶς. περὶ μὲν οὖν τῶν κατηγορικῶν συλλογισμῶν ἱκανῶς εἴρηται· περὶ δὲ τῶν ὑποθετικῶν οὕτως εἴπωμεν. τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων ὑποθετικῶν οἱ μὲν ἀκολουθίαν οἱ δὲ διάζευξιν, καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων οἱ μὲν τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον, οἱ δὲ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιροῦσι καὶ τὸ ἡγούμενον. οἷον εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν· ἀλλὰ

1 καινοτέραν Phil.: καινότερον P 2 αὐτοῖς P 7 δὲ Phil.: om. P 14 δι' ὅλων μὲν ὑποθετικοί addidi (δι' ὅλων μὲν Phil.) 15 ἢ P: om. Phil. 19 αὐτόθεν Phil.: αὐτόθι P fol. 60, 17 21 ταύτας Phil.: πάντας P 23 τί Phil. f. 60v: τὸ P 32 τὸ εἶναι Phil.: [illegible] 34 post ἀκολουθίαν add. κατασκευάζουσιν Phil. 38 θέσει Phil.: δεήσει P

μὴν ἄνθρωπός ἐστι· καὶ ζῶον ἄρα ἐστί. καὶ οὗτος πρῶτος τρόπος τῶν ὑπο-
θετικῶν ὁ ἐξ ἀκολουθίας τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον.
πάλιν εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστιν· ἀλλὰ μὴν οὐκ ἔστι
ζῶον· οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. οὗτος δεύτερος τρόπος ὑποθετικὸς ὁ ἐξ
5 ἀκολουθίας τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρῶν τὸ ἡγούμενον. τί οὖν οὗτοι
διαφέρουσι τῶν δι' ὅλου ὑποθετικῶν, εἰ κἀκεῖνοι | ἀκολουθίαν τινὰ κατασκευά- 130r
ζουσι; δεικνύουσι γάρ, τίνος ὄντος τί ἐστιν ἢ οὐκ ἔστι, καὶ οὐκέτι ἀκολουθίαν
λέγονται κατασκευάζειν. λέγω οὖν, ὅτι ἐκεῖνοι μὲν τοσοῦτον μόνον τῷδε ὑπο-
τεθέντι ἀκολουθεῖν τόδε λέγουσιν· οὐ μέντοι γε καὶ αὐτὴν τὴν ὑπόθεσιν
10 κατασκευάζοντες ἀποφαίνονται 'οὐκοῦν καὶ τόδε ἐστίν'· οἷον εἰ ὁ θεὸς ἀγαθός,
ἀγαθὰ ποιεῖ, εἰ ἀγαθὰ ποιεῖ, ἀίδια ποιεῖ, εἰ ὁ θεὸς ἄρα ἀγαθός, ἀίδια ποιεῖ·
σκόπει γάρ, ὅτι οὐχ ἁπλῶς ἀποφαίνονται, ὅτι ἀίδια ποιεῖ, ἀλλ' εἰ ἀεὶ ἀγαθός
ἐστιν, ἀίδια ποιεῖ. ἐπὶ δὲ τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων αὐτὴ
ἡ τοῦ πράγματος ὕπαρξις κατασκευάζεται· λέγομεν γὰρ 'εἰ ὁ θεὸς ἀγαθός, ἀίδια
15 ποιεῖ', εἶτα τὴν πρόσληψιν λαβόντες τὸ 'ἀλλὰ μὴν ἀγαθός' ἐπάγομεν τὸ
'ἀίδια ἄρα ποιεῖ'· ἀποφαινόμεθα οὖν ἐν τούτοις, ὅτι ἀίδιά εἰσι τὰ ὑπὸ θεοῦ
γινόμενα. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ἄλλων. κἂν διὰ πλειόνων ὑποθέσεων
κατασκευάζωμεν. πάλιν οὖν λέγω, ὅτι τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευα-
ζόντων συλλογισμῶν οἱ μὲν ἀκολουθίαν κατασκευάζουσιν οἱ δὲ διάζευξιν. καὶ
20 περὶ τῶν ἀκολουθίαν κατασκευαζόντων εἴρηται. τῶν δὲ διάζευξιν κατασκευα-
ζόντων οἱ μὲν λαμβάνονται ἐπὶ τῶν μὴ ἀντικειμένων οἱ δὲ ἐπὶ τῶν ἀντικει-
μένων, καὶ ἐπὶ τῶν ἀντικειμένων ἢ τῶν ἐμμέσων ἢ τῶν ἀμέσων, καὶ τῶν
ἐμμέσων ἢ τῶν ὡρισμένα ἐχόντων τὰ ἔμμεσα ἢ τῶν ἀόριστα, καὶ ἐπὶ τῶν
ἀμέσων [καὶ τῶν ἐμμέσων] ἢ τῶν κατὰ ⟨τὰ ἐναντία ἢ τῶν καθ' ἕξιν καὶ στέ-
25 ρησιν ἢ τῶν⟩ κατὰ κατάφασιν καὶ ἀπόφασιν. διάζευξιν δὲ λέγομεν τὴν ⟨ἐν⟩ διαι-
ρέσει ὑπόθεσιν, οἷον εἰ πᾶς ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττός, εἰ ἡ ψυχὴ ἢ
θνητή ἐστιν ἢ ἀθάνατος, εἰ ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος·
ἔχουσι γὰρ ταῦτα πάντα 'ἢ' διαζευκτικὸν σύνδεσμον. τῶν οὖν κατὰ διάζευξιν
ὑποθετικῶν συλλογισμῶν τῶν ἢ ἐπὶ τῶν ⟨μὴ⟩ ἀντικειμένων λαμβανομένων ἢ
30 ἐπὶ τῶν ἐμμέσων ἀντικειμένων καὶ ἀόριστα ἐχόντων τὰ ἔμμεσα οὐ δεῖ τὴν
ὑπόθεσιν κατὰ διαίρεσιν προάγειν· οἷον ὅτι τὸ προσιὸν ἢ ἄνθρωπός ἐστιν ἢ
κύων ἢ ἵππος ἤ τι τοιοῦτον (ταῦτα δὲ | οὐκ ἀντικείμενα) ἢ πάλιν ὅτι ⟨τὸ⟩ 131r
προσιὸν ἢ μέλαν ἐστὶν ἢ φαιὸν ἢ λευκὸν ἢ ἐρυθρὸν ἤ τι τοιοῦτον· ταῦτα δὲ
ἔμμεσα ἀντικείμενα καὶ ἀόριστα. εἰ γὰρ κατὰ διαίρεσιν ποιησόμεθα τὴν ὑπό-
35 θεσιν, οὔτε τὴν διαίρεσιν ὑγιῆ ποιήσομεν (οὐ γὰρ δυνατὸν πᾶσιν ἐπεξελθεῖν
ἢ τοῖς μὴ ἀντικειμένοις ἢ τοῖς ἐμμέσοις καὶ ἀορίστοις ἀντικειμένοις), οὔτε
δυνάμεθα ἐν τῷ συμπεράσματι τῇ τοῦ ἑνὸς ἀναιρέσει ⟨τὸ λοιπὸν εἰσαγαγεῖν·
ἀλλὰ δεῖ τῇ τῶν λοιπῶν πάντων ἀναιρέσει⟩ τὸ καταλειπόμενον εἰσάγειν·
τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ δυνατὸν ἐξαριθμήσασθαι πάντα. ἐὰν εἴπω, ὅτι
40 τὸ προσιὸν ⟨ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος ἤ τι τοιοῦτον, ψεύδομαι· δυνατὸν
γὰρ ἄλλο τι εἶναι. ὁμοίως δὲ καὶ ὅτι τὸ προσιὸν⟩ ἢ λευκόν ἐστιν ἢ μέλαν·

8 λέγω Phil.: λέγων P 16 ἄρα Phil.: ἔτι P (cf. 81,30) 24 καὶ τῶν ἐμμέσων P: om. Phil. τὰ... τῶν (25) Phil. (sed καὶ vs. 24 scripsi: ἢ Phil.): om. P 25. 26 ἐν διαιρέσει ὑπόθεσιν Phil.: διαιρέσει ὑποθέσει P 29 μὴ Phil.: om. P 32 τὸ Phil.: om. P 37. 38 et 40. 41 unc. incl. add. Phil.: om. P

δυνατὸν γὰρ ἢ φαιὸν ἢ ὠχρὸν εἶναι. ἀλλὰ καὶ τὸ πᾶσιν ἐπεξελθεῖν ἢ χαλεπὸν ἢ ἀδύνατον. ἀλλ' οὐδὲ ἐν τῷ συμπεράσματι δυνάμεθα εἰπεῖν οὕτως 'ἀλλὰ μὴν οὐχ ἵππος· ἄνθρωπος ἄρα'. πῶς οὖν δεῖ ποιεῖν; δεῖ μετὰ ἀποφάσεως ποιεῖσθαι τὴν διαίρεσιν 'τὸ προσιὸν οὐχὶ καὶ ἄνθρωπός ἐστι καὶ ἵππος ἐστίν' (ἀληθεύομεν γὰρ οὕτω λέγοντες), εἶτα τῇ θέσει τοῦ ἑνὸς ἀναιρεῖν τὰ λοιπά· 'ἀλλὰ μὴν ἄνθρωπός ἐστιν· οὐκ ἄρα ἐστὶν ἵππος'. καὶ ἔστιν οὗτος τρίτος τρόπος τῶν ὑποθετικῶν ὁ ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ θέσει τοῦ ἑνὸς ἀναιρῶν τὰ λοιπά. ἐὰν δὲ ἢ ἐπὶ ἀμέσων ἀντικειμένων ποιώμεθα τὴν διαίρεσιν ἢ ἐπὶ τῶν ἐμμέσων ὡρισμένα δὲ ἐχόντων τὰ ἔμμεσα, γίνονται δύο τρόποι ὑποθετικῶν συλλογισμῶν, ἀμέσων μὲν οἷον ὁ ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος, ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος, ἐμμέσων δὲ ὡρισμένων ὡς ὅταν λαβόντες δύο μεγέθη λέγομεν, ὅτι τόδε τοῦδε ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ ἔλαττον ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον, τοῦ δὲ οὐδετέρου δυναμένου πάλιν τέμνεσθαι ἢ εἰς τὸ δεκτικὸν ἀνὰ μέρος ἑκατέρου τῶν ἀντικειμένων ἢ εἰς τὸ μηδέτερον τούτων δεχόμενον. γίνονται οὖν ἐκ τούτων, ὡς εἶπον, ἕτεροι δύο τρόποι ὑποθετικοί. τέταρτος μὲν οὖν ὁ ἐκ διαζευκτικοῦ τῇ θέσει τοῦ ἑνὸς ἀναιρῶν καὶ τὸ λοιπὸν ἢ τὰ λοιπά. πέμπτος δὲ ὁ ἐκ δια|ζευκτικοῦ τῇ ἀναιρέσει τοῦ ἑνὸς ἢ τῶν λοιπῶν 131v τὸ καταλειπόμενον εἰσάγων. παράδειγμα τοῦ μὲν πρώτου ἡ πλευρὰ τῇ πλευρᾷ ἴση ἐστὶν ἢ μείζων ἢ ἐλάττων· ἀλλὰ μὴν ⟨ἴση ἐστίν· οὐκ ἄρα μείζων· τοῦ δὲ δευτέρου ἡ πλευρὰ τῇ πλευρᾷ ἴση ἐστὶν ἢ μείζων ἢ ἐλάττων· ἀλλὰ μὴν⟩ οὔτε μείζων οὔτε ἐλάττων· ἴση ἄρα. ἰστέον δέ, ὅτι δυνάμεθα καὶ τὸν τέταρτον καὶ τὸν πέμπτον τρόπον ἐξ ἀποφατικῆς συμπλοκῆς ποιῆσαι. λέγω γὰρ οὕτως, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ οὐχὶ καὶ σύμμετρος καὶ ἀσύμμετρος, καὶ ὅτι ἡ γραμμὴ τῇ γραμμῇ οὐχὶ καὶ ἴση καὶ μείζων καὶ ἐλάττων· λέγω οὖν, ὅτι, ὅταν οὕτω προφερώμεθα, τὸν τρίτον τρόπον ποιοῦμεν· πλὴν περιττὸν τὸ οὕτω προφέρεσθαι ⟨ὅταν⟩ ἐὰν ἡ διαιρετικῶς προφέρεσθαι. ὥστε διακέκριται μὲν οἱ ὑποθετικοὶ τρόποι μάλιστα μὲν τοῖς πράγμασιν, ὡς ἤδη διείλομεν, ἔπειτα καὶ τῷ σχήματι τῆς ἀγωγῆς αὐτῆς καὶ τῆς προφορᾶς. εἰ δὲ τοῦτο, οὐδὲν θαυμαστὸν καὶ τοῦ τετάρτου καὶ τοῦ ⟨πέμπτου⟩ διῃρημένου ⟨οὐ⟩ πραγματωδῶς, ἐπειδὰν προφερώμεθα μετὰ συμπλοκῆς ἀποφάσεως, τρίτον λέγειν εἶναι τρόπον.

Ἐπεὶ δὲ καὶ οἱ δι' ἀδυνάτου συλλογισμοὶ μέρος εἰσὶ τῶν ἐξ ὑποθέσεων, ἴδωμεν, πῶς καὶ οὗτοι γίνονται. ἰστέον, ὡς καθόλου πᾶς δι' ἀδυνάτου συλλογισμὸς διὰ δύο ὑποθετικῶν περαίνεται καὶ ἑνὸς κατηγορικοῦ. καὶ ὁ μὲν πρῶτος τοῦ ἀδυνάτου τῶν ὑποθετικῶν ἐστιν ὁ πέμπτος, ὁ δεύτερος δὲ τοῦ δι' ἀδυνάτου ὁ δεύτερος τῶν ὑποθετικῶν. ἐπειδὴ οὖν πᾶς μὲν δι' ἀδυνάτου ὑποθετικοῖς χρῆται συλλογισμοῖς, οὐ πᾶς δὲ ὑποθετικὸς δι' ἀδυνάτου, διὰ τοῦτο μέρη εἰσὶ τῶν ὑποθετικῶν οἱ δι' ἀδυνάτου. οἷον ὡς ἐπὶ τοῦ παραδείγματος βουλόμενος ὁ γεωμέτρης δεῖξαι, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι, κέχρηται τῷ δι' ἀδυνάτου συλλογισμῷ οὕτως· ἡ διάμετρος, φησί, τῇ πλευρᾷ

[illegible] Phil.: εἰ P 7 ἀποφατικῆς Phil.: ἀποφατικοῦ P 8 ἀμέσων Phil.: μέσων P 15 δεχόμενον Phil. f. 61r: ἐχόμενον P 19. 20 unc. circumcl. ex Phil. addidi, qui duo praeterea exempla praebet (ὁ πέντε ἀριθμὸς . . . ἡ διάμετρος . . .) 26 ὅταν Phil.: om. P ἢ Phil.: ἢ P 29 πέμπτου ex Phil. addidi οὐ Phil.: om. P πραγματειωδῶς Phil. 30 τρόπον Phil.: τρόπου P 34 δι' om. Phil. 38 ἀσύμμετρός Phil.: σύμμετρός P

ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος· ἀλλὰ μὴν οὐ σύμμετρος, ὡς δείξω· ἀσύμμετρος ἄρα. ἔστι δὲ οὗτος ὁ πέμπτος τρόπος τῶν ὑποθετικῶν. πόθεν οὖν, ὅτι οὐκ ἔστι σύμμετρος; κατασκευάζει τοῦτο διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν· ἡ διάμετρος τῇ πλευρᾷ εἰ ἔστι σύμμετρος, ὁ αὐτὸς ἀριθμὸς ἄρτιος ἔσται καὶ
5 περιττός· ἀλλὰ μὴν ὁ αὐτὸς ἀριθμὸς ἄρτιος | καὶ περιττὸς οὐκ ἔσται· οὐδ' 132r
ἄρα ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος ⟨ἔσται. ταύτην οὖν λοιπὸν τὴν ὑπόθεσιν τὴν ὅτι, εἰ ἔστιν ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος⟩, ἀνάγκη τὸν αὐτὸν ἄρτιον εἶναι καὶ περιττὸν διὰ κατηγορικοῦ συλλογισμοῦ κατασκευάζει.

[Θεμιστίου] περὶ εὐπορίας προτάσεων.

10 Πῶς δὲ εὐπορήσομεν αὐτοὶ πρὸς τὸ προβαλλόμενον καὶ προτιθέμενον ἡμῖν πρόβλημα προτάσεων τῶν τοῦτο κατασκευαζουσῶν, καὶ διὰ ποίας μεθόδου ταύτας ληψόμεθα, νῦν ἤδη λεκτέον. οὐ γὰρ μόνον ἴσως εἰδέναι δεῖ, πῶς γίνεται συλλογισμός, καὶ τίς ποτέ ἐστι θεωρεῖν, ἀλλὰ καὶ τὴν δύναμιν ἔχειν τοῦ ποιεῖν συλλογισμὸν καὶ συλλογίζεσθαι. πρὶν δὲ τὴν μέθοδον ταύτην
15 ἡμᾶς παραδοῦναι, ζητητέον δὲ πρότερον, περὶ τίνων ὅλως πεφύκαμεν συλλογίσασθαι. τριχῇ γὰρ τῶν πραγμάτων διῃρημένων καὶ τῶν μὲν καθολικωτέρων ὄντων καὶ ἀεὶ κατ' ἄλλων κατηγορουμένων μηδέποτε δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν, οἷά ἐστι τὰ γενικώτατα, λέγω δὴ καὶ αἱ δέκα κατηγορίαι, τῶν δὲ μηδέποτε κατηγορουμένων κυρίως ἀεὶ δὲ ὑποκειμένων, οἷά ἐστι τὰ μερικὰ
20 καὶ ἄτομα πάντα, τῶν δὲ μέσως ἐχόντων καὶ ποτὲ μὲν κατηγορουμένων τινῶν ποτὲ δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν, ζητητέον, περὶ τίνων οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις ἡμῖν εἰσι. δῆλον δέ, ὡς σχεδὸν περὶ μόνα τὰ μέσα· εἰ γὰρ ὁ συλλογισμὸς βούλεται ζητεῖν τι κατά τινος ἢ ἀπό τινος ὑπάρχον, τὰ δὲ γενικώτατα οὐκ ἔχουσιν ἑαυτῶν ἕτερα κατηγορούμενα, δῆλον ὡς οὐχ ἕξει
25 τις περὶ τούτων συλλογίζεσθαι. αὐτὰ μέντοι, ὅτι ἑτέροις ὑπάρχουσιν ἢ οὐχ ὑπάρχουσι, δυνατὸν συλλογίσασθαι. περὶ δὲ τῶν καθ' ἕκαστα οὐδεὶς ὁμοίως συλλογίζεται, οἷον τί ὑπάρχει ἢ οὐχ ὑπάρχει Σωκράτει ἢ Πλάτωνι· αἰσθητὰ γὰρ ταῦτα· τὰ δὲ αἰσθητὰ αἰσθήσει ληπτὰ καὶ οὐ λόγῳ. εἰ γάρ τις περὶ Σωκράτους πειραθείη δεικνύναι, ὅτι λευκὸς ἢ σιμός, πρὸς τῷ μηδὲ ἔχειν
30 ὅλην ἐπιτηδείαν πρὸς συλλογισμοῦ γένεσιν καὶ ἀσαφέστερον ποιήσει τὸ πρᾶγμα τῆς δι' αἰσθήσεως ἀντιλήψεως. ὥστε τὰ προ|βλήματα καὶ οἱ συλλογισμοὶ 132v
ὡς ἐπίπαν περὶ τῶν μεταξὺ γίνονται. πλὴν σπανίως καὶ περὶ τῶν γενικωτάτων γινόνται προβλήματα· ποῖα δὲ καὶ πῶς, διὰ βραχέων λεκτέον. δόξα τις κεκράτηκεν οὐκ ἀληθὴς παρά τισιν, ὡς τὸ ὂν γένος ἐστὶ τῶν δέκα κατηγοριῶν·
35 δεδείχαμεν δ' ἐν Κατηγορίαις οὐκ ὂν τοῦτο ἀληθές, ἀλλ' ὅτι ὁμώνυμός ἐστι φωνὴ εἰς διάφορα σημαινόμενα διαιρουμένη. πάλιν καὶ τὸ ἓν ἔδοξάν τινες αὐτῶν κατηγορεῖσθαι, ὅπερ οὐδ' αὐτὸ γένος ἐστίν, ὡς ἐν ἑτέροις δεδείχαμεν,

---

6 ἔσται ... σύμμετρος (7) Phil.: om. P πῶς ... προβλήματος (96,6) Phil. f. 67r — 67v
15 δὲ om. Phil. iuxta ὅλως ... καὶ τῶν (16) habet τῷ γενικωτάτῳ (l. τὰ γενικώτατα) ἀεὶ κατηγορεῖται οὐδέποτε δὲ ὑπόκειται· ὅτι τὰ μερικὰ καὶ ἄτομα καὶ ἄτομα (bis) ἀεὶ ὑπόκειται, ὅταν περὶ τὰ ὑπάλληλα αἱ σκέψεις καὶ οἱ συλλογισμοί P 17 ἄλλοις Phil.: ἄλλην P 27 Σωκράτει ἢ Πλάτωνι. αἰσθητὰ Phil.: Σωκράτης ἢ Πλάτων. αἰσθητοῦ P
29 τῷ Phil.: τὸ P 36 ἐδόξασαν Phil. f. 67v

ἀλλ' ὥσπερ καὶ τὸ ὂν ὁμώνυμος φωνή. ἀλλὰ καὶ οἱ ἕν τι τῶν στοιχείων ὑποτιθέμενοι ἢ τὸ ὕδωρ ἢ τὸ πῦρ ἢ ἄλλο τι παρὰ ταῦτα τοῦτο δῆλον ὅτι ὡς τινος τῶν δέκα κατηγοριῶν κατηγορήσουσιν.

Ἐπεὶ δέ, περὶ τίνων αἱ ἀποδείξεις καὶ τὰ προβλήματα, ἡμῖν εἴρηται, ἐντεῦθεν λοιπὸν τὰς μεθόδους παραδοτέον τῆς εὑρέσεως τῶν προτάσεων παντὸς τοῦ προτεθέντος προβλήματος. δεῖ, ὅταν τι βουλώμεθα ὑπάρχον τινὶ ἢ μὴ ὑπάρχον κατασκευάσαι, πρῶτον ἐκλαβεῖν καὶ χωρίσαι καὶ ἐκθέσθαι ἑκάτερον τῶν ἐν τῷ προβλήματι ὅρων (ἔστι δὲ ὁ μὲν ὑποκείμενος αὐτῶν ὁ δὲ κατηγορούμενος), εἶτα μετὰ τοῦτο ἑκατέρου τούτων, τοῦ τε ὑποκειμένου καὶ τοῦ κατηγορουμένου ὅρου, τὸν ὁρισμὸν ἐκλαμβάνειν καὶ τὰ ἑκατέρῳ αὐτῶν ἴδια, καὶ μετὰ ταῦτα ἐκλέγειν καὶ ἀποσημειοῦσθαι, ὅσα ἕπεται ἑκατέρῳ αὐτῶν. ἕπονται μὲν οὖν καὶ οἱ ὁρισμοὶ τοῖς, ὧν εἰσιν οἱ ὁρισμοί, καὶ τὰ ἴδια· ἀλλὰ ταῦτα μὲν μόνοις αὐτοῖς ἕπεται, ὡς τὸ ζῶον λογικὸν θνητὸν ἀνθρώπῳ καὶ τὸ γελαστικόν· διὸ καὶ ἴσα αὐτοῖς καὶ ἀντ' αὐτῶν λέγεται, καὶ οὐ μόνον ἕπεται ταῦτα αὐτοῖς, ἀλλὰ καὶ αὐτὰ τούτοις διὰ τὸ ἀντιστρέφειν τὰ ἐπίσης λεγόμενα. ἕπεται δ' αὐτοῖς καὶ τὰ γένη καὶ αἱ διαφοραί, ταῦτα δ' οὐκέτι μόνοις, ὥσπερ τὸ ζῶον καὶ τὸ δίπουν ἀνθρώπῳ. μετὰ δὲ ταῦτα ἐκλέγειν καὶ ἐκλαμβάνειν ταῦτα, οἷς αὐτοὶ οἱ ὅροι ἕπονται οἱ ὄντες ἐν τῷ προβλήματι. ἔτι ἐκλέγειν δεῖ, ὅσα μὴ ἐνδέχεται αὐτοῖς ὑπάρχειν, τουτέστιν ὅσα αὐτῶν ἀλλότρια. δεῖ δὲ διαιρεῖσθαι καὶ αὐτῶν τῶν ἑπομένων, | ὅσα τε ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν 133r
περιεχόμενα καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα ἕπεται αὐτοῖς, καὶ ὅσα ὡς ἴδια καὶ ὅσα ὡς συμβεβηκότα. οὐ γὰρ ταὐτὰ τὰ ἴδια τοῖς ἐν τῇ οὐσίᾳ καὶ ἐν τῷ τί ἐστι κατηγορουμένοις καὶ οὕτως ἑπομένοις· τὸ μὲν γὰρ ζῶον καὶ τὸ λογικὸν ἕπεται τῷ ἀνθρώπῳ ὡς καθ' αὑτά τε καὶ ἐν τῷ τί ἐστι κατηγορούμενα, τὸ δὲ γελαστικὸν ὡς ἴδιον μὲν οὐ μὴν ἐν τῷ τί ἐστι κατηγορούμενον. ταῦτα γὰρ ἐν τῷ τί ἐστι κατηγορεῖταί τινος κυρίως, ὅσα ἐν τῷ ὁριστικῷ αὐτοῦ λόγῳ περιέχεται, ὧν τῆς ἐνεργείας στερόμενον τό, οὗ κατηγορεῖται ταῦτα, οὐδ' ὅλως εἶναι δύναται· οἷον ἄνθρωπος εἰ μὴ ζῶον εἴη, εἰ μὴ λογικόν, εἰ μὴ θνητὸν ὡς πάντως ἀποθανούμενον, οὐδ' ἂν ὅλως εἴη. οὐκέτι δὲ τὸ γελαστικὸν τοιοῦτον ἂν εἴη· οὔτε γὰρ ἐν τῷ ὁρισμῷ περιέχεται οὔτε οὕτως ὑπάρχει αὐτῷ ὡς καὶ τῆς κατ' αὐτὸ ἀπούσης ἐνεργείας φθείρειν τὴν ὕπαρξιν· καὶ γάρ, κἂν μηδέποτε γελᾷ, οὐδὲν παρὰ τοῦτο κωλύεται ἄνθρωπος εἶναι. τὰ δὲ ὡς συμβεβηκότα ἑπόμενά ἐστιν, ὅσα κατηγορούμενά τινος μήτε ὡς ἐν τῷ τί ἐστι μήτε ὡς ἴδια κατηγορεῖται αὐτοῦ· ταῦτα δ' ἂν εἴη, ἃ οἷά τε καὶ ἄλλοις τισὶν ὑπάρχειν, ὡς τὸ λευκὸν ψιμμυθίῳ καὶ ἀνθρώπῳ τὸ περιπατεῖν. δεῖ δὲ καθόλου τῶν ἑπομένων τινὶ διακρίνειν, ποῖα κατὰ ἀλήθειαν καὶ ποῖα δοξαστικῶς ἕπεται. κατὰ ἀλήθειαν μὲν γὰρ τῇ ἡδονῇ ἡ κίνησις καὶ τὸ ὀρεκτὸν ἕπεται, κατὰ δόξαν δὲ τὸ κατὰ φύσιν· οὐ γὰρ δὴ πᾶσα ἡδονὴ κατὰ

1 post στοιχείων add. ἀρχὴν Phil. 6 δεῖ . . . ἕπεται (37) Al. 294,28—296,12 τινὶ scripsi: τι P 7 ἐκλαβεῖν Al. 294,29: ἐκλαβεῖν P 10 ὁρισμὸν Al. 294,35: ὅρον P ἑκατέρῳ Al.: ἑκατέρα P 12 οἱ alterum om. Al. 295,3 18 οἱ prius addidi 20 ὡς Al. 295,28: καὶ P 22 ταῦτα P 27 στερόμενον P²: ἐναν. P¹ οὐ P 34 μήτε . . . αὐτοῦ in mrg. P² 35 ψιμυθίῳ Al. 296,10 37 κατὰ . . . ἀλήθειαν (97,2) Phil. f. 68v

φύσιν· ἡ γοῦν τῶν ψωριώντων ἐκ τοῦ κνήθεσθαι ἡδονὴ οὐ κατὰ φύσιν. πάλιν ταῖς * * * οὐ μέντοι κατὰ ἀλήθειαν. ὅσῳ μὲν γὰρ ⟨ἂν πλείονα⟩ τοιούτων οἷον ἑπομένων, οἷς ἕπεται, ἀλλοτρίων καὶ τῶν ἄλλων, ὧν εἴπομεν, εὑρίσκεται, θᾶττον ἡ εὕρεσις ἡμῖν γενήσεται τῶν τε προτάσεων καὶ τοῦ συμπεράσματος· ὅσῳ δ' ἂν ἀληθέστερα, μᾶλλον ἡ τῶν ἀποδεικτικῶν συλλογισμῶν εὕρεσίς τε καὶ πόησις. [καὶ ὅτι τὰ τῷ παντὶ ἑπόμενα καὶ οὐχὶ τινὶ δεῖ ἐκλέγεσθαι] δεῖ δὲ ἐκλέγειν μὴ τὰ τινὶ τῶν ὅρων ἑπόμενα, ἀλλ' ὅσα ὅλῳ τῷ ὅρῳ τε καὶ πράγματι ἕπεται. εἰ γὰρ ὅρος εἴη ἄνθρωπος, οὐ τὸ τινὶ ἀνθρώπῳ ἑπόμενον ἐκλεκτέον ἀλλὰ τὸ παντί, οὐδὲ | τὸ τινὶ ἡδονῇ ἑπόμενον, ἂν ὅρος ᾖ τοῦ 133v
προβλήματος ἡ ἡδονή, ἀλλὰ τὸ πάσῃ. οὕτω γὰρ εὐπορήσεις καθόλου προτάσεων, ὧν χωρὶς ἀδύνατον συλλογισμὸν γενέσθαι. οὐ μόνον δὲ οὐ δεῖ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα ἐκτίθεσθαι, ἂν ἄνθρωπος εἴη ὁ ἐν τῷ προβλήματι ὅρος, ἀλλ' οὐδὲ ἀπροσδιορίστως ἐκτίθεσθαι τὸν ὑποκείμενον ὅρον καὶ οὕτως τὰ ἑπόμενα αὐτῷ ζητεῖν, οἷον ἄνθρωπος, ἀλλὰ πᾶς ἄνθρωπος· αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἐν τῷ Περὶ ἑρμηνείας εἴρηται, ἰσοδυναμοῦσι ταῖς μερικαῖς. ἀλλὰ καὶ τά, οἷς αὐτὰ ἕπεται ὅλοις, οὐ μέρεσιν αὐτῶν, ταῦτα ἐκλεκτέον· τὸ γὰρ ζῶον οὐχ ἕπεται παντὶ ἐμψύχῳ, παντὶ δὲ αἰσθητικῷ καὶ παντὶ ἀνθρώπῳ. ταῦτα δὴ ἄρα καὶ οὐκ ⟨ἐκεῖνο⟩ ἐκλεκτέον ἐκλέγοντας, οἷς τὸ ζῶον ἕπεται· ἔσται γὰρ οὕτως κατὰ παντὸς τούτου, ᾧ ἕπεται· διὰ γὰρ τῶν τοιούτων αἱ καθόλου προτάσεις. οὐκέτι μέντοι τὸ ἑπόμενόν τινι δεῖ ὅλον ἐκλέγειν· ἕπεται μὲν γὰρ ἀνθρώπῳ τὸ ζῶον, οὐ μὴν πᾶν, καὶ τῇ γραμματικῇ ἡ ἐπιστήμη, οὐ μὴν πᾶσα. οὐ δὴ δεῖ ζητεῖν τὸ οὕτως ἑπόμενον· ἱκανὸν γὰρ πρὸς τὴν τῶν προτάσεων λῆψιν τὸ ἕπεσθαι μόνον. τοῦτο δ' ἐστίν, ἵνα σαφέστερόν τε καὶ συντομώτερον εἴπω, τὸ μὴ δεῖν τῷ κατηγορουμένῳ τὸν προσδιορισμὸν συντάττειν. ἄχρηστόν τε γάρ ἐστι τὸ τοῦτον ποιεῖν καὶ πρὸς τῷ ἀχρήστῳ καὶ ἀδύνατον· ἀδύνατον γὰρ πάντα ἄνθρωπον πᾶν ζῶον εἶναι ἢ πᾶν γελαστικόν. οὐ τῷ ἑπομένῳ οὖν δεῖ ἀλλὰ τῷ ὑποκειμένῳ συντάττειν τὸν προσδιορισμόν, καθάπερ δὴ καὶ εἰώθαμεν τὰς προτάσεις προτείνειν πρὸς τοὺς διαλεγομένους· λέγομεν γὰρ πάσῃ ὑγιείᾳ ἡδονὴν ἕπεσθαι, οὐ μέντοι πᾶσαν ἡδονήν, ἢ πάντα ἄνθρωπον ζῶον, ἀλλ' οὐ πάντα ἄνθρωπον πᾶν ζῶον, καὶ ὅτι ἡ ψυχὴ ἀθάνατος, ἀλλ' οὐχ ὅτι ἡ ψυχὴ πᾶν ἀθάνατον.

Ὅταν δέ τινι ὅρῳ ὁποιῳοῦν, ἄν τε ὑποκείμενος οὗτος ᾖ ἄν τε κατηγορούμενος, τὰ ἑπόμενα αὐτῷ βουληθῶμεν λαβεῖν, μὴ λάβωμεν καὶ τὰ τῷ ἑπομένῳ ἑπόμενα. οἷον εἰ ζητοῦμεν, τί ἕπεται τῷ ἀνθρώπῳ, εἶτα εὕρωμεν, ὅτι τὸ ζῶον, μὴ ζητήσομεν καὶ τὰ ζώῳ ἑπόμενα | ὥστε δεῖξαι καὶ ταῦτα τῷ 134r

2 post ταῖς add. δέκα κατηγορίαις, ὡς εἴπομεν, κατὰ δόξαν μὲν ἕπεται τὸ ἓν καὶ τὸ ὂν ἢ τὸ πάντα ἐξ ὕδατος εἶναι ἢ πυρὸς ἢ ἀέρος Phil. ὅσῳ Ar.: ὅσα P ἂν πλείονα addidi (ἂν πλειόνων Arist.) cf. vs. 5 3 οἷον scripsi: εἶεν P 6 καὶ ὅτι . . . ἐκλέγεσθαι delevi (cf. 32,3) δεῖ δὲ . . . γενέσθαι (11) Al. 296,23—27 8 τὸ Al. 296,23: τῷ P 9 ἡδονῇ Al. 296,24: ἡ ἡδονὴ P 11 οὐ μόνον . . . μερικαῖς (15) Phil. f. 68v δὲ οὐ scripsi: οὐδὲ P 15 ἀλλὰ . . . ζητεῖ τις (102,15) Al. 296,34—307,19 18 ἐκεῖνο Al. 297,2: om. P ἐκλέγοντας Al. 297,3: ἐκλέγοντες P 19 ᾧ Al.: ὡς P 25 τοῦτον] fort. τοῦτο 26 πάντα ἄνθρωπον Al. 297,15: παντὶ ἀνθρώπῳ P 27 οὐ τῷ scripsi: τούτῳ P 28 καθάπερ . . . διαλεγομένους et 32 ὅταν . . . ἑπόμενα (35) Phil. 69r πρὸς τοὺς Phil.: τοὺς πρὸς P 35 ζητήσωμεν Phil. ὥστε P: εἰς τὸ Al. 297,30

ἀνθρώπῳ ἑπόμενα· φθάνει γὰρ ταῦτα εἰλῆφθαι δυνάμει, ὅτε ἐλήφθη ἑπόμενον τὸ ζῶον τῷ ἀνθρώπῳ· ἕπεται δὲ τῷ ζώῳ τὸ ἔμψυχον, τὸ αἰσθητικόν, τὸ σῶμα, ἡ οὐσία. ὥσπερ δὲ οὐ δεῖ λαμβάνειν τὰ τῷ ἑπομένῳ ἑπόμενα, οὕτως οὐ δεῖ λαμβάνειν, ὅσα τῷ ἑπομένῳ ἀλλότρια· ὅσα γάρ ἐστιν ἀλλότρια τοῦ γένους, ταῦτα καὶ τοῦ εἴδους ἐξ ἀνάγκης. ὥστε ὡς ὁμολογούμενον τοῦτο οὐ δεῖ λαμβάνειν. ἀλλότρια δὲ τοῦ γένους τὸ ἄψυχον, τὸ ἀναίσθητον, τὸ ἀσώματον. τὰ δὲ οἰκεῖα καὶ ἰδίως ἑπόμενα τῷ ἀνθρώπῳ, ἃ μηκέτι τῷ γένει αὐτοῦ ἕπεται, τῷ ζώῳ, ταῦτα ἐκλεκτέον· ἔστι γάρ τινα, ἃ τῷ ἀνθρώπῳ ἕπεται τῷ γένει αὐτοῦ, τῷ ζώῳ, μὴ ἑπόμενα. ὧν τὰ μὲν καὶ κυρίως ἐστὶν ἴδια τοῦ ἀνθρώπου, ὡς τὸ γελαστικόν, ὡς τὸ βουλευτικόν, τὰ δὲ ὡς πρὸς τὰ ἄλλα ἰδιά ἐστιν αὐτοῦ, ὡς τὸ λογικόν· ὡς γὰρ πρὸς τὸ ἄλογον ἴδιον γίνεται τοῦ ἀνθρώπου· καὶ οὐχ ἕπεται τούτων οὐδὲν τῷ ζώῳ. ὁμοίως τὸ πεζόν, τὸ δίπουν καὶ ὅσα τοιαῦτα· ταῦτα γὰρ ἴδια λαμβάνοντας τιθέναι χρή, ἐπεὶ μὴ ἕπεται τῷ περιέχοντι αὐτὸ γένει. οὐ γάρ, ὅσα [τῶν εἰδῶν] ἑκάστῳ τῶν εἰδῶν ὑπάρχει, ταῦτα καὶ τῷ γένει ὑπάρχει· ἀνάγκη γὰρ τοῖς διαφέρουσιν εἴδεσιν ἰδιά τινα ὑπάρχειν, ἃ διὰ τὸ ἴδια ἑκάστου εἴδους εἶναι οὐκ ἂν ἕποιτο τῷ γένει. τὰ μὲν γὰρ τῷ γένει ἑπόμενα ἑκάστῳ τῶν εἰδῶν ἕπεσθαι ἀνάγκη, ἃ δὲ ἑκάστῳ τῶν εἰδῶν ἕπεται, οὐκέτι οὔτε τῷ γένει οὔτε ἀλλήλοις· εἰ γὰρ ἀντιδιαιρεῖται ἀλλήλοις καὶ ἕτερά εἰσιν ἀλλήλων, πᾶσα ἀνάγκη ἔχειν τι ἕκαστον, ὅπερ ἐστὶν ἀλλότριον τοῦ ἑτέρου, οἷον ὁ ἄνθρωπος τοῦ ἵππου.

Οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον ὡς ὑποκείμενα, οἷς ἕπεται τὸ ὑποκείμενον, ἤ, ἵνα σαφέστερον εἴπω, οὐ χρὴ ἐκλέγοντας, οἷς ἕπεται ὁ ὑποκείμενος ὅρος ὁ περιεχόμενος ὑπό τινος * * *. οἷον εἰ ἔστιν ὁ ὑποκείμενος ὅρος ὁ ἄνθρωπος καὶ ἐκλέγομεν, οἷς ἕπεται ὁ ἄνθρωπος, οὐ δεῖ προσλαμβάνειν τὸ ζῶον λέγοντας, ὅτι καὶ τοῦτο, λέγω δὴ τὸ ζῶον, ἕπεται ἐκείνοις, οἷς καὶ ὁ ἄνθρωπος ἕπεται. τοῦτο γὰρ κεῖται δυνάμει· τὸ γὰρ τῷ ἀνθρώπῳ | ἀκολουθοῦν ἀκολουθεῖ καὶ 134ᵃ
οἷς ὁ ἄνθρωπος ἀκολουθεῖ. καὶ γὰρ οὐδὲ πρόκειται ἡμῖν ζητεῖν, τίσι τὸ γένος τοῦ κειμένου ὅρου ἕπεται, ἀλλὰ τίσιν αὐτὸς ὁ ὑποκείμενος ὅρος, ᾧτινι καὶ οἰκεῖα μᾶλλον καὶ προσεχῶς ὑποκείμενα τά, οἷς οὗτος ἕπεται, ἢ τῷ ζώῳ· οὐδὲ γὰρ προσεχῶς ἀλλὰ διὰ μέσου τούτου, φημὶ δὴ τοῦ ἀνθρώπου, τούτοις ἕπεται τὸ ζῶον, οἷον τῷ μουσικῷ, τῷ γραμματικῷ, τῷ φιλοσόφῳ.

Ἐπεὶ δέ ἐστί τινα προβλήματα στοχαστικὰ καὶ ἐκ τῶν [ἐπὶ τοῦ] ἐπὶ τὸ πολὺ τὰς δείξεις ἔχοντα, δεῖ καὶ τὰ ἐπὶ τὸ πολὺ ἑπόμενα τοῖς προκειμένοις ὅροις καὶ οἷς αὐτοὶ οὕτως ἕπονται ἐκλέγειν τε καὶ λαμβάνειν· οὕτω γὰρ διὰ τῶν τοιούτων δυνησόμεθα τὰ περὶ τῶν τοιούτων προβλήματα συλλογίζεσθαι. ὅτι δὲ ὅμοιον ἑκάστου συλλογισμοῦ τὸ συμπέρασμα ταῖς ἀρχαῖς, τουτέστι ταῖς προτάσεσιν, ἐδείξαμεν, ὅτε ἐδείκνυμεν μὴ δυνάμενον δυνατῷ ἀδύνατον ἀκολουθεῖν, οἷον ὅτι τῷ μετ' ἰσημερίαν χειμερινὴν πλέοντι τὸ εὐπλοεῖν ὡς ἐπὶ τὸ

3 ὥσπερ . . . λαμβάνειν (6) Phil. f. 69ʳ 4 ὅσα prius ex τὰ τὰ corr. in mg. P¹ (οὐδὲ τὰ Phil.) ὅσα (ante γάρ) scripsi: οὐ P 14 τῶν εἰδῶν prius om. Al. 298,15 18 εἰ γὰρ . . . ὑποκείμενον (21) Phil. f. 69ʳ 21 τὸ περιεχόμενον Phil. et Arist. 23 ἐκλέγον- Al. 298,24: λέγοντας P post τινος add. ‚προσχρῆσθαι τῷ καθόλου τῷ περιέχοντι καὶ λαμβάνειν ταῦτα τῶν, οἷς ἕπεται ὁ κείμενος (ὑποκείμενος a) ὅρος, οἷς καὶ αὐτοῖς ὁ περιέχων αὐτὸν ἕπεται Al. 298,25—27 32 ἐπὶ τοῦ (τῶν?) P: delevi (ὡς Al. 300,3)

πολὺ ἕπεται καὶ τῷ διαίτῃ τοιᾷδε κεχρημένῳ τὸ ὑγιαίνειν· καὶ γὰρ τοῦτο ὡς ἐπὶ τὸ πολύ· πάλιν τῷ μοιχεύειν ἕπεται τὸ καλλωπίζεσθαι ὡς ἐπὶ τὸ πολύ, καὶ τῷ κλέπτειν ὡς ἐπὶ τὸ πολὺ ἕπεται τὸ νύκτωρ πλανᾶσθαι.

Ἔτι οὐ δεῖ τὰ τοῖς δύο ὅροις τοῦ προβλήματος ἑπόμενα λαμβάνειν ὡς μηδενὸς ἐκ τῆς τῶν τοιούτων λήψεως καὶ τῆς συνθέσεως γινομένου συλλογισμοῦ. τοῦτο δὲ λέγων οὐ τοῦτό φημι, ὅτι οὐ δεῖ ἐκλέγειν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα καὶ ἀπογράφεσθαι (δεῖ γάρ), ἀλλ' ὃ λέγω, τοιοῦτόν ἐστιν· οὐ δεῖ ζητεῖν, τίνα κοινῶς αὐτοῖς ἕπεται, ὡς ἀμφοτέροις εἶναι ταὐτὸν ἑπόμενον. κοινοῦ γὰρ ὄντος τοῦ ἀμφοτέροις ἑπομένου ἄχρηστον τὸ τοιοῦτον ἑπόμενον πρὸς κατασκευὴν συλλογισμοῦ. δι' ἣν αἰτίαν, ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

Ἐπεὶ δ' ἱκανῶς ἡμῖν εἴρηται, τίνα χρὴ ἐκλέγειν ἑκατέρου τῶν ὅρων τῶν ἐν τῷ προβλήματι, μετὰ ταῦτα δεικτέον, τίνα μετὰ τίνων ληφθέντα | ἀπὸ 135ʳ τῶν ἐκλελεγμένων ἕκαστον τῶν προβλημάτων συνάξει. ἔστι δὲ τὰ προβλήματα τέσσαρα· ἢ γὰρ καθόλου καταφατικὸν ἢ ἀποφατικὸν καθόλου ἢ ἐπὶ μέρους καταφατικὸν ἢ ἀποφατικόν. σαφηνείας δὲ χάριν τῶν λεγομένων ὑπογράψω τάς τε ἐκλογὰς καὶ τὸ διάγραμμα ὅλον καὶ τοὺς συλλογισμούς, πῶς τε καὶ ἐκ τίνων γίνονται· οὐ γὰρ τὸ τυχὸν συμβάλοιτ' ἂν ἡμῖν εἰς τὸ συλλογιστικὸν εἶναι ἡ τούτων σαφήνεια. ἔστωσαν δὴ τὰ πράγματα (ταῦτα δ' ἐστὶν οἱ ὅροι οἱ τῶν προβλημάτων τῶν τεσσάρων) ἡδονή τε καὶ ἀγαθόν, καὶ ἔστω δέον ποτὲ μὲν πᾶσαν ἡδονὴν ἀγαθὸν δεῖξαι, ποτὲ δὲ τινά, ποτὲ δὲ μηδεμίαν, ἔστω δέ ποτε μὴ πᾶσαν. ἐκλελέχθω δὴ τὰ ἑκατέρῳ αὐτῶν ἑπόμενα καὶ οἷς αὐτὰ ἕπεται καὶ ὅσα μὴ ἐνδέχεται αὐτοῖς ὑπάρχειν. τὰ μὲν οὖν τῷ ἀγαθῷ ἑπόμενα ὠφέλιμον, αἱρετόν, διωκτόν, οἰκεῖον, λυσιτελές, συμφέρον, ὀρεκτὸν καὶ ὅσα τοιαῦτα. οἷς δὲ πάλιν αὐτὸ ἕπεται, εὐδαιμονία, τέλειον, ἀρεταί, κατ' ἀρετὴν ἐνέργεια, σωματικὰ ἀγαθά, τὰ ἐκτός, τὰ κατὰ φύσιν καὶ τὰ τοιαῦτα. ἃ δὲ μὴ ἐνδέχεται ὑπάρχειν αὐτῷ, φευκτόν, βλαβερόν, κακόν, ἀσύμφορον, ἀλυσιτελές, αἰσχρόν, ἀτελές. πάλιν τὰ μὲν τῇ ἡδονῇ ἑπόμενα ἡ λεία κίνησις, ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, τὸ ἀνενόχλητον, τὸ ἀόργητον, τὸ ἀρεστόν, τὸ ἄπονον, τὸ ἄλυπον, τὸ ἄφοβον, τὸ κατὰ φύσιν, τὸ αἱρετόν. οἷς δὲ ἡδονὴ ἕπεται, ὑγεία, εὐτυχία, εὐτεκνία, ἐνέργεια κατ' ἀρετήν, εὐπορία καὶ τὰ τοιαῦτα. ἃ δὲ μὴ ἐνδέχεται αὐτῇ ὑπάρχειν, νόσος, πόνος, λύπη, φόβος, ἀπορία. [τὸ καθόλου καταφατικὸν ἐκ τῶν, οἷς ἕπεται ὁ κατηγορούμενος, καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ.] κατασκευάσαι μὲν οὖν καὶ δεῖξαι θέλοντες τὸ καθόλου καταφατικόν, τουτέστι πᾶσαν ἡδονὴν ἀγαθόν, ληψόμεθά τι ἐκ τῶν, οἷς ἕπεται τὸ ἀγαθόν, τουτέστιν ὁ κατηγορούμενος ὅρος, καὶ ἐκ τῶν ἑπομένων τῇ ἡδονῇ· ὑπόκειται δὲ τῷ μὲν ἀγαθῷ τὸ τέλειον, τῇ δὲ ἡδονῇ, τουτέστι τῷ | ὑποκειμένῳ, ἕπεται ἡ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμ- 135ᵛ πόδιστος. ταῦτα δὴ οὖν ὡς ἓν καὶ ταὐτὸν λαβόντες ποιήσω αὐτὰ μέσον ὅρον. οὕτως γὰρ ἔσται συλλογισμὸς ἐκ δύο καθόλου καταφατικῶν ἐν πρώτῳ σχήματι

1 διαίτῃ 300,10: διαίτης P 6 οὐ . . . δεῖ γάρ (7) Phil. f. 69ᵛ 10 post ἣν fort. ὁ addendum 11 ἑκατέρου Al. 301,4: ἑκατέρῳ P 19 δέον Al. 301,14: δέος P 20. 21 ἔστω δέ ποτε P: ποτὲ δὲ Al. 301,15 21 μὲν Al. 301,15: μὲν P 28 ἀόργητον P: ἀ. B pr.: ἀνόργητον B corr. Al. 301,28 32 τὸ . . . ὑποκειμένῳ (33) ut ex mrg. illatum cancellis circumscripsi (cf. 100,4. 5,12—14) 38 ποιήσομεν (τὸν) Al. 302,6; at cf. 104,28

πᾶσα ἡδονὴ ⟨ἐνέργεια⟩ τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος ἢ τελειότης τῆς κατὰ φύσιν ἐνεργείας (ταὐτὸν γὰρ ἄμφω), πᾶσα δὲ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος ἢ τελειότης τῆς κατὰ φύσιν ἐνεργείας ἀγαθόν ἐστι, πᾶσα ἄρα ἡδονὴ ἀγαθόν ἐστι'. [τὸ μερικὸν καταφατικὸν ἐκ τῶν, οἷς ἕπεται ὅ τε κατηγορούμενος καὶ ὁ ὑποκείμενος.] ἂν δὲ μὴ τὸ καθόλου καταφατικὸν δεῖξαι βουλώμεθα ἀλλὰ τὸ ἐπὶ μέρους καταφατικόν, πάλιν ληπτέον ἐκ τῶν, οἷς ἑκάτερος τῶν ἐν τῷ προβλήματι ὅρων ἕπεται. ἕπεται δὲ τὸ μὲν ἀγαθὸν τῇ κατ' ἀρετὴν ἐνεργείᾳ, ἡ δὲ ἡδονὴ τῷ αὐτῷ τούτῳ· τοῦτο οὖν ὁ μέσος ὅρος ἔστω. ἔσται δὴ ἐν τρίτῳ σχήματι συλλογισμὸς 'πᾶσα ἡ κατ' ἀρετὴν ἐνέργεια ἡδονή ἐστι'· καὶ διὰ τοῦτο γινομένου ἐπὶ μέρους καταφατικοῦ, ὅτι τὶς ἡδονὴ ἐνέργεια κατ' ἀρετήν ἐστι. κειμένου δὲ τοῦ πᾶσαν ἐνέργειαν κατ' ἀρετὴν ἀγαθὸν εἶναι συνάγεται τὸ τινὰ ἡδονὴν ἀγαθὸν εἶναι ἐν πρώτῳ σχήματι. [τὸ καθόλου ἀποφατικὸν ἐκ τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ καὶ ἀνάπαλιν.] ὅταν ⟨δὲ⟩ δέῃ καθόλου ἀποφατικὸν δεῖξαι, ὃ δεῖ κατηγορῆσαι ἀποφατικῶς ἐν τῷ συμπεράσματι (ἔστι δὲ τοῦτο ἀγαθόν), ἐκληπτέον τούτου τι ἐκ τῶν μὴ ἐνδεχομένων αὐτῷ ὑπάρχειν, τουτέστι τῶν ἀλλοτρίων· ᾧ δὲ βουλόμεθα δεῖξαι μηδενὶ ὑπάρχον αὐτὸ (τοῦτο δ' ἐστὶν ἡ ἡδονή), ἐκ τῶν τούτῳ ἑπομένων τι ληπτέον· κἂν ταῦτα ἀλλήλοις ἑνώσωμεν, ἔσται καθόλου ἀποφατικὸν ἐν πρώτῳ σχήματι. εἰλήφθω οὖν ἐκ μὲν τῶν ἀλλοτρίων τοῦ ἀγαθοῦ τὸ ἀτελές, ἐκ δὲ τῶν τῇ ἡδονῇ ἑπομένων ἡ λεία κίνησις. καὶ κείσθω ταὐτὰ εἶναι ἀλλήλοις, ἐπειδὴ πᾶσα κίνησις ἀτελής. ἔσονται οὖν αἱ προτάσεις οὕτως· πᾶσα ἡδονὴ λεία κίνησις· ταὐτὸν δὲ εἰπεῖν 'ἀτελής'· κεῖται γὰρ τὸ πᾶσαν κίνησιν ἀτελῆ εἶναι, | τὴν δὲ ἡδονὴν 136r
κίνησιν εἶναι· οὐδὲν ἀτελὲς ἀγαθόν· ⟨τὸ⟩ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ ὑπάρχει. ὃ ἴσον ἐστὶ τῷ 'τὸ ἀγαθὸν κατ' οὐδεμιᾶς ἡδονῆς'. φημὶ δὲ τοῦτο δειχθήσεσθαι τὸ συμπέρασμα οὕτως ἔχον διὰ προσυλλογισμοῦ. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ στερητικόν, κεῖται δὲ τὸ ἀτελὲς κατ' οὐδενὸς τοῦ ἀγαθοῦ, καὶ τὸ ἀγαθὸν κατ' οὐδενὸς τοῦ ἀτελοῦς· διότι δὲ τὸ ἀτελὲς ταὐτόν ἐστι τῇ κινήσει, πάσῃ ταύτῃ ὑπάρξει· ἐξ ὧν συνάγεται τὸ ἀγαθὸν μηδεμιᾷ κινήσει. καὶ ὁ μὲν προσυλλογισμὸς οὕτως. ἐπεὶ δὲ ἡ κίνησις πάσῃ τῇ ἡδονῇ ὑπάρχει, ἔσται καὶ τὸ ἀγαθὸν μηδεμιᾷ ἡδονῇ. οὕτω μὲν οὖν ἐν τῷ πρώτῳ σχήματι τὸ καθόλου ἀποφατικὸν συναχθήσεται. εἰ δὲ ἐν δευτέρῳ βουλόμεθα σχήματι ταὐτὸ τοῦτο δεῖξαι, χρὴ ἀνάπαλιν λαμβάνειν· ᾧ γὰρ χρὴ δεῖξαι μηδενὶ ὑπάρχειν, τούτου ληψόμεθά τι ἐκ τῶν μὴ ὑπαρχόντων αὐτῷ· ἔστι δὲ ἡ ἡδονή, ᾗ δεῖ δειχθῆναι μηδενὶ ὑπάρχειν τὸ ἀγαθόν. ἐκ τῶν οὖν μὴ ὑπαρχόντων τῇ ἡδονῇ ἔστω τὸ ἐπίπονον εἰλημμένον· ἐκ δὲ τῶν ἑπομένων τῷ ἀγαθῷ, ὃ ἀγαθὸν δεῖ δεῖξαι μηδεμιᾷ ἡδονῇ ὑπάρχον, εἰλήφθω τὸ ὠφέλιμον, καὶ ἔστω ἀλλήλοις ταὐτὰ τὸ ἐπίπονον καὶ τὸ ὠφέλιμον· πᾶν γὰρ ὠφέλιμον μετὰ πόνου καὶ ἐπίπονον· ἀληθὲς γὰρ τὸ "ἀντὶ τῶν πόνων δίδωσιν ἡμῖν πάντα τὰ

1 ἐνέργεια Al. 302,8: om. P 4 τὸ . . . ὑποκείμενος (5) et 12 τὸ καθόλου . . . ἀνάπαλιν (14) ex marginibus cancellis circumscripsi (cf. 99,32. 33) 4 ὅ τε scripsi: ὅτι P 14 δὲ δέῃ Al. 302,33: δὲ ἡ P 17 μηδενὶ . . αὐτὸ Al. 303,1. 2: μηδὲν . . . αὐτῷ P 18 κἂν ταῦτα Al. 303,3: κἀνταῦθα P 21 ταῦτα P (a) 24 τὸ addidi 30 πάσῃ scripsi: παρὰ P 33 μηδενὶ Al. 303,13: μηδὲν P

ἀγαθὰ ὁ θεός" καὶ "ἐκ τῶν πόνων τὰ ἀγαθὰ αὔξεται βροτοῖς". ἔστω οὖν δὴ μέσος τὸ ἐπίπονον, καὶ λεκτέον οὕτως· πᾶν ἀγαθὸν ἐπίπονον, οὐδεμία ἡδονὴ ἐπίπονος· συνάγεται οὖν τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. εἰ δὲ ἐν πρώτῳ θελήσαμεν δεῖξαι, λῃψόμεθα τὴν ἡδονὴν οὐδενὶ ἐπιπόνῳ. τὸ ἐπίπονον (ταὐτὸν γὰρ τῷ ὠφελίμῳ) παντὶ ἀγαθῷ· ἐξ ὧν συνάγεται ἡ ἡδονὴ οὐδενὶ ἀγαθῷ, ἀλλ' οὐ τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ, ὃ ἦν προκείμενον. ἀντιστρέφει μὲν οὖν τὸ συμπέρασμα καθόλου ἀποφατικὸν ὄν, ἀλλ' ἐν πρώτῳ σχήματι οὐδὲν δι' ἀντιστροφῆς ἐδείκνυτο. ἐὰν δὲ τὸ ἐπὶ μέρους ἀποφατικὸν δεῖξαι βουλώμεθα, ὃ λοιπὸν ἔτι τῶν προβλημάτων, τοῦ μὲν ὑποκειμένου ὅρου, ᾧ δεῖ τινὶ μὴ ὑπάρχον τι δειχθῆναι (οὗτος δ' ἐστὶν ἡ ἡδονή), λῃπτέον | τι ἐξ ἐκείνων, οἷς ἡ ἡδονὴ ἕπεται, τοῦ 136ᵛ δὲ κατηγορουμένου, ὃ βουλόμεθα δεῖξαι τινὶ μὴ ὑπάρχειν τῷ ὑποκειμένῳ (τοῦτο δ' ἐστὶ τὸ ἀγαθόν), ἐκ τῶν, ἃ μὴ ἐνδέχεται ὑπάρχειν αὐτῷ. εἰλήφθω οὖν τὸ ἀλυσιτελὲς καὶ ἄπονον, ὧν τὸ μὲν ἀλλότριον τοῦ ἀγαθοῦ, τὸ δὲ ὑποκείμενον τῇ ἡδονῇ· ἔσονται οὖν ἐν τρίτῳ σχήματι αἱ προτάσεις 'οὐδὲν ἀλυσιτελές, τουτέστιν ἄπονον, ἀγαθόν, πᾶν ἄπονον, τουτέστιν ἀλυσιτελές, ἡδύ'· τὶς ἄρα ἡδονὴ οὐκ ἔστιν ἀγαθόν. ἀντιστραφεῖσα δὲ ἡ καθόλου καταφατικὴ ἐπὶ μέρους καταφατικὴ γίνεται· τὶ ἡδὺ ἄπονον. οὐδὲν ἄπονον ἀγαθὸν ἐν πρώτῳ σχήματι. δυνατὸν δὲ τὸ μερικὸν καταφατικὸν καὶ ἄλλως συναγαγεῖν. ἐὰν εὕρωμέν τι ⟨ταὐτὸν⟩ τῶν ἑπομένων ⟨τῷ⟩ ἀγαθῷ καὶ οἷς ἡ ἡδονὴ ἕπεται. δείκνυμεν ⟨γὰρ⟩ καὶ οὕτως τὸ μερικὸν καταφατικόν, ἀλλ' οὐ καθ' αὑτὸ ἀλλ' ἀντεστραμμένως, τουτέστι διὰ τοῦ ἀντιστρέψαι τὸ συναγόμενον ἐκ τούτων συμπέρασμα. εἰ γὰρ τὸ ὠφέλιμον παντὶ ἀγαθῷ ἕπεται, τούτῳ δὲ ταὐτὸν ἡ κατ' ἀρετὴν ἐνέργεια, ᾗ ἕπεται ἡ ἡδονή, καὶ ἡ κατ' ἀρετὴν ἐνέργεια [ᾗ ἕπεται ἡ ἡδονή, καὶ ἡ κατ' ἀρετὴν ἐνέργεια] παντὶ τῷ ἀγαθῷ ὑπάρξει. πάλιν ἐπειδὴ ἡ ἡδονὴ παντὶ τῷ κατ' ἀρετὴν βίῳ, ὁ δὲ κατ' ἀρετὴν βίος ταὐτὸν τῷ ὠφελίμῳ, τὸ δὲ ὠφέλιμον παντὶ ἀγαθῷ, ἡ ἡδονὴ ἄρα παντὶ ἀγαθῷ. ἀλλ' οὐ τοῦτο ἦν τὸ προκείμενον, εἰ ἡδονὴ παντὶ ἀγαθῷ ὑπάρχει, ἀλλ' εἰ τὸ ἀγαθὸν τινὶ τῶν ἡδονῶν ὑπάρχει· ἡ γὰρ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει· δεῖ γάρ. ἐπεὶ δὴ καὶ ἄλλως πως γίνεται συλλογισμὸς μερικὸς καταφατικός. ᾧ ἕπεται ἡ ἡδονή, τῷ ἑπομένῳ τῷ ἀγαθῷ ταὐτοῦ ληφθέντος (διὰ γὰρ τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς), διὰ τοῦτο οὐδὲ ταύτην ἐδόκει ἡμῖν παραλιπεῖν τὴν δεῖξιν.

[ἐκ τῆς ἐκλογῆς τὰ καθόλου ⟨καὶ⟩ γενικώτερα δεῖ καὶ οὐ τὰ προσεχῆ καὶ μερικώτερα λαμβάνειν.] Δεῖ δὲ ἐν ταῖς ἐκλογαῖς τῶν ἑπομένων ἑκατέρῳ τῶν κειμένων καὶ οἷς ἑκάτερος αὐτῶν ἕπεται μήτε τὰ προσεχῆ εὐθὺς λαμβάνειν ἐπόμενα μήτε τά, οἷς ἕπεται, ἀλλὰ τὰ πρῶτα καὶ καθολικώτερα, ὑφ' ἃ τέτακται καὶ | τὰ προσεχῆ τοῖς κειμένοις πρῶτα. λέγω δὲ 'τῶν ἑπομένων' οὐ 137ᵛ τὰ ἴδια καὶ τοὺς ὁρισμούς (ταῦτα γὰρ οἰκεῖά τε τῶν κειμένων, καὶ οὐχ οἷόν τε ὁρισμόν τινα ἢ ἴδιον ἔτι εἶναι τὸ καθολικώτερον καὶ πλείοσιν ὑπάρχον) ἀλλὰ τὰ γένη καὶ τὰς διαφορὰς καὶ ὅσα οὕτως ἕπεται. οἷον εἰ ἄνθρωπος

4. 5 ταὐτὸν γὰρ iterat P, alterum expunxit P² 7 καθόλου ἀποφατικὸν Al. 304,3: κατὰ ἀπόφασιν P 8 δὲ Arist.: δὴ P 18 δυνατὸν . . . γάρ (29) Phil. f. 71r — 71v 19 ταὐτὸν Phil.: om. P τῷ addidi 20 γὰρ Phil. f. 71v: om. P 23 ᾗ . . . ἐνέργεια (24) librario aberrante iteratum delevi 29 ἐπειδὴ P 32 ἐκ . . . λαμβάνειν (33) ut e mrg. illatum cancellis circumscripsi cf. 99, 32 καὶ prius addidi 33 ἐν Al. 306,24: ἐκ P ἑκατέρῳ Al.: ἑκατέρων P 38 τινος Al. 306,29

εἴη ὁ κείμενος ὅρος, μὴ ζῶον πεζὸν εὐθέως λαμβάνειν ἑπόμενον αὐτῷ ἀλλὰ ζῶον (καθολικώτερον γάρ), καὶ ἔτι πρὸ τοῦ ζώου τὴν οὐσίαν τὴν ἔμψυχον, καὶ ἔτι πρὸ τούτου τὴν οὐσίαν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν, οἷς ἕπεται, οἷον ὁ ἄνθρωπος, τὸ μὲν προσεχῶς οἷς ἕπεται τὸ γραμματικόν, τὸ δὲ καθολικώτερον τὸ ἐπιστημονικόν. ἡ δὲ αἰτία τοῦ οὕτω δεῖν ποιεῖσθαι τὴν ἐπίβλεψιν, ὅτι εὐπορωτέρα καὶ ἐν πλείοσιν ἡμῖν ἡ ἐκλογὴ τῶν προτάσεων ἔσται καὶ ἡ ζήτησις τοῦ καθολικωτέρου πρώτου λαμβανομένου. ὁ γὰρ τὸ καθολικώτερον τῶν ἑπομένων τινὶ λαβὼν ἔχει καὶ τὰ ὑπ' ἐκείνου περιεχόμενα καὶ προσεχέστερον ἑπόμενα τῷ κειμένῳ καὶ αὐτὰ λαμβάνειν, ὁ δὲ τὰ προσεχῆ λαβὼν μόνα οὐκ ἔχει τὸ καθολικώτερα τῷ ἐν τοῖς φθάνουσιν εἰλῆφθαι τοῖς προσεχῶς ἑπομένοις κἀκεῖνα τὰ καθολικώτερα περιέχεσθαι. ὁ μὲν γὰρ λαβὼν τῷ ἀνθρώπῳ τὸ ζῶον ἕπεσθαι ἀποκέκλειται τοῦ τὴν οὐσίαν ἔτι λαβεῖν τῷ ἐν τῷ ζώῳ καὶ τὴν οὐσίαν περιέχεσθαι, ὁ δὲ τὴν οὐσίαν πρώτην λαβὼν ἔχει καὶ τὸ ζῶον ἐν τοῖς ἑπομένοις τῷ ἀνθρώπῳ λαβεῖν ἔτι. πλείονων δὲ ὄντων τοιούτων εὐπορωτέρα ἡ τοῦ μέσου εὕρεσις· ῥᾷον γὰρ ἐν πλείοσιν εὑρεῖν, ὃ ζητεῖ τις, ἢ ἐν ἐλάττοσι. διὰ ταῦτα οὖν δεῖ, φημί, ἐπιβλέπειν, εἰ ἐνδέχεται καὶ διὰ τῶν καθολικωτέρων συνάγειν τὸ προκείμενον. ὅσῳ γὰρ διὰ τῶν καθολικωτέρων συνάγομεν τὸ συμπέρασμα, πλειόνων εὐποροῦμεν μέσων. τὸ αὐτὸ γὰρ καὶ διὰ τῶν μερικωτέρων συνάγειν δυνατόν· εἰ δέ τι διὰ τῶν μερικωτέρων συνάγοιτο, οὐ πάντως καὶ διὰ τῶν καθολικωτέρων συναχθήσεται· οἷον εἰ διὰ τοῦ σώματος μέσου συνάγω, ὅτι ὁ ἄνθρωπος οὐσία, πάντως καὶ διὰ τῶν ὑπὸ τὸ σῶμα συναγαγεῖν δύναμαι, οἷον τοῦ ἐμψύχου, τοῦ ζώου, τοῦ λογικοῦ. εἴ τι 137v μέντοι διὰ τοῦ μερικωτέρου συνάγοιτο, οὐ πάντως καὶ διὰ τοῦ καθολικωτέρου τὸ αὐτὸ συναχθήσεται, οἷον τὸν ἄνθρωπον λογικὸν εἶναι διὰ τοῦ φιλοσοφεῖν· ὁ ἄνθρωπος φιλοσοφεῖ, τὸ φιλοσοφοῦν λογικόν, ὁ ἄνθρωπος ἄρα λογικόν. οὐκέτι δὲ τὸ αὐτὸ συνάγειν δύναμαι διὰ τῶν τοῦ φιλοσοφεῖν καθολικωτέρων, οἷον τῆς ἕξεως ἢ τῆς διαθέσεως ἢ τῆς ποιότητος· οὔτε γὰρ τὸ ἕξεώς τινος ἢ ποιότητος μετέχον ἤδη καὶ λόγῳ χρῆται, εἴ γε καὶ ὄνομά ἐστιν ἕξιν ἔχειν.

Ἐπεὶ δέδεικται ἡμῖν, πῶς οἷόν τε γίγνεσθαι τοὺς συλλογισμοὺς καθ' ἕκαστον πρόβλημα, φανερὸν καὶ ἐκ τούτων ἐστίν, ὅτι πᾶς συλλογισμὸς ἁπλοῦς διὰ τριῶν ὅρων καὶ δύο γίνεται προτάσεων καὶ διὰ τῶν τριῶν σχημάτων, ἃ φθάσαντες ἐδείξαμεν ἤδη. εἰ γὰρ καλῶς εἴληπται ἡ τῶν ἑπομένων τοῖς ὅροις καὶ οἷς ἕπονται ⟨ἐκλογή⟩, ἔτι δὲ καὶ τῶν ἀλλοτρίων αὐτῶν, καὶ ἐπὶ ἑκάστου ⟨τῶν⟩ προβλημάτων ἔδει τούτων τι ταὐτὸν εὑρεθῆναι, οἷον ἐπὶ μὲν τοῦ καθόλου καταφατικοῦ τά, οἷς ἕπεται ὁ κατηγορούμενος, καὶ τὰ τῷ ὑποκειμένῳ ἑπόμενα, καὶ ἐπὶ τῶν ἄλλων, ὡς δέδεικται, ἐχόντων ἡμῶν δύο μὲν ὅρους τούς, περὶ ὧν ὁ λόγος, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, λαμβανόντων δὲ καὶ ἕτερόν τινα, ὃς ἦν τῷ μὲν κατηγορουμένῳ ὑποκείμενος τοῦ δὲ ὑποκειμένου κατηγορούμενος, τρεῖς ἀνάγκη μόνους τοὺς ὅρους γίγνεσθαι. τὸ αὐτὸ

7 πρῶτον Al. 307,10 14 τοιούτων P: τῶν κειμένων Al. 307,18 16 δεῖ . . . καὶ τοῦ τρίτου (103,10) Phil. 71v—72r 19 μερικωτέρων Phil.: μερικωτάτων P 24 ante τὸν add. τὸ Phil. 25 ἄρα Phil.: ἔτι P (cf. 93,16) λογικός Phil. 28 ἤδη Phil.: εἴ γε P ὄνομά ἐστιν ἕξιν Phil.: νόσου ἐστὶν ἕξειν P 33 ἐκλογή Phil. f. 72r: om. P 34 τῶν Phil.: om. P

καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων ὁμοίως. οὕτως μὲν οὖν τρεῖς μόνοι οἱ εἰς τὸν συλλογισμὸν παραλαμβανόμενοι ὅροι. ὅτι δὲ καὶ τρία μόνα τὰ σχήματα, διὰ τῶν ἐνταῦθα πάλιν δεικνυμένων φανερόν [ὅτι τὸ καθόλου καταφατικὸν διὰ τοῦ πρώτου, τὸ καθόλου ἀποφατικὸν διὰ τοῦ πρώτου καὶ δευτέρου, τὸ μερικὸν καταφατικὸν διὰ τοῦ πρώτου καὶ τρίτου, τὸ μερικὸν ἀποφατικὸν διὰ τῶν τριῶν]. ἐδείκνυτο γὰρ τὸ μὲν καθόλου καταφατικὸν διὰ τοῦ πρώτου σχήματος, τὸ δὲ καθόλου ἀποφατικὸν διὰ τοῦ πρώτου καὶ δευτέρου, τὸ δὲ μερικὸν καταφατικὸν διὰ τοῦ τρίτου καὶ διὰ τοῦ πρώτου, τὸ δὲ μερικὸν ἀπο|φατικὸν διὰ τοῦ πρώτου σχήματος καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου. 138ᵃ ὑπάρχειν μὲν γὰρ πάσῃ δείκνυται τῇ ἡδονῇ τὸ ἀγαθόν, εἰ οἷς ἕπεται τὸ ἀγαθόν, τοῖς ἑπομένοις τῇ ἡδονῇ τὰ αὐτὰ ᾖ καὶ εἷς ὅρος ἐξ αὐτῶν γένοιτο· τοῦτον γὰρ μέσον ὅρον λαβόντες δείκνυμεν τὸ ἀγαθὸν πάσῃ ἡδονῇ ὑπάρχειν διὰ προτάσεων δύο καθόλου καταφατικῶν ἐν πρώτῳ σχήματι. πάλιν δ' αὖ, ἂν τινὶ ἡδονῇ δεικνύωμεν τὸ ἀγαθὸν ὑπάρχειν, λαμβάνεται τά, οἷς εἕπετο τὸ ἀγαθὸν καὶ ἡδονή· ἐὰν γὰρ ἕνα ὅρον ταῦτα ποιήσωμεν καὶ θῶμεν μέσον, συνάγεται τὸ ἀγαθὸν τινὶ ἡδονῇ διὰ τοῦ τρίτου σχήματος. ὅταν δὲ δεικνύωμεν τὸ ἀγαθὸν μηδεμιᾷ ὑπάρχον ἡδονῇ, πάλιν λαμβάνομεν τὰ ἀλλότρια τοῦ ἀγαθοῦ, ὅς ἐστι κατηγορούμενος ὅρος ἐν τῷ προβλήματι, καὶ τὰ ἑπόμενα τῇ ἡδονῇ, καὶ ἐξ αὐτῶν ποιοῦμεν μέσον ὅρον. γίνεται ἡ δεῖξις τούτου ληφθέντος ἐν τῷ πρώτῳ σχήματι καὶ ἐν τῷ δευτέρῳ, καὶ ἐν μὲν τῷ πρώτῳ, ἂν λάβωμεν, ἐπεὶ τὰ ἑπόμενα τῇ ἡδονῇ τὰ αὐτά ἐστι τοῖς ἀλλοτρίοις τοῦ ἀγαθοῦ, ὃ οὐδενὶ ὑπάρχει τῷ ἀγαθῷ. καὶ τὸ ἀγαθὸν τούτῳ οὐδενὶ ὑπάρχει· ἀντιστρέφει γὰρ ἡ καθόλου ἀποφατική· τοῦτο δὲ πάσῃ τῇ ἡδονῇ ὑπάρχει. ἐν δὲ τῷ δευτέρῳ σχήματι, ὅτι τὸ ἀλλότριον τοῦ ἀγαθοῦ, ὅ ἐστι ταὐτὸν τῷ ἑπομένῳ τῇ ἡδονῇ, τῷ μὲν ἀγαθῷ οὐδενὶ ὑπάρχει τῇ δὲ ἡδονῇ πάσῃ. ἐπὶ μέρους δὲ ἀποφατικὸν συνάγοντες λαμβάνομεν τὰ ἀλλότρια τοῦ ἀγαθοῦ καὶ τά, οἷς ἕπεται ἡ ἡδονή, τὰ αὐτά, καὶ ἕνα μέσον ὅρον ποιήσαντες ἐξ αὐτῶν ἐν τρίτῳ σχήματι διὰ δύο προτάσεων συνάγομεν τὸ ἐπὶ μέρους ἀποφατικόν· τὸ μὲν ἀγαθὸν οὐδενὶ τῷ ἑαυτοῦ ἀλλοτρίῳ, ὃ ἀλλότριον ταὐτόν ἐστιν τοῖς, οἷς ἡ ἡδονὴ ἕπεται.

Φανερὸν οὖν, ὅτι διὰ τριῶν σχημάτων πάντες οἱ συλλογισμοὶ καὶ πάντα τὰ προβλήματα. ἐπεὶ δὲ ταῦτα ἡμῖν εἴρηται ἱκανῶς, ὑπομνῆσαι δεῖ καὶ οὗ εἶπον μὲν ἐν τῷ ἀνωτέρῳ, ὑπερεθέμεθα δ' αὐτοῦ τὴν αἰτίαν ἐρεῖν τότε, ἣν νῦν δὴ λέγειν καιρὸς ἂν εἴη· τοῦτο δὲ ἦν λέγειν μὴ δεῖν ἐκλέγειν τὰ πᾶσιν | 138ᵃ ἑπόμενα, τουτέστιν ἀμφοτέροις τοῖς ὅροις. αἰτία δὲ τούτου αὕτη· οὐδεὶς γίνεται συλλογισμὸς τοῦ ἀμφοτέροις τοῖς ἄκροις ἑπομένου ληφθέντος· εἰ δὲ τοῦτο, ἄχρηστος ἂν εἴη πρὸς συλλογισμοῦ εὕρεσιν ἡ τούτων ἐκλογή. οὔτε γὰρ κατασκευαστικός τε καὶ καταφατικὸς οὔτε ἀνασκευαστικός τε καὶ ἀποφατικός, καταφατικὸς μέν, ὅτι ἐκ τῶν ἑπομένων ἀμφοτέροις οὐδὲν συνάγεται συλλογιστικῶς

3 δεικνυμένων Phil.: δεικνύμενα P ὅτι . . . τρίτου (6) om. Phil. (cf. 97,6) 4 διὰ prius Phil.: καὶ P τοῦ alterum Phil.: τὸ P 6 τῶν τριῶν scripsi: τοῦ τρίτου P cf. ad 53,38 10 ὑπάρχειν . . . εἶναι (104,5) Al. 310,18—311,24 εἰ Al. 310,19: εἶτα P 11 ᾖ P: εἶεν Al. 17 μηδεμιᾷ scripsi: μηδεμιᾶς P 19 post γίνεται add. δὲ Al. 310,27 22 ὃ . . τῷ ἀγαθῷ scripsi (cf. Al. 310,29): ᾧ . . τὸ ἀγαθόν P 29 ἀλλοτρίῳ scripsi: ἀλλότριον P 36 συλλογισμῶν Al. 311,15

διὰ τοῦτο γὰρ ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοι αἱ ἐκ δύο καταφατικῶν ἐδείχθησαν οὖσαι συζυγίαι), στερητικὸν δὲ καὶ ἀποφατικὸν συλλογισμὸν οὐκ ἐνδέχεται γενέσθαι ἐξ ἀμφοτέρων καταφατικῶν· τὸ γὰρ ἑπόμενον ἀμφοτέροις καταφάσκεται ἀμφοτέρων· ἐν δὲ τοῖς ἀποφατικὸν συνάγουσι καὶ δεικνύουσι δεῖ τὴν ἑτέραν πρότασιν ἐξ ἀμφοτέρων ἀποφατικὴν εἶναι. φανερὸν δέ, ὅτι καὶ αἱ ἄλλαι πᾶσαι ἐκλογαί. παρ' ἃς εἴπομεν, ἄχρηστοι, οἷον εἰ τὰ ἑπόμενα ἀμφοτέροις ταὐτὰ εἴη, ἣν ἤδη ἄχρηστον οὖσαν εἰρήκαμεν ἐκλογήν, καὶ ἡ τά, οἷς ἕπεται ὁ κατηγορούμενος, καὶ τὰ τοῦ ὑποκειμένου ἀλλότρια λαμβάνουσα· γίνεται γὰρ οὕτω τὸ πρῶτον σχῆμα τὴν ἐλάττονα πρότασιν ἀποφατικὴν ἔχον· ἀσυλλόγιστος δὲ ἦν αὕτη ἡ συζυγία. πρὸς δὲ ταύτῃ καὶ ἡ τὰ ἀμφοτέροις ἀλλότρια λαμβάνουσα· προφανὲς γὰρ κἀνταῦθα τὸ ἄχρηστον· ἄμφω γὰρ γίνονται [αἱ] ἀποφάσεις, εἴτε κατὰ τὸ πρῶτον εἴτε κατὰ τὸ δεύτερον ποιήσει τις συλλογισμόν.

Δῆλον δὲ ἐκ τῶν εἰρημένων, ὅτι οὐ δεῖ ζητεῖν, ποῖα ἐν τοῖς ἀπογεγραμμένοις ἕτερά ἐστιν, ἀλλὰ ποῖα ταὐτά, καὶ τίνα χρείαν παρέχεται τά τε ταὐτὰ ἐκ τῶν ἐκλελεγμένων ληφθέντα, καθ' ὃν ὑφηγήμεθα τρόπον (λέγω δὲ τῶν ἑπομένων καὶ οἷς ἕπεται καὶ τῶν ἀλλοτρίων), καὶ τίνα χρείαν, εἰ ἀντ' αὐτῶν λαμβάνοιτο τὰ ἐναντία ἀλλήλοις ἢ τὰ ἀντικείμενα· οὐδὲ γὰρ συλλογιστικὴ ἡ τῶν τοιούτων ἐκλογή, ὡς αὐτίκα δὴ μάλα δείξομεν. πρῶτον μὲν γὰρ τῆς τοῦ μέσου ὅρου εὑρέσεως χάριν ἡ ἐπίσκεψις γίνεται τῶν ἑπο|μένων τε καὶ τῶν 139r
λοιπῶν· τὸν δὲ μέσον ὅρον ἕνα καὶ τὸν αὐτὸν εἶναι δεῖ· οὐ γίνεται δὲ τὰ ἐναντία ἀλλήλοις ἕν. καὶ διὰ τοῦτο, ἐν οἷς συμβαίνει γίνεσθαί τινα συλλογισμὸν ληφθέντων τινῶν ἐναντίων εἶναι ἀλλήλοις ἐκ τῶν περὶ ἑκατέρου ἐκλελεγμένων. καθ' ὃν πεποιήμεθα τὴν ἐκλογὴν τρόπον. ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν, τουτέστιν ἀντικειμένων, ἃ εἴπομεν ἐν τοῖς ἐπάνω ἕτερα ἢ ἐναντία, ὑποπίπτει καὶ ταῦτα τῇ εἰρημένῃ ὑφ' ἡμῶν ἐκλογῇ, καθ' ἣν ἐδείκνυμεν καὶ ἐλαμβάνομεν ταὐτά τινα τῶν περὶ ἑκάτερον ἐκλελεγμένων· καὶ γὰρ ταῦτα οὐ δι' ἄλλο τι εὑρεθήσεται συνάγοντα συλλογιζόμενά τε ἢ διά τινα τῶν προειρημένων ἡμῖν ἐκλογῶν. ταῦτα δὲ προεθέμην εἰπεῖν ὑπονοοῦντες ἴσως τινὰ ἐρεῖν, ὅτι δύναμαι μηδὲν τῶν ἀπογεγραμμένων ταὐτόν τι λαβών, ὅπερ ἐν πᾶσι τοῖς προβλήμασιν ὡς ἀναγκαῖον ἡμεῖς παραδεδώκαμεν, ἀλλὰ λαβὼν τούτων τινὰ ἐναντία ἢ ἁπλῶς ἕτερα ἀλλήλων καὶ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν τὰ ἀποφατικὰ προβλήματα κατασκευάσαι. οἷον ἔστω τι τῶν ἑπομένων τῷ ἀγαθῷ καὶ τῶν τῇ ἡδονῇ ἑπομένων ἐναντίον ἢ μὴ ἐνδεχόμενον τῷ αὐτῷ ὑπάρχειν· κατασκευάζω ἐκ τούτων τὸ καθόλου ἀποφατικὸν οὕτως· εἰ δὴ τὸ φερέπονον τῷ ἀγαθῷ παντὶ τῷ δὲ ἀφερεπόνῳ οὐδενί (ἐναντία γάρ), καὶ τὸ ἀγαθὸν ἄρα τῷ ἀφερεπόνῳ οὐδενί· τὸ δὲ ἀφερέπονον πάσῃ τῇ ἡδονῇ· καὶ τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ. ὁ οὖν ταῦτα λέγων ἠγνόηκεν, ὅτι τὸ συμπέρασμα γέγονεν ἐν τούτοις διὰ τὰς παρ' ἡμῶν παραδοθείσας μεθόδους,

---

5 ἐξ ἀμφοτέρων P: ἐξ ἀνάγκης, sed post δεικνύουσι (4) Al. 311,23 φανερὸν . . . συλλογισμόν (12) Phil. f. 72v 6 αἱ ἄλλαι Phil.: ἀἄλλαι P 11 αἱ delevi (γίνεται ἀπόφασις Phil.) [illegible] . . . τοῖς ταὐτά (14) Phil. f. 73r 14 καὶ τίνα . . . ἐκλογῶν (28) Al. 313,20–33 27 συλλογιζόμενά τε P: καὶ συλλογιζόμενά τι Al. 313,32 28 ὑπονοοῦντες] cf. 99,38 29 ἐρεῖν scripsi: εὑρεῖν P cf. ad. 105,30 ὅτι . . . συμπέρασμα (105,22) Phil. f. 72v—73r 34 ἀποφατικὸν Phil.: καταφατικὸν P ἐπειδὴ Phil. 35 παντὶ Phil.: πάλιν P

οὐ διὰ τὸ ἐναντία ληφθῆναι τό τε ἑπόμενον τῷ ἀγαθῷ καὶ τὸ ἑπόμενον τῇ ἡδονῇ· ταῦτα δ' ἦν τὸ φερέπονόν τε καὶ ἀφερέπονον. εἰ γὰρ ἔχομεν πάντα τὰ ἀλλότρια τοῦ τε ἀγαθοῦ φέρ' εἰπεῖν καὶ τῆς ἡδονῆς, τὸ δὲ φερέπονον οὐδενὶ τῷ ἀφερεπόνῳ, καὶ διὰ τοῦτο οὐδὲ τῇ ἡδονῇ τὸ φερέπονον, ἔχομεν δὲ ἐκκείμενα πάντα τὰ τῆς ἡδονῆς ἀλλότρια, ἔσται ἄρα τὸ φερέπονον ταὐτόν τινι τῶν ἀλλοτρίων τῆς ἡδονῆς. ὥστε οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ταῦτα | λέγοντες τὴν ταὐτότητα τοῦ ἑπομένου τῷ ἀγαθῷ καὶ τοῦ ἀλλοτρίου τῆς 139ᵛ ἡδονῆς· καὶ διὰ τοῦτο ἐνόμισαν ἑτέρᾳ τινὶ μεθόδῳ συνῆχθαι τὸ συμπέρασμα. ἐπεὶ δὲ δέδεικται ἡμῖν, ὅτι, ἐν οἷς καὶ συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐναντίων τινῶν ληφθέντων ἀλλήλοις ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν, οὐ διὰ τὴν τῶν ἐναντίων συνάγεται λῆψιν ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον, τὸ αὐτὸ τοῦτο δειχθήσεται καὶ ἐπὶ τοῦ ἐπὶ μέρους ἀποφατικοῦ. συναχθείη δὲ ἂν καὶ τοῦτο ἐκ τῶν ἐναντίων οὕτως· ἐπεὶ τὸ λυσιτελὲς παντὶ μὲν τῷ ἀγαθῷ οὐδενὶ δὲ τῷ ἀλυσιτελεῖ, καὶ τὸ ἀγαθὸν ἄρα οὐδενὶ τῷ ἀλυσιτελεῖ· τὸ δὲ ἀλυσιτελὲς τινὶ ἡδονῇ· καὶ τὸ ἀγαθὸν ἄρα οὐ πάσῃ ἡδονῇ. πάλιν οὖν ἀγνοοῦσιν ἐν τούτοις, ὅτι εἰς τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον ἐμπίπτουσιν. οὐδὲν γὰρ ἄλλο λέγουσι λαμβάνοντες τὸ λυσιτελὲς καὶ ἀλυσιτελὲς μηδενὶ τῷ αὐτῷ ὑπάρχειν ἢ ὅτι ⟨τὸ⟩ λυσιτελὲς ταὐτόν ἐστι τῶν ἀλλοτρίων τινὶ τῆς ἡδονῆς. εἰ γὰρ τὸ λυσιτελὲς οὐδενὶ τῶν ἀλυσιτελῶν, τὸ δὲ ἀλυσιτελὲς μέρος τῆς ἡδονῆς, πάντα δὲ τὰ τῆς ἡδονῆς ἀλλότρια ἐλάβομεν, ἔσται ταὐτόν τινι τῶν ἀλλοτρίων τῆς ἡδονῆς τὸ ἀλυσιτελές. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον γέγονε τὸ συμπέρασμα. φανερὸν οὖν, ὅτι, ἂν ἐναντία ἢ ἀντικείμενα ἀλλήλοις λάβωμέν τινα, οὐ διὰ τοῦτο συλλογισμὸς ἔσται τῶν ἄκρων πρὸς ἀλλήλους· οὐδὲ γὰρ μέσος τις ὅρος γίνεται ἐκ τούτων· τὰ γὰρ ἐναντία ἢ ἀντικείμενα οὐχ ἕν· ἀλλὰ [καὶ] διὰ τὸ καὶ τότε ταὐτά τινα ἀλλήλοις εὑρίσκεσθαι γίνεται συλλογισμός. καὶ γὰρ ὅτε ἐναντία τινὰ ἀλλήλοις ληφθῇ, ἔσται συλλογισμός, ὅτι ἔστιν, ὅτε ἑκάτερον αὐτῶν ἄλλῳ τινὶ ταὐτόν ἐστι, μεθ' οὗ γινόμενον καὶ ἑνωθὲν αὐτῷ μέσος ὅρος ἔσται, καθὰ προειρήκαμεν. συμβαίνει οὖν τοῖς νενομικόσιν ἄλλην ὁδὸν τῆς εὐπορίας τῶν προτάσεων εὑρηκέναι τὴν διὰ τῶν ἐναντίων ἀγνοεῖν, ὅτι ἐν αὐτοῖς τούτοις, οἷς λέγουσιν, ἡ ἡμετέρα πάλιν ἀναφαίνεται μέθοδος, ὥστε μὴ διὰ ταύτην καὶ μὴ διὰ τὰ παρὰ τούτων | λεγόμενα συμβαίνειν τὸ συμπέρασμα. οἱ οὖν διὰ ταύτης 140ʳ τῆς μεθόδου συνάγεσθαί τι νομίσαντες πλείω τῆς ἀναγκαίας βαδίζουσι διά τινος κύκλου ἐπὶ τὴν ἡμετέραν περιαγόμενοι μέθοδον.

Ὁμοίως δὲ τούτοις, φημὶ δὴ τοῖς δεικτικοῖς τε καὶ κατηγορικοῖς συλλογισμοῖς, καὶ διὰ τῶν αὐτῶν ἔσονται καὶ ⟨οἱ⟩ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς δεικνύντες τι συλλογισμοί. ἡ γὰρ αὐτὴ μέθοδος χρήσιμος ἔσται ἡμῖν· τὸ γὰρ αὐτὸ πρόβλημα κατηγορικῶς τε ἅμα καὶ δι' ἀδυνάτου συλλογιούμεθα καὶ διὰ τῶν αὐτῶν ὅρων, τουτέστι τῆς προειρημένης ἐκλογῆς τῶν ὅρων. καὶ

---

11 συνάγεται λῆψιν scripsi (λῆψιν συνάγεται Phil. f. 73r): σύλληψιν P 18 τὸ addidi 22 φανερὸν . . . προειρήκαμεν (28) Al. 316,29—36 23 ἢ P 25 καὶ prius om. Al. 316,32 26 ὅτε P (a B): ὅταν scripsi Al. 316,33 27 ἄλλῳ Al. 316,35: ἄλλων P 29 συμβαίνει . . . συλλογίσασθαι (106,2) Phil. f. 73v 30 εὑρηκέναι Phil.: εἰρηκέναι P cf. ad 104,29 36 οἱ addidi

ἀνάπαλιν, ὃ διὰ τοῦ ἀδυνάτου ἐδείξαμεν, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ κατηγορικῶς ἕξομεν συλλογίσασθαι. καὶ πρῶτόν γε, πῶς τὸ καθόλου ἀποφατικὸν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεικνύμενον δι' ἧς πεποιήμεθα ἐπιβλέψεως δείκνυται καὶ διὰ τῶν αὐτῶν ὅρων, δι' ὧν καὶ δεικτικῶς, λέγομεν. ἔστω δὴ δι' ἀδυνάτου δεῖξαι τὴν καθόλου ἀποφατικήν. εἰλήφθω οὖν πάλιν τι τῶν ἑπομένων τῷ ἀγαθῷ, τουτέστι τὸ ὠφέλιμον, καὶ τῶν ἀλλοτρίων τῆς ἡδονῆς, οἷον ὁ πόνος, ταὐτὸ ὑπάρχον. προέρχεται οὖν ἡ δεῖξις οὕτως· ἐπεὶ τὸ ὠφέλιμον ταὐτὸν τῷ πόνῳ, τὸ δὲ ὠφέλιμον παντὶ τῷ ἀγαθῷ, καὶ ὁ πόνος ἄρα παντὶ τῷ ἀγαθῷ [:ἐπ' εὐθείας δεῖξις. εἰς ἀδύνατον ἀπαγωγή:], τῇ δὲ ἡδονῇ
10 οὐδεμιᾷ. τούτων οὖν ὄντων λέγω, ὅτι τὸ ἀγαθὸν τῇ ἡδονῇ οὐδεμιᾷ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. οὐκοῦν, ἐπεὶ τὸ μὲν ὠφέλιμον παντὶ τῷ ἀγαθῷ, τὸ δὲ ἀγαθὸν τινὶ τῶν ἡδονῶν, συνάγεται, ὅτι τὸ ὠφέλιμον τινὶ τῶν ἡδονῶν· ὑπέκειτο δὲ καὶ οὐδεμιᾷ, ὅπερ ἀδύνατον· τὸ γὰρ ὠφέλιμον ταὐτὸν ἦν τινὶ τῶν ἀλλοτρίων τῆς ἡδονῆς, τουτέστι τῷ πόνῳ. εἰ τοίνυν τῇ
15 ὑποθέσει ταύτῃ τῇ λεγούσῃ 'ὑπάρχει τὸ ἀγαθὸν τινὶ τῶν ἡδονῶν' ἀδύνατόν τι ἠκολούθησε τῷ τὸ αὐτὸ τῷ αὐτῷ, τὸ ὠφέλιμον τῇ ἡδονῇ καὶ οὐδεμιᾷ καὶ τινὶ ὑπάρχειν, ψεῦδος ἄρα τὸ τινὶ τῇ ἡδονῇ τὸ ἀγαθὸν ὑπάρχειν, ἀληθὲς δὲ τὸ μηδενί. | ὁμοίως ἕξει καὶ ἐπὶ τῆς μερικῆς καταφατικῆς. ταῖς γὰρ αὐταῖς 140v
μεθόδοις δείξομεν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ τοῦτο τὸ πρόβλημα διὰ
20 τοῦ λαμβάνειν τινὰ τῶν, οἷς ἀμφότεροι ἕπονται οἱ ὅροι, λέγω δὴ τὸ κατὰ φύσιν καὶ τὴν ὑγίειαν, ταὐτὰ ἀλλήλοις ὄντα. δείκνυμεν οὖν πάλιν διὰ τοῦ ἀδυνάτου οὕτως· λέγω γάρ, ὅτι τὸ ἀγαθὸν τινὶ ἡδονῇ ὑπάρχει. πῶς; τὸ ἀγαθὸν πάσῃ τῇ ὑγιείᾳ, ἡ ἡδονὴ πάσῃ τῇ ὑγιείᾳ, καὶ τὸ ἀγαθὸν τινὶ ἡδονῇ. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί. ἐπεὶ οὖν τὸ ἀγαθὸν οὐδεμιᾷ τῇ ἡδονῇ, ἡ δὲ ἡδονὴ πάσῃ τῇ ὑγιείᾳ, καὶ τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ὑγιείᾳ· ἀλλ' ὑπέκειτο καὶ πάσῃ, ὅπερ ἀδύνατον· τὸ γὰρ κατὰ φύσιν, καθ' οὗ παντὸς ἦν τὸ ἀγαθόν, ταὐτὸν τῇ ὑγιείᾳ, ὥστε καὶ τῇ ὑγιείᾳ πάσῃ ὑπάρχειν τὸ ἀγαθόν. ψευδὴς ἄρα ἡ ὑπόθεσις ἡ λέγουσα οὐδεμιᾷ ἡδονῇ τὸ ἀγαθόν· οὐκοῦν ἀληθὲς τὸ τινί, ὅπερ ἔδει δεῖξαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων, τοῦ τε
30 καθόλου καταφατικοῦ καὶ τοῦ μερικοῦ ἀποφατικοῦ. ἐδεικνύομεν ⟨οὖν⟩ τὸ καθόλου καταφατικὸν λαμβάνοντες τά, οἷς ἕπεται τὸ ἀγαθόν, καὶ τὰ ἑπόμενα τῇ ἡδονῇ ταὐτά· οἷον τὸ ἀγαθὸν παντὶ ἀλύπῳ, τὸ ἄλυπον πάσῃ ἡδονῇ, καὶ τὸ ἀγαθὸν πάσῃ ἡδονῇ. ἔσται οὖν διὰ τῶν αὐτῶν ὅρων τὸ αὐτὸ καὶ δι' ἀδυνάτου δεῖξαι. λέγω, ὅτι πάσῃ τῇ ἡδονῇ τὸ ἀγαθὸν ὑπάρχει. εἰ δὲ τοῦτο ψευδές, ἀληθὲς τὸ οὐ παντί. ἐπεὶ οὖν τὸ ἀγαθὸν οὐ πάσῃ ἡδονῇ, τὸ δὲ ἄλυπον πάσῃ τῇ ἡδονῇ, συνάγεται ἐν τούτῳ σχήματι τὸ ἀγαθὸν οὐ παντὶ ἀλύπῳ· ὑπέκειτο δὲ καὶ παντί, ὅπερ ἀδύνατον. κατὰ παντὸς γὰρ τοῦ σωματικῶς ἀγαθοῦ τὸ ἀγαθόν· τὸ δὲ σωματικὸν ἀγαθὸν ταὐτὸν ἦν τῷ ἀλύπῳ· ὥστε καὶ τοῦ ἀλύπου κατὰ παντὸς τὸ ἀγαθόν. ἔστι καὶ ἐν δευτέρῳ σχήματι τὸ αὐτὸ συναγαγεῖν. ἐπεὶ

2 καὶ πρῶτόν . . . λέγομεν (4) Al. 318,33—319,1 ἀποφατικὸν Al.: καταφατικὸν P 4 ἔστω . . . ὑπάρξει (108,24) Phil. f. 73v—74v 8 ἄρα scripsi (om. Phil.): ἔτι P cf. 102,25 9 ἐπ' . . . ἀπαγωγή ut ex mrg. illatum cancellis circumscripsi cf. 99,32 11 ὠφέλιμον in [illegible] 15 [illegible] scripsi: ὑπάρχει P δὲ scripsi: καὶ P 22 ὑπάρχει [illegible]ripsi: ὑπάρχειν P 23 τῇ prius scripsi: μὴ P 30 οὖν Phil.: om. P 32 ταῦτα P

γὰρ τὸ ἀγαθὸν οὐ πάσῃ ἡδονῇ, ὡς ἡ ὑπόθεσις, ἦν δὲ καὶ παντὶ τῷ ἀλύπῳ τὸ ἀγαθὸν· ταὐτὸν γὰρ τῷ σωματικῷ ἀγαθῷ τὸ ἄλυπον· τῷ δὲ σωματικῷ ἀγαθῷ παντὶ τὸ ἀγαθόν· ὥστε | συνάγεται τὸ ἄλυπον οὐ πάσῃ ἡδονῇ· ὑπέ- 141r
κειτο δὲ καὶ παντί, ὅπερ ἀδύνατον· ψευδὴς ἄρα ἡ ὑπόθεσις, ὅτι τὸ ἀγαθὸν
5 οὐ πάσῃ τῇ ἡδονῇ. ἀληθὲς δὲ τὸ παντί. ὁμοίως τὸ μερικὸν ἀποφατικὸν ἐδείκνυτο ταὐτοῦ ὄντος τοῦ ἀλλοτρίου τοῦ ἀγαθοῦ καὶ τοῦ, ᾧ ἕπεται ἡ ἡδονή, οἷον τὸ ἀγαθὸν οὐδενὶ παρανόμῳ ἀφροδισίῳ, τὸ παράνομον ἀφροδίσιον τινὶ ἡδονῇ, τὸ ἀγαθὸν ἄρα οὐ πάσῃ ἡδονῇ. πάλιν οὖν δείξομεν τοῖς αὐτοῖς ὅροις καὶ διὰ τοῦ ἀδυνάτου. λέγω γάρ, ὅτι τὸ ἀγαθὸν οὐ πάσῃ τῇ ἡδονῇ ὑπάρχει·
10 εἰ δὲ τοῦτο ψευδές, ἀληθὲς τὸ παντί. ἐπεὶ οὖν πάσῃ ἡδονῇ τὸ ἀγαθόν, ἡ δὲ ἡδονὴ παντὶ τῷ παρανόμῳ ἀφροδισίῳ, καὶ τὸ ἀγαθὸν ἄρα παντὶ παρανόμῳ ἀφροδισίῳ· ὑπέκειτο δὲ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ γὰρ ἀγαθὸν οὐδενὶ τῷ παρανόμῳ ἀφροδισίῳ· ταὐτὸν δὲ τὸ παράνομον ἀφροδίσιον τῷ, ᾧ ἕπεται ἡ ἡδονή· οὐκοῦν οὐδὲ τῶν ἀφροδισίων οὐδενὶ τὸ ἀγαθόν. ψεῦδος οὖν τὸ πάσῃ
15 τῇ ἡδονῇ τὸ ἀγαθὸν ὑπάρχειν· οὐκοῦν ἀληθὲς τὸ οὐ παντί. δυνατὸν δὲ καὶ ἐν δευτέρῳ σχήματι καὶ ἐν τρίτῳ τὸ ἀδύνατον ἀπαγαγεῖν, ἐν μὲν δευτέρῳ, ἐπεὶ τὸ ἀγαθὸν πάσῃ ἡδονῇ, τῶν δὲ παρανόμων ἀφροδισίων οὐδενί, καὶ ἡ ἡδονὴ ἄρα τῶν παρανόμων ἀφροδισίων οὐδενί· ὑπέκειτο δὲ καὶ παντί· ἐν δὲ τρίτῳ, ἐπειδὴ τὸ ἀγαθὸν τῇ ἡδονῇ πάσῃ, τὸ δὲ ⟨ἀφροδίσιον τινὶ ἡδονῇ, καὶ τὸ
20 ἀγαθὸν ἄρα τινὶ⟩ ἀφροδισίῳ· ὑπέκειτο δὲ καὶ οὐδενί.

Καὶ καθ' ἕκαστον δὲ πρόβλημα ἀντιστρέφουσιν ἀλλήλαις αἱ δείξεις αὗται· ὃ γὰρ δι' ἀδυνάτου δείκνυται, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς, καὶ ὃ δεικτικῶς, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ δι' ἀδυνάτου. ἐπεὶ οὖν δεικνύ-
μεθα τὴν δι' ἀδυνάτου, δεικτέον ἡμῖν τὸ αὐτὸ καὶ διὰ τῶν αὐτῶν καὶ δεικτι-
25 κῶς, οἷον εἰ τὴν καθόλου ἀπόφασιν ἐδείξαμεν δι' ἀδυνάτου ὑποθέμενοι τὸ ἀντικείμενον καὶ τούτῳ εὑρόντες τι ἀδύνατον ἀκολουθοῦν. λέγω δὴ τὸ ὠφέλιμον τινὶ ἡδονῇ ἀκολουθεῖν οὐδεμιᾷ | ὑπάρχον· ἐὰν τὸ ψευδὲς συμπέρασμα 141v
εἰς τὸ ἀληθὲς μεταλάβω, λέγω δέ, ὅτι τὸ ὠφέλιμον οὐδεμιᾷ ἡδονῇ, εἶτα προσθῶμεν τὴν ἑτέραν πρότασιν, ἥτις καὶ ἐν τῇ δι' ἀδυνάτου ὑπῆρχε, τὴν
30 ὅτι τὸ ὠφέλιμον παντὶ ἀγαθῷ, συνάγεται δεικτικῶς ἐν δευτέρῳ σχήματι, ὅτι τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ἀναληπτέον οὖν τὰ εἰρημένα, ἵνα δείξωμεν ἀντιστρεφούσας ἀλλήλαις τήν τε ἐπ' εὐθείας καὶ τὴν δι' ἀδυνάτου δεῖξιν. ἤδη μὲν οὖν πάλιν πρὸς τὴν δεικτικὴν ἀντιστρέφομεν τὴν δι' ἀδυνάτου· εἰ γὰρ δέδεικται δεικτικῶς διὰ τοῦ δευτέρου σχήματος, ὅτι τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ,
35 ἐὰν τὸ ἀντικείμενον τούτῳ λάβωμεν τὸ τινί, δείκνυμεν πάλιν τὸ αὐτὸ καὶ δι' ἀδυνάτου. εἰ γὰρ τινὶ ἡδονῇ ⟨τὸ⟩ ἀγαθόν, τὸ δὲ ὠφέλιμον παντὶ τῷ ἀγαθῷ, συνάγεται πάλιν ἐν πρώτῳ σχήματι τὸ ὠφέλιμον τινί ἡδονῇ· ἀλλ' ὑπέκειτο οὐδεμιᾷ· ψεῦδος ἄρα τὸ τινὶ τῇ ἡδονῇ τὸ ἀγαθόν· οὐκοῦν οὐδενί. δέδεικται οὖν διὰ τούτων, ὅτι ἀντιστρέφουσιν ἀμφότεραι αἱ δείξεις, ἥ τε δεικτικὴ καὶ
40 ἡ διὰ τοῦ ἀδυνάτου. καὶ διὰ τῆς αὐτῆς μεθόδου, λέγω δὴ τῶν ἑπομένων καὶ οἷς ἕπονται καὶ τῶν ἀλλοτρίων, ἀμφότεραι προέρχονται. ἐπεὶ δὲ ἐπὶ μόνης

7 οὐδενὶ scripsi: οὐδεμιᾷ P 8 ἄρα scripsi: ἔτι P cf. 106,8 13 τῷ Phil. f. 74r: τὸ P 14 πάσῃ scripsi: παντὶ P 19 τὸ (ante δὲ) scripsi: τῷ P ἀφροδίσιον . . . τινὶ (20) addidi (τὸ δὲ ᾱ τινὶ τῶν ᾱ, καὶ τὸ ᾱ ἄρα τινὶ τῶν ᾱ Phil.) 27 post ἐὰν add. δὲ Phil. 36 τὸ prius addidi

τῆς καθόλου ἀποφατικῆς τὸν λόγον ἐγυμνάσαμεν τῶν ἀντιστροφῶν, ἰστέον, ὡς [illegible] καὶ ἐπὶ τῶν ἑξῆς προβλημάτων συμβαίνει· ἐν ἅπασι γὰρ τοῖς δι' ἀδυνάτου δεικνύουσί τι συλλογισμοῖς δεῖ κοινόν τινα ὅρον ἕτερον ὄντα παρ' ἀμφοτέρους τοὺς ἄκρους ὅρους ⟨λαβεῖν⟩. κοινὸν δέ φημι οὐχὶ ἀντὶ τοῦ μέσου κοινωνίαν ἔχοντα πρὸς ἑκάτερον καὶ δι' αὐτοῦ τοὺς ἄκρους συνδέοντα, ἀλλὰ κοινόν φημι ἔν τε τῇ ἐπ' εὐθείας δείξει παραλαμβανόμενον τὸν αὐτὸν καὶ ἐν τῇ δι' ἀδυνάτου. οἱ οὖν ἐξ ἀρχῆς ὑποκείμενοι ὅροι, λέγω δὴ οἱ τοῦ προβλήματος, τό τε ἀγαθὸν καὶ ἡ ἡδονή, περὶ ὧν ἡ σκέψις, οἱ αὐτοὶ ἐν ἀμφοτέροις· δεῖ καὶ ἕτερόν τινα παρὰ τούτους ἐν ἀμφοτέραις τοῖς ἀποδείξεσι τὸν
10 αὐτὸν εὑρίσκεσθαι· σαφὲς ὡς ἐκ τῶν | αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις 142r
περαίνονται. ὅτι δὲ κοινός τις παρὰ τοὺς κειμένους ὅρους ἐν ἀμφοτέραις λαμβάνεται, δῆλον ἐντεῦθεν· καὶ γὰρ ἐν ταῖς προκειμέναις δείξεσι. τῇ τε ἐπ' [illegible] καὶ τὸ [illegible] ἀδυνάτου. ἔστι κοινὸς ὅρος τὸ Β, τὸ ἀγαθόν. οὗτος γὰρ [illegible] τῇ ἐπ' εὐθείας δείξεως ἀληθῶς ἀπεφάσκετο τοῦ Ε, τῆς ἡδονῆς, καὶ [illegible] ἐλάττονα πρότασιν· ἐπὶ δὲ τῆς δι' ἀδυνάτου κατεφάσκετο τοῦ Ε, τῆς ἡδονῆς, ἐν τῷ συμπεράσματι. πρὸς τοῦτον οὖν τὸν κοινὸν ὅρον τὸ ψευδὲς γίνεται συμπέρασμα· συνήγετο γὰρ ψευδῶς. ὅτι τὸ Β τινὶ τῶν Ε. ταύτης οὖν τῆς ψευδοῦς προτάσεως, ἥτις ἦν τῆς δι' ἀδυνάτου ἀπαγωγῆς συμπέρασμα, μεταληφθείσης εἰς τὴν ἀληθῆ, οἷον ἀντὶ τοῦ λέγειν, ὅτι τὸ ὠφέλιμον τινὶ
20 ἡδονῇ, ἵνα λάβω ὅτι οὐδεμιᾷ, ὅπερ καὶ ἐξ ἀρχῆς ὑπέκειτο, τῆς δὲ ἑτέρας προτάσεως φυλαττομένης, δηλονότι τῆς πρὸς τὸν μείζονα ὅρον τοῦ μέσου τῆς ὅτι παντὶ τῷ ἀγαθῷ τὸ ὠφέλιμον ὑπάρχει. οὕτως, φησίν. ἔσται δεικτικὸς ὁ δι' ἀδυνάτου συλλογισμός· τὸ γὰρ ὠφέλιμον παντὶ μὲν τῷ ἀγαθῷ, οὐδεμιᾷ δὲ ἡδονῇ· ὥστε καὶ τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ ὑπάρξει. διαφέρει δὲ ὁ δεικτικὸς τοῦ εἰς τὸ ἀδύνατον, ὅτι ἐν μὲν τῷ δεικτικῷ ἀμφότεραι αἱ προτάσεις ὡς ἀληθεῖς λαμβάνονται εἰς τὴν δεῖξιν τοῦ προκειμένου, ἐν δὲ τῷ δι' ἀδυνάτου ψευδὴς ἡ ἑτέρα λαμβάνεται, ἣν ὑποτίθενται οἱ δεικνύναι βουλόμενοι τὸ ἀντικείμενον ταύτης. ταῦτα μὲν οὖν ἐν τοῖς ἑξῆς, λέγω δὲ ἐν τῷ μετὰ τοῦτο βιβλίῳ, ἀκριβέστερον εἰσόμεθα. νῦν δὲ ἐκ τῶν εἰρημένων γνώριμόν ἐστιν, ὅτι δεῖ εἰς
30 ταὐτὰ βλέπειν, τά τε ἑπόμενα δηλονότι τοῖς ὅροις τοῖς τοῦ προβλήματος καὶ οἷς ἕπονται αὐτοὶ καὶ εἰς τὰ μὴ ἐνδεχόμενα αὐτοῖς ὑπάρχειν, ἄν τε δεικτικῶς τις βούληται συνάγειν, ἄν τε δι' ἀδυνάτου· διὰ γὰρ τῶν αὐτῶν ἐπιβλέψεων ἀμφοτέροις τοῖς τρόποις ἡ τῶν δείξεων εὐπορία.

Ἐν δὲ τοῖς ἄλλοις συλλογισμοῖς τοῖς ἐξ ὑποθέσεως, οἷον ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα ἦσαν τῶν ὑποθετικῶν, | οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ὑπο- 142v
κειμένοις ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις καὶ ἐπὶ τούτων ἡ ζήτησις ἔσται. [illegible] τῷ ὑποθετικῷ τῷ 'εἰ ἡ ψυχὴ ἀεικίνητος, ἀθάνατος, ἀλλὰ μὴν ἀεικίνητος' οὐκέτι τῶν ἐν τῇ πρώτῃ προτάσει τῇ ὑποθετικῇ ⟨τῇ⟩ 'εἰ ἡ ψυχὴ ἀεικίνητος, ἀθάνατός ἐστι' τὴν προειρημένην ἐκλογὴν ποιήσομεν ζητοῦντες,

---

4 λαβεῖν Phil. f. 74v: om. P 5 αὐτοῦ scripsi (ἑαυτοῦ Phil.): αὐτοῦ P 7 εἰ οὖν εἰ Phil. 9 post δεῖ add. δὲ Phil. 10 ὡς Phil.: ὥστε P παρὰ scripsi: περὶ P ὁ περὶ Phil.) 13 τὸ ἀγαθὸν in marg. add. P¹ 25 ὅτι ἐν . . . διαίρεσιν (110,25) Al. [illegible] 26 λαμβάνεται Al. 322,25: λέγεται P 30 ταὐτὰ P 31 ὑπάρχειν superscr. P¹: ὑπάρχουσιν P² 37 τῷ (ante εἰ) Al. 324,6: τὸ P 38 τῇ Al. 324,7: om. P

τίνα ἕπεται τῷ ἀεικίνητον εἶναι τὴν ψυχήν, καὶ τίσι τοῦτο ἕπεται, καὶ τίνα οὐχ οἷά τε ὑπάρχειν αὐτῷ· ὁμοίως οὐδὲ τῷ ἀθάνατον εἶναι τὴν ψυχήν· ἀλλὰ ληψόμεθα τοὺς ἐν τῇ μεταλήψει ἢ προσλήψει ὅρους (εἰσὶ δὲ οὗτοι ἥ τε ψυχὴ καὶ τὸ ἀεικίνητον), καὶ ἐπὶ τούτων τὴν προειρημένην ἐκλογὴν ποιησόμεθα· τοῦτο γάρ ἐστι τὸ ὀφεῖλον δειχθῆναι διὰ συλλογισμοῦ. ἂν γὰρ ληφθῇ τῷ μὲν αὐτοκινήτῳ καὶ ἐξ αὐτοῦ κινουμένῳ ἕπεσθαι τὸ ἀεικίνητον, τῇ δὲ ψυχῇ τὸ αὐτοκίνητον, εἴη ἂν δεικνύμενον τὸ τὴν ψυχὴν ἀεικίνητον εἶναι. λέγω δὲ κατὰ μετάληψιν μὲν τοὺς κατὰ πρόσληψιν λεγομένους, οἱ εἰσι μικτοί, κατὰ ποιότητα δὲ τοὺς ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίου δεικνύντας, ἐπειδὴ ταῦτα, τὸ ὅμοιον καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, [δεικνύντας, ἐπειδὴ ταῦτα, τὸ ὅμοιον καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον] τῷ ποιῷ παρακολουθεῖ, οἷ καὶ αὐτοὶ γίνονται κατὰ μετάληψιν· καὶ γὰρ καὶ ἐπὶ τῶν οὕτως δεικνυμένων ἄλλο μὲν ὑποτίθεται, ἄλλου δὲ ἡ δεῖξις καὶ ὁ συλλογισμὸς γίνεται, ὃ καὶ αὐτὸ μεταλαμβανόμενον λέγω. ὁ γὰρ δεικνύς, ὅτι μή ἐστιν ἐν τῷ πλουτεῖν τὸ εὐδαιμονεῖν, διὰ τοῦτο, ὅτι μηδὲ ἐν τῷ ὑγιαίνειν, ὑποτίθεται μὲν 'εἰ ὃ μᾶλλον ἂν δόξαι αὔταρκες εἶναι πρὸς εὐδαιμονίαν, τοῦτο μή ἐστιν αὔταρκες, οὐδὲ τὸ ἧττον ἐκείνου εἴη ἂν αὔταρκες'· ὑγεία δὲ πλούτου μᾶλλον δοκοῦν εἶναι αὔταρκες πρὸς εὐδαιμονίαν οὐκ ἔστιν αὔταρκες· οὐδ' ἄρα ὁ πλοῦτος. τὸ μὲν μὴ εἶναι τὸν πλοῦτον αὐτάρκη πρὸς εὐδαιμονίαν, εἴ γε μηδὲ ὑγίεια, ὑπόκειται. δειχθείη δ' ἂν διὰ | συλλογισμοῦ, ὅτι μηδὲ ὑγίεια πρὸς εὐδαιμονίαν αὔταρκες, οὕτως· 143r
ὑγιαίνουσί τινες κακίαν ἔχοντες, οὐδεὶς κακίαν ἔχων εὐδαιμονεῖ, οὐκ ἄρα οἱ ὑγιαίνοντες εὐδαιμονοῦσιν, οὐκ αὐτάρκης ἄρα ἡ ὑγίεια πρὸς εὐδαιμονίαν. ἔστι καὶ οὕτως δεῖξαι· ἡ ὑγίεια οὐκ ἔστιν αὐτάρκης πρὸς τὸ ζῆν ἀναμαρτήτως. ἡ εὐδαιμονία αὐτάρκης ἐστὶ πρὸς τὸ ζῆν ἀναμαρτήτως⟩, ἡ ὑγίεια ⟨ἄρα⟩ οὐκ ἔστιν αὐτάρκης πρὸς εὐδαιμονίαν. ἢ οὕτως· ἐν τῷ ὑγιαίνειν οὐκ ἐσμὲν ἀναμάρτητοι· ἐν δὲ τῷ εὐδαιμονεῖν ⟨ἀναμάρτητοί ἐσμεν· οὐκ ἄρα ἐν τῷ ὑγιαίνειν⟩ τὸ εὐδαιμονεῖν. δεῖ οὖν τὰς προειρημένας ἐκλογὰς ποιεῖσθαι τῆς τε ὑγιείας καὶ τοῦ αὐτάρκους πρὸς εὐδαιμονίαν· ταῦτα γὰρ τὰ δεικνύμενα διὰ συλλογισμοῦ. καὶ ἔστιν ἡ δεῖξις γεγονυῖα διὰ τοῦ τὸ ἑπόμενον τῇ εὐδαιμονίᾳ, ὅ ἐστι τὸ ἀναμάρτητον, μὴ ὑπάρχειν τῇ ὑγείᾳ. καὶ τοιοῦτοι μὲν οἱ ἀπὸ τοῦ μᾶλλον ὄντες ἀνασκευαστικοί. οἱ δὲ ἀπὸ τοῦ ἧττόν εἰσι μὲν ἔμπαλιν ἔχοντες τούτοις (κατασκευαστικοὶ γάρ εἰσιν), ἔχουσι δὲ οὕτως· εἰ τὸ ἧττον ἀγαθὸν ἀγαθόν ἐστι, καὶ τὸ μᾶλλον ἀγαθὸν ἀγαθὸν ἂν εἴη· ἀλλὰ μὴν ἡ ὑγίεια ἀρετῆς ἧττον οὖσα ἀγαθὸν ἀγαθόν ἐστι· καὶ ἡ ἀρετὴ ἄρα. πάλιν γὰρ καὶ ἐνταῦθα ὁ συλλογισμὸς τοῦ ὅτι ἡ ὑγίεια ἀγαθὸν δεικτικῶς, ἐξ ὑποθέσεως ⟨δὲ⟩ τούτου δειχθέντος λαμβάνεται ἡ ἀρετὴ ἀγαθὸν εἶναι. τούτων οὖν δεῖ ποιεῖσθαι τὴν ἐκλογήν, ἥτις ἔσται λαβόντων ἡμῶν τὸ μὲν ἀγαθὸν ἕπεσθαι τῷ κατὰ φύσιν, τὸ δὲ κατὰ φύσιν τῇ ὑγιείᾳ πάλιν. ὁ δὲ ἀπὸ τοῦ ὁμοίου πρὸς ἄμφω χρήσιμος, καὶ πρὸς ἀνασκευὴν καὶ πρὸς κατασκευήν· τῶν γὰρ ὁμοίως ἐχόντων τι εἰ

11 ποιῷ Al. 324,21: ποιεῖ P 15 τοῦτο P: τοῦ Al. 324,25 17 δοκοῦν Al. 324,28: δοκεῖ P 22 ἄρα Al. 324,33: ἐστὶν P cf. 107,8 24 ἡ εὐδαιμονία . . . ἀναμαρτήτως Al. 324,34. 35: om. P ἄρα Al.: om. P 26 ἀναμάρτητοί . . . ὑγιαίνειν Al. 324,37: om. P 35 δὲ Al. 325,1: om. P

θάτερον ἔχει αὐτό. καὶ θάτερον ἂν ἔχοι. καὶ εἰ μὴ ἔχοι πάλιν θάτερον, οὐδ' ἂν τὸ ἕτερον ἔχοι. καὶ ἔστι τὸ μὲν δεικνύμενον διὰ συλλογισμοῦ καὶ ἐπὶ τούτων ⟨τὸ⟩ ἕτερον· τὸ δὲ ἕτερον ἐξ ὑποθέσεως τὴν δεῖξιν λαμβάνει καὶ διὰ τὴν ὑπόθεσιν. ἐκείνου οὖν δεῖ ποιεῖσθαι τὴν ἐκλογήν. οἷον εἰ ὁμοίως οὖσα ἡ εὐγένεια τῷ | πλούτῳ αἱρετὸν ἀγαθόν ἐστι, καὶ ὁ πλοῦτος ἀγαθόν· ἡ δὲ 143r
εὐγένεια ὁμοίως οὖσα αἱρετὴ τῷ πλούτῳ ἀγαθόν ἐστι. τοῦ γὰρ τὴν εὐγένειαν ἀγαθὸν εἶναι ὁ συλλογισμός. τὰ δ' ἄλλα ὑπόκειται. ὅτι δὲ ἡ εὐγένεια ἀγαθόν, δεικνύοιτ' ἂν διὰ τῆς ἐκλογῆς, εἰ ληφθείη τὸ μὲν ἀγαθὸν ἕπεσθαι τῷ αἱρετῷ (πᾶν γὰρ αἱρετὸν ἀγαθόν), τῇ δὲ εὐγενείᾳ τὸ αἱρετόν· ἡ γὰρ εὐγένεια αἱρετόν. οὐκοῦν καὶ ἐπὶ τῶν τοιούτων συλλογισμῶν, οὓς κατὰ ποιότητα λέγειν ἡμῖν ἔθος, ἐπὶ τῶν κατὰ μετάληψιν ὁ συλλογισμὸς ἀλλ' οὐ τῶν ὑποκειμένων γίνεται ἀλλὰ τῶν μεταλαμβανομένων. τούτων οὖν χρὴ καὶ τὴν ἐκλογὴν ποιεῖσθαι. τὸ δὲ 'ἐν τοῖς ὑποκειμένοις' εἴρηται ἡμῖν ἀντὶ τοῦ 'περὶ τῶν ὑποκειμένων'· ἔστι γὰρ τὸ λεγόμενον 'ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα περὶ τῶν ὑποκειμένων δεικνύουσιν'. ἐπὶ δὴ τούτων ἔσται ἡ σκέψις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις, ἐπεὶ καὶ ὁ συλλογισμὸς τούτων. ἡ δὲ σκέψις καὶ ἡ ἐκλογὴ καὶ ἐπὶ τούτων ἡ αὐτὴ ἔσται, ὁποίαν [illegible] ὑπεμνήσθημεν.

Ἐπισκέψασθαι δὲ δεῖ καὶ διελεῖν, ποσαχῶς οἱ ἐξ ὑποθέσεως· πάντες γὰρ ὑποπίπτειν δύνανται τῇ ἐκκειμένῃ τῶν ὅρων ἐκλογῇ τε καὶ τῇ δι' αὐτῶν δείξει. εἰ δὲ ἐπισκέπτοιτό τις αὐτοὺς καὶ διέλοι, εὑρήσει τοῦτο οὕτως ἔχον. εἰπὼν γὰρ τούς τε κατὰ μετάληψιν καὶ τοὺς κατὰ ποιότητα δεῖν φημι ἐπισκέψασθαι καὶ τοὺς ἄλλους τοὺς ἐξ ὑποθέσεως· ἐξ ὑποθέσεως γὰρ καὶ οἱ διαιρετικοὶ καὶ οἱ ἐξ ὁμολογίας. δεῖν οὖν φημι τῶν ἐξ ὑποθέσεων προσεχεστέραν ποιεῖσθαι τὴν διαίρεσιν.

Δυνατὸν δὲ ἔνια τῶν προβλημάτων, λέγω δὲ τὰ καθόλου, καὶ ἄλλως συλλογίσασθαι, λέγω δὲ ἐξ ὧνπερ καὶ τὰ μερικὰ συνελογισάμεθα, τὸ μὲν καθόλου καταφατικὸν διὰ τῶν, οἷς ἕπονται ἀμφότεροι οἱ ὅροι (διὰ τούτων γὰρ τὸ μερικὸν καταφατικὸν ἐδείκνυτο), τὸ δὲ καθόλου ἀποφατικὸν | διὰ τῶν ἀλλο- 144r
τρίων τοῦ κατηγορουμένου καὶ τῶν, οἷς ἕπεται ὁ ὑποκείμενος· διὰ τούτων γὰρ τὸ μερικὸν ἀποφατικὸν ἐδείκνυτο. πῶς οὖν διὰ τούτων συλλογισόμεθα τὰ καθόλου; οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὑποθέσεως· ἐξ ὑποθέσεως δὲ λέγω οὐχ ὅτι τι ὑποθετικῶς ἀλλ' ὅτι καθ' ὑπόθεσιν λαμβανόντων τι ἡμῶν. τί οὖν τοῦτό ἐστιν; ἐλέγομεν ἐξ ἀρχῆς, ὅτι οὐ μόνον τὰ κατ' οὐσίαν ὑπάρχοντα τοῖς πράγμασιν ἐκλέγειν δεῖ ἀλλὰ καὶ τὰ ἴδια. ἐὰν οὖν ὑποθώμεθα ἐν τοῖς ὑποκειμένοις τῇ ἡδονῇ ἴδιόν τι εἶναι, ἐπειδὴ τὸ ἴδιον ἀντιστρέφει πρὸς τό, οὗ ἴδιόν ἐστι, οἷον εἰ τὸ Ε τῷ Η παντί, καὶ τὸ Η παντὶ τῷ Ε· ἐπεὶ οὖν τὸ μὲν Α παντὶ τῷ Γ, ταὐτὸν δὲ εἰπεῖν τῷ Η, τὸ δὲ Η παντὶ τῷ Ε, οὐκοῦν καὶ τὸ Α πάντως τῷ Ε παντί. πάλιν εἰ τὸ Α τῷ Δ οὐδενί, ταὐτὸν δὲ εἰπεῖν

3 τὸ prius Al. 325,14: om. P 10 τοιούτων Al. 325,22: πλούτων P 11 post ὡς addidi ὡς omisso ἀλλ' (a) cum B Al. 325,22. 23 13 τοῖς Al. 325,25: οἷς P 15 ἐπὶ δὴ Al. 325,27: ἐπεὶ δὴ P (B pr.) 21 ἐπισκέπτοιτο Al. 325,35: ἐπισκέπτοι P 26 δυνατὸν . . . ἐπὶ τούτων (111,17) Phil. f. 75r—75v 37 καὶ τὸ . . . ε̄, quae post τῷ ε (vs. 38) habet P, transposui 39 ε̄ Phil.: α P

τῷ Η, τὸ δὲ Η παντὶ τῷ Ε. καὶ τὸ Α οὐδενὶ τῷ Ε. τὸ αὐτὸ δηλονότι ποιοῦσι καὶ οἱ ὁρισμοὶ ἀντιστρέφοντες πρὸς τὸ ὁριστόν.

Ἐπεὶ δὲ ὡς ἐπὶ ὑπαρχουσῶν προτάσεων ἐγυμνάσαμεν τὸν λόγον, ἰστέον, ὡς ὅσα εἴρηται περὶ τῶν ὑπαρχουσῶν, ταῦτα καὶ περὶ τῶν ἀναγκαίων καὶ τῶν ἐνδε-
5 χομένων λέγειν ἔχομεν. οὕτω γὰρ δεῖ τάς τε ἐκλογὰς αὐτῶν ποιεῖσθαι καὶ τὰς ἐπιβλέψεις καθ' ἕκαστον πρόβλημα ἐπισημειουμένους, τί μὲν ἀναγκαίως ὑπάρχει, τί δὲ ἀδυνάτως· τοσοῦτον γὰρ μόνον διοίσει τοῦ ἐνδεχομένου τὸ ὑπάρχον τῷ πρότερον εἶναι κατὰ τὴν τάξιν τὸ ὑπάρχον διὰ τὸ τὸ μὲν ἐκβεβηκέναι τὸ δὲ μέλλειν. οὕτως γὰρ τούτων ἐκλεγομένων συνάξομεν ἐκ μὲν τῶν ἀναγκαίων προτάσεων
10 ἀναγκαῖον, ἐκ δὲ τῶν ἐνδεχομένων ἐνδεχόμενον. ἐπεὶ δὲ λέγεται ἐνδεχόμενον καὶ ὃ ὑπάρχει μὲν ἤδη, ἐνδεχομένως δ' ὑπάρχει καὶ οὐκ ἀναγκαίως, λέγεται δὲ ἐνδεχόμενον καὶ ὃ μήπω μὲν ὑπάρχει, δυνατὸν δὲ καὶ ὑπάρξαι, ὅπερ κυρίως ἐστὶν ἐνδεχόμενον (ἐκεῖνο γὰρ ὑπάρχον ἦν), εἰς τὰς ἐνδεχομένας προτάσεις | παρα- 141v
λεπτέον καὶ τοῦτο τὸ ἐνδεχόμενον, ὅπερ καὶ κυρίως ἐστὶν ἐνδεχόμενον. ὁμοίως δ'
15 ἔχει καὶ ἐπὶ τῶν λοιπῶν τρόπων, τοῦ σαφῶς, τοῦ καλῶς, τοῦ ὠφελίμως, τοῦ ἐπαινετῶς, καὶ τῶν τοιούτων. ἡ αὐτὴ οὖν μέθοδος τῆς εὐπορίας καὶ ἐπὶ τούτων.

Φανερὸν οὖν ἐκ τῶν εἰρημένων οὐ μόνον ἐνδέχεσθαι τοὺς συλλογισμοὺς πάντας γίνεσθαι κατὰ τὴν εἰρημένην μέθοδον, ἀλλὰ καὶ ὅτι δι' ἄλλης μεθόδου ἀδύνατον. πᾶς μὲν γὰρ συλλογισμὸς διά τινος τῶν τριῶν σχημάτων γίνεται·
20 αἱ γὰρ λαμβανόμεναι προτάσεις συλλογιστικῶς κατά τι τῶν σχημάτων τούτων λαμβάνονται· τὰ δὲ σχήματα ταῦτα καὶ τὰς κατ' αὐτὰ συζυγίας οὐχ οἷόν τε ἐξ ἄλλων συνίστασθαι ἢ ἐκ τῶν ἑπομένων τε αὐτοῖς καὶ τῶν, οἷς ἕπεται αὐτά, καὶ τῶν μὴ ὑπαρχόντων αὐτοῖς. ἐκ τούτων γὰρ ὁ μέσος λαμβάνεται· τὸ μὲν γὰρ καθόλου καταφατικὸν ἐκ τῶν ἑπομένων καὶ οἷς ἕπεται, τὸ δὲ
25 καθόλου ἀποφατικὸν ἐκ τῶν ὑπαρχόντων καὶ μὴ ὑπαρχόντων· τὰ δὲ ἐπὶ μέρους, τό τε καταφατικὸν καὶ τὸ ἀποφατικόν, ἐκ μὲν τῶν, οἷς ἕπεται αὐτά, τὸ καταφατικόν, ἐκ δὲ τῶν, οἷς ἕπεται ταῦτα, καὶ τῶν μὴ ὑπαρχόντων τὸ ἀποφατικόν. οὐκ ἂν δὲ ταῦτα λέγοιμι περὶ οὗ ὅλου ὑποθετικῶν, ὅτι μηδὲ κυρίως ἡγοῦμαι τοὺς τοιούτους εἶναι συλλογισμοὺς οὐδεμιᾶς ὑπάρξεως ὄντας δεικτικοὺς ἀλλὰ
30 [καὶ] ἀκολουθίας μόνον· οἷον εἰ ἄνθρωπος, καὶ ζῶον, εἰ ζῶον καὶ οὐσία, εἰ ἄνθρωπος ἄρα, καὶ οὐσία. ἡ μὲν οὖν πρὸς τὸ συλλογίζεσθαι ὁδός τε καὶ μέθοδος ἡ αὐτὴ ἐν πάσαις ἐπιστήμαις τε καὶ τέχναις ταῖς διὰ συλλογισμοῦ ἀποδεικνυούσαις τι τῶν οἰκείων, εἴ γε ἐκ τῶν εἰρημένων ἐπιβλέψεων πᾶς συλλογισμός. καὶ φιλοσόφῳ δὴ καὶ ἰατρῷ καὶ ῥήτορι καὶ μουσικῷ καὶ παντὶ
35 συλλογιζομένῳ τι ἀναγκαία ἡ προειρημένη μέθοδός τε καὶ ὁδός· διὰ γὰρ ταύτης ἡ τῶν προτάσεων | εὕρεσις, καθ' ἃς ὁ συλλογισμός. πάντας γὰρ 152r
τοὺς συλλογιζομένους δεῖ ἐπιβλέπειν εἴς τε τὰ ἕπομενα τούτοις, περὶ ὧν συλλογίζονται, καὶ τά, οἷς ἕπεται ταῦτα, καὶ εἰς τὰ μὴ ὑπάρχοντα αὐτοῖς καὶ ταῦτα ὡς ὅτι πλεῖστα ἐκλέγειν καὶ εὐπορεῖν αὐτῶν ⟨καὶ⟩ ἔχειν πρόχειρα.
40 δεῖ γάρ, ὡς ἔφθημεν εἰπόντες, τὰ ὑπάρχοντα καὶ οἷς ὑπάρχει περὶ ἕκαστον

7 ἀδυνάτως P: ἐνδεχομένως Phil. f. 75v 17 φανερὸν sqq. Al. 330,17 sqq. fort. ὅτι (Arist.) ἐνδέχεται scribendum 25 τῶν ὑπαρχόντων . . ὑπαρχόντων Al. 330,25: τοῦ ὑπάρχειν . . ὑπάρχειν P 28 post περὶ add. τῶν Al. 330,28 30 καὶ prius om. Al. 330,30 39 πλεῖστα Al. 331,5: πλεῖστον P καὶ alterum Al.: om. P

ἀθροῖν, ἵνα ἐφ' ἑκατέρου τῶν ὅρων ζητῶμεν ἀμφότερα, καὶ τὰ ἑπόμενα
(καὶ οἷς ἕπεται, καὶ μὴ τοῦ μὲν τὰ ἑπόμενα) μόνον ἐκλέγωμεν τοῦ
δὲ τά, οἷς ἕπεται, καὶ ταῦτα ἐν τοῖς τρισὶν ὅροις, ἐξ ὧν ὁ συλλογισμὸς γίνε-
ται, συντιθέναι, ἄλλως μὲν ἀνασκευάζοντα, ἄλλως δὲ κατασκευάζοντα. ὑπέ-
γραψε γὰρ, πῶς χρὴ καθ' ἕκαστον πρόβλημα τὰς προτάσεις λαμβάνειν· οὔτε
γὰρ ὁμοίως οὔτε ἐκ τῶν αὐτῶν αἰεί, ἀλλ' ἄλλοτε μὲν ⟨ἐκ τῶν, οἷς ἀμφότερα
ἕπεται, ἄλλοτε δὲ τοῦ μέν, οἷς ἕπεται, τοῦ δὲ ἐκ τῶν ἑπομένων αὐτῷ, ἄλλοτε
δὲ τοῦ μὲν⟩ τὸ μὴ ὑπάρχον ληπτέον, τοῦ δὲ τῶν ἑπομένων τι, ποτὲ δὲ τοῦ
μὲν τὸ μὴ ὑπάρχον ληπτέον, τοῦ δὲ ᾧ αὐτὸ ἕπεται. δῆλον δέ, ὡς καὶ αὐτὴ
10 ἡ διαφορὰ τῶν συλλογισμῶν ἐκ τῆς διαφορᾶς τῶν ἐκλελεγμένων γένοιτο ἄν.
ἐκ μὲν γὰρ τῶν ἀληθῶν λημμάτων ἀληθεῖς οἱ συλλογισμοὶ μόνον· ἂν δὲ καὶ
οἰκεῖα ᾖ καὶ πρῶτα τὰ ἐκλελεγμένα, ἀποδεικτικοί. ἀληθεῖς μὲν οὖν καὶ ἀπο-
δεικτικοὶ οἱ ἐκ γένους, ἐκ διαφορᾶς, ἐξ ἰδίου, ἐξ ὁρισμοῦ, ἐξ ἀντιστροφῆς. ἂν δὲ
ᾖ ⟨διὰ⟩ τῶν πρὸς δόξαν, τουτέστι διὰ τῶν ἐνδόξων, διαλεκτικοί. ἡ δὲ τῶν ἐνδόξων
προτάσεων ἐκλογὴ ὁποία τίς ἐστιν, εἴρηται ἡμῖν ἐν τῷ πρώτῳ τῶν Τοπικῶν
ἐπὶ πλέον, ὥσπερ οὖν καὶ ἡ τῶν ἀποδεικτικῶν ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς.

Αἱ δὲ ἀρχαὶ τῶν συλλογισμῶν, τουτέστιν αἱ προτάσεις, καθόλου μὲν καὶ
κοινῶς εἴρηται, πῶς ληπτέον αὐτὰς καὶ τίνα τίσι συγκριτέον τῶν ἐκλελεγμένων,
βουλομένοις ἢ καθόλου καταφατικὴν ⟨ἢ καθόλου ἀποφατικὴν⟩ ἢ ἐπὶ μέρους
20 πρότασιν λαβεῖν. οὔτε γὰρ εἰς τὰ αὐτὰ αἰεὶ οὐδὲ ἐν τοῖς αὐτοῖς τὴν ζήτησιν καὶ
τὴν σύγκρισιν ποιησόμεθα, ἀλλ' ὃν εἰσηγησάμεθα τρόπον. δεῖ δὲ καθ' ἕκαστον
τῶν ὄντων ἐκλέγειν | προχειριζομένους, τίνα τε ἑπόμενα αὐτῷ ἢ τίσιν ἕπεται, τίνα 152ᵃ
δὲ μὴ ἐνδεχόμενα ὑπάρχειν αὐτῷ, οἷον τίνα τῷ ἀγαθῷ ἕπεται, τίσι τὸ ἀγαθόν,
τίνα οὐχ ἕπεται τῷ ἀγαθῷ, πάλιν τίνα ἐπιστήμῃ ἕπεται, τίσιν ἐπιστήμη, τίνα οὐχ
25 ὑπάρχει τῇ ἐπιστήμῃ, καὶ καθ' ἑκάστην ἐπιστήμην τὰ ἑκάστῃ αὐτῶν οἰκεῖα· καθ'
ἑκάστην γὰρ ἐπιστήμην ἢ ἐν ταῖς πλείσταις τῶν ἐπιστημῶν ἴδιά ἐστι τά τε ἑπό-
μενα καὶ τά, οἷς ἕπεται, καὶ τὰ μὴ ὑπάρχοντα. τὸ δὲ 'ἐν ταῖς πλείσταις' προστε-
θείκαμεν, ὅτι ἔστι τινὰ καὶ κοινὰ ἀξιώματα, οἷς προσχρώμεθα πρὸς πάντα τὰ
δεικνύμενα, ὡς τὸ κατὰ παντὸς τὴν ἀπόφασιν ἢ τὴν κατάφασιν καὶ τὸ ἂν ἀπὸ
30 ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ καταλειπόμενα ἴσα εἶναι· τοῦτο γὰρ καὶ ἐπὶ ⟨μεγεθῶν
καὶ ἐπ' ἀριθμῶν καὶ ἐπὶ χρόνων καὶ ἐπὶ⟩ δυνάμεων ὁμοίως ἀληθές. ἀλλὰ κοινὰ
μὲν ταῦτα. ἰδία δὲ τοῦ μὲν δικαίου τὸ καλὸν ἀρχή, τοῦ δ' ἀθανάτου φέρ'
εἰπεῖν τὸ αὐτοκίνητον· ἄλλου δὲ ἄλλο τι οἰκεῖον. διό, φαμέν, τὰς προτάσεις
τὰς οἰκείας ἑκάστῃ ἐπιστήμῃ τοῦ καθ' ἕκαστα ἐπιστήμονός ἐστιν ἐκλέξαι
ἐκ λόγων οἰκείων· ἐκ γὰρ τῶν οἰκείων ἑκάστῳ γνωρίζεται ὑπὸ τῶν περὶ αὐτὰ
καταγινομένων καὶ ἐμπείρων. ἐκ γὰρ τούτων αἱ περὶ ἑκάστου ἀποδείξεις· ἐκ
γὰρ τῆς τῶν καθέκαστα πείρας ἡ τοῦ καθόλου γνῶσις, ὅ ἐστιν ἀρχή. τὸ μὲν

1 ἑκατέρου Al. 331,7: ἑκατέρους P 2 καὶ οἷς ... ἑπόμενα Al. 331,8: om. P
6 αὐτῶν Al. 331,13: ἄλλων P ἄλλοτε Al. 331,14: ἄλλο τι P ἐκ ... τοῦ μὲν (8)
Al. 331,14. 15: om. P 9 ᾧ Al. 331,17: ὡς P 13 ἀντιστροφῆς P: αἰτίου Al. 331,21
14 ἡ διὰ Al. 331,21: ἡ P 15 προτάσεων ex πρότασις corr. P² 18 εἴρηνται Arist.,
sed εἴρηται Al. 331,27 19 ἢ .. ἀποφατικὴν Al. 331,28: om. P 30 μεγεθῶν ... καὶ
ἐπὶ (31) Al. 332,16 31 δυνάμεων Al.: δυναμένων P 32 δ' ἀθανάτου Al. 332,18: δὲ
θανάτου P 33 αὐτοκίνητον ex αὐτὸ κίνησιν corr. P² ἄλλου δὲ] ἀλλ' οὐδὲ P
35 ἐκ λόγων B (P): ἐκλογῶν a Al. 332,20

οὖν ἐκλέγειν, τίνα οἰκεῖα καὶ τίνα μὴ τῶν ὑποκειμένων ὅρων, τῶν περὶ ἕκαστον ἐμπείρων τε καὶ εἰδημόνων ἴδιον· τὸ δὲ ταῦτα λαβόντα ἐξ αὐτῶν τούς τε συλλογισμοὺς τοὺς οἰκείους καὶ τὰς ἀποδείξεις ποιεῖσθαι τοῦ συλλογιστικοῦ τε καὶ τοῦ ἀποδεικτικοῦ. μηδενὸς γὰρ ἐνδέοντος κατὰ τὴν ἱστορίαν
5 ἀλλὰ πάντων ἐκλελεγμένων ⟨ὁ⟩ συλλογιστικός τε καὶ ἀποδεικτικός, ὧν μὲν ἐνδέχεται ἀπόδειξιν γενέσθαι, ταῦτα ἀποδείξει, ὧν δὲ μὴ οἷόν τε ἀπόδειξιν γενέσθαι, τοῦτ' αὐτὸ δῆλον ποιήσει, ὅτι μὴ οἷόν τε ἀποδεῖξαι. εἴη δ' ἂν τοιαῦτα τά τε πρῶτα, οἷς οὐδὲν ἕπεται (τὸ γὰρ καθόλου καταφατικὸν ἐπὶ τούτων ἢ καθόλου ἀποφατικὸν οὐχ οἷόν τε συλλογίσασθαι μηδενὸς | ἑπομένου· κατ' 153r
10 ἄλλων δὲ αὐτὰ συλλογιζόμεθα, ἀλλ' οὐ τῶν προσεχῶν)· ἀλλὰ καὶ οἱ ὁρισμοί· οὐδὲ γὰρ τούτων οἷόν τε γενέσθαι ἀπόδειξιν, ὡς δείξομεν. ἀλλ' οὐδὲ τῶν ἀτόμων ὡς ὑπαρχόντων τισὶν ἀπόδειξις ἔσται. ἀλλ' οὐδὲ ὧν μὴ οἷόν τε λαβεῖν ταὐτά τινα ἑπόμενα ἢ ἐν τοῖς, οἷς ἕπεται, ἡγουμένων τῶν, οἷς ἕπεται, τούτων δὲ ἑπομένων αὐτοῖς ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. καθόλου μὲν οὖν
15 καὶ ὁλοσχερέστερον ἐνταῦθα παραδεδώκαμεν τὴν μέθοδον τῆς εὐπορίας τῶν προτάσεων· μερικώτερον δὲ καὶ ἀκριβέστερον ἐν τοῖς Τόποις περὶ τούτων διειλήφαμεν. εἴρηται γὰρ ἡμῖν ἐν ἐκείνῃ τῇ πραγματείᾳ περὶ ἐκλογῆς προτάσεων καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τελευταίῳ τῶν εἰς ἕκαστον ἡμῖν χρησιμευουσῶν πρόβλημα, ἐν μὲν τῷ πρώτῳ ἐν οἷς ἐλέγομεν "τὰ δὲ ὄργανα, δι' ὧν
20 εὐπορήσομεν τῶν συλλογισμῶν, εἰσὶ τέσσαρα, ἓν μὲν προτάσεις λαβεῖν", ἐν δὲ τῷ τελευταίῳ ἐν οἷς ἐλέγομεν "περὶ τάξεως δὲ καὶ τοῦ ἐρωτηματίσαι λεκτέον διελόμενον τὰς προτάσεις, ὅσαι ληπτέαι παρὰ τὰς ἀναγκαίας· ἀναγκαῖαι δ' εἰσί, δι' ὧν ὁ συλλογισμός".

Ὅτι δὲ ἡ διαιρετικὴ μέθοδος, ᾗ ἐχρῶντο οἱ πρὸ ἡμῶν πρὸς τὴν προτά-
25 σεων εὕρεσιν καὶ τὴν τῶν οἰκείων ὅρων τοῦ ζητουμένου λῆψιν διὰ τῆς τῶν γενῶν διαιρέσεως, μικρὸν μέρος ἐστὶ τῆς ὑφ' ἡμῶν εἰρημένης τε καὶ παραδεδομένης συλλογιστικῆς μεθόδου, ῥᾴδιον ἰδεῖν. μικρὸν μὲν οὖν μόριον τῆς ἡμετέρας μεθόδου τὴν διαιρετικὴν εἶπον, ὅτι δὴ καὶ αὐτὴ λαμβάνειν τὰ τῷ ζητουμένῳ ἑπόμενα καὶ διὰ τούτων πειρᾶταί τι δεικνύναι. τὰ γὰρ γένη λαμ-
30 βάνουσα τῶν προκειμένων, ἅπερ ἐστὶν ἑπόμενα αὐτοῖς, τούτων ποιεῖται τὴν διαίρεσιν, ζητοῦσα πάλιν καὶ λαμβάνουσα τῶν ἐκ τῆς διαιρέσεως τίνα ἕπεται τὰ τούτοις ἑπόμενα, ὡς δείξουσα, τί τῶν ἐκ τῆς τοῦ γένους διαιρέσεως ἕπεται τῷ ὑποκειμένῳ, οὗ τὸ γένος ἐλήφθη, οὐ μὴν δεικνύουσα, ὡς προϊὼν ὁ λόγος δείξει. καθ' ὅσον μὲν οὖν τὰ ἑπόμενα τῷ γένει τίθησί τε καὶ ἐκλέγει καὶ
35 ταῦτα δείκνυσι καὶ τούτῳ ἑπόμενα, ᾧ καὶ τὸ γένος ἕπεται, καὶ ὅλως καθ' | ὅσον συλλογίζεταί τι, μόριόν τι ἂν εἴη τῆς ἡμετέρας μεθόδου. οὔτε γὰρ ἔτι 153v
τά, οἷς ἕπεται τὸ ὑποκείμενον, ζητεῖ οὔτε τὰ μὴ ὑπάρχοντα αὐτῷ, ἀλλ' οὐδὲ τὰ ἑπόμενα τῷ κατηγορουμένῳ, οὐδ' ὅσα μὴ ὑπάρχει αὐτῷ, ἀλλ' οὐδὲ τά, οἷς ἕπεται ὁ κατηγορούμενός τε καὶ ὁ ὑποκείμενος, δι' ὧν τά τε ἐπὶ μέρους

2 τὸ Al. 332,25: τὸν P 5 ὁ Al. 332,27: om. P 14 καθόλου ... διειλήφαμεν (15) Phil. f. 76r 18. 19 χρησιμευουσῶν πρόβλημα scripsi: χρησιμευόντων προβλημάτων P (om. Al. 333,2: τόπους τοὺς ... χρησιμεύοντας πρόβλημα Phil. f. 76r) 20 ἐστὶ Arist. et Al. 333,3 22 ληπτέαι Arist. et Al. 333,5: ληπταὶ P 23 συλλογισμὸς γίνεται Arist. et Al. 333,6 28 δὴ om. Al. 333,31 31 πάλιν καὶ λαμβάνουσα transposui ante τὰ (32) Al. 333,35 36 οὔτε Al. 334,4: οὗτος P

δείκνυται καὶ τὸ ἀποφατικὸν τὸ καθόλου. ἀλλὰ ⟨καὶ⟩ καθ' ὅσον οὐδὲ τὰ ἑπόμενα πάντα ἀλλὰ μόνον τὰ ἐν τῇ οὐσίᾳ· τὸ γὰρ γένος καὶ τὰς οἰκείας διαφορὰς ἐπαγγέλλεται δεικνύναι, οὔτε δὲ τῶν οἰκείων τι οὔτε τῶν συμβεβηκότων. καθ' ὅσον δὲ οὐδὲ ταῦτα λαμβάνουσα τὸ προκείμενον αὐτῇ συλλογίζεται. ἄλλο δέ τι, ὡς δειχθήσεται, ἀσθενής ἐστι συλλογισμός. ὃ μὲν γὰρ πρόκειται δεῖξαι τῷ ὑποκειμένῳ ὑπάρχον διὰ τῆς διαιρετικῆς μεθόδου, τοῦτο οὐ δείκνυσιν ἀλλ' [illegible] καὶ προχείρως καὶ χωρὶς δείξεως λαμβάνει· διό ἐστιν ἀσθενής. οὐ δεικνύουσα, ὃ βούλεται. τὴν γὰρ δεῖξιν καὶ τὸν συλλογισμὸν ποιεῖται ἀεί τινος ἀνωτέρω ὄντος καὶ κοινοτέρου καὶ περιέχοντος τοῦτο, ὃ βούλεται λαβεῖν. προθέμενος γὰρ δεῖξαι τὸν ἄνθρωπον λογικόν, ἂν οὕτω τύχῃ, λαβὼν τὸ γένος αὐτοῦ τὸ ζῶον, τοῦτο διαιρεῖ εἴς τε τὸ λογικὸν καὶ τὸ ἄλογον καὶ συλλογίζεται μέν, ὅτι ἐστὶν ὁ ἄνθρωπος ἢ λογικὸν ἢ ἄλογον διὰ τῶν 'ἄνθρωπος ζῶόν ἐστι, πᾶν ζῶον ἢ λογικὸν ἢ ἄλογόν ἐστιν, ὁ ἄνθρωπος ἄρα ἢ λογικὸν ἢ ἄλογον'· διὸ καὶ μόριόν ἐστι τῆς ὑφ' ἡμῶν προειρημένης μεθόδου· ὃ δὲ προέκειτο αὐτῷ δεῖξαι (ἦν δὲ τοῦτο τὸ λογικόν), τοῦτο οὔτε δείκνυσιν οὔτε συλλογίζεται. ἀλλὰ ὁ συλλογισάμενος τὸ κοινὸν καὶ καθόλου, ὑφ' οὗ περιέχεται τὸ λογικόν, συνήγαγεν ἢ λογικὸν ἢ ἄλογον εἶναι τὸν ἄνθρωπον· τὸ δὲ λογικὸν αὐτὸν εἶναι καὶ μὴ ἄλογον χωρὶς δείξεως αἰτεῖταί τε καὶ τίθησιν. εἰ δέ ἐστιν ἀσθενὴς συλλογισμὸς ἡ διὰ τῆς διαιρέσεως δεῖξις, μικρόν τι ἂν μόριον εἴη τῆς ὑφ' ἡμῶν παραδεδομένης μεθόδου, μόριον μὲν οὖσα αὐτῆς, καθὸ ὁπωσοῦν | συνάγει τι καὶ συλλογίζεται, εἰ καὶ μὴ ὃ προτίθεταί τε καὶ βούλε- 154v
ται. μικρὸν δέ, ὅτι ἀσθενὴς ⟨καὶ⟩ οὐχ ὃ βούλεται δείκνυσιν, ἢ ⟨μικρὸν μέν,⟩ διότι περὶ τῶν ἐν τῇ οὐσίᾳ μόνον καὶ κατὰ τῶν ἐν τῷ πρώτῳ σχήματι μόνον καὶ ἐν τούτῳ μοναχῶς, ἀσθενὴς δέ, ὅτι μὴ τὸ προκείμενον οἷόν τε κατ' αὐτὸν συλλογίσασθαι.

Πρῶτον δ' αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους τῇ διαιρετικῇ μεθόδῳ, ὅτι ᾤοντο οὐσίας τε καὶ ὁρισμοῦ ἀπόδειξιν εἶναι καὶ διὰ τοῦτο ἐπειρῶντο ἀποδεικνύναι τε καὶ συνάγειν τὸν ἑκάστου ὁρισμὸν χρώμενοι τῇ διαιρετικῇ ταύτῃ. ὅτι μὲν οὖν μὴ ἔστιν ὁρισμοῦ ἀπόδειξιν καὶ συλλογισμὸν ποιῆσαι ὡς συμπέρασμα τὸν ὁρισμὸν τῆς ἀποδείξεως γενέσθαι, καθὰ ἡ διαιρετικὴ ποιεῖν βούλεται, δείξομεν αὐτοὶ ἐν τῷ τῶν Ὑστέρων ἀναλυτικῶν δευτέρῳ. ὅτι ⟨δὲ⟩ μηδὲ ἡ διαίρεσις αὐτοῖς τοιοῦτόν τι ἐδείκνυεν, ὡς ᾤοντο, νῦν ἐροῦμεν. δύο οὖν ἠγνόουν οἱ χρώμενοι τῇ διαιρετικῇ, οὔτε γὰρ ὅ τι οἷόν τε ἦν συλλογίσασθαι διαιρουμένους (οὐ γὰρ τὸν ὁρισμόν, ὡς ᾤοντό τε καὶ ἐβούλοντο), ἔτι τε ὅτι οὕτως ἐνεδέχετο τῇ διαιρετικῇ χρωμένους συλλογίσασθαί τι, ὡς εἴρηται· εἰρήκαμεν γάρ, ὅτι αἰεὶ τῶν ἄνωθέν τινος ὁ συλλογισμὸς διὰ τῆς διαιρέσεως γίνεται, ἀλλ' οὐκ αὐτοῦ τοῦ προκειμένου. καὶ τοῦτο οὖν ἠγνόουν. ἢ καὶ ἄλλως· δύο ⟨ἠγνόουν⟩ οἱ χρώμενοι τῇ διαιρετικῇ, τήν τε γὰρ παρ' ἡμῶν παραδεδο-

1 καὶ alterum Al. 334,8: om. P 5 δ Al. 334,18: ἡ P 9 ἀνωτέρω P pr. (B): ἀνωτέρου P² corr. (o) 13 ἄρα Al. 334,26: ἐστὶν P (cf. 109,22) 16 ὁ om. Al. 334,29 17 post συνήγαγεν add. γὰρ Al. 334,30 δὲ om. Al. 18 τε Al. 334,31: γε P 22 καὶ Al. 334,35: om. P μικρὸν μέν Al. 334,36: om. P 23 κατὰ τὸ πρῶτον σχῆμα Al. 334,36 29 συλλογισμὸν Al. 335,6: συλλογισμοῦ P 31 δὲ Al. 335,9: om. P 35. 36 εἴρηκα μὲν P 36 ἠγνόουν addidi τήν τε . . . συνελογίζοντο (115,4) Phil. f. 76v

μένην μέθοδον, ἧς κατὰ ἄγνοιαν οὐ τὸ προκείμενον συνελογίζοντο, ἔτι τε ὅπερ ἐνεχώρει συλλογίσασθαι διὰ τῆς διαιρετικῆς μεθόδου. τί δὲ ἦν συλλογίσασθαι. τὸ ὅτι ὁ ἄνθρωπος ἢ λογικὸς ἢ ἄλογος· αὐτοὶ δὲ τοῦτο μὲν ἠγνόουν, ἀεί τι τῶν ἄνω συνελογίζοντο· ἐνόμιζον δέ, ὅτι τὸ λογικὸν εἶναι συνελογίζοντο.

Ἐπεὶ δὲ προείπομεν περὶ τῆς διαιρετικῆς τινα, ὅτι τε μικρὸν μόριόν ἐστι τῆς συλλογιστικῆς καὶ ἀσθενὴς συλλογισμός, διότι, ὃ μὲν βούλεται δεῖξαι. τοῦτο αἰτεῖται, συλλογίζεται δὲ αἰεί τι τῶν ἄνωθεν, καὶ ὅτι τὴν οὐσίαν καὶ τὸν ὁρισμὸν ἑκάστου ᾤοντο | δεικνύναι τῇ μεθόδῳ ταύτῃ, ὃ οὔτε ἔστι συλλο- 154v
γίσασθαι οὔτε ἐδείκνυον ἐκεῖνοι, καὶ ὅτι ἠγνόουν, πῶς δεῖ συλλογίζεσθαι, νῦν ἤδη ἕκαστα τούτων οὕτως ἔχοντα δείξομεν διὰ τοῦ παραθέσθαι, πῶς μὲν ποιοῦσιν οἱ ἀποδεικνύοντές τι καὶ συλλογιζόμενοι, τί δὲ ἐποίουν ἐκεῖνοι. ἐν μὲν οὖν ταῖς ἀποδείξεσι καὶ τοῖς συλλογισμοῖς, ὅταν ἄλλῳ ἄλλο ὑπάρχειν δέῃ δεῖξαί τε καὶ συλλογίσασθαι, δεῖ τὸν μέσον ὅρον τὸν συνάπτοντα τὰς προτάσεις ἐλάττονα εἶναι τοῦ κατηγορουμένου καὶ ὑποκείμενον τῷ, οὗ βούλονται ποιῆσαι συμπέρασμα. αὕτη γὰρ ἡ τάξις ἐν πρώτῳ σχήματι. δι' οὗ αἵ τε ἀποδείξεις αἱ κυρίως καὶ τὸ παντὶ καὶ καθόλου [καὶ] ἄλλο ἄλλῳ ὑπάρχειν δείκνυται. ὅπερ κἀκεῖνοι δεικνύναι βουλόνται· ὧν γὰρ τοὺς ὁρισμοὺς ζητοῦσιν, οὐκ ἔστι καθ' ἕκαστον· τὰ γὰρ καθ' ἕκαστα οὐχ ὁριστά. αἱ μὲν οὖν ἀποδείξεις διὰ τοῦ τοιούτου μέσου, ὃ πάντως ὑπόκειται τῷ δεικνυμένῳ· τοῦτο γάρ ἐστι τὸ ἐλάττονα εἶναι. διὸ καὶ ἔστιν ἧττον [τὸ] καθόλου τὸ μέσον, εἰ καὶ ἴσον ποτὲ τῷ κατηγορουμένῳ λαμβανέται· τὸ γὰρ κατηγορούμενον μᾶλλον καθόλου τοῦ ὑποκειμένου αὐτῷ. ἡ δὲ διαίρεσις τοὐναντίον μεῖζον μὲν καὶ καθόλου τὸ μέσον λαμβάνει, τὸ δὲ κατηγορούμενόν τε καὶ ὃ βούλεται δεῖξαι καὶ συμπεράνασθαι διὰ τοῦ μέσου ὑπάρχον τινί, ἔλαττον, ὃ ἐδείχθη ἡμῖν ἀσυλλόγιστον· γίνεται γὰρ οὕτως ἡ μείζων πρότασις ἐπὶ μέρους ἐν πρώτῳ σχήματι. διὸ οὐδὲ συνελογίζοντο τὸ προκείμενον. πῶς οὖν τοῦτο ποιοῦσι, δεικτέον. βουλόμενοι γὰρ δεῖξαι τὸν ἄνθρωπον θνητὸν λαμβάνουσι τὸ ζῶον. ὃ γένος εἶναι τίθενται τοῦ ἀνθρώπου, καὶ διαιροῦσιν αὐτὸ εἴς τε τὸ θνητὸν καὶ τὸ ἀθάνατον, καὶ τὸ μὲν ζῶον ἐπὶ τοῦ Α τιθέασι, τὸ δὲ θνητὸν ἐπὶ τοῦ Β, τὸ δὲ ἀθάνατον ἐπὶ τοῦ Γ. καὶ τὸν ἄνθρωπον, οὗ ζητοῦσι τὸν ὁρισμόν τε καὶ τὸν λόγον, ἐπὶ τοῦ Δ. θέντες δὲ ταῦτα μετὰ ταῦτα ποιοῦνται τοῦ ζώου τὴν διαίρεσιν τὴν εἰς τὰ προειρημένα πάντα, καὶ λαμβάνουσιν ἅπαν ζῶον ἢ θνητὸν ἢ ἀθάνατον. ὃ ἴσον ἐστὶ τῷ 'ὃ ἂν ᾖ Α, πᾶν ἢ Β ἐστὶν ἢ Γ'. διελόντες δὲ τὸ γένος, 155r
τὸ ζῶον, τὸν ἄνθρωπον μετὰ ταῦτα, ὅ ἐστιν ὑποκείμενος ὅρος, τουτέστι τὸ Δ. λαμβάνουσι καὶ τίθενται ζῶον εἶναι. καὶ τοῦτο χωρὶς δείξεώς τινος ποιοῦσιν· αἰεὶ γὰρ ἐν τῷ διαιρουμένῳ ὅρῳ καὶ μέσῳ λαμβανομένῳ χωρὶς δείξεώς τινος τιθέασι τὸν ὅρον, οὗ τὸν ὁρισμὸν ζητοῦντες τῇ διαιρέσει χρῶνται. ἐκ δὴ τούτων συνάγεται τὸ Δ ἢ τὸ Β ἢ τὸ Γ εἶναι, τουτέστι τὸν ἄνθρωπον ἢ θνητὸν ἢ ἀθάνατον. καὶ τὸ μὲν δεικνύμενον συλλογιστικῶς τοῦτο. ὃ δέ γε βούλονται δεῖξαι, ὅτι θνητός ἐστιν ὁ ἄνθρωπος, ἐπ' ἔλαττόν ἐστι τοῦ μέσου,

2 γὰρ Phil. 3 δὲ prius om. Phil. αὐτὸ Phil. 10 ἔχοντα scripsi (ἕκαστον . . . ἔχον Al. 335,27): ἐχόντων P 16 καὶ tertium om. Al. 335,33 18 ἕκαστα (ante τὰ) Al. 335,35 20 τὸ prius om. Al. 336,1 30 οὗ P (a B) 34 ὑποκείμενος Al. 336,16: ὑποκείμενον P 37 οὗ P

τοῦ ζῴου. ὥστε ὅ μὲν οὐ βούλονται συλλογίζεσθαι, συλλογίζονται, ὃ δὲ προέκειτο αὐτοῖς συλλογίσασθαι, τοῦτο οὐ συνελογίσαντο ἀλλ' ἠτήσαντο λαβόντες τὸν ἄνθρωπον ἐν τούτῳ τῷ μορίῳ τῆς διαιρέσεως τοῦ ζῴου εἶναι. καὶ πάλιν ἂν θελήσαιεν τὸν ἄνθρωπον ὑπόπουν δεῖξαι, συλλογίζονται μὲν ἢ ἄπουν ἢ ὑπόπουν αὐτὸν εἶναι, αἰτοῦνται δὲ τὸ ὑπόπουν, ὃ προέκειτο αὐτοῖς δεῖξαι· λαβόντες γὰρ τὸν ἄνθρωπον ζῶον θνητὸν εἶναι καὶ ἐν γένει τούτῳ, ὃ οὐδὲ αὐτὸ ἔδειξαν ἀλλὰ ἔλαβον· οὐ γὰρ ἔδειξαν ἀλλὰ ἠτήσαντο τὸ θνητὸν αὐτὸν εἶναι. οὕτως καὶ τῶν διαφόρων λαμβάνοντες, οὐ δείξαντες ἀλλ' αἰτήσαντες, τέλος ὧν προέθεντο δεῖξαι οὐδὲν ἀποδεικνύουσι. καίτοι οὕτως λαμβάνοντες, ἃ χρήσιμα ἦν πρὸς τὸ ὁρίσασθαι, καὶ ταῦτα αὐτὰ αἰτούμενοι ἀλλ' οὐ διὰ συλλογισμοῦ δεικνύντες τὸ εἶναι τοῦτο τὸν ἄνθρωπον ἢ ὅ τι ἂν ᾖ τὸ ὁριζόμενον ὑπ' αὐτῶν, τὸ ἐκ τῶν οὕτως εἰλημμένων ἠθροισμένον, οὐ δεικνύουσι συλλογιστικῶς οὐδ' ὅτι ἀναγκαῖον οὕτως ἔχειν. οὐ γὰρ εἰ κατά τινος τὸ ζῶον ἀνθρώπου καὶ τὸ θνητόν. ἤδη καὶ τὸ ὅλον ὡς ἕν· δεῖται γάρ τινος τοῦτο διορισμοῦ, ⟨πότε⟩ ἓν συντεθέντα τὰ χωρὶς κατηγορούμενα καὶ πότε οὔ. οὔτε γὰρ ἐπὶ πάντων ἀληθὲς οὔτε ἐφ' ὧν ἀληθές, ἤδη καὶ ἕν, ὅπερ ὁ μὴ διαστειλάμενος καὶ τοῦτο, εἰ καὶ ἀληθές | ἐστι, προχείρως λαμβάνει. ὅτι γὰρ 155ᵃ
τὰ ληφθέντα οὕτως καὶ συντεθέντα τοῦτον τὸν τρόπον ἢ ὡς ἓν κατηγορεῖται ἢ ὡς ὁρισμός ἐστιν ἀνθρώπου ἢ ἄλλου τινός, ὃ προτίθενται ὁρίσασθαι, οὔτε σαφῶς λέγουσιν, οὔθ' ὡς ἀναγκαῖον ὂν ἐκ τῶν κειμένων τοῦτον εἶναι τὸν ὁρισμὸν τοῦ προκειμένου δεικνύουσι τῷ μήτε ἀναγκαῖον εἶναι τὰ ἰδίᾳ ὑπάρχοντά τινι ταῦτα καὶ συντεθέντα ἀληθεύεσθαι κατ' αὐτοῦ, ὡς ἐπὶ τοῦ σκυτέως τοῦ ἀγαθοῦ ἐδείχθη ἐν τῷ Περὶ ἑρμηνείας, μήτε εἰ καὶ ὑπάρχει πάντα ἅμα τῷ ὑποκειμένῳ τὰ κατ' ἰδίαν ληφθέντα. ἤδη γνώριμον εἶναι, ὅτι ὁρισμός ἐστι τοῦ ὑποκειμένου ταῦτα τὰ συντεθέντα. οὐδὲν γὰρ ἡ μέθοδος εἰς τὴν τούτων δεῖξιν συντελεῖ. καὶ γὰρ εἰ τὸ πάντα ὑπάρχειν ἀκολουθεῖ τῷ εἶναι ἐκ τῆς τοῦ εἰλημμένου διαιρέσεως ἕκαστον τῶν προσλαμβανομένων, ἀλλ' ὅτι γε ὁρισμὸς ταῦτα, οὐ δεικνύουσιν, ὅπερ ὡς ποιήσοντες ἦλθον ἐπὶ τὸ διαιρεῖν. καὶ γὰρ πᾶσα ἡ ὁδὸς αὐτοῖς ἡ διαιρετικὴ αὕτη γίνεται, οὐδὲ τὰς περὶ ἑκάστου τῶν λαμβανομένων ὑπ' αὐτῶν ἐνδεχομένας εὐπορίας πρὸς τὸ συλλογιστικῶς δειχθῆναι αὐτὰ λαμβάνουσιν. ἔνεστι μὲν γὰρ τὸν ἄνθρωπον λογικὸν εἶναι συλλογίζεσθαι καὶ ἐξ οἰκείων προτάσεων λαβόντας πάντα ἄνθρωπον διανοητικὸν εἶναι φέρε ἢ βουλευτικὸν ἢ ἀριθμητικόν, ἑκάστου δὲ τούτων τὸν λόγον κατηγορήσαντας. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ συλλογίσασθαι, ὅτι μή ἐστιν ἄλογος· ἦν γὰρ αὐτοῖς ἡ διαίρεσις ἡ τοῦ ζῴου εἰς τὸ λογικὸν καὶ ἄλογον. ἂν δὴ διὰ συλλογισμοῦ δειχθῇ ὁ ἄνθρωπος μὴ ὢν ἄλογος, εὐλόγως ἂν λαμβάνοιτο λογικὸς εἶναι, ἐπεὶ [δὲ] δέδεικτο ἢ λογικὸς ἢ ἄλογος ὤν. ὅτι οὖν μὴ ἄλογος·

1 τοῦ alterum Al. 336,23: om. P 2 οὐ Al. 336,25: om. P 4 θελήσωσι Al. 336,27 [illegible] (9, Phil. f. 77r 13 ἀναγκαῖον . . ἔχειν Al. 337,3: ἀναγκαίως . . ἔχειν P οὐ Al.: εἰ P 15 πότε ἓν συντεθέντα Al. 337,5: ἑνὸς συντιθέντος P 21 ἴδια P 26 τὸ πάντα . . . τῷ Al. 337,16: τῷ παντὶ . . . τὸ P 29 αὐτοῖς Al. 337,22: αὐτῆς P 30 ἀπορίας P 33 φέρ' εἰπεῖν Al. 337,26 τούτων Al. 337,27: τούτον P τὸ λογικὸν Al. 37 δὲ om. Al. 337,30 ἄλογος, post quem addidi οὕτως. Al. 337,31: ἄνος P

πᾶς ἄνθρωπος διανοητικός, οὐδὲν διανοητικὸν ἄλογον. οὐδεὶς ἄρα ἄνθρωπος ἄλογος. τούτων μὲν οὖν οὐδὲν προσλαμβάνουσιν ἐν ταῖς δείξεσι, δι' ὧν οἷόν τε διὰ συλλογισμῶν τῶν ἐκ τῆς διαιρέσεως τοῦ κοινοῦ τὸ ἕτερον δεῖξαι τῷ ὑποκειμένῳ ὑπάρχον, διαιρούμενοι δὲ | τὸ κοινὸν καὶ τὸ γένος αἰεί, ὃ βούλον- 156r
5 ται τῶν ἐκ τῆς διαιρέσεως, χωρὶς δείξεως προσλαμβάνουσι.

Φανερὸν δὲ καὶ πρὸς τῷ ὃ συλλογίζονται μὴ δεῖξαι, ὃ βούλονται, εἶναι ἄλλο δέ τι, διὸ καὶ ἀσθενὴς ὁ συλλογισμὸς αὐτῶν, ὅτι οὔτε ἀνασκευάσαι οἷόν τε χρωμένους ταύτῃ τῇ μεθόδῳ (πάντα γὰρ καταφατικὰ τὰ συναγόμενα κατὰ τὴν μέθοδον ταύτην· τὸ δὲ ἕτερον τῶν ἐκ τῆς διαιρέσεως μὴ ὑπάρχειν τῷ
10 προκειμένῳ προχείρως λαμβάνεται ὥσπερ καὶ τὸ ἕτερον ὑπάρχειν· οὐδετέρου γὰρ ἰδίᾳ γίνεται ὁ συλλογισμός)· ἀλλ' οὐδὲ περὶ συμβεβηκότος ἢ ἰδίου συλλογίσασθαι οἷόν τε τῇ μεθόδῳ ταύτῃ χρωμένους. τῶν γὰρ λαμβανομένων κοινῶν τε καὶ γενῶν ἡ διαίρεσις οὐ κατὰ συμβεβηκότα γίνεται ἀλλὰ κατὰ τὰς διαφορὰς τὰς ἐν τῇ οὐσίᾳ· συμβεβηκὸς δὲ καὶ τὸ ἴδιον· ἔτι τε οὐδὲ οἷόν τε
15 εἰς ἴδια τὴν διαίρεσιν τῶν γενῶν γίγνεσθαι. ἔτι οὐδέ, εἰ γένος τόδε τι ἢ οὔ, δείκνυσιν, ἀλλὰ λαβὼν τόδε εἶναι γένος τοῦ προκειμένου ὡς ὂν φανερὸν τὴν διαίρεσιν αὐτοῦ ποιεῖται, ὡς ἤδη προείρηται. δι' ὧν δὲ οἷόν τε γένος κατασκευάζειν ἢ ἀνασκευάζειν, ἐν τοῖς Τοπικοῖς εἴρηται· ὁμοίως δὲ καὶ δι' ὧν συμβεβηκὸς ἢ ἴδιον δείκνυται. ἀλλ' οὐδέ, ὃ ἐκ τοῦ συλλογισθέντος αἰτεῖταί
20 τε καὶ τίθησιν (ἔστι δὲ τοῦτο τὸ ἕτερον τῶν ἐκ τῆς διαιρέσεως, ὃ λαμβάνει μετὰ τοῦ διαιρεθέντος γένους), πότερον γένος ἢ ἴδιον ἢ συμβεβηκός ἐστιν τοῦ προκειμένου, δείκνυσιν· οὐδὲ ⟨γὰρ⟩ τὴν ἀρχὴν αὐτὸ ὑπάρχειν τῷ κειμένῳ διὰ συλλογισμοῦ δείξας ἔθετο. καὶ συνελόντα εἰπεῖν ἄχρηστος ἡ μέθοδος ἡ διαιρετικὴ πρὸς συλλογισμόν· τεττάρων γὰρ ὄντων προβλημάτων, περὶ ὅρου, περὶ
25 ἰδίου, ⟨περὶ γένους,⟩ περὶ συμβεβηκότος, περὶ οὐδενὸς τούτων οἵα τέ ἐστι συλλογίσασθαι ἡ μέθοδος· περὶ γὰρ οὗ οἴεται μόνου δεικνύναι, οὐδὲ τοῦτο δείκνυται διὰ συλλογισμοῦ. ἐφ' ὧν μὲν γὰρ φανερόν ἐστι τὸ προκείμενον καὶ μὴ δεόμενον δείξεως, οἷον ὅτι ὁ ἄνθρωπος λογικός ἐστιν ἀλλ' οὐκ ἄλογον, ἢ ὅτι ὑπόπουν ἀλλ' | οὐκ ἄπουν, καὶ δίπουν ἀλλ' οὐ πολύπουν, ἐπὶ τούτων 156v
30 δόξουσιν εὐλόγως προσλαμβάνειν τὸ ἕτερον τῶν ἐκ τῆς διαιρέσεως τῷ γνώριμον εἶναι καὶ μὴ ἀμφισβητούμενον· ἐφ' ὧν δὲ ἀγνοεῖται τὸ προκείμενον, ἐν ὁποτέρῳ τῶν ἐκ τῆς διαιρέσεώς ἐστι, καὶ δείξεως δεῖται. ἄχρηστος ἐπὶ τούτων ἡ μέθοδος αὐτοῖς. ἀπορουμένου γὰρ τοῦ πότερον ἄρτιοι οἱ ἀστέρες ἢ περιττοί, ἂν λαβών τις τὸν ἀριθμὸν πάντα καὶ πᾶν πλῆθος διέλῃ εἴς τε τὸ περιττὸν
35 καὶ ἄρτιον, προσλαμβάνοι δὲ καὶ τοὺς ἀστέρας πλῆθος εἶναι καὶ ἀριθμόν, συνάξει, ὅτι ἄρτιοί εἰσιν ἢ περιττοὶ οἱ ἀστέρες, οὔτε δὲ τὸ περιττοὺς αὐτοὺς εἶναι ἢ ἀρτίους· ἔτι δυνήσεται προσλαβεῖν τῷ μήτε γνώριμόν τι αὐτῶν εἶναι μήτε δείκνυσθαι. πάλιν εἰ [τοῦ] ζητουμένου τοῦ πότερον ἡ διάμετρος τῇ

1 ἄρα Al. 337,32: ἐστιν P (cf. 114,13) 3 συλλογισμοῦ Al. 337,33 10 τὸ τὸ Al. 338,10 13 συμβεβηκότος Al. 338,13: συμβεβηκότος P 20 τὸν Al. 338,20: τοῦ P 22 γὰρ Al. 338,22: om. P αὐτὸ Al.: αὐτοῦ P 25 περὶ γένους Al. 338,25: om. P 33 αὐτοῖς Al. 338,35: αὐτῆς P 35 προσλάβῃ Al. 339,1; at cf. 123,34 36 συνάξει μὲν Al. 339,7 cf. 118,2 38 τοῦ prius om. Al. 339,5 τοῦ alterum Al.: τὸ P

πλευρᾷ σύμμετρος ἢ ἀσύμμετρος λαβών τις μῆκος εἶναι τὴν διάμετρον διέλοι [illegible] τε τὸ σύμμετρον καὶ ἀσύμμετρον, συνάξει μὲν καὶ τὸ τὴν διά- [illegible] ἢ ἀσύμμετρον εἶναι τῷ λαβεῖν μῆκος αὐτὴν εἶναι, ὃ [illegible] ζητούμενον, οὐχ ἕξει δὲ δεῖξαι. ἐν ὁποτέρῳ τούτων αὐτὴν θέτεον· ὃ γὰρ ἂν προσλάβῃ, δεόμενον δείξεως καὶ ζητούμενον ἁπλῶς καὶ χωρὶς δείξεως [illegible] αὐτῷ καὶ μὴ διαιρέσει χρησαμένῳ. ὥστε καθόλου, ἐν οἷς ζητεῖται καὶ μή ἐστι γνώριμον, ἐν ὁποτέρῳ τὸ ζητούμενον τῶν ἐκ τῆς διαιρέσεως, ἄχρηστος ἡ μέθοδος. δῆλον οὖν, ὅτι μὴ πρὸς πᾶσαν σκέψιν ἁρμόζει ὁ τοιοῦτος τρόπος, λέγω δὲ ὁ διαιρετικός· οὔτε γὰρ περὶ συμβεβη- κότος ἢ ἰδίου, περὶ ὧν αἱ πλεῖσται ζητήσεις, οὔτε ἀποφατικόν τι ἔνεστι δι' [illegible] οὐδ' ὅτι γένος τὸ λαμβανόμενον. ἀλλ' οὐδὲ ἐφ' ὧν δοκεῖ μάλιστα ἁρμόττειν (ταῦτα δέ ἐστιν οἱ ὁρισμοί), οὐδὲ ἐπὶ τούτων ἔχει τι χρή- σιμον. οὔτε γὰρ ἐφ' ὧν ἄδηλον, ἐν ὁποτέρᾳ τὸ προκείμενον τῶν διαφορῶν [illegible] τῆς διαιρέσεως, ἔχει λαβεῖν. οὔτε ἐφ' ὧν δῆλόν τέ ἐστι καὶ προσ- | λαμβάνει θάτερον καὶ τίθησιν, οὐδὲ ἐπὶ τούτων, ὅτι τὸ ἐκ πάντων ⟨τῶν⟩ 157r [illegible] συντεθέντων ὁρισμός ἐστι τοῦ ἀνθρώπου, δύναται δειχθῆναι τῇ μεθόδῳ ταύτῃ. οὔτε γὰρ πάντα τὰ κατ' ἰδίαν ἀληθευόμενα κατά τινος ἤδη καὶ συντεθέντα ἀληθῆ (οὐδὲ γὰρ εἰ σκυτεὺς καὶ ἀγαθός, ἤδη καὶ συντεθέντα σκυτεὺς ἀγαθός, οὐδ' εἰ καὶ ἀληθῆ, διὰ τοῦτο ἤδη καὶ τὸ ἐξ αὐτῶν ἀληθές· οὐ γάρ, εἰ λευκὸν καὶ μουσικὸν καὶ βαδίζον ἦν, ἤδη καὶ ἓν ταῦτα, τὸ λευκὸν μουσικὸν βαδίζον, ὡς ἐν τῷ Περὶ ἑρμηνείας ἐδείχθη)· ἀλλ' οὐδ' εἰ ἀληθῆ τε καὶ ἕν, ἤδη καὶ γνώριμον, ὅτι καὶ ὁρισμός· οὔτε γὰρ τὸ 'ἄνθρωπος λευκός', ἐπεὶ ὡς ἓν κατηγορεῖταί τινος, ἤδη καὶ ὁρισμός, οὔτε τὸ 'ζῶον πεζόν'.

Ἐπεὶ δὲ ἐδείξαμεν, ὅτι καὶ πρὸς ἀπόδειξιν καὶ συλλογισμὸν οὐδὲν χρή- [illegible] ἡ διαιρετικὴ μέθοδος (καὶ γὰρ πρὸς τὴν κατασκευὴν τοῦ ὅτι κατὰ τὴν [illegible]ρημένην ὑφ' ἡμῶν ἐκλογὴν καὶ τὴν ἐπίβλεψιν τῶν ἐκλελεγμένων καὶ ὃν εἰρήκαμεν τρόπον ταύτην δεῖν ποιεῖν τήν τε τῶν προτάσεων λῆψιν καὶ τὴν τῶν συλλογισμῶν εὕρεσιν χρήσιμον ἡμῖν δειχθῆναι τὸ κατ' ἐκείνην τὴν μέθοδον ἄχρηστον), ὃ φανερὸν ποιήσαντες ὑπομιμνήσκομεν καὶ τῶν προειρη- μένων δεικνύντες, ὅτι ἐκ τούτων καὶ οὕτως μόνως γένεσίς τε καὶ εὕρεσις τῶν [illegible]ρημένων.

Περὶ ἀναλύσεως.

Ἐπεὶ δὲ πέρας ἀπείληφεν ἡμῖν τὸ περὶ εὐπορίας τῶν προτάσεων σκέμμα, ἐντεῦθεν ἤδη λοιπὸν μέθοδον ὑπογράψομεν, δι' ἧς δυνησόμεθα πάντα τὸν [illegible] συλλογισμὸν ἀνάγειν εἰς τὸ οἰκεῖον σχῆμα, ἥτις μέθοδος εὑρετι- κοὺς ἡμᾶς ποιήσει καὶ τοῦ τίνες μὲν τῶν ἐρωτωμένων λόγων εἰσὶ συλλογι- στικοί, τινὲς δὲ φαίνονται μέν, εἰσὶ δὲ ἀσυλλόγιστοι. εἰ γάρ τις εἰς μηδὲν

2 συνάξει Al. 339,7: ἀνάξει P 3 ἢ ἀσύμμετρον Al. 339,7. 8: om. P 11 τὸ Al. 339,16: om. P 14 τέ Al. 339,19: τί P 14. 15 προσλαμβάνει Al. 339,20: προσλαμ- [illegible] P (a, qui etiam τιθέναι exhibet) 15 τῶν Al.: om. P 16 συντιθέντων P 19 ἀληθές P: ἓν Al. 339,24 25 καὶ scripsi cf. 76,7: οὐ P (om. Al. 339,32) 26 καὶ (ante ὄν) P: καθ' Al. 339,33 33 ἐπεὶ . . . λοιπὸν (34) cf. Phil. f. 78r

τῶν τριῶν ἀνάγεσθαι δύναιτο σχημάτων τῇ μεθόδῳ ταύτῃ προσχρωμένων
ἡμῶν, ἣν παραδιδόαμεν, ἢ ἀνάγοιτο μὲν εἴς τι αὐτῶν, μὴ τῶν συλλογιστικῶν
δὲ συζυγιῶν τινα, δηλονότι ἀσυλλόγιστος ἂν ⟨εἴη.⟩ | ἀπὸ δὲ τῆς μεθόδου τῆς 157v
νῦν παραδεδομένης καὶ Ἀναλυτικὰ ἡμῖν ἐπιγράφεται τὰ βιβλία. οὐ τῶν ἁπλῶν
5 δὲ μόνων ἀλλὰ καὶ τῶν συνθέτων ὑπογράψομεν τὴν ἀνάλυσιν. λεκτέον οὖν
ἂν εἴη, πῶς ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προειρημένα σχήματα· καιρὸν
γάρ ἐστι τοῦτο κεφάλαιον τῆς περὶ συλλογισμῶν πραγματείας. εἰ γὰρ τήν τε
γένεσιν τῶν συλλογισμῶν εἰδείημεν, ἣν ὑπεγράψαμεν διὰ τῶν τριῶν σχημάτων
καὶ τῶν καθ' ἕκαστον αὐτῶν συλλογιστικῶν συζυγιῶν, ἔχοιμεν δὲ καὶ τοῦ
10 εὑρίσκειν τε καὶ ποιεῖν αὐτοὺς τοὺς συλλογισμοὺς μέθοδον, ἣν ἐδιδάξαμεν ἤδη
διὰ τοῦ δεῖξαι, ὅτι δεῖ ἐκλέγειν ἑκατέρου τῶν ἐν τῷ προβλήματι ὅρων τά τε
ἑπόμενα αὐτοῖς καὶ οἷς αὐτοὶ ἕπονται καὶ τὰ μὴ ὑπάρχοντα ἑκατέρῳ αὐτῶν,
καὶ ἐκ τούτων τίνα κατ' οἰκειότητα τοῦ προβλήματος συντιθέμενα τὸν μέσον
ὅρον ποιεῖ, εἰ δὴ πρὸς ἐκείνοις τοῖς δύο καὶ τοὺς γεγονότας ἤδη συλλογισμοὺς
15 ἀναλύειν δυνάμεθα εἰς τὰ συλλογιστικὰ σχήματα, τέλος ἂν ἡμῖν ἔχοι ἡ προκειμένη πραγματεία. χρήσιμος δὲ ἔσται ἡ γνῶσις τῆς ἀναλύσεως τῶν συλλογισμῶν καὶ πρὸς τὴν τῶν πρότερον εἰρημένων βεβαίωσιν· ταῦτα δ' ἐστίν, ὅτι πᾶς συλλογισμὸς ἐν τοῖς τρισὶ σχήμασι, καὶ ὅτι ἐξ ὅρων τριῶν καὶ προτάσεων δύο προσεχῶν πᾶς. ἐκ γὰρ τῆς τῶν γεγονότων ἀναλύσεως εἰς αὐτὰ
20 πιστότερα ἐκεῖνα καὶ βεβαιότερα ἡμῖν ἔσται, καὶ ὅτι ἐκ τοῦ εἰς μηδὲν ἄλλο ἀνάγεσθαι δύνασθαι τοὺς γεγονότας συλλογισμοὺς ἢ εἰς ἐκείνων τι καὶ ἐκεῖνα βεβαιωθήσεται.

Ἐπεὶ δὲ πᾶς συλλογισμός, ἄν τε ἁπλοῦς ἄν τε σύνθετος ᾖ, ἐδείχθη ἐκ προσεχῶν δύο προτάσεων γινόμενος καὶ ὅρων τριῶν, δεῖ προβληθέντος συλλο-
25 γισμοῦ πρῶτον τὰς δύο προτάσεις λαμβάνειν, αἵ εἰσιν ἐκ τῶν τριῶν ὅρων. ῥᾷον γὰρ εὑρεῖν τὰ μείζω μόρια τῶν ἐλαττόνων· μείζω δ' ἐστὶ τὰ συγκείμενα τῶν ἁπλῶν, ἐξ ὧν σύγκεινται, ὅπερ αἱ προτάσεις πρὸς τοὺς ὅρους πεπόνθασιν· ἐκ γὰρ τῶν ὅρων σύγκεινται αὗται. μετὰ δὲ τὸ λαβεῖν τὰς προσεχεῖς προτάσεις δεῖ ἐπιβλέπειν, ᾗ ποία καθόλου καὶ μείζων ἐστί, καὶ ποία 158r
30 ἐλάττων καὶ μερικωτέρα· κἂν γὰρ ἀμφότεραι καθόλου ὦσιν, ἀλλ' ἔστιν αὐτῶν καθ' ἕκαστον σχῆμα ἡ μὲν μείζων ἡ δὲ ἐλάττων, μείζων μέν, ἐν ᾗ ὁ μείζων καὶ κατηγορούμενος ὅρος ἐν τῷ συμπεράσματι, ἐλάττων δέ, ἐν ᾗ ὁ ὑποκείμενος. ἐπεὶ δὲ ἐνίοτε οἱ συλλογίζεσθαι βουλόμενοι οὐ [τι] τιθέασιν ἀμφοτέρας τὰς προτάσεις ἀλλὰ τὴν ἑτέραν λείπουσιν, ἡμᾶς δεῖ λαμβάνειν τὴν παρει-
35 μένην. μεθ' ἧς ἡ κειμένη τὸ προκείμενον συμπέρασμα προσεχῶς συνάγει. ἐνίοτε γὰρ οἱ συλλογιζόμενοι τὴν μὲν καθόλου πρότασιν λαμβάνουσι, τὴν δὲ ὑπ' αὐτὴν ὡς γνώριμον παραλείπουσιν, οἷον εἴ τις συνάγει, ὅτι ἡ ὑγίεια ἀγαθόν. λαβὼν καθόλου πρότασιν τὴν 'πᾶν τὸ οἰκεῖον ἀγαθόν', μηκέτι δὲ τὴν ἑτέραν προσλαβὼν ἀλλὰ παραλιπὼν ὡς γνώριμον· ἔστι δ' αὕτη, ὅτι ἡ ὑγίεια
40 οἰκεῖον. ἡμᾶς οὖν τοὺς βουλομένους ἀνάγειν τὸν συλλογισμὸν καὶ ἀναλῦσαι

---

2 εἴς τι Al. 340,10: εἴ τις P · 3 εἴη Al. 340,11: om. P 7 ἔτι Al. 340,21 ante κεφάλαιον add. τὸ Al. 10 αὐτοὶ scripsi Al. 340,25 20 καὶ alterum delevi Al. 341,3 33 τι delevi

εἴ τι τῶν σχημάτων δεῖ προσθεῖναι τὴν παραλειπομένην· τεθείσης γὰρ συνεπεράνθη, ἐν ᾧ σχήματί ἐστιν ὁ συλλογισμός, ὡς ἐπὶ τοῦ προκειμένου. προστεθείσης γάρ, ἧς εἶπον, προτάσεως γνώριμον ἐγένετο, ὅτι πρῶτόν ἐστι τὸ σχῆμα· ὁ μέσος γὰρ ὅρος ἐν τῷ συλλογισμῷ, τὸ οἰκεῖον, κατηγορούμενος τῆς ὑγείας ὑποκείμενος δὲ τῷ ἀγαθῷ. μὴ τεθείσης δὲ ταύτης οὐδὲ τὴν ἀρχὴν ἂν εἴη τὸ εἰρημένον συλλογισμός. ἢ πάλιν εἴ τις λαβὼν πᾶν τὸ αἱρετὸν ἀγαθὸν εἶναι ⟨ἐπιφέροι τὸ 'ἡ ἡδονὴ ἄρα ἀγαθόν' παραλιπὼν ὡς γνώριμον τὸ τὴν ἡδονὴν αἱρετὸν εἶναι⟩, ἥτις ἐλάττων ἐστὶ πρότασις. ὁμοίως κἂν λαβὼν τὸ ἀλλότρια κρύφα ὑφαιρούμενος ἀγαθός' ἐπιφέρει 'οὐδεὶς ἄρα κλέπτης ἀγαθός'· ἔσται γὰρ παρειακὼς ὡς γνώριμον τὴν ἐλάττονα τὴν 'πᾶς δὲ κλέπτης τὰ ἀλλότρια ὑφαιρεῖται'. καὶ οὕτως μὲν ἐν τοῖς τοιούτοις ἡ ἐλάττων παραλείπεται. ἔστι δ', ὅτε ἔμπαλιν τὴν μὲν καθόλου παραλείπουσιν ὡς γνώριμον τὴν δὲ ἐλάττονα τιθέασιν, ὡς ὁ συλλογιζόμενος, ὅτι οὗτος κολάσεώς ἐστιν ἄξιος, διὰ τοῦ 'μοιχὸς γάρ ἐστιν ἢ κλέπτης ἢ ἱερόσυλος'· ἐν πᾶσι γὰρ τούτοις ἡ καθόλου παρεῖται ὡς φανερὰ ἡ λέγουσα, ὅτι πᾶς μοιχὸς κολάσεως ἄξιος ἢ πᾶς κλέπτης ἢ πᾶς ἱερόσυλος, | ἐφ' οἷς συμπέρασμα τὸ 'οὗτος ἄρα 158v
κολάσεως ἄξιος'. ἢ πάλιν εἴ τις λαβὼν τὸ 'οὗτος καλλωπιστής' ἐπιφέρει 'μοιχὸς ἄρα' παραλιπὼν τὸ καθόλου τὸ 'πᾶς καλλωπιστὴς μοιχός'. χρὴ οὖν τὸν ἀνάγειν καὶ ἀναλύειν πειρώμενον ταύτην τὴν πρότασιν αὐτὸν προτιθέναι, λέγω δὲ τὴν καθόλου. καὶ γὰρ δὴ καὶ διὰ τῶν καθόλου αἱ ἐλάττους καὶ καθέκαστα περαίνονται καὶ δείκνυνται καὶ πιστοῦνται τῷ ὑπ' ἐκείνας εἶναι τὰς καθ' ἕκαστα· ἀδύνατον γὰρ συμπέρασμα συλλογιστικῶς γενέσθαι ἄνευ τῆς καθόλου. ἐπεὶ δὲ ἐν τοῖς συλλογισμοῖς παραλείπονταί τινες κατασκευαστικαὶ τῶν προσεχῶν προτάσεων προτάσεις, ἄλλαι δὲ πάλιν μάτην προστίθενται, ἢ αἱ μὲν προσεχεῖς παραλείπονται, αἱ δὲ τούτων κατασκευαστικαὶ τίθενται, χρὴ καὶ ταύτας παραφυλάττειν τὰς ἔξωθεν τῶν προσεχῶς εἰλημμένας. καὶ εἰ μὲν εἶεν τοιαῦται ὡς δι' αὐτῶν περαίνεσθαί τε καὶ δείκνυσθαι τὰς δύο, ὡς εἶναι ἑκατέραν τῶν προσεχῶν τοῦ δεικνυμένου προτάσεων ἐκείνων συμπεράσματα, κἀκείνας δηλονότι ὁμοίως ἐκληψόμεθά τε καὶ ἀνάξομεν εἴς τι τῶν σχημάτων. εἰ δὲ μήτε συλλογίζοιντό τι τῶν κειμένων μήτε ἄλλως δεικνύοιέν τι, ὥσπερ δεικνύουσιν αἱ ἐπακτικῶς λαμβανόμεναι εἰς σύστασιν τῆς καθόλου προτάσεως, μήτε ὄγκου ἢ ἄλλου τινὸς χρειώδους χάριν εἶεν, οἷον κρύψεως ἢ σαφηνείας, ἀφαιρητέον καὶ ἀποκριτέον αὐτὰς ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν ὡς μάτην καὶ κενῶς εἰλημμένας. εἰ δὲ εἶεν ἐκείνων χάριν τινὸς παρακείμεναι, χωριστέαι μὲν καὶ τότε τῶν κυρίων τοῦ συμπεράσματος προτάσεων, παραδεικτέον δέ, οὗ χάριν εἰσὶ κείμεναι. δεῖ γὰρ τὸ συμπέρασμα γίνεσθαι, εἰ κατὰ συλλογισμὸν γίνοιτο, "τῷ ταῦτα εἶναι"· τὰ δ' οὕτως τιθέμενα οὐ τοιαῦτα. ἐν γὰρ τῷ λόγῳ τῷ 'πᾶν τὸ αὐτοκίνητον ἀεικίνητον, πᾶν τὸ

6 τις Al. 341,33: τι P 7 ἐπιφέροι . . . εἶναι (8) Al. 341,34—342,1: om. P 9 ἄρα Al. 342,2: ἐστι P cf. 117,1 15 παρείται Al. 342,8; at cf. 121,8 18 ἄρα Al. 342,11: ἐστι P 20 προτιθέναι P (a): προστιθέναι Al. 342,13 (B) 22 τὰς καθ' ἕκαστα om. Al. 3 παραλείπονται Al. 343,8: παραλαμβάνονται P 24 κατασκευαστικαὶ Al. 343,7: κατασκευαὶ P 26 προσεχῶν Al. 343,11 29 συμπεράσματα Al. 343,13: συμπεράσματος P 32 ἀφαιρητέον (sic) P 35 χωριστέαι scripsi (χωριστέον Al. 343,20): χωρισταὶ P

ἀεικίνητον ἀθάνατον' "τὸ δ' ἄλλο τι κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον παῦλαν
ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς" οὐδὲν πρὸς τὸ συμπέρασμα τὸ 'πᾶν τὸ
αὐτοκίνητον ἀθάνατον' συντελεῖ, ἀλλ' εἰσὶν αἱ πρῶται προτάσεις αὐτοῦ 145ᵃ
συνακτικαί. καθόλου μὲν οὖν δεῖ ἐπισκέπτεσθαι ἐν ταῖς ἀναλύσεσι τῶν συλλο-
5 γισμῶν ταῖς εἰς τὰ σχήματα, τί ἐστι περιέργως καὶ ἔξωθεν εἰλημμένον, καὶ
τί τῶν ἀναγκαίων παραλέλειπται, καὶ τὸ μὲν ἀναγκαῖον προσθετέον, τὸ δὲ
περιττὸν ἀφαιρετέον, ἕως ἂν ἔλθωμεν καὶ εὕρωμεν ζητοῦντες, ⟨τί⟩ τίνος χάριν
εἴληπται καὶ τί παρεῆται, εἰς τὰς δύο προτάσεις τὰς τοῦ συμπεράσματος
κυρίας. ἄνευ γὰρ τοῦ ταύτας εὑρεῖν τε καὶ λαβεῖν ἀποκρῖναι δὲ καὶ χωρίσαι
10 τὰς περιττὰς οὐκ ἔστιν ἀγαγεῖν εἰς σχῆμα τοὺς οὕτως ἠρωτημένους λόγους.
οἷον ἂν λαβών τις καθόλου πρότασιν τὴν 'πᾶν τὸ οἰκεῖον ἀγαθόν' λάβῃ καὶ
τὸ 'πᾶν καλὸν ἀγαθόν', λάβῃ δὲ καὶ τὸ 'πᾶν τὸ συμφέρον ἀγαθόν' ὁμοίως,
εἶτ' ἐπενέγκῃ συμπέρασμα τὸ 'ὑγίεια ἄρα ἀγαθόν'· ἐν γὰρ τούτῳ τῷ λόγῳ
αἱ μὲν 'πᾶν καλὸν ἀγαθόν' καὶ 'πᾶν συμφέρον ἀγαθόν' περιτταί. κἂν ᾖ δὲ
15 εἰλημμένον τό τε 'πᾶν τὸ κατὰ φύσιν οἰκεῖον' καὶ 'πᾶν τὸ κατὰ φύσιν ἀγαθόν'
καὶ συμπέρασμα ἐπὶ τούτῳ 'τὸ ὑγίεια ἄρα ἀγαθόν', τὸ 'ἡ μὲν ὑγίεια οἰκεῖον'
ἔσται πάλιν παρειμένον, αἱ δὲ 'πᾶν τὸ οἰκεῖον κατὰ φύσιν, πᾶν τὸ κατὰ φύσιν
ἀγαθόν' δεικνύοιεν τὴν εἰλημμένην πρότασιν τὴν 'πᾶν τὸ οἰκεῖον ἀγαθόν'.
[β'] χρὴ δὲ μὴ ἁπλῶς βλέπειν πρὸς τὸ συμπέρασμα καὶ ἐν τοῖς κειμένοις
20 ἀναγκαίως τι ἕπεται, ἡγεῖσθαι συλλογισμὸν εἶναι. οὐ γάρ, εἰ ὁ συλλογισμὸς
ἐξ ἀνάγκης δείκνυσί τι, ἤδη καὶ ἔνθα ἂν ᾖ ἐξ ἀνάγκης τι δεικνύμενον τῷ
τοῖς κειμένοις ἕπεσθαι, τοῦτο συλλογισμός ἐστιν· ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον
τοῦ συλλογισμοῦ. διὸ οὐχί, εἰ ἕπεται ἐξ ἀνάγκης ληφθέντι τῷ τὸ Α τῷ Β
ἴσον εἶναι καὶ τὸ Γ τῷ Β τὸ καὶ τὸ Α τῷ Γ ἴσον εἶναι, ἤδη καὶ συλλογι-
25 σμὸς τοῦτο. ἔσται δὲ συλλογιστικῶς τὸ συνιστάμενον, ἂν προσλαβόντες καθόλου
πρότασιν τὴν λέγουσαν "τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα" τὰ εἰλημ-
μένα δύο ὡς προτάσεις εἰς μίαν συστείλωμεν πρότασιν, ἣ ἴσον ταῖς δύο δύνα-
ται· ἔστι δ' αὕτη 'τὰ δὲ Α καὶ Γ τῷ αὐτῷ (τῷ γὰρ Β) ἴσα· συνάγεται
γὰρ κατὰ συλλογισμὸν οὕτως τὸ Α καὶ τὸ Γ ἀλλήλοις εἶναι ἴσα. | ὅμοιον 145ᵇ
30 τούτῳ καὶ τὸ λαβόντας τὸ Α μεῖζον εἶναι τοῦ Β καὶ τὸ Β τοῦ Γ εἰρῆσθαι
συλλογιστικῶς δείκνυσθαι τὸ καὶ τὸ Α ⟨τοῦ Γ⟩ μεῖζον εἶναι. ἐπεὶ ἀναγκαίως τοῦτο
ἕπεται. ἀλλ' οὔπω συλλογισμὸς τοῦτο, ἂν μὴ προσληφθῇ καθόλου πρότασις
ἡ λέγουσα 'πᾶν τὸ τοῦ μείζονός τινος μεῖζον καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν
ἐστι', τὰ δὲ κείμενα δύο πρότασις γένηται μία ἡ ἐλάττων ἐν τῷ συλλογισμῷ
35 λέγουσα 'τὸ δὲ Α τοῦ Β μείζονος ὄντος τοῦ Γ μεῖζόν ἐστι'· συναχθήσεται γὰρ
οὕτως τὸ καὶ τὸ Α τοῦ Γ μεῖζον εἶναι κατὰ συλλογισμόν. ἐπεὶ ἀναγκαίως
γε πολλάκις ληφθεῖσί τισιν ἀκολουθεῖ καὶ παρὰ τὴν τῆς ὕλης ἰδιότητα καίτοι
ἀσυλλογίστως κειμένων, ἐφ' οἷς τὸ ἀναγκαῖον, ὡς ἐπὶ τῶν ὁρισμῶν καὶ τῶν

1 τὸ "τὸ scripsi Al. 343,24 4 συνακτικαί Al. 343,26: συνακταί P 7 ζητοῦντες, τί Al. 343,30: ζητοῦν P 8 παρείαται Al. 343,31; at cf. 120,15 11 λάβῃ ex λάβε corr. P 16 ἡ μὲν P (B): μὲν ἡ Al. 344,4 (a) 18 δεικνύοιεν ἂν Al. 344,5 19 β' ut e mrg. illatum cancellis circumscripsi cf. 128,7 ἐν P (B): εἰ Al. 344,9 (a) 21 τῷ Al. 344,12: τὸ P 24 τὸ καὶ Al. 344,15: τῷ καὶ P 25 συναγόμενον Al. 344,16 27 δύο ὡς P (B): ὡς δύο Al. 344,17 (a) 30 εἰρῆσθαι P (B): ἡγεῖσθαι Diels Al. 344,21 31 τοῦ γ Al. 344,22: om. P

ἰδίων ἐν δευτέρῳ σχήματι δύο καταφατικῶν ληφθεισῶν προτάσεων. ὁμοίως τοῖς προειρημένοις καὶ οὗτος ὁ λόγος· ὅδε τις τῷδέ ἐστιν ἐκ τῶν αὐτῶν γονέων, οἷον ὁ Α τῷ Β· ἀλλὰ καὶ ὁ Β τῷ Γ ἐκ τῶν αὐτῶν ἐστι γονέων· ὁ Α ἄρα τῷ Γ ἐκ τῶν αὐτῶν γονέων ἐστί. λείπει γὰρ πρὸς τὸ συλλογισμὸν [illegible] καθόλου πρότασις ἡ λέγουσα πάντας τοὺς τῷ αὐτῷ ἐκ τῶν αὐτῶν [illegible] ἀδελφοὺς εἶναι· ἡ προτάσει ἂν προστεθῇ ἡ διῃρημένη μία γενομένη ἡ λέγουσα 'οἱ δὲ Α καὶ Γ ἐκ τῶν αὐτῶν γονέων εἰσὶ τῷ Β'· οὕτως γὰρ συνάγεται τὸ τοὺς Α Γ ἀδελφοὺς εἶναι. ὅτι γὰρ διὰ τὴν καθόλου πρότασιν [illegible] ὁ συλλογισμός, δῆλον ἐκ τοῦ μή. ἂν μὴ τὸ καθόλου ἀληθὲς ἦ, μηκέτ' ἀληθὲς εἶναι τὸ ἐπὶ τοῖς οὕτω ληφθεῖσι συμπέρασμα· οὐ γὰρ ἔτι ἀληθὲς γίνεται, ἂν λάβωμεν 'ὁ Α τοῦ Β ἀδελφός ἐστιν, ὁ Β τοῦ Γ ἀδελφός ἐστι', τὸ καὶ τὸν Α τοῦ Γ ἐξ ἀνάγκης ἀδελφὸν εἶναι τῷ μὴ εἶναι τὴν καθόλου πρότασιν ἀληθῆ τὴν ὅτι οἱ τῷ αὐτῷ ἀδελφοὶ καὶ ἀλλήλοις εἰσὶν [οἱ] ἀδελφοί. ὁ γὰρ παῖδα ἔχων καὶ ἀγαγόμενος ἄλλην γυναῖκα παῖδα καὶ αὐτὴν [illegible] ἐκ ταύτης παῖδα, ἑκατέρου μὲν τῶν προϋπαρχόντων αὐτοῖς παιδίων ἀδελφὸς ἔσται τοῦτο, οὐ μὴν διὰ τοῦτο καὶ ἀλλήλων ἀδελφοὶ οἱ προϋπάρχοντες.

Τοιοῦτοί εἰσιν, οὓς λέγουσιν οἱ νεώτεροι ἀμεθόδως περαίνοντας. | οὓς 146v
ὅτι μὲν ⟨μὴ⟩ λέγουσι συλλογιστικῶς συνάγειν, ὀγιῶς λέγουσι· πολλοὶ γὰρ αὐτῶν εἰσι τοιοῦτοι. ὅτι δὲ ἡγοῦνται ὁμοίους αὐτοὺς εἶναι τοῖς κατηγορικοῖς συλλογισμοῖς, περὶ ὧν ἡ παροῦσα πραγματεία, οὕτως λαμβανομένους, ὡς τιθέασιν αὐτούς, τοῦ παντὸς διαμαρτάνουσιν· εἰ γὰρ ἦσαν τούτοις ὅμοιοι, εἶχον ἂν καὶ τὸ εἶναι συλλογισμοί. νῦν δὲ οἱ μὲν πολλοὶ τῶν τοιούτων λόγων ἐκ πάντων ἐπὶ μέρους εἰσίν· ἡμεῖς δὲ ἐδείξαμεν μηδένα τῶν κατηγορικῶν συλλογισμῶν γινόμενον χωρὶς καθόλου προτάσεως. εἰ γὰρ ἐγίνετό τι κατὰ συλλογισμὸν συμπέρασμα ἐπὶ δύο προτάσεσιν ἐν μέρει, ἔδει ἐπὶ πάσης ὅλης τὸ ὅμοιον [illegible] συμπέρασμα· διὸ καὶ οὗτοι οὐκ ὄντες καθ' αὑτοὺς συλλογιστικοὶ προστεθείσης αὐτοῖς τῆς καθόλου προτάσεως, ὡς εἴρηται, γίνονται συλλογισμοί. ἡ γὰρ αἰτία τοῦ τοὺς λεγομένους ἀμεθόδως περαίνειν ἔχειν ἐξ ἀνάγκης τοῖς κειμένοις ἑπόμενον τὸ δοκοῦν συνάγεσθαι παρὰ τὸ καὶ ἐν τούτοις ἀληθῆ εἶναι τὴν καθόλου πρότασιν ὄντων τοιούτων τῶν λαμβανομένων, ἣν παραλείπουσι· διαιροῦσι δὲ τὴν ἐλάττονα εἰς δύο προτάσεις. τοιοῦτοι γάρ εἰσιν οἱ τοιόνδε· λέγει Δίων, ὅτι ἡμέρα ἐστίν· ἀλλὰ καὶ ἀληθεύει Δίων· ἡμέρα ἄρα ἐστί. πάλιν λέγει Δίων, ὅτι ἡμέρα ἐστίν· ἀλλὰ καὶ ἡμέρα ἐστίν· ἀληθεύει ἄρα Δίων. προσληφθέντι μὲν γὰρ τῷ εἶναι τοῦτο, ὃ λέγει τις, ἕπεται τὸ [illegible] ἐστίν· εἰ δὲ ἀληθεύειν προσληφθείη, ἕπεται τὸ εἶναι τοῦτο, ὃ λέγει εἶναι. ἐν ἑκατέρῳ γὰρ τῶν λόγων παρειάθησαν καθόλου προτάσεις [illegible] ἐστιν. ἐν τῷ μὲν τὸ 'πᾶν, ὃ λέγων τις ἀληθεύει, ἐκεῖνο ἔστιν· ἀληθεύει δὲ Δίων λέγων, ὅτι ἡμέρα ἐστίν', ὃ διήρηται εἴς τε τὸ 'λέγει Δίων, ὅτι

1 ὅρους Al. 344,31 7 οἱ Al. 345,1: ἡ P 9 μή prius om. Al. 345,4
12 τὸ Al. 345,6: τῷ P 14 οἱ om. Al. 345,8 18 περαίνοντας Al. 345,13: περαίνοντες P (B') 19 μὴ Al. 345,14: om. P 20 ὁμοίους Al. 345,15: ὁμοίως P 33 ἄρα Al. 345,29: ἔτι P cf. 120,18 39 λέγει Al. [illegible]: λέγειν P

ἡμέρα ἐστί' καὶ τὸ 'ἀλλὰ καὶ ἀληθεύει Δίων', ἐφ' οἷς συμπέρασμα κατὰ συλλογισμὸν τὸ 'ἡμέρα ἄρα ἐστίν, ὃ λέγει Δίων'· ἐν δὲ τῷ ἑτέρῳ ἡ μὲν παρειμένη πρότασις οὖσα καθόλου ἐστὶν ὅτι ὁ τὸ ὂν λέγων, ὅτι ἐστίν, ἀληθεύει· διήρηται δὲ ἡ 'Δίων δὲ ἡμέρας οὔσης λέγει, ὅτι ἡμέρα ἐστίν'· αὕτη γὰρ διήρηται εἴς τε τὴν 'λέγει Δίων, ὅτι ἡμέρα ἐστί' καὶ τὴν 'ἡμέρα ἐστί'. συμπέρασμα γὰρ συλλογιστικῶς, οὐκέτ' ἀμεθόδως | οὕτω λαμβανομένων τῶν προτάσεων 146v
τὸ 'Δίων ἀληθεύει'. ὅσον δὴ οἱ οὕτως λαμβανόμενοι τῶν ἐκείνως διαφέρουσι, τοσοῦτον καὶ οἱ κατηγορικοὶ συλλογισμοὶ τῶν λεγομένων ἀμεθόδως περαίνει.

Ἐπ' ἐνίων μὲν οὖν λόγων οὐ χαλεπὸν τὸ συνιδεῖν, τί ἐνδεῖ πρὸς τὸ πλήρη συλλογισμὸν γίνεσθαι, καὶ τί περιττὸν εἴληπται, ὡς ἐφ' ὧν προειρήκαμεν λόγων· δῆλον γὰρ ἐν τούτοις τὸ παρειμένον. ἀλλὰ καὶ ἐφ' ὧν ἄλλο τι συμπέρασμα ἐπενήνεκται καὶ οὐ τὸ ἐκ τῶν κειμένων συναγόμενον, ὡς ἔχει ἐπὶ τοῦ Ἐπικούρου λόγου ἠρωτημένου τοῦ 'θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δ' ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς'. ἀλλ' οὐ τοῦτο τὸ συναγόμενον, ἀλλ' ὅτι τὸ διαλυθὲν οὐδὲν πρὸς ἡμᾶς ἐν πρώτῳ σχήματι. ὁμοίως καὶ ἐπὶ τοῦ Παρμενίδου λόγου συνάγοντος, ὅτι ἓν τὸ ὄν, ⟨ἐκ τῶν 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ⟩ οὐκ ὂν οὐδέν'· καὶ γὰρ ἐνταῦθα τὸ συναγόμενον φανερόν ἐστι· συνάγεται γὰρ ἐκ τῶν κειμένων τὸ παρὰ τὸ ὂν μηδὲν εἶναι ἐν πρώτῳ σχήματι, ἀλλ' οὐ τὸ 'ἓν ἄρα τὸ ὄν', ὡς ἐκεῖνος οἴεται. δεῖ γὰρ καθόλου τὸ συμπέρασμα ἐκ τῶν ἄκρων τῶν εἰλημμένων ἐν ταῖς προτάσεσι ταῖς δύο συγκεῖσθαι. ἄκροι δέ εἰσιν ἐν ταῖς προτάσεσιν οἱ ἀνὰ ἅπαξ εἰλημμένοι ἐν τῇ θέσει τῶν προτάσεων· ὁ γὰρ ἐν ἀμφοτέραις κείμενος ταῖς προτάσεσι καὶ ἑκατέρῳ τῶν ἄκρων συναπτόμενος ὁ μέσος ἐστίν. ἐπ' ἐνίων μὲν οὖν, ὡς ἔφην, ῥᾷον τὸ φωρᾶσαι τὴν κατὰ λόγους ἁμαρτίαν· ἐπ' ἐνίων δὲ οὐ ῥᾴδιον συνιδεῖν, ἀλλὰ δοκοῦσι συλλογισμοὶ εἶναι, οὐκ ὄντες, διὰ τὸ τοῖς κειμένοις ἕπεσθαι τὸ ἐπιφερόμενον ἐξ ἀνάγκης, ὡς ἐφ' ὧν γε ἤδη εἰρήκαμεν, δῆλόν ἐστι καὶ ἐφ' οὗ νῦν παραθησόμεθα παραδείγματος, ὅ ἐστι τοιοῦτον· μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται οὐσία· ἐξ ὧν δέ ἐστί τι ἀναιρουμένων καὶ τὸ ἐκ τούτων φθείρεται. ἐκ γὰρ τούτων ἀναγκαῖον τὸ οὐσίας μέρος εἶναι οὐσίαν· οὐ μὴν συλλογιστικῶς δέδεικται. ἀλλὰ λείπουσί τινες προτάσεις πρὸς τὸ γενέσθαι ⟨συλλογισμόν, τουτέστιν οὐχ ἃ ἔδει ληφθῆναι κεῖνται, ἀλλ' αἱ μὲν ἰσοδυναμοῦσι⟩ ταῖς, ἐξ ὧν δειχθείη ἄν τι συλλογιστικῶς, τὸ δέ τι παρεᾶται. ἂν δὴ εἰς ἐκείνας μεταληφθῶσιν αὗται αἱ κείμεναι καὶ προσληφθείη τὸ | λεῖπον, συλλογισμὸς ἔσται. τῇ μὲν γὰρ 'οὐσίας μὴ ἀναι- 147r
ρουμένης οὐκ ἀναιρεῖται οὐσία' ἴσον δύναται αὐτῇ ἡ ἀντιστρέφουσα ἡ λέγουσα 'τὸ συναναιροῦν οὐσίαν οὐσία ἐστίν'· οὗ γὰρ ἀναιρουμένου ἀναιρεῖται οὐσία, ἐκεῖνο οὐσία ἐστίν. πάλιν δ' αὖ τῇ λεγούσῃ 'ἐξ ὧν δέ ἐστιν, ἀναιρου-

1 συμπέρασμα Al. 345,36: συμπεράσματος P 2 ἄρα Al. 345,32: ἔτι P cf. 122,33 13 ante ἐπικούρου add. ὑπὸ τοῦ Al. 346,14 (B: ἐπικούρῳ a) 17 ἐκ . . ὄν, τὸ Al. 346,18: om. P 18 περὶ P 19 ἄρα Al. 346,21: ἐστι P cf. vs. 2 29 φθείρεται scripsi: φθείρεσθαι P 30 ἀλλ' ἐλλείπουσι Al. 346,33 et Arist. 31 συλλογισμόν . . ἰσοδυναμοῦσι (32) Al. 346,33. 34: om. P 33 παρεῖται Al. 346,35; at cf. 121,8 34 προσληφθείη] sic etiam a B Al. 347,1 τῇ Al. 347,2: τῆς P 37 ante πάλιν expunxit οὐ γὰρ P

μένων καὶ τὸ ἐκ τούτων φθείρεται' προσληπτέον, ὡς εἶπον, τὸ 'ἐκ δὲ τῶν μερῶν τὸ ὅλον'· ἔσται γὰρ ἀληθὲς τὸ τῶν μερῶν ἀναιρουμένων τὸ ὅλον φθείρεσθαι, ᾧ ἕπεται καὶ τῶν τῆς οὐσίας μερῶν ἀναιρουμένων καὶ τὴν ἐξ αὐτῶν φθείρεσθαι, ᾧ ἴσον τὸ τὰ μέρη τῆς οὐσίας τὴν οὐσίαν ἀναιροῦντα οὐσίας εἶναι. ὃ μεταληφθὲν ἐξ ἐκείνων κεῖται. γίνονται οὖν προτάσεις 'τὰ μέρη τῆς οὐσίας ἀναιρεῖ οὐσίαν, τὰ συναναιροῦντα οὐσίαν οὐσία ἐστίν'· ἐκ τούτων συνάγεται συμπέρασμα τὸ 'τὰ μέρη τῆς οὐσίας οὐσία' ἐν πρώτῳ σχήματι. ἄλλαι τε οὖν ἀντ' ἄλλων προτάσεις ἐλήφθησαν ἐν τῷ λόγῳ καὶ παρειάθησαν [illegible].

Ἔτι καὶ τοῦτο ⟨τὸ⟩ παράδειγμα αἰτιῶμαι ὡς ἔχον μὲν ἐξ ἀνάγκης τοῖς κειμένοις ἑπόμενον, τῷ γε ἀνθρώπου ὄντος ζῶον εἶναι καὶ ζώου ὄντος οὐσίαν εἶναι, τὸ ἀνθρώπου ὄντος οὐσίαν εἶναι, οὐ μὴν συλλογιστικῶς. οὐ γὰρ ἔχουσιν αἱ προτάσεις, ὡς εἴρηται δεῖν ἔχειν, εἰ μέλλοι συλλογισμὸς ἔσεσθαι· ἔστι δὲ τοῦτο τὸ δεῖν ἢ ἀμφοτέρας εἶναι τὰς προτάσεις καθόλου ἢ πάντως γε τὴν ἑτέραν. ἐνταῦθα δὲ οὐδεμία εἴληπται καθόλου. τῷ μέντοι τὴν καθόλου ἀληθῆ εἶναι τὴν παρειμένην, ἧς τεθείσης συλλογισμὸς ἔσται, ἀληθῆ δοκεῖ τὰ τοῖς κειμένοις ἕπεσθαι δοκοῦντα. ἔστι δὲ ἡ καθόλου πρότασις 'πᾶν τὸ ἑπόμενόν τινι ἕπεται καὶ ᾧ ἐκεῖνο ἕπεται'. ἐν δὲ τῷ 'εἰ ἀνθρώπου ὄντος ζῶόν ἐστι καὶ ζώου ὄντος οὐσία' τῷ μὲν ζώῳ ἕπεται ἡ οὐσία, τῷ δὲ ἀνθρώπῳ ἕπεται τὸ ζῶον· καὶ τῷ ἀνθρώπῳ ἄρα ἕπεται ἡ οὐσία. ἢ καὶ οὕτως· ἐν οἷς τρισὶν οὖσιν ἕπεται τῷ πρώτῳ τὸ δεύτερον καὶ τῷ δευτέρῳ τὸ τρίτον, ἐν τούτοις ἀκολουθεῖ καὶ τῷ πρώτῳ τὸ τρίτον· ἐν δὲ τῷ ἀνθρώπῳ καὶ τῷ ζώῳ καὶ τῇ οὐσίᾳ τρισὶν οὖσιν ἀκολουθεῖ τῷ μὲν | ἀνθρώπῳ τὸ ζῶον, τῷ δὲ 147v
ζώῳ ἡ οὐσία· ἐν τούτοις ἄρα ἀκολουθήσει καὶ τῷ ἀνθρώπῳ ἡ οὐσία. ληφθέντος γὰρ τοῦ καθόλου, οὗ προειρήκαμεν, καὶ προσληφθέντος αὐτῷ τοῦ 'ἀνθρώπου δὲ ὄντος ζῶόν ἐστι καὶ ζώου οὐσία' συνάγεσθαι συλλογιστικῶς καὶ ἐν τούτοις ἀνθρώπου ὄντος οὐσίαν εἶναι. ὅτι γὰρ οὐ παρὰ τὴν κειμένην ἀκολουθίαν τὸ συμπέρασμα ἀλλὰ παρὰ τὸ τὴν καθόλου ἀληθῆ εἶναι, ἣν προσειλήφαμεν, δῆλον ἂν γένοιτο. εἰ ἄλλην τινὰ ἀκολουθίαν προχειρισαίμεθα ἀληθῆ μὲν αὐτὴν οὖσαν, οὐδὲ ὑπό τι ἀληθὲς καθόλου τεταγμένην. οἷα ἐστὶν ἡ τοιαύτη 'τὸ Α τοῦ Β πήχει ὑπερέχει, καὶ τὸ Β τοῦ Γ πήχει ὑπερέχει'. οὐκέτι γὰρ καὶ τὸ Α τοῦ Γ πήχει ὑπερέξει· ψεῦδος γὰρ τοῦτο. ἡ δ' αἰτία τούτου, ὅτι καὶ ἡ καθόλου ψευδὴς ἡ λέγουσα 'εἴ τί τινος ὑπερέχει μέτρῳ τινὶ κἀκεῖνο ἄλλου τῷ αὐτῷ, καὶ τὸ πρῶτον τοῦ τρίτου τῷ αὐτῷ ὑπερέξει'. δῆλον δὲ διὰ τούτων καὶ ὡς ὁ διὰ τριῶν λεγόμενος λόγος ἐξ ἀνάγκης μὲν ἔχει τὸ ἑπόμενον τὸ τοῦ πρώτου ὄντος τὸ τρίτον εἶναι, οὐ μὴν συλλογιστικῶς, οὐδ' ἔστιν ὁ διὰ τριῶν λόγος συλλογισμὸς οὐδὲ ὅλως ὁ δι' ὅλων ὑποθετικὸς λεγόμενος. διὸ καὶ μᾶλλον δύναται ἐπὶ τοῦ παραδείγματος τοῦ 'εἰ ἀνθρώπου ὄντος ἀνάγκη

1 εἶπον P: λεῖπον Al. 347,7 3 ᾧ Al. 347,8: ὡς P post ἕπεται add. τὸ Al. 4 οὐσίας alterum P (B): οὐσίαν Al. 347,10 (a) 6 συναναιρεῖ Al. 347,11 10 τὸ Al. 347,18: om. P 11 τῷ Al. 347,19: τό P 15 τῷ Al. 347,23: τὸ P 17 κειμένοις Al. 347,25: ἑπομένοις P 25 προσληφθέντος Al. 347,34: προληφθέντος P 26 συνάγεσθαι P (B): συνάγεται Al. 348,1 (a) 29 post μὲν addidi καὶ Al. 348,1 30 οὐκέτι δὲ ὑπό τι Al. 348,5: οὐκέτ' P

ζῶον εἶναι' εἰρῆσθαι τὸ 'ἀλλ' οὔπω συλλελόγισται'· οὐ γὰρ ἔχουσιν αἱ προτάσεις. ὡς εἴπομεν, ὅτι μὴ δεικτικῶς μηδὲ καθόλου ἐλήφθησαν. ἔσται γὰρ συλλογισμός, ἂν οὕτω ληφθῶσι 'πᾶς ἄνθρωπος ζῶον, πᾶν ζῶον οὐσία'. ἐκείνων δὲ ληφθέντων ἀναγκαῖον μὲν τὸ συμβαῖνον οὐ μὴν συλλογιστικῶς, ἐπεὶ πᾶς
5 συλλογισμὸς κεῖται ὑπάρχειν ἢ μὴ ὑπάρχειν δεικνύναι. δυνατὸν πάλιν τὸ 'εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῶον εἶναι καὶ ζώου οὐσίαν' αἰτιᾶσθαι ὡς μὴ συλλογιστικῶς συνάγον, ὅτι ἀδιόριστοι αἱ προτάσεις, ἥ τε 'ὁ ἄνθρωπος ζῶον' καὶ ἡ 'τὸ ζῶον οὐσία'. καὶ τοῖς ἑξῆς φανερώτερον περὶ τούτων. ὥστ' ἐπεὶ ταῦθ' οὕτως ἔχει, οὐ δεῖ ἀναγκαίου τινὸς συμβαίνοντος εὐθὺς πειρᾶσθαι ἀνά-
10 γειν τε καὶ ἀναλύειν· ἀλλ' ὅταν συλλογιστικῶς συμβαίνῃ τι, τότε δεῖ ἀνάγειν τὸν λόγον εἴς τι τῶν σχημάτων ὡς ὄντα συλλογισμόν, ἀλλ' οὐχ ὅταν ἁπλῶς 149r
ἐξ ἀνάγκης συμβαίνῃ τι. εἰ δὲ οὕτω ταῦτα λέγοιτο, εἴη ἂν καὶ ἐν τῷ τοῦ συλλογισμοῦ ὅρῳ τὸ 'τεθέντων' ἀντὶ τοῦ 'κατηγορικῶς ληφθέντων' εἰρημένον ἡμῖν ἴσον τῷ 'εἶναι ἢ μὴ εἶναι ληφθέντων' ἀλλ' οὐχ 'ὑποτεθέντων', ἐπεὶ μὴ
15 συλλογιστικῶς τοῖς ὑποτεθεῖσι τὸ ἀναγκαίως ἑπόμενον ἕπεται. ἐπεὶ οὖν ἡμῖν ταῦτα εἴρηται, ἐπανελθετέον πάλιν ἐπὶ τὸ προειρημένον τὸ ὅτι πρῶτον ληπτέον τὰς δύο προτάσεις (ῥᾷον γάρ, ὡς εἴπομεν, εἰς τὰ μεγάλα καὶ συγκείμενα διελεῖν), εἶτα οὕτως ἐκ τῶν προτάσεων τοὺς ὅρους ἐκληπτέον καὶ μέσον τὸν ὅρον θετέον τὸν ἐν ἀμφοτέραις ὄντα ταῖς προτάσεσιν. ὁ γὰρ δὶς λαμ-
20 βανόμενος καὶ ἑκατέρῳ συντεθειμένος τῶν ἄκρων ἐν πᾶσι τοῖς σχήμασιν ὁ αὐτός ἐστιν ὁ μέσος ὅρος. τοιοῦτος γὰρ καὶ ὁ μέσος ὅρος ἐν τοῖς τρισὶ σχήμασι.

Ῥᾳδία οὖν λοιπὸν μετὰ τοῦτο ἡ ἀγωγὴ εἰς τὸ οἰκεῖον σχῆμα τοῦ ἀναγομένου συλλογισμοῦ· ἡ γὰρ τοῦ μέσου πρὸς τοὺς ἄκρους σχέσις τοῦτο φανερὸν
25 ποιεῖ. ἂν μὲν γὰρ ὁ μέσος ἐν ἀμφοτέραις ὦν ταῖς προτάσεσιν οὕτως ᾖ ὡς τοῦ μὲν κατηγορεῖσθαι αὐτὸν τῷ δὲ ὑποκεῖσθαι, πρῶτον ἔσται σχῆμα. ὁμοίως κἂν αὐτὸ μέν τινος κατηγορῆται ἄλλο δὲ αὐτοῦ ἀποφάσκηται. ἐὰν δὲ ἀμφοτέρων κατηγορῆται τῶν ἄκρων, τοῦ μὲν καταφατικῶς τοῦ δὲ ἀποφατικῶς, ἐν δευτέρῳ σχήματι ὁ συλλογισμός· ἄλλως γὰρ ἔχοντος τοῦ μέσου πρὸς τοὺς
30 ἄκρους, ὧν κατηγορεῖται, ἔσται μὲν ἐν δευτέρῳ σχήματι ἡ συζυγία, ἀλλ' οὐ συλλογιστική. ἐὰν δὲ τὰ ἄκρα ταῦτα τοῦ μέσου ἀμφότερα κατηγορῆται, ἢ καταφατικῶς ἢ θάτερον μὲν καταφατικῶς θάτερον δὲ ἀποφατικῶς, ὁ συλλογισμὸς ἐν τρίτῳ σχήματι. ὁμοίως δὲ ἀναχθήσονται οἱ συλλογισμοί, κἂν μὴ ἀμφότεραι ὦσιν αἱ προτάσεις καθόλου ἀλλ' ἡ ἑτέρα μόνον· καὶ γὰρ καθόλου
35 οὐσῶν τῶν προτάσεων ἀμφοτέρων καὶ τῆς ἑτέρας μόνης τριττὴ τοῦ μέσου πρὸς τοὺς ἄκρους ἡ σχέσις, κατὰ δὲ τὰς τῶν σχέσεων διαφορὰς ἡ τῶν σχημάτων διαφορά. δῆλον δὲ ἐκ τῶν εἰρημένων ἐστὶ τοῦτο, ὅτι, ἐν ᾧ λόγῳ ὁ αὐτὸς ὅρος πλεονάκις οὐκ εἴληπται, οὗτος οὐκ ἔστι συλλογισμός· ἀδύ|νατον 149v
γὰρ συλλογισμὸν γενέσθαι χωρὶς μέσου, ὡς δέδεικται· μέσος δέ ἐστιν ἐν πᾶσι
40 τοῖς σχήμασιν ὁ δὶς λαμβανόμενος.

---

3 ἐκείνως Al. 348,17 8 λέγει μέντοι . . . ἐν τοῖς ἑξῆς Al. 348,22 26 αὐτῶν Al. 349,6 31 post ταῦτα add. γὰρ εἶπε τὰ ἄλλα Al. 349,14 32 ἀποφατικῶς Al. 349,15: ἀποφατικός P 35 τριττὴ Al. 349,18: περιττὴ P 38 ὅρος Al. 349,21: λόγος P

Ἐπεὶ δὲ ἔχομεν τεσσάρων ὄντων τῶν προβλημάτων, ποῖον ἐν ἑκάστῳ σχήματι δείκνυται, ὑπογραπτέον καὶ ταύτην τὴν ὁδὸν τῆς ἀναλύσεως τῶν συλλογισμῶν τῆς εἰς τὰ σχήματα· χρὴ λαβόντας τὸ πρόβλημα καὶ τὸ συμπέρασμα, δι' οὗ σχήματος συνάγεσθαι τοῦτο πέφυκεν, ἐν τούτῳ ζητεῖν ἀναλύειν καὶ μὴ ἐν πᾶσιν. ἐπὶ μὲν οὖν τοῦ καθόλου καταφατικοῦ ῥᾴδιον τοῦτο· ἐν γὰρ τῷ πρώτῳ σχήματι μόνῳ τοῦτο δέδεικται τὸ πρόβλημα. τῶν δ' ἄλλων προβλημάτων τὸ μὲν καθόλου ἀποφατικὸν διά τε τοῦ πρώτου δείκνυται καὶ τοῦ δευτέρου σχήματος, τὸ δὲ ἐπὶ μέρους καταφατικὸν πάλιν διά τε τοῦ πρώτου καὶ διὰ τοῦ τρίτου, τὸ δὲ ἐπὶ μέρους ἀποφατικὸν διὰ τῶν τριῶν. ἐπὶ δὲ τῶν τριῶν σχημάτων δεικνυμένων προβλημάτων ἐπιβλεπτέον καὶ ἐκεῖνο, ὅτι μάλιστα δείκνυται, καὶ τὸ πλεονάκις. οὐ μὴν ἀλλὰ γνώριμον ποιήσει τὸ σχῆμα ἡ τοῦ μέσου θέσις· εἰ γὰρ ὁ αὐτὸς ὑποκείμενός τε καὶ κατηγορούμενος εἴη, τὸ πρῶτον, εἰ δὲ μόνον κατηγορούμενος, τὸ δεύτερον, εἰ δὲ μόνον ὑποκείμενος, τὸ τρίτον.

Ἐπεὶ δ' ἐδείξαμεν, πῶς χρὴ τὴν ἀνάλυσιν τῶν συλλογισμῶν ποιεῖσθαι, νῦν ὑπογράψωμεν, τίνα δεῖ φυλάττεσθαι ὡς δυνάμενα ἡμᾶς ἐξαπατᾶν πρὸς τὸ ἡγεῖσθαι τοὺς μὴ συλλογισμοὺς συλλογισμοὺς εἶναι· τοῦτο γὰρ εἰδότες φυλάττεσθαι καὶ μεταστησόμεν ὡς συλλογισμοὺς ἀναλύειν πειρώμενοι τοὺς μὴ συλλογισμούς. πρῶτον μὲν οὖν χρὴ μὴ πρὸς τὸ ἀναγκαίως ἕπεσθαι τοῖς κειμένοις τὸ ἐπιφερόμενον βλέποντας εὐθὺς ἡγεῖσθαι καὶ συλλογιστικὸν εἶναι τὸν λόγον· ἀπάτη γὰρ γίνεται παρὰ τοῦτο. εἴρηται δὲ περὶ τούτου καὶ δέδεικται, ὅτι ἐπὶ πλέον τὸ ἀναγκαῖον τὸ ἐν τοῖς λόγοις τοῦ ἐν συλλογισμῷ. ἐνίοτε δὲ ἀπατώμεθα διὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων θέσεως· οὐδὲν γὰρ δοκεῖ διαφέρειν ἢ ἀδιορίστως θεῖναι τὴν πρότασιν ἢ καθόλου. διὸ καὶ προτείναντός τινος ἀδιόριστον πρότασιν συγχωροῦμεν ὡς οὐδὲν διαφέρουσαν τῆς καθόλου. τοιούτων δὲ ληφθεισῶν οὐ γίνεται συλλογισμός. οἷον ἔστω ἐπὶ μὲν τοῦ Α ἀεὶ εἶναι, | ἐπὶ δὲ τοῦ Β διανοητὸς Ἀριστομένης, ⟨ἐπὶ δὲ τοῦ Γ Ἀριστομένης.⟩ κατηγο- 150
ρείσθω οὖν τὸ Α κατὰ τοῦ Β ἀδιορίστως, τὸ ἀεὶ εἶναι κατὰ τοῦ διανοητοῦ Ἀριστομένους. ἀληθὲς ὄν (διανοητὸς γὰρ Ἀριστομένης ἀεί, τουτέστιν οἷόν τε ἀεὶ διανοεῖσθαί τινα Ἀριστομένην καὶ διανοεῖσθαί τινα περὶ Ἀριστομένους). τὸ δὲ Β κατὰ τοῦ Γ· καὶ γὰρ τοῦτο ἀληθὲς τὸ τὸν Ἀριστομένην, ὅπερ ἐστὶ τὸ Γ, διανοητὸν εἶναι Ἀριστομένην, ὃ ἦν τὸ Β. οὐκέτι οὖν ἀληθὲς γίνεται τὸ τὸ Α κατὰ τοῦ Γ, τὸ ἀεὶ εἶναι κατὰ Ἀριστομένους, ὅπερ ἐστὶ τὸ συνάγεσθαι δοκοῦν. οὐ γὰρ ἀεί ἐστιν Ἀριστομένης· φθαρτὸς γάρ. οὕτως δὲ ⟨δόξει⟩ διαβάλλεσθαι τοῦ πρώτου σχήματος ἡ πρώτη συμπλοκὴ καὶ ὁ πρῶτος συλλογισμός, εἴ γε ἀληθῶν οὐσῶν τῶν προτάσεων τὸ συμπέρασμα ψεῦδος. ἀλλὰ τούτου αἴτιον τὸ μὴ συλλογιστικῶς ληφθῆναι τὰς προτάσεις. ἀδιορίστως μὲν

4 σχήματος Al. 349,29: σχῆμα P ἐν τούτῳ Al.: ἐκ τοῦ P 7 προβλημάτων Al. 349,32: πρόβλημα P 11 τὸ om. Al. 350,5 13 μόνον Al. 350,7: μὴ P 14 ὑποκείμενος Al. 350,8: ὑποκείμενον P 18 μεταιστησόμεν Al. 350,22: μεταστησόμεν P 21 παρὰ Al. 350,25: περὶ P περὶ Al.: παρὰ P 26 γίνεται Al. 350,30: ᾖ P 27 ἐπὶ . . . Ἀριστομένης Al. 350,32: om. P 33 τὸ (ante ἀεὶ) Al. 351,3: καὶ P 34 δόξει Al. 351,5: om. P

γὰρ λαμβανομένη ἡ Α Β πρότασις ἀληθὴς εἶναι δύναται ἡ λέγουσα ἀεὶ εἶναι τὸν διανοητὸν Ἀριστομένην. ἂν μέντοι καθόλου ληφθῇ 'πᾶς ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστιν', ψευδής. ὁ γὰρ λέγων 'πᾶς ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστιν', οὐκέτι λαμβάνει πάντα τὸν διανοητὸν Ἀριστομένην ἀεὶ εἶναι διανοητόν. 5 ἀλλὰ Ἀριστομένη, ᾧ ὑπάρχει διανοητῷ εἶναι, ⟨ἀεὶ εἶναι⟩· ὁ ψεῦδος ὂν εἰ ἐσήμαινε καὶ ἡ ἀδιόριστος ἡ λέγουσα 'ὁ διανοητὸς Ἀριστομένης ἀεί ἐστι'. ψευδὴς ἂν ἦν καὶ αὕτη τῷ μηκέτι ⟨Ἀριστομένη, ᾧ συμβέβηκε⟩ διανοητῷ εἶναι, δύνασθαι ἀεὶ εἶναι. νῦν δὲ ἄλλο μὲν ὑπ' ἐκείνης τῆς ἀδιορίστου ἐσημαίνετο, ἄλλο δὲ τὸ σημαινόμενον καὶ ἀλλοῖον ἐγένετο τοῦ 'πᾶς' προστεθέντος. ἐπεὶ εἰ καὶ προστε- 10 θέντος τοῦ 'πᾶς' ταὐτὸ ἔτι ἐσημαίνετο, ἦν ἂν καὶ ἡ καθόλου ὁμοίως τῇ ἀδιορίστῳ ἀληθής· πᾶς γὰρ Ἀριστομένης ἀεὶ διανοητός ἐστι. διὸ οὐ ταὐτὸν τὸ νῦν εἰρημένον ὑφ' ἡμῶν τῷ πρὸ ὀλίγου, ὅτε ἐλέγομεν "πάλιν εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῶον εἶναι". οὕτως δέ γε λαμβανομένη ἀνάγκη συλλογιστικὴ γίνεται, ἀλλ' οὐκ ἀδιορίστως· δεῖ γὰρ ἐν τῷ πρώτῳ σχήματι τὴν μείζονα 15 πρότασιν ἀεὶ καθόλου εἶναι. χρηστέον δὲ καὶ ἄλλῳ παραδείγματι πρὸς τὴν τοῦ αὐτοῦ δεῖξιν· λαμβανέσθω γὰρ ἐπὶ μὲν τοῦ Γ Μίκκαλος, ἐπὶ δὲ τοῦ Β μουσικὸς Μίκκαλος. ἐπὶ δὲ τοῦ Α τὸ φθείρεσθαι Μίκκαλον αὔριον· ἔπειτα 156 τὸ μὲν Β τοῦ Γ κατηγορείσθω, ὁ μουσικὸς Μίκκαλος Μικκάλου, ὡς ἀληθὲς ὄν. τὸ δὲ Α τοῦ ⟨Β,⟩ φθείρεσθαι αὔριον κατὰ μουσικοῦ Μικκάλου. ἐνδε- 20 χόμενον δὲ λαμβανέσθω τοῦτο ὡς καὶ τὸν διανοητὸν Ἀριστομένην ἀεὶ εἶναι ἢ ὡς Μικκάλου μουσικοῦ φθειρομένου αὔριον τῷ ἀποβάλλειν τὴν μουσικήν. τούτων γὰρ ὄντων ἀληθῶν ψεῦδός ἐστιν ἐπὶ τούτοις τὸ λέγειν συλλογιστικῶς τὸ Α τοῦ Β κατηγορεῖσθαι· καὶ γὰρ εἰ ἄλλως ἀληθές, ἀλλ' ὡς ἐν συλλογισμῷ ψεῦδος. ταῦτα δὲ λέγων οὐ περὶ τοῦ συμπεράσματος ἀκριβολογούμενος 25 λέγω νῦν, ἀλλὰ μόνον ἐνδείκνυμαι τὴν τῆς ἀδιορίστου καὶ τῆς καθόλου προτάσεως διαφορὰν διὰ τὸ λαβεῖν τῆς λεγούσης μουσικὸν αὔριον Μίκκαλον φθείρεσθαι ἀληθοῦς οὔσης μὴ πάντως ἀληθῆ γίνεσθαι τὴν λέγουσαν πάντα μουσικὸν Μίκκαλον αὔριον φθείρεσθαι· τὸ γὰρ 'καθόλου Μίκκαλος μουσικός' τὴν 'πᾶς Μίκκαλος μουσικός' σημαίνει. ἔστι δὲ τὸ λεγόμενον δεῖξαι καὶ διὰ φανερωτέρων 30 παραδειγμάτων. ἔστω μείζων μὲν ὅρος ἀγαθόν, μέσος δὲ οἰκεῖον, ἐλάττων δὲ ἡδονή· τὸ δὴ ἀγαθὸν κατὰ τοῦ οἰκείου κατηγορείσθω· ἀλλὰ καὶ τὸ οἰκεῖον κατὰ τῆς ἡδονῆς. ἀληθῶν δὴ τῶν προτάσεων οὐσῶν οὐ πάντως τὸ ἀγαθὸν κατὰ τῆς ἡδονῆς, ὅτι μὴ ἐλήφθη τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ οἰκείου, ἀλλ' ἀδιορίστως. ἀλλὰ κἂν λάβῃ τις, ὅτι ἡ ποιότης ποιεῖ, τὸ ποιοῦν σῶμα, οὐ 35 συλλογιεῖται 'ἡ ποιότης ἄρα σῶμα'. οὐ γὰρ ἔλαβε 'πᾶν τὸ ποιοῦν σῶμα'· ψεῦδος γάρ· ἀδιορίστως γὰρ ληφθὲν ἀληθὲς μέν, ἀσυλλόγιστον δέ. ὁμοίως δέ. ⟨κἂν⟩ μὲν τὸν ἄνθρωπον λάβῃ ζῶον εἶναι τὸ δὲ ζῶον γένος· οὐδὲ γὰρ καὶ

3 ψευδής . . . ἐστιν (4) Al. 351,11: om. P 5 ἀεὶ εἶναι Al. 351,13: om. P
ὂν Al. 351,13: εἶναι P 7 μηκέτι P: μηδέ τινα Al. 351,15 Ἀριστομένη, ᾧ συμβέβηκε Al.: om. P 14 γίνεται Al. 351,22: γίνεσθαι P 19 β, (post quod addidi τὸ) Al. 351,28: om. P 21 τῷ Al. 351,30: τὸ P 26 διὰ τοῦ Al. 352,23 μίκκαλον αὔριον Al. 35 ἄρα Al. 352,33: ἔτι P cf. 123,19
37 κἂν Al. 352,35: om. P τὸν μὲν Al.

ὁ ἄνθρωπος γένος. γίνεται δὲ ἐν τοῖς τοιούτοις ἡ ἀπάτη διὰ τὸ τῷ καθόλου ἐφαρμόζειν τὸ ἀδιόριστον· ὡς γὰρ τοῦ ἀδιορίστου ἴσον τῷ καθόλου δυναμένου συγχωροῦσι καὶ δέχονται. πλεῖστον δὲ διαφέρει· τὸ μὲν γὰρ καθόλου καὶ ἀδιορίστως εἰπεῖν ἀληθές, τὸ δὲ ἀδιορίστως ἀληθὲς οὐκέτι καὶ καθόλου ἐξ ἀνάγκης. ταύτην μὲν οὖν καὶ τὴν τοιαύτην ἀπάτην γίνεσθαί φημι διὰ τὸ παρὰ μικρόν· ὡς γὰρ οὐδὲν διαφέρον καθόλου εἰπεῖν πρότασιν ἢ ἀδιόριστον συγχωρήσαντες τὴν | ἀδιόριστον ὡς καθόλου 151r
ἀποτόνωσιν.

[δ'] αἰτία δ' ἀπάτης πάλιν γίνεται καὶ ἡ τῶν ὅρων ἔκθεσις· εἰ γὰρ λόγον ἀναλύοντες τὸν 'τὸ ὑγιαίνειν οὐδενὶ νοσοῦντι ὑπάρχει' λέγοντα, 'τὸ νοσεῖν παντὶ ἀνθρώπῳ' ἐκτιθέμενοι τοὺς ὅρους μὴ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν λαμβάνομεν ἀλλὰ νόσον καὶ ὑγίειαν, ἔσται τοῦτο ἡμῖν ἀπάτης αἴτιον. οὐ γὰρ δεόντως τοῦτο γεγένηται· ὅταν γὰρ ἀντὶ τῶν κατὰ τὰς ἕξεις αὐτὰς τὰς ἕξεις ἐν τοῖς ὅροις λάβωμεν ὡς μηδὲν διαφέρον οὕτως ἢ ἐκείνως λαβεῖν, ἀσυλλογίστους παρὰ τοῦτο ποιήσομεν τοὺς λόγους. ἐπεὶ γὰρ οὐκ ἔστιν ἀληθὲς οὐδὲ δυνατὸν 'ἄνθρωπος ὑγεία ἐστίν' ἢ 'ἄνθρωπος νόσος ἐστί', δύναται μέντοι ἀληθὲς εἶναι τὸ 'ἄνθρωπος νοσεῖ' ἢ τὸ ὑπάρχειν νόσον ἢ τὸ νοσεῖν ἀνθρώπῳ ἢ πάλιν τὸ 'ἄνθρωπος ὑγιαίνει' ἢ 'ὑπάρχει αὐτῷ ὑγεία ἢ τὸ ὑγιαίνειν' (ἡ μὲν γὰρ ὑγεία καὶ ἡ νόσος αἱ ἕξεις ἦσαν, τὸ δὲ 'ὑγιαίνει' καὶ τὸ 'νοσεῖ' διαθέσεις κατὰ τὰς ἕξεις), ὅταν οὖν τοὺς ὅρους τούτους ἐκτιθώμεθα ὡς κατηγορήσοντες τοῦ ἀνθρώπου, οὐ τὰς ἕξεις αὐτὰς χρὴ λαμβάνειν ἀλλὰ τὰς κατὰ τὰς ἕξεις διαθέσεις· ἢ γὰρ ψευδῆ πρότασιν ληψόμεθα, ἢ ἀσυλλόγιστος ὁ λόγος ἔσται. εἰ γὰρ λάβωμεν μείζονα ὑγίειαν, μέσον δὲ νόσον, ἐλάττονα δὲ ἄνθρωπον, ἐπεὶ ἡ ὑγίεια ἐξ ἀνάγκης οὐδεμιᾷ νόσῳ, ὅπερ ἐστὶν ἀληθές (ἐξ ἀνάγκης γὰρ οὐδεμία νόσος ⟨ὑγεία ἐστίν⟩), τὴν δὲ νόσον τῷ ἀνθρώπῳ ὑπάρχειν παντὶ θῶμεν, οἷον νόσος παντὶ ἀνθρώπῳ (οὐ γὰρ ἀδύνατον δόξει, ἐπειδὴ πᾶς ἄνθρωπος δοκεῖ δεκτικὸς εἶναι νόσου), δεήσει μὲν συνάγεσθαι τὸ ἐξ ἀνάγκης τὴν ὑγίειαν μηδενὶ ἀνθρώπῳ, ἐπειδὴ εἴληπται ἐν τῷ πρώτῳ σχήματι ἀναγκαία μὲν ἡ μείζων ὑπάρχουσα δὲ ἡ ἐλάττων, ἐδόκει δὲ ἡμῖν ἐν ταῖς τοιαύταις μίξεσιν ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα, ὅπερ ψεῦδός ἐστιν ἐπὶ τοῦ προκειμένου· τὸ γὰρ ὑγείαν ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ ὑπάρχειν ψεῦδος. τοῦτο δὲ τὸ ἄτοπον ἠκολουθηκέναι φημὶ παρὰ τὸ τοὺς ὅρους μὴ καλῶς ληφθῆναι· οὐ γὰρ τὰς ἕξεις ἐν τοῖς ὅροις δεῖ τιθέναι, τῷ τε μείζονι καὶ τῷ μέσῳ, τὴν ὑγείαν καὶ | τὴν νόσον, ἀλλὰ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ἅ ἐστι κατὰ τὰς ἕξεις· 151v
οὕτως γὰρ ληφθέντων οὐκέτι γίνεται ἀληθὲς τὸ ὑγιαίνειν ἐξ ἀνάγκης μηδενὶ νοσοῦντι. οὕτως δὲ δεῖ λαμβάνειν, ὅτι τὸ μὲν πάντα ἄνθρωπον νοσεῖν δύναται ὡς ὑπάρχον ἀληθὲς ληφθῆναι καθ' ὑπόθεσιν, τὸ δὲ πάντα ἄνθρωπον [illegible] ἀνάγκαν. ὃ οὖν τοῦ ἀνθρώπου κατηγορεῖται, τοῦτο δεῖ μέσον ὅρον τιθέναι· ἔστι δὲ τὸ νοσεῖν· οὕτως γὰρ ἀληθὲς τὸ νόσον ὑπάρχειν παντὶ

1 δ' ut e mrg. illatum cancellis circumscripsi cf. 121,19 εἰ Al. 353,10: οἱ P
15 περὶ P 23 εἰξ P 25 γὰρ Al. 353,26: δὲ P ὑγεία ἐστίν Al.: om. P 25. 26 παντὶ θῶμεν Al. 353,27: παραθῶμεν P cf. 55,32 32 περὶ P
1 δ' Al. 353,35: πρῶτον (ortum ex ᾱ) P

ἀνθρώπῳ, ὅτι νοσεῖν οἷόν τε αὐτόν, οὐχ ὅτι ⟨νόσον⟩ εἶναι. οὐ γὰρ ὁμοίως τοῦ ἀνθρώπου τὸ ζῶον καὶ ἡ νόσος κατηγορεῖται· τὸ μὲν γὰρ τὸν ἄνθρωπον ζῶον εἶναι ἀληθές, τὸ δὲ νόσον εἶναι οὐκ ἀληθές, ὅτι μὴ ἐν τῷ τί ἐστιν αὐτοῦ τῶν τοιούτων τι κατηγορεῖται. οὐδεμία δὲ νόσος ὑγεία ἐξ ἀνάγκης, καθ' ὅσον οὐχ οἷόν τε τὴν νόσον ὑγείαν εἶναι. καὶ ἄλλως τὸ ἀληθὲς ἐπὶ τῆς πρώτης προτάσεως, ἄλλως δὲ ἐπὶ τῆς δευτέρας· ἐπὶ μὲν γὰρ τῆς πρώτης τῷ τὴν νόσον εἰλῆφθαι, ἐπὶ δὲ τῆς δευτέρας τῷ τὸ νοσοῦν. τοῦ δὴ νοσοῦντος εἰ μὲν τὸ ὑγιαῖνον κατηγοροῖτο, ἐνδεχομένη ἀποφατικὴ ἔσται ἀλλ' οὐκ ἀναγκαία. καὶ τὸ συμπέρασμα τοιοῦτον (τὸ γὰρ ὑγιαίνειν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ), εἰ δὲ ἡ ὑγίεια, ἔσται καὶ τὸ συμπέρασμα ἀναγκαῖον ἀποφατικόν· ἐξ ἀνάγκης γὰρ οὐδεὶς ἄνθρωπος ὑγεία ἐστίν. οὐ μὴν ἀληθὴς ἔτι ἡ τὴν νόσον παντὸς ἀνθρώπου κατηγοροῦσα οὕτως ὥστε λέγειν τὸν ἄνθρωπον νόσον εἶναι. εἰ δὲ τὸ ὑπάρχειν προσθείη τις, οὐ τὸν αὐτὸν λήψεται μέσον. μεταληφθέντων δὲ τῶν ὅρων ἀπὸ τῶν ἕξεων εἰς τὰ κατὰ τὰς ἕξεις οὐκ ἔσεσθαί φημι συλλογισμὸν τοῦτον, ὃν ἔλεγον ἐξ ἀναγκαίας ἀποφατικῆς τῆς μείζονος καθόλου καὶ καταφατικῆς ὑπαρχούσης τῆς ἐλάττονος ἐν πρώτῳ σχήματι· οὐκέτι γὰρ γίνεται ἡ καθόλου ἀποφατικὴ ἀναγκαία ἀλλ' ἐνδεχομένη. διὸ τοῦ μὲν ἀναγκαίου συλλογισμὸς οὐκ ἔσται, τοῦ δ' ἐνδεχομένου ἔσται· γίνεται γὰρ ἐνδεχομένη μὲν ἀποφατικὴ ἡ μείζων καθόλου ἡ 'τὸ ὑγιαίνειν οὐδενὶ νοσοῦντι', ὑπάρχουσα δὲ ἡ ἐλάττων καθόλου καταφατικὴ ἢ ἐνδεχομένη καὶ [ἡ] αὐτὴ ἡ 'τὸ νοσεῖν παντὶ ἀνθρώπῳ'. ὅπως δ' ἂν ἔχῃ, | συλλογιστικὴ μὲν ἡ συζυγία ἐν πρώτῳ 159r σχήματι, οὐ μὴν ἐξ ἀνάγκης ἀλλὰ τοῦ ἐνδέχεσθαι τὸ συμπέρασμα· ἐνδέχεται γὰρ μηδενὶ ἀνθρώπῳ ὑπάρχειν ὑγείαν, τουτέστιν ἐνδέχεται μηδένα ἄνθρωπον ὑγιαίνειν· τὸ γὰρ ὑπάρχειν ὑγείαν ἢ νόσον τὸ ὑγιαίνειν ἢ νοσεῖν σημαίνει.

Πάλιν καὶ ἐπὶ τοῦ δευτέρου σχήματος παρὰ τὴν τῶν ὅρων ὁμοίαν ἔκθεσιν τὸ δοκοῦν συμπέρασμα ψευδὲς γίνεται ἐπὶ ταῖς προτάσεσιν [ἀληθεῖς] λαμβανομέναις ἀληθέσιν. ἂν γὰρ λάβωμεν ὑγείαν νόσῳ μὲν μηδεμιᾷ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ παντὶ ὑπάρχειν, συνάγεσθαι μὲν δόξει τὸ νόσον ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ· ψευδὲς δὲ τοῦτο, ἐπειδὴ ἐπιδεκτικὸς ὁ ἄνθρωπος νόσου ὥσπερ οὖν καὶ ὑγείας. ἀλλ' οὐχ ὁμοίως ἀληθὴς ἥ τε λέγουσα 'ὑγεία μηδεμιᾷ νόσῳ' καὶ ἡ λέγουσα ὑγείαν παντὶ ἀνθρώπῳ· ἡ μὲν γὰρ 'ὑγεία οὐδεμιᾷ νόσῳ' οὕτως ἀληθὴς ὡς λέγουσα 'οὐδεμία νόσος ὑγεία ἐστί' (τοῦτο γὰρ σημαίνει), ἡ δὲ 'ὑγεία παντὶ ἀνθρώπῳ' οὐκέτι ὡς λέγουσα 'πᾶς ἄνθρωπος ὑγεία ἐστίν' ἀλλ' ὡς λέγουσα 'πᾶς ἄνθρωπος ὑγιαίνει'. ἂν οὖν μεταλαμβάνωμεν ἀντὶ τῆς ὑγείας καὶ τῆς νόσου τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, οὐκ ἔσται ἀναγκαία καθόλου ἀποφατικὴ ἀληθὴς ἡ λέγουσα τὸ ὑγιαίνειν οὐδενὶ ἐξ ἀνάγκης νοσοῦντι. ἔνεστι δὲ καὶ ἐπὶ ταύτης τῆς συζυγίας τὰ αὐτὰ εἰπεῖν, ὅτι οὐδὲ ἡ πρότασις ἀληθὴς

1 νόσον Al. 354,6: om. P 4 αὐτοῦ Al. 354,9: αὐτῶν P 8 ἀναγκαία Al. 354,14: ἀναγκαίως P 14 τὰ Al. 354,19: τὰς P 15 ἀναγκαίας Al. 354,20: ἀνάγκης P 18 συλλογισμὸς Al. 354,23: συλλογισμοῦ P 19 ἢ pro ἡ altero P 20 ἢ] ἡ P ἡ (ante αὐτὴ) om. Al. 354,26 26 περὶ P 27 ἀληθὲς om. Al. 354,34 31 ὑγεία P: ὑγείαν Al. 355,3

ἁπλῶς ἡ λέγουσα 'ὑγεία κατὰ παντὸς ἀνθρώπου,' ὅτι μηδὲ ἀληθὲς εἶναι δύναται τὸ 'πᾶς ἄνθρωπος ὑγεία ἐστίν'. ὥστε διὰ τοῦτο οὐ καλῶς οἱ ὅροι εἰσὶ κείμενοι, ἀλλὰ χρὴ μετονομάζειν τὰς ἕξεις εἰς τὰ κατὰ τὰς ἕξεις. ὁ γὰρ λέγων παντὶ ἀνθρώπῳ ὑγείαν ὑπάρχειν ἴσον λέγει τῷ 'πᾶς ἄνθρωπος ὑγιαίνει'. ὅρον οὖν τὸ ὑγιαίνειν θετέον, οὐ τὴν ὑγείαν. εἰ δέ τις ἐκείνην παραδέξαιτο ὡς ἀληθῆ, ἔσται καὶ τὸ συμπέρασμα ἀληθὲς τὸ νόσον μηδενὶ ἀνθρώπῳ, ἀλλ' οὐκ ἀναγκαῖον ἀλλ' ὑπάρχον, ὅτι ἐστὶν ἀντιλεγόμενον ἡμῖν ἐπὶ τῆς προκειμένης μίξεως ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα.

Δειχθέντος δ' ἡμῖν ἐπὶ τοῦ πρώτου καὶ τοῦ δευτέρου σχήματος ἀναγκαίας τῆς μείζονος λαμβανομένης ὑπαρχούσης δὲ τῆς ἐλάττονος μὴ γινόμενον ἀναγκαῖον τὸ συμπέρασμα | παρὰ τὸ μὴ γίνεσθαι τὴν ἔκθεσιν 159v τῶν ὅρων οἰκείως, διὰ τοῦ τρίτου σχήματος οὐκέτι κατὰ τὸ ἐξ ἀνάγκης μέν τινα λαμβάνεσθαι τῶν προτάσεων ὁμολογούμενον δὲ τῇ τοιαύτῃ προτάσει γενέσθαι τὸ συμπέρασμα τὸ ἄτοπον γενέσθαι φαμέν, ἀλλ' ὅτι ἐνδεχομένων ἀμφοτέρων λαμβανομένων τῶν προτάσεων οὐκ ἀκολουθεῖ τὸ συμπέρασμα. ἔμπαλιν γὰρ ἐπὶ τούτου τοῦ σχήματος τὸ συμβαῖνον· ἀναγκαῖον γὰρ ἀποφατικὸν συναγόμενον εὑρίσκεται τὸ συμπέρασμα ἐξ ἐνδεχομένων καταφατικῶν, εἰ οὕτως οἱ ὅροι λαμβάνοιντο. ἐνδεχομένων γὰρ οὐσῶν καθόλου καταφατικῶν ἐν αὐτῷ τῶν δύο προτάσεων τὸ συμπέρασμα οὔτε ἐπὶ μέρους καταφατικὸν ἐνδεχόμενον γίνεται, ὃ συνάγεται ἐκ τῆς τοιαύτης συζυγίας, οὔτε ἐπὶ μέρους ἐνδεχόμενον ἀποφατικόν, ἀλλ' οὐδὲ καθόλου καταφατικὸν ἐνδεχόμενον οὔτε ἀποφατικὸν καθόλου, ἀλλ' ἀναγκαῖον ἀποφατικὸν καθόλου. ἐν μὲν γὰρ τῷ πρώτῳ καὶ δευτέρῳ σχήματι κατὰ τὸ ἀναγκαῖον, ὥσπερ εἶπον· ἀναγκαίας γὰρ οὔσης τῆς μείζονος οὐ γίνεται τὸ συμπέρασμα τοιοῦτον. ἐν δὲ τῷ τρίτῳ ἔμπαλιν αἱ μὲν προτάσεις ἐνδεχόμεναι τὸ δὲ συμπέρασμα ἀναγκαῖον· οὕτω γὰρ κειμένων τῶν ἄκρων ἐξ ἀνάγκης οὐδενὶ ὁ ἕτερος τῷ ἑτέρῳ. εἰ δὲ τοῦτο, ἀσυλλόγιστος ἂν γίνοιτο ἡ τοιαύτη συζυγία, ἣν φθάσας ἔδειξα οὖσαν συλλογιστικήν. ὑγείαν γὰρ ἐνδέχεται παντὶ ἀνθρώπῳ, καὶ νόσον ἐνδέχεται παντὶ ἀνθρώπῳ· ὑγεία δὲ ἐξ ἀνάγκης οὐδεμιᾷ νόσῳ. αἴτιον δὲ τούτου πάλιν τὸ μὴ καλῶς εἰλῆφθαι τοὺς ὅρους τοὺς ἄκρους τοὺς κατηγορουμένους τοῦ ἀνθρώπου· οὐ γὰρ τὴν ὑγείαν χρὴ λαμβάνειν καὶ τὴν νόσον ἀλλὰ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν. οὕτως γὰρ λαμβανομένων αὐτῶν ἀληθεῖς αἱ προτάσεις ἐνδεχόμεναι καταφατικαὶ καὶ καθόλου. ἐκείνως δ' οὔ. ὁ γὰρ λέγων τὴν ὑγείαν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ ἴσον λέγει τῷ 'πάντα ἄνθρωπον ἐνδέχεται ὑγιαίνειν'· τὴν ὑγείαν γὰρ ἀντὶ τοῦ ὑγιαίνειν λαμβάνει· οὕτως γὰρ ἀληθὴς ἑκατέρα τῶν προτάσεων, ἀλλ' οὐχ ὅτι ἐνδέχεται τὸν ἄνθρωπον ἢ ὑγείαν ἢ νόσον εἶναι. ὥστε ἐν τῇ τῶν ὅρων ἐκθέσει τὸ ὑγιαίνειν χρὴ τιθέναι· | ὁμοίως δὲ καὶ ἐπὶ τῆς 160r νόσου. ληφθέντων δὲ ἀντὶ τῶν ἕξεων τῶν κατὰ τὰς ἕξεις ὁμοίως αἵ τε προτάσεις ἀληθεῖς καὶ τὸ ἐπ' αὐταῖς συμπέρασμα. τό τε γὰρ ὑγιαίνειν ἐνδέχεται παντὶ ἀνθρώπῳ· ὁμοίως δὲ καὶ τὸ νοσεῖν· καὶ τὸ ὑγιαίνειν ἐνδέχεται

1 ἀληθὴς P 3 τὰ Al. 355,14: τὰς P cf. 129,14 12 διὰ P: ἐπὶ Al. 355,23 18 ἐνδεχόμενον P 22 ἀποφατικὸν alterum Al. 355,34: καταφατικὸν P 35 λαμβάνει· οὕτως Al. 356,13: λαμβάνειν· οὐ P

παντὶ κοσοῦντι. ὅπερ ἐστὶ τῆς προκειμένης συζυγίας συμπέρασμα. ὁ δ' αὐτὸς λόγος, κἂν ἄλλαι τινὲς ἕξεις ἐναντίαι ληφθῶσι. καὶ ἔοικέ γε φανερώτερον διαβεβλῆσθαι ἡ τοιαύτη τῶν ὅρων λῆψις ἐπὶ τοῦ τρίτου σχήματος ἢ ἐπὶ τῶν πρὸ αὐτοῦ. ἐπ' ἐκείνων μὲν γὰρ διεβάλλετο, ἐπεὶ κειμένῳ τῷ ἐξ ἀναγκαίας τῆς μείζονος ⟨καὶ⟩ ὑπαρχούσης τῆς ἐλάττονος ἀναγκαῖον ἐγίνετο τὸ συμπέρασμα, ὃ οὐκ ἦν συγχωρούμενον· ἐπὶ δὲ τοῦ τρίτου ὁμολογούμενον, ὃ ἀναιρεῖται τῷ ἐξ ἐνδεχομένων γίνεσθαι ἐνδεχόμενον τὸ συμπέρασμα. ἀξιῶ δὲ ἐν ταῖς τῶν τοιούτων συλλογισμῶν ἀναλύσεσι τοὺς ὅρους ἐκτιθεμένους μὴ τὰς ἕξεις αὐτὰς ἐκτίθεσθαι ἀλλὰ ⟨τὰ⟩ κατὰ τὰς ἕξεις.

Σημειωτέον δέ, ὅτι γίγνεταί ποτε ἀπάτη καὶ παρὰ τὸ τὸν μέσον μὴ τὸν αὐτὸν ἐν ἀμφοτέραις εἰλῆφθαι ταῖς προτάσεσιν ἢ τῇ λέξει μόνον. οἷον ἂν ληφθῇ τὸ χρῶμα κατὰ παντὸς λευκοῦ. τὸ λευκὸν κατὰ παντὸς κύκνου· οὐκέτι γὰρ τὸ χρῶμα κατὰ παντὸς κύκνου· οὐ γὰρ ὁ κύκνος χρῶμα. αἴτιον δέ, ὅτι τὸ λευκὸν οὐ τοὐτὸν ἐν ἀμφοτέραις τοῖς προτάσεσιν ἐλήφθη. ἀλλ' ἐν μὲν τῇ πρώτῃ ἡ ποιότης (ὡς γὰρ λευκότης, ὅπερ ἐστὶν ἡ ἕξις αὐτή), ἐν δὲ τῇ δευτέρᾳ τὸ τὴν ποιότητα ἔχον ὡσανεὶ τὸ κατὰ τὴν ἕξιν· οὐ γὰρ τὸ λευκὸν τὸ ὡς λευκότης ἀληθὴς κατὰ τοῦ κύκνου (ἦν γὰρ ἂν πᾶς κύκνος λευκότης), ἀλλ' ὡς τὸ λευκότητα ἔχον. ἢ καὶ τοῦτο τὸ εἶδος ὑπάγεται τῷ τὴν μείζονα ἀδιόριστον, μὴ καθόλου λαμβάνεσθαι· οὐ γὰρ ἀληθὴς ἡ λέγουσα τὸ χρῶμα κατὰ παντὸς λευκοῦ· ψεῦδος γὰρ τὸ πᾶν λευκὸν χρῶμα. οὕτω παραλογίζεται καὶ Παρμενίδης ἑαυτὸν λέγων "τὸ παρὰ τὸ ὂν οὐκ ἔστιν ὄν, τὸ μὴ ὂν οὐδέν ἐστι". τὸ μὲν γὰρ πρῶτον οὕτως ἀληθὲς ἐλάμβανεν. ὅτι ἀντὶ τῆς οὐσίας τῷ ὄντι ἐχρήσατο· τὸ γὰρ παρὰ τὴν οὐσίαν οὐκ ἔστιν οὐσία· διὰ γὰρ τοῦ οὕτως λαμβάνειν τὸ ὂν πειρᾶται ἐπιφέρειν τὸ "ἓν ἄρα τὸ ὄν". τὸ δὲ δεύτερον οὐκ ἐπὶ τῆς | ⟨οὐσίας⟩ φυλάσσει τὸ ὄν· οὐ γὰρ ἀληθὲς τὸ παρὰ τὴν 160ᵛ
οὐσίαν εἶναι μηδέν· ἀλλ' ὡς λαβὼν τὸ πρῶτον τὸ παρὰ πᾶν τὸ ὂν πᾶν οὐκ ὂν εἶναι οὕτως τὸ δεύτερον προστίθησι τὸ οὐκ ὂν οὐδέν. οἷς οὕτως εἰλημμένοις ἕπεται τὸ συμπέρασμα τὸ παρὰ πᾶν τὸ ὂν μηδὲν εἶναι. δι' οὗ συμπεράσματος ὁμολογεῖται πολλὰ εἶναι τὰ ὄντα· τὸ γὰρ 'πᾶν' τοῦ 'πολλά' δηλωτικόν. τοιοῦτός ἐστιν ὁ λέγων 'τὸ πεπερασμένον ἀρχὴν ἔχει, τὸ ἀρχὴν ἔχον ἐγένετο, τὸ πεπερασμένον ἄρα γέγονεν, ὥστε, εἰ καὶ ὁ κόσμος πεπερασμένος, γέγονε· τὸ γὰρ ἀρχὴν ἔχειν ὅπου μὲν εἴληπται τὴν κατὰ μέγεθος (οὕτως γὰρ ἐπὶ τοῦ πεπερασμένου καὶ τοῦ κόσμου), ἐν δὲ τῷ γεγονότι τὴν κατὰ χρόνον· τὸ γὰρ τὴν κατὰ χρόνον ἀρχὴν ἔχον γέγονεν, οὐ τὸ τὴν κατὰ τὸ μέγεθος. διὰ τοῦτο πανταχοῦ λέγω δεῖν φυλάττεσθαι τὰς ὁμωνυμίας. οὐδ' ἐνταῦθα δὲ ἡ μείζων πρότασις καθόλου· οὐ γὰρ ἀληθὲς τὸ 'πᾶν τὸ ἀρχὴν ἔχον γέγονεν'.

[ε'] Οὐ δεῖ δὲ τοὺς ὅρους ἀεὶ ζητεῖν ὀνόματι ἐκτίθεσθαι· πολλῶν γὰρ

---

1 παντὶ P: τινὶ Al. 356,18 4 ἐπὶ κειμένῳ recte a Al. 356,22 5 καὶ Al.: om. P γίνεσθαι Al. 356,23 6 τῷ Al. 356,24: τὸ P 7 post δὲ add. καθόλου Al. 356,25 9 τὰ a Al. 356,27: om. P 10 τὸ Al. 356,28: τὸν P 17 ἀληθὴς P (a): ἀληθὲς Al. 356,35 22 τῆς Al. 357,3: τοῦ P 24 ἐπιφέρειν Al. 357,4: ἐκφέρειν P 25 οὐσίας Al. 357,5: om. P 27 τὸ τὸ οὐκ Al. 357,7 35 πανταχοῦ Al. 357,15: πάντα P 36 τὸ (post πᾶν) Al. 357,17: τὴν P 37 [ε'] cf. 121,19 ὀνόματι Arist.: ὀνομάτων P

συλλογισμῶν οἱ ὅροι ἢ τινὲς ἢ πάντες λόγῳ δηλοῦνται καὶ λόγοι εἰσίν, οὐκ ὀνόματα, ἐφ' ὧν οὐ δεῖ τοὺς ἀναλύειν βουλομένους ζητεῖν πάντως τοὺς ὅρους δι' ὀνομάτων ἐκτίθεσθαι, ἀλλὰ τοὺς λόγους αὐτοὺς τοὺς κειμένους ἐκθετέον ἐν τῇ τῶν ὅρων λήψει. παρὰ γὰρ τοῦτο πολλάκις χαλεπὴ καὶ δύσκολος ἡ ἀγωγὴ γίνεται τῷ μὴ εὑρίσκεσθαι τῶν ὅρων ὀνόματα. οἷον εἴ τις συλλογίσαιτο τὸν [illegible] τιμῆς ἄξιον διὰ μέσου τοῦ καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας ὑπὲρ τοῦ κοινῇ συμφέροντος λέγων 'ὁ ἀνδρεῖος καταφρονεῖ τῆς ἑαυτοῦ σωτηρίας ὑπὲρ τοῦ κοινῇ συμφέροντος, πᾶς ὁ καταφρονῶν τῆς ἑαυτοῦ σωτηρίας ὑπὲρ τοῦ κοινῇ συμφέροντος τιμῆς ἄξιος, ὁ ἄρα ἀνδρεῖος τιμῆς ἄξιος'. τὸν μὲν βουλόμενον ἐκλαμβάνειν τοὺς ὅρους τούτου τοῦ συλλογισμοῦ οὐ δεῖ τὸν μέσον ὅρον ὄνομα ζητεῖν· λόγος γάρ ἐστιν. οὐ φυλαχθέντος ἡ τε διαίρεσις ἡ εἰς τοὺς ὅρους φανερὰ καὶ ἡ τοῦ συλλογισμοῦ εἰς τὸ πρῶτον σχῆμα ἀνάλυσις. πάλιν εἴ τις λάβοι, ὅτι ἡ τοῦ ὄντος ἐπιστήμη ἢ ὂν ἐπιστήμη ἐστὶ τοῦ πρώτου αἰτίου κινοῦντος, ἡ δέ γε | ἐπιστήμη ἡ τοῦ πρώτου αἰτίου κινοῦντος ἡ πρώτη 161r
ἐστὶ φιλοσοφία, καὶ συνάγοι ἐκ τούτων, ὅτι ἡ τοῦ ὄντος ἢ ὂν ἐπιστήμη ἡ πρώτη φιλοσοφία ἐστί· καὶ γὰρ οὗτος συλλογισάμενος τοὺς ὅρους οὐκ ὀνόματα ἀλλὰ λόγους εἴληφε πάντας. οὓς εἰ μὴ ὁ βουλόμενος ἀναλύειν τὸν λόγον λάβοι, ὀνόματα δὲ ζητοίη ἀντ' αὐτῶν, οὐκ ἂν εὕροι τὴν ἀνάλυσιν τοῦ συλλογισμοῦ εἰς τὸ οἰκεῖον σχῆμα ὂν τὸ πρῶτον. μὴ εὑρίσκων δὲ ὀνόματα σημαῖναι τὸν μέσον οἰήσεται ἀμέσως ὑπάρχειν τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ ⟨καὶ⟩ ἀνέσου ὄντος τοῦ προβλήματος αὐτοῦ εἶναι ἀπόδειξιν. ὅπερ ἐστὶν ἀδύνατον. ἢ ἀποδεικτὰ μὲν ἀλλ' οὐχὶ ὑπὸ ὀνόματος δηλωθῆναι δυναμένου τοῦ μέσου ὅρου, οὗ ὁ συλλογισμός. προλαβόντας δὲ καὶ οἰηθέντας εἶναι τὰ τοιαῦτα ἀναπόδεικτα τοῖς βουλομένοις αὐτὰ διὰ τοῦ οἰκείου μέσου δεικνύειν ὄντος λόγου ἐπεγκαλεῖν. οἷον εἰ βουληθείημεν δεῖξαι, ὅτι τοῦ ἰσοσκελοῦς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι. πρῶτον μὲν οὖν αὐτὸ τοῦτο τὸ κατηγορούμενον ὁρᾷς, πῶς οὐχ ἓν ὄνομά ἐστιν ἀλλὰ λόγος. ζητοῦντες δὲ τὸν μέσον, δι' οὗ οἷόν τε συμπεραῖναι τὸ πρόβλημα, ἐνταῦθα μὲν εὐποροῦμεν ὀνόματι αὐτὸν ἐκθέσθαι λέγοντες οὕτως· τὸ ἰσοσκελὲς τρίγωνον τρίγωνόν ἐστι, παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι, τοῦ ἰσοσκελοῦς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ⟨ἐὰν δὲ τὴν μείζονα θελήσωμεν κατασκευάσαι πρότασιν, πόθεν ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν,⟩ οὐκέτι δύναμαι ὀνόματι τὸν μέσον ἐκθέσθαι, δι' οὗ συνάγεται τὸ συμπέρασμα, ἀλλὰ δεῖ λόγῳ αὐτὸν ἑρμηνεύειν, οἷον ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δύο ταῖς ἐφεξῆς ἴσαι εἰσίν· δύο δὲ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· παντὸς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐὰν οὖν τις ἠγοῖτο, ὅτι, ἐπεὶ μὴ ἔστι μέσον ὅρον δι' ὀνόματος λαβεῖν, τὸ παντὸς τριγώνου τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι ἄμεσόν τε πρότασιν καὶ ἀναπόδεικτον εἶναι καὶ | αἰτιῶτο 161v
τοὺς οὕτω δεικνύειν αὐτὸ πειρωμένους, ἀπατᾶται τὸ ἀποδεικτικὸν ἀναπόδεικτον

1 περὶ P 16 οὕτως Al. 358,1 18 εὕροι Al. 358,3: εὕρη P 19 ὂν Al. 358,4: ὄσαν P μὴ εὑρίσκων . . ἀδύνατον (21) Phil. f. 82r 20 καὶ Phil.: om. P 22 ἀποδεικτὰ Al. 358,10: ἀποδεικτικὴν P 23 προλαβόντας a Al. 358,11: προλαβόντες P 25 οἷον . . . ἐὰν οὖν (36) Phil. f. 82r 27 ὅρα Phil. 31 ἐὰν δὲ . . . εἰσίν (32) Phil.: om. P 33 δυνάμεθα Phil. 39 ἀποδεικτικὸν P (B): ἀποδεικτὸν recte a Al. 358,25

ἡγούμενος· ἔστι γὰρ καὶ τοῦτο ἀπόδειξις, ἀλλὰ ὁ μέσος ὅρος λόγος ἐστίν, οὐκ ὄνομα. ὥστε οὐ πάντως οἰητέον, ὡς δεῖ ὀνόματι ἐκκεῖσθαι τοὺς ὅρους, ἀλλ' ἔστιν, ὅτε καὶ διὰ λόγου αὐτοὺς σημαίνειν. διὸ τοὺς τοιούτους συλλογισμοὺς χαλεπὸν ἀνάγειν ὑπὸ τὰ σχήματα.

Τὸ δὲ ὑπάρχειν τὸν μείζονα ὅρον τῷ μέσῳ καὶ τὸν μέσον τῷ ἐλάττονι οὐ δεῖ νομίζειν, ὅτι πάντως ⟨δεῖ⟩ κατ' εὐθεῖαν πτῶσιν τοὺς ὅρους ἐκτίθεσθαι. οἷον ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία· πάντες γὰρ οἱ ὅροι ἐν τούτῳ κατ' εὐθεῖαν πτῶσιν κεῖνται· ἀλλ' ἐν μὲν ταῖς ἐκλογαῖς ἐκθετέον ἀεὶ κατ' εὐθεῖαν πτῶσιν τοὺς ὅρους, τὰς δὲ συμπλοκὰς αὐτῶν, καθ' ἣν ἂν ἐνδέχηται γίνεσθαι πτῶσιν, κατὰ ταύτην ποιητέον, ἐπειδὴ κατὰ πάσας τὰς πτώσεις αἱ κατηγορίαι τῶν ὅρων γίνονται. οὐ γὰρ πάντα τὰ κατηγορούμενα ὡς καθ' ὑποκειμένου κατηγορεῖται· ἐπεὶ πάσας ἂν ἔδει τὰς προτάσεις τοὺς ὅρους ἔχειν κατ' εὐθεῖαν πτῶσιν συντεταγμένους, οἷον ὁ ἄνθρωπος ζῶόν ἐστιν, ἡ γραμματικὴ ἐπιστήμη ἐστί, τὸ χρῶμα ποιότης ἐστίν. ἐπεὶ δ' οὐ μόνα τὰ καθ' ὑποκειμένου λεγόμενα κατηγορεῖται ἀλλὰ καὶ τὰ συμβεβηκότα καὶ ἐν ὑποκειμένῳ ὄντα, ὧν οὐκ ἀεὶ κατ' ὀρθὴν πτῶσιν αἱ κατηγορίαι, ἀλλὰ ποτὲ μὲν κατ' ὀρθήν, ὡς ὅταν λέγωμεν 'τὸ σῶμα λευκόν ἐστιν, ἡ ὑγίεια ἀγαθόν ἐστι', ποτὲ δὲ κατὰ γενικήν, ὡς ὅταν λέγωμεν 'ὁ ἀδελφὸς ἀδελφὸς ἀδελφοῦ ἐστι'. ποτὲ δὲ κατὰ δοτικήν, ὡς 'τὸ ὅμοιον ὁμοίῳ ὅμοιον'. ποτὲ δὲ κατὰ αἰτιατικήν, ὡς ὅταν λέγωμεν 'τὸ μέγα πρὸς μικρὸν λέγεται' καὶ 'Πλάτων ἐπαινεῖ Σωκράτην', ἐπεὶ τοίνυν αἱ κατηγορίαι τῶν κατηγορουμένων κατὰ πάσας γίνονται τὰς πτώσεις, αἱ δὲ προτάσεις ἐν ταῖς κατηγορίαις, δεῖν φημι τοὺς ὅρους ἐκτίθεσθαι τοὺς τῶν προτάσεων καὶ τῶν συλλογισμῶν, ὅταν ἐκλέγωμεν αὐτούς, κατ' εὐθεῖαν πτῶσιν, τὰς δὲ κατηγορίας αὐτῶν καὶ τὰς προτάσεις ἐν τῇ πρὸς ἀλλήλας συντάξει ποιεῖσθαι, ὡς ἐγχωρεῖ. ὅταν οὖν τὸ συγχωρούμενον κατ' εὐθεῖαν κατηγορεῖται, | τότε κυρίως κατὰ τοῦ 162r
ὑποκειμένου κατηγορεῖται· καὶ γὰρ τὸ ὑποκείμενον τότε καθ' εὐθεῖαν λαμβάνεται. ἂν δὲ κατὰ πτῶσιν, οὐκέτι κατ' αὐτοῦ τῷ τὴν πτῶσιν μὴ τὸ ὑποκείμενον αὐτὸ σημαίνειν, τοῦ δὲ σημαινομένου ὑπὸ τῆς πτώσεως κατηγορεῖται. ἀλλ' οὐδ' ὁμοίως, ὡς τὸ πρῶτον τοῦ δευτέρου κατηγορούμενον εἴληπται ⟨καὶ⟩ καθ' ἣν πτῶσιν, κατὰ τὴν αὐτὴν καὶ τὸ δεύτερον τοῦ τρίτου ληπτέον πάντως κατηγορεῖσθαι. οὔτε γάρ, εἰ τὸ πρῶτον τοῦ δευτέρου κατ' εὐθεῖαν, δεῖ καὶ τοῦτο τοῦ ἐσχάτου ἄκρου κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖν. τὸ δ' αὐτὸ οὐ μόνον ἐπὶ τῶν καταφατικῶν, τουτέστι καταφατικῶς κατηγορουμένων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀποφατικῶν ποιητέον. καθ' ὅσους γὰρ τρόπους καὶ καθ' ὅσας πτώσεις ἄλλο ἄλλῳ συντάττοντες τῷ εἶναι καὶ τῷ 'ἐστί' χρώμεθα ἐπ' αὐτῶν, καὶ ὁσαχῶς συντεταγμένων ἀλλήλοις τῶν ὅρων ἔστιν ἀληθῆ εἰπεῖν εἶναι τὴν πρότασιν, τοσαυταχῶς χρὴ τοὺς ὅρους ἐν ταῖς προτάσεσι πειρᾶσθαι συμπλέκειν ἀλλήλοις καὶ λέγειν ὑπάρχειν τὸν ἕτερον τῷ ἑτέρῳ. δεικτέον δέ, πῶς μὲν χρὴ τὴν ἔκθεσιν τῶν ὅρων τῶν ἐν ταῖς προτάσεσιν κατ' εὐθεῖαν ποιεῖσθαι,

1 τούτου Al. 358,25 2 ὥστε . . κεῖνται (8) Phil. f. 82r δεῖ Phil.: δεῖν P post ἐστίν expunxit ἡ γραμματικὴ P 23 ante ὅρους add. μὲν Al. 360,1 26 κατηγορούμενον Al. 360,5 30 ὡς Al. 360,9: εἰ P καὶ Al. 360,10: om. P

πῶς δ' αὐτοὺς ἐν τῇ γενέσει τῶν προτάσεων συμπλέκειν ἀλλήλοις. λαβόντες γὰρ πρότασιν τὴν λέγουσαν τῶν ἐναντίων μίαν εἶναι ἐπιστήμην ἐκτιθέμενοι μὲν τοὺς ὅρους 'μία ἐπιστήμη ἐστί' καὶ τὰ ἐναντία ἀλλήλοις ἐκθησόμεθα· λαβόντες δὲ τοὺς ὅρους ἐν τῇ προτάσει οὐ 'τὰ ἐναντία μία ἐπιστήμη ἐστίν' ἀλλ' ὅτι τοῦ 'τὰ ἐναντία ἐστί' μετασχηματίσαντες ποιήσομεν 'τῶν ἐναντίων ἐστὶ μία ἐπιστήμη'· οὕτως γὰρ ἀληθὴς ἡ πρότασις. ὡς γὰρ εἴρηται, ὁσαχῶς καὶ καθ' ὅσους τρόπους καὶ καθ' ὅσας πτώσεις ἄλλο ἄλλου κατηγορούμενον ἀληθεύεσθαι δύναται κατὰ τὸν τῆς λέξεως μετασχηματισμὸν καταφατικῶς τε καὶ ἀποφατικῶς, τοσαυταχῶς καὶ τὰς προτάσεις καὶ τὰς τῶν ὅρων κατηγορίας ποιεῖσθαι χρή, ὡς ἂν ὑπακούωσιν οἱ μέσοι ὅροι ἐν τῇ πρὸς ἀλλήλους συμπλοκῇ πρός τε τὸ κατὰ φύσιν γίνεσθαι τὴν κατηγορίαν καὶ πρὸς τὸ ἀληθές. τὸ μὲν οὖν ζῶον κατὰ τοῦ ἀνθρώπου καὶ ὁ ἄνθρωπος γραμματικοῦ καὶ τὸ ζῶον κατὰ γραμματικοῦ ὁμοίως πάντα· κατὰ γὰρ εὐθεῖαν πτῶσιν ὅ τε γραμματικὸς ἄνθρωπός ἐστι καὶ ὁ ἄνθρωπος ζῶον καὶ | διὰ τοῦτο ὁ γραμ- 162v
ματικὸς ζῶον. οὐ μὴν ἐπὶ πάντων τῶν συλλογισμῶν οἷόν τε οὕτως κατηγορεῖσθαι τὰ κατηγορούμενα. οἷον ὡς ἐν τῇ προτάσει τῇ λεγούσῃ τῶν ἐναντίων μίαν εἶναι ἐπιστήμην κατηγορούμενον μέν ἐστι τὸ 'μία ἐπιστήμη ἐστί' καὶ μείζων ὅρος, ὑπόκειται δὲ τὸ 'τῶν ἐναντίων ἀλλήλοις', ὅ ἐστι μέσος. οὐ μὴ οὕτως ὑπάρχει ὁ μείζων τῷ μέσῳ ἐνταῦθα ὡς δύνασθαι λέγειν 'τόδε τόδε ἐστί', ὡς λέγομεν 'ὁ γραμματικὸς ἄνθρωπός ἐστιν'· οὐ γάρ ἐστιν ἡ πρότασις [ἡ] λέγουσα 'τὰ ἐναντία μία ἐστὶν ἐπιστήμη', ἀλλ' ὅτι τῶν ἐναντίων, ὅπερ ἐστὶ γενικὴ πτῶσις, μία ἐστὶν ἐπιστήμη· οὕτως γὰρ συντεταγμένων αὐτῶν ἀληθές ἐστιν εἰπεῖν τὸ 'τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη'. ἐν μὲν οὖν τῇ ἐκθέσει τῶν ὅρων ἦν κείμενα τὰ ἐναντία καὶ μία ἐπιστήμη, ἐν δὲ τῇ προτάσει οὐ 'τὰ ἐναντία' ἔτι ἤρκεσε λαβεῖν ἀλλὰ 'τῶν ἐναντίων'.

Ἔτι δ' οὐ μόνον ἐπὶ τοῦ παραδείγματος τοῦ 'τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη' δείκνυται ἐν ταῖς προτάσεσιν οὐκ ἀεὶ κατ' εὐθεῖαν γίνεσθαι τὰς τῶν ὅρων κατηγορίας ἀλλὰ καὶ καθόλου ἐπὶ πασῶν τῶν ἐν τοῖς συλλογισμοῖς προτάσεων, ὅτι μὴ ἀεὶ αἱ κατηγορίαι τῶν ὅρων ὅμοιαι καὶ κατὰ τὴν αὐτὴν πτῶσιν, ἀλλ' ἐν τισὶ μὲν ὁ μὲν πρῶτος ὅρος κατὰ τοῦ μέσου λέγεται, τουτέστι κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖται, οὐκέτι δὲ ὁ μέσος τοῦ τρίτου. δεικτέον ἐπὶ τοῦ παραδείγματος πάλιν· ἡ τοῦ ἀγαθοῦ γνῶσις σοφία ἐστίν. ἡ σοφία ἐπιστήμη ἐστίν. ἡ τοῦ ἀγαθοῦ ἄρα γνῶσις ἐπιστήμη ἐστίν. ἡ μὲν γὰρ μείζων πρότασις ἡ λέγουσα 'ἡ σοφία ἐπιστήμη' κατ' εὐθεῖαν πτῶσιν ἔχει τοὺς ὅρους, οὐκέτι δὲ ἡ ἐλάττων ἡ λέγουσα τοῦ ἀγαθοῦ τὴν σοφίαν εἶναι· γενικὴ γὰρ πτῶσις ἡ 'τοῦ ἀγαθοῦ'. ὥσπερ δὲ ἡ ἐλάττων πρότασις οὐκ εἶχε κατ' εὐθεῖαν τὴν κατηγορίαν, οὕτως οὐδὲ τὸ συμπέρασμα. ἄλλοτε δὲ πάλιν ἡ μὲν ἐλάττων πρότασις κατ' εὐθεῖαν ἔχει τὴν κατηγορίαν τοῦ μέσου κατὰ τοῦ ἐσχάτου ὅρου, ἡ δὲ μείζων οὐκέτι κατ' εὐθεῖαν τὸν μείζονα τοῦ μέσου ἔχει κατηγορούμενον·

---

5 ἀλλ' et τὰ Al. 360,34: om. P · 7 πτώσεις scripsi cf. 133,36: προτάσεις P
8 ἕξεως Al. 360,37: ἕξεως P cf. 141,21 13 post πάντα add. κατηγορεῖται Al. 361,7 17 ἀλλήλοις μίαν Al. 361,10. 11: εἶναι P 21 ἡ om. Al. 361,15
26 ὅτι scripsi: ὅτι P τοῦ (post ἐπὶ) scripsi (om. Al. 361,25): τούτου P cf. 141,18

οἷον τοῦ ἐναντίου παντὸς ἐπιστήμη ἐστί. τὸ ἀγαθὸν ἐναντίον· συμπέρασμα 'τοῦ ἀγαθοῦ ἐπιστήμη | ἐστίν'. ἐν μὲν οὖν ταῖς προτάσεσιν ὁ μέσος ὅρος κατὰ 163r
τοῦ ἐλάττονος καὶ ὑποκειμένου κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖται, οἷον τὸ ἀγαθὸν ἐναντίον * * * * παντὸς ἐπιστήμη ἐστίν· οὐ γὰρ τὸ ἐναντίον ὑπόκειται,
5 ὅ ἐστιν εὐθεῖα, ἀλλὰ τοῦ ἐναντίου, ὅ ἐστι γενική. ληπτέον δὲ μέσον ποτὲ μὲν ἐναντίον ποτὲ δὲ ποιόν. ὁπότερον γὰρ ἂν ληφθῇ, αἱ προτάσεις ὅμοιαι· ἔσται γὰρ ποτὲ μὲν 'τὸ ἀγαθὸν ποιόν, τοῦ ποιοῦ ἐπιστήμη ἐστί', ποτὲ δὲ 'τὸ ἀγαθὸν ἐναντίον, τοῦ ἐναντίου ἐπιστήμη ἐστίν'. ἀλλ' οὐδὲ τὸ συμπέρασμα κατ' εὐθεῖαν γίνεται πτῶσιν· τοῦ γὰρ ἀγαθοῦ ἐπιστήμη εἶναι συνάγεται, ἀλλ'
10 οὐ τὸ ἀγαθόν, ὥσπερ οὐδὲ τὸ ποιὸν ἐλέγετο ἢ τὸ ἐναντίον ἐπιστήμη εἶναι, ἃ ἦσαν οἱ μέσοι ὅροι, ἀλλὰ τούτων ἐπιστήμη. τὸ μέντοι ἀγαθὸν ἔκειτο ἢ ἐναντίον εἶναι ἢ ποιὸν κατ' εὐθεῖαν πτῶσιν. ἔστι δέ, ὅτε μήτε τὸ πρῶτον κατὰ τοῦ μέσου μήτε τοῦτο κατὰ τοῦ τρίτου κατηγορεῖται, τουτέστι κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖται· καὶ γὰρ τὴν κατ' εὐθεῖαν καὶ οὕτως γινομένην
15 κατηγορίαν ἁπλῶς κατηγορίαν λέγω, ὅταν ᾖ εἰπεῖν τόδε τόδε εἶναι, τὸ ὑποκείμενον, ὅπερ ἐστὶ τὸ κατηγορούμενον. τὸ δὲ πρῶτον τοῦ τρίτου οὕτως ἔχουσῶν τῶν προτάσεων ὁτὲ μὲν κατ' εὐθεῖαν ⟨ὁτὲ δὲ οὐ κατ' εὐθεῖαν⟩ κατηγορεῖται. παράδειγμα τοῦ μέν, ἐν ᾧ συλλογισμῷ μήτε τῶν προτάσεών τις κατ' εὐθεῖαν εἴληπται μήτε τὸ συμπέρασμα, ὁ λέγων συλλογισμὸς 'οὗ
20 ἐστιν ἐπιστήμη, ἔστι τούτου γένος, τοῦ δὲ ἀγαθοῦ ἐστιν ἐπιστήμη'· οὔτε γὰρ ἐν ταῖς προτάσεσιν εἴληπται ὅρος τις ὅρου κατ' εὐθεῖαν πτῶσιν κατηγορούμενος οὔτε ἐν τῷ συμπεράσματι. τοῦ δέ, ἐν ᾧ ἐν μὲν ταῖς προτάσεσιν ἐν οὐδετέρᾳ αὐτῶν κατ' εὐθεῖαν ἡ κατηγορία ἐν μέντοι τῷ συμπεράσματι κατ' εὐθεῖαν. ὁ τοιόσδε συλλογισμός· οὗ ἐστιν ἐπιστήμη, γένος ἐστὶ τοῦτο· τοῦ δ' ἀγαθοῦ
25 ἐστιν ἐπιστήμη· συμπέρασμα 'τὸ ἀγαθὸν ἄρα γένος'. τοῦτο μὲν γὰρ κατ' εὐθεῖαν πτῶσιν, τῶν δὲ προτάσεων οὐδετέρα τοῦτ' ἔχει. ἄκρον δὲ ὅρον πάλιν εἶπον τὸν ἔσχατον ὅρον τὸν ὑποκείμενον ἐν τῷ συμπεράσματι, ὅ ἐστι τὸ ἀγαθόν· κατὰ μὲν γὰρ τούτου τὸ γένος αὐτὸ | εἶναι κατηγορεῖται. ἐν δὲ ταῖς 163v
προτάσεσιν οὔτε τούτου ἡ ἐπιστήμη οὔτε τῆς ἐπιστήμης τὸ γένος.

30 Τὸν αὐτὸν δὲ τρόπον καὶ ὁμοίως ἐπὶ τῶν ἀποφατικῶν προτάσεών τε καὶ συμπερασμάτων οὐκ ἀεὶ τὴν αὐτὴν κατηγορίαν κατὰ τὰς πτώσεις γενομένην ἔστιν ἰδεῖν. οὐ γὰρ ἀεὶ ἐπὶ τῶν ἀποφατικῶν προτάσεων ὥσπερ οὐδὲ ἐπὶ τῶν καταφατικῶν κατ' εὐθεῖαν συμπλέκονται οἱ ὅροι, ἀλλ' ἐνίοτε καὶ κατ' ἄλλην πτῶσιν, ἢ γενικὴν ἢ δοτικὴν ἢ αἰτιατικήν· οἷον οὐκ ἔστι κινήσεως κίνησις, ἢ
35 οὐκ ἔστι γενέσεως γένεσις· ἡδονῆς δέ ἐστι γένεσις ἢ ἡδονῆς ἐστι κίνησις· οὐκ ἄρα ἡ ἡδονὴ γένεσις ἢ κίνησις. τῶν μὲν γὰρ προτάσεων οὐδεμία κατ' εὐθεῖαν πτῶσιν συντέτακται, τὸ μέντοι συμπέρασμα τὸ 'οὐκ ἔστιν ἡ ἡδονὴ γένεσις' κατ' εὐθεῖαν. καὶ πάλιν γέλωτός ἐστι σημεῖον, σημείου δὲ οὐκ ἔστι σημεῖον, ὥστε οὐ σημεῖον ὁ γέλως· καὶ γὰρ ἐπὶ τούτου τῶν μὲν προτάσεων οὐδετέρα

---

4 post ἐναντίον addendum est velut οὐκέτι δὲ τοῦ μέσου ὁ μείζων ἄκρος οὕτως, οἷον τοῦ ἐναντίου cf. Al. 362,29. 30 15 τόδε alterum Al. 363,10: τῶδε P 16 ὅπερ Al.: εἴπερ P 17 ὁτὲ δὲ . . . εὐθεῖαν Al. 363,12: om. P 22 ᾧ] in maiore spatio signum rubrum P 36 ἄρα Al. 364,13: ἔστι P cf. 127,35 39 ὁ Al. 364,17: οὐ P τούτου scripsi (τούτων Al. 364,17): τοῦτο P

κατ' εὐθεῖαν. οὔτε ἡ καταφατικὴ οὔτε ἡ ἀποφατικὴ κατ' εὐθεῖαν πτῶσιν συντέτακται. τὸ μέντοι συμπέρασμα κατ' εὐθεῖαν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐν οἷς ἀποφατικὸν συνάγεται πρόβλημα κατὰ τὴν ποιὰν σχέσιν τοῦ κατηγορουμένου πρὸς τοὺς ἄκρους, φημὶ δὲ τοῦ μέσου ὅρου πρὸς τοὺς αὐτῷ ὑποκειμένους. πάλιν ἔστω ἡμῖν παράδειγμα ἐν τρίτῳ σχήματι τὸ μὲν συμπέρασμα ἔχον ἀποφατικὸν ἐπὶ μέρους κατ' εὐθεῖαν πτῶσιν τῶν μέντοι προτάσεων οὔτε τὴν καταφατικὴν οὔτε τὴν ἀποφατικὴν κατ' εὐθεῖαν πτῶσιν· θεῷ γὰρ καιρός ἐστιν, θεῷ χρόνος δέων οὐκ ἔστιν· ἐξ ὧν συνάγεται, ὅτι τις καιρὸς χρόνος δέων οὐκ ἔστι, διὰ τὸ μηδὲν εἶναι θεῷ ὠφέλιμον. ἡ [δὲ] γὰρ 'θεῷ χρόνος δέων οὐκ ἔστι' σημαίνει, ὅτι θεῷ χρόνος ὠφέλιμος οὐκ ἔστι· τοῦτο δέ φημι, ὅτι εἰσί τινες, οἳ ὁρίζονται τὸν καιρὸν χρόνον ὠφέλιμον εἶναι. τοὺς μὲν ὅρους ἐκλέγοντας δεῖ αὐτὰ τὰ ὀνόματα ἐκτίθεσθαι· ὀνόματα δέ ἐστι τὰ κατ' εὐθεῖαν λεγόμενα, καιρός, χρόνος δέων, θεός. τὴν μέντοι ἀποφατικὴν πρότασιν ἢ τὰς προτάσεις κατὰ δοτικὴν πτῶσιν· θεῷ γάρ, οὐ θεός, κατὰ δοτικὴν πτῶσιν. ὃ [δεῖ] καὶ καθόλου | δεῖ ποιεῖν, τοὺς μὲν ὅρους ἐκτί- 164r
θεσθαι κατὰ τὰς κλίσεις τῶν ὀνομάτων, τουτέστι κατὰ τὰ ὀνόματα (τὰς γὰρ πτώσεις οὐκ εἶναι ὀνόματα ἔφαμεν ἐν τῷ Περὶ ἑρμηνείας), συμπλέκειν δὲ αὐτοὺς ἐν ταῖς προτάσεσι κατὰ τὰς ἁρμοζούσας πτώσεις, οἷον, ἵνα ὥσπερ ἐπὶ τῶν πρός τι παραθέσεως τὰς διαφορὰς τῶν πτώσεων δηλώσωμεν, κατὰ μὲν δοτικήν, ὡς τὸ ἴσον καὶ ὅμοιον (ἴσῳ γὰρ τὸ ἴσον ἴσον καὶ ὁμοίῳ τὸ ὅμοιον ⟨ὅμοιον⟩), κατὰ δὲ γενικήν, ὡς τὸ διπλάσιον (ἡμίσεος γάρ), τὰ δὲ κατὰ αἰτιατικήν, ὡς τὸ τύπτον· τὸ γὰρ τύπτον τυπτόμενον τύπτει. τὸ δὲ τυπτόμενον κοινόν ἐστιν εὐθείας καὶ αἰτιατικῆς πτώσεως. οὐ πάντως δὲ τοῦτό φημι, πρὸς πτῶσιν καὶ κατὰ πτῶσιν τὰς πτώσεις συντάσσειν, ἀλλ' ὅταν οὕτως ἁρμόζῃ· ὅταν δὲ κατ' εὐθεῖαν, τῇ εὐθείᾳ χρηστέον· οἷον ὁ ἄνθρωπος ζῶον.

Ἐπεὶ δ' ἡμῖν ἐν τοῖς προειρημένοις ἱκανῶς εἴρηται περὶ τῆς κατὰ τὰς πτώσεις τῶν ὅρων συμπλοκῆς, λέγομεν νῦν, ποσαχῶς ἀληθές ἐστιν εἰπεῖν ἄλλο ἄλλῳ ὑπάρχειν· ὁσαχῶς γὰρ αἱ κατηγορίαι καὶ τὰ τῶν ὄντων γένη διῄρηται. ἢ γὰρ ὡς οὐσία τὸ κατηγορούμενον τοῦ ὑποκειμένου καὶ ἐν τῷ τί ἐστιν ὂν αὐτοῦ ληπτέον ἐν ταῖς προτάσεσιν, ὡς ἐν τῇ 'ὁ ἄνθρωπος ζῶόν ἐστιν', ἢ ὡς ποσότητα τούτου δηλοῦν, ὡς ἐν τῇ 'ὁ ἄνθρωπος τρίπηχύς ἐστιν', ἢ ὡς ποιότητα, ἂν λευκὸς εἶναι ῥηθῇ, ἢ ὡς σχέσιν, ἐὰν δεξιὸς ἢ πατήρ, ἢ ὡς ἐνέργειαν, ἂν διαλέγηται ἢ γράφῃ, ἢ ὡς πάθος, ἂν τύπτηται ἢ ἀλγῇ, ἢ ὡς τόπον, ἂν ἐν Λυκίᾳ εἶναι ῥηθῇ, ἢ ὡς χρόνον, ἂν γένηται, ὅτι χθὲς ἦν ἢ πέρυσιν, ἢ ὡς κεῖσθαι, ὅταν καθῆσθαι λέγοιτο, ἢ ὡς ἔχοντός τι, ἂν ὑποδεδέσθαι ἢ ὡπλίσθαι λέγηται. τοσαῦται γὰρ αἱ κατηγορίαι, καὶ τοσαχῶς οἱόντε ἄλλο ἄλλῳ ὑπάρχειν τε καὶ ἀληθεύεσθαι κατ' αὐτοῦ. καὶ τούτων τῶν κατηγορουμένων καὶ ἀληθευομένων κατά τινος ἢ ἁπλῶς ἢ καθόλου ληπτέον τὰ κατηγορούμενα κατηγορεῖσθαι ἢ πῇ· τὰ μὲν γὰρ γένη καὶ αἱ διαφοραὶ καὶ τὰ

1 κατ' εὐθεῖαν prius om. Al. 364,18 9 δὲ delevi 12 μὲν οὖν Al. 365,29 15 δεῖ prius om. Al. 365,36 16 κλίσεις P (B): κλήσεις a Al. 366,1 et Arist. 18 ὥσπερ ἐπὶ P: διὰ τῆς Al. 366,4 21 ὅμοιον Al. 366,6: om. P 31 δηλοῦν Al. 366,26: δρῶν P 32 ἢ (ante πατήρ) Al. 366,28: ἢ P 34 Λυκείῳ Al. 366,29 γένηται P (B): λέγηται recte a Al. 366,30 35 λέγοιτο] sic etiam a B Al. 366,31

ἴδια καὶ οἱ ὁρισμοὶ καὶ ἁπλῶς κατηγοροῦνται, ὧν εἰσι, καὶ ἀληθεύονται κατ' αὐτῶν, τὸ δὲ συμβεβηκὸς ποτὲ μὲν ἁπλῶς, ὡς ἐπὶ τῆς χιόνος τὸ λευκόν, ποτὲ δὲ πῇ, ὡς τοῦ ὀφθαλμοῦ τὸ λευκόν. ἔτι δὲ ἢ ἁπλῶς τε καὶ ἄνευ συνθέσεως κατηγορητέον, τουτέστιν ἕν τι καὶ μιᾶς κατηγορίας, ἢ συμπεπλεγμένα τε | καὶ 164ᵛ
5 συγκείμενα· ἡ μὲν γὰρ 'Σωκράτης ἄνθρωπός ἐστιν' ἁπλοῦν ἔχει τὸ κατηγορούμενον, ἡ δὲ λέγουσα 'Σωκράτης ἄνθρωπος λευκός ἐστιν' ἢ 'Σωκράτης καθήμενος διαλέγεται' σύνθετόν τε καὶ συγκείμενον. ἐπεὶ δὲ τῶν συγκειμένων ἐν ταῖς κατηγορίαις τὰ μὲν μίαν πρότασιν ποιεῖ, τὰ δ' οὐ μίαν, ἔστι δὲ τῶν ἰδίᾳ κατηγορουμένων ἀληθῶς τὰ μὲν καὶ συνθέντας ἀληθῶς κατηγορῆσαι, τὰ δὲ
10 συνθέντας οὐκ ἔστιν ἀληθῶς κατηγορῆσαι, περὶ τούτων ἀξιῶ ἄμεινον δεῖν ἐπεσκέφθαι· ἀλλὰ καὶ περὶ τῶν ἄλλων, ὧν τὰ κεφάλαια ἐκτεθείμεθα ἐν τῷ Περὶ ἑρμηνείας.

Ἐπεὶ δ' εὑρίσκομεν πολλάκις ἐν τοῖς παρὰ τοῖς ἀρχαιοτέροις κειμένοις λόγοις ὅρους τινὰς δὶς παραλαμβανομένους ἐν τῇ αὐτῇ προτάσει κἀν τῷ συμ-
15 περάσματι τὸν μέσον ὅρον κείμενον, διδακτέον, πῶς δεῖ καὶ τοὺς τοιούτους ἀναλύειν συλλογισμούς, καὶ ποίᾳ τῶν προτάσεων συντακτέον τὸν ἐπαναδιπλούμενον ὅρον. ἐπαναδιπλούμενον δέ ἐστιν, ὅπερ εἶπον, ἡ τοῦ αὐτοῦ ὅρου δὶς ἐν τῇ αὐτῇ προτάσει παράληψις ὡς καὶ ἐν τῷ συμπεράσματι πάντως εὑρίσκεσθαι. τὸ οὖν ἐπαναδιπλούμενον, ὅ ἐστιν, ὡς εἶπον, τὸ δὶς λαμβανόμενον·
20 ἔστι δὲ οὗτος ὁ μέσος ὅρος· τοῦτον οὖν τὸν δεύτερον ὅρον λαμβανόμενον καὶ ἐπαναδιπλούμενον οὐ δεῖ ἐν ταῖς ἀναλύσεσι τῶν τοιούτων συλλογισμῶν τῷ ⟨μέσῳ⟩ ὅρῳ συντάσσεσθαι ἀλλὰ τῷ πρώτῳ, τουτέστι τῷ μείζονι καὶ κατηγορουμένῳ. οἷον ἔστω δεδειγμένον, ὅτι τῆς δικαιοσύνης ἐπιστήμη ἐστίν, ὅτι ἀγαθόν· ἔστι μὲν γὰρ ἁπλῶς δικαιοσύνης ἐπιστήμην εἶναι, ὅτι ἐστὶ τοῦ κατ'
25 ἀξίαν ἑκάστῳ ἀπονεμητική· ἔστι δὲ καὶ ἐπιστήμην περὶ αὐτῆς ἔχειν, ὅτι ὠφέλιμος ἢ αἱρετὴ ἤ τι τοιοῦτον ἄλλο. ὡς ἔχει καὶ ὁ νῦν λόγος· ἡ δικαιοσύνη ἀγαθόν, τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη, ὅτι ἀγαθόν, τῆς δικαιοσύνης ἄρα ἐστὶν ἐπιστήμη, ὅτι ἀγαθόν. οὕτως γὰρ κειμένων τῶν ὅρων καὶ ὄντος μείζονος μὲν ἄκρου ἐπιστήμης, ὅτι ἀγαθόν, μέσου δὲ ἀγαθοῦ, ἐλάττονος δὲ ἄκρου
30 δικαιοσύνης ἔσται τὸ εἰρημένον συμπέρασμα τὸ τῆς δικαιοσύνης ἐπιστήμην εἶναι, ὅτι ἀγαθόν. καὶ ἡ ἀνάλυσις εἰς τοὺς εἰρημένους ὅρους ἔσται τοῦ συλλογισμοῦ. | ἐὰν δὲ τὸ ἐπαναδιπλούμενον (τοῦτο δ' ἐστὶ τὸ 'ὅτι ἀγαθόν') 165ᵃ
μὴ τῷ μείζονι ἄκρῳ συναφθῇ ἀλλὰ τῷ μέσῳ καὶ γένηται ὁ μέσος 'ἀγαθόν, ὅτι ἀγαθόν', οὔτε ἔτι συμπέρασμα ἔσται τὸ τὴν δικαιοσύνην ἐπιστήμην εἶναι,
35 ὅτι ἀγαθόν, τῷ μὴ εἶναι τῷ κατηγορουμένῳ, τουτέστι τῷ μείζονι, προσκείμενον τὸ 'ὅτι ἀγαθόν', ὅπερ ἦν τὸ ἀναδιπλούμενον· ἀλλ' οὐδ' ἡ ἐλάττων πρότασις συνετή ἐστιν· ἔσται γὰρ ἡ δικαιοσύνη ἀγαθόν, ὅτι ἀγαθόν. εἰ δὲ τοῦτο, ἢ περιττῶς ἔσται προσκείμενον τῷ ἀγαθῷ τὸ 'ὅτι ἀγαθόν' μηδὲν σημαῖνον, καὶ ἀσύνθετος καὶ ἀσύστατος ἡ πρότασις ἔσται ἡ ἐλάττων ἡ λέγουσα 'ἡ δικαιοσύνη

11 ἐκτεθείμεθα scripsi: ἐκτεθειμένα P (ἐκτίθεται Al. 367,12) 13 ἐπεὶ . . . εὑρίσκεσθαι (19) Phil. f. 84ᵛ 14 κἀν scripsi (καὶ ἐν Phil.): καὶ P 16 ποῖα P
17 ἐπαναδίπλωσις Phil. 20 ὅρον scripsi: ὅλον P 22 μέσῳ Al. 367,21: om. P
23 οἷον . . . νῦν λόγος (26) Phil. f. 84ᵛ 38 σημαῖνον Al. 368,4: σημαίνων P
39 ἀσύνθετος P: ἀσύνετος Al.

ἄνθρωπος, ὅτι ἀγαθόν'. ὥσανεὶ ἐλέγομεν 'ὁ Σωκράτης ἄνθρωπός ἐστιν, ὅτι ἄνθρωπος'. ἢ εἰ σημαντικὸν τὸ διὰ τοῦτο τὴν δικαιοσύνην ἀγαθὸν εἶναι, ὅτι μόνη ἀγαθόν ἐστι καὶ ταὐτὸν τῷ ἀγαθῷ, τουτέστιν οὐ τὸ τυχὸν ἀλλ' ὅπερ τὸ ἀγαθόν, τουτέστι τὸ καθόλου καὶ ὅλον ἀγαθόν, ψεῦδος ἂν τὸ λεγόμενον εἴη· οὐ γὰρ ἐστι τὸ γενικὸν ἀγαθὸν δικαιοσύνη· ἔστι γὰρ καὶ ἄλλα ἀγαθά, ὑγεία, φρόνησις. οὐ δὴ οὖν τῷ μέσῳ ὅρῳ χρὴ προσκεῖσθαι τὸ ἐπαναδιπλούμενον ἀλλὰ τῷ κατηγορουμένῳ· οὕτω γὰρ ἔσται ἀληθὴς ἡ ἐλάττων πρότασις, οἷον ὅτι ἡ δικαιοσύνη ἀγαθόν, ὅτι, ὅπερ ἀγαθόν, ἐστί, τουτέστιν, ἓν ἐν γένει τῷ ἀγαθῷ ἐστι· τοῦτο δέ, ὅτι περιέχεται ὑπ' αὐτοῦ. τὸ οὖν τῷ μέσῳ ὅρῳ αὐτὸ τοῦ περιέχειν ἐλάβομεν. ὁμοίως δὲ πάλιν, ἂν ᾖ συμπέρασμα, ὅτι τὸ ὑγιεινὸν ἐπιστητόν ἐστιν, ᾗ ἀγαθόν, τὸ μὲν ἐπαναδιπλούμενόν ἐστι τὸ ἀγαθόν· ἡ δ' ἀνάλυσις ἔσται καὶ τούτου τοῦ συλλογισμοῦ εἴς τε τοὺς ὅρους καὶ τὰς προτάσεις· οἷον τὸ ὑγιεινὸν ἀγαθόν, τὸ ἀγαθὸν ἐπιστητόν, ᾗ ἀγαθόν, τὸ ὑγιεινὸν ἄρα ἐπιστητόν ἐστιν, ὅτι ἀγαθόν. πάλιν οὖν κἀνταῦθα εὖ ἀναλύσομεν. ἂν τῷ μείζονί τε καὶ κατηγορουμένῳ ὅρῳ προσκείμενον ᾗ τὸ ⟨'ᾗ⟩ ἀγαθόν' ἢ 'ὅτι ἀγαθόν' (ταὐτὸν γάρ), ἵνα ᾗ μείζων μὲν ἄκρος ἐπιστητόν, ᾗ ἀγαθόν, μέσος δὲ ἀγαθόν, ἔσχατος δὲ τὸ ὑγιεινόν. ἔσονται μὲν γὰρ αἱ προτάσεις, ὡς εἴπομεν, 'τὸ ὑγιεινὸν ἀγαθόν, τὸ ἀγαθὸν ἐπιστητόν, ᾗ ἀγαθόν', συμπέρασμα δὲ 'τὸ ὑγιεινὸν ἐπιστητόν, ᾗ ἀγαθόν'. ἂν δὲ μὴ τῷ | κατηγορουμένῳ τὸ ἐπαναδιπλούμενον ἐν τῇ ἀναλύσει προστεθῇ ἀλλὰ τῷ μέσῳ, οὔτε τὸ συμπέρασμα ἔτι δειχθήσεται τὸ προκείμενον 'τὸ ὑγιεινὸν ἐπιστητόν, ᾗ ἀγαθόν', οὔτε ἡ πρότασις ἀληθὴς ἔσται ἡ συνετὴ λέγουσα 'τὸ ὑγιεινὸν ἀγαθόν, ᾗ ἀγαθόν'. ὅμοιον δὲ τούτοις ἐστὶ καὶ τὸ 'ὁ τραγέλαφος δοξαστόν, ᾗ μὴ ὄν'. ἐπεὶ δὲ σφόδρα συντόμως ῥηθὲν τοῦτο ἀσάφειαν ἔχει (μόνον γὰρ ἐλάβομεν τὸ ἐπαναδιπλούμενον τοῦ ὑποκειμένου κατηγορούμενον μὴ εἰπόντες τὸ δεῖν αὐτὸ τῷ κατηγορουμένῳ προσκεῖσθαι), ἐξαπλωτέον ἡμῖν αὐτό· οἷον ὁ τραγέλαφος μὴ ὄν, τὸ μὴ ὂν δοξαστόν, ᾗ μὴ ὄν· ἐφ' αἷς προτάσεσι συμπέρασμα τὸ 'ὁ τραγέλαφος δοξαστόν, ᾗ μὴ ὄν'. ὅμοιον παράδειγμα τούτοις τοῖς προειρημένοις καὶ τὸ 'ὁ ἄνθρωπος φθαρτόν, ᾗ αἰσθητόν'· ἔστι γὰρ συμπέρασμα ἐπαναδιπλούμενον ἔχον τὸ αἰσθητὸν δῆλον ὡς διὰ μέσου ὅρου τοῦ αἰσθητοῦ γεγονότος καὶ δεδειγμένον· ὁ γὰρ ἄνθρωπος αἰσθητόν, τὸ αἰσθητὸν φθαρτόν, ᾗ αἰσθητόν, ὁ ἄνθρωπος ἄρα φθαρτόν, ᾗ αἰσθητόν, τοῦ αἰσθητοῦ ἐπαναδιπλουμένου καὶ δεύτερον εἰλημμένου τῷ κατηγορουμένῳ ἄκρῳ συντεταγμένου ἀλλ' οὐ τῷ μέσῳ. τὸ δὲ ἐπαναδιπλούμενον ἐπικατηγορούμενον εἶπον, ἐπεὶ τῷ κατηγορουμένῳ συντάσσεται καὶ ἔστιν ἐν τοῖς συμπεράσμασι προσκατηγορούμενόν τε καὶ ἐπικατηγορούμενον.

[οὐκοῦν μὲν] Οὔ φημι δὲ δεῖν ἐν ταῖς τῶν συλλογισμῶν ἀναλύσεσι τὴν αὐτὴν καὶ ὁμοίαν θέσιν καὶ ζήτησιν τῶν ὅρων ποιεῖσθαι, ὅταν τε ἁπλῶς τι ἐν τῷ συμπεράσματι ᾗ κατηγορούμενον εἰλημμένον, καὶ ὅταν μετὰ προσθήκης τινὸς

1. 2 ὥσανεὶ . . . ἄνθρωπος Phil. f. 84ᵛ 2 εἰ Al. 368,5: εἰς P cf. ad 128,22 τὸ P (B: om. a): τοῦ scripsi Al. 368,5 3. 4 οὐ τὸ . . . τὸ ἀγαθόν et 5. 6 οὐ γὰρ . . . φρόνησις Phil. f. 84ᵛ 9 γένει Al. 368,13: γενέσει P 10 περιέχειν Al. 368,22: περιέχει P 15 ᾗ Al. 368,26: om. P 20 ἀλλὰ Al. 368,30: ἄλλω P 22 ἡ λέγουσα Al. 368,31 23. 27. 28 ἢ P 36 οὐκοῦν μὲν rubro scriptum delevi

ἐπικατηγορουμένου τῷ κατηγορουμένῳ συντεταγμένου, ὡς ἐδείξαμεν ⟨ἐν τοῖς⟩ τὸ ἐπαναδιπλούμενον προσκατηγορούμενον συμπέρασμα ἔχουσιν. ὃ δεδηλώκαμεν διὰ τοῦ 'τί τόδε ἢ πῇ ἢ πῶς'. τῶν γὰρ προσκατηγορουμένων τὰ μέν, τί ἐστι τὸ ὑποκείμενον, δηλοῖ. ὡς ἐπὶ τοῦ συμπεράσματος τοῦ τὸ ἰσοσκελὲς δυσὶν ὀρθαῖς ἴσας ἔχειν. ἢ τρίγωνον (τὸ γὰρ προσκατηγορούμενον. ἔστι δὲ 'ἢ τρίγωνον'. τί ἐστιν ἰσοσκελές, δηλοῖ, ὅ ἐστιν ἐν τῷ συμπεράσματι ὑποκείμενον), τὸ δὲ πῇ, ὡς ἐπὶ τοῦ 'τὸ ὑγιεινὸν ἐπιστητόν, | ἢ ἀγαθόν· πῇ γὰρ τὸ ὑγιεινὸν ἐπι- 166r
στητόν· καθὸ γὰρ ἀγαθόν, ἐπιστητόν. ὅταν δὲ τραγέλαφος δοξαστόν, ἢ μὴ ὄν, τοῦ πῶς· οὕτως γὰρ δοξαστὸν ὡς μὴ ὄν. τοιαῦτα μὲν τὰ συμπεράσματα, ἐν οἷς προσκατηγορεῖταί τι, καὶ τοιούτων τινὰ δηλωτικά. τὰ δὲ ἁπλᾶ, ὅταν τὸ κατηγορούμενον ἁπλῶς ἄνευ προσθήκης τινὸς τοῦ ὑποκειμένου ἐν τῷ συμπεράσματι κατηγορηθῇ. οἷον ἂν ᾖ συμπέρασμα τὸ 'ἡ δικαιοσύνη ἐπιστητόν' ἢ 'τὸ ἀγαθὸν ἐπιστητόν'· τὸ γὰρ ἐπιστητὸν ἔνθα μὲν τοῦ ἀγαθοῦ ἔνθα δὲ τῆς δικαιοσύνης ἁπλῶς κατηγορεῖται. οὔσης τοίνυν τοιαύτης διαφορᾶς ἐν τοῖς συλλογισμοῖς τε καὶ συμπεράσμασιν, οὐ φημι δεῖν τοὺς ὅρους ὁμοίως ζητεῖν ἔν τε τοῖς ἁπλῶς κατηγορουμένοις καὶ ἐν τοῖς μετὰ προσθήκης, ἀλλ' ὅταν μὲν ἁπλοῦν ᾖ τὸ συμπέρασμα, οἷον ὅτι ἡ δικαιοσύνη ἢ τὸ ἀγαθὸν ἐπιστητόν, τὸν μέσον ὅρον ζητητέον καὶ θετέον κοινότερόν τινα, ὃς ἁπλῶς ὑπάρχει τῷ ὑποκειμένῳ ὅρῳ, τῇ δικαιοσύνῃ ἢ τῷ ἀγαθῷ, καθ' οὗ δηλονότι καὶ ὁ κατηγορούμενος ἁπλῶς κατηγορηθήσεται οἷον τὸ ὄν· γίνεται γὰρ συλλογισμὸς 'ἡ δικαιοσύνη ἢ τὸ ἀγαθὸν ὄν, τὸ ὂν ἐπιστητόν, ἡ δικαιοσύνη ἄρα ἐπιστητὸν ἢ ⟨τὸ⟩ ἀγαθόν. [ι'] ὅταν δὲ ᾖ τὸ συμπέρασμα μὴ ἁπλοῦν ἀλλ' ἔχον προσκείμενόν τι καὶ προσκατηγορούμενον, δεῖ καὶ τὸν μέσον ὅρον μηκέθ' ἁπλῶς καὶ κοινῶς ζητεῖν ὑπάρχοντα τῷ ὑποκειμένῳ ἀλλὰ προσεχέστερον καὶ κατὰ τὸν τρόπον τοῦτον ὑπάρχοντα, καθ' ὃν ληφθέντος αὐτοῦ ἀληθὴς ὁ μείζων ἄκρος ἔσται κατ' αὐτοῦ μετὰ τοῦ προκειμένου κατηγορούμενος. τὸ μὲν γὰρ ἐπιστητὸν ἁπλῶς κατὰ τοῦ ὄντος ἀληθὲς ἦν κατηγορῆσαι, οὐκέτι δὲ τὸ 'ἐπιστητόν, ἢ ἀγαθόν' ἀληθὲς κατὰ τοῦ ὄντος, ἐπεὶ κοινότερον τὸ ὂν καὶ ἐπὶ πλέον τοῦ κατηγορουμένου. οὐ γὰρ ἀληθὴς ἡ πρότασις ἡ λέγουσα 'τὸ ὂν ἐπιστητόν, ἢ ἀγαθόν'· οὔτε γὰρ τὸ ὂν πᾶν ἀγαθόν, οὔτε μόνα τῶν ὄντων τἀγαθὰ ἐπιστητά, εἴ γε ἡ αὐτὴ ἐπιστήμη τῶν ἀντικειμένων. οὐκέτ' οὖν ὁ μέσος ὅρος ἔσται τὸ ὂν ἁπλῶς ἀλλὰ τί ὄν, τουτέστιν οἰκειότερόν τε τῷ ὑποκειμένῳ καὶ προσεχέστερον ⟨καὶ⟩ οὐχ ὁμοίως κοινὸν ἀλλὰ οὕτως ὂν ὡς κατηγορεῖσθαι αὐτοῦ τὸν | μείζονα ἄκρον δύνασθαι. ἔστι δὲ ὁ μείζων ἄκρος 'ἐπιστητόν, ἢ ἀγαθόν'. 166v
τί δὲ τοῦ ὄντος ἂν λάβωμεν, ὃ οἰκειότερόν ἐστι τῇ δικαιοσύνῃ ἢ τῷ ἀγαθῷ, κατηγορηθήσεται κατ' αὐτοῦ τὸ 'ἐπιστητόν, ἢ ἀγαθόν', οἷον ἂν τὸ ἀγαθὸν λάβωμεν ἢ τὸ αἱρετὸν ἢ τὴν ἀρετὴν ἢ τὸ ὠφέλιμον ἢ τὸ ἐφετὸν [ἢ] ἐπιστητόν, ἢ ἀγαθόν. ἀλλὰ καὶ κατὰ τῆς δικαιοσύνης ἢ τοῦ ἀγαθοῦ ἀληθές

---

1 ἐν τοῖς Al. 369,32: om. P 3 τί τόδε Ar.: τί τί δέον (sic) P 7 ὑγιεινὸν prius Al. 370,2: ὑγιαῖνον P 8 ἢ P 9 τοῦ P (a B): τὸ scripsi Al. 370,4 10 τινά P (a): τινῶν Al. 370,6 21 ἢ τὸ Al. 370,18: ἢ P 22 [ι'] rubrum cf. 131,37 24 ὑπάργοντα Al. 370,20: ὑπάρχοντι P 26 προκειμένου P (a): προσκειμένου Al. 370,22 30 ἢ P 31 ἔσται Al. 370,28: τόσται (sic) P 33 καὶ Al. 370,29: om. P 37 ἢ delevi

ἐστι τὸ μέσον κατηγορῆσαι· ἀληθὲς γὰρ τὸ 'ἡ δικαιοσύνη ἀγαθόν' ἢ 'τὸ ἀγαθὸν αἱρετόν'. καὶ οἰκειότερον καὶ προσεχέστερον τὸ τῆς δικαιοσύνης τὸ ἀγαθὸν ἢ τὴν ἀρετὴν κατηγορῆσαι ἤπερ τὸ ὄν· τὸ γὰρ ὂν κοινότερον· καὶ τοῦ ἀγαθοῦ πάλιν ἢ τῆς ἀρετῆς τὸ αἱρετόν. ὃ οὖν λέγομεν, ἐστίν, ὅτι, ἐν οἷς συμπεράσμασι τὸ κατηγορούμενον ἔχει προσκείμενόν τι δηλωτικὸν τοῦ 'τὶ τόδε ἢ πῇ ἢ πῶς'. ἃ κοινότερον περιλαβόντες δηλοῦμεν διὰ τοῦ 'τὶ ὄν', δεῖ ἐν τούτοις τοῖς συλλογισμοῖς καὶ τὸν μέσον ὅρον ἤτοι τὸν αὐτὸν τῷ προκειμένῳ λαμβάνειν (δυνατὸν γὰρ τοιοῦτον συμπέρασμα γίνεσθαι διὰ τοῦ μέσου ἐπαναδιπλωθέντος, ὡς ἐδείχθη) ἢ προσεχὲς τῷ ὑποκειμένῳ. τὸ γὰρ ἀγαθὸν τῆς ἰδίου σημεῖον
10 οὐσίας ἐστὶ τῆς δικαιοσύνης, ὁμοίως δὲ καὶ ἡ ἀρετὴ καὶ τὸ δι' αὑτὸ αἱρετόν (ἐν γὰρ τῷ λόγῳ αὐτῆς), ἀλλ' οὐ κοινὸν ὡς τὸ ὄν. ὁμοίως καὶ τὸ αἱρετὸν τοῦ ἀγαθοῦ· τὸ γὰρ ὂν καὶ κατὰ τῆς ἀδικίας ἀληθὲς καὶ κατὰ τοῦ κακοῦ. οὐ λέγω δέ, ὅτι ὁρισμὸν εἶναι δεῖ τὸν μέσον ὅρον, διὰ τὸ εἰπεῖν 'τῆς ἰδίου σημεῖον οὐσίας', ἀλλ' ὅτι ἐγγυτέρω μᾶλλον καὶ οἰκειότερον αὐτὸν δεῖ εἶναι τοῦ ὑποκειμένου ἐν τοῖς τοιούτοις συλλογισμοῖς καὶ οὐ κοινὸν καὶ καθόλου ὁμοίως. καὶ γὰρ ἂν μὴ τοιοῦτον ληφθῇ τὸ μέσον ἀλλὰ κοινόν, οὐ συνάγεται τὸ προκείμενον συμπέρασμα τὸ ἔχον προσκατηγορούμενον. εἰ γὰρ ἦν τὸ ὂν μέσος ὅρος καὶ μὴ τὸ τὶ ὄν, οἷον τὸ ἀγαθὸν καὶ τὸ αἱρετὸν ἢ ἡ ἀρετή, οὐκ ἂν ἦν συμπέρασμα, ὅτι ἐστὶν ἡ ἐπιστήμη τοῦ ἀγαθοῦ ἢ τῆς δικαιοσύνης, ὅτι ἐστὶν
20 ἀγαθόν, ἀλλ' ὅτι ὄν· ἦν γὰρ καὶ τῷ ἄκρῳ, τουτέστι τῷ κατηγορουμένῳ, τὸ ὂν ἀλλ' οὐ τὸ τὶ ὂν οἷον τὸ ἀγαθὸν προσκείμενον. φανερὸν οὖν, ὅτι ἐν τοῖς | οὐχ ἁπλῶς ἔχουσι τὸ κατηγορούμενον συλλογισμοῖς ἀλλὰ καὶ μετὰ προσθήκης 167ᵃ
τῆς δηλούσης 'τὶ τόδε ἢ πῇ ἢ πῶς' οὕτω ληπτέον τοὺς ὅρους· ταῦτα γὰρ καὶ τὰ τούτων δηλωτικὰ προσκείμενα τῷ κατηγορουμένῳ μερικώτερον αὐτὸν ποιεῖ.
30 οὐ γὰρ ὁμοίως καθόλου 'τό τε ἀγαθὸν ἐπιστητόν' καὶ τὸ 'τὸ ἀγαθὸν ἐπιστητόν. ἡ ὄν' ἢ 'τὸ ἀγαθὸν ἐπιστητόν, ἧ ἀγαθόν' ἢ 'δικαιοσύνη ἐπιστητόν, ἧ ἀγαθόν'. ἐν τοῖς τοιούτοις οὖν συλλογισμοῖς καὶ οὕτως ἐν μέρει φανερόν, ὅτι οὕτως δεῖ λαμβάνειν τοὺς ὅρους. τὸν γὰρ μέσον οὐ κοινὸν ληπτέον ὄντος μερικωτέρου τοῦ συμπεράσματος διὰ τὸ προσκατηγορούμενον ἀλλὰ προσεχῆ καὶ τῆς ἰδίου οὐσίας δηλωτικὸν ἢ καὶ τὸν αὐτὸν τῷ προσκειμένῳ· οὕτως γὰρ αὐτῷ ὑπάρξει ὁ μείζων ἄκρος. πρότερον μὲν οὖν περὶ τοῦ ἀναδιπλουμένου εἴπομεν, ὅτι δεῖ αὐτὸν προσκεῖσθαι τῷ κατηγορουμένῳ· μετὰ δὲ ταῦτα πάλιν εἴπομεν. τίνα μέσον ὅρον ⟨χρὴ⟩ λαμβάνειν, ἐν οἷς ἐπικατηγορούμενόν τι πρόσκειται τῷ κατηγορουμένῳ, ⟨καὶ⟩ ἐδιδάξαμεν, ὅτι ἢ τὸ προσκείμενον ἢ οἰκεῖόν γέ τινα ἢ καὶ προσεχῆ τῷ ὑποκειμένῳ.

Δεῖ δὲ ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν ὑπὲρ τοῦ εὐκολωτέρως ἀναλύειν μεταλαμβάνειν τὰ ἐν τοῖς ὅροις κείμενα εἰς τὰ τὸ αὐτὸ δυνάμενα· τὸ

5 ἔγκειμένον (sic) P 6 παραλαβόντες P (περιλαβὼν Al. 371,3) τὶ Al. 371,3 et Arist.: ὅτι P 7 προκειμένῳ P (a B): προσκειμένῳ scripsi Al. 371,4 9 ἰδίου Arist.: ἰδίως P 10 αὐτὸ P 11 ὄν Al. 371,24: ὧν P 22 καὶ om. Al. 372,11 31 ἀνόναδιπλουμένου P (ἐπαναδιπλουμένου Al. 372,20) 33 χρὴ Al. 372,21: om. P 34 καὶ Al. 372,22: om. P γέ τινα Al. 372,23: γίνεται P 35 προσεχῇ Al.: προσεχῶς P 36 εὐκολωτέρως scripsi (εὐκολώτερον Al. 372,26): εὐκολωτέρους P

αὐτὸ δὲ δύναται καὶ ὀνόματα ὀνόμασι καὶ λόγοι λόγοις καὶ ὀνόματα λόγοις. ἐπεὶ οὖν οὐκ ἐν ταῖς λέξεσιν ὁ συλλογισμὸς τὸ εἶναι ἔχει ἀλλ' ἐν τοῖς σημαινομένοις, σημαίνει δὲ λόγοις ὀνόματα ταὐτόν, ὅταν ὦσιν οἱ ὅροι διὰ λόγων εἰλημμένοι, ἀναλύοντας χρὴ εἰς τὰ ἴσον τοῖς λόγοις ὀνόματα δυνάμενα καὶ σημαίνοντα ταὐτὸν προηγουμένως μεταλαμβάνειν τοὺς ὅρους. ῥᾷον γὰρ ἡ ἀνάλυσις τῶν συλλογισμῶν εἰς τὰς προτάσεις καὶ ἡ εὕρεσις τοῦ σχήματος, καθ' ὃ ἠρώτηται, γίνεται ὀνομάτων ὄντων τῶν ὅρων καὶ μὴ λόγων· οἱ γὰρ λόγοι διὰ τὸ μῆκος ἀσάφειαν παρέχουσιν ἐν ταῖς τῶν προτάσεων εἰς τοὺς ὅρους διαιρέσεσί τε καὶ συμπλοκαῖς. οἷον ἂν ᾖ κείμενον κατὰ Σωκράτους 'Σωκράτης ζῶον πεζὸν δίπουν', | κατὰ ζώου πεζοῦ δίποδος οὐσία ἔμψυχος 167v
αἰσθητική, μεταληψόμεθα τῶν λόγων τὸν μὲν εἰς τὸν ἄνθρωπον τὸν δὲ εἰς τὸ ζῶον. πάλιν ἂν ᾖ κείμενον τῇ αὐτοῦ φύσει ἀγαθόν, μεταληψόμεθα εἰς τὸ δι' αὐτὸ ἀγαθόν. καὶ ὄνομα δὲ ἀντ' ὀνόματος, οἷον ἀντὶ χαρᾶς ἡδονήν· συνηθέστερον γάρ. ὁποίαν δὲ χρὴ τὴν μετάληψιν τῶν ὅρων ποιεῖσθαι καὶ πῶς, καὶ διὰ τῶνδε τῶν παραδειγμάτων δηλωτέον. εἰ γὰρ ταὐτὸν σημαίνει τῷ λόγῳ τῷ λέγοντι τὸ ὑπολῆπτὸν τοῦ δοξαστοῦ μὴ εἶναι γένος ὁ λέγων τὸ δοξαστὸν μὴ εἶναι, ὅπερ ὑπολῆπτόν, ἐπεὶ τὸ 'ὅπερ' τοῦ γένους ἐστὶ δηλωτικόν, εἰς τοῦτο χρὴ τὴν μετάληψιν ποιεῖσθαι καὶ ἀντὶ τοῦ τιθέναι ὅρον τὸ δοξαστὸν καὶ τὸν λόγον τὸν λέγοντα μὴ εἶναι τοῦ δοξαστοῦ γένος τὸ ὑπολῆπτὸν ληπτέον τὸ δοξαστὸν ὅρον καὶ τὸ 'ὅπερ ὑπολῆπτόν'· ὁ γὰρ αὐτὸς ἔσται συλλογισμός. διὰ γὰρ τὰ σημαινόμενα ὑπὸ τῶν λέξεων, ὡς ἔφαμεν, ὁ συλλογισμὸς γίνεται, οὐ διὰ τὰς λέξεις· ὅταν γοῦν μηδὲν σημαίνωσιν ἢ ἀμφίβολοι ὦσιν, οὐ γίνεται συλλογισμὸς ἐξ αὐτῶν. ὥσθ' ὅταν ταὐτὰ σημαίνηται ὑπὸ τῶν διαφόρων λέξεων καὶ προηγουμένως καὶ ὁμοίως λαμβάνηται, ὁ αὐτὸς ἔσται συλλογισμός. ταὐτὸν δὲ σημαίνει τῇ λέξει τῇ λεγούσῃ 'τὸ ζῶον ἐν γένει ἐστὶ τῇ οὐσίᾳ' ἡ λέγουσα λέξις 'τὸ ζῶον, ὅπερ οὐσία, ἐστί'· γέγονε δὲ οὕτως λόγου εἰς λόγον μετάληψις· ὥστε καὶ ἡ μετάληψις [ὥστε καὶ ἡ μετάληψις] ἡ εἰς ἄλληλα κατ' οὐδὲν ἀλλοιοτέρους ποιήσει τοὺς συλλογισμούς. οὐκ ἔστι δὲ τὸ νῦν εἰρημένον μαχόμενον τῷ εἰρῆσθαι δοκοῦντι πρὸ ὀλίγου τῷ 'οὐ δεῖ δὲ τοὺς ὅρους ζητεῖν ὀνόματι ἐκτίθεσθαι'. ἐκεῖ τε γὰρ εἶπον 'οὐκ ἀεὶ δεῖ ζητεῖν', διότι ἐπ' ἐνίων οὐχ οἷόν τέ ἐστιν εὑρεῖν· ἐνταῦθα δὲ ἀξιῶ τοῦτο ποιεῖν, ἐφ' ὧν οἷόν τε εὑρεῖν τὰ ἴσα δυνάμενα λόγοις ὀνόματα.

Ἐπεὶ δὲ οὐ ταὐτὸν σημαίνει τὸ λέγειν τὴν ἡδονὴν ἀγαθὸν εἶναι κἂν τὸ λέγειν τὴν ἡδονὴν τὸ ἀγαθὸν εἶναι (ὁ μὲν γὰρ ἀγαθὸν τὴν ἡδονὴν λέγων ἁπλῶς αὐτῆς κατηγορεῖ τὸ ἀγαθόν, ὁ δὲ τὸ ἀγαθὸν λέγων αὐτὴν ἤτοι τὴν ἐν τοῖς ἀγαθοῖς ὑπεροχὴν αὐτῆς κατηγορεῖ ἢ ὅτι πᾶν ἀγαθόν ἐστιν ἡ ἡδονή, οἷον ὅτι γένος τῶν ἀγαθῶν). (ἐν) δὴ ταῖς τῶν συλλογισμῶν ἀναλύσεσί φημι δεῖν 168r
παραφυλάττειν, κἂν μὲν ᾖ τἀγαθὸν ἡ ἡδονὴ κείμενον, ὅρους τὴν ἡδονὴν καὶ

5 ῥᾷον Al. 373,1 10 πεδὸν P 11 τῶν λόγων Al. 373,6: τὸν λόγον P 12 αὐτοῦ P 13 αὐτὸ P 18 τοῦ Al. 373,13: τούτου P 21 λέξεων Al. 373,19: ἕξεων P cf. 134,8 24 καὶ prius om. Al. 373,19 27 ὥστε καὶ ἡ μετάληψις iterat P 36 πᾶν ἀγαθὸν . . . ἀγαθῶν (37) Phil. [illegible] ἐστιν Phil.: ἡ P 37 ἐν δὴ Al. 374,10: δὴ supra ras. P

τἀγαθὸν ληπτέον. ἂν δὲ ᾖ ἁπλῶς ἡ ἡδονὴ ἀγαθόν. ἡδονὴν καὶ ἀγαθόν. ὁμοίως τούτοις οὐ ταὐτόν ἐστι τὸν ἄνθρωπον ζῶον λαβεῖν ἢ τὸν ἄνθρωπον τὸ ζῶον εἶναι· τὸ μὲν γὰρ εἰπεῖν τὸν ἄνθρωπον ζῶον εἶναι ἀληθές, τὸ δὲ τὸν ἄνθρωπον τὸ ζῶον οὐκ ἀληθές. παρὰ τοῦτο γὰρ καὶ ὁ παραλογισμὸς ἐν τῷ λόγῳ τῷ 'ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον γένος'· οὐκέτι γὰρ ὁ ἄνθρωπος γένος, ὅτι μηδὲ τὴν ἀρχὴν ἐλήφθη ὁ ἄνθρωπος τὸ ζῶον εἶναι, ἀλλ' ἁπλῶς ζῶον, οὐχ ἁπλῶς δὲ ζῶον γένος. ἀλλὰ τὸ ζῶον· οὐ γὰρ πᾶν ζῶον γένος. διὸ καὶ τοῦτο ὁ λόγος ἁμάρτημα ἔχει μὴ ληφθείσης καθόλου τῆς μείζονος προτάσεως. ὁμοίως δὲ καὶ τὸ μὲν εἰπεῖν, ὅτι ἡ χιὼν λευκή ἐστιν, ἀληθές, ⟨τὸ δὲ ἡ 'χιὼν τὸ λευκόν' οὐκ ἀληθές⟩. φημὶ οὖν δεῖν ἐν ταῖς τοιαύταις προσθήκαις ἀκριβολογεῖσθαι καὶ πρὸς τὸ σημαινόμενον βλέποντας τοὺς ὅρους ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν ἐκλαμβάνειν, καθὰ ἐτέθησαν. οὕτω καὶ ἐν τῷ εἰς διαβολὴν τοῦ διὰ τριῶν φερομένου λόγου τοῦ 'εἰ μηδέν ἐστιν, οὐδὲ νύξ ἐστιν. εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν, εἰ μηδὲν ἄρα ἐστίν, ἡμέρα ἐστί' χρὴ ποιεῖν. ἕπεται γὰρ ὅποταν τῷ μηδὲν εἶναι οὐχ ἁπλῶς τὸ μὴ εἶναι νύκτα ἀλλὰ μηδὲ νύκτα, τοῦτον χρὴ τῆς δευτέρας συνεχείας ὅρον ἡγούμενον λαμβάνειν τὸν 'εἰ μηδὲ νύξ ἐστιν'· ᾧ οὕτως ληφθέντι οὐκέτι ἀκολουθήσει τὸ ἡμέραν εἶναι. ἔτι καθ' αὑτὸ μὲν λαμβανόμενον τὸ 'εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν' ἀληθές, ἐὰν δὲ ἐπὶ προκειμένῳ συνημμένῳ τῷ 'εἰ μηδέν ἐστιν, οὐδὲ νύξ ἐστιν', οὐκέτ' ἀληθὲς τῷ τὸ μέσον τὸ ἑπόμενον μὲν ἐν τῷ πρώτῳ συνημμένῳ ἡγούμενον δὲ ἐν τῷ δευτέρῳ μὴ ὁμοίως ἐν ἀμφοτέροις λαμβάνεσθαι· ἐλήφθη γὰρ ἐν τῷ πρώτῳ συνημμένῳ 'οὐδὲ νύξ' ὡς ἴσον τῷ πρὸς τοῖς ἄλλοις μηδὲ νύκτα ἔσεσθαι, ᾧ οὐκέτι ἕπεται τὸ ἡμέραν εἶναι.

Ἐπεὶ δὲ γίνεται καὶ παρὰ τὸν τρόπον τῆς κατηγορίας τὸ σημαινόμενον διάφορον, φημὶ δεῖν καὶ τοῦτο παραφυλάττειν ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν, πῶς ἡ κατηγορία γέγονε, πότερον ἀπροσδιορίστως ἢ προσδιωρισμένως. καὶ ὅτι γε παρὰ τὸν τρόπον τῆς κατηγορίας τὸ σημαινόμενον διάφορον γίνεται, 168v
δείκνυμι. λέγω γάρ, ὅτι οὔτε κατὰ τὴν τῶν πραγμάτων ὑπόστασιν οὔτε κατὰ τὴν τῶν λόγων προφορὰν ταὐτόν ἐστι τὸ ὑπάρχειν τε ἁπλῶς καὶ ἀπροσδιορίστως καὶ παντὶ ὑπάρχειν, ὥς φαμεν τὸ φιλοσοφεῖν ἀνθρώπῳ ὑπάρχειν, καίτοι οὐ πᾶς ἄνθρωπος φιλοσοφεῖ, ἀλλ' ὅτι τινὶ ὑπάρχει. ἔστωσαν οὖν ὅροι τρεῖς Α Β Γ. ἐὰν μὲν οὕτως εἴπω, ὅτι, ᾧ τὸ Β ὑπάρχει παντί, τούτῳ καὶ τὸ Α ὑπάρχει παντὶ οἷον τῷ Γ, συλλογιστικὸς οὗτος ὁ λόγος. ἐὰν δὲ οὕτως εἴπω, ὅτι, ᾧ τὸ Β ὑπάρχει, τούτῳ παντὶ τὸ Α ὑπάρχει, παραλογίζομαι· καὶ τὸ Β γὰρ εἰ ὑπάρχει τῷ Γ, ἐνδέχεται τὸ Α οὐ μόνον οὐ παντὶ τῷ Γ ὑπάρχειν, ἀλλ' ἔστιν, ὅτε καὶ οὐδενί. τοῦτο δὲ συμβαίνει διὰ τὸ ἀπροσδιόριστον εἰλῆφθαι τὴν Β Γ πρότασιν, λέγω δὴ τὴν ἐλάττονα, τὰς δὲ ἀπροσδιορίστους ἰσοδυναμεῖν

4 περὶ P 6 ἀλλ' Al. 374,17: οὐχ P 8 ἁμάρτημα Al. 374,19: ἁμαρτάνειν P 9 τὸ . . . ἀληθές (10) Al. 374,20. 21: om. P 13 τοῦ alterum P: τῷ Al. 374,24 17 εἶναι. ἔτι Al. 374,29: ἔτι εἶναι P 20 συνημμένῳ ἡγούμενον Al. 374,32: συνημμένον. ἡγοῦ μένον P 24 περὶ P 26 προσδίωρισμένως scripsi: προδιωρισμένως P 27 περὶ P 28 οὔτε . . . ἠλήθευον (143,20) Phil. 168v 29. 30 ἀπροσδιορίστως Phil.: ἀπροδιορίστως P 34 τούτῳ . . τὸ Phil.:

ταῖς μερικαῖς. ἔστω μὲν γὰρ τὸ μὲν Α λευκόν, τὸ δὲ Β πτηνόν, τὸ δὲ Γ ζῶον. ἀληθὲς δὴ εἰπεῖν, ὅτι τὸ πτηνὸν ὑπάρχει τῷ ζώῳ· τινὶ γὰρ ζώῳ ὑπάρχει· αἱ γὰρ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερικαῖς. οὐκέτι δὲ ἀληθὲς εἰπεῖν, ὅτι τὸ λευκὸν παντὶ ζώῳ ὑπάρχει· τινὶ γὰρ ὑπάρχει οἷον τῷ κύκνῳ. εἰ δὲ
5 ληφθείη μέρος τοῦ ζώου, ᾧ μὴ ὑπάρχει τὸ λευκὸν οἷον κόρακι, τούτῳ τὸ πτηνὸν μὲν ὑπάρχει, τὸ δὲ λευκὸν οὐχ ὑπάρξει. οὐ μόνον δέ, ὅτε οὕτω φαμέν, ὅτι, ᾧ τὸ Β ὑπάρχει, τούτῳ παντὶ τὸ Α ὑπάρχει, ἐνδέχεται τὸ Α ποτὲ μὲν παντὶ τῷ Γ ποτὲ δὲ μηδενί, ἀλλὰ κἂν οὕτως εἴπω, ὅτι, ᾧ τὸ Β παντί, τούτῳ καὶ τὸ Α παντί. οὐδὲ γὰρ οὕτως ἀεὶ ἀληθὲς τὸ 'ᾧ τὸ Β παντί,
10 τούτῳ καὶ τὸ Α παντί'· ἐνδέχεται γὰρ μηδενί· ἡ γὰρ Α Β εἰ ἀποφατικὴ ληφθείη, τὸ μὲν Β παντὶ τῷ Γ ὑπάρχει, τὸ δὲ Α οὐδενί. ἔστω γὰρ τὸ μὲν Α ἄψυχον, τὸ δὲ Β ζῶον, τὸ δὲ Γ πτηνόν· τὸ μὲν οὖν Β παντὶ τῷ Γ ὑπάρχει, τὸ δὲ Α οὐδενί. εἰ δέ ποτε ἐνδέχεται, οἷον εἰ ἀντὶ τοῦ ἀψύχου τὸ ἔμψυχον λάβω, καὶ ἐπὶ τῆς ἑτέρας συμπλοκῆς τὸ αὐτὸ ἐνδέχεται, εἰ λάβω
15 λευκόν, ἄλογον, κύκνον· ᾧ γὰρ ὑπάρχει τὸ ἄλογον οἷον κύκνῳ, τούτῳ παντὶ ὑπάρχει τὸ λευκόν. ἀλλ' αἱ συλλογιστικαὶ συζυγίαι οὐκ ἐπὶ τινὸς μὲν ὅλης ἀληθεύουσιν ἐπὶ τινὸς δὲ οὔ, ἀλλ' ἐπὶ πάσης· τοῦτο γὰρ τῷ ἀσυλλογίστῳ ὑπάρχει τὸ ἐπὶ τινὸς μὲν ὅλης ἀληθεύειν ἐπὶ τινὸς δὲ ψεύδεσθαι. ὡς εἶναι δῆλον, ὅτι καὶ ὅτε ἠλήθευον, οὐ διὰ τὴν συμπλοκὴν τῶν προτάσεων ἀλλὰ 169r
20 διὰ τὴν ὅλην ἠλήθευον.

Οὐ δεῖ δὲ οἴεσθαι παρὰ τὴν τῶν ὅρων ἔκθεσίν τι συμβαίνειν ἄτοπον καὶ ψεῦδος, ἐπειδὴ ἐν τῇ τῶν συλλογισμῶν παραδόσει κεχρήμεθα τοῖς στοιχείοις ἀντὶ τῶν ὅρων καὶ ἐπ' αὐτῶν δεικνύομεν τάς τε συλλογιστικὰς συζυγίας καὶ τὰς ἀσυλλογίστους, ὡς τῆς τῶν στοιχείων λήψεως αἰτίας γεγενημένης
25 τοῦ δοκεῖν δείκνυσθαί τι συναγόμενον ἢ μὴ δείκνυσθαι, ὡς πολλάκις δείκνυσθαί τινα παρὰ τὴν ὅλην συνάγοντά τι οὐκ ὄντα συλλογιστικά. τάχα μὲν οὖν οὐ σαφῶς εἰρήκαμεν, ὃ εἰπεῖν βουλόμεθα. ῥητέον οὖν ὡς οἷόν τε σαφέστερον. οὐ δεῖ ὑπολαμβάνειν καὶ ὑπονοεῖν, ὅτι ἡ τῶν στοιχείων ἔκθεσις αἰτία ἐστὶ τοῦ ἢ συλλογιστικὰς εἶναί τινας τῶν συμπλοκῶν ἢ ἀσυλλογίστους, ἐπειδὴ διὰ
30 παντὸς τοῦ βιβλίου διὰ τῆς τῶν στοιχείων ἐκθέσεως τὴν διδασκαλίαν ἐποιησάμεθα· οὐ γὰρ παρὰ τὴν ἔκθεσιν τῶν στοιχείων τὰ συμβαίνοντα συμβέβηκεν ἐν τῇ τῶν συλλογισμῶν παραδόσει. καὶ τί λέγω τῶν στοιχείων, ὅπου γε οὐδὲ παρὰ τὴν τῶν ὅρων παραληφθέντων ἔκθεσιν οὐδὲν τῶν συμβάντων συμβέβηκεν: οὐδὲν γὰρ ἡμῖν εἰς τὰ δεικνύμενα ἡ τούτων ἔκθεσις συνεισφέρει. οὐ γὰρ παρὰ
35 τὸ τὸ μὲν Α αὐτῶν εἶναι τὸ δὲ Β ἢ Γ ἡ συναγωγὴ γέγονε· τὸ γὰρ αὐτὸ γίνεται, κἂν ἄλλοις ἀντὶ τούτων χρησώμεθα. ὃ οὐ γίνεται ἐπὶ τοῦ 'πᾶς ἄνθρωπος ζῶον, πᾶν γελαστικὸν ἄνθρωπος'· ἐκ γὰρ τούτων συνάγεσθαι δοκεῖ τὸ πάντα ἄνθρωπον γελαστικὸν εἶναι. ἀλλὰ τοῦτο διὰ τὴν τῶν εἰλημμένων ὅρων

5 ὑπάρχει Phil.: ὑπάρχειν P 7 post μὲν add. τινὶ ποτὲ δὲ μὴ Phil. 8 εἴπω scripsi (εἴπομεν Phil.): εἴπως P 10 ἡ scripsi: εἰ P (et Phil., qui tamen alterum εἰ omittit) ἀποφατικὴ Phil.: ἀποφατικὸν P 11 τὸ (ante δὲ) Phil.: τῷ P 13 τὸ Phil.: τῷ P 12 οὖν Phil.: οὐ P 21 περὶ P 25 δείκνυσθαί (post πολλάκις) P (a): δείκνυταί Al. 379,20 (B) 26 περὶ P: item vs. 31,33,34 27 ὃ scripsi: τὸ P 28 ὅτι . . . συμβέβηκεν (33) Phil. f. 86r

ποιὰν σχέσιν πρὸς ἀλλήλους, οὐ διὰ τὸ σχῆμα· ἄλλων γοῦν ὅρων ἐν τῇ
[illegible] συζυγίᾳ λεχθέντων οὐδὲν συνάγεται. ὥσπερ ἐπὶ τῶν 'πᾶς ἄνθρωπος
ζῶον, πᾶς ἵππος ζῶον'. ἐπὶ δὲ τῆς τῶν στοιχείων ἐκθέσεως οὐχ οὕτως·
ὃ ἐδείξαμεν καὶ αὐτοὶ ἄλλοτε ἄλλοις χρησάμενοι καθ' ἕκαστον σχῆμα. οὐ
γὰρ ἔστιν ἐπὶ τῶν στοιχείων, ἵνα τὸ μὲν ὡς ὅλον τὸ δ' ὡς μέρος τούτου
λεχθῇ, ὡς ἔχει τὸ ἔμψυχον καὶ τὸ ζῶον· τὸ μὲν γὰρ ὡς ὅλον ἐστίν (ἐπὶ
πλέον γὰρ καὶ καθόλου), τὸ δ' ὡς μέρος· καὶ πάλιν ἄν ἄλλο πρὸς τοῦτο
⟨τὸ⟩ ζῶον. ὃ ζῶον ὡς μέρος ἐλήφθη ἐν τῇ πρώτῃ προτάσει, ἄλλο ὡς μέρος οἷον
ἄνθρωπος ληφθῇ· ἐκ τῶν οὕτως οὖν ἐχόντων ὅρων ὡς τὸν μὲν κατηγορεῖ-
σθαι τὸν δὲ ὑποκεῖσθαί τε καὶ κατηγορεῖσθαι ἐν ταῖς προτάσεσιν αἱ δείξεις.
οὐδὲν γὰρ τῶν, ἃ μὴ ἔχει πρὸς ἄλληλα οἰκειότητα, οἷόν τέ τι δειχθῆναι
συναγόμενον | συλλογιστικῶς. τὰ δὲ στοιχεῖα οὐδεμίαν τοιαύτην σχέσιν ἔχει 169v
πρὸς ἄλληλα. ἀλλὰ σημεῖα κοινὰ τῶν ὅρων εἴληπται οὐδὲν παρ' αὐτῶν συντε-
λοῦντα εἰς τὸ ἢ συνακτικὴν δειχθῆναι τὴν συζυγίαν ἢ ἀσύνακτον. ὡς γὰρ ὁ
γεωμέτρης ὑπὲρ σαφηνείας τῆς κατὰ τὴν διδασκαλίαν καταγραφὴν ποιεῖταί
τινα καὶ λέγει 'ἔστω ποδιαία ἥδε, καὶ ἔστω εὐθεῖα ἥδε' οὔτε τὴν ποδιαίαν
ποδιαίαν λαμβάνων οὔτε τὴν εὐθεῖαν εὐθεῖαν, οὐδὲ τοῖς καταγεγραμμένοις
προσχρώμενος δείκνυσιν αὐτῷ τὸ προκείμενον. ἀλλὰ τούτοις σημείοις χρῆται
οὐδὲν συντελοῦσιν ἢ συνεισφέρουσι πρὸς τὸ δεικνύμενον (οὐδὲν γὰρ ἔλαττον
καὶ μὴ καταγράψας ταύτας μηδὲ προσχρησάμενος αὐτῷ δύναται δεῖξαι τὸ
προκείμενον), ἀλλ' ὑπὲρ τοῦ ἀπαρακολουθήτου τοῦ μανθάνοντος ἐκτίθεται
εὐθεῖάν τινα καὶ ταύτην ἀξιοῖ ἀπλατῆ εἶναι οὐκ οὖσαν ἀπλατῆ ἢ ἄπειρον οὐκ
οὖσαν ἄπειρον, ὁμοίως καὶ κύκλον γράφει οὐκ ὄντα κύκλον καὶ διάμετρον
ὁμοίως καὶ κέντρον καὶ τὰ λοιπά, ἃ λαμβάνει, καὶ οὐ παρὰ τὰ ἐκτεθέντα
συμβαίνει τὰ ἀποδεικνύμενα ἀλλὰ παρὰ τὰ νοούμενα, οἷον τὸ ἀπλατῆ εἶναι
τὴν εὐθεῖαν, κἂν ἡ ἐκκειμένη μή ἐστιν ἀπλατής, καὶ παρὰ ⟨τὸ⟩ τοῦ κύκλου
κέντρον ἢ τὴν διάμετρον, κἂν τὰ ἐκκείμενα μὴ οὕτως ἔχῃ, τῆς δὲ διδασκαλίας
ἕνεκεν μόνης ἐκτίθεται τὰ τοιαῦτα, διότι οἱ εἰσαγόμενοι δέονται τῆς δι' αἰ-
σθήσεως ὁδηγίας μήπω τοῖς νοητοῖς αὐτοῖς καθ' αὑτὰ ἐπιβάλλειν δυνάμενοι,
οὕτως καὶ ἡμεῖς τοῖς στοιχείοις ἐχρησάμεθα καὶ τοῖς ὅροις εἰς τῆς διδασκαλίας
τὴν σαφήνειαν οὐ παρὰ ταῦτα ἀποδείξαντες τὰ ἀποδεδειγμένα ἀλλὰ παρὰ τὴν
συμπλοκὴν τοῦ καθόλου καὶ μερικοῦ καταφατικοῦ καὶ ἀποφατικοῦ. ἄνευ γὰρ
τῆς τοίας συνθέσεως οὐδὲν ἐδείκνυτο· οὕτως γὰρ ἐλέγομεν 'εἰ τὸ Α παντὶ τῷ
Β ὑπάρχει, πᾶσι τοῖς μέρεσιν αὐτοῦ ὑπάρχει, καὶ εἰ τὸ Β τῷ Γ ὑπάρχει ἢ
παντὶ ἢ τινί, μέρος ἂν εἴη τὸ Γ τοῦ Β, ὥστε καὶ τὸ Α παντὶ ἢ τινὶ ὑπάρξει
τῷ Γ'. καὶ οὕτως ἐπὶ πάντων ἐκ τούτων ἐγίνετο ἡ ἀπόδειξις, οὐκ ἐκ τῶν
κειμένων στοιχείων τε καὶ ὅρων ἁπλῶς. εἰ γὰρ μὴ οὕτως ἔχοιεν οἱ ὅροι
ὥστε τὸν μὲν μείζονα περιέχειν τὸν μέσον τὸν δὲ μέσον τὸν ἐλάττονα, ἐξ 170r

8 τὸ Al. 380,14: om. P 9 ἐκ Al. 380,16: om. in lac. P 9. 10 τὸν . . . τὸν Al. 380,17: τῶν . . . τῶν P 14 ἀσύνακτον Al. 379,28: ἀσύντακτον P 16 ἔστω prius Al. 379,29: ἔσται P 18 προσχρώμενος Al. 379,31: προσχρώμεθα P 20 αὐτῷ P: αὐταῖς Al. 379,33 21 ἀπαρακολουθήτου P: fort. εὐπαρακολουθήτου (εὐ παρακολουθῆσαι Al. 379,34) τοῦ μανθάνοντος . . . ἐγίνετο (145, 1) Phil. f. 86r — 86v 24. 25. 26. 31 περὶ P 26 τὸ Phil.: om. P

οὐδενὸς τῶν ἐκκειμένων ἢ ὅρων ἢ στοιχείων ἡ ἀπόδειξις ἐγίνετο. οὐχ οὕτως οὖν ἐχρησάμεθα τοῖς στοιχείοις ὡς χωρὶς αὐτῶν μὴ δυνάμενοι ἀποδεῖξαι, ὥσπερ ἀδύνατον χωρὶς τούτων ἀποδεῖξαι, ἐξ ὧν ὁ συλλογισμός, λέγω δὴ τοῦ καθόλου, τοῦ μερικοῦ, τοῦ καταφατικοῦ, τοῦ ἀποφατικοῦ· ἄνευ γὰρ τούτων ἀδύνατον ἀποδεῖξαι. διὰ τί οὖν ὅλως αὐτοῖς ἐχρησάμεθα, εἴποι τις ἄν. ὥσπερ εἴποιμι ἄν, καὶ αἰσθητοῖς τισι πρὸς μάθησιν καὶ διδασκαλίαν τινὸς προσχρώμεθα, οἷον εὐθεῖαν καταγράφοντες καὶ κύκλον καὶ τὰ τοιαῦτα, διὰ τοῦτο ἐριστῶντες τοὺς μανθάνοντας ἐπὶ τὴν τῶν ⟨οὐκ⟩ αἰσθητῶν νόησιν. οὔτε γὰρ τότε χρώμεθα ταῖς τῶν αἰσθητῶν παραβολαῖς ὡς ἀπ' ἐκείνων καὶ δι' ἐκείνων γινομένης τῆς δείξεως, οὔτε τῇ τῶν στοιχείων ἐκθέσει ὡς ἄνευ τούτων μὴ δυναμένου γενέσθαι τοῦ συλλογισμοῦ, ὥσπερ δὴ καὶ ἐπὶ τῶν προτάσεων τῶν ⟨οἰκείων⟩, ἐξ ὧν ὁ συλλογισμός.

Ἐπεὶ δὲ ὁ λόγος ἡμῖν περὶ ἀναλύσεως συλλογισμῶν, εἰσὶ δέ τινες καὶ σύνθετοι συλλογισμοί, ἐν οἷς πλείω τὰ συμπεράσματα καὶ πλείους οἱ συλλογισμοί, μὴ λανθανέτω ἡμᾶς ⟨ὅτι⟩ ἐν τοῖς ἐκ πλειόνων συλλογισμῶν καὶ συμπερασμάτων συγκειμένοις συλλογισμοῖς οὐχ ἅπαντα τὰ συμπεράσματα κατὰ τοὺς συλλογισμοὺς ἀναγκαῖόν ἐστιν ἐν τῷ αὐτῷ γεγονέναι σχήματι. ἐπειδὴ γὰρ τῶν συλλογισμῶν οἱ μὲν ἐκ προσυλλογισμοῦ δείκνυνται, ὧν αἱ προτάσεις οὐκ ἄμεσοι οὐδὲ αὐτόπιστοι, οἱ δὲ οὐδὲ δέονται προσυλλογισμοῦ διὰ τὸ ἀμέσους εἶναι καὶ αὐτοπίστους τὰς προτάσεις, ὅταν ἐκ προσυλλογισμοῦ περαίνηταί τις συλλογισμός, οὐ πάντως καθ' ἓν καὶ ταὐτὸ σχῆμα πάντα συνάγεται τὰ συμπεράσματα. ἀλλ' ἐγχωρεῖ τὸ μέντοι συμπέρασμα κατὰ πρῶτον γεγονέναι σχῆμα τῶν ἐν αὐτῷ τὸ δέ τοι κατὰ δεύτερον ἢ τρίτον. ἐὰν μὲν γὰρ θελήσας δεῖξαι, ὅτι Σωκράτης οὐσία ἐστί, χρήσωμαι μεταξὺ τῷ ζώῳ, ὅτι Σωκράτης ζῶον, ἐπεὶ μὴ ἄμεσοι αἱ προτάσεις καὶ δεῖ τῆς ἑκατέρας κατασκευῆς, τίθημι μεταξὺ μὲν Σωκράτους καὶ τοῦ ζώου τὸν ἄνθρωπον, μεταξὺ δὲ ζώου καὶ τῆς οὐσίας τὸ ἔμψυχον, πάλιν μεταξὺ τοῦ ἐμψύχου καὶ τῆς οὐσίας τὸ σῶμα. καὶ δηλονότι πάντα τὰ συμπεράσματα ἐν τούτῳ κατὰ πρῶτον σχῆμα γίνεται οὕτως· Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ζῶον, Σωκράτης ἄρα ζῶον· καὶ πάλιν 170v Σωκράτης ζῶον, τὸ ζῶον ἔμψυχον, Σωκράτης ἄρα ἔμψυχον· καὶ πάλιν Σωκράτης ἔμψυχον, τὸ ἔμψυχον σῶμα, Σωκράτης ἄρα σῶμα· καὶ πάλιν Σωκράτης σῶμα, τὸ σῶμα οὐσία, Σωκράτης ἄρα οὐσία. καὶ συντιθέμεναι πᾶσαι αἱ προτάσεις ἕνα σύνθετον ἐν πρώτῳ σχήματι ποιοῦσι συλλογισμόν· Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον ἔμψυχον, τὸ ἔμψυχον σῶμα, τὸ σῶμα οὐσία, Σωκράτης ἄρα οὐσία. ὁμοίως καὶ ἐν δευτέρῳ ἐστὶ δυνατὸν πάντα τὰ συμπεράσματα συναγαγεῖν. οἷον εἰ θελήσω δεῖξαι, ὅτι τὰ φυτὰ οὐκ ἔστι ζῶα, δείκνυμι τοῦτο ἐν δευτέρῳ σχήματι μέσον ὅρον θεὶς τὴν αἴσθησιν· πᾶν ζῶον

---

1 ἐκκειμένων Phil.: οἰκείων P 2 οὖν scripsi: ἂν P 7 τούτων Al. 381,18 8 οὐκ Al.: om. P 9 ἐπ' Al. 381,19 12 οἰκείων Al. 381,22: om. P 15 ὅτι Al. 381,30: om. P 18 οἱ μὲν ... συμπεράσματα (21. 22) Phil. f. 86v 22 μέντοι P (a): μέν τι Al. 381,33 23 τοι P: τι Al. 381,34 ἐὰν ... δεικτέον (148,34) Phil. f. 86v—87v 25 δεῖ Phil.: δὴ P 26 Σωκράτους Phil.: σωκράτην P ante ζώου alterum add. τοῦ Phil.

αἴσθησιν ἔχει, οὐδὲν φυτὸν αἴσθησιν ἔχει, οὐδὲν ἄρα φυτὸν ζῶον. εἰ μὲν οὖν ἡ καταφατικὴ πρότασις δέοιτο κατασκευῆς, λέγω δὴ ὅτι πᾶν ζῶον αἴσθησιν ἔχει, πάντως διὰ τοῦ πρώτου σχήματος δείκνυται καθόλου οὖσα. εἰ δὲ μερικὴ εἴη, διὰ τοῦ πρώτου καὶ διὰ τοῦ τρίτου. εἰ δὲ ⟨ἡ⟩ ἀποφατικὴ δέοιτο κατασκευῆς καθόλου οὖσα, ἔστι μέν, ὅτε καὶ αὐτὴ διὰ τοῦ πρώτου δειχθήσεται, ἔστι δέ, ὅτε διὰ τοῦ δευτέρου· οἷον οὐδὲν φυτὸν δύναμιν ἔχει γνωστικήν τε καὶ διακριτικὴν τῶν προσπιπτόντων ἢ θιγγανόντων· πᾶσα δὲ αἴσθησις δύναμίς ἐστι διακριτικὴ τῶν προσπιπτόντων ἢ θιγγανόντων· οὐδὲν ἄρα φυτὸν αἴσθησιν ἔχει. καὶ ἔστι συνθεῖναι καὶ τὸν συλλογισμὸν οὕτως· πᾶν ζῶον αἴσθησιν ἔχει. πᾶσα αἴσθησις δύναμίς ἐστι γνωστική τε καὶ διακριτικὴ τῶν προσπιπτόντων ἢ θιγγανόντων, οὐδὲν φυτὸν δύναμιν γνωστικὴν ἢ διακριτικὴν ἔχει, οὐδὲν ἄρα φυτὸν ζῶον. τὴν γὰρ ἀποφατικὴν πρότασιν ἐν τῷ συλλογισμῷ συμπέρασμα οὖσαν τοῦ προσυλλογισμοῦ οὐ παραληψόμεθα ἐν τῷ συνθέτῳ συλλογισμῷ· συντιθέντες γὰρ τοὺς συλλογισμοὺς τῶν προσυλλογισμῶν τὰ συμπεράσματα παραλιμπάνομεν, ὡς ἐπὶ τοῦ 'Σωκράτης ζῶον, τὸ ζῶον ἔμψυχον, τὸ ἔμψυχον σῶμα, τὸ σῶμα οὐσία, Σωκράτης | ἄρα οὐσία'. δυνατὸν δὲ καὶ 171r
διὰ τοῦ δευτέρου καὶ τοῦ τρίτου, εἰ μερικὸν εἴη τὸ ὀφεῖλον διὰ προσυλλογισμοῦ ἀποδείκνυσθαι. ἔστω γὰρ πάλιν τὸ προκείμενον δεῖξαι, ὅτι οὐ πᾶν ἔμψυχον αἰσθητικόν ἐστι, καὶ εἰλήφθω τὸ μέσον ζῶον· τὸ οὖν ζῶον αἰσθητικῷ μὲν παντὶ ἐμψύχῳ δὲ οὐ παντί· οὐ πᾶν ἄρα ἔμψυχον αἰσθητικόν, ἢ τὸ αἰσθητικὸν οὐ παντὶ ἐμψύχῳ. εἰ οὖν τις ζητοίη, πόθεν ὅτι τὸ ζῶον οὐ παντὶ ἐμψύχῳ. δείξομεν τοῦτο ἐν τρίτῳ σχήματι μέσον λαβόντες τὸ φυτόν· ζῶον οὐδενὶ φυτῷ. ἔμψυχον παντὶ φυτῷ. ζῶον ἄρα οὐ παντὶ ἐμψύχῳ. καὶ πάλιν συνθεὶς τὸν συλλογισμόν φημι ζῶον παντὶ αἰσθητικῷ, ζῶον οὐδενὶ φυτῷ, ἔμψυχον παντὶ φυτῷ, καὶ συνάγεται αἰσθητικὸν οὐ παντὶ φυτῷ. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ τρίτου σχήματος· ἐνδέχεται γὰρ ποτὲ μὲν πάντα τὰ συμπεράσματα δι' αὐτοῦ περαίνεσθαι, ἐνδέχεται δὲ καὶ διὰ τοῦ δευτέρου καὶ τοῦ τρίτου. ὅτι τὸ ζῶον οὐ παντὶ ἐμψύχῳ. δέδεικται διὰ μέσου τοῦ φυτοῦ· τὸ ζῶον οὐδενὶ φυτῷ, ⟨ἔμψυχον παντὶ φυτῷ, τὸ ζῶον ἄρα οὐ παντὶ ἐμψύχῳ. πόθεν ὅτι τὸ ζῶον οὐδενὶ φυτῷ.⟩ δείξομεν διὰ τοῦ μέσου σχήματος μέσον λαβόντες τὸ αἰσθητικόν· τὸ γὰρ αἰσθητικὸν ζώῳ μὲν παντὶ φυτῷ δὲ οὐδενί· τὸ ἄρα ζῶον οὐδενὶ φυτῷ. συνθεὶς οὖν τὸν συλλογισμόν φημι τὸ αἰσθητικὸν παντὶ ζώῳ, φυτῷ δὲ οὐδενί, τὸ ἔμψυχον παντὶ φυτῷ. τὸ ἄρα ζῶον οὐδενὶ φυτῷ. ἐπεὶ γὰρ τὸ αἰσθητικὸν οὐδενὶ φυτῷ, οὐδὲ τὸ φυτὸν οὐδενὶ αἰσθητικῷ· αἰσθητικὸν δὲ παντὶ ζώῳ· φυτὸν ἄρα οὐδενὶ ζώῳ, ὥστε καὶ ζῶον οὐδενὶ φυτῷ· ἔμψυχον δὲ παντὶ φυτῷ· ζῶον ἄρα οὐ παντὶ ἐμψύχῳ. εἰ δὲ τὴν καταφατικὴν θελήσομεν διὰ προσυλλογισμοῦ κατασκευάσαι, κατασκευάσομεν ἐν πρώτῳ σχήματι μέσον λαβόντες τὸ τρεφόμενον· πᾶν φυτὸν τρέφεται, πᾶν τρεφόμενον ἔμψυχον, πᾶν ἄρα φυτὸν ἔμψυχον· καὶ συνθείς· τὸ ζῶον οὐδενὶ φυτῷ, πᾶν φυτὸν τρέφεται, πᾶν τρεφόμενον ἔμψυχον· καὶ συνάγεται ζῶον οὐ παντὶ ἐμψύχῳ.

---

1 in mrg. οὐδὲν φυτὸν δύναμιν ... θιγγανόντων' (6. 7) adscr. P 4 ἡ Phil.: om. P
6 ὅτε Phil.: ὅτι P 28 post διὰ requiritur τοῦ τρίτου διά, sed om. etiam Phil.
f. 87r 29 ἔμψυχον ... φυτῷ (30) Phil.: om. P

ἐπειδὴ γὰρ πᾶν ἔμψυχον τρέφεται, πᾶν δὲ τρεφό|μενον ἔμψυχον, καὶ πᾶν ἄρα 171r
φυτὸν ἔμψυχον· οὐδὲν δὲ φυτὸν ζῶόν ἐστιν· οὐ πᾶν ἄρα ἔμψυχον ζῶόν ἐστιν.
οὕτως μέν οὖν ἐν πρώτῳ καὶ δευτέρῳ οἱ προσυλλογισμοί. δυνατὸν δὲ καὶ
διὰ τοῦ αὐτοῦ, λέγω τοῦ τρίτου, πάντα τὰ συμπεράσματα συνάγεσθαι. κείσθω
γὰρ ὥστε δεῖξαι, ὅτι τι τρεφόμενον ἔχει αἴσθησιν, καὶ δεικνύσθω ἐν τρίτῳ
σχήματι μέσον λαμβανόντων τὸ ἔμψυχον· τρεφόμενον παντὶ ἐμψύχῳ, αἰσθητι-
κόν τινὶ ἐμψύχῳ, αἰσθητικὸν ἄρα τινὶ τρεφομένῳ. εἰ οὖν δέοι δεῖξαι, πόθεν
ὅτι αἰσθητικόν τινὶ ἐμψύχῳ, δείξομεν πάλιν ἐν τρίτῳ διὰ μέσου τοῦ ζώου·
αἴσθησις παντὶ ζώῳ· ἀλλὰ καὶ ἔμψυχον παντὶ ζώῳ· καὶ συνάξεις 'αἴσθησις
τινὶ ἐμψύχῳ'. καὶ συνθείς· τὸ τρεφόμενον παντὶ ἐμψύχῳ, τὸ ἔμψυχον παντὶ
ζώῳ· καὶ τὸ αἰσθητικὸν δὲ παντὶ ζώῳ· τὸ ἄρα αἰσθητικὸν τινὶ τρεφομένῳ.
ἐπεὶ γὰρ τὸ τρεφόμενον παντὶ ἐμψύχῳ, τὸ δὲ ἔμψυχον παντὶ ζώῳ, καὶ τὸ
τρεφόμενον παντὶ ζώῳ· ἀλλὰ καὶ τὸ αἰσθητικὸν παντὶ ζώῳ· τί ἄρα τρεφό-
μενον αἰσθητικόν ἐστιν. ἐν τούτοις δὲ πᾶσιν ἐκεῖνο εἰδέναι δεῖ, ὅτι, ὅταν
μὲν ἐν διαφόροις συνάγηται σχήμασι τὰ συμπεράσματα, συντιθέμεναι αἱ προ-
τάσεις φυλάττουσι τῶν σχημάτων τὴν ἰδιότητα· ὅταν δὲ ἐν τῷ αὐτῷ πάντα
περαίνηται, ἐν τῇ συνθέσει τῶν προτάσεων οὐ διὰ πασῶν τὸ αὐτὸ ἐμφαίνεται
σχῆμα, ἀλλὰ δύο μὲν συμπλοκαὶ φυλάττουσι τὴν τοῦ σχήματος ἰδιότητα, αἱ
δὲ ἄλλαι οὐκέτι. παραλιμπάνεται γάρ, ὡς εἴπομεν, ἡ κατασκευαζομένη πρό-
τασις διὰ τὸ συμπέρασμα γίγνεσθαι τοῦ προσυλλογισμοῦ, τὰ δὲ τῶν προτάσεων
συμπεράσματα μὴ παραλαμβάνεσθαι ἐν τῇ συνθέσει τῶν προτάσεων. τούτου
δὲ γινομένου λύεται τὸ σχῆμα καὶ εἰς τὸ πρῶτον ἀνάγεται. ἔστω γὰρ δεῖξαι
ἐν δευτέρῳ σχήματι, ὅτι οὐδενὶ τῷ Γ τὸ Β διὰ μέσου τοῦ Α. τὸ οὖν Α
οὐδενὶ μὲν τῷ Β παντὶ δὲ τῷ Γ. δεικνυμένης οὖν πάλιν τῆς Α Β προτάσεως
τῆς ἀποφατικῆς διὰ μέσου τοῦ Δ (τὸ γὰρ Δ οὐδενὶ μὲν τῷ Α παντὶ δὲ τῷ Β),
οὐκέτι ἡ Α Β παραλαμβάνεται πρότασις ἀλλὰ ἡ Δ Β, Δ Α, Α Γ, ὧν ἡ μὲν
Δ Α, Α Γ τὸ πρῶτον σχῆμα ποιεῖ. ἡ δὲ Δ Β, Δ Α τὸ δεύτερον. τὸ γὰρ Δ
παντὶ μὲν τῷ Β οὐδενὶ δὲ τῶν Α· τὸ δὲ Α παντὶ μὲν τῷ Γ· ὥστε ἡ μὲν
Δ Β, Δ Α τὸ δεύτερον ἐποίησε σχῆμα, | ἡ δὲ Δ Α, Α Γ τὸ πρῶτον. τὸ αὐτὸ 172r
καὶ ἐπὶ πάντων. ἐπεὶ δὲ προσυλλογισμῶν τὰ συμπεράσματα λαμβάνοντες καὶ
συνάπτοντες ἑτέραν πρότασιν [καὶ] οὕτως τὸν συλλογισμὸν πλέκομεν, ἐκεῖνο
ἐπιστῆσαι χρή, ὅτι, εἰ μὲν ἐν τῷ τρίτῳ σχήματι εἴη ὁ προσυλλογισμός, ἐξ
αὐτοῦ δὲ ἐπὶ τὸ πρῶτον ἢ εἰς τὸ δεύτερον μεταβαίνομεν, κάτωθεν δεῖ τὴν
πρότασιν προστιθέναι, τουτέστι πρὸς τὴν ἐλάττονα· μερικῶν γὰρ ὄντων τῶν
συμπερασμάτων ἐν τρίτῳ σχήματι, εἰ μὴ κάτωθεν προστεθείη ἡ πρότασις.
ἀσυλλόγιστον γίνεται τὸ σχῆμα ἐν πρώτῳ ἢ δευτέρῳ τῆς μείζονος μερικῆς
οὔσης. καὶ δηλονότι, εἰ ἀποφατικὸν εἴη τὸ ἐν τρίτῳ συναγόμενον, οὐδ' ἐνδέχεται
ἐπὶ τὸ πρῶτον μεταβῆναι σχῆμα· ὅθεν γὰρ ἂν ἡ προσθήκη γένηται, ἀσυλλόγιστος
ἡ συμπλοκὴ γίνεται. ὁμοίως κἂν ἐκ δευτέρου εἰς πρῶτον ἡ μετάβασις γένηται.
ἄνωθεν δεῖ τὴν προσθήκην ⟨ποιεῖσθαι⟩, ἐπειδὴ ἡ ἐλάττων, ἂν μὴ τοῦτο γένηται,

1 ἄρα Phil.: ἔτι P cf. 135,36 5 ὥστε] εἰς τὸ scriberem (cf. ad 97,35), nisi Phil. cum P faceret αἴσθησιν superscr. P² 16 πάντα Phil.: παντὶ P 31 καὶ om. Phil. f. 87v 33 μεταβαίνωμεν Phil. 36 ἀσυλλόγιστον Phil.: ἢ συλλόγιστον P 39 ἐκ δευτέρου Phil.: ἐκεῖ P 40 ποιεῖσθαι Phil.: om. P

ἀποφατική ἐστιν, ὅπερ ἀσυλλόγιστον· ἀποφατικὰ γὰρ τοῦ δευτέρου τὰ συμπεράσματα. ὁμοίως κἂν ἐκ πρώτου ἡ μετάβασις γένηται εἰς πρῶτον, καταφατικοῦ μὲν ὄντος καθόλου τοῦ συμπεράσματος ἀδιάφορον ὅθεν δή ποτε τὴν προσθήκην ποιήσασθαι, εἰ ἡ προστιθεμένη πρότασις καθόλου καταφατικὴ εἴη· εἰ δὲ μερική, πάντως κάτωθεν. εἰ δὲ ἀποφατικὸν εἴη τὸ συμπέρασμα καθόλου, ἄνωθεν. εἰ δὲ μερικόν, οὐκέτι ἐνδέχεται ⟨πρότασιν⟩ προστιθέντας πάλιν τὸ πρῶτον ποιῆσαι· εἴτε γὰρ ἄνωθεν προστεθείη, τὴν μείζονα μερικὴν ποιήσει, εἴτε κάτωθεν, ἀποφατικὴν τὴν ἐλάττονα. ταὐτὸ καὶ ἐπὶ τῶν ἐν δευτέρῳ σχήματι καὶ τρίτῳ μερικῶν ἀποφατικῶν, ὡς ἤδη εἴπομεν· ἀδύνατον γὰρ ἐκ τούτων μεταβῆναι εἰς τὸ πρῶτον. εἰ δὲ ἀπὸ δευτέρου εἰς δεύτερον ἡ μετάβασις γένηται, καθόλου μὲν ὄντος τοῦ συμπεράσματος, εἰ μὲν ἡ προστιθεμένη καὶ αὐτὴ καθόλου εἴη, ἀδιάφορον· εἰ δὲ μερική, πάντως κάτωθεν, τουτέστι πρὸς τῇ ἐλάττονι, ἵνα μὴ τὴν μείζονα μερικὴν ποιήσωμεν. μερικοῦ δὲ ὄντος τοῦ συμπεράσματος, δεῖ πάντως τὴν προστιθεμένην καθόλου εἶναι καταφατικὴν 172v καὶ ἄνωθεν· ἄλλως γὰρ ἀδύνατον ἐν δευτέρῳ σχήματι. εἰ δὲ ἐκ τρίτου εἰς τρίτον γίνεται ἡ σύνθεσις, δεῖ πάντως τὴν προστιθεμένην πρότασιν καθόλου εἶναι διὰ τὸ πάντα τὰ τοῦ τρίτου συμπεράσματος μερικὰ εἶναι, ἄνευ δὲ τοῦ καθόλου μὴ γίνεσθαι συλλογισμόν. καὶ εἰ μὲν ἀποφατικὸν εἴη τὸ συμπέρασμα, δεῖ τὴν προστιθεμένην, δηλονότι καταφατικὴν καθόλου οὖσαν, κάτωθεν προστίθεσθαι, ἵνα μὴ ἡ ἐλάττων ἀποφατικὴ γένηται· εἰ δὲ καταφατικὸν τὸ συμπέρασμα, ἀδιαφόρως προστίθεται. εἰ δὲ ἀπὸ τοῦ πρώτου εἰς τὸ δεύτερον, εἰ μὲν καθόλου ⟨τὸ συμπέρασμα καὶ ἡ προστιθεμένη καθόλου⟩ εἴη, ἀδιαφόρως καὶ ἄνωθεν καὶ κάτωθεν προστίθεται· εἰ δὲ μερική, πάντως κάτωθεν, ἵνα μὴ ἡ μείζων ἐν δευτέρῳ σχήματι μερικὴ γένηται. εἰ δὲ μερικὸν τὸ συμπέρασμα, δεῖ τὴν προστιθεμένην πάντως καθόλου ἀνομοιοσχήμονα εἶναι καὶ ἄνωθεν διὰ τὴν μείζονα. εἰ δὲ ἀπὸ πρώτου εἰς τρίτον, εἰ μὲν καταφατικὸν εἴη τὸ συμπέρασμα καὶ ἡ προστιθεμένη καταφατική, ἀδιαφόρως καὶ ἄνωθεν καὶ κάτωθεν· εἰ δὲ ἡ προστιθεμένη ἀποφατική, ἄνωθεν πάντως διὰ τὴν ἐλάττονα. εἰ δὲ τὸ συμπέρασμα ἀποφατικόν, δεῖ πάντως τὴν προστιθεμένην καταφατικὴν εἶναι καὶ κάτωθεν προστίθεσθαι· δεῖ δὲ πάντως τὴν μίαν πρότασιν καθόλου εἶναι. καὶ καθόλου εἰπεῖν ἐπιβλέπειν δεῖ, μή τι παραφθείρεται διὰ τῆς προσθήκης [διὰ] τῶν ἐν ἑκάστῳ σχήματι πεφυλαγμένων· καὶ εἰ μὲν διὰ τῆς προσθήκης σώζεται τὰ τοῦ σχήματος ἴδια, προσθετέον, εἰ δὲ μή, δι' ἄλλου σχήματος δεικτέον.

Ὅτι δὲ τεσσάρων ὄντων τῶν προβλημάτων, ὧν ἐν τοῖς Τοπικοῖς ἐξεθέμεθα, ᾧ τὸ ἀπὸ ὁρισμοῦ ἐστι, δῆλον. καὶ τοῦτο δὴ οὖν παραινῶ πρὸς τοῖς ἄλλοις ἐν ταῖς ἀναλύσεσι τῶν συλλογισμῶν δεῖν ποιεῖν, ὅσοι συλλογισμοὶ ἀνασκευαστικοί εἰσιν ὅρου τινὸς ἀποδεδομένου ἢ ἑνός τινος τῶν ἐν τῷ ὅρῳ ἀναιρετικοὶ

---

1 ἀποφατική (γίνεται) Phil.: ἀποφατικόν P 4 εἰ (post εἴη) Phil.: ἡ P 5 μερική Phil.: μερικόν P 6 οὐκέτι scripsi: οὔτέ τι P (οὐκ Phil.) πρότασιν Phil.: om. P 11 προστιθεθεμένη (sic) P 12 μερική Phil.: μερικόν P 13 μερικοῦ . . . εἶναι (31) om. Phil. 22 τὸ . . . καθόλου addidi 29 καταφατικὴν scripsi: ἀποφατικὴν P 31 παραφθείρηται Phil. 32 διὰ prius om. Phil. 36 ᾧ om. Al. 384,28 37 δεῖν Al.: δεῖ P 38 ἀναιρετικοὶ Al. 384,30: αἱρετικῶν P

καὶ πρὸς ἓν τῶν ἐν αὐτῷ διειλεγμένοι καὶ οὕτως ἀναιροῦντες τὸν ὅρον. ἀναι-
ρεῖται γὰρ ὁρισμὸς καὶ δείκνυται μὴ ὑγιὴς καὶ ἑνός τινος ἀναιρεθέντος τῶν
ἐν αὐτῷ, ὡς εἴ τις ὁρισαμένου τινὸς τὸν ἄνθρωπον ζῶον λογικὸν θνητὸν πτη|νὸν 173ᵇ
δείξαι διὰ συλλογισμοῦ. ὅτι μὴ εὐλόγως τὸ πτηνὸν προσκειτω (οὐ γάρ ἐστιν
5 οἰκεία διαφορὰ ἀνθρώπου), ὅλον μὲν τὸν ἀποδιδόμενον ὅρον ἀνασκευάσει·
ψευδὴς γὰρ ὁ πᾶς γίνεται καὶ οὑτινοσοῦν ἀναιρεθέντος τῶν ἐν αὐτῷ. οὐ μὴν
πρὸς ὅλον τὸν λόγον καὶ τὸν συλλογισμὸν πεποίηται, ὡς ὁ ἀνασκευάζων τὸν
ἀποδεδομένον τοῦ θεοῦ λόγον τὸν ὅτι ὁ θεός ἐστι σῶμα πύρινον, οἷον 'θεῷ
φθαρτὸν μὲν οὐδαμῶς ὑπάρχει, παντὶ δὲ σώματι πυρίνῳ'· οὗτος πρὸς ὅλον
10 ἂν τὸν λόγον καὶ πρός τι τῶν ἐν αὐτῷ ποιοῖτο τὸν λόγον. ὅταν μὲν οὖν
πρὸς ὅλον τὸν ὁρισμὸν ἡ ἀνασκευὴ γίνεται, δῆλον ὡς ἐν τῇ τῶν ὅρων θέσει
ὅλον τὸν ὁρισμὸν ὅρον χρὴ τιθέναι τοῦ συλλογισμοῦ. εἰ δὲ ὁ λόγος μὴ πρὸς
ὅλον γένοιτο τὸν ὁρισμὸν ἀλλὰ πρός τι τῶν ἐν αὐτῷ, ἀξιῶ τοῦτο μόνον, πρὸς
ὃ ὁ λόγος γίνεται, ὅρον τίθεσθαι ἐν τῷ συλλογισμῷ τῷ ἀναλυομένῳ ἀλλὰ μὴ
15 πάντα τὸν ὁρισμόν· οὕτω γὰρ ἂν σαφὴς ὁ λόγος ἔσται τοῦ κατὰ τὸν ὁρισμὸν
μήκους περιαιρεθέντος [ἅμα]. ἅμα δὲ καὶ γνώριμον ἔσται, τί ποτέ ἐστι τῶν
ἐν τῷ ὁρισμῷ τὸ μὴ δεόντως εἰλημμένον, οἷον εἴ τις ὕδατος ὁρισμὸν ἀποδῴη
ὑγρὸν ποτόν, εἰ ἐνίσταιτό τις δεικνὺς ψευδῆ τὸν ὁρισμὸν διὰ τὸ μὴ πᾶν
ὕδωρ ποτὸν εἶναι λέγων 'ἡ θάλαττα ὕδωρ μέν ἐστι, ποτὸν δὲ οὐκ ἔστιν'· ἐν
20 δὲ τῇ τούτου τοῦ συλλογισμοῦ ἀναλύσει δεῖ ὅρους λαμβάνειν μέσον μὲν τὴν
θάλατταν ἄκρους δὲ τό τε ὕδωρ καὶ τὸ ποτόν. οὐκέτι δὲ ὅλον τὸν ὁρισμὸν
τὸ 'ὑγρὸν ποτόν'· οὐ γὰρ πρὸς ὅλον τὸ ὑγρὸν ποτὸν εἶναι τὸ ὕδωρ ὁ λόγος
εἴρηται. ἔτι ὁ μὲν τοιοῦτος λόγος ὁ ἕν τι τῶν ἐν τῷ ὁρισμῷ ἀναιρῶν καὶ 173ᵃ
ἐν τρίτῳ σχήματι ἐρωτᾶται μερικὴν τὴν ἀναίρεσιν ποιούμενος, ὁ δὲ πάντα
25 τὸν ὁρισμὸν ἀναιρῶν ἐν δευτέρῳ, ὡς ἐδείχθη ἐπὶ τοῦ τὸν θεὸν σῶμα πύρινον
ὁρισαμένου.

Ὅτι τοὺς ἐξ ὑποθέσεως δεικνύντας τι λόγους οὐ χρὴ πειρᾶσθαι ἀναλύειν
καὶ ἀνάγειν εἰς τὰ σχήματα· οὐδὲ γὰρ οἷόν τέ ἐστιν ἐκ τῶν κειμένων καὶ
εἰλημμένων ἀνάλυσιν αὐτῶν καὶ ἀναγωγὴν εἴς τι τῶν σχημάτων ποιήσασθαι.
30 τούτου δὲ τὸ αἴτιον τὸ μὴ διὰ συλλογισμοῦ τὸ συνημμένον αὐτῶν δεδειγμένον
εἶναι ἀλλὰ διὰ συνθήκης ὡμολογημένον. ἐν πᾶσι γὰρ τοῖς ἐξ ὑποθέσεως οὐ
τοῦ τιθεμένου καὶ δεικνυμένου, τουτέστι τοῦ συνημμένου, ὁ συλλογισμὸς γίνεται,
ἀλλὰ τοῦτο μὲν διά τινος ὑποθέσεως καὶ συνθήκης λαμβάνεται |παραφυλαττέον, ὅτι ἐν τοῖς ἁπλοῖς ἀποφατικοῖς συλλογισμοῖς ἀδύνατον μιᾶς πλείους
35 ἀποφατικὰς προτάσεις ληφθῆναι· οὕτως καὶ ἐν τοῖς συνθέτοις· καὶ γὰρ τῶν
συνθέτων ἡ παραύξησις διὰ τῶν καταφατικῶν γίνεται. ἀλλ' οὐδὲ ἐκ πλειόνων
ἐπὶ μέρους, ἀλλὰ καὶ τὸ ἐπὶ μέρους ἓν καὶ ἐν τοῖς συνθέτοις ἐπὶ μέρους
συλλογισμοῖς ὥσπερ καὶ ἐν τοῖς ἁπλοῖς· τὰ δὲ καταφατικὰ καὶ καθόλου ὡς

15 οὕτω γὰρ ἂν σαφὴς P: ἧττον γὰρ ἀσαφὴς Al. 385,13 16 ἅμα iterat P
17 ἀποδῴη (sic) P cf. 83,3 19 θάλαττα . . . πάντα (24) post λαμβάνεται (33) habet P 20 δὲ P: δὴ Al. 385,18 23 ἔτι Al. 385,21: ὅτι P 24 ἀναίρεσιν Al. 385,23: διαίρεσιν P 27 ὅτι P (a): ἔτι Arist.
δεικνύντας τι Al. 386,5: δεικνύντι P 33 παραφυλακτέον . . . συνθέτοις (150,1) huc non pertinet

ἐν τοῖς ἁπλοῖς πλείω καὶ ἐν τοῖς συνθέτοις], οἱ δὲ συλλογισμοὶ πρὸς ἄλλο τι καὶ ἄλλου τινὸς γίνονται· πρὸς γὰρ τὸ μεταλαμβανόμενον, ὡς εἶπον. ὑποθετικοὺς δέ φημι ἐν τούτοις οὐ πάντας ἀλλὰ τοὺς ἐξ ὁμολογίας καλουμένους, λέγω δὴ τοὺς μεταλαμβάνοντας κατὰ τὴν συνθήκην τὸ συνημμένον. οἱ γὰρ τοιοῦτοι, ὃ μὲν βούλονται δεῖξαι, ὑποτίθενταί τε καὶ συντίθενται καὶ οὐ συλλογίζονται, ἄλλο δέ τι καὶ οὐχ ὃ ὑποτίθενται συλλογίζονται, ὥσπερ δὴ καὶ αὐτοὶ ἐν τῇ Περὶ οὐρανοῦ περὶ τῶν σχημάτων τῶν ἄστρων πεποιήκαμεν. αἰτήσαντες γάρ, ὅτι, ὅπερ ἐπὶ ἑνὸς τῶν ἄστρων, τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν, καὶ τοῦτο λαβόντες ἐξ ὁμολογίας τὸ ὅτι, εἰ ἓν ὁποιονοῦν σφαιρικόν, καὶ τὰ λοιπὰ τοιαῦτα ἂν εἴη, εἶτα τὴν πρόσληψιν κατασκευάσαντες τὴν ὅτι ἀλλὰ μὴν ἓν τῶν ἄστρων ἡ σελήνη σφαιρική, συνηγάγομεν καὶ τὰ λοιπὰ σφαιρικὰ εἶναι. τοὺς τοιούτους οὖν φημι τῶν συλλογισμῶν μὴ πάντας ἀνακτέον ἀλλὰ μόνην τὴν πρόσληψιν· αὕτη γὰρ ἡ συλλελογισμένη. τὸ δὲ συνημμένον ἐξ ὁμολογίας εἴληπται. ὅτι γὰρ ἐπὶ τῶν μὴ ἐξ ὁμολογίας εἰλημμένων πολλάκις καὶ τὸ συνημμένον διὰ συλλογισμοῦ δείκνυται, δῆλον. ὁ γοῦν Πλάτων λαβών, ὅτι, εἰ τὸ ζῶον καὶ τὸ τεθνηκὸς ἐξ ἀλλήλων, ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου, ἀλλὰ μὴν τὸ πρότερον, καὶ τὸ δεύτερον ἄρα, οὐ μόνον τὴν πρόσληψιν ἀλλὰ καὶ τὸ συνημμένον κατεσκεύασε. καὶ ἐν τοῖς δι' ἀδυνάτου δέ, ὡς ἑξῆς μαθησόμεθα, τὸ συνημμένον δεῖται κατασκευῆς. νῦν οὖν περὶ τῶν ἐξ ὁμολογίας ὑποθετικῶν ἡμῖν ὁ λόγος. ἐὰν οὖν τις αἰτήσῃ ἐξ ὁμολογίας, ὅτι, εἰ μηδὲ εἴη τῶν ἐναντίων μία δύναμις, οὐδὲ ἐπιστήμη μία ἔσται, τοῦτο μὲν οὖν ὅλον τὸ 'εἰ τόδε, καὶ τόδε' οὐ πειρατέον ἀνακτᾶν· οὐ γὰρ συλλελόγισται, ἀλλ' ἐξ ὁμολογίας | εἴληπται. τὸ μέντοι 'ἀλλὰ 174r
μὴν οὐκ ἔστι τῶν ἐναντίων μία δύναμις' ἀναλυτέον· τοῦτο γὰρ δέδεικται διὰ συλλογισμοῦ. πῶς; ὧδε· τὸ ὑγιεινὸν καὶ νοσῶδες ἐναντία ἐστί, τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις, τῶν ἄρα ἐναντίων οὐκ ἔστι μία δύναμις. ὅτι δὲ τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις, δείξαις ἂν διὰ μέσου τοῦ μὴ τῶν αὐτῶν εἶναι αὐτὰ ποιητικά· τὸ γὰρ ὑγιεινὸν καὶ νοσῶδες οὐκ εἰσὶ τῶν αὐτῶν ποιητικά· πάντων, ὅσων ἐστὶ μία δύναμις, ταῦτα τῶν αὐτῶν ἐστι ποιητικά· τὰ γὰρ τοῦ θερμαίνειν ἔχοντα δύναμιν θερμαίνει, τὰ δὲ τὴν τοῦ ψύχειν ψύχει· οὐκ ἄρα τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους δύναμις ἡ αὐτή. τὸ μὲν δὴ μὴ εἶναι πάντων τῶν ἐναντίων μίαν δύναμιν διὰ συλλογισμοῦ δεδειγμένον ἔστιν ἀναλῦσαι καὶ εἰς τὸ οἰκεῖον σχῆμα ἀναγαγεῖν· ἔστι γὰρ ὁ μὲν πρῶτος ἐν τρίτῳ, ὁ δὲ δεύτερος ἐν δευτέρῳ. οὐδαμοῦ μέντοι διὰ συλλογισμοῦ δέδεικται, ὅτι μή ἐστιν ἐπιστήμη μία τῶν ἐναντίων, ἀλλ' ἐκείνου δειχθέντος συγχωρεῖται τοῦτο διὰ τὴν ὁμολογίαν. μὴ γεγονότος οὖν πρὸς αὐτὸ συλλογισμοῦ οὐδ' ἀνάλυσις ἂν γένοιτο. τὸ δὲ ὅτι μία δύναμις οὐκ ἔστι τῶν ἐναντίων, ἔστιν ἀναγαγεῖν· διὰ συλλογισμοῦ γὰρ ἴσως ἐδείχθη. τὸ δ' 'ἴσως' προστεθείκαμεν, ὅτι μὴ πάντως ἐξ ἀνάγκης τοῦτο διὰ συλλογισμοῦ δείκνυται, ἀλλ' ἔνεστι καὶ αὐτὸ ὡς ἐναργὲς δι' ὑποθέσεως καὶ διὰ συνθήκης λαβεῖν·

2 ὑποθετικοὺς . . . συνημμένον (4) Phil. f. 87v 4 λαμβάνοντας Phil. 6 ὥσπερ . . ποιητικά (29) Phil. f. 87v—88r 9 εἰ Phil.: εἰς P cf. 138,2 16 ante ἀλλήλων add. aliquid compendiose scriptum P (οὐδέτερον?) 17 ἄρα Phil.: ἔστιν P cf. 147,1 21 οὖν om. Phil. f. 88r 29 τὰ γὰρ . . . ἀναλύειν (151,21) Al. 387,2—388,29

οἷον * * * 'εἰ τῶν ἐναντίων ἡ αὐτὴ δύναμις, ἅμα ἔσται τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες', εἶτα ὡς ἐναργὲς προσλάβοι 'ἀλλὰ μὴν οὐχ οἷόν τε ἅμα τὸ αὐτὸ ὑγιεινόν τε καὶ νοσῶδες εἶναι'. καὶ γὰρ ἡ τοιαύτη δεῖξις ἐξ ὑποθέσεως μέν, οὐ μὴν διὰ συλλογισμοῦ· διὸ οὐδὲ ἀναλύσεως ὁ τοιοῦτος λόγος δεήσεται συλλο-
5 γιστικῆς. ἐπειδὴ οὖν οὕτω τοῦτ' ἔχει, διὰ τοῦτο 'ἴσως' προστεθείκαμεν. ὅτι γὰρ μὴ πᾶν τὸ μεταλαμβανόμενον διὰ κατηγορικοῦ δείκνυται συλλογισμοῦ, ἀλλ' ἔστι πολλάκις διὰ τὴν ἐνάργειαν τιθέμενον, ἐκ τοῦ προειρημένου παραδείγματος δῆλον 'εἰ τῶν ἐναντίων μία δύναμις, συνυπάρξει ὑγεία καὶ νόσος· ἀλλὰ μὴν ἀδύνατον συνυπάρχειν ὑγείαν καὶ νόσον ὄντα ἐναντία'· διὰ γὰρ τὸ
10 ἐναργὲς προσλαμβάνεται, ἀλλ' οὐχ ὡς διὰ συλλογισμοῦ δεδειγμένον. ᾧ δὴ καὶ αὐτοὶ ἐοίκαμεν | χρήσασθαι ἐν τῷ 'εἰ τῶν ἐναντίων μία δύναμις, 174ᵛ
ἅμα ἔσται τὸ αὐτὸ ὑγιεινόν τε καὶ νοσῶδες'· καὶ γὰρ ἡ τοιαύτη δεῖξις ἐξ ὑποθέσεως μέν, οὐ μὴν διὰ συλλογισμοῦ. εἴτε γὰρ ὡς ἐναργὲς λαμβάνοιτο μὴ εἶναι ἅμα τὸ αὐτὸ ὑγιεινόν τε καὶ νοσῶδες, εἴτε δι' ἐπαγωγῆς
15 πιστὸν γένοιτο καὶ μὴ διὰ συλλογισμοῦ τὸ προσλαμβανόμενον, ἐξ ὑποθέσεως ἂν εἴη μόνον.

Εἰπόντες δὲ περὶ τῶν ἐξ ὁμολογίας ὑποθετικῶν καὶ δείξαντες, ὅτι μὴ γίνεται τοῦ τιθεμένου, τουτέστι τοῦ συνημμένου καὶ ὑποτιθεμένου, ὁ συλλογισμὸς ἀλλ' ἄλλου τινός, τουτέστι τοῦ μεταλαμβανομένου, ἑξῆς ἂν εἴη λέγειν
20 περὶ τῶν δι' ἀδυνάτου, οἳ καὶ αὐτοὶ τῶν ἐξ ὑποθέσεώς εἰσι· φημὶ γάρ, ὅτι μηδὲ τούτους ἔστιν ἀναλύειν. ὑπεναντίως δ' οὗτοι ἔχουσι πρὸς τοὺς ἐξ ὁμολογίας. τὸ γὰρ συνημμένον αὐτῶν ἀμφίβολον κατασκευάζεται διὰ συλλογισμοῦ· ἡ δὲ πρόσληψις ὡς ὡμολογημένη κατασκευῆς οὐ δεῖται. οἱ γὰρ εἰς ἄτοπον ἀπάγοντες οὐκ εἰς ἀμφίβολον ἀλλ' εἰς ὁμολογουμένως ἄτοπον τὴν ἀπαγωγὴν
25 ποιοῦνται. ὥσπερ καὶ ὁ γεωμέτρης βουλόμενος δεῖξαι, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι, κέχρηται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δι' ὑποθετικοῦ συλλογισμοῦ τὸν τρόπον τοῦτον· εἰ μὴ γὰρ εἴη, φησίν, ἀσύμμετρος, σύμμετρος ἔσται· ἀλλ' εἰ σύμμετρος εἴη, τὰ περισσὰ τοῖς ἀρτίοις ἴσα ἔσται· ἀλλὰ μὴν ἀδύνατον τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα εἶναι· οὐκ ἄρα σύμμετρος. τὸ μὲν οὖν
30 συνημμένον ἐν τούτοις διὰ συλλογισμοῦ δείκνυται· ἡ δὲ πρόσληψις οὐκέτι. πάλιν ὁμολογουμένου τοῦ πᾶσαν ἀρετὴν καλὸν εἶναι, ἔτι δὲ τοῦ πᾶν καλὸν ἐπαινετόν, πρὸς τὸν μὴ συγχωροῦντα πᾶσαν ἀρετὴν ἐπαινετὸν εἶναι ὁ δεικνὺς τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς αὐτὸ μὲν οὐ συλλογίζεται, ὑποθέμενος δὲ τὸ ἀντικείμενον αὐτῷ τὸ μὴ πᾶσαν ἀρετὴν ἐπαινετὸν εἶναι καὶ προσλαβὼν
35 τούτῳ πᾶσαν ἀρετὴν καλὸν εἶναι συλλογίζεται ἐν τρίτῳ σχήματι τὸ μὴ πᾶν καλὸν ἐπαινετὸν εἶναι. καὶ ὁ μὲν συλλογισμὸς τούτου· τὸ δ' ἐξ ἀρχῆς δείκνυται διὰ τοῦ τὸ συλλογισθὲν ἀδύνατον εἶναι. διαφέρουσι δὲ οἱ εἰς τὸ ἀδύνατον | ἀπάγοντες τῶν ἐξ ὁμολογίας, ὅτι ἐπ' ἐκείνων μέν, εἰ μὴ πρῶτον 175ʳ

1 post οἷον excidisse videtur εἴ τις πάλιν βουλόμενος λαβεῖν, ὅτι ὑγιεινοῦ καὶ νοσώδους οὐχ ἡ αὐτὴ δύναμις, ὑπόθοιτο εἰπών Al. 387,30. 31: om. P τὸ αὐτὸ ὑγιεινὸν καὶ νοσῶδες Al. 388,1 cf. vs. 12 7 ἐνάργειαν τιθέμενον Al. 388,15: ἐνάργειαν τιθεμένας P 21 τούτους Al. 388,29: τούτων P ὑπεναντίως . . . οὐκέτι (30) Phil. f. 88ʳ 22 μὲν γὰρ . . . ὡς ἀμφίβολον Phil. 27 γὰρ μὴ Phil.; at cf. 152,2 31 πάλιν . . . ἀντιφάσεως ἀνάγκην (152,5) Al. 388,33—389,14

ὁμολογία γένοιτο, ὡς ἐπὶ τοῦ δεικνυμένου ἔχει, οὕτως καὶ ἐπὶ τοῦ προκειμένου ἔσεσθαι δεδειγμένον * * * *· εἰ μὴ γὰρ συγχωρήσει ὁ προσδιαλεγόμενος, οὐ μόνον τὴν πρόσληψιν ἀλλὰ καὶ τὸ συνημμένον ἀνάγκη κατασκευάσαι. ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς μηδεμιᾶς ὁμολογίας γενομένης τῇ δείξει τοῦ ἀδυνάτου τίθεται τὸ ἀντικείμενον αὐτῷ διὰ τὴν τῆς ἀντιφάσεως ἀνάγκην. οἱ μὲν γὰρ εἰς τὸ ἀδύνατον ἀπάγοντες, ὅπερ οὐκ ἀποδεικνύουσιν, οὐκ ἐκ συνθήκης [illegible] ὁμολογούμενον ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας μαρτυρούμενον· οἱ [illegible] ἐξ ὁμολογίας, ὃ μὴ ἀποδεικνύουσιν, ἐκ συνθήκης καὶ συγχωρήσεως. διττὴ οὖν διάκρισις τῶν εἰς τὸ ἀδύνατον ἀπαγόντων πρὸς τοὺς ἐξ ὁμολογίας, ὅτι οὗτοι μέν ⟨λέγω δὲ οἱ⟩ εἰς τὸ ἀδύνατον, τὸ συνημμένον κατασκευάζουσιν ὁμολογοῦσί τε τὴν πρόσληψιν, ἐκεῖνοι δὲ τοὐναντίον, καὶ ὅτι οὗτοι μέν, ὃ λαμβάνουσιν, οὐ κατὰ συγχώρησιν καὶ ὁμολογίαν καὶ συνθήκην λαμβάνουσιν ἀλλ' ὡς ἐκ τῆς ἐναργείας μαρτυρούμενον, ἐκεῖνοι δὲ τοὐναντίον· κατὰ συγχώρησιν γὰρ καὶ ὁμολογίαν καὶ συνθήκην.

Πολλοὶ δὲ καὶ ἕτεροι περαίνονται ἐξ ὑποθέσεως. εἰ ἄρα οὗτοι ἕτεροι τῶν προειρημένων, εἶεν [δ'] ἂν καὶ οἱ ἐξ ὁμολογίας καὶ οὓς κατὰ ποιότητα λέγουσιν, οἷοί εἰσιν οἱ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον καὶ ὁμοίως ἐπιχειροῦντες. συλλογισμοὺς μὲν ἁπλῶς οὐ λέγω τοὺς ὑποθετικούς, ἀλλὰ τὸ ὅλον τοῦτο ὑποθετικοὺς συλλογισμούς· περαίνειν μέντοι αὐτοὺς λέγω. εἶεν δ' ἂν περαίνοντες μὲν μόνον, ὧν ἡ πρόσληψις οὐ διὰ συλλογισμοῦ τίθεται, ἐξ ὑποθέσεως δὲ συλλογισμοὶ οἱ τὴν πρόσληψιν ἔχοντες εἰλημμένην διὰ συλλογισμοῦ. διὸ καὶ ὁ διὰ τριῶν λέγοιτο ἂν καθ' ἡμᾶς λόγος περαντικὸς ἀλλ' οὐ συλλογιστικός.

Ὅσα δὲ τῶν προβλημάτων ἐν πλείοσι περαίνεται σχήμασιν, οὐκ ἀνάγκη πάντως τὴν ἀνάλυσιν τῶν συλλογισμῶν εἰς τοῦτο ποιεῖσθαι τὸ σχῆμα, ἐν ᾧ καὶ ὁ συλλογισάμενος τὸν συλλογισμὸν ἔπλεξεν, ἀλλ' ἀδιάφορον ταῦτα εἰς ὁποιονοῦν σχῆμα ἀναγαγεῖν. οἷον τὸ μὲν καθόλου καταφατικὸν μόνως ἐν πρώτῳ δείκνυται· οὐκοῦν, ὅταν τις καθόλου καταφατικὸν συλλογίσηται πρόβλημα, ἀνάγκη εἰς τὸ πρῶτον μόνον τὴν ἀνάλυσιν ποιήσασθαι. | τὸ δὲ καθόλου ἀπο- 175ᵛ φατικὸν διὰ τοῦ πρώτου περαίνεται καὶ διὰ τοῦ δευτέρου· εἴτε οὖν διὰ τοῦ πρώτου συλλελόγισται, δυνατὸν εἰς τὸ δεύτερον ἀναγαγεῖν διὰ τοῦ ἀντιστρέφειν τὴν ἀποφατικὴν πρότασιν, εἴτε ἐν τῷ δευτέρῳ, τὸν αὐτὸν τρόπον, εἰ καὶ ἔστιν, ὅτε καὶ τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς δεόμεθα, ὡς ὅταν ἐν δευτέρῳ σχήματι ἡ ἐλάττων ἀποφατικὴ ὑπάρχει. εἰς τὸ τρίτον δὲ οὐδαμῶς ἔστιν ἀναγαγεῖν οὐδὲν τῶν καθόλου διὰ τὸ πάντα μερικὰ ἐν αὐτῷ συνάγεσθαι. τὸ δὲ μερικὸν καταφατικὸν ἐν τῷ πρώτῳ καὶ τρίτῳ ἐνδέχεται ἀναλύειν· εἴτε γὰρ ἐν τῷ πρώτῳ συλλελόγισται, τῆς ἐλάττονος ἀντιστραφείσης γίνεται τὸ τρίτον

2 post δεδειγμένον add. οὐ πάντως δειχθέντος ἐκείνου τοῦτο κατεσκεύασται Al. 389,10 2. 3 εἰ μὴ . . . κατασκευάσαι Phil. f. 88ʳ (sed ante διττὴ vs. 8) 5 οἱ μὲν . . . συνθήκην (14) Phil. f. 88ʳ οἱ μὲν Phil.: μὲν post ὅπερ (6) habet P 7 ἀλλ' Phil.: om. P ἐνεργείας P; item vs. 13 10 λέγω δὲ οἱ Phil.: om. P 11 τε P: δὲ Phil. 15 πολλοὶ . . . συλλογισμός (23) Al. 389,29 — 390,19 16 δ' (cf. vs. 19) om. Al. 390,7 24 ὅσα . . . δὲ τὸ δευτέρον (153,25) Phil. f. 88ʳ — 88ᵛ 26 συλλογισάμενος Phil.: συλλογισμὸς P

σχῆμα, εἴτε ἐν τῷ τρίτῳ, πάλιν διὰ τῆς ἀντιστροφῆς τὸ πρῶτον γενήσεται. τὸ δὲ μερικὸν ἀποφατικὸν ἐν πᾶσι δείκνυται τοῖς σχήμασιν, ὥστε καὶ εἰς πάντα αὐτὸ ἀναλύειν ἐνδέχεται χωρὶς τοῦ τετάρτου τρόπου τοῦ δευτέρου καὶ τοῦ πέμπτου τοῦ τρίτου σχήματος. καὶ καθόλου φημί, ὅτι τοὺς μὲν ἐν πρώτῳ ἀποφατικοὺς εἰς τὸ δεύτερον ἔστιν ἀναλύειν σχῆμα καὶ τοὺς μερικοὺς εἰς τὸ τρίτον, τοὺς δὲ ἐν δευτέρῳ ἀποφατικοὺς ὄντας πάντας εἰς τὸ πρῶτον χωρὶς τοῦ τετάρτου τρόπου. εἰς δὲ τὸ τρίτον ὅτι τοὺς μὲν καθόλου οὐκ ἐνδέχεται, πρόδηλον· οὐδὲν γὰρ καθόλου ἐν τρίτῳ δείκνυται. τῶν δὲ μερικῶν τὸν ἕτερον μόνον τὸν τρίτον τὸν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. ἀμφοτέρων γὰρ ἀντιστραφεισῶν τῶν προτάσεων γίνεται τὸ τρίτον σχῆμα· οἷον εἰ τὸ Α τῷ μὲν Β οὐδενὶ τῷ δὲ Γ τινί· δῆλον γὰρ ὅτι ἑκατέρας ἀντιστρεφομένης τό τε Β οὐδενὶ τῷ Α καὶ τὸ Γ τινί. ὁ δὲ λοιπὸς οὐκέτι ὁ ἐκ ⟨τῆς⟩ μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς· οὔτε γὰρ ἡ μερικὴ ἀποφατικὴ ἀντιστρέφει, ἥ τε [γὰρ] καθόλου, εἰ ἀντιστραφείη, καταφατικὴ οὖσα μερικὴ γίνεται. πάλιν τοὺς ἐν τῷ τρίτῳ τοὺς μὲν καταφατικοὺς πάντας εἰς τὸ πρῶτον ἀναλύσεις, τοὺς δὲ ἀποφατικοὺς χωρὶς τοῦ πέμπτου τρόπου. τοὺς λοιποὺς δύο εἰς ἀμφότερα ἀνάξεις τὰ σχήματα, τὸ πρῶτόν φημι καὶ τὸ δεύτερον, ἀλλ' εἰς μὲν τὸ πρῶτον θατέραν τῶν προτάσεων ἀντιστρέφων, εἰς δὲ τὸ δεύτερον ἀμφοτέρας. ⟨οὐκ ἔστω ἡ μὲν 116 μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική, ἄμφω καθόλου· τὸ γὰρ Β οὐδενὶ τῷ Α, τὸ δὲ Γ παντί, ὥστε καὶ τὸ Α τινὶ τῶν Γ· καὶ γίνεται τὸ πρῶτον σχῆμα. ἐὰν δὲ καὶ τὴν Β Α ἀντιστρέψω λέγων, ὅτι τὸ Α οὐδενὶ τῷ Β, ἔσται τὸ δεύτερον⟩. ὁμοίως καὶ ἐπὶ τοῦ ἑτέρου τρόπου τοῦ τὴν ἐλάττονα μερικὴν ἔχοντος καταφατικὴν πάλιν τῆς μὲν καταφατικῆς ἀντιστραφείσης γίνεται τὸ πρῶτον σχῆμα, ἀμφοτέρων δὲ τὸ δεύτερον. καὶ τὰ λοιπὰ ὅμοια.

Διαφέρειν δέ φημι πρὸς τὸ συλλογίζεσθαι καὶ κατασκευάζειν ἢ ἀνασκευάζειν τι δύνασθαι διὰ συλλογισμοῦ τὸ εἰδέναι διακρίνειν καὶ χωρίζειν τὰς προτάσεις τὰς ἀποφατικὰς ἐχούσας τὸ σχῆμα οὔσας δὲ καταφάσεις ἀπὸ τῶν ἀποφάσεων, λέγω δὲ τὰς ἐκ μεταθέσεως καταφάσεις ἀπὸ τῶν ἁπλῶν ἀποφάσεων. ἡ γὰρ τούτου γνῶσις τεχνοῖ τὴν διάνοιαν ὥστε μὴ ἀπατᾶσθαι οἰομένους τὰς ἐκ μεταθέσεως καταφάσεις ἀποφάσεις εἶναι. πολλάκις γάρ τινος κατασκευάσαντος, ὅτι τόδε οὐ λευκόν ἐστιν, οἰηθείη ἄν τις διὰ τὴν τούτου ἄγνοιαν ἀποφατικὸν εἶναι τὸ τοιοῦτον πρόβλημα· εἶτα ἀναλύειν πειρώμενος αὐτὸς ἑαυτῷ ἀπάτης ἔσται καὶ πλάνης αἴτιος ζητῶν τὴν ἀποφατικὴν πρότασιν, δι' ἧς τὸ τοιοῦτον συνῆκται πρόβλημα. καὶ πάλιν τὸν λόγον τὸν λέγοντα ‘ὁ λίθος ἐστὶν οὐκ ἔμψυχον, πᾶν τὸ οὐκ ἔμψυχον ἀναίσθητον, ὁ λίθος ἄρα ἀναί-

5 τοὺς μερικοὺς Phil. f. 88v: τὸ μερικὸν P 10 καταφατικῆς Phil.: ἀποφατικῆς P 12 τὸ γ Phil.: τῷ γ P 13 τῆς prius Phil.: om. P 14 γὰρ alterum delevi (οὔτε ἡ καθόλου· εἰ γὰρ Phil.) 21 τὸ δὲ Phil.: τῷ δὲ P τὸ α τινὶ scripsi: τῶν α οὐδενὶ P 22 β α Phil.: α β P λέγων Phil.: λέγω P 23 ἔσται τὸ β Phil.: om. P 26 διαφέρειν . . . ἀποφάσεων (29) Al. 396,34—397,2 29 ἀποφάσεων Al. 397,2: καταφάσεων P 29. 30 ἀποφάσεων scripsi: καταφάσεων P 30 ἡ γὰρ . . . πρόβλημα (35) Phil. f. 89v 35 καὶ πάλιν . . . συμπλοκὴ (154,3) Al. 397,7—11 36 ἐστὶν οὐκ Al. 397,10: οὐκ ἔστιν P

σθητος' συλλογιστικὸν ὄντα διὰ τὸ μὴ εἶναι ἀπόφασιν 'ὁ λίθος ἐστὶν οὐκ ἔμψυχον' ἀσυλλόγιστόν τις ὑπολήψεται, ἂν ἀποφάσεως αὐτῆς ἀκούσῃ. ἀσυλλόγιστος γὰρ ἡ λέγουσα συμπλοκὴ 'ὁ λίθος οὐκ ἔστιν ἔμψυχος, πᾶν ἔμψυχον τρέφεται'. οὐ δεῖ οὖν οἴεσθαι, ὅτι ταὐτόν ἐστι τὸ εἰπεῖν 'οὐκ ἔστι λευκόν' ⟨καὶ 'ἔστιν οὐ λευκόν'⟩· τῆς γὰρ καταφάσεως τῆς λεγούσης 'ἔστι λευκόν' οὐκ ἔστιν ἀπόφασις ἡ 'ἔστιν οὐ λευκόν' (κατάφασις γάρ ἐστιν ἐκ μεταθέσεως αὕτη), ἀλλὰ τὸ 'οὐκ ἔστι λευκόν'. λόγος δὲ τούτου, τουτέστιν ἀπόδειξις καὶ αἰτία τούτου, ὁμοίως ἔχουσι πρὸς ἀλλήλας ἡ 'ἔστι λευκόν' πρὸς τὴν 'ἔστιν οὐ λευκόν' καὶ ἡ 'δύναται βαδίζειν' πρὸς τὴν 'δύναται μὴ βαδίζειν' καὶ ἡ 'ἐπίσταται τὸ ἀγαθόν' πρὸς τὴν 'ἐπίσταται τὸ μὴ ἀγαθόν'· ὁ γὰρ τρόπος τῷ 'ἔστι' τρίτῳ προσ|κατηγορουμένῳ ἰσοδυναμεῖ καὶ ὁμοίως τάττεται. πάλιν ὡς ἔχει τὸ 'ἔστι 176v
λευκόν' πρὸς τὸ 'ἔστιν οὐ λευκόν', οὕτως ἔχει τὸ 'ἐπίσταται τὸ ἀγαθόν' πρὸς τὸ 'ἐπίσταται τὸ οὐκ ἀγαθόν'. ἐπειδὴ τὸ μὲν 'ἔστι λευκόν' καὶ 'ἔστιν οὐ λευκόν' περὶ ὧν ἡ σκέψις, τὸ 'ἔστιν' ἔχει ῥῆμα, τὸ δὲ 'δύναται βαδίζειν, δύναται μὴ βαδίζειν' καὶ 'ἐπίσταται τὸ ἀγαθόν' καὶ 'ἐπίσταται τὸ μὴ ἀγαθόν' οὐκ ἔχουσι τὸ 'ἔστιν'. ἐκ δὲ τῆς πρὸς ταῦτα ἀναλογίας βουλόμεθα δεῖξαι, ὅτι οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως τῆς 'ἔστι λευκόν' ἀπόφασις ἡ 'ἔστιν οὐ λευκόν'. ἵνα μή τις νομίσῃ, ⟨ὅτι⟩ διὰ τὸ μὴ προσκεῖσθαι [ἢ] τὸ 'ἔστι' τούτου ἕνεκεν παραλογιζόμεθα, ἰστέον καὶ μὴ ἀγνοητέον, ὡς ἰσοδυναμεῖ τῷ τρόπῳ τὸ 'ἔστιν'. ἀλλ' ἀναληπτέον πάλιν τὸν λόγον· δεῖ γὰρ τὰ αὐτὰ πολλάκις λέγειν ὑπέρ τε τοῦ σαφοῦς καὶ τοῦ τῆς διδασκαλίας ἐντελοῦς· οὕτως ἔχει τὸ 'ἔστι λευκόν' πρὸς τὸ 'ἔστιν οὐ λευκόν', ὡς ἔχει τὸ 'δύναται βαδίζειν' πρὸς τὸ 'δύναται μὴ βαδίζειν'· πάλιν ὡς ἔχει τὸ 'ἔστι λευκόν' πρὸς τὸ 'ἔστιν οὐ λευκόν', οὕτως ἔχει τὸ 'ἐπίσταται τὸ ἀγαθόν' πρὸς τὸ 'ἐπίσταται τὸ οὐκ ἀγαθόν'. ἐπεὶ δὲ τὸ μὲν 'ἔστι λευκόν' καὶ 'ἔστιν οὐ λευκόν', περὶ ὧν ἡ σκέψις, τὸ 'ἔστιν' ἔχει ῥῆμα, ταῦτα δέ, φημὶ τὸ 'δύναται βαδίζειν, δύναται μὴ βαδίζειν' καὶ 'ἐπίσταται τὸ ἀγαθόν' καὶ 'ἐπίσταται τὸ μὴ ἀγαθόν', οὐκ ἔχουσι τὸ 'ἔστιν', ἐκ δὲ τῆς πρὸς ταῦτα ἀναλογίας δεῖξαι βουλόμεθα, ὅτι οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως τῆς 'ἔστι λευκόν' ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις ἡ 'ἔστιν οὐ λευκόν', ἵνα μή τις νομίσῃ, ὅτι διὰ τὸ προσκεῖσθαι τὸ 'ἔστι' τούτου ἕνεκεν παραλογιζόμεθα. τούτου χάριν βούλομαι δεῖξαι, ὅτι ἰσοδυναμεῖ τῷ τρόπῳ τὸ 'ἔστι'. τὸ γὰρ λέγειν 'ἐπίσταται τὸ ἀγαθόν' ταὐτόν ἐστι τῷ λέγειν 'ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν', ὁμοίως καὶ τὸ 'δύναται βαδίζειν' τῷ 'ἔστι δυνάμενος βαδίζειν'· τὸ γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ 'ἔστιν' ἀναλύεται. ὥστε καὶ τὰ ἀντικείμενα τὰ αὐτὰ ἔσται, τουτέστιν αἱ ἀποφάσεις αὐτῶν, λέγω δὴ τὸ 'οὐ δύναται βαδίζειν' τῷ 'οὐκ ἔστι δυνάμενος βαδίζειν'· τὸ ⟨γὰρ⟩ 'δύναται' ῥῆμα ἀναλύεται εἰς τὸ 'ἔστι' καὶ εἰς τὴν μετοχὴν τὴν 'δυνάμενος'. ὡσαύτως καὶ τὸ 'οὐκ ἐπίσταται τὸ ἀγαθόν' ταὐτὸν ἔσται τῷ 'οὐκ ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν'. ἐπεὶ οὖν οὐδὲν διαφέρει τὸ λέ- 177r

2 ἀκούσῃ Al. 397,11: οὐκ οὔσης P 4 οὐ δεῖ . . . τὰ αὐτά (155,37) Phil. f. 89v—90v
5 καὶ . . λευκόν ex Phil. addidi: om. P 11 καὶ Phil.: om. P 13 fort. ἐπεὶ δὲ ut vs. 25 (sed ἐπειδὴ etiam Phil. f. 90r) 18 ὅτι Phil.: om. P (cf. vs. 30)
ἡ P: om. Phil. 37 γὰρ Phil.: om. P

γειν 'δύναται βαδίζειν', 'ἔστι δυνάμενος βαδίζειν', καὶ ἐπὶ τῶν ἀποφάσεων ὁμοίως, δεικτέον πάλιν, ὅτι οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. καὶ δεικτέον τῇ εἰς ἀδύνατον ἀπαγωγῇ· τίθημι γὰρ εἶναι ταὐτὸν τὸ 'οὐκ ἔστι δυνάμενος βαδίζειν' καὶ τὸ 'ἔστι δυνάμενος μὴ βαδίζειν', καὶ συλλογίζομαι τὸ ἑπόμενον ἄτοπον. εἰ γὰρ τῆς λεγούσης 'ἔστι δυνάμενος βαδίζειν' ἀπόφασίς ἐστιν ἡ λέγουσα 'ἔστι δυνάμενος οὐ βαδίζειν'. ἐπειδὴ ὁμολογουμένως τῆς 'ἔστι δυνάμενος βαδίζειν' ἀπόφασις ἡ λέγουσα⟩ 'οὐκ ἔστι δυνάμενος βαδίζειν' ἁπλῆ οὖσα καὶ αὐτή, ἔστι δὲ καὶ κατὰ τὴν ὑπόθεσιν καὶ ἡ 'ἔστι δυνάμενος ⟨μὴ⟩ βαδίζειν τῆς αὐτῆς ἀπόφασις, ταὐτὸν ἄρα σημαίνουσιν ἄμφω, ἥ τε λέγουσα 'οὐκ ἔστι δυνάμενος βαδίζειν' καὶ 'ἔστι δυνάμενος μὴ βαδίζειν'· ἄμφω γὰρ καὶ τῆς αὐτῆς μιᾶς καταφάσεώς εἰσιν ἀποφάσεις τῆς 'ἔστι δυνάμενος βαδίζειν'. εἰ οὖν τὸ αὐτὸ σημαίνουσιν, ἐφ' ὧν δήπου ἡ μία ἀληθεύει, ἐπὶ τούτων καὶ τὴν λοιπὴν ἀληθεύειν ἀνάγκη. ἀλλ' ἐπειδὴ ἐνδέχεται ἕνα καὶ τὸν αὐτὸν δύνασθαι βαδίζειν καὶ δύνασθαι μὴ βαδίζειν, μᾶλλον δὲ καὶ ἀναγκαῖον (ὃς γὰρ μὴ βαδίζων δύναται βαδίζειν, δῆλον δήπου ⟨ὅτι⟩ καὶ μὴ βαδίζειν δύναται· οὐδὲ γὰρ βαδίζει [δύναται] τότε. ὅτε λέγει δύνασθαι βαδίζειν). εἰ οὖν ἀμφότεραι αἱ προτάσεις ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν, ἥ τε ἁπλῆ ἡ 'δύναται βαδίζειν' καὶ ἡ ἐκ μεταθέσεως ἡ 'δύναται μὴ βαδίζειν', ἀλλὰ ἡ 'δύναται μὴ βαδίζειν' ταὐτὸν ἐσήμαινε κατὰ τὴν ὑπόθεσιν τῇ 'οὐ δύναται βαδίζειν' (ἄμφω γὰρ ἀποφάσεις τῆς 'δύναται βαδίζειν', ἡ μὲν κατὰ ἀλήθειαν ἡ δὲ κατὰ τὴν ὑπόθεσιν), καὶ ἡ ἄρα 'δύναται βαδίζειν' ταὐτὸν σημαίνοι ἂν τῇ 'οὐ δύναται βαδίζειν'. ἐπὶ τοῦ αὐτοῦ ἄρα ἡ ἀντίφασις συναληθεύσει, ὅπερ ἀδύνατον. τὸ δὲ ἀδύνατον ἠκολούθησεν, ὅτι ὑπεθέμεθα τὴν 'ἔστι δυνάμενος μὴ βαδίζειν' ἀπόφασιν εἶναι τῆς 'ἔστι δυνάμενος βαδίζειν'. ἀναγκαίως μὲν γὰρ εἰς ταὐτὸν συνήγετο τῇ 'οὐκ ἔστι δυνάμενος βαδίζειν' ἡ 'ἔστι δυνάμενος μὴ βαδίζειν'· ἀλλ' ἡ 'ἔστι δυνάμενος | βαδίζειν' συνηλήθευε τῇ 'ἔστι δυνάμενος ⟨μὴ⟩ 177ᵛ
βαδίζειν'· ἡ ἄρα 'οὐκ ἔστι δυνάμενος βαδίζειν' συναληθεύσει τῇ 'ἔστι δυνάμενος βαδίζειν'. συναληθεύσει ἄρα ἡ ἀντίφασις, ὅπερ ἄτοπον. εἰ οὖν, ὡς ἔχει ἡ 'οὐκ ἐπίσταται τὸ ἀγαθόν' πρὸς τὴν 'ἐπίσταται τὸ μὴ ἀγαθόν', οὕτως ἔχει καὶ ἡ λέγουσα 'οὐκ ἔστιν ἀγαθόν' καὶ 'ἔστιν οὐκ ἀγαθόν' (ἤδη γὰρ ἔφθημεν εἰπόντες, ὡς ὁμοίως ἔχουσιν αἵ τε τὸ 'ἔστιν' ἔχουσαι αἵ τε μὴ διὰ τὸ τὸ ῥῆμα εἰς μετοχὴν καὶ τὸ 'ἔστιν' ἀναλύεσθαι), δέδεικται δέ, ὅτι οὐκ ἔστι ταὐτὸν τὸ πρῶτον τῷ δευτέρῳ, οὐδ' ἄρα τὸ τρίτον τῷ τετάρτῳ ταὐτὸν ἔσται. ἐν γὰρ τοῖς ἀνάλογον ὡς ἔχει τὸ πρῶτον πρὸς τὸ δεύτερον, οὕτως καὶ τὸ τρίτον ἔχει πρὸς τὸ τέταρτον· ἐκείνων οὖν τῶν αὐτῶν οὐκ ὄντων οὐδὲ ταῦτα ἂν εἴη τὰ αὐτά. ἀναλόγων γὰρ ὄντων τοῦ τε ἐπίστασθαι τὸ

1 ante ἔστι add. καὶ Phil. 6. 7 unc. incl. add. Phil.: om. P 9 μὴ Phil.: om. P ἀπόφασις Phil.: ἀποφάσεως P 11 μιᾶς καὶ τῆς αὐτῆς Phil. 16 ὅτι Phil.: om. P 17 βαδίζει Phil.: βαδίζειν δύναται P λέγεται scriberem, nisi etiam Phil. λέγει exhiberet 20 τῇ Phil.: τῆς P 23 ἀδύνατον Phil.: δύναται P 26 μὴ superscr. P¹ 27 μὴ Phil.: om. P 29 ἄρα scripsi: ἔτι P cf. 150,17 εἰ Phil.: ἡ P 37 ἀναλόγων . . . καὶ ποσῶν (156,21) Al. 400,10—37

ἀγαθὸν καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθὸν καὶ μὴ ἐπίστασθαι τὸ ἀγαθὸν καὶ τοῦ εἶναι λευκὸν καὶ τοῦ εἶναι μὴ λευκὸν καὶ τοῦ μὴ εἶναι λευκὸν τὸ ἐπίστασθαι τὸ μὴ ἀγαθὸν ἄλλο ἐστὶ τοῦ μὴ ἐπίστασθαι τὸ [μὴ] ἀγαθόν. τὸ μὲν γὰρ ἐπίστασθαι τὸ μὴ ἀγαθὸν τῷ ἐπίστασθαι τὸ ἀγαθόν συνυπάρχει ἐπὶ τοῦ αὐτοῦ, τὸ δὲ μὴ ἐπίστασθαι οὐχ οἷόν τε ἀληθὲς εἶναι, ἐφ' οὗ ἀληθὲς τὸ ἐπίστασθαι τὸ ἀγαθόν. καὶ τὸ εἶναι ἄρα μὴ λευκὸν ἄλλο ἐστὶ τοῦ μὴ εἶναι λευκόν.

Μετακτέον δὲ καὶ ἐπὶ σαφέστερον ὑπόδειγμα τὸν λόγον δεικνύντας, ὅτι οὐκ ἔστι ταὐτὸν ἡ ἁπλῆ ἀπόφασις τῇ ἐκ μεταθέσεως καταφάσει. τὸ γὰρ 'οὐκ ἔστιν ἴσον' οὐκ ἂν εἴη ταὐτὸν τῷ 'ἔστιν οὐκ ἴσον'. ὁ ⟨γὰρ⟩ λέγων '[οὐκ] ἔστιν οὐκ ἴσον' τιθείς τι εἶναι τὸ ἴσον αὐτοῦ χωρίζει· κατὰ ὡρισμένου γάρ τινος ἡ τοιαύτη κατηγορία ⟨καὶ⟩ ὑποκειμένου· οὐ γὰρ ἀληθὲς κατὰ τοῦ μηδ' ὅλως ὄντος καταφῆσαι καὶ κατηγορῆσαι τὸ 'ἔστιν οὐκ ἴσον'. τῷ δὲ 'οὐκ ἔστιν ἴσον' οὐδὲν ὑπόκειται ὡρισμένον, ὅτι καὶ ἐπὶ ὄντος καὶ μὴ ὄντος λέγεσθαι δύναται· τὸ γὰρ 'οὐκ ἔστιν ἴσον' οὐκ ἐπὶ ὄντων μόνων ἀληθεύεται ἢ ποσῶν, οἷον τῶν ἀνίσων, ἀλλὰ καὶ ἐπὶ μὴ ὄντων· ἐπὶ παντὸς γὰρ μὴ ὄντος ἀληθὲς τὸ μὴ εἶναι αὐτὸ ἴσον. ⟨διὸ τὸ μὲν ἴσον⟩ ἢ οὐκ ἴσον ἐπὶ παντὸς διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὄντος τε ὁμοίως καὶ μὴ ὄντος· ἀντίφασις γάρ ἐστιν. ἴσον δὲ καὶ ἄνισον, ᾧ ὅμοιον τὸ 'ἔστιν οὐκ ἴσον', οὐκ ἐπὶ παντὸς | [οὐκ ἐπὶ παντὸς] διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἀλλ' ἐπὶ ὄντων τε καὶ 178v
ποσῶν.

Ἔτι πάλιν ἐπὶ σαφέστερον μετέλθωμεν. ἐν μὲν γὰρ τοῖς ἐπάνω ἄνευ τινὸς ὑποκειμένου λόγων τὸ 'οὐκ ἔστιν ἀγαθόν' ἢ 'ἔστιν οὐκ ἀγαθόν' καὶ 'ἔστιν οὐκ ἴσον' καὶ 'οὐκ ἔστιν ἴσον', μὴ προστιθεὶς δέ, τί ποτέ ἐστιν, ὅ ταῦτα λέγεται ἢ εἶναι ἢ μὴ εἶναι, ἀσαφέστερον ἐποιούμην τὸν λόγον· νῦν δὲ τοῦτο ποιήσας σαφὲς ποιήσω τὸ ἀσυνύπαρκτον τῆς τε ἀποφάσεως τῆς ἁπλῆς καὶ τῆς ἐκ μεταθέσεως καταφάσεως. ὁ μὲν γὰρ λέγων 'ἔστι ξύλον οὐ λευκόν' λέγει τι εἶναι ξύλον, τούτου δὲ κατηγορεῖ τὸ οὐ λευκόν· ὁ δὲ λέγων 'οὐκ ἔστι ξύλον λευκόν' δύναται μὴ μόνον τὸ λευκὸν ἀλλὰ καὶ τὸ ξύλον ἀποφάσκειν· ἀληθὲς γὰρ εἰπεῖν, ὅτι ἡ ψυχὴ καὶ τὸ μὴ ὂν οὐκ ἔστι ξύλον λευκόν. ὥστε οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. πῶς δὲ τοῦτο συνῆκται, πολλάκις εἶπον. ἐπεὶ οὖν δεδείχαμεν, ὅτι ἡ ἐκ μεταθέσεως κατάφασις οὐκ ἔστιν ἀπόφασις, ἀναγκαίως συνάξαι ἔστιν, ὅτι καταφάσεις εἰσί· πάντα γὰρ ἀποφαντικὸν λόγον ἀνάγκη ἢ κατάφασιν εἶναι ἢ ἀπόφασιν· εἰ οὖν μή ἐστιν ἀπόφασις, κατάφασις ἂν εἴη πάντως. τὸ δὲ 'πως' προστεθείκαμεν ὑπὲρ τοῦ ἐνδείξασθαι, ὅτι οὐχ ἁπλῶς ἐστι κατάφασις ἀλλ' ἐκ μεταθέσεως. πάσης δὲ καταφάσεως ἔστι τις ἀπόφασις· καὶ τῆς ἄρα λεγούσης 'ἔστιν οὐκ

2 τοῦ (ante εἶναι) scripsi: τὸ P (om. Al. 400,12) 3 μὴ tertium om. Phil. μὲν Al. 400,13: μέντοι P 8 μετακτέον . . . οὐκ ἴσον (10) Phil. f. 90v δεικνύντας scripsi: δεικνύντες P 10 γὰρ Al. 400,27: om. P οὐκ (post λέγων) om. Al. 12 καὶ Al. 400,28: om. P 16 παντὸς Al. 400,33: πάντων P 17 διὸ τὸ μὲν ἴσον Al. 400,34: om. P 20 οὐκ ἐπὶ παντὸς iterat P 22 ἔτι . . . ἀγαθόν (157,2) Phil. f. 90v 23 οὐκ prius addidi (μὴ εἶναι Phil.) 34 ἀποφαντικὸν ex ἀποφατικὸν corr. P¹

ἀγαθόν', ἥτις δέδεικται κατάφασις οὖσα, ἀπόφασις ἔσται, ἡ 'οὐκ ἔστιν οὐκ ἀγαθόν'.

Ἐπεὶ δὲ ἐδείξαμεν τὴν 'ἔστιν οὐ λευκόν' καὶ 'ἔστιν οὐκ ἀγαθόν' καὶ πάσας τὰς ὁμοίως ταύταις ⟨τὸ⟩ κατηγορούμενον ⟨ἐχούσας⟩ οἷον τὸ 'ἔστιν οὐ τόδε' ἄλλας οὔσας τῶν ἀποφάσεων τῶν 'οὐκ ἔστι λευκόν' καὶ 'οὐκ ἔστιν ἀγαθόν' καὶ καθόλου '⟨οὐκ⟩ ἔστι τοῦτο' καὶ οὔσας [αὐτῶν] καὶ αὐτὰς καταφάσεις, ὥσπερ καὶ ἡ 'ἔστι λευκόν' καὶ ἡ 'ἔστιν ἀγαθόν' ⟨καὶ⟩ καθόλου 'ἔστι τοῦτο', καὶ οὔσας αὐτῶν ἀποφάσεις τὴν 'οὐκ ἔστι λευκόν' καὶ 'οὐκ ἔστιν ἀγαθόν' καὶ ὅλως τὰς 'οὐκ ἔστιν οὐ τοῦτο' (καθόλου γάρ, ἐν αἷς τὸ 'ἔστι' τρίτον προσκατηγορεῖται, δύο ἀντιθέσεις γίνονται καὶ δύο ἀποφάσεις, αἵ τε ἁπλαῖ καὶ αἱ ἐκ μεταθέσεως, ὡς ἐδείξαμεν ἐν τῷ Περὶ ἑρμηνείας), νῦν, τίνα τάξιν καὶ ἀκολουθίαν ἔχουσι πρὸς ἀλλήλας ἥ τε ἁπλῆ ἀντίφασις καὶ ἡ | ἐκ 178v
μεταθέσεως, ὑπογράφομεν. ἔστι δὲ ταῦτα, ὧν ἐμνημονεύσαμεν ἐν τῷ Περὶ ἑρμηνείας εἰπόντες εἰρῆσθαι περὶ τῆς τάξεως αὐτῶν ἐν τοῖς Ἀναλυτικοῖς. τάξομεν οὖν, ὡς ἔφθην εἰπών· ὑπογράφομεν τιθέντες τὴν μὲν ἁπλῆν ἀντίφασιν ἐπὶ τῶν A, B, καὶ ἐπὶ μὲν τοῦ A τὴν κατάφασιν τὴν 'ἄνθρωπος ἀγαθός ἐστιν', ἐπὶ δὲ τοῦ B τὴν ἀπόφασιν αὐτῆς τὴν 'ἄνθρωπος ἀγαθὸς οὐκ ἔστι', καὶ τούτοις ὑποτάξομεν τὴν ἐκ μεταθέσεως ἀντίφασιν, ὑπὸ μὲν τὸ B, ἐφ' οὗ ἦν ἡ ἀπόφασις, τάσσοντες τὸ Γ καὶ ἐπ' αὐτοῦ τὴν κατάφασιν τὴν ἐκ μεταθέσεως τὴν λέγουσαν 'ἄνθρωπος οὐκ ἀγαθός ἐστιν', ὑπὸ δὲ τὸ A, ἐφ' οὗ ἦν ἡ ἁπλῆ κατάφασις, θέντες τὸ Δ καὶ ἐπ' αὐτοῦ τὴν ἐκ μεταθέσεως ἀπόφασιν τὴν 'ἄνθρωπος οὐκ ἀγαθὸς οὐκ ἔστι'. μεθ' ὃ διάγραμμα δεικτέον αὐτῶν τὴν πρὸς ἄλληλα σχέσιν τε καὶ ἀκολουθίαν, καὶ ὅτι ταῖς μὲν καταφάσεσιν αἱ συντεταγμέναι αὐταῖς ἀποφάσεις ἀκολουθοῦσιν, ἑκατέρα ἑκατέρᾳ, οὐκέτι δὲ ταῖς ἀποφάσεσιν αἱ καταφάσεις. τούτων οὕτως ἐχόντων, ἐπειδὴ [δὲ] ἐπὶ παντὸς καὶ ὄντος καὶ μὴ ὄντος ἢ ἡ κατάφασις ἀληθὴς ἢ ἡ ἀπόφασις αἱ ἀντιφατικῶς ἀντικείμεναι, ἀντιφατικῶς δὲ ἀντίκεινται τὸ A τῷ B καὶ ἔτι τὸ Γ τῷ Δ, ἐπὶ παντὸς ἄρα τὸ A ἢ τὸ B καὶ ἢ τὸ Γ ἢ τὸ Δ. ἐπεὶ οὖν τῷ A ἀδύνατον ὑπάρξαι τὸ Γ (ἀδύνατον γὰρ ⟨τὸ⟩ αὐτὸ εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν), τὸ Δ ἄρα ὑπάρξει τῷ A· ὃς γὰρ ἄνθρωπος ἀγαθός ἐστιν, οὗτος οὐκ ἔστιν ἄνθρωπος οὐκ ἀγαθός· ὥστε, ὃ ἂν εἴη A, τοῦτο πάντως ἔσται καὶ Δ· τῇ ἄρα ἁπλῇ καταφάσει, τῷ A, ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται, ἥτις ἐστὶ τὸ Δ. οὐ μὴν τὸ ἀνάπαλιν τῷ Δ ἕψεται τὸ A· ἐπὶ πλέον γάρ ἐστι τὸ Δ τοῦ A· τὸ γὰρ 'οὐκ ἔστι ξύλον οὐ λευκόν' ἀληθεύει, κἂν μὴ ὅλως εἴη ξύλον. καὶ γὰρ ἡ ψυχὴ οὐκ ἔστι ξύλον οὐ λευκόν, καὶ τὸ μὴ ὂν οὐκ ἔστι ξύλον οὐ λευκόν· ὅπερ δὲ ἂν ξύλον ᾖ λευκόν, πάντως καὶ ξύλον ἐστίν· οὐκ ἄρα τῇ ἐκ μετα-

3 ἐπεὶ δὲ . . . καταφάσεις (25) Al. 405,19—406,14 4 τὸ et ἐχούσας add. Al. 405,20: om. P 6 οὐκ Al. 405,22: om. P 6. 7 καὶ αὐτὰς καταφάσεις Al. 405,22: αὐτῶν (ex vs. 8 translatum) κατὰ ἀποφάσεις P 7 καὶ Al. 405,23: om. P 8. 9 οὐ, quod ante λευκόν, et οὐκ, quod ante ἀγαθόν habet Al. 405,24; om. etiam a 18 οὗ Al. 406,5: ὃ P 20 τὸ Al. 406,7: τοῦ P 25 τούτων οὕτως . . . συναληθεύειν (158,35) Phil. f. 91r—91v δὲ om. Phil. 26 ἢ (post ὄντος) Phil.: καὶ P 28 post ἄρα add. ἢ Phil. 29 τὸ alterum Phil.: om. P 31 et 34 εἴη P: ᾖ Phil.; at cf. vs. 158,11

θέσεως ἀποφάσει, ἥτις ἦν τὸ Δ, ἕπεται ἡ ἁπλῆ κατάφασις, ἐφ' ἧς τὸ Α, διὰ τὸ ἐπὶ πλέον εἶναι τὴν ἀπόφασιν ⟨τὴν⟩ ἐκ μεταθέσεως τῆς ἁπλῆς καταφάσεως. ὥσπερ δὲ τῇ ἁπλῇ καταφάσει ἠκολούθει ἡ ἐκ μεταθέσεως ἀπόφασις, οὕτως [illegible] τῇ ἐκ μεταθέσεως καταφάσει | ἕπεται ἡ ἁπλῆ ἀπόφασις 179r
5 καὶ οὐκ ἀντιστρέφει, τουτέστιν ἐφ' οὗ τὸ Γ, πάντως ἐπὶ τούτου καὶ τὸ Β, ⟨οὐ μὴν ἐφ' οὗ τὸ Β, πάντως καὶ τὸ Γ, διὰ τὸ ἐπὶ πλέον εἶναι τὸ Β τοῦ Γ. ὅτι [illegible] οὗ τὸ Γ, πάντως ἐπὶ τούτου καὶ τὸ Β.⟩ τῷ αὐτῷ τρόπῳ δεικνύω. εἰ μὴ γὰρ τὸ Β, ἀνάγκη πάντως τὸ Α· ἐπὶ παντὸς γὰρ ἡ κατάφασις ἢ ἡ ἀπόφασις· [illegible] ἀδύνατον· εἴ τι γάρ ἐστι ξύλον οὐ λευκόν, ἀδύνατόν ἐστι τοῦτο
10 ξύλον εἶναι λευκόν· ὥστε τὸ ἀντικείμενον ἀνάγκη τὸ 'οὐκ ἔστι ξύλον λευκόν', ὅπερ ἐστὶ καὶ ἀληθές. ὅπερ γὰρ ἂν εἴη ξύλον οὐ λευκόν, ⟨τοῦτο οὐκ ἔστι ξύλον λευκόν· οὐκέτι μέντοι, εἴ τι οὐκ ἔστι ξύλον λευκόν, τοῦτο ἔσται ξύλον οὐ λευκόν⟩· καὶ γὰρ τὰ μὴ ὄντα ξύλα, οἷον ψυχή, ἄγγελος, καὶ ἔτι τὸ μὴ ὂν ὅλως ἀληθὲς εἰπεῖν, ὅτι οὐκ ἔστι ξύλον λευκόν· οὐκέτι μέντοι ἀληθὲς
15 εἰπεῖν 'ἔστι ξύλον οὐ λευκόν'. ἕπεται μὲν οὖν καὶ ἡ ἐκ μεταθέσεως κατάφασις τῇ ἁπλῇ ἀποφάσει, ἀλλ' οὐκ ἀεί, ἀλλ' ἐφ' ὧν ἀληθὴς οἷον τῶν ξύλων μὲν ὄντων οὐ λευκῶν δέ (ἐπὶ γὰρ τῆς ἐβένου, εἰ ἀληθὲς εἰπεῖν τὴν ἁπλῆν ἀπόφασιν, ὥσπερ οὖν καὶ ἀληθὲς τὸ ὅτι ⟨οὐκ ἔστι⟩ ξύλον λευκόν, ἀκολουθήσει καὶ ἡ ἐκ μεταθέσεως κατάφασις ἡ 'ἔστι ξύλον οὐ λευκόν'), ἐφ' ὧν δὲ οὐκ ἀληθής, οἷον
20 ἐπὶ τῶν μὴ ὄντων ὅλως ξύλων οὐχ οἵα τε ἀκολουθεῖν. εἴπομεν γάρ, ὅτι ἡ ἁπλῆ ἀπόφασις καὶ ἐπὶ τῶν μὴ ὄντων χωρεῖ· τὸ γὰρ 'οὐκ ἔστι ξύλον λευκόν' φέρεται καὶ ἐπὶ ψυχῆς καὶ ἐπὶ τοῦ μὴ ὄντος. εἰ οὖν οὐκ ἔστι ξύλον ἡ ψυχὴ καὶ τὸ μὴ ὄν, πῶς ἂν ἀληθεύοι ἐπ' αὐτῶν ἡ ἐκ μεταθέσεως κατάφασις ἡ 'ἔστι ξύλον οὐ λευκόν'; ὃ γὰρ μὴ ὅλως ἐστὶ ξύλον, πῶς ἂν εἴη ξύλον οὐ
25 λευκόν;

Ἐπεὶ δ' εἴρηται ἡμῖν, ὅπως ἔχουσιν αἱ ὑπάλληλοι προτάσεις ἐν τῷ διαγράμματι, ζητήσωμεν νῦν, ὅπως ἔχουσιν αἱ διαγώνιοι. φημὶ οὖν, ὅτι τὸ μὲν Α καὶ Γ, τουτέστιν ἡ ἁπλῆ κατάφασις καὶ ἡ ἐκ μεταθέσεως, οὐδέποτε τῷ αὐτῷ ὑπάρχουσιν· ὃ γάρ ἐστι ξύλον λευκόν, τοῦτο ἀδύνατον εἶναι ξύλον
30 οὐ λευκόν. τὰς μέντοι ἀποφάσεις ἐνδέχεταί ποτε συναληθεύειν, λέγω δὴ ἐπὶ τοῦ μὴ ὄντος· ἀληθὲς γὰρ τὸ λέγειν, ὅτι τὸ μὴ ὂν οὐκ ἔστι ξύλον λευκὸν καὶ πάλιν οὐκ ἔστι ξύλον οὐ λευκόν. οὐ μόνον δὲ ἐπὶ τοῦ μὴ ὄντος ἀλλὰ καὶ ἐπὶ τῶν ὄντων μὴ ὄντων δὲ ὅλως ξύλων, οἷον ἡ ψυχὴ οὐκ ἔστι ξύλον λευκόν, ἀλλὰ καὶ οὐκ ἔστι ξύλον οὐ λευκόν. ὥστε αἱ μὲν καταφάσεις οὐδέποτε συνα-
35 ληθεύουσι, τὰς δὲ ἀποφάσεις ἐνδέχεται | συναληθεύειν. λέγω δὲ ταῦτα περὶ 179v
τῶν μερικῶν προσδιωρισμένων προτάσεων· αὗται γάρ εἰσιν αἱ τὴν ἀντίφασιν ποιοῦσαι, ἐπεὶ τάς γε ἀπροσδιορίστους οὐδὲν κωλύει πάσας πάσαις συναληθεύειν. ὅτι δὲ μὴ οἷόν τε τὰς καταφάσεις τὰς εἰρημένας ἅμα ἀληθεῖς εἶναι,

2 τὴν alterum Phil.: om. P 6 οὗ . . . καὶ τὸ β̄ (7) Phil.: om. P 7 τρόπῳ Phil.: [illegible] P 8 γὰρ μὴ Phil.: at cf. 151,27 ante ἡ add. ἢ Phil.
11 τοῦτο . . . οὐ λευκόν (13) Phil.: om. P 16 post ὧν fort. μὲν addendum est
18 τὸ ὅτι transposui: ὅτι τὸ P οὐκ ἔστι ex Phil. addidi 19 ἡ scripsi: καὶ P cf. ad 157,26 33 ξύλων Phil. f. 91v: ξύλον P 35 λέγω . . . οὐ λευκόν (159,17) Al. 408,24—409,8 37 γε Al. 408,25: τε P

ἱκανὴ μὲν καὶ ἡ ἐνάργεια δηλῶσαι, οὐ μὴν ἀλλὰ καὶ διότι ἅμα ἀληθεῖς ἔσονται καὶ αἱ ἀντιφατικῶς ἀντικείμεναι. τῇ μὲν γὰρ ἁπλῇ καταφάσει ἕπεται ἡ ἐκ μεταθέσεως ἀπόφασις, ὥστε ἅμα ἀληθὴς ἔσται ἥ τε κατάφασις ἡ ἐκ μεταθέσεως, ἐφ' ἧς τὸ Γ, καὶ ἡ ἀπόφασις αὐτῆς, ἐφ' ἧς τὸ Β. πάλιν ἐπεὶ τῷ Γ. τῇ καταφάσει τῇ ἐκ μεταθέσεως ἕπεται τὸ Β. ἡ ἁπλῆ ἀπόφασις, ἅμα ἔσονται ἀληθεῖς ἥ τε ἁπλῆ κατάφασις, ἐφ' ἧς τὸ Α, καὶ ἡ ἀπόφασις αὐτῆς, ἐφ' ἧς τὸ Β. ταῦτα δὲ ἀδύνατα. τὰς μὲν τοίνυν ἀποφάσεις, τήν τε ἁπλῆν, ἥτις ἦν ἐπὶ τοῦ Β, καὶ τὴν ἐκ μεταθέσεως, ἥτις ἦν ἐπὶ τοῦ Δ, ἐνδέχεται ἐπί τινος ἅμα ἀληθεῖς εἶναι. ἐφ' ὧν γὰρ ἡ μὲν ἁπλῆ ἀπόφασις ἀληθὴς ἦν ἡ Β. οὐκέτι δὲ καὶ ἡ ἐκ μεταθέσεως κατάφασις ἡ Γ (οὐ γὰρ ἀντέστρεφεν), ἐπὶ τούτων ἐξ ἀνάγκης ἀληθὴς ἡ Δ ἡ ἐκ μεταθέσεως ἀπόφασις· ἐπὶ παντὸς γὰρ ἢ τὸ Γ ἢ τὸ Δ (ἀντίφασις γάρ), καὶ οὐχ εἵπετο τῷ Β τὸ Γ. πάλιν ἐφ' ὧν ἀληθοῦς οὔσης τῆς Δ τῆς ἐκ μεταθέσεως ⟨ἀποφάσεως⟩ οὐκ ἦν ἀληθὴς ἡ ἁπλῆ κατάφασις (οὐ γὰρ ἀντέστρεφεν), ἐπὶ τούτων ἀληθὴς ἡ ἁπλῆ ἀπόφασις ἡ Β· ἐπὶ παντὸς γὰρ ἢ τὸ Α ἢ τὸ Β. ὥστε γίνονται ἅμα ἀληθεῖς αἱ ἀποφάσεις ἐπί τινων· ἐπὶ γὰρ τοῦ τοίχου ἀληθὴς ἥ τε λέγουσα αὐτὸν μὴ εἶναι ξύλον λευκὸν καὶ ἡ λέγουσα αὐτὸν μὴ εἶναι ξύλον οὐ λευκόν. ὡς δὲ ἔχουσιν ἀκολουθίας ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς, οὕτως ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς τὰς κατηγορίας, τουτέστι τὰς ἁπλᾶς, ταύτῃ τῇ θέσει· ἔστιν ἴσον, οὐκ ἔστιν ἴσον, οὐκ ἔστιν ἄνισον, ἔστιν ἄνισον. ὅπερ ἂν εἴη ἴσον, οὐκ ἔστιν ἄνισον, οὐ μήν, ὅπερ οὐκ ἔστιν ἄνισον. ἤδη τοῦτο ἐστὶν ἴσον· ἀληθὲς γὰρ ἐπὶ τοῦ μὴ ποσοῦ ἢ μὴ ὄντος ὅλως τὸ εἰπεῖν, ὅτι οὐκ ἔστιν ἄνισον, οἷον ὅτι | ἡ ψυχὴ οὐκ ἔστιν ἄνισον ἢ τὸ χρῶμα· 180r
οὐ μὴν ὅτι καὶ ἴσον ἐστίν. ὃ γὰρ μηδὲ ποσόν, τοῦτο οὔτε ἴσον ἔστιν οὔτε [οὐκ] ἄνισον. πάλιν μὲν εἴ τί ἐστιν ἄνισον, τοῦτο οὐκ ἔστιν ἴσον· εἴ τι δὲ οὐκ ἔστιν ἴσον, οὐ πάντως καὶ ἄνισον. οὐ γὰρ ἐπὶ πάντων, ἐφ' ὧν ἀληθής ἐστιν ἡ ἁπλῆ ἀπόφασις, ἐπὶ τούτων καὶ ἡ στερητικὴ κατάφασις, ἥτις ἦν τὸ Γ· οὐκ ἴσον μὲν χρῶμα καὶ φωνή, οὐ μὴν καὶ ἄνισον· τὸ γὰρ ἄνισον, ὡς προεῖπον, ἐπὶ ὡρισμένου τινὸς ἀληθές ἐστιν· ἐπὶ γὰρ τοῦ ποσοῦ. καὶ αἱ μὲν καταφάσεις οὐδέποτε συναληθεύουσιν, 'ἔστιν ἴσον, ἔστιν ἄνισον'· τὰς δὲ ἀποφάσεις ἐνδέχεται ἐπὶ τοῦ μὴ ὄντος ἢ ὅλως ἐπὶ τοῦ μὴ ποσοῦ· τὸ γὰρ μὴ ὂν ἢ τὸ χρῶμα ἀληθὲς εἰπεῖν καὶ ὅτι οὐκ ἔστιν ἴσον καὶ ὅτι οὐκ ἔστιν ἄνισον.

Ἀναδραμητέον δὲ πάλιν ἡμᾶς πρὸς τὰ ἐξ ἀρχῆς, λέγω δὴ ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις ἀλλ' ἡ ἁπλῆ ἀπόφασις. τοῦτο δὲ δῆλον ἔσται μάλιστα ἐπὶ τῶν τοιούτων ὁλῶν, αἵτινες τισὶ μὲν ὑπάρχουσι τισὶ δὲ οὐχ ὑπάρχουσιν, οἷον τὸ λευκὸν τισὶ μὲν ἀνθρώ-

---

1 ἐνέργεια P 4 β̄ P (B): δ̄ Al. 408,30 (a) 7 μὲν τοίνυν P: μέντοι Al. 408,33 13 ἀποφάσεως Al. 409,3: om. P 16 τοίχου Al. 409,7: κοσμοῦ P 17 ὡς δὲ . . καὶ ἄνισον (26) Phil. f. 92r—92v 18 προσκατηγορουμένου Phil.: προσκατηγορουμένων P 21 εἴη P: ᾖ Phil. f. 92v cf. 157,31.34 25 οὐκ om. Phil. 26 καὶ Phil.: δὲ P οὐ γὰρ . . . ποσοῦ (29) Al. 410,7—10 28 post μὲν add. γὰρ Al. 410,9 29 καὶ αἱ . . . ἀπόφασις (160,25) Phil. f. 92v—93v

ποις ὑπάρχει τισὶ δὲ οὐχ ὑπάρχει. ἐπὶ τῶν τοιούτων οὖν τῆς καταφάσεως ψευδοῦς οὔσης, οἷον ὅτι πᾶς ἄνθρωπος λευκός, ἀνάγκη δήπου τὴν ἀπόφασιν ὁμοίως ἀληθῆ εἶναι, τουτέστιν ἐπὶ πάσης τῆς τοιαύτης ὕλης· τῆς γὰρ ἀντιφάσεως θάτερον μόριον ἀνάγκη ἀληθὲς εἶναι θάτερον δὲ ψεῦδος. ὅτι δὲ τῆς 'πᾶς ἄνθρωπος λευκός' ἀπόφασίς ἐστιν ἡ 'οὐ πᾶς ἄνθρωπος λευκός', δῆλον ἐξ ὧν ἐκείνης ψευδομένης αὕτη ἀληθεύει. ἡ μέντοι 'πᾶς ἄνθρωπος οὐ λευκός ἐστιν' ἐκ μεταθέσεως οὖσα καταφατικὴ ψευδής ἐστιν. οὐκ ἄρα ἀπόφασις τῆς 'ἔστι πᾶς ἄνθρωπος λευκός' ἡ 'ἔστι πᾶς ἄνθρωπος οὐ λευκός' (ἄμφω γὰρ ψευδεῖς) ἀλλ' ἡ 'οὐκ ἔστι πᾶς ἄνθρωπος λευκός'. καὶ ἐπὶ πάντων τῶν τοιούτων ὡσαύτως. σαφῶς ἄρα διὰ τῆς τοιαύτης ὕλης ἐλήλεκται, ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις (ἄμφω γὰρ ψευδεῖς) ἀλλ' ἡ ἁπλῆ ἀπόφασις, τουτέστιν ἡ 'οὐκ ἔστι λευκὰ πάντα' καὶ 'οὐκ ἔστι λευκὸν ἕκαστον'. τούτοις γὰρ ταὐτόν ἐστι τὸ 'οὐ πᾶς ἄνθρωπος λευκός', ἢ ἡ ἐκ μετα|θέσεως κατάφασις ἡ 'ἔστιν οὐ λευκὰ πάντα', τουτέστιν 180v ἡ 'πᾶς ἄνθρωπος οὐ λευκός'· ψευδὴς γάρ. ὁμοίως καὶ τοῦ 'ἔστι πᾶν ζῶον λευκόν' ⟨τὸ 'οὐκ ἔστι πᾶν ζῶον λευκόν'⟩, ἀλλ' οὐχ ἡ ἐκ μεταθέσεως κατάφασις ἡ 'πᾶν ζῶον οὐ λευκόν'· ἄμφω γὰρ ψευδεῖς. εἰ δὲ αὗται οὐκ ἀντιφατικῶς ἀντίκεινται, οὐδὲ ἐπὶ τῶν ἄλλων πασῶν ἔσται τοῦτο, κἂν ἐπί τινων ἡ μὲν ἀληθεύῃ ἡ δὲ ψεύδεται, ὡς ἐπὶ τῆς ἀναγκαίας ὕλης 'πᾶν ζῶον οὐσία. πᾶν ζῶον οὐκ οὐσία'. οὐ γὰρ ἐπὶ τινῶν δεῖ οὕτως ἔχειν τὴν ἀντίφασιν, ἐπὶ τινῶν δὲ οὔ, ἀλλ' ἀεὶ καὶ ἐπὶ πάντων τὴν μὲν ἀληθεύειν τὴν δὲ ψεύδεσθαι.

Ἐπεὶ δὲ διὰ πλειόνων ἐδείξαμεν, ὅτι μὴ ταὐτὸν σημαίνει ἡ ἁπλῆ ἀπόφασις καὶ ἡ ἐκ μεταθέσεως κατάφασις, οἷον τὸ 'ἔστιν οὐ λευκόν' καὶ τὸ 'οὐκ ἔστι λευκόν', καὶ τὸ μὲν κατάφασις τὸ δὲ ἀπόφασις, δῆλον ὡς οὐχ ὁμοίως δειχθήσεται τά τε ἀποφατικά, οἷον 'οὐδὲν ζῶον λευκόν ἐστι' καὶ 'οὐδὲν ζῶον ἐνδέχεται λευκὸν εἶναι', καὶ τὸ καταφατικὸν τὸ 'πᾶν ζῶον οὐ λευκόν ἐστιν', ἀλλὰ τὰ μὲν καταφατικά, τό τε 'πᾶν ζῶον λευκόν ἐστι' καὶ τὸ 'πᾶν ζῶον οὐ λευκόν ἐστιν', ὁμοίως ἀλλήλοις καὶ τῷ αὐτῷ τρόπῳ δειχθήσεται. καταφατικῶς γὰρ ἀμφότερα ἐν τῷ πρώτῳ σχήματι· οὐ γάρ ἐστιν ἀπόφασις τῆς 'πᾶν ζῶον λευκόν' ἡ 'πᾶν ζῶον οὐ λευκόν' ἀλλ' ἡ 'οὐ πᾶν ζῶον λευκόν'· κατάφασις γάρ ἐστιν ἡ 'πᾶν ζῶον οὐ λευκόν' ὥσπερ καὶ ἡ 'πᾶν ζῶον λευκόν'. πῶς οὖν συναχθείη τὸ τοιοῦτον πρόβλημα, λέγω δὴ τὸ καθόλου καταφατικόν, τό τε ἁπλοῦν καὶ τὸ ἐκ μεταθέσεως, ὑπογραπτέον. εἰ βουλόμεθα δεῖξαι, ὅτι πᾶς ἄνθρωπος μουσικός ἐστιν, ἢ ὅτι πᾶς ἄνθρωπος οὐ μουσικός ἐστι, δείξομεν οὕτως· χρὴ ἐν τῇ ἑκατέρᾳ τούτων δείξει μέσον ὅρον λαμβάνειν τὸ ζῶον· κἂν μὲν βουλώμεθα δεῖξαι τὸ πάντα ἄνθρωπον μουσικόν, μείζονα ἄκρον κατηγορούμενον καταφατικῶς τοῦ ζώου παντὸς ληπτέον τὸ μουσικόν, ἔσχατον δὲ

12 λευκὰ Phil.: λευκὸν P 16 τὸ . . . ζῶον λευκόν ex Phil. addidi 19 dubito, utrum ἀληθεύει (ἀληθεύσει Phil.) an ψεύδηται (ψεύδεται Phil.) scribendum sit 20 post τινῶν add. μὲν Phil. 21 οὔ, quod post πλειόνων (23) habet P, huc transposui 25 δῆλον . . . ἐκ μεταθέσεως (161,38) Al. 411,37—414,17 32 ὥσπερ scripsi: καίπερ P 33. 34 πῶς . . . μεταθέσεως Phil. f. 93r 33 ante συναχθείη add. ἂν Phil.

καὶ ἐλάττονα, οὗ τὸ ζῶον κατηγορεῖται παντός, τὸν ἄνθρωπον· ἔσονται γὰρ αἱ προτάσεις 'πᾶς ἄνθρωπος ζῶον, πᾶν ζῶον μουσικόν, πᾶς ἄρα ἄνθρωπος μουσικός', ὃ ἦν προκείμενον. οὐ δεῖ δὲ τὰς προτάσεις, αἷς χρώμεθα, ὡς ἀληθεῖς ἀπαιτεῖν· παραδείγματι γὰρ καὶ ὑπογραφῇ ταῖς λέξεσι χρώμεθα τοῦ πῶς διὰ καταφατικῶν ἀμφοτέρων δείκνυται τό τε 'πᾶς ἄνθρωπος μουσικός ἐστι' καὶ τὸ 'πᾶς ἄνθρωπός ἐστιν οὐ μουσικός'. ἂν δέ γε ἦ προκείμενον ἡμῖν δεῖξαι πάν|τα ἄνθρωπον εἶναι ⟨μὴ⟩ μουσικόν, τὸ μὲν ζῶον πάλιν μέσος 181r
ὅρος ἔστω ὁ αὐτός, τὸ δὲ ⟨μὴ⟩ μουσικὸν μείζων καταφατικῶς τοῦ ζώου καὶ αὐτὸς κατηγορούμενος, ἄνθρωπος δὲ ὁ ἔσχατος, καὶ αἱ προτάσεις 'πᾶς ἄνθρωπος ζῶόν ἐστι, πᾶν ζῶόν ἐστιν οὐ μουσικόν, πᾶς ἄρα ἄνθρωπός ἐστιν οὐ μουσικός'. εἰ μὲν οὖν ἡ 'πᾶς ἄνθρωπός ἐστιν οὐ μουσικός' ἀπόφασις ἦν, οὐκ ἐν πρώτῳ ἂν τοῦτο ⟨τὸ⟩ συμπέρασμα σχήματι ἐδείκνυτο μόνῳ ἀλλὰ καὶ ἐν τῷ δευτέρῳ, ἀντιστρεφομένης τῆς καθόλου ἀποφατικῆς, εἴ γε ἀποφατικὴ ἦν ἡ 'πᾶς ἄνθρωπός ἐστιν οὐ μουσικός'. νῦν δὲ ἐν τούτῳ μόνῳ δείκνυται. ὅτι δὲ μή ἐστιν ἀπόφασις, δεικνύοιτο ἂν ἐκ τοῦ μὴ ἀντιστρέφειν αὐτήν· ἀληθοῦς γὰρ οὔσης τῆς λεγούσης 'πᾶν ἄψυχόν ἐστιν οὐκ αἰσθητικόν' οὐκέτ' ἀληθὴς ἡ λέγουσα 'πᾶν οὐκ αἰσθητικὸν ἄψυχόν ἐστιν', ἀληθὴς δὲ ἡ ἐν μέρει ἡ λέγουσα 'τὶ οὐκ αἰσθητικὸν ἄψυχον'. διὰ τοῦτο δὲ καὶ ἐν τῷ πρώτῳ δείκνυται μόνῳ, καὶ εἴη ἂν φανερώτατον σημεῖον τοῦ μὴ εἶναι ἀπόφασιν τὴν ἐκ μεταθέσεως τὸ μὴ ἀντιστρέφειν αὐτήν. τὸ δὲ καθόλου ἀποφατικὸν τὸ 'οὐδεὶς ἄνθρωπος μουσικός' κατὰ τοὺς εἰρημένους τρεῖς τρόπους δείκνυται. οἷον ἐν μὲν πρώτῳ οὕτως· πᾶς ἄνθρωπος ζῶον, οὐδὲν ζῶον μουσικόν, οὐδεὶς ἄρα ἄνθρωπος μουσικός· ἐν δὲ δευτέρῳ διχῶς· οὐδὲν μουσικὸν ζῶον, πᾶς ἄνθρωπος ζῶον, οὐδεὶς ἄρα ἄνθρωπος μουσικός· πᾶς ἄνθρωπος ζῶον, οὐδὲν μουσικὸν ζῶον, οὐδὲν ἄρα μουσικὸν ἄνθρωπος, καὶ οὐδεὶς ἄνθρωπος μουσικός.

Ἀναδραμητέον δὲ πάλιν ἡμῖν ἐπὶ τὸ προδεδειγμένον περὶ τῆς τῶν προτάσεων ἀκολουθίας τῶν τε τὴν ἁπλῆν ἀντίφασιν ἐχουσῶν καὶ τῶν τὴν κατὰ μετάθεσιν· καὶ τὴν ἀκολουθίαν, ἣν ἐπ' ἐκείνων τῶν προτάσεων ἐδείξαμεν. νῦν καθολικώτερον δείξομεν, οὐκέτι ἐπὶ ὕλης ἀλλ' ἐπὶ στοιχείων μόνων, ἐφ' ὧν τὰς καθολικὰς δείξεις ἔθος ἡμῖν ποιεῖν. τότε μὲν οὖν ἦν τὸ Α προτεταγμένον, τουτέστιν ἡ ἁπλῆ κατάφασις, καὶ ὑποτεταγμένον τὸ Δ, τουτέστιν ἡ ἐκ μεταθέσεως ἀπόφασις, τῷ δὲ Β ἁπλῇ ἀποφάσει ὄντι τοῦ Α τὸ Γ, τουτέστιν ἡ ἐκ μεταθέσεως κατάφασις. καὶ ἦν τότε μὲν τῷ Γ τὸ Β ἑπόμενον, ἡ ἁπλῆ ἀπόφασις τῇ ἐκ μεταθέσεως καταφάσει, τῷ δὲ Α, τουτέστι τῇ ἁπλῇ καταφάσει, τὸ Δ, τουτέστιν ἡ ἐκ μεταθέσεως. | νῦν δὲ λαμβάνομεν τὸ Α, Β 181v
ἀντίφασιν, ὥσπερ καὶ τότε· ἀντιφάσεως γὰρ τὸ ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι, παντὶ δ' ἐξ ἀνάγκης θάτερον· ὁμοίως δὲ καὶ τὸ Γ, Δ ἀντίφασιν, ἥτις ἦν τότε ἐκ μεταθέσεως. ὅτι μὲν οὖν ταῖς καταφάσεσιν ἕπονται αἱ ἀποφάσεις καὶ

4 τῆς λέξεως Al. 413,6 7. 8 μὴ Al. 413,9. 10: om. P 7 μέσος Al.: μέσον P 8 μείζων Al.: μεῖζον P 12 τὸ Al. 413,14: om. P 13 ἡ scripsi: τῆς P 14 δὲ μή Al. 413,17: μὴ δὲ P 16 ἐστιν οὐκ Al. 413,18: οὐκ ἔστιν P 22 ἄρα scripsi: ἔτι P cf. 155,29 27 τὴν κατὰ Al. 414,7: κατὰ τὴν P 35 ἃ Al. 414,14: δὲ P 37 θάτερον Arist.: θατέρω P 38 ὅτι μὲν . . . γέγονε (164,10) Phil. f. 93r—94r

οὐκ ἀντιστρέφουσι, καὶ ὅτι τὰς μὲν καταφάσεις ἀδύνατον συναληθεύειν, τὰς δὲ ἀποφάσεις ἐνδέχεται, δεικτέον. ὑποτίθεμαι οὖν τὸ μὲν Γ καὶ τὸ Β τὰς καταφάσεις, τὴν μὲν ὁπλῆν τὴν δὲ ἐκ μεταθέσεως, τὰ δὲ λοιπά, τὸ Δ ψημὶ καὶ τὸ Α, τὰς ἀποφάσεις. τρισὶ δὲ ὑποθέσεσι χρησάμενος τὰ λοιπὰ δείξω, μιᾷ μέν, ὅτι ἀντιφατικῶς ἀντίκειται τὸ Α καὶ τὸ Β καὶ ἔτι τὸ Γ καὶ τὸ Δ, δευτέρᾳ, ὅτι ἀνάγκη παντὶ ἢ τὸ Α ὑπάρχειν ἢ τὸ Β καὶ πάλιν παντὶ ἐξ ἀνάγκης ἢ τὸ Γ ἢ τὸ Δ· τρίτῃ ὑπόθεσις, ὅτι τῷ Γ ἕπεται τὸ Α καὶ οὐκ ἀντιστρέφει τὸ Γ τῷ Α. εἰ δέ τις ἐνσταίη πρὸς ταύτην τὴν ὑπόθεσιν, λέγω δὲ τὴν τρίτην, πόθεν ὅτι ἕπεται τῷ Γ τὸ Α καὶ οὐκ ἀντιστρέφει, ἴστω, ὅτι, εἰ ληφθείη τις ὕλη, ἐξ αὐτῆς τῆς ἐναργείας ὁ ἔλεγχος, ὥσπερ ἐφ' ὧν ἐθήκαμεν πρότερον ὑποδειγμάτων. τούτων ὑποτεθέντων δείκνυμι ἕτερα τρία. ἓν μέν, ὅτι τῷ Β τὸ Δ ἕπεται καὶ οὐκ ἀντιστρέφει, καὶ ὅτι τὸ Γ καὶ τὸ Β, ἅπερ ὑπόκεινται καταφάσεις, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν, καὶ ὅτι τὸ Α, Δ, τουτέστι τὰς ἀποφάσεις, ἐνδέχεται ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. τὰ μὲν οὖν προκείμενα ἡμῖν ταῦτα. πρῶτον μὲν οὖν δεικτέον, ὅτι τῷ Β ἕπεται τὸ Δ, τρόπον τοῦτον· ἐπεὶ γὰρ ὑπόκειται, ὅτι τῶν Γ, Δ θάτερον παντὶ ἐξ ἀνάγκης ὑπάρξει διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι, εἰ μὴ ὑπάρξει τῷ Β τὸ Δ, ἀνάγκη δήπου τὸ Γ ὑπάρχειν. ἀλλ' εἰ τὸ Γ ὑπάρχει τῷ Β, ὑπόκειται δὲ ἕπεσθαι τῷ Γ τὸ Α, τουτέστιν ᾧ δ' ἂν ὑπάρχῃ τὸ Γ, τούτῳ καὶ τὸ Α ὑπάρχειν, ὑπάρχει δὲ τῷ Β τὸ Γ, καὶ τὸ Α τῷ Β ὑπάρξει. ᾧ ἄρα τὸ Β, τούτῳ καὶ τὸ Α, ὅπερ ἐστὶν ἀδύνατον διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποκεῖσθαι τῷ Β ὑπάρχειν τὸ Γ. εἰ οὖν τοῦτο ψεῦδος, ἀληθὲς τὸ τῷ Β ὑπάρχειν τὸ Δ· ὑπόκειται γὰρ ἐξ ἀνάγκης παντὶ ἢ τὸ | Γ ἢ τὸ Δ. 182r
οὕτως μὲν οὖν δείκνυμι, ὅτι τῷ Β ἕπεται τὸ Δ. ἀκόλουθον μὲν οὖν ἦν εὐθὺς δεῖξαι, ὅτι οὐκ ἀντιστρέφει, τουτέστιν οὐχ ᾧ τὸ Δ ὑπάρχει, τούτῳ καὶ τὸ Β. ἀλλ' ἐπεὶ πρὸς τὴν δεῖξιν τούτου δεόμεθα τοῦ ὅτι τὸ Α, Δ ἐνδέχεται τῷ αὐτῷ, πρότερον τοῦτο δείξομεν, ὅτι τὸ Α καὶ τὸ Δ ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. ἐπεὶ γὰρ ὑπόκειται, ὅτι οὐκ ἀντιστρέφει πρὸς τὸ Α τὸ Γ, τουτέστιν οὐκ ἐφ' ὧν τὸ Α, πάντως καὶ τὸ Γ, ἐὰν ληφθῇ τι τούτων, ἐφ' ὧν τὸ μὲν Α ὑπάρχει τὸ δὲ Γ ⟨οὐχ⟩ ὑπάρχει, ἐπειδὴ παντὶ ἢ τὸ Γ ἢ τὸ Δ, οὐχ ὑπάρχει δὲ τὸ Γ, ᾧ τὸ Α ὑπάρχει. τὸ Δ ἄρα ὑπάρξει, ᾧ τὸ Α· τὸ ἄρα Α, Δ ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. ἐπισυναπτέον δ' εὐθὺς τούτῳ, ὅτι τὸ Γ καὶ τὸ Β οὐκ ἐνδέχεται τῷ αὐτῷ. εἰ γάρ, ᾧ τὸ Β, τούτῳ καὶ τὸ Γ, ἐπεί, ᾧ τὸ Γ, τούτῳ καὶ τὸ Α (ὑπόκειται γὰρ ἕπεσθαι τῷ Γ τὸ Α), ᾧ ἄρα τὸ Β, τούτῳ καὶ τὸ Α ἡ ἀντίφασις, ὅπερ ἀδύνατον· οὐδενὶ ἄρα τῷ αὐτῷ τὸ Γ καὶ τὸ Β ὑπάρξει. τούτων δεδειγμένων δεικτέον, ὅτι οὐκ ἀντιστρέφει τὸ Β τῷ Δ· τοῦτο γὰρ λείπεται. λέγω δή, ὅτι οὐκ ἐφ' ὧν τὸ Δ, πάντως ἐπὶ τούτων καὶ τὸ Β, ἐπειδὴ δέδεικται, ὅτι, ἐφ' ὧν τὸ Δ, ἐπὶ τούτων ἐνδέχεται καὶ τὸ Α. εἰ γάρ, ἐφ' ὧν μὲν τὸ Α, ἐπὶ τούτων ἐνδέχεται καὶ τὸ Δ, ἐφ' ὧν δὲ τὸ Δ, ἐπὶ τούτων πάντως καὶ τὸ Β, ἐφ'

10 ἐναργείας P 18 τῷ β̄ Phil. f. 93v: τὸ β̄ P 20 ᾱ prius Phil.: δ̄ P
22 ὑπάρχειν Phil.: ὑπάρχει P 30 οὐχ Phil.: om. P 34 γὰρ Phil.: δὲ P 35 ᾧ Phil.: ὡς P 36 τούτων δὲ Phil.

ὧν ἄρα τὸ Α, ἐπὶ τούτων καὶ τὸ Β, ὅπερ ἀδύνατον· ἀντιφατικῶς γὰρ ἀντίκειται τὸ Α καὶ τὸ Β.

Ἐπειδὴ δὲ ἐδείξαμεν, ὅτι ἡ ἀκολούθησις τῶν προτάσεων τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως ἀντιστρόφως ἔχει, λέγω δὴ ὅτι τῇ ἁπλῇ καταφάσει ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται καὶ ἀνάπαλιν τῇ ἐκ μεταθέσεως καταφάσει ἡ ἁπλῆ ἀπόφασις, καὶ ὅτι οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕπονται ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ. ἀπάτην τινὰ ἴσως γενησομένην τισί, δι' ἧς δόξειε δέχεσθαι κατὰ τὸν αὐτὸν στοῖχον εἶναι μὴ μόνον τῷ Γ τὸ Α ἕπεσθαι ἀλλὰ καὶ τῷ Δ τὸ Β, θήσειν μοι δοκῶ καὶ ἀπελέγξαι, ὡς διὰ πάντων τὸν περὶ τῆς ἀκολουθήσεως λόγον ἀληθῆ δείκνυσθαι, καὶ δι' ὧν αὐτόθεν δέδεικται, καὶ δι' ὧν οἱ τὸ ἐναντίον κατασκευάζοντες λόγοι ἐλέγχονται. συμβαίνει οὖν ἡ τοιαύτη ἀπάτη, εἰ μὴ καλῶς ληφθείη τὰ ἀντικείμενα, οἷον εἴ τις νομίσοι, ὅτι ἐνδέχεται τοῦ Α καὶ τοῦ Β μίαν εἶναι ἀπό- 182v
φασιν τὴν αὐτήν, τὸ Ζ, κοινῶς ἀμφοτέρων καὶ ἰδίᾳ ἑκατέρου. οἷον ἔστω τὸ μὲν Β 'ἔστιν ἀγαθόν', τὸ δὲ Α 'οὐκ ἔστιν ἀγαθόν'· τούτων ἀμφοτέρων μία ὑποκείσθω ἀπόφασις τὸ Ζ τὸ 'οὔτε ἔστιν ἀγαθὸν οὔτε οὐκ ἔστιν ἀγαθόν'. πάλιν τοῦ Γ καὶ τοῦ Δ, λέγω δὴ τοῦ 'ἔστιν οὐκ ἀγαθόν' καὶ 'οὐκ ἔστιν ⟨οὐκ⟩ ἀγαθόν' ἀπόφασις τὸ Θ τὸ 'οὔτε ἔστιν οὐκ ἀγαθὸν οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν'. τούτων οὕτως ἐχόντων δειχθήσεται, ὅτι, ὥσπερ τῷ Γ τὸ Α ἕπεται, οὕτω καὶ τῷ Δ τὸ Β. ἐπεὶ γὰρ τὸ Ζ ἀποφατικόν ἐστι τοῦ Α, ἐπὶ παντὸς δὲ ἢ τὸ Α ἢ τὸ Ζ, διὰ τὰ αὐτὰ δὲ ἐπὶ παντὸς ἢ τὸ Γ ἢ τὸ Θ, ὑπόκειται δέ, ὅτι, ᾧ τὸ Γ ὑπάρχει, τούτῳ παντὶ ἕπεται τὸ Α, ἀνάγκη πᾶσα καὶ ᾧ τὸ Ζ, τούτῳ παντὶ τὸ Θ ὑπάρχειν. ἐπειδὴ γὰρ ἐπὶ παντὸς ἢ τὸ Θ ἢ τὸ Γ, εἰ μὴ τὸ Θ ὑπάρχει τούτῳ, ᾧ ὑπάρχει τὸ Ζ, τὸ Γ ὑπάρξει· ἀλλ' εἰ ᾧ τὸ Ζ, τούτῳ καὶ τὸ Γ, ᾧ δὲ τὸ Γ, τούτῳ ὑπόκειται τὸ Α, ᾧ ἄρα τὸ Ζ, τούτῳ καὶ τὸ Α ὑπάρξει, ὅπερ ἀδύνατον· ἀντίφασις γὰρ τὸ Α, Ζ. εἰ οὖν, ᾧ τὸ Ζ, τούτῳ τὸ Γ οὐκ ἐνδέχεται, ἀνάγκη δήπου τὸ Θ· ἐπὶ παντὸς γὰρ ἢ τὸ Γ ἢ τὸ Θ. πάλιν ἐπειδὴ τὸ Ζ ἀπόφασίς ἐστι τοῦ Β, παντὶ ἄρα ἢ τὸ Β ἢ τὸ Ζ· διὰ τὰ αὐτὰ καὶ ἐπὶ παντὸς ἢ τὸ Δ ἢ τὸ Θ· δέδεικται δέ, ὅτι, ᾧ τὸ Ζ, τούτῳ καὶ τὸ Θ· ᾧ ἄρα τὸ Δ, τούτῳ καὶ τὸ Β. εἰ γάρ, ᾧ τὸ Δ, τούτῳ μὴ ὑπάρχει τὸ Β. ἐπειδὴ ἐπὶ παντὸς ἢ τὸ Β ἢ τὸ Ζ, ᾧ ἄρα τὸ Δ, τούτῳ τὸ Ζ ὑπάρχει· ἀλλ' ᾧ τὸ Ζ ὑπάρχει, τούτῳ δέδεικται καὶ τὸ Θ ὑπάρχον· ᾧ ἄρα τὸ Δ, τούτῳ καὶ τὸ Θ ἡ ἀντίφασις, ὅπερ ἀδύνατον· οὐκ ἄρα, ᾧ τὸ Δ, τούτῳ τὸ Ζ· λείπεται ἄρα τὸ Β. εἰ οὖν, ᾧ τὸ Δ, τούτῳ τὸ Β, ὑπόκειται δὲ καὶ ᾧ τὸ Γ, τούτῳ καὶ τὸ Α, καθ' ἕνα ἄρα καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕψονται ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ· τοὐναντίον δὲ δέδεικται πρότερον. ὁ μὲν οὖν τρόπος τῆς ἀπάτης τοιοῦτος. συνέβη δὲ διὰ τὸ κακῶς εἰλῆφθαι τὸ Ζ ἀπόφασιν εἶναι τοῦ τε Α καὶ τοῦ Β, ὁμοίως τὸ Θ τοῦ τε Γ καὶ τοῦ Δ· ψεῦδος γάρ, ὅτι ἐπὶ πάντων ἢ τὸ Α ἢ τὸ Ζ καὶ πάλιν ἢ τὸ Β

8 δόξειεν ἐνδέχεσθαι Phil. f. 94r εἶναι om. Phil. 10 ἀκολουθήσεως Phil.: ἀληθείας P 14 ἑκατέρου Phil.: ἑκατέρα P 17 οὐκ tertium Phil.: om. P 20 τῷ Phil.: τὸ P 22 τούτῳ scripsi: τούτων P (τοῦτο Phil.) 29 καὶ prius P: δὲ Phil.

ἢ τὸ Ζ. ὁμοίως καὶ ἐπὶ τῶν Γ Δ Θ. τοῦ γὰρ 'ἔστιν ἀγαθόν', ὅπερ ἦν τὸ Α, ἀπόφασίς ἐστι τὸ 'οὐκ ἔστιν ἀγαθόν' ⟨,οὐ μὴν τὸ 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν'· ἀδύνατον γάρ ἐστί τι, ὃ οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν,⟩ ἀλλὰ πάντως θάτερον | ἀνάγκη. ὁμοίως δὲ οὐδὲ τοῦ Β, ὅπερ 183ᵛ
ἦν τὸ 'οὐκ ἔστιν ἀγαθόν', ἀπόφασις ἦν τὸ Ζ τὸ 'οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν'· περιείληπται γὰρ ἐν τῷ Ζ τὸ Β· τὸ γὰρ 'οὐκ ἔστιν ἀγαθόν' ταὐτόν ἐστι τῷ 'οὔτε ἀγαθόν ἐστιν'. ὁμοίως οὐδὲ τὸ Θ ἀπόφασις δειχθήσεται ἢ τοῦ Γ ἢ τοῦ Δ. τούτου δὲ συγκεχωρημένου ἡ ἀπάτη προήει· ὥστε διὰ τὸ μὴ καλῶς εἰλῆφθαι τὰ ἀντικείμενα. λέγω δὴ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας, ἡ πλάνη γέγονε. ταῦτα δὲ καθόλου παρεθέμην πρὸς ἔνδειξιν τοῦ δεῖν ἀκριβῶς τὰς ἀντιθέσεις καὶ ἀντιφάσεις λαμβάνειν, ἐπεὶ δόξει τοῖς μὴ μετ' ἐπιστάσεως λαμβάνουσιν ἄλλως τινὰ ἔχειν δύνασθαι τῶν ἀποδεδειγμένων.

Τέλος τῶν Προτέρων ἀναλυτικῶν.

1 ᾱ Phil.: ε̄ P 2 οὐ μὴν . . . ἀγαθόν (4) Phil.: om. P 4 τοῦ Phil.: τὸ P 7 ἐστι Phil.: τε P 8 ὃ Phil.: ᾱ P προήει scripsi: προίη P (προείη Phil.) 10 ταῦτα . . . ἀποδεδειγμένων (12) Al. 418,17—20

ANONYMI
IN ARISTOTELIS
SOPHISTICOS ELENCHOS
PARAPHRASIS

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

MICHAEL HAYDUCK

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMER
MDCCCLXXXIV

PRAEFATIO

Paraphrasis in Sophisticos elenchos, quam postremam in hoc commentariorum volumine edimus, Sophoniae in libros de Anima paraphrasi ratione ipsa interpretandi tam similis est, ut ab eodem Sophonia eam scriptam esse Valentinus Rose probabiliter coniciat.[1]) accedit, quod insolitae quaedam et locutiones et formae verborum, quibus utitur Sophonias[2]), etiam in hoc libello reperiuntur.

Paraphrasin qui primus edidit[3]) Leonardus Spengel multa inesse bona recte iudicat. maximi autem momenti sunt ea ipsa verba, quae vir illustrissimus gravi reprehensione notat p. 40,14 τῷ Πλατωνικῷ διαλόγῳ: quae in hac sola paraphrasi servata docent Cleophontem illum, quem Aristoteles p. 174ᵇ27 dicit, non poëtam Cleophontem esse (cf. Bonitz Ind. Arist. p. 393ᵇ53) sed personam Mandrobuli dialogi.[4]) reliqua quamquam leviora

[1]) In Hermae vol. II p. 210. cf. quae nos in Soph. de An. et Paraphr. Categ. praefati sumus.

[2]) Soph. de An. p. 43,12 haec leguntur: εἰ δὲ δεῖ που διὰ τὸ σαφὲς καὶ ὑποδείγμασι χρήσασθαι, διπλᾶ προσθήσομεν, ἵν' ᾖ καὶ φιλότιμον κτλ.; cf. Paraphr. in Soph. el. p. 50,21 ὑπερβαίνοντες δὲ καὶ τοῦτο ὡς ἧττον συμβαῖνον τοῖς προκειμένοις (φιλοτιμούμενοι γὰρ ἐν τοῖς παραδείγμασιν ἔστιν οἷς οὐκ ἀκριβολογούμεθα) ἐκεῖνο προστίθεμεν κτλ. — Soph. p. 47,10: ἡμεῖς δ' ἂν τοῦτο καὶ πρῶτον ἐθήκαμεν τὸ παράδειγμα (scil. τὸν τοῦ τετραγωνισμοῦ ὁρισμόν) καὶ μόνῳ ἠρκέσθημεν ἀκριβοῦντι τὴν τῶν κειμένων διάνοιαν, εἰ μὴ ἐκεῖνο δήπουθεν εὐλαβήθημεν θορυβῆσαι καὶ ξενοφωνῆσαι τοῖς ἀγεωμετρήτως ἡμῖν (C ὑμῶν) ἐντυγχάνουσιν. cf. Paraphr. in Soph. el. p. 29,35 ἐπεὶ δὲ πραγματειωδεστάτη ἡ τοιαύτη ἀπόδειξις τοῖς ἀγεωμετρήτως ὑμῶν ἐντυγχάνουσιν, παρεῖται. qui consensus eo magis notandus est, quod v. ἀγεωμετρήτως tam inusitatum est, ut adhuc ne in lexicis quidem exstet. — formae ἐσεῖται, νηός (νῆα), de quibus cf. Praef. in Sophon. p. VIII, occurrunt Paraphr. p. 55,26 11,18. 19. — etiam cum Paraphr. Categoriarum, quae ipsa quoque Sophoniae tribuitur, hic libellus uno loco (p. 21,1) ita conspirat, ut ea res mentione non indigna esse videatur. quae enim significationis verborum per accentum aut spiritum mutatae exempla afferuntur, eadem leguntur Paraphr. Categ. p. 2,35, praeterquam quod hoc loco pro v. ἅγνος, quod proposito minus convenit, ἁγνώς legitur.

[3]) *Incerti autoris Paraphrasis Aristotelis Sophisticorum Elenchorum. ex codice Monacensi nunc primum edidit D. Leonardus Spengel. Monachii* 1842.

[4]) Erat autem dialogus ille Speusippi. cf. I. Bywater *Journal of Philology* XII 24 sqq.

sunt, tamen ipsa quoque afferunt aliquid non solum ad philosophi verba explanandа, sed etiam ad scripturae vitia tollenda: ut p. 170^{b}24 paraphrasis sola rectam lectionem πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν exhibet (v. p. 26, 27).

Libris manu scriptis in hac editione instituenda quattuor usus sum; qui sunt:

L I Laurentianus LXXI 32 (de quo cf. Praef. ad Soph. p. VIII Praef. in Paraphr. Categ. p. IV), forma quadrata, chartaceus, saeculi XIV. ceteris libris longe praestat. verba nonnunquam eadem manu correcta sunt. contulit hunc librum H. Vitelli Florentinus.

P II Parisinus 1831 Graecus, saeculo XV, ut videtur, exaratus. continet initium Paraphrasis usque ad p. 10, 24, ex bono aliquo libro, qui a Laurentiano non multum differret, descriptum. contulit P. Corssen Eutinensis.

N III Neapolitanus III E 12, chartaceus, saeculi XV, foliorum CXXVIII, quorum prima XXXXVII Paraphrasin continent. correcturae, quae multae passim occurrunt, praeter unam (p. 13, 34) omnes eiusdem manus sunt, quae librum scripsit. contulit E. Schwartz Gottingensis.

M IV Monacensis XXXVIII Graecus (de quo cf. I. Hardt catalogus codd. mss. Graecorum bibl. regiae Bavaricae I 198—202) chartaceus, forma maxima, saeculi XVI, foliorum CCCLXXXVII. ex hoc L. Spengel paraphrasin edidit.

Codices M et N a Laurentiano originem ducere ex hoc conicere licet, quod ea ipsa verba, quae illi p. 49, 3. 4 omittunt, in hoc unius versus spatium occupant. quae praeterea in iis ab L differunt, ea nonnunquam interpolatoris manum aperte produnt; ut p. 29, 34 quadratura circuli per lunulas, quam paraphrastes falso Antiphonti tribuit, in codicibus M N Hippocrati redditur. sed pauca quaedam sunt talia, ut in vetustiore libro, unde M N derivati sunt, Laurentiani scripturam ex alio eoque bono exemplo correctam fuisse existimandum sit.

Quae paraphrastes ad philosophi verba ipse adicit, ea maxime Alexandri (vel potius Michaelis Ephesii) commentariis nituntur, ex quibus, quae in libris corrupta sunt, nonnunquam facile emendari potuerunt.

Scriptum Marienburgo
a. d. XVIII Kal. Oct. MDCCCLXXXIII Michael Hayduck.

ANONYMI
IN ARISTOTELIS
SOPHISTICOS ELENCHOS
PARAPHRASIS

ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΗΝ ΣΟΦΙΣΤΙΚΗΝ. 1

Οὐκ αὐτόθεν τοῖς φιλοσοφοῦσι τὸ περὶ τὴν σοφιστικὴν πραγματεύεσθαι, ὅτι μηδὲ προύργου τοῖς θεωροῦσι τὸ ἀληθὲς ἡ τοῦ ψεύδους εὕρεσις καὶ κατάληψις. ἀλλ' ὥσπερ τοῖς κατὰ τὴν ἰατρικὴν οὐκ ἀπέχρησε περὶ ὑγείας καὶ ὑγιεινῶν εἰποῦσι παραλιπεῖν ὅ τι νόσος καὶ ἀφ' ὧν αἰτίων πρόεισιν (οὐ γὰρ ἀσφαλῶς εἶχε πολλῶν πρὸ τῶν ὠφελούντων διὰ τὴν ἄγνοιαν περιπιπτόντων τοῖς χείροσιν ὡς μᾶλλον προβεβλημένοις καὶ μᾶλλον ἀπαντῶσι κατὰ τὴν αἴσθησιν· ἔστι δ' ἃ καὶ τῶν δηλητηρίων καὶ φθοροποιῶν ἐπὶ τὸ εὖ τῇ τέχνῃ προσείληπται). οὕτω κἀνταῦθα. τῷ γὰρ τὴν τῶν ὄντων ἐπιστήμην ζητοῦντι μᾶλλον ἂν τοῦ ἀληθοῦς ἡ τεῦξις καὶ ἔγγιον, καθ' ὅσον ἂν ἐκποδὼν ἀπάτη καὶ ψεῦδος γένοιτο. τοῦτο δὲ τῷ εἰδέναι· λάθοι γὰρ ἄν τις ἀγνοῶν ἀντὶ τοῦ ἀληθοῦς τῆς ἀπάτης ἐχόμενος. καὶ δὴ τούτοις ἂν καὶ τοὺς ἐπ' αὐτὸν χρωμένους ὡς εἰδὼς ἀποκρούσαιτο. τό τε περὶ πάντα γεγυμνάσθαι οὐκ ἄχρηστόν ἐστιν. ἐπεὶ δὲ σοφίαν | μὲν ἐπιστήμην τῆς ἐν 2
τοῖς οὖσιν ἀληθείας τιθέμεθα. τὸ δὲ δι' ἀπόδειξιν. ἀπόδειξις δὲ συλλογισμὸς τοιόσδε τις, εἴη ἂν δήπου καὶ ἔλεγχος ἀληθὴς ὁ τῇ ἀποδείξει σύστοιχος καὶ ἑπόμενος καὶ βοηθῶν κἀκ τῶν ἀντικειμένων τὸ αὐτὸ αὐτῇ περαινόμενος. οὗτος δὲ ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ τἆλλα ἃ δὴ προσδιοριζόμεθα, ἣν καὶ εἰς ἀδύνατον ἀπαγωγὴν ἐν ἑτέροις ἐλέγομεν. πρὸς τὸν ἐνιστάμενον ἐπὶ τὸ ἀποδεικτικῶς συναγόμενον τὸ τοῦ ἀληθοῦς 10
συμπεράσματος λαμβάνοντες ἀντικείμενον καὶ μίαν τῶν κειμένων προτάσεων συνήγορόν τι ἄτοπον καὶ ἀδύνατον. ἐξ ὧν αὐτὸς ἔδωκεν. ὡς ἐντεῦθεν τὸ πρότερον συνεισάγεσθαι καὶ τὰς ἀποδείξεις ἐρρῶσθαι. ὅσαι δὲ κατ' εὐθεῖαν

1 Titulum exhibent LMN, omittit P, qui superscripta habet τὸ ἐπίγραμμα οὐ γέγραπται. διὰ τὸ τινὰς μὲν λέγειν εἶναι τὴν ἐξήγησιν συμπλικίου. τινὰς δὲ ἰωάννου τοῦ φιλοπόνου 3 μὴ P 5 εἰποῦσι ex εἰποῦσα corr. N 8 φθορῶν LMN. 9 γὰρ] καὶ M 11 τῷ] ἐστι M: ἐστι τὸ N 12 ἀντ' ἀληθοῦς MN δὴ] δεῖ L τούτους MN 13 τοὺς ἐπ' αὐτὸν χρωμένους scripsi: τοὺς ὑπ' αὐτὸν χρωμένους L: τοὺς αὐτοῖς χρωμένους MN: τοῖς ἐπ' αὐτὸν χρωμένοις P 14 τῆς ex τοῖς corr. LP 17 τῶν ἀδικημένων P 20 ἐνστάμενον P: ἀνιστάμενον M 22 συνάγομεν MN

ἀποδείξεις, τοσαῦται καὶ εἰς ἀδύνατον. εἰ δ' αὗται ἄπειροι τῷ ἀεὶ ἐπι- 2
στήμας γίνεσθαι, εἰ τὸ πᾶν ἀίδιον, κἀκεῖναι. ὥστε οὐκ ἂν εἴη πραγματεία
περὶ τῶν ἀληθινῶν ἐλέγχων· δεήσει γὰρ πρότερον τῶν ἐπιστημῶν ἁπάσας
ἔχειν, ὡς καὶ προϊοῦσι φανήσεται.

1. Περὶ μέντοι τῶν σοφιστικῶν καὶ τῶν φαινομένων μὲν ἐλέγχων, 21
ὄντων δὲ παραλογισμῶν καὶ οὐκ ἐλέγχων, ἐπεὶ κατ' εἶδη πεπέρανται καὶ
μίαν ἐπιστήμην τὴν διαλεκτικὴν ὑποδύονται, λέγομεν ἀρξάμενοι κατὰ φύσιν
ἀπὸ τῶν πρώτων. καίτοι γε ἄλλως δήπου καὶ τὸ ψεῦδος ἄπειρον· ἀπείρως
γὰρ ὁ προστυχὼν ἀπατηθήσεται, καὶ εἰς ὅσα ἀληθεύομεν, καὶ ψευσαίμεθα·
ἐναντία γάρ, ἴσα | δὲ ταυτὶ καὶ ἀντίρροπα. ὥστε οὐδὲ περὶ αὐτῶν πάντων 3
εἰπεῖν προεθέμεθα ἀλλὰ περὶ μόνων ὧν προειρήκειμεν τῶν διαλεκτικῶν.
ὅτι μὲν οὖν οἱ μέν εἰσι συλλογισμοί, οἱ δὲ οὐκ ὄντες δοκοῦσι, φανερόν.
ὥσπερ γὰρ καὶ ἐπὶ τῶν ἄλλων τοῦτο γίνεται διά τινος ὁμοιότητος, καὶ ἐπὶ
τῶν λόγων ὡσαύτως ἔχει. καὶ γὰρ τὴν ἕξιν οἱ μὲν ἔχουσιν εὖ, οἱ δὲ φαί-
νονται φυλετικῶς φυσήσαντες καὶ ἐπισκευάσαντες ἑαυτούς, καὶ καλοὶ οἱ
μὲν διὰ κάλλος, οἱ δὲ φαίνονται κομμώσαντες ἑαυτούς. ἐπί τε τῶν ἀψύχων 10
ὡσαύτως· καὶ γὰρ τούτων τὰ μὲν ἄργυρος τὰ δὲ χρυσός ἐστιν ἀληθῶς, τὰ
δὲ ἔστι μὲν οὔ, φαίνεται δὲ κατὰ τὴν αἴσθησιν, οἷον τὰ μὲν λιθαργύρινα
καὶ τὰ κασσιτέρινα ἀργυρᾶ, τὰ δὲ χολοβάφινα χρυσᾶ. τὸν αὐτὸν δὴ τρόπον
καὶ συλλογισμὸς καὶ ἔλεγχος ὁ μέν ἐστιν, ὁ δὲ ἔστι μὲν οὔ, φαίνεται δὲ
διὰ τὴν ἀπειρίαν τῶν προσδιαλεγομένων· οἱ γὰρ ἄπειροι ὥσπερ ἀπέχοντες
πόρρωθεν θεωροῦσιν. ὁ μὲν γὰρ συλλογισμός, εἴπερ καὶ μέμνησθε διο- 20
ρισαμένων τοῦτον ἡμῶν. λόγος ἦν, ἐν ᾧ τεθέντων τινῶν εἶτ' οὖν ὁμολο-
γηθέντων (ταῦτα δὲ αἱ προτάσεις) ἕτερόν τι τῶν κειμένων (τοῦτο δὲ τὸ
συμπέρασμα) συνέβαινε τῷ ταῦτα εἶναι, τὸ δὲ τῷ ταῦτα εἶναι διὰ τὸ
μηθὲν ἔξωθεν δεῖσθαι πρὸς τὸ συναγαγεῖν τὸ συμπέρασμα· ἔλεγχος δὲ ὡς
ἀκωτέρω συλλογισμὸς μετ' ἀντιφάσεως τοῦ συμπεράσματος. οἱ δὲ σοφισταὶ 4
τοῦτο ποιοῦσι μὲν οὔ (οὔτε γὰρ ἀληθῶς συλλογίσαιντ' ἂν οὔτ' ἐλέγξαιεν),
δοκοῦσι δὲ διὰ πολλὰς αἰτίας, ὧν εἷς ἐστι τόπος αὐτοῖς εὐφυέστατος καὶ
δημοσιώτατος ὁ διὰ τῶν ὀνομάτων. ἐπεὶ γὰρ οὐκ ἔστι διαλεγομένους φέ-
ρειν αὐτὰ καθ' αὑτὰ τὰ πράγματα, ἀλλὰ τοῖς ὀνόμασιν ἀντὶ τῶν πραγμάτων
χρώμεθα συμβόλοις, τὸ συμβαῖνον ἐπὶ τῶν ὀνομάτων καὶ ἐπὶ τῶν πραγμά-
των ἡγούμεθα συμβαίνειν. καθάπερ ἐπὶ τῶν ψήφων τοῖς λογιζομένοις. τὸ 10
δὲ οὐκ ἔστιν ὅμοιον. τὰ μὲν γὰρ ὀνόματα πεπέρανται καὶ τὸ τῶν λόγων
πλῆθος, εἴπερ καὶ ἐξ ἀρχῶν πεπερασμένων τῶν εἴκοσι τεσσάρων στοιχείων.
τὰ δὲ πράγματα διὰ τὸ ἀεὶ γίνεσθαι τῷ ἀριθμῷ ἄπειρα. ἀνάγκη οὖν πλείω
τῶν πραγμάτων τὸν αὐτὸν λόγον καὶ τὸ ἓν ὄνομα σημαίνειν. ὥσπερ οὖν
ἐκεῖ οἱ μὴ δεινοὶ τὰς ψήφους φέρειν μηδὲ ψηφολογεῖν ἐπαΐοντες αὐτοί τε
ὑπ' αὐτῶν καὶ ὑπὸ τῶν ἐπιστημόνων καὶ ψηφηφορικῶν παρακρούονται 20

---

8 ἄλλων P 10 ταυτὴ N 11 προειρήκαμεν M 16 τε] τί P 18 οὔ, οὖν P μὲν om. MN 23 τοῦτον L: τούτων P: om. MN ἡμῖν P 29 εὐφυέστατος ex ἐμφυέστατος corr. N 30. 31 φέρων P 35 στοιχίων P post στοιχείων add. ἐστὶ MN 36 ἀνάγκει P

(λάθοι γὰρ ἂν τῷ τάχει τῆς μεταθέσεως, εἰ τοῖς δακτύλοις τοὺς ἀριθμοὺς 4
ἐπισημαίνοι ὁ τῆς λογιστικῆς ἔμπειρος δανειστὴς ἀπατήσας καὶ ζημιώσας
τὸν λαμβάνοντα ἀμαθῶς ὁρῶντα καὶ προσομολογοῦντα), τὸν αὐτὸν δήπου
τρόπον καὶ ἐπὶ τῶν λόγων οἱ τῶν ὀνομάτων τῆς δυνάμεως ἄπειροι καὶ
5 τοῦ ποσαχῶς ἕκαστον λέγεται παραλογίζονται καὶ αὐτοὶ διαλεγόμενοι καὶ
ἄλλων ἀκούοντες. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν καὶ τὰς λεχθησομένας 5
ἔστι καὶ συλλογισμὸς καὶ ἔλεγχος φαινόμενος μὲν οὐκ ὢν δέ. ἐπεὶ δ' ἐστὶ
τισὶ μὲν πρὸ ἔργου δοκεῖν μᾶλλον εἶναι σοφοῖς ἢ εἶναι καὶ μὴ δοκεῖν (ἔστι
γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δὲ οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς
10 ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης, οἷον ἐν τοῖς ἀρχαίοις Γοργίας Ἱππίας
Πρωταγόρας καὶ Πρόδικος). δῆλον ὅτι ἀναγκαῖον τούτοις καὶ τὸ τοῦ σοφοῦ
ἔργον δοκεῖν ποιεῖν μᾶλλον ἢ ποιεῖν καὶ μὴ δοκεῖν. οὐ μέντοι γε κατὰ 10
τὰ αὐτὰ καὶ οἱ φιλοσοφοῦντες ὀρθῶς, ἀλλ' ὡς πρὸς μόνον τὸ ἀληθὲς
ὁρῶντες ἄνευ ἀπάτης τὰς πρὸς ἀλλήλους διαλέξεις καὶ συνουσίας ποιήσονται.
15 ἔστι γὰρ ὡς εἰπεῖν ἓν πρὸς ἓν ἔργον τοῦ ἐπιστημονικῶς διαλεγομένου καὶ
περὶ ἕκαστον ἀκριβῶς εἰδότος· ἐπεὶ γὰρ ἢ ἐρωτᾷ ἢ ἀποκρίνεται, καὶ
ἀμφότερα ὀρθῶς. δεήσει ἐρωτῶντα μὲν οἷς ἐρωτᾷ ἀψευδεῖν καὶ περὶ ὧν
ὡς εἰδὼς προτείνεται, ἀποκρινόμενον δὲ δύνασθαι ἐμφανίζειν τὸν ψευδόμενον.
ταῦτα δέ ἐστι τὸ μὲν ἐν τῷ δύνασθαι λαμβάνειν λόγον. τὸ δὲ ἐν τῷ δοῦναι. 20
20 καὶ τὸ μὲν ὀρθὴ ἐρώτησις τὸ δὲ ὀρθὴ ἀπόκρισις. ἀλλ' ὅπερ ἐλέγομεν, ὡς
ἀνάγκη τοῖς βουλομένοις σοφιστεύειν τὸ τῶν εἰρημένων λόγων γένος ζητεῖν·
πρὸ ἔργου γάρ ἐστιν· ἡ γὰρ τοιαύτη δύναμις ποιήσει φαίνεσθαι οὗ τυγχάνουσι
τὴν προαίρεσιν ἔχοντες.

Ὅτι μὲν οὖν ἐστί τι τοιοῦτον λόγων γένος καὶ ὅτι τοιαύτης ἐφίενται
25 δυνάμεως οὓς καλοῦμεν | σοφιστάς, δῆλον. πόσα δέ ἐστιν εἴδη τῶν λόγων 6
τῶν σοφιστικῶν καὶ ἐκ πόσων τὸν ἀριθμὸν ἡ δύναμις αὕτη συνέστηκε καὶ
ποῖα καὶ πόσα μέρη τυγχάνει τῆς πραγματείας ὄντα καὶ περὶ τῶν ἄλλων
τῶν συντελούντων εἰς τὴν τέχνην ταύτην λέγομεν.

2. Ἔστι δὴ συλλογισμῶν εἴδη τέσσαρα, διδασκαλικοὶ οἵπερ καὶ ἀπο-
30 δεικτικοί, διαλεκτικοί, πειραστικοί, ἐριστικοὶ οἱ καὶ σοφιστικοὶ καὶ φαινόμενοι. 10
τριττὰ δὲ καὶ τὰ πράγματα ἐν οἷς οἱ λόγοι· ἢ γὰρ πάντη ἀληθῆ ἢ πάντη
ψευδῆ ἢ μέσα, ἃ δήπου καὶ πιθανὰ καλεῖται καὶ ἔνδοξα. ἔσονται μὲν
οὖν οἱ διδασκαλικοὶ καὶ ἀποδεικτικοὶ περὶ τὰ πρῶτα· ἐκ γὰρ τῶν οἰκείων
ἀρχῶν ἑκάστου μαθήματος ὡρισμένων καὶ τεταγμένων οὐσῶν καὶ οὐκ ἐκ
35 τῶν τοῦ ἀποκρινομένου δοξῶν συλλογίζονται (δεῖ γὰρ πιστεύειν τὸν μαν-
θάνοντα). καὶ ἐξ αὐτοπίστων καὶ αἰτιωδῶν καὶ ἀναγκαίων προτάσεων συμ-
περαίνουσι. περὶ δὲ τὰ μέσα καὶ πιθανὰ οἱ διαλεκτικοὶ ἐκ τῶν ἐνδόξων 20
συλλογιζόμενοι καὶ συνακτικοὶ ἀντιφάσεως· ἔνδοξα δὲ ἢ τὰ δοκοῦντα πᾶσιν

2 ἐπισημαίνει MNP 8 πρὸ ἔργως P μᾶλλον om. LP 14 ποιήσοντα P
17 οἷς] εἷς M 18 ὡς om. M ἐμφανίζειν—δύνασθαι (19) om. P 19 τὰ δὲ N
20 ὡς om. MN 21 ἀνάγκει P 22 φαίνεσθαι σοφοὺς Aristoteles 24 τι
om. MN 29 δὲ M διδασκαλικὸς N 30 διαχρηστικοί P 32 καὶ (post
δήπου) om. MN

ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς. ἐπὶ τοῖς αὐτοῖς δέ πως καὶ οἱ πειραστικοί, 6
πλὴν ἐκεῖνο διοίσαιεν, ὡς οὐκ ἐκ τῶν κοινῶν δοξῶν ἢ τῶν τοῖς πλείοσιν,
ἀλλ' ἐκ τῶν τοῦ ἀποκρινομένου καὶ ἀφ' ὧν ἀναγκαῖον εἰδέναι τῷ προσ-
παιζομένῳ ἔχειν τήνδε τὴν ἐπιστήμην. ἐφ' ἣν ἡ πεῖρα προσάγεται· ὃν δὲ
5 τρόπον. εἴρηται ἐν ἑτέροις. ὁ γὰρ διαλεκτικὸς ἕως μὲν ἐπὶ τῶν κοινῶν 7
ἵσταται λόγων καὶ ὑπολήψεων, αὐτὸ τοῦτο ὃ λέγεται καὶ ἔστιν· ὅταν δὲ
πρός τινα τέχνην ἀποτεμόμενος ἔλθῃ, οἷον γεωμετρίαν ἢ μουσικὴν ἢ
γραμματικὴν ἢ ἑτέραν τὴν ὁποιανοῦν (δύναμις γὰρ αὐτῷ περὶ παντὸς τοῦ
προτεθέντος ἐπιχειρεῖν) καὶ πειρᾷτο τὸν κατ' αὐτὴν ἐλέγχειν πραγματευό-
10 μενον καὶ δεικνύειν ἔκ τινων τῆς τέχνης λημμάτων καὶ οἷς αὐτὸς ἔθετο μὴ
ἐπαίοντα καὶ περίισταται προσεπηρεάζων, αὐτός τε ἂν εἴη πειραστικὸς ἥ τε 10
πειραστικὴ διαλεκτική τις. ἐριστικοὶ δὲ καὶ φαινόμενοι ἔλεγχοι καὶ συλλο-
γισμοὶ περὶ τὰ ψευδῆ· καὶ πῶς μὲν ταὐτό, εἶεν δ' ἂν καὶ διαφέροντες,
ὡς ἐριστικοὺς μὲν καὶ σοφιστικοὺς τοὺς τὸ σχῆμα ὑγιεῖς καὶ τὸ εἶδος
15 σώζοντας τὸ συλλογιστικὸν οἴεσθαι, περὶ δὲ τὴν ὕλην ἁμαρτάνοντας, φαινο-
μένους δὲ τὸ ἔμπαλιν ὑγιαίνοντας μὲν τὴν ὕλην, ἐκκλίνοντας δὲ τὴν παρά-
δοσιν ὡς συνισταμένους ἢ ἐκ μόνων μερικῶν ἢ καὶ ἀποφατικῶν, ἢ καὶ
ὁμοιοσχήμονας ἐν δευτέρῳ σχήματι τὰς προτάσεις λαμβάνοντας. τοῦ προ- 20
τέρου παράδειγμα· ὁ χιτὼν οὗτος ἀνδρεῖος, ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει, οὗτος
20 ὁ χιτὼν ἄρα ἀνδρείαν ἔχει. τοῦ δευτέρου· ὁ ἄνθρωπος ζῶον, ὁ ἵππος
ζῶον, ὁ ἄνθρωπος ἄρα ἵππος. διαφέροι δ' ἂν καὶ συλλογισμὸς καὶ ἔλεγχος
πρῶτον τῷ κοινῷ καὶ ἰδίῳ· ὁ γὰρ ἔλεγχος συλλογισμός τις· δεύτερον τῷ
ἀνομοίους ἐξ ἀνάγκης τὸν ἔλεγχον ἀεὶ τὰς προτάσεις ἔχειν. τὴν μὲν ἀληθῆ 8
τὴν δὲ ψευδῆ, καὶ τὸ οἰκεῖον συμπέρασμα ψευδὲς ἀεί· καὶ πρὸς τούτοις
25 τῷ περιϊστᾶν εἰς ἀντίφασιν ἐπί τε προηγησαμένῃ ἀποδείξει συνίστασθαι
καὶ πρός τινα· πρὸς γὰρ τὸν ἀναιροῦντα τὸ συμπέρασμα· ὧν οὐδὲν ὡρι-
σμένως ὁ ἁπλῶς ἕξει συλλογισμός. περὶ μὲν οὖν τῶν ἀποδεικτικῶν λόγων
καὶ συλλογισμῶν ἐν τοῖς δευτέροις εἴρηται τῶν Ἀναλυτικῶν, περὶ δὲ τῶν
διαλεκτικῶν καὶ πειραστικῶν ἐν τοῖς Τοπικοῖς, περὶ δὲ τῶν ἀγωνιστικῶν καὶ 10
30 ἐριστικῶν νῦν εἰπεῖν ἐπιβάλλομεν. εἰς τρία δὲ καὶ τὴν ἅπασαν πραγματείαν
διείλομεν, εἴς τε τὴν γένεσιν τῶν σοφισμάτων καὶ τὴν τῶν εἰδῶν καὶ τρόπων
τῆς μεθόδου διδασκαλίαν καὶ ἔκθεσιν καὶ ἐξ ὅσων ὡς ἐκ στοιχείων ἀπάτη
γίνεται, καὶ ἔτι ὅπως δεῖ ἐρωτῶντας λήσειν τοὺς ἀπατήσοντας, καὶ τρίτον
ὅθεν ἀσφαλῶς εἴη ἀποκρίνασθαι ἐκκλίνοντας τὰς σοφιστικὰς ἐνοχλήσεις·
35 τοῦτο δ' ἂν εἴη καὶ λύσις ὀρθῶς γινόμενον τῶν σοφιστικῶς προβληθέντων. 20
τοσαῦτα προδιαστείλαντες ἤδη λέγομεν.

3. Πρῶτον δὴ ληπτέον πόσων στοχάζονται οἱ ἐν τοῖς διαλόγοις ἀγωνιζόμενοι καὶ διαφιλονεικοῦντες. ἔστι δὲ πέντε ταῦτα τὸν ἀριθμόν,

---

2 διοίσοιεν M 3 ἐκ τῶν] ἐκ τῶν L: ἐκ μόνου P τῷ ἀποκρινομένῳ Spengel
5 εἴρηται δὲ ἐν L 7 ἀποτεμνόμενος MN 10 οἷς] εἷς M 16 δὲ (post ἐκκλίνοντας) om. N 18 λαμβάνον L 19. 20 ἀνδρίαν MN οὗτος ὁ — ἔχει om. P 21 διαφέρει N 23 ἀνομοίως MN 25 ἐπὶ τῇ P 27 ἁπλὸς P 33 λαθεῖν MN
34 ἂν εἴη MN 35 σοφιστικῶν MN 37 οἱ om. P 38 διαφιλονικοῦντες P

ἔλεγχος. ψεῦδος. παράδοξον. σολοικισμός. πέμπτον τὸ ποιῆσαι ἀδολεσχῆσαι 8
τὸν προσδιαλεγόμενον· τὸ δέ ἐστι τὸ πολλάκις ἀναγκάζεσθαι τὰ αὐτὰ λέγειν.
ὃ δὲ διὰ πάσης τῆς πραγματείας ἰσχυριζόμεθα, καὶ νῦν προδιαστέλλεσθαι
ἀναγκαῖον. ὡς οὐδὲν κατ' ἀλήθειαν τούτων ὃ λέγεται καὶ ἔστιν· οὔτε γὰρ 9
5 ὁ ἔλεγχος ἔλεγχος ἢ τὸ ψεῦδος ψεῦδος καὶ ἐπὶ τῶν ἄλλων οὕτως, ἀλλ' ἢ
τῷ φαίνεσθαι καὶ δοκεῖν τούτων ἕκαστον. μάλιστα μὲν γὰρ προαιροῦνται
φαίνεσθαι ἐλέγχοντες, δεύτερον ψευδόμενόν τι δεικνύναι, τρίτον εἰς παράδοξον
ἄγειν, τέταρτον σολοικίζειν ποιεῖν· σολοικισμὸς δὲ ἐνταῦθα οὐχ ὁ κατὰ τὴν
τοῦ λόγου σύνταξιν καὶ παρὰ γραμματικοῖς, ἀλλὰ τὸ ποιῆσαι τῇ λέξει βαρ-
10 βαρίζειν ἐκ τοῦ λόγου τὸν ἀποκρινόμενον κατὰ μεταλλαγὴν γένους ἢ πτώ- 10
σεως· καὶ τελευταῖον τὸ πλεονάκις τὰ αὐτὰ λέγειν καὶ ἀδολεσχεῖν.

4. Εἴδη δὲ τοῦ μὲν ἐλέγχειν δύο· οἱ μὲν γάρ εἰσι κατὰ τὴν λέξιν,
οἱ δ' ἔξω τῆς λέξεως. ἔστι δὲ τὰ κατὰ τὴν λέξιν ἐμποιοῦντα τὴν φαντα-
σίαν ἓξ τὸν ἀριθμόν· ταῦτα δὲ ὁμωνυμία, ἀμφιβολία, σύνθεσις, διαίρεσις,
15 προσῳδία, σχῆμα λέξεως.

Εἰσὶ δὲ παρὰ μὲν τὴν ὁμωνυμίαν οἱ τοιοίδε τῶν λόγων. ἆρ' οὐχ' οἱ
ἐπιστάμενοι ἑρμηνεύουσι καὶ ἀποστοματίζουσι; ναί. τί δαί, οἱ ἀποστοματ- 20
ίζοντες τὰ ἀποστοματιζόμενα μανθάνουσι; ναί. οἱ ἐπιστάμενοι ἄρα μαν-
θάνουσιν. ὁ δὲ μανθάνων οἷς μανθάνει ἀνεπιστήμων ἐστίν· οἱ ἐπιστήμονες
20 ἄρα ἀνεπιστήμονες. πάλιν, οὐχὶ οἱ ἀμαθεῖς διδάσκονται; ναί. οἱ διδα-
σκόμενοι οὐ μανθάνουσιν; ναί. οἱ ἀμαθεῖς ἄρα μανθάνουσι καὶ οὐχὶ οἱ
ἐπιστήμονες. τὸ γὰρ | μανθάνειν ὁμώνυμον, τό τε ξυνιέναι χρώμενον τῇ 10
ἐπιστήμῃ καὶ τὸ λαμβάνειν ἐπιστήμην. πάλιν, οὐχὶ τὰ δέοντα ἀγαθά;
οὐχὶ τὰ κακὰ δέοντα; τὰ κακὰ ἄρα ἀγαθά. διττὸν γὰρ τὸ δέον τό τε
25 ἀναγκαῖον καὶ πρός τι χρήσιμον, ὃ πολλάκις συμβαίνει ἐπὶ τῶν κακῶν (ἔστι
γάρ τι κακὸν ἀναγκαῖον καὶ πρός τι ὠφέλιμον· πληγαὶ γὰρ καὶ καθείρξεις
καὶ ἀπαγωγαὶ καθ' αὑτὰ ὄντα κακὰ πρὸς τοὺς δεομένους σωφρονισμοῦ
δέοντα. αἱ τε τμήσεις καὶ καύσεις ἐπὶ τῶν μὴ ὑγιῶν σωμάτων συμφέρουσαι). 10
καὶ τὰ καθ' αὑτὰ ἀγαθὰ δέοντά φαμεν, τὴν ἀρετὴν καὶ τὴν σοφίαν. παρὰ
30 τὸ διττὸν οὖν τῆς σημασίας εὗρε χώραν ὁ παραλογισμός. ἔτι, οὐχὶ ὁ κύων
ὁλακτεῖ; ναί. τί δαί; ὁ ἰχθὺς οὗτος οὐχὶ κύων; ναί. ὁ ἰχθὺς ἄρα
ὁλακτεῖ. ἆρα ὁ καθήμενος ἀνίσταται καὶ ὁ κάμνων ὑγιάζεται; ναί. ἀλλὰ
ὁ ἀνιστάμενος ἕστηκε καὶ ὁ ὑγιαζόμενος ὑγιαίνει. ὁ ἄρα καθήμενος καὶ
κάμνων ὁ μὲν ἵσταται, ὁ δὲ ὑγιαίνει. παρὰ τὸν χρόνον ἐνταῦθα τὸ σόφισμα. 20
35 τὸ γὰρ κάμνων ἢ καθήμενος ἢ ὁτιοῦν πάσχων ἢ ποιῶν οὐχ ἓν σημαίνει,
ἀλλ' ὁτὲ μὲν τὸ νῦν κάμνοντα ἢ ὑγιαίνοντα ἢ καθήμενον, ὁτὲ δὲ ὃς ἔκαμνεν
ἢ ὑγίαινεν ἢ ἐκάθητο πρότερον· ὡς ἐν ἑκατέρῳ τούτων τὸ αἴτιον τῆς
ἀπάτης τὴν μείζω ἔχειν πρότασιν. τὸ γὰρ τὸν ἀνιστάμενον ἑστηκέναι δύο

1 ψεῦδος om. L καὶ πέμπτον MN 6 καὶ—φαίνεσθαι (7) om. P 9 τὴν λέξιν P 17 τί δὲ MN 18 post οἱ add. δὲ M 23 οὐ P 24 οὐχὶ—δέοντα om. L: ναί. τὰ δὲ κακὰ δέοντα MN 25 post καὶ add. τὸ MN 26 πληγὰς N 28 αἱ τεκμήσεις P τῶν om. MN 31 τί δὲ LMN 32 post ἀλλὰ add. μὴν MN 33 ὁ ἄρα—ὑγιαίνει (34) om. P 36 τὸ om. P 38 ἀνιστάμεν L

σημαίνει, ὁμοίως καὶ τὸ τὸν ὑγιαζόμενον ὑγιαίνειν, ἢ ὅτι, ὅτε ἵστασθαι ἤρξατο ἢ ὑγιάζεσθαι, εὐθὺς ἅμα καὶ ἕστηκώς ἐστι καὶ ὑγιής, ὅπερ καὶ ψεῦδος (ἐν κινήσει γὰρ αἱ τοιαῦται μεταβολαί, | ἡ δὲ ἐν χρόνῳ), ἢ ὅτι τὸν πρότερον ἀνιστάμενον ἢ ὑγιαζόμενον ἐνδέχεται ἑστηκέναι καὶ ὑγιαίνειν νῦν, ὅπερ καὶ ἀληθές. ὑγιάζετο μὲν γὰρ καὶ κάμνων καὶ ὁ κάμνων, ὑγιαίνει δὲ οὐχὶ κάμνων ἀλλ' ὁ κάμνων· οὐ γὰρ ὁ νῦν ἀλλ' ὁ πρότερον. αἱ ἀγωγαὶ μέντοι τῶν ἀπηριθμημένων σοφισμάτων πᾶσαι περαιοῦνται διὰ τοῦ πρώτου τρόπου τοῦ πρώτου σχήματος.

Παρὰ δὲ τὴν ἀμφιβολίαν οἱ τοιοίδε, τὸ βούλεσθαι λαβεῖν με τοὺς πολεμίους, καὶ γένοιτο τὸν σῦν καταβαλεῖν ἐμέ, καὶ Πάτροκλον δ' ἀνώγει θοῦσαι θεοῖς. τῷ γὰρ ἐν μονοκώλῳ συμφράσει αἰτιατικῇ συμπλακῆναι τὸ ἀπαρέμφατον τὸ διττὸν ἠκολούθησεν. παρὰ δὲ στιγμῆς θέσιν ἢ ὑπέρβασιν λέξεως ἢ ἔλλειψιν ἐκεῖνα· "πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς", καὶ "ἐγώ σε ἔθηκα δοῦλον ὄντα ἐλεύθερον". ἀλλὰ ταῦτα οὐ τόσον τῆς νῦν ἀμφιβολίας εἰσὶ παραδείγματα, ἐπεὶ μηδὲ εἰς συλλογισμὸν πίπτουσι. τοῦ δὲ χάριν προσείληπται; ἵν' ἐκεῖνο δειχθῇ ἐνεῖναι τὸ διττὸν κἀν τοῖς λόγοις, ὥσπερ κἀν τοῖς ὀνόμασιν. ἀμφίβολα δὲ καὶ ὑπὸ συλλογισμὸν πίπτοντα ταῦτα· ἆρ' ὃ γινώσκει τις, τοῦτο γινώσκει; γινώσκει δέ τις τὸ ξύλον, τὸ ξύλον ἄρα γινώσκει. εἰ δὲ τοῦτο, καὶ αἴσθησιν ἕξει, εἴπερ καὶ γνῶσιν. πάλιν ὃ ὁρᾷ τις, τοῦτο ὁρᾷ; ὁρᾷ δέ τις τὸν κύονα, ὁ κύων ἄρα ὁρᾷ. καὶ ἄρα ὃ σὺ φῂς εἶναι, τοῦτο σὺ φῂς | εἶναι; (ἡ μείζων αὕτη) φῂς δὲ λίθον εἶναι; (ἡ ἐλάττων) σὺ ἄρα φῂς λίθος εἶναι. καὶ ἆρ' ἔστι σιγῶντα λέγειν; οὔ. τί δ' ὅταν λέγῃ τις ξύλα λίθους, οὐ λέγει σιγῶντα; ναί. ἔστιν ἄρα σιγῶντα λέγειν. πάλιν, ἆρ' ἔστι λέγοντα σιγᾶν; οὔ. τί δ' ὅταν πάντα σιγᾷς, οὐ σιγᾷς καὶ τὰ λέγοντα; ναί. ἔστιν ἄρα λέγοντα σιγᾶν. ἐν πᾶσι τούτοις τοῖς παραλογισμοῖς τὸ ἀμφίβολον αἱ μείζους προτάσεις εἶχον. τό τε γὰρ τοῦτο γινώσκει καὶ τοῦτο ὁρᾷ ἀμφιβάλλεται· ἐπὶ μὲν γὰρ εὐθείας ληφθέντα ψεύδεται, ἀληθεύει δὲ ἐπὶ αἰτιατικῆς. πάλιν τὸ ὃ σὺ φῂς εἶναι ἢ ὅτι τοῦτο ὃ σὺ λέγεις τοῦτο αὐτὸς εἶ, ὃ ὁήπουθεν ψεῦδος, ἢ τοῦτο ὃ λέγεις φῂς ἐν ὑπάρξει εἶναι καὶ ὑφιστάμενον, καὶ ἔστιν ἀληθές. διττὸν δὲ καὶ τὸ σιγῶντα λέγειν, τό τε τὸν λέγοντα σιγᾶν καὶ τὸ τὰ λεγόμενα πράγματα. αἱ δὲ ἀγωγαὶ τῶν σοφισμάτων ἐν πρώτῳ καὶ τρίτῳ σχήματι συμπεραίνονται. ἐκεῖνο δὲ δεῖ παρατηρεῖν ἐπὶ ταῖς ἐντεύξεσι τῶν σοφιστῶν, ὡς αὐτοῖς τὰ μείζω τῶν λημμάτων ὡς ἐπὶ τὸ πολὺ προτείνονται πρότερον· λανθάνει γὰρ μᾶλλον ὡς ἀδιόριστον τὸ κοινὸν καὶ συνεπαίρει προχείρως εἰς συγκατάθεσιν, εὐφώρατον δὲ τὸ κατὰ μέρος καὶ ἴδιον ὡς ἐγγύτερον τῆς αἰσθήσεως.

1 τὸ om. PM ὅτε om. P 1. 2 ἤρξατο ἵστασθαι MN 5 γὰρ om. N 6 αὐτ' ὁ κάμνων N 7 ἅπασαι MN 10 γένοιτο] cf. A. Nauck Trag. Gr. fragm. p. 678 fr. 152 καταβάλλειν N Πάτροκλον κτλ.] Il. IX, 219 11 συμφάσει N 13 ἔλλειψις P λεῖπε LP 14 σε om. M 15 τοῦδε χάριν M 16 προσείλειπται N 17 κἀν] ἐν LM 20 κύονα ὁ κύων P 22 σὺ φῂς ἄρα P 25 σιγᾷς οὐ—ἄρα λέγοντα om. N 26 ἀμφίβολον—καὶ τοῦτο (27) om. P 29 αὐτὸς ἦς L: αὐτὸ εἶ M 33 ἔτι ταῖς M 34 τὴν μείζω P 36 εὐφώρατον NP

εἰσὶ μὲν οὖν τρεῖς τρόποι τῶν παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν, εἷς 12
μὲν κοινός, ὅταν τὸ ὄνομα ἢ ὁ λόγος κυρίως σημαίνῃ πλείονα, οἷον ἀετὸς
ὅ | τε ἰχθὺς καὶ τὸ πτηνόν (κυρίως γὰρ ἐπ' ἄμφω) καὶ κύων ὅ τε χερ- 13
σαῖος καὶ ἔνυδρος. κυρίως δὲ λόγος σημαίνων πολλά, ὡς τὸ βούλεσθαι
5 λαβεῖν με τοὺς πολεμίους. καὶ γένοιτο τὸν σὸν καταβαλεῖν με. ἕτερος δὲ
ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν· εἰώθαμεν γὰρ κόρακα λέγειν τό τε πτηνὸν
καὶ τὸ κοράκινον καὶ κλεῖδα τῆς θύρας καὶ τὸ ὠλέκρανον. καὶ σιγῶντα τόν
τε σιωπῶντα ἄνθρωπον καὶ τὰ ἄλαλα πράγματα. καὶ τρίτος ὅταν τὸ συν- 10
τεθὲν πλείω σημαίνῃ κεχωρισμένον δὲ οὔ, οἷον τὸ ἐπίσταται γράμματα.
10 ἑκάτερον μὲν γὰρ ἰδίως εἰ ἔτυχεν ἕν τι σημαίνει τὸ ἐπίσταται καὶ γράμ-
ματα, ἄμφω δὲ πλείω, ἢ τὸ τὰ γράμματα αὐτὰ ἐπιστήμην ἔχειν ἢ τῶν
γραμμάτων ἄλλων.

Ἡ μὲν οὖν ὁμωνυμία καὶ ἀμφιβολία παρὰ τούτους τοὺς τρόπους εἰσίν,
παρὰ δὲ τὴν σύνθεσιν τὰ τοιάδε. οἷον τὸ δύνασθαι καθήμενον βαδίζειν καὶ
15 μὴ γράφοντα γράφειν. λέγεται δ' οὕτω διὰ τὸ τὴν κειμένην λέξιν ἐν τῇ
συνθέσει τῆς μείζονος προτάσεως ἐλλείπειν ἐν τῷ συμπεράσματι καὶ οὕτω 20
τὸν λόγον συμβαίνειν ψεύδεσθαι· οὐ γὰρ ταὐτὸ σημαίνει, ἐὰν διελών τις
εἴπῃ καὶ συνθείς, ὡς δυνατὸν τὸν καθήμενον βαδίζειν καὶ μὴ γράφοντα
γράφειν. προσκείμενον μὲν γὰρ σημαίνοι ἄν ποτε δυνήσεσθαι τὸν καθήμενον
20 βαδίσαι, ἐλλελοιπὸς δὲ νῦν ὅτε κάθηται, ὃ καὶ ψεῦδος. αἱ δὲ ἀγωγαὶ τῶν
εἰρημένων σοφισμάτων ἐν πρώτῳ σχήματι οὕτως· ὁ Σωκράτης κάθη|ται, 14
ὁ καθήμενος δύναται βαδίζειν, ὁ Σωκράτης ἄρα βαδίζει. ἀλλὰ καὶ οὐ
βαδίζει, κάθηται γάρ. πάλιν, ἆρά γε ὁ μὴ γράφων δύναται γράφειν; ναί.
ὁ Πλάτων οὐ γράφει. ὁ Πλάτων ἄρα γράφει. καὶ πότερον ὁ ἐπιστάμενος
25 γράμματα δύναται μανθάνειν γράμματα; ναί. τί δαί; ὁ Σωκράτης νῦν
ὑπνώττων οὐχὶ ἐπίσταται γράμματα: ὁ Σωκράτης ἄρα μανθάνει νῦν γραμ-
ματα. ἀλλὰ καὶ οὐ μανθάνει· κοιμᾶται γάρ. τί δαί; ὁ ἓν δυνάμενος 10
φέρειν δύναται καὶ πολλὰ φέρειν: ναί. ὁ Ἀλκιβιάδης ἓν φέρει. ὁ Ἀλκι-
βιάδης ἄρα πολλὰ φέρει ἓν καὶ μόνον φέρων. ἐν τούτοις γὰρ εἰ μὲν ὥσπερ
30 ἐν τῇ μείζονι προτάσει τὸ δύνασθαι, οὕτω κἀν τῷ συμπεράσματι ἔκειτο,
οὐδ' ἂν ἠκολούθησεν ἄτοπον, παρεθὲν δὲ χώραν τοῖς σοφίσμασιν ἔδωκε.
καὶ ταῦτα μὲν παρὰ τὴν σύνθεσιν.

Παρὰ δὲ τὴν διαίρεσιν τὰ τοιάδε, ὅτι τὰ πέντε περιττὰ καὶ ἄρτια·
διαιρεῖται γὰρ εἰς τρία καὶ δύο, τὰ δὲ περιττὰ καὶ ἄρτια. συμβαίνει δὲ 20
35 τοῦθ' οὕτω τῷ τὰ μέρη δυνάμει ὄντα ἐν τῷ ὅλῳ τὸν σοφιστὴν διαιρήσαντα
ἐνεργείᾳ λαμβάνειν καὶ τὸ συμβαῖνον ἑκατέρῳ ἰδίως ὁμοῦ τοῦ ὅλου κατη-

1 περὶ MN 2 σημαίνῃ ex σημαίνει corr. L: σημαίνει P 3 γὰρ] γὲ M 7 κοράκιν libri 8 τὰ ἄλλα M 9 σημαίνῃ ex σημαίνει corr. L 10 μὲν om. P 11 τὸ om. LMN 12 ἄλλων N 15 τὸ om. P 16 οὕτον L 19 σημαίνει M 22 καθήμενος om. N 25 τί δαί om. P: τί δὲ MN 26 μανθάνειν N 27 τί δὲ MN 28 ὁ—ἓν φέρει om. P 30 κἂν M ἔκειντο P 31 τοῖς ex τῆς corr. N 34 δὲ (post συμβαίνει) om. P 35 μέρει N 36 τὸ ex τὰ corr. L

γορεῖν· τὸ δὲ παρὰ πολὺ διαφέρει. οὐ γὰρ πᾶν τὸ δυνάμενόν τι γενέσθαι 14
ἤδη καὶ ἐνεργείᾳ ἐκεῖνό ἐστιν· ἢ γὰρ ἂν ἦν τὸ ἐν ὄρει δένδρον πλοῖον
δυνάμει ὂν καὶ ὁ ἀσχημάτιστος χαλκὸς ἀνδριάς. παρὰ τὴν διαίρεσιν κἀκεῖνο
τὸ σόφισμα τὸ τὸ | μεῖζον ἴσον ποιοῦν τῷ ἐλάττονι· ἔστι δὲ μεῖζον ἁπλῶς 15
5 τὸ τοσοῦτον καὶ ἔτι πρός. ἡ δὲ ἔκθεσις οὕτως· οὐχὶ ὁ ὀκτὼ εἰς ἓξ καὶ
δύο διαιρεῖται, καὶ πάλιν εἰς τρία καὶ πέντε; ναί. ὁ ἄρα ὀκτὼ εἰς ἓξ καὶ
δύο καὶ πέντε καὶ τρία διαιρεῖται. ἀλλὰ ταῦτά ὁμοῦ ἑκκαίδεκα ἐστίν. ὁ ὀκτὼ
ἄρα ἐλάττων ὢν μείζονα ἀριθμὸν ἑαυτοῦ πληροῖ τὸν ἑκκαίδεκα, ὅπερ ἀδύ-
νατον. τὰ γὰρ δυνάμει ὄντα καὶ ὁμοῦ ἐνεργείᾳ καὶ διῃρημένα ληφθέντα
10 τὸ ἄτοπον ἐπεισήγαγον. ὁ γὰρ αὐτὸς λόγος, ὡς εἴρηται, διῃρημένος καὶ 10
συγκείμενος οὐκ ἀεὶ τὸ αὐτὸ σημαίνειν ἂν δόξειεν, ὡς ἐπ' ἐκείνοις "ἐγώ σε
ἔθηκα δοῦλον ὄντα ἐλεύθερον", καὶ "πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος
Ἀχιλλεύς." εἰ γὰρ διαλύσαις ἐγώ σε ἔθηκα δοῦλον, ἐγώ σε ἔθηκα ἐλεύθερον,
ἢ στίξαις εἰς τὸ δοῦλον ὄντα, ἔλυσας τὸ ἀμφίβολον.

15 Πέμπτος τρόπος τῶν παρὰ τὴν λέξιν σοφισμάτων ὁ παρὰ προσῳδίαν.
γίνεται δὲ ὅταν ὁ τόνος, πρὸς ὃν ἄδομεν τὸν λόγον, μεταβληθῇ ἢ μετατεθῇ 20
ἢ προστεθῇ ἢ ἀφαιρεθῇ, ἢ καὶ τὸ πνεῦμα· ἕτερον γὰρ καὶ ἕτερον ἀνάγκη
τὸν λόγον διὰ ταῦτα γίνεσθαι. ἐν μὲν οὖν τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς
καὶ ταῖς ἐν ταῖς συνουσίαις ὁμιλίαις οὐ ῥᾴδιον ποιῆσαι τοῦτο, ἐν δὲ τοῖς
20 γεγραμμένοις καὶ ποιήμασι μᾶλλον, οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται,
ὡς Ἱππίας ὁ Θάσιος, πρὸς τοὺς ἐλέγχοντας ὡς ἄτοπον εἰρηκότα "τὸ μὲν
οὐ καταπύθεται ὄμβρῳ." λύουσι γὰρ αὐτοὶ τῇ προσῳδίᾳ, μὴ περισπωμένως 16
μηδ' ὀξυτόνως προφέρειν τὸ οὐ, ἀλλ' ἀνειμένως καὶ ἀποφατικῶς. πεποίηται
γὰρ ἐπὶ τῷ Πατρόκλου ἱππικῷ ὁ Νέστωρ ὑποτιθέμενος τῷ παιδὶ Ἀντιλόχῳ
25 ἱππεύοντι τὰ τῆς ὁδοῦ

σῆμα δέ σοι ἐρέω μάλ' ἀριφραδὲς οὐδέ σε λήσει·
ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης
ἢ δρυὸς ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ· 10
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ
30 ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς.

Τὸ γὰρ πεύκινον ξύλον, ὡς φασι, τοῖς γλυκέσι τῶν ὑδάτων οὐ καταπύθεται ἀλλὰ τοῖς ἁλμυροῖς. παρὰ προσῳδίαν καὶ τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτῷ ὁ Ζεὺς εἶπε "δίδομεν δέ οἱ εὖχος ἀρέσθαι" (ἐψεύδετο γὰρ ἄν), ἀλλὰ τῷ ἐνυπνίῳ ἐνετέλλετο διδόναι. γένοιτο δ' ἄν ποτε 20
35 κἀν ταῖς ἀγράφοις διαλέξεσι παρὰ προσῳδίαν ἀπάτη, ὡς "ἐκεῖνο οὐ καταλύεις οἰκία; ναί. τὸ οὐ καταλύεις ἀπόφασις. ἡ οἰκία ἄρα ἀπόφασις" τὸ

1 οὐδὲ γὰρ M 2 ἢ γὰρ LNP ἂν om. L 7 ὁμοῦ om. LMN
10 ἐπεισήγαγεν P 12 λεῖπε LP 13 διαλύσεις P 14 εἰς τὸν δοῦλον M
19 ἐν ταῖς om. N 21 εἰρηκότος M 24 ἀντιλόγω N 26 σῆμα] Il. XXIII 326
εέρέω M ἐριφραδὲς N σοι λήσῃ P 27 ὅσον τ' ὀργή' N 29 ἐρειδέδαται LP δύω P 30 ὁδοῖο L: ὁδοῖς P 32 αλμηροῖς (sic) P περὶ ex Aristotele Spengel: παρὰ libri 33 αὐτὸ P τεῦγος ex εὖγος corr. P
34 ἐψεύδετ' ἄν LP 35 κἀν MP

μὲν γὰρ πρότερον οὐ περισπασθὲν καὶ δασυνθὲν τὸ ὅπου ἐσήμανε. τὸ δὲ 16
δεύτερον ἄνευ τόνου καὶ μετὰ ψιλῆς στέρησιν καὶ ἀπόφασιν, καὶ οὕτω τὸ
σόφισμα εἰσενήνεκται. πάλιν τὸ ζῶον λογικὸν | θνητὸν οὐχ ὅρος ἐστί; ναί. 17
τὸ ὅρος ἕστηκε, τὸ ζῶον λογικὸν θνητὸν ἄρα ἕστηκεν.

Οἱ δὲ παρὰ τὸ σχῆμα τῆς λέξεως παραλογισμοὶ συμβαίνουσιν. ὅταν
τὸ μὴ ταὐτὸν ὡσαύτως ἑρμηνεύηται. οἷον τὸ ἄρρεν θῆλυ ἢ τὸ θῆλυ ἄρρεν,
ἢ τὸ μεταξὺ θάτερον τούτων, ἢ πάλιν τὸ ποιὸν ποσὸν ἢ τὸ ποσὸν ποιόν,
ἢ τὸ ποιοῦν πάσχον ἢ τὸ διακείμενον ποιοῦν, καὶ τἆλλα τὰ τοῦ ὄντος γένη,
ἃ κἂν τῇ περὶ αὐτῶν πραγματείᾳ εἰς δέκα διείλομεν, εἴ τινος φύροντος ἐν 10
ἀλλήλοις περιχωρήσαιεν. ἔστι γὰρ τὸ μὴ τῶν ποιεῖν ὂν ὡς τῶν ποιεῖν τι
τῇ λέξει σημαίνειν, οἷον τὸ ὑγιαίνειν ὁμοίως τῷ σχήματι τῆς λέξεως λέ-
γεται τῷ τέμνειν καὶ οἰκοδομεῖν· καίτοι τὸ μὲν διακείμενόν πως δηλοῖ τὸ
ὑγιαίνειν, τὸ δὲ ποιεῖν τι τὸ τέμνειν καὶ οἰκοδομεῖν. οὕτω καὶ τὸ τύπτομαι
καὶ διαλέγομαι σχήματι μὲν ταὐτά, δυνάμει δὲ ἕτερα· τὸ μὲν γὰρ πάθος
τὸ δὲ ἐνέργεια. αἱ δὲ τῶν σοφισμάτων ἀγωγαὶ ἐν μὲν δευτέρῳ σχήματι
καὶ ἐκ δύο καταφατικῶν αὗται· οὐχὶ τὸ ἄρρεν οὐδέτερον; οὐχὶ τὸ θῆλυ 20
οὐδέτερον: τὸ ἄρρεν ἄρα θῆλυ. κατὰ τὰ αὐτὰ καὶ τὸ ποιὸν καὶ τὸ ποσόν·
ἄμφω γὰρ οὐδέτερα καὶ ἄμφω ταὐτά. οὕτω καὶ τὸ ποιεῖν καὶ πάσχειν
ὅτι καὶ ἄμφω ῥήματα καὶ ὁμοίως προφέρονται. ἐν δὲ τῷ πρώτῳ· οὐ τὸ
μανθάνειν ἐνεργεῖν ἐστι περὶ τὴν μάθησιν; τοῦτο δὲ διδάσκειν ἐστί; τὸ
μανθάνειν ἄρα διδάσκειν ἐστίν.

Οἱ μὲν οὖν παρὰ τὴν λέξιν ἔλεγχοι ἐκ τούτων τῶν λόγων εἰσίν, οὔτε
δὲ πλείονες οὔτε ἐλάττο|νες. τούτου δὲ πίστις ἥ τε δι' ἐπαγωγῆς καὶ συλ- 18
λογισμοῦ. ἀνάγκη γὰρ τὴν περὶ τὰς φωνὰς ἀπάτην ἢ ἐκ τῶν κατ' αὐτὰς
εἶναι ἢ ἐκ τῶν περὶ αὐτάς· καὶ εἰ μὲν ἐκ τῶν κατ' αὐτάς, ἢ ἐκ τῶν
ἁπλῶν φωνῶν διάφορα δὲ περιεχουσῶν πράγματα. καὶ γίνεται τὸ πρῶτον
εἶδος τὸ καθ' ὁμωνυμίαν, ἢ ἐκ τῶν συντιθεμένων ὁμοιοτρόπως δὲ διάφορα
σημαινουσῶν πράγματα, καὶ γίνεται τὸ δεύτερον τὸ κατ' ἀμφιβολίαν· ἤ τι
παραλέλειπται ἐν δευτέροις τῶν πρώτως συντιθεμένων ἁπλῶν, καὶ ποιεῖ τὸ 10
κατὰ σύνθεσιν τρίτον εἶδος· ἢ ὡς ὅλας τὰς ἁπλᾶς λαβὼν φωνὰς καὶ καθ'
ἓν διαιρεῖ καὶ τὰ ἰδίως προσόντα τοῖς μέρεσι τῷ κοινῷ προσάπτει, καὶ
ποιεῖ τὸ κατὰ διαίρεσιν. καὶ ἐκ μὲν τῶν κατ' αὐτὰς συμβαινόντων ταῖς
λέξεσι ταῦτα συνίσταται τὰ σοφίσματα· ἐκ δὲ τῶν περὶ αὐτὰς ἢ περὶ τόνον
ἢ πνεῦμα μεταβολή τις γίνεται καὶ ποιεῖ τὸν πέμπτον τρόπον καὶ παρὰ
προσῳδίαν, ἢ περὶ τὸν ποιὸν τῆς λέξεως σχηματισμόν, καὶ ποιεῖ τὸν λοιπὸν 20
ἕκτον τὸν οὕτω προσηγορευμένον παρὰ τὸ σχῆμα τῆς λέξεως. πάλιν τὰ
περὶ τὴν λέξιν σοφίσματα παρὰ τὴν κακίαν τῆς λέξεως γίνεται. τοῦτο δὲ

2 καὶ (ante μετὰ) om. MNP 3 εἰσενήκεται P ναί om. LP 8 πάσχων P
9 κἂν MN: κάν τῇ om. P φέροντος P 10 παραχωρήσαιεν MN ἔστη γὰρ N
11 σημαίνει N 11. 12 λέγεται om. MN 15 ante ἀγωγαὶ add. αἱ L ἐν]
αἱ N 16 καὶ om. MN 22 λόγων] τόπων Aristoteles 23 πίστις] πῖς L
28 πραγμάτων P 34 καὶ (post τρόπον) delet Spengel 35 περὶ τῶν LN 36 πάλιν
κτλ.] cf. Alex. f. 8b 37 περὶ] παρὰ MN

παρὰ τὸ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι, τὸ δὲ διὰ 18
τὸ διττὸν τῶν σημαινομένων. τοῦτο δὲ τριττόν· ἢ γὰρ δυνάμει τὸ διπλοῦν
ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ. διττῶς δὲ τὰ τρία ἑξαχῶς συμβαίνει γίνεσθαι.
τὰ μὲν οὖν παρὰ τὴν λέξιν σοφίσματα ἑξαχῶς συμβαίνει γίνεσθαι. ἐνεργείᾳ 19
5 μὲν οὖν ἔχοιεν τὸ διττὸν οἱ παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν· ὁ γὰρ
ἀετὸς καὶ ὁ κύων τῷ ὄντι ἐνεργείᾳ πολλὰ σημαίνει, καὶ ὁ λόγος "ἆρ' ἔστι
σιγῶντα λέγειν;" δυνάμει δὲ οἱ παρὰ προσῳδίαν καὶ σύνθεσιν καὶ διαίρεσιν·
πλείω μὲν γὰρ οὐ σημαίνουσι, διὰ δὲ τὸ εἰς ἑκάτερον ἐκλαμβάνεσθαι διττοὶ
λέγονται. φαντασίᾳ δὲ διπλοῖ οἱ παρὰ τὸ σχῆμα τῆς λέξεως· τὸ γὰρ ὁρῶ
10 καὶ λέγω ἐπειδήπερ ὁμοίως ἐκφέρεται, καὶ τῆς αὐτῆς διαθέσεως οἱ σοφισταὶ 10
τίθενται· τῶν δὲ τὸ μὲν πάθος τὸ δὲ ἐνέργεια.

Καὶ περὶ μὲν τῶν ἐντὸς τῆς λέξεως παραλογισμῶν τοσαῦτα, τῶν δ' ἔξω τῆς λέξεως εἴδη εἰσὶν ἑπτά. ἓν μὲν παρὰ τὸ συμβεβηκός, δεύτερον δὲ παρὰ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς ἀλλὰ πῇ ἢ ποῦ ἢ ποτὲ ἢ πρός τι ἢ πῶς.
15 τρίτον τὸ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, τέταρτον τὸ παρὰ τὸ ἑπόμενον, πέμπτον δὲ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν, ἕκτον δὲ τὸ μὴ 20
αἴτιον ὡς αἴτιον τιθέναι, ἕβδομον τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν.

5. Οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅτε ἀξιοῖ τις, ὅ τι οὖν ὑπάρχει τῷ κατηγορουμένῳ, τοῦτο καὶ τῷ ὑποκειμένῳ ἐξ ἀνάγκης
20 ὑπάρχειν· οἷον τὸ ζῶον κατηγορεῖται μὲν τοῦ ἀνθρώπου, πολλὰ δὲ αὐτῷ συμβέβηκε, τὸ γένος εἶναι, τὸ δισύλλαβον, τὸ ἔμψυχον, | τὸ αἰσθητικόν. 20
εἰ οὖν πάντα ἐξ ἀνάγκης κατὰ τοῦ ἀνθρώπου καὶ ὁμοτίμως κατηγορεῖσθαι δώσομεν, πολλὰ συμβαίνει τὰ ἄτοπα· πάντα γὰρ ἂν οὕτως ἔσται ταὐτά, καὶ αἱ οὐσίαι συμβεβηκότα καὶ τὸ ἔμπαλιν, καὶ σώματα τὰ ἀσώματα. ἀλλ' οὐχ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου αὐτῷ ῥηθήσεται, ἀλλ' ὅσα οὐσιώδη τέ ἐστι καὶ εἰς τὸν ὁρισμὸν παραλαμβάνεται. ὥστε οὐ καλῶς φασιν οἱ σοφισταί, εἰ ὁ Κορίσκος ἕτερον ἀνθρώ- 10
που, αὐτὸς ἑαυτοῦ ἕτερος· ἔστι γὰρ ἄνθρωπος· ἢ εἰ Σωκράτης ἕτερος, ὁ δὲ Σωκράτης ἄνθρωπος, ἕτερος ἀνθρώπου. ἄγονται δὲ τὰ σοφίσματα οὕτω·
30 ὁ Κορίσκος ἄνθρωπος, ὁ ἄνθρωπος ἕτερος Κορίσκου, ὁ Κορίσκος ἄρα ἕτερος Κορίσκου, καὶ αὐτὸς ἑαυτοῦ χωρίς. πάλιν ὁ Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ἕτερος Σωκράτους, ὁ Σωκράτης ἄρα ἕτερος αὐτοῦ. οἱ γὰρ παραλογισμοὶ ἐν μὲν τῇ ἐλάττονι προτάσει τὸν συγκατατεταγμένον τῷ Κο- 20
ρίσκῳ καὶ Σωκράτει μερικὸν ἐλάμβανον ἄνθρωπον, ἐν δὲ τῇ μείζονι τὸν
35 ἀκατάτακτον καὶ κοινόν· συμβέβηκε δὲ τούτῳ μὴ Κορίσκῳ μηδὲ Σωκράτει εἶναι. ὅσα μέντοι οὐσιωδῶς ἔνεισιν ἐν τῷ καθόλου, πάντα καὶ τοῖς ὑπ' αὐτῷ ὑπάρξει ἀτόμοις, τὰ δ' ἄλλως οὔ. σαφέστερα δὲ ταῦτα· ἆρ' οὐχ ὁ

2 τριτὸν M 4 τὰ ἄρα—γίνεσθαι om. P 5 ἔχοιεν ex ἔχειεν corr. L 8 διττὸν P 12 τῶν ἐντὸς N 14 πότε LP 15 τὸ (post παρὰ) om. P 18 ὅτι P: ὅταν MN 19 ὅτοι οὖν P: ὅτι ἂν MN ὑπάρχῃ M τῶν ὑποκειμένων P 22. 23 δώσομεν κατηγορεῖσθαι MN 23 ἂν om. MN 24 συμβεβηκότα καὶ] deficit P 27 εἰ] καὶ M 28 ἔστι δὲ M σωκράτους N 30. 32 ἄρα om. L 32 αὐτοῦ L: αὑτοῦ MN, at cf. 2,39

κύκνος λευκόν; τοῦτο δὲ οὐ χρῶμα; ὁ κύκνος ἄρα χρῶμα. τὸ δὲ διακρι- 20
τικὸν ὄψεως, τοῦτο δὲ ποιότης, ἡ δὲ ἀσώματον. | ἔσται ἄρα ταῦτα καὶ ὁ 21
κύκνος. πάλιν ἐν τρίτῳ σχήματι· ὁ κύων οὗτος σός; ναί. τί δαί, καὶ
πατήρ; ναί. σὸς ἄρα ὁ κύων πατήρ. συμβέβηκε γὰρ τῷ κυνὶ σῷ τε
5 εἶναι καὶ πατρὶ σκυλακίων.

Καὶ παρὰ μὲν τὸ συμβεβηκὸς οὕτω· τοὺς δὲ παρὰ τὸ πῇ καὶ ἁπλῶς
ἤδη λέγομεν, μικρὰ δ' ἄττα πρότερον περὶ τῶν κατηγορουμένων διαληψόμεθα
πρὸς σαφήνειαν. πᾶσα κατηγορία ἢ ἓν καθ' ἑνός ἐστιν, ἢ πολλὰ κατὰ
πολλῶν, ἢ πολλὰ καθ' ἑνός, ἢ ἓν κατὰ πολλῶν. παρίεμεν δὲ τὰ κατὰ τὴν 10
10 ὁμωνυμίαν ἐνταῦθα, ἵνα μὴ ὁ λόγος συγχέηται. ἐπεὶ δὲ τῶν πολλῶν καὶ
καθ' ἑνὸς κατηγορουμένων (τάλλα γὰρ ὡς ἧττον ἡμῖν συμβάλλοντα πρὸς
τὸ προκείμενον ἀφίεμεν, ὥσπερ καὶ τὰ ὁμώνυμα) τὰ μὲν καὶ ἰδίως καὶ
ὁμοῦ κατηγορεῖσθαι δύναται, τὰ δὲ ἰδίως μόνον, τὰ δὲ συνθέτως, ζητοῦμεν
τὴν διαφοράν· κατὰ γὰρ τοῦ ἀνθρώπου καὶ τὸ ἔμψυχον καὶ τὸ ζῶον καὶ
15 τὸ λογικὸν καὶ τὸ θνητὸν ἰδίως ἕκαστον ἀληθὲς εἰπεῖν καὶ ὁμοῦ πάντα, 20
κατὰ δὲ τοῦ Σίμωνος τὸ σκυτεὺς καὶ τὸ ἀγαθὸς ἰδίως μὲν ἀληθές, σύνθεντα
δὲ ψεῦδος· ἦν γὰρ ὁ Σίμων ἀγαθὸς μὲν τὸν τρόπον, ἀφυὴς δὲ τὴν τέχνην.
πάλιν κατὰ τοῦ νεκροῦ ἀνθρώπου καὶ τῆς λιθίνης χειρὸς ἢ νηὸς τὸ μὲν
ὅλον τοῦτο λιθίνην χεῖρα ἢ νῆα καὶ ἄνθρωπον νεκρὸν συνημμένα καὶ ὁμοῦ
20 εἰπεῖν ἐγχωρεῖ, ἰδίως δὲ τὸν νεκρὸν ἄνθρωπον | εἰπεῖν ἢ τὸν λίθον χεῖρα 22
ἢ νῆα ψεῦδος. καὶ ὁ Αἰθίοψ λευκὸς τοὺς ὀδόντας, ἁπλῶς δ' οὔ. ἐκεῖνα
δὲ πρὸς ταῦτα δεῖ εἰπεῖν, ὡς ὅσα μὲν οὐσιωδῶς κατηγορεῖται καὶ καθ'
αὑτὸ καὶ μή τινα πρὸς ἄλληλα ἐναντίωσιν ἔχει, ταῦτα καὶ ἰδίως καὶ ὁμοῦ
κατηγορηθήσεται (πλὴν διοίσει κἂν τῇ συνθέσει τῷ τρόπῳ, ὡς ἀπὸ τῶν
25 καθολικωτέρων ἐπὶ τὰ μερικώτερα ἐρχομένων, τὸ ἀνάπαλιν δ' οὔ· περιττὸν
γὰρ ἄνθρωπον εἰπόντα τὸν Σωκράτην προστιθέναι καὶ λογικὸν ζῶον, ὥσπερ 10
ἐγχωροῦντος ἄνθρωπον εἶναι, μὴ ταῦτα δέ· ἕνεισι γὰρ ἐν τοῖς εἴδεσι τὰ
γένη καὶ ἐν τοῖς μερικοῖς τὰ κοινά), ἐφ' ἃ δέ ἐστιν ἀντίφασις ἢ ἐκ τῶν
ὀνομάτων ἢ ἐκ τῶν λόγων, ἡνωμένως μὲν κατηγορεῖν ἐγχωρεῖ διῃρημένως
30 δ' οὔ. καὶ ἀντίφασις μὲν ἐν ὀνόμασιν ὡς ἐκεῖνος ἄνδρα καὶ οὐκ ἄνδρα
τὸν εὐνοῦχον εἰπεῖν, καὶ τὴν νυκτερίδα ὄρνιν καὶ οὐκ ὄρνιν, ἐν τοῖς πράγμασι
δὲ ὡς ἄνθρωπος καὶ νεκρὸς καὶ χεὶρ καὶ λίθος· τὰ μὲν γὰρ ἔμψυχα καὶ 20
ζῶντα, τὰ δ' οὔ. ἔτι ἔστιν ἃ καὶ τῶν διὰ μέσου ἄλλου, ὃ καθ' αὑτὸ κατη-
γορεῖται, ἑτέρου κατὰ συμβεβηκὸς κατηγορουμένων, καίπερ μὴ ἔχοντα
35 ἀντίφασιν. ὅμως οὐκ ἂν ἰδίως λεχθεῖεν χωρισθέντα τοῦ δι' οὗ καὶ καθ'
οὗ κατ' οὐσίαν ἐλέγετο, οἷον Ὅμηρος ποιητής ἐστιν. ἆρ' οὖν καὶ ἔστιν
ἁπλῶς; οὔ· τέθνηκε γὰρ πάλαι. τὸ γὰρ ἔστι τοῦ ποιητοῦ μὲν καθ' αὑτὸ

---

2 ἄρα om. L 3 ὁ κύων κτλ. cf. Plat. Euthyd. p. 298 D sq. 4 συμβέβηκε] ἤδη καὶ ἐνεργεία ἐκεῖνο ἐστί· ἡ γὰρ ἂν ἦν τὸ ἐν ὄρει δένδρον πλοῖον δυνάμει addit et rursus expungit N 7 λέγομεν sic libri πρότερον ex πρότερα corr. N 9 παρίεμεν] περὶ μὲν M 10 ἐπὶ δὲ M 11 συμβαίνοντα N 15 θνητόν N 16 συνθέντα N 23 ταῦτα δὲ ἰδίως LM 24 διοίσει N κἂν M 30 ἀντίφασιν LM 32 γὰρ] δὲ M 33 δ] fort. οὐ; cf. v. 37 37 τεθνηκώς N τοῦ μὲν ποιητοῦ MN

κατηγόρηται, τοῦ δὲ Ὁμήρου κατὰ συμβεβηκός, ὅθεν | καὶ ἰδίως προστεθὲν 23
οὐκ ἐφήρμοσε. πάλιν τὸ μὴ ὂν δοξαστόν ἐστιν, οὐκ ἤδη δ' ἁπλῶς καὶ
ἔστιν. οὐ γὰρ τῷ μὴ ὄντι τὸ ἔστιν, ἀλλὰ τῷ δοξαστῷ πρόσκειται· δόξα
γὰρ αὐτοῦ ἐστιν οὐχ ὅτι ἐστίν, ἀλλ' ὅτι οὐκ ἔστιν. ὅσα δὲ κατὰ συμβε-
βηκὸς κατὰ τοῦ αὐτοῦ καὶ θάτερον κατὰ θατέρου λέγεται, ἐπεὶ μὴ ἔστιν
ἕν, οὐδαμοῦ ἂν ῥηθείη, οἷον ἄνθρωπός ἐστι λευκὸς καὶ μουσικός, καὶ Σίμων
σκυτεὺς καὶ ἀγαθός, ἀλλ' οὐχ ἓν τὸ λευκὸν καὶ μουσικόν, οὐδὲ τὸ σκυτεὺς 10
καὶ ἀγαθὸς τῷ συμβεβηκέναι καὶ ἑαυτοῖς καὶ τῷ ὑποκειμένῳ. οὔκουν εἰ
τὸ λευκὸν μουσικὸν ἀληθὲς εἰπεῖν, οὐδ' οὕτως ἔσται τὸ λευκὸν καὶ τὸ
μουσικὸν ἕν τι· δι' ὃ οὐδ' ὁ Σίμων σκυτεὺς ἀγαθὸς ἅμα. τούτων οὕτω
διωρισμένων προβαίνουσιν οἱ παρὰ τὸ πῇ καὶ ἁπλῶς συλλογισμοὶ παρὰ τὸ
φθείρειν ἑκόντα τὸν σοφιστὴν τὴν εἰρημένην ἐν τοῖς κατηγορουμένοις δια-
στολὴν καὶ τὰ πῇ εἴτ' οὖν συνθέτως καὶ μερικῶς κατηγορούμενα ἢ ποῦ
ἢ ποτὲ ἢ πρός τι ἁπλῶς καὶ ἰδίᾳ λαμβάνειν, ἢ τὸ ἀνάπαλιν τὰ ἁπλῶς καὶ 20
ἰδίᾳ πῇ. τὸ γὰρ μὴ ὂν ὅτι δοξαστόν ἐστι πῇ καὶ ὁμοῦ λαβών, καὶ ὅτι
ἁπλῶς ἔστι συλλογίζεται χωρίζων. τὸ μὴ ὂν λέγων δοξαστόν, τὸ δοξαστὸν
ἔστι, τὸ μὴ ὂν ἄρα ἔστιν. ἢ καὶ οὕτως· ὁ τραγέλαφος δοξαστόν, τὸ δοξα-
στὸν ὄν, ὁ τραγέλαφος ὄν. καὶ ἆρ' ἔστιν Ὅμηρος: οὔ. τί δαί, οὐ ποιητής
ἐστιν; ναί. ἔστιν ἄρα Ὅμηρος. ἢ καὶ ἀποφατικῶς, ὅτι ὂν οὐκ ἔστιν ὄν.
εἰ τῶν ὄντων τι μὴ ἔστιν, οἷον εἰ μὴ ἄνθρωπος. λαβὼν γὰρ κἀνταῦθα τὸ
τὸ ὂν ἁπλῶς ἕτερον τινῶν ὄντων εἶναι τῶν κατὰ μέρος, οἷον ἵππου καὶ 24
βοὸς καὶ λίθου, τὸ δὲ τῶν ὄντων ἕτερον οὐκ ὂν αὐτὸς προσθείς, τὸ ὂν οὐκ
ὂν συνεπέρανεν. ἀλλ' οὐχὶ ταὐτὸν εἶναί τι καὶ ἁπλῶς εἶναι ἢ μὴ εἶναί τι
καὶ ἁπλῶς μὴ εἶναι. φαίνεται δὲ διὰ τὸ πάρεγγυς εἶναι τῆς λέξεως καὶ
μικρὸν διαφέρειν τὸ εἶναί τι τοῦ ἁπλῶς εἶναι καὶ τὸ μὴ εἶναί τι τοῦ
ἁπλῶς μὴ εἶναι· λανθάνει γὰρ τὸ τὶ ἐν μέσῳ προσερριμμένον καὶ παρεῖται
ἀνεπίσκεπτον. οὕτω δ' ἂν ἔχοι καὶ τὸ παρ' Εὐνομίῳ πρὸς ταλαθὲς παρά- 10
κρουσμα. μείζονα γὰρ τοῦ υἱοῦ τὸν πατέρα διδόντων ἡμῶν τῷ αἰτίῳ
φύσει, ἤγουν τῷ φυσικῷ καὶ οὐ τῷ δημιουργικῷ, καὶ συνημμένως ταῦτα
κατηγορούντων καὶ πῇ, διαλύσας καὶ ἰδίᾳ χρησάμενος ἐσοφίσατο οὕτω
συνθείς· ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ αἰτίῳ, τὸ αἴτιον φύσει. ὁ πατὴρ
ἄρα μείζων τοῦ υἱοῦ τῇ φύσει. καὶ πάλιν ὁ Ἰνδὸς μέλας ὢν ἁπλῶς λευκός
ἐστιν τοὺς ὀδόντας, ὥστε λευκὸς καὶ οὐ λευκός. καὶ πάντες ἄνθρωποι 20
δίκαιοι καὶ οὐδείς, οὐχ ἅμα δὲ οὐδ' ἀεί. ἀλλ' οἱ μὲν ἐπὶ τοῦ χρυσοῦ γένους,
οἱ δὲ ἐπὶ τοῦ σιδηροῦ. καί που τὸ τοὺς γονεῖς θύειν καλόν· ἐν Τριβαλλοῖς
γάρ, ἁπλῶς δ' οὔ. καὶ διπλάσια τὰ δέκα καὶ οὐ διπλάσια· πρός τι γάρ·
τῶν γὰρ πέντε μόνον. ἐν τούτοις οὖν ὁ σοφιστὴς διατρίβων ἐλλείπων καὶ
παραποιῶν κακουργεῖ. πάλιν ἐπὶ τῶν | ἐναντίων, ὅτε ἅμφω πῇ ὄντα ἐν 25

1 κατηγορεῖται MN 6 σύμων N 13 συνθέντως N 14 τὰ om. N 16 χωρίζων τὸ om. M: τὸ om. N 17 ἄρα ἔστιν in ras. L 21 ἑτέρων τινων L 23 συνεπέραν M ἢ] εἰ M 25 μηκρὸν N εἶναι καὶ τὸ in ras. N 30 [illegible] N 35 τριβαλοῖς libri 36 οὐ διπλάσιαι N 38 κακουρ- [illegible] M

τῷ πράγματι ἁπλῶς ἄμφω ὑπάρχειν τίθεται. οἷον τοῦ ὀφθαλμοῦ τὸ μὲν 25
ἥμισυ λευκὸν τὸ δ' ἥμισυ μέλαν, ὡς ἁπλῶς ὁ ὀφθαλμὸς καὶ λευκὸς καὶ
μέλας. ἀλλὰ τοῦτο ἐπ' ἐνίων μὲν παντὶ θεωρῆσαι ῥᾴδιον, ὅθεν ἡ ἀπάτη,
ὡς ἐπὶ τοῦ εἰρημένου, ἐπ' ἐνίων δὲ λανθάνει πολλάκις, καὶ ὅταν πῇ λέγηται
5 τὰ ἐναντία. δοκεῖ καὶ τὸ ἁπλῶς ἀκολουθεῖν, ὡς ἐπὶ τοῦδε· ἆρ' ἐνδέχεται
τὸν αὐτὸν ἅμα ἐπιορκεῖν καὶ εὐορκεῖν; οὔ. τί δέ, ὁ ὀμόσας ἐπιορκήσειν 10
καὶ ἐπιορκήσας οὐκ εὐόρκησεν; ἐνδέχεται ἄρα ἐπιορκοῦντα εὐορκεῖν. καὶ
ἐπ' ἐκείνων δὲ λανθάνει καὶ δοκεῖ τῷ πῇ καὶ τὸ ἁπλῶς ἀκολουθεῖν, ἐν
ὅσοις μὴ ῥᾴδιον θεωρῆσαι ποτέρως τὸ πρᾶγμα χρὴ λαβεῖν. γίνεται δὲ τὸ
10 τοιοῦτον ἐν ὅσοις ὁμοίως ἔχει τὰ ἀντικείμενα. δοκεῖ γὰρ ἢ ἄμφω ἢ μη-
δέτερον δοτέον ἁπλῶς εἶναι κατηγορεῖν. οἷον ἡ ἀνδρεία καὶ καλὸν ὅτι ἀρετὴ
καὶ κακὸν διὰ τὰς ἐν πολέμῳ τρώσεις καὶ σφαγάς. ποτέρως οὖν χρὴ 20
λαβεῖν αὐτὴν καλὴν ἢ κακήν, οὐ ῥᾴδιον εἰπεῖν. καὶ τοδὶ τὸ μέγεθος ὂν
τῷ μήκει τετράπηχυ καὶ δίπηχυ τῷ πλάτει πότερον δίπηχύ ἐστιν ἢ οὔ,
15 οὐ ῥᾴδιον ἀποδοῦναι. ναὶ δὲ καὶ οὐ ἀποκρινόμενοι ἢ πῶς μὲν πῶς δ' οὐ
οὐ διαλεκτικῶς ἀπεκρίθημεν.

Οἱ δὲ γίνονται παρὰ τὸ μὴ διωρίσθαι μηδ' ἀκριβοῦσθαι τί ἐστι συλλο-
γισμὸς ἀληθὴς ἢ τί ἐστιν ἔλεγχος, οὓς καὶ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν
λέγειν εἰώθαμεν. ἔλεγχος τοίνυν ἐστὶ | κυρίως ἀντίφασις τοῦ αὐτοῦ καὶ 26
20 ἑνός, μὴ ὀνόματος, ἀλλὰ πράγματος, καὶ ὀνόματος μὴ συνωνύμου ἀλλὰ τοῦ
αὐτοῦ καὶ ἑνός, ἐκ τῶν δοθέντων, ἐξ ἀνάγκης, μὴ συναριθμουμένου τοῦ ἐν
ἀρχῇ, κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ
χρόνῳ. εἰ γὰρ μέλλοιμεν ἐλέγχειν τὸν ἡμῖν προσδιαλεγόμενον εἴ τι μὴ
καλῶς λέγοι, δεῖ τοῦτον εἰς ἀντίφασιν περιαγαγεῖν ἔχουσαν τοὺς εἰρημένους
25 προσδιορισμούς, καὶ πρῶτον τὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου εἶναι 10
καὶ κατηγορουμένου. ὁ γὰρ λέγων Σωκράτης διαλέγεται. Πλάτων οὐ δια-
λέγεται, ἢ Σωκράτης κάθηται, Σωκράτης οὐ καθεύδει, οὐ ποιεῖ ἀντίφασιν.
τὸ μὲν γὰρ ἐπ' ἄλλου καὶ ἄλλου, τὸ δὲ ἄλλο καὶ ἄλλο. καὶ μὴ ὀνόματος
δὲ δεῖ μόνον προσεῖναι ταυτότητα ἀλλὰ καὶ πράγματος· τί γάρ, εἰ κοινωνεῖ
30 μὲν ὀνόματι, μὴ κοινωνεῖ δὲ πράγματι, οἷα τὰ ὁμώνυμα; οὐ γὰρ ἂν ποιήσοι
ἀντίφασιν· ὁ γὰρ εἰπὼν κύνα ὁλακτεῖν ἢ μὴ ἀληθεύει, τὸ μὲν ἐπὶ τοῦ
χερσαίου φέρων τὸ δὲ ἐπὶ τοῦ θαλαττίου. καὶ οὐκ ἐπὶ τῶν ὁμωνύμων 20
εὐλαβεῖσθαι δεῖ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν συνωνύμων· τὸ γὰρ ζῶον
περιπατεῖ καὶ ζῶον οὐ περιπατεῖ ἄμφω ἀληθῆ καὶ συνώνυμα. ἐκ δὲ τῶν
35 δοθέντων ἐξ ἀνάγκης καὶ μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ προστέθειται
διὰ τοὺς τὸ μὴ αἴτιον τιθέντας ὡς αἴτιον, καὶ διὰ τοὺς αἰτοῦντας τὸ ἐν
ἀρχῇ· οἱ μὲν γὰρ οὐκ ἐξ ὧν ὁ προσδιαλεγόμενος δίδωσι, συμπεραίνουσιν,

---

1 τοῦ] τὸ L 2 τὸ δέμησυ N 6 ὁ om. M 10 ἡ ἄμφω N 11 ἀνδρία MN
15 ἀποκρεκάφεναι MN 16 ἀποκρινόμενοι MN 17 ἀκριβοῦσθαι MN 19 ἔλεγχον L
24 περιάγειν M 26 λέγω N 29 ταυτότητας M 30 οἷον M 34 καὶ—περι-
πατεῖ in marg. add. N²: om. L: καὶ om. M συνώνυμα] ἐνδέχεται γὰρ τὸ μὲν περιπατεῖν
τὸ δὲ μὴ τὸ ζῶον (sic) ἀλλ' οὐ ταυτά εἰσί in marg. add. N² ἐκ γὰρ L 35 προσ-
τέθηται N

καὶ δὲ τὸ ἀφωρισμένον λαμβάνουσιν ὡς ὁμολογούμενον. ζητουμένου 26
γὰρ | εἰ ἡ ψυχὴ ἀθάνατος, εἴ τις ἄφθαρτον εἴπῃ καὶ διὰ τοῦτο ἀθάνατον, 27
τὸ ἐν ἀρχῇ αἰτεῖται· οὐ γὰρ ἕτερον τοῦ ἀθανάτου τὸ ἄφθαρτον. κατὰ τὸ
αὐτὸ δὲ καὶ πρὸς τὸ αὐτό, ὡς εἰ τὸ ξύλον τόδε μήκει μὲν εἴη τρίπηχυ,
πλάτει δὲ δίπηχυ· τρίπηχυ γὰρ λέγειν αὐτὸ καὶ οὐ τρίπηχυ κατ' ἄλλο
καὶ ἄλλο ἀληθές. ὡσαύτως δὲ καὶ ἐν τῷ αὐτῷ χρόνῳ τὸ μὲν διὰ τὸ
δυνάμει καὶ ἐνεργείᾳ τὸ δὲ διὰ τὴν τοῦ χρόνου παραλλαγήν. τὸ γὰρ Σω- 10
κράτης ὁρᾷ, Σωκράτης οὐχ ὁρᾷ κοιμώμενος ἀληθῆ, τὸ μὲν κατὰ δύναμιν
καὶ καθ' ἕξιν, τὸ δὲ κατ' ἐνέργειαν. καθ' ὅσα δὲ ὁ ἀληθὴς ἔλεγχος, παρὰ
τοσαῦτα καὶ ὁ ψευδής· ἃ γὰρ ἐν ἐκεῖνῳ τηροῦντες ὀρθοποδοῦμεν, ἐκκλίνοντες
ἐν τούτῳ ψευδόμεθα. ἔλκοι δ' ἄν τις τοῦτον τὸν παραλογισμὸν καὶ εἰς τὰ
παρὰ τὴν λέξιν σοφίσματα.

Πενταχῶς δὲ συμβαίνει γίνεσθαι καὶ τοὺς τὸ ἐν ἀρχῇ αἰτοῦντας, ὥσπερ
ἐν τοῖς Τοπικοῖς εἴρηται. φανερώτατα μὲν καὶ πρῶτον, εἴ τις αὐτὸ τὸ 20
προκείμενον εἰς δεῖξιν λάβοι ὡς ὁμολογούμενον. οὐκ αὐτὸ μέντοι κατὰ τὰς
συλλαβὰς ἢ τὰ στοιχεῖα τὸ μεταληφθησόμενον ἔσται (πῶς γὰρ ἂν λήσοι;)
ἀλλὰ κατὰ δύναμιν, ὡς ἐπὶ τῶν πολυωνύμων ἔχει καὶ ἐν ὅσοις τὸ ὄνομα
καὶ ὁ λόγος ταὐτὸν σημαίνει. πρὸς γὰρ τὸν ζητοῦντα εἴπερ ὁ ἄνθρωπος
θνητός, εἰ δοίη τις, διότι καὶ βροτός, ἢ ἡ ψυχὴ ἀθάνατος, ὅτι ἀνώλεθρος,
τὸ | εἰρημένον ποιεῖ. δεύτερον δὲ ὅταν κατὰ μέρος δέον ἀποδεῖξαι τὸ κα- 28
θόλου τις λάβοι, οἷον ἐπιχειρῶν ὅτι τῶν ἐναντίων μία ἐπιστήμη καθόλου
τῶν ἀντικειμένων μίαν εἶναι ἀξιώσει, τὰ δ' ἐναντία ἀντικείμενα· δοκεῖ γὰρ
ὃ ἔδει αὐτὸ καθ' αὑτὸ δεῖξαι, μετ' ἄλλων λαβεῖν πλειόνων ὡς ὁμολογούμενον.
καὶ τρίτον ὅταν γένηται τὸ ἐναντίον, εἴ τις καθόλου δεῖξαι προκειμένου κατὰ
μέρος αἰτήσειεν, οἷον εἰ προκειμένου πάντων τῶν ἐναντίων μίαν εἶναι ἐπι- 10
στήμην δεῖξαι τῶνδέ τινων ἀξιώσειεν. οἷον βαρέος καὶ ὀξέος τὴν μουσικήν·
δοκεῖ γὰρ καὶ οὗτος ὃ μετὰ πλειόνων ἔδει δεῖξαι, καθ' αὑτὸ χωρὶς αἰτεῖσθαι.
πάλιν εἴ τις διελὼν αἰτεῖται τὸ πρόβλημα, οἷον εἰ δέον ἅμα δεῖξαι τὴν
ἰατρικὴν ἐπιστήμην ὑγιεινοῦ καὶ νοσώδους, χωρὶς ἑκατέρου αὐτὴν ἀξιώσειεν,
εἰ δὲ τοῦτο, καὶ ἀμφω. καὶ πέμπτον εἴ τίς τι τῶν ἑπομένων ἀλλήλοις
ἐξ ἀνάγκης αἰτήσαιτο· ἑπόμενα δὲ ἐνταῦθα ὥσπερ ἐκεῖνα, εἰ ἡ διάμετρος
ἀσύμμετρος τῇ πλευρᾷ, καὶ ἡ πλευρὰ ἀσύμμετρος τῇ διαμέτρῳ· ἕπεται 20
τῷ ἑτέρῳ τὸ ἕτερον. εἰ οὖν τις διὰ θατέρου πειραθείη δεῖξαι τὸ ἕτερον,
τὸ ἐν ἀρχῇ ἤτηται. φαίνονται δὲ ἐλέγχειν ἐν τοῖς τοιούτοις οἱ σοφισταὶ
διὰ τὸ μὴ δύνασθαι τοὺς προσδιαλεγομένους συνορᾶν τὸ ταὐτὸν καὶ τὸ
ἕτερον.

Ὁ δὲ παρὰ τὸ ἑπόμενον ἔλεγχος γίνεται, ὅταν τὰ μὴ ἀντιστρέφοντα
ὡς ἀντιστρέφοντα λαμβάνηται. πάσης γὰρ κατηγορίας ἢ ἐπὶ πλέον ἢ ἐπ' |
ἴσης οὔσης, καὶ τῆς μὲν ἐπ' ἴσης ἀντιστρεφούσης, ὡς ἐπὶ τῶν ὁρισμῶν 29

---

2 εἴποι M 7 παραλαγεὶν N 11 τούτῳ] τοῦτο N 14 ἐν τοῖς Τοπικοῖς] Θ 13
18 εἴπερ] sic libri 19 θνητός] λογικός L 21 λάβῃ MN 26 ὀξέως L
31 αἰτήσοιτο MN 34 ἐν ἀρχῇ M αἰτεῖται MN 35 καὶ τὸ om. M: τὸ
om. N

ἔχει καὶ τῶν ὁριστῶν καὶ τῶν εἰδῶν καὶ ἰδίων καὶ ἐπὶ τῶν πολυωνύμων, 29
τῆς δὲ ἐπὶ πλέον οὔ, ὡς ἐπὶ τῶν γενῶν καὶ εἰδῶν καὶ τῶν συμβεβηκότων
καὶ καθ' ὧν συμβέβηκεν. ὅταν τις τὸ ἐπὶ πλέον κατηγορούμενον καὶ ἑπό-
μενον ὡς ἐξισάζον λάβοι πρὸς τὸ μερικὸν καὶ ἡγούμενον καὶ ἀντιστρέψῃ,
5 δοκεῖ ἐλέγχειν διὰ τὸ οἴεσθαι ἀντιστρέφειν τὴν ἀκολούθησιν. ὅταν γὰρ 10
τοῦδε ὄντος ἐξ ἀνάγκης τοδὶ ᾖ, καὶ τοῦδε ὄντος οἰόμεθα καὶ θάτερον εἶναι
ἐξ ἀνάγκης, ὅθεν καὶ αἱ περὶ τὴν δόξαν ἐκ τῆς αἰσθήσεως ἀπάται γίνονται.
πολλάκις γὰρ τὴν χολὴν μέλι ὑπελάβομεν ὅτι ξανθόν· ἕπεται γὰρ τὸ ξαν-
θὸν χρῶμα τῷ μέλιτι. καὶ ἐπεὶ συμβαίνει τὴν γῆν ὅσαντος γίνεσθαι
10 διάβροχον, κἂν ᾖ διάβροχος, ὑπολαμβάνομεν ὅσαι· τὸ δὲ οὐκ ἀναγκαῖον.
ἔν τε δὲ τοῖς ῥητορικοῖς αἱ κατὰ σημεῖον ἀποδείξεις ἐκ τῶν ἑπομένων
εἰσί· βουλόμενοι γὰρ δεῖξαι ὅτι μοιχὸς ἢ κλέπτης, τὰ ἑπόμενα ἀντιστρέψαντες 20
ἔλαβον. ὅτι καλλωπιστὴς ἢ νύκτωρ πλανᾶται, ἐπὶ πλέον ὄντα· πολλοῖς γὰρ
ταῦτα μὲν ὑπάρχει, οὔτε δὲ ἅπας καλλωπίζεται ἐπὶ μοιχείᾳ, οὔτ' εἴ τις
15 νύκτωρ πλανᾶται, κλέπτης. πάλιν, ὁ Δημόκριτος φεύγει πρὸς ἔρημον, ὁ
φεύγων εἰς ἔρημον μαίνεται. ὁ Δημόκριτος ἄρα μαίνεται. ἕπεται μὲν γὰρ
παντὶ μαινομένῳ φεύγειν πρὸς ἔρημον, οὐ μήν που καὶ εἴ τις φεύγει πρὸς
ἔρημον, μαίνεται. οὐ γὰρ καὶ εἴ τις προσφιλοσοφῶν τῇ θεωρίᾳ καὶ διὰ
τοῦτο ἡσυχίας ἐρῶν τὰ | ἀθορυβώτερα τῶν χωρίων ἐπιζητεῖ, μαίνεται, εἰ 30
20 μὴ καὶ μᾶλλον ὅ τί περ κεφαλαιον σωφροσύνης ὁ αὐτὸς ἂν καὶ φρονήσεως
εἴη. ὁμοίως δὲ κἀν τοῖς λογιστικοῖς ὁ Μελίσσου λόγος ἔχει. ἐπεὶ γὰρ
ἕπεσθαί τί τινι διττῶς λέγεται, τὸ μὲν ὡς τὸ καθολικώτερον ἁπλῶς τῷ
μερικωτέρῳ οἷα τὰ εἰρημένα. τὸ δὲ ὡς τὰ κατὰ τὴν σὺν ⟨ἀντιθέσει⟩ ἀντι-
στροφήν, ἢ τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρεῖ τὸ ἡγούμενον, ὁ Μέλισσος
25 ἁμαρτάνει μὴ καλῶς χρώμενος· οὐ γὰρ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖ 10
τὸ ἡγούμενον, ἀλλὰ τῇ τοῦ ἡγουμένου τὸ ἑπόμενον. συλλογιζόμενος ὅπως
τὸ ὂν ἓν καὶ ἄπειρον οὕτω τίθησι· τὸ ὂν οὐ γέγονεν, τὸ μὴ γεγονὸς ἀρχὴν
οὐκ ἔχει, τὸ μὴ ἀρχὴν ἔχον ἄπειρον· εἰ δὲ τοῦτο, καὶ ἕν. τὸ ἄρα ὂν ἓν
καὶ ἄπειρον. κατασκευάζει δὲ τὰς προτάσεις τὴν μὲν πρώτην οὕτως· εἰ
30 γὰρ γέγονε τὸ ὄν, ἐξ ὄντος ἂν ἐγένετο πάντως· οὐ γὰρ ἂν ἐκ τοῦ μηδαμῆ
μηδαμῶς. ἡμεῖς δὲ τὰ αὐτὰ ἂν εἴποιμεν καὶ περὶ ἐκείνου καὶ περὶ τοῦ 20
ἀνωτέρου καὶ τοῦτο εἰς ἄπειρον· οὐκ ἄρα τὸ ὂν γέγονε. τὴν δὲ δευτέραν
τὴν 'τὸ ἀγένητον ἀρχὴν οὐκ ἔχει' κατασκευάζει δῆθεν διὰ τῆς σὺν ἀντιθέσει
ἀντιστροφῆς. εἰ γὰρ τὸ γεγονός, φησίν, ἀρχὴν ἔχει, τὸ μὴ γεγονὸς ἀρχὴν
35 οὐκ ἔχει. οὐκ ἔδει δὲ οὕτως, ἀλλ' ἐκείνως, τὸ μὴ ἀρχὴν ἔχον οὐδὲ γέγονεν.
οὐ γὰρ εἴ τι μὴ γέγονε, καὶ ἀρχὴν οὐκ ἔχει, ὥσπερ οὐδ' εἴ τι μὴ ἄνθρω-
πος, | οὐδὲ ζῶον. τὰ γὰρ οὐράνια σώματα κατὰ τοὺς Ἑλληνικοὺς καὶ 31
παλαιοὺς λόγους ὄντα ἀγένητα ἀρχὴν ἔχει τὸ κέντρον τῆς οἰκείας ὁλότητος.
οὕτω δὲ διεψευσμένος ἐν τούτῳ τὰ ἑξῆς ἐπάγει ἀκόλουθα.

---

4 λάβῃ MN 6 τόδε MN 11 ἀποδείξεις ex ἀποδείξαι corr. N 14 οὔτε γὰρ L
17 φεύγειν εἰς MN 21 λογιστικοῖς] συλλογιστικοῖς Aristoteles 23 σὺν om. MN
ἀντιθέσει add. Vitelli; cf. v. 33 et Alex. f. 17 24 ἢ] ἢ M 35 οὐδὲ] γὰρ οὐδὲ M
36 οὐ — γέγονε om. N 39 τοῦτο N

Ἕκτος δὲ τρόπος ὁ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέμενος, ὃς καὶ μὴ 31
παρὰ τοῦτο ἐν ἑτέροις ὠνόμασται. γίνεται δὲ ὅταν προσληφθῇ τὸ ἀναίτιον
ὡς παρ' ἐκεῖνο γινομένου τοῦ ἐλέγχου. συμβαίνει δὴ τὸ τοιοῦτον ἐν τοῖς 10
εἰς τὸ ἀδύνατον συλλογισμοῖς· ἐν τούτοις γὰρ ἀναιρεῖν τι δεῖ τῶν κειμένων.
5 ἐὰν οὖν καταριθμηθῇ ἐν τοῖς ἄλλοις ἐρωτήμασι τοῖς καὶ ἀναγκαιοτέροις
καὶ χρησιμωτέροις πρὸς ἐξαπάτην τῷ σοφιστῇ πρὸ τοῦ συμπεράσματος δι'
οὗ συμβαίνει τὸ ἀδύνατον, δόξει παρὰ τοῦτο γίνεσθαι πολλάκις ὁ ἔλεγχος.
εἰ γάρ τις θείη τῶν σοφιστῶν τὸ ζῶον παντὶ λευκῷ, εἶτα μὴ συνομολο-
γούντων ἡμῶν πειρᾶται ἐλέγχειν, καὶ δὴ λήψεται τὸ ἀντιφατικῶς ἀντικείμενον
10 τῆς ἡμετέρας προτάσεως μιμούμενος τὸν ἀληθῆ ἔλεγχον· φήσει γὰρ ὡς εἰ 20
ψεῦδος τὸ τὸ ζῶον παντὶ λευκῷ, ἀληθὲς δήπου τὸ μὴ παντί, καὶ οὐκ ἂν
δήπου τῷ ἀληθεῖ ἄτοπόν τι ἕψεται, καὶ συλλογίζεται οὕτως· τὸ ζῶον οὐ
παντὶ λευκῷ καθ' ὑμᾶς, τὸ λευκὸν παντὶ πτηνῷ, τὸ πτηνὸν παντὶ κόρακι,
τὸ λευκὸν ἄρα παντὶ κόρακι, τὸ ζῶον ἄρα οὐ παντὶ κόρακι. ἀλλὰ μὴν
15 τοῦτο ψεῦδος. ψευδὴς ἄρα καὶ ἡ ὑπόθεσις ᾗ τὸ ἀδύνατον ἠκολούθησεν. 32
αὕτη δ' ἦν ἡ τὸ ζῶον οὐ παντὶ λευκῷ· λείπεται ἀληθὲς εἶναι τὸ παντί.
ἀλλ' οὐ παρὰ τοῦτο (οὐδὲν γὰρ ἧττον συμβαίνει τὸ ψεῦδος καὶ λείποντος),
ἀλλὰ παρὰ τὴν λέγουσαν πρότασιν τὸ λευκὸν παντὶ πτηνῷ. πάλιν ἡμῶν
λεγόντων 'ἡ ψυχὴ καὶ ἡ ζωὴ ταὐτὸν τῷ αἰτίῳ', ὁ σοφιστὴς ἀναιρῶν οὕτω
20 λέγει, ὡς, εἰ ἀληθές, οὐχ ἕξει τι τῶν ἑπομένων ἀδύνατον, νυνὶ δὲ ἕπεται.
οὐκ ἄρα ἀληθές. ἔχει γὰρ οὕτως· εἰ γὰρ τῇ φθορᾷ ἡ γένεσις ἐναντίον 10
ἡ καθόλου τῇ καθόλου, καὶ τῇ τινὶ φθορᾷ τὶς γένεσις ἐναντίον ἔσται· τὶς
δὲ φθορὰ ὁ θάνατος· ἕξει ἄρα τινὰ γένεσιν ἐναντίον, ἐναντίον δὲ θανάτῳ
οὐκ ἄλλο ἀλλ' ἢ ζωή, ὥστ' ἔσται ἡ ζωὴ τὶς γένεσις. εἰ δὲ τοῦτο, καὶ τὸ
25 ζῆν ἔσται γίνεσθαι καὶ τὸ ζῶον, ᾗ ζῇ, γίνεται. ἀλλὰ μὴν τοῦτο ἀδύνατον·
ἀδύνατον ἄρα καὶ τὸ λέγειν τὴν ψυχὴν καὶ ζωὴν ταὐτόν. ἀλλ' οὐ παρὰ
τοῦτο, οὐδὲ τοῦτο τοῦ ψεύδους αἴτιον (ἀφαιρεθέντος γὰρ πάλιν τὸ ἄτοπον
ἔσται), ἀλλὰ τὸ τιθέναι τὸν θάνατον φθοράν· οὐ γὰρ ὁ θάνατος φθορὰ 20
ἀλλὰ διάλυσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, τοῦτο δὲ οὐ φθορά. οὐ
30 γὰρ ἅπαν τὸ χωρισθὲν ἤδη καὶ ἔφθαρται, ὡς ἐπὶ σίτου καὶ κριθῆς καὶ
τῶν ὁμοίων ἔχει· ᾤχετο δ' ἂν καὶ τὸ σῶμα καὶ ἡ ψυχὴ φθαρέντα τῷ
θανάτῳ, νῦν δὲ διαμένει· καὶ ζωὴ μὲν ἐναντίον ἔσται τινὶ λύσει ὅπερ ὁ
θάνατος, φθορὰ δὲ τῷ ἀψύχῳ σώματι. ἀσυλλόγιστοι μὲν οὖν οὐκ | εἰσὶν 33
οἱ τοιοῦτοι λόγοι, πρὸς δὲ τὸ προκείμενον ἀσυλλόγιστοι, καὶ λανθάνει πολ-
35 λάκις οὐχ ἧττον αὐτοὺς τοὺς ἐρωτῶντας τὸ τοιοῦτον.

Οἱ μὲν οὖν παρὰ τὸ ἑπόμενον καὶ παρὰ τὸ μὴ αἴτιον τοιοῦτοι, τὸ δὲ παρὰ τὸ τὰ δύο ἐρωτήματα ἢ καὶ πλείω ἓν ποιεῖν γίνεται, ὅταν λανθάνῃ πλείω ὄντα καὶ ὡς ἑνὸς ὄντος ἀποδοθῇ ἀπόκρισις μία. καὶ ἐπ' ἐνίων μὲν ῥᾴδιον ἰδεῖν

1 ὃς] ἃ MN 3 δὴ] δὲ Spengel 4 δεῖ om. L 8. 9 συγχωρούντων MN 12 ἀληθῆ N 13 καθ' ἡμᾶς MN 14 τὸ λευκὸν—κόρακι in marg. add. L μὴν] μὲν M 15 ᾗ] ἢ M 16 ἡ om. MN 21 ἀληθὴς N εἰ δὲ M γένησις N 28 φθορὰ] φθορὰν N 31 καὶ τῷ N 33 φθορὰ N 36 ἑπόμενον—τὸ δὲ παρὰ in ras. L

ὅτι πλείω καὶ ὅτι οὐ δοτέον ἀπόκρισιν μίαν, οἷον πότερον ἡ γῆ θάλαττά 33
ἐστιν ἢ ὁ οὐρανός· ἐπ' ἐνίων δ' ἧττον, καὶ ὡς ἑνὸς ὄντος ἢ ὁμολογοῦσι 10
τῷ μὴ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ἢ ἀποκρινόμενοι μὴ καλῶς ἐλέγχεσθαι
φαίνονται. οἷον ἆρ' οὗτος καὶ οὗτος ἄνθρωπός ἐστιν; ὥστθ' ὅταν τις τύπτει
5 τοῦτον καὶ τοῦτον, ἄνθρωπον τύπτει καὶ οὐκ ἀνθρώπους. καὶ πάλιν ὧν
τὰ μέν ἐστιν ἀγαθὰ τὰ δ' οὐκ ἀγαθά, εἰ ὁμοῦ ἐρωτηθέντα ἁπλῶς ἀγαθὰ
μόνως ἢ οὐκ ἀγαθὰ δοίη τις, ἁμαρτάνει· ὁπότερον γὰρ ἂν φαίη τῶν τῆς 20
ἀντιφάσεως μορίων, ἔστι μὲν ὡς ἔλεγχον ἢ ψεῦδος φαινόμενον δόξειεν ἂν
ποιεῖν· τὸ γὰρ φάναι τῶν μὴ ἀγαθῶν τι εἶναι ἀγαθὸν ψεῦδος, οἷον πότερον
10 ἡ σωφροσύνη καὶ δικαιοσύνη ἀκολασία τε καὶ ἀδικία ἀγαθά; οὔτε γὰρ
καταφῆσαι πρὸς ταῦτα καθάπαξ καλόν, οὔτ' ἀπαρνήσασθαι, τὸ μὲν διὰ τὰς
κακίας τὸ δὲ διὰ τὰς ἀρετάς, ἀμφότερα δὲ οὐ διαλεκτικόν. καὶ ταῦτα μὲν
οὕτως. ἐνίοτε δὲ προσληφθέντων τινῶν κἂν ἔλεγχος γίγνοιτο ἀληθινος. 31
οἷον εἴ τις δοίη ὁμοίως ἓν καὶ πολλὰ λέγεσθαι λευκὰ καὶ γυμνὰ καὶ τυφλὰ
15 καὶ οὕτω προτείνοιτο, ἆρά γε ὁ ἐπὶ ἑνός, τοῦτο καὶ ἐπὶ πολλῶν; ναί. τί
δαί; εἰ λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, οὐχὶ καὶ ἅπαντα τὰ λευκὰ
χρώματα ἔσονται διακριτικὰ ὄψεως, χιών, κύκνος, γάλα καὶ τὰ λοιπά; πάλιν
εἰ γυμνόν ἐστι τὸ ἐστερημένον ἐνδύματος, καὶ γυμνὰ ἔσονται τὰ ἐστερημένα
ἐνδύματος· ἀλλὰ μὴν κίονες, λίθοι, ξύλα ἐστέρηνται μὲν ἐνδύματος, γυμνὰ 10
20 δὲ οὐ λέγονται. ἔτι εἰ τυφλὸν τὸ μὴ ἔχον ὄψιν πεφυκὸς δὲ ἔχειν, οὐχὶ
καὶ πάντα τυφλὰ ἔσται τὰ μὴ ἔχοντα ὄψιν, πεφυκότα δὲ ἔχειν; ἔσται γοῦν
ἄμφω τὰ σκυλάκια, τό τε διὰ πήρωσιν μὴ ὁρῶν, ὃ καὶ κυρίως τυφλόν,
καὶ τὸ μήπω βλέπον διὰ τὴν ἡλικίαν, ὃ καταχρηστικῶς οὕτω λέγομεν,
ὁμοίως τυφλά.

25 6. Ἢ δὴ οὕτω διαιρετέον τοὺς φαινομένους συλλογισμοὺς καὶ ἐλέγχους,
ὡς τοὺς μὲν παρὰ τὴν λέξιν τίθεσθαι, τοὺς δὲ παρὰ τὰ πράγματα καὶ τῆς 20
λέξεως ἐκτός, καὶ τοσούσδε κατ' εἴδη καὶ τοιούσδε προσονομάζειν, ὥσπερ
δὴ καὶ ἐκτέθεινται, ἢ πάντας ἀνακτέον εἰς τὴν τοῦ ἀληθοῦς ἐλέγχου
ἄγνοιαν, ἀρχὴν ταύτην ποιησαμένους. ἔστι γὰρ ἅπαντας ἀναλῦσαι τοὺς
30 λεχθέντας εἰς τὸν τοῦ ἐλέγχου διορισμόν· παρὰ γὰρ τὸ ἀγνοεῖν τοὺς προσ-
διαλεγομένους, ὁπόσα φυλάττεσθαι χρὴ τὸν ἀληθῶς ἐλέξοντα καὶ ποῖα,
τόπον οἱ σοφισταὶ πρὸς ἀπάτην εὑρίσκουσι. καὶ πρῶτον μὲν καθ' ἓν τοῦτο 30
πάντας ἀνάξομεν, εἴπερ πάντες ἀσυλλό|γιστοι, ὁ δὲ ἔλεγχος συλλογισμός 35
τις· δεῖ γὰρ ἐκ τῶν κειμένων συμβαίνειν τὸ συμπέρασμα, ὥστε λέγειν ἐξ
35 ἀνάγκης ἀλλὰ μὴ φαίνεσθαι. ἔπειτα καὶ κατὰ μέρη τοῦ διορισμοῦ. ἐπεὶ
γὰρ ὁ ἀληθὴς ἔλεγχος ἀντίφασίς ἐστι τοῦ αὐτοῦ καὶ ἑνὸς ὀνόματος καὶ
πράγματος, τῶν δὲ ἐν τῇ λέξει σοφισμάτων τὰ παρὰ τὸ διττόν, οἷον ἡ
ὁμωνυμία καὶ ἀμφιβολία καὶ ἡ ὁμοιοσχημοσύνη (σύνηθες γάρ, ὡς κἀν τοῖς
ἔμπροσθεν ἐλέγετο) πάντα ταῦτα ὡς τόδε τι σημαίνει καὶ ἕν, τὸ κύων, τὸ 10

4 ὅταν τις] ὅστις M τύπτη N Arist. 5 ἄνθρωπον τύπτη N 7 μόνοις M 9 ἀγαθῶν ex ἀγαθὸν corr. N 10 σοφροσύνη N 15. 16 τί δὲ MN 20 ἔχοντα N πεφυκότα N οὐχὶ—ἔχειν (21) om. N 23 βλέπων N 37 δὲ om. MN 39 ἐγένετο M

σιγῶντα λέγειν, τὸ ἀλγεῖν καὶ ποιεῖν, πῶς ἂν εἶεν ἔλεγχοι ἀληθεῖς ἢ συλ- 35
λογισμοὶ πρότασιν ὑγιᾶ μὴ ἔχοντες; ἡ δέ ἐστιν ἡ ἓν καθ' ἑνὸς σημαίνουσα.
ἡ δὲ σύνθεσις καὶ διαίρεσις καὶ ἡ προσῳδία ἐκπίπτουσι πάλιν διὰ τὰ αὐτὰ
ἴσως. καὶ τὸ μὴ τὸν αὐτὸν εἶναι τὸν λόγον συντιθέμενον ἢ διαιρούμενον ἢ
5 τὸ ὄνομα τὸ διαφέρον· ἄλλο γὰρ σημαίνει ὅρος δασυνόμενον καὶ ἄλλο
ψιλούμενον· ἔδει δὲ καὶ τοῦτο καθάπερ τὸ πρᾶγμα ταὐτὸν εἶναι, εἰ μέλλει
ἔλεγχος ἢ συλλογισμὸς ἔσεσθαι. νυνὶ δὲ ὅρος δοὺς τὸν ὁρισμὸν δασυνόμενον 20
τὸ ὅρος συνάγει ψιλούμενον. ὁ μέντοι γε φιλοσόφως συλλογιζόμενος οὐδ'
ἐπὶ τῶν πολυωνύμων καὶ ἐφ' ὧν ἓν τὸ πρᾶγμα κἂν τοῖς διαφόροις ὀνόμασιν
10 ἕτερον ἀνθ' ἑτέρου συναγαγεῖν ἐπιβαλεῖ. μήτοι γε ἐν τοῖς τοσοῦτον διεστη-
κόσιν. οὐ γὰρ λώπιον ἐν προτάσει δοὺς ἱμάτιον συμπεραίναιτο ἀλλὰ λώπιον·
πρὸς γὰρ τῷ τὴν παράδοσιν ἐκκλίνειν τῷ μὴ ἐκ τῶν κειμένων συνάγειν
καὶ δευτέρας ἐρωτήσεως χρεία. εἴπερ ταὐτὸ σημαίνει τῷ ἱματίῳ. πρὸς τὸν 36
ζητοῦντα τὸ διὰ τί. οἷον εἴ τις οὕτω τίθησι τὸ λώπιον κρύους καὶ
15 καύσωνος κωλυτικὸν τῷ σώματι· τὸ τοιῶνδε παρεκτικὸν χρήσιμον', τὸ λώ-
πιον ἄρα χρήσιμον· ἀληθὲς μὲν γὰρ καὶ τὸ ἱμάτιον ἀντὶ τοῦ λωπίου
χρήσιμον εἰπεῖν, ἀλλ' οὐ συλλελόγισται, καὶ προσερωτήσει δὲ εἴ τις κοινωνία
λωπίου καὶ ἱματίου.

Καὶ οὕτω μὲν οἱ ἐν τῇ λέξει ἓξ παραλογισμοὶ παρὰ τὸν πρῶτον διο- 10
20 ρισμὸν εἰς τὴν τοῦ ἐλέγχου ἀνήχθησαν ἄγνοιαν· οὐδεὶς γὰρ τὸ αὐτὸ τοῦ
αὐτοῦ κατέφησε καὶ ἀπέφησεν· οἱ δὲ παρὰ τὸ συμβεβηκός. ἵνα καὶ πρὸς
τοὺς ἐκτὸς τῆς λέξεως ἀπίδωμεν παραλογισμούς, ὁρισθέντος τοῦ συλλογισμοῦ
φανεροὶ γίνονται διαμαρτόντες. τὸν δὲ αὐτὸν ὁρισμὸν δεῖ καὶ τοῦ ἐλέγχου
εἶναι ὅνπερ καὶ τοῦ συλλογισμοῦ, πλὴν προσκεῖσθαι τὴν ἀντίφασιν· ἔστι
25 γὰρ ἔλεγχος συλλογισμὸς ἀντιφάσεως ἐχούσης τοὺς εἰρημένους διορισμούς.
εἰ οὖν μὴ ἔστι συλλογισμὸς τοῦ συμβεβηκότος, οὐδὲ ἔλεγχος ἐγχωρεῖ εἶναι 20
ἀπὸ τοῦ συμβεβηκότος. οὐκ ἔστι δέ· οὐ γὰρ εἰ τούτων ὄντων ἀνάγκη τόδε
εἶναι. καὶ τοῦδε τόδε. ἤδη ἀνάγκη καὶ τὸ πρῶτον τῷ ἐσχάτῳ ἐνεῖναι. οἷον
εἰ τοῦ κύκνου † λευκοῦ ὄντος, τὸ δὲ χρῶμα, οὐκ ἤδη ὁ κύκνος χρῶμα.
30 οὐδ' εἰ τὸ τρίγωνον δυοῖν ὀρθαῖν τὰς τρεῖς γωνίας ἴσας ἔχει, συμβέβηκε
δὲ αὐτῷ σχήματι | εἶναι ἢ πρώτῳ ἢ ἀρχῇ, ἤδη καὶ πᾶν σχῆμα τὰς τρεῖς 37
γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει· πάλαι γὰρ τὸ οὕτω λέγειν ἐλήλεγκται· οὐ
γὰρ ἡ σχῆμα οὐδ' ἡ πρῶτον, ἀλλ' ἡ τρίγωνον ἡ ἀπόδειξις πρόεισιν.
πρῶτον δὲ καὶ ἀρχὴ τῶν σχημάτων τὸ τρίγωνον, εἴπερ τούτῳ τἆλλα καὶ
35 συντίθεται καὶ διαλύεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥστε εἰ ὁ
ἔλεγχος συλλογισμός τις, οὐκ ἂν εἴη ἔλεγχος κατὰ συμβεβηκὸς ἀληθής.
ἀλλὰ παρὰ τοῦτον καὶ οἱ τεχνῖται καὶ ὅλως οἱ ἐπιστήμονες ὑπὸ τῶν ἀνεπι- 10

5 ὅρος L 6 μέλλοι MN 7 ὅρους N 7. 11 δοὺς] fort. δόντος 9 κἂν M
11 post γὰρ add. εἰ L ἐν τῇ προτάσει MN συμπεράνοιτο libri 14 εἴ τις
om. M 15 τοιῶνδε ἐκ τοιόνδε corr. L 23 ἁμαρτάνοντες MN δὲ] γὰρ Aristoteles
26 οὐδὲ—συμβεβηκότος (27) om. N 27 συμβεβηκότες L 28 τὸ ex τῷ corr. L
29 λευκοῦ ὄντος] ὄντος λευκόν ἐστιν Spengel 30 δύο ὀρθαῖς MN 33 οὐδὴ πρῶτον N
35 καὶ διαλύεται om. M 37 τεχνῆται N

στημόνων ἐλέγχονται· κατὰ συμβεβηκὸς γὰρ ποιοῦνται τοὺς συλλογισμοὺς 37
πρὸς τοὺς εἰδότας. οἱ δὲ οὐ δυνάμενοι διαιρεῖν, ποῖα δεῖ κατηγορεῖν καὶ
ὅπως, ἢ ἐρωτώμενοι διδόασιν ἢ οὐ διδόντες οἴονται δεδωκέναι.

Οἱ δὲ παρὰ τὸ πῇ καὶ ἁπλῶς παραλογισμοὶ ἀνάγονται εἰς τὴν τοῦ
5 ἐλέγχου ἄγνοιαν καὶ αὐτοί, ὅτι οὐ τοῦ αὐτοῦ ἡ κατάφασις καὶ ἀπόφασις·
τοῦ γὰρ πῇ λευκοῦ τὸ πῇ οὐ λευκόν, τοῦ δὲ ἁπλῶς λευκοῦ τὸ ἁπλῶς οὐ 20
λευκὸν ἀπόφασις. εἰ οὖν δόντος τὸ πῇ εἶναι λευκὸν τὸν Αἰθίοπα ὡς ἁπλῶς
εἰρημένον λαμβάνει, οὐ ποιεῖ ἔλεγχον· οὐ γὰρ ἐκ τῶν δεδομένων συλλογί-
ζεται, φαίνεται δὲ διὰ τὴν ἄγνοιαν τοῦ τί ἐστιν ἔλεγχος.

10 Φανερώτατα δὲ πάντων οἱ πρότερον λεχθέντες παραλογισμοί, λέγω δὴ
τοὺς περὶ τὴν λέξιν, παρὰ τὸν τοῦ ἐλέγχου γίνονται διορισμόν, διὸ καὶ
οὕτω προσηγορεύθησαν· παρὰ γὰρ τοῦ λόγου τὴν ἔλλειψιν καὶ τὸ ὑπερβαίνειν
τῶν ἐν | τῷ τοῦ ἀληθοῦς ἐλέγχου ὁρισμῷ τηρουμένων ἡ φαντασία τῆς 38
ἀπάτης γίνεται. διαιρουμένοις οὖν οὕτω τοῖς τοιούτοις σοφίσμασι κοινὸν
15 ἐπὶ πᾶσι θετέον τὴν τοῦ ὁριστικοῦ λόγου ἔλλειψιν.

Πάλιν δὲ ἐπὶ τοὺς ἐκτὸς τῆς λέξεως ἐρχόμενοι λέγομεν, ὡς καὶ οἱ
λαμβάνοντες τὸ ἐν ἀρχῇ καὶ οἱ τὸ ἀναίτιον ὡς αἴτιον τιθέμενοι δῆλοι διὰ
τοῦ ὁρισμοῦ τοῦ ἀληθοῦς ἐλέγχου ὡς παρὰ τὴν τούτου ἄγνοιαν καὶ τὴν
ἔλλειψιν γίνονται. δεῖ γὰρ ἐν τοῖς κυρίως συλλογισμοῖς τὸ συμπέρασμα 10
20 γίνεσθαι τῷ ταῦτα εἶναι καὶ ὡς ἀπ' αἰτίων γεννᾶσθαι τῶν προτάσεων
ἕτερον ὂν ἐκείνων, ὅπερ οὐκ ἦν ἐν τοῖς ἀναιτίοις, καὶ μὴ συναριθμεῖσθαι
τὸ ἐξ ἀρχῆς, ὅπερ οὐκ ἔχουσιν οἱ παρὰ τὴν αἴτησιν τοῦ ἐν ἀρχῇ.

Οἱ δὲ παρὰ τὸ ἑπόμενον μέρος εἰσὶ τοῦ συμβεβηκότος, καὶ εἰ ἐκεῖνοι
πίπτουσι τοῦ διορισμοῦ ἐκτός. καὶ οὗτοι· οὐ γὰρ τὸ ὅλον, καὶ τὸ μέρος.
25 διαφέρουσι δὲ καὶ ἀλλήλων τῷ τοὺς μὲν κατὰ συμβεβηκὸς περαίνειν ἁπλῶς 20
καὶ μὴ ἀντιστρέφειν, τοὺς δὲ παρὰ τὸ ἑπόμενον ἀντιστρέφειν, καὶ ὥσπερ
δὶς τὸ αὐτὸ λαμβάνειν τῇ μεταποιήσει. διὰ τοῦτο καὶ τὸν μὲν ἐφ' ἑνὸς
λέγομεν τὸν δὲ ἐν πλείοσι· τὰ γὰρ ἑνὶ ταὐτὰ καὶ ἀλλήλοις ἀξιοῦμεν. ἔστι
δ' οὐ πάντως ἀληθῶς· οὐ γάρ, εἰ ὁ κύκνος λευκόν, καὶ τὸ λευκὸν πάντως
30 κύκνος. ἢ πάλιν ὡς ἐν τῷ Μελίσσου λόγῳ τὸ αὐτὸ εἶναι λαμβάνει τὸ 39
γεγονέναι καὶ ἀρχὴν ἔχειν· ἐπεὶ γάρ, φησί, τὸ γεγονὸς καὶ τὸ πεπερασμένον
εἰσὶ ταὐτὰ τῷ ἔχοντι ἀρχήν. ἔσται λοιπὸν καὶ τὸ γεγονὸς καὶ τὸ ἔχον ἀρχὴν
ταὐτά. ἢ τὸ ἴσοις γίνεσθαι καὶ τὸ αὐτὸ μέγεθος λαμβάνειν· οὐ γάρ, εἰ
τὰ τὸ αὐτὸ κατὰ ποσὸν μέγεθος λαμβάνοντα ἴσα γίνεται, καὶ τὰ ἴσα γινό-
35 μενα ἓν μέγεθος λαμβάνει, οἷον εἴπερ Σωκράτης καὶ Θεαίτητος ἴσοι (τρι-
πήχεις γὰρ ἄμφω), ἤδη που καὶ ἓν κατ' ἀριθμὸν καὶ ταὐτὸν μέγεθος 10
ἔχουσιν. ἐπὶ πᾶσι γὰρ τὸ ἑπόμενον καθόλου ὡς ἰσάζον λαμβάνει. ἐπι-
σκεπτόμενοι δὲ καὶ ἄλλως οἱ τοιοῦτοι παραλογισμοὶ τὸ ἀσύστατον ἔχουσιν.
δύο γὰρ καταφάσεις ἐν δευτέρῳ λαμβάνουσι σχήματι.

---

2 οὐ om. M δεῖ] δὴ L 10 λέγω δὴ post λέξιν ponit L 11 περὶ LN Alex.: παρὰ M 14 οὕτω om. MN 18 ἔλεγχον M 20 ἀπ' om. M 21 ἐν τοῖς ἐναντίοις M 24 οὐ γάρ N 30 ἐν τὰ M 32 ἔχοντι] ἔχειν L 33 ἴσους N: ἴσως M

Οἱ δὲ παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν ἐν τῷ μὴ διαρθροῦν 39
ἡμᾶς τὸν τῆς προτάσεως λόγον. πρότασις γάρ ἐστιν ἡ ἓν καθ' ἑνὸς κατη-
γοροῦσα ἢ ἀποφάσκουσα· ἑκάτερος γὰρ τῶν κειμένων ὅρων ἓν ἀξιοῦται 20
σημαίνειν πρᾶγμα, οἷον ἄνθρωπος καὶ λευκὸν ἑνὸς ἑκάτερος ἔσται δηλωτι-
5 κὸς καὶ οὐ πλειόνων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ οὖν μία πρότασις
ἡ ἓν καθ' ἑνὸς ἀξιοῦσα, καὶ ἁπλῶς ἔσται πρότασις ἡ τοιαύτη ἐρώτησις. ἐπεὶ
δὲ συλλογισμὸς ἐκ προτάσεων, ἡ δὲ πρότασις ἓν καθ' ἑνός, φανερὸν ὅτι
καὶ οὗτος ἔσται ἐν τῇ ἐλέγχου ἀγνοίᾳ· φαί|νεται γὰρ εἶναι πρότασις ἡ οὐκ 40
οὖσα πρότασις. ἂν τοίνυν πλειόνων ἐρωτημάτων προτεθέντων παρὰ τοῦ σο-
10 φιστοῦ ἐποιήσατο τὴν ἀπόκρισιν ὁ προσδιαλεγόμενος ὡς πρὸς μίαν ἐρώτησιν,
ἔσται ἔλεγχος· εἰ δὲ μὴ δέδωκε φανερῶς, ἀλλὰ φαίνεται τῷ σιωπῆσαι ἢ
τῷ διστάσαι, φαινόμενος. ὥστε πάντες οἱ τρόποι πίπτουσιν εἰς τὴν τοῦ
ἐλέγχου ἄγνοιαν. τί δὲ κωλύει καὶ πάλιν ἀναλαβεῖν καὶ δὶς τὰ αὐτὰ διὰ
τὸ σαφέστερον ἐπελθεῖν καὶ λύσιν τινὰ μετρίαν πρὸ τῆς ἀκριβεστέρας καὶ 10
15 μείζονος κἀντεῦθεν δοῦναι τοῖς παραλογισμοῖς; οἱ μὲν οὖν παρὰ τὴν λέξιν,
ὡς εἴρηται, πεσοῦνται πάντες ἐκτὸς τοῦ διορισμοῦ, ὅτι οὐκ ἀληθῆ συν-
άγουσιν ἀντίφασιν, ὅπερ ἦν τοῦ κυρίως ἐλέγχου, ἀλλὰ φαινομένην· τὸ γὰρ
κύων ὑλακτεῖ, κύων οὐχ ὑλακτεῖ οὐκ ἀντίφασις, ὡς συναληθεύουσα ἐπ'
ἄλλου καὶ ἄλλου λαμβανομένη· οἱ δ' ἄλλοι παρὰ τὸν τοῦ συλλογισμοῦ
20 ὁρισμὸν ἐλλείψαντός του τῶν παρατετηρημένων οἷς ὅ τε ἁπλῶς συνίσταται
συλλογισμὸς καὶ ὁ ἀληθὴς ἔλεγχος. 20

7. Γίνεται γοῦν ἡ ἀπάτη ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι τῶν μὲν
παρὰ τὴν ὁμωνυμίαν καὶ τὸν ἀμφίβολον λόγον τῷ μὴ δύνασθαι διαιρεῖν
ἡμᾶς τὸ πολλαχῶς λεγόμενον. ὁ γὰρ συναισθόμενος, κατὰ πόσων σημαι-
25 νομένων τὸ κύων ἢ τὸ σιγῶντα φέρεται, καὶ διελόμενος ἧττον ἐν τοῖς τοιού-
τοις ἀπατηθήσεται· ἐργῶδες δὲ τοῦτο ποιεῖν αὐτίκα καὶ τοῖς εἰς ἄκραν
ἕξιν λογικὴν | ἀφιγμένοις. ἔστι γὰρ ἃ κἀκείνοις οὐκ εὔπορον διελεῖν ἀγωνιζο- 41
μένοις ἀθρόως, οἷον τὸ ὄν, τὸ ἓν καὶ τὸ ταὐτόν. ἴσως δ' ἂν διαιρεθεῖεν
τό τε ὂν ἐν τοῖς δέκα γένεσι καὶ ἐν τῷ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ταὐτόν
30 τι ἕτερον ἑτέρῳ πάλιν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ· κατὰ τὰ αὐτὰ δὲ καὶ
τὸ ἕν. τῶν δ' αὖ περὶ τὴν σύνθεσιν καὶ διαίρεσιν ἡ ἀπάτη τῷ μηθὲν
οἴεσθαι διαφέρειν συντιθέμενον τὸν λόγον ἢ διαιρούμενον καὶ καταφρονεῖν
ὡς οὐδὲν πρᾶγμα· τὸ δὲ διαφέρει πάμμεγα. καὶ ἴσως ἔν τισι ταὐτὸν καὶ 10
ἡνωμένος καὶ διῃρημένος ὁ λόγος σημαίνει ὡς ἐπὶ τῶν ὁρισμῶν ἔχει, οὐκ
35 ἐπὶ πάντων δέ. ὁμοίως δὲ καὶ τῶν παρὰ τὴν προσῳδίαν ἡ ἀπάτη· οὐ
γὰρ ἄλλο δοκεῖ σημαίνειν τοῖς ἐρωτωμένοις ἀνιέμενος καὶ ἐπιτεινόμενος ὁ
λόγος. ἐπ' οὐδενὸς γὰρ ἢ οὐκ ἐπὶ πολλῶν τὸ τοιοῦτον εὕροι τις ἄν· ἐπὶ
γὰρ τῶν πλείστων πρὸς τὴν διαφορὰν τοῦ τόνου ἢ τοῦ πνεύματος καὶ ἡ
τῆς λέξεως ἀκολουθεῖ σημασία. Θάλης μὲν γὰρ καὶ Θαλῆς ταὐτὸν σημαίνει· 20

---

1 τὸ om. LN 4 σημαίνει M 9 ἂν] sic libri 12 τὴν om. M 14 ἀπελθεῖν LM πρὸς N 20 παρατηρημένων M 22 οὖν MN 23 τὸν ex τῶν corr. L 25 φέρεται] φαίνεται N 27 λογικὸν M 32 διαφέρει M 35 τὴν om. MN 37 τὸ τοιοῦτον om. MN

ἄμφω γὰρ ἑνὸς ὀνόματα κύρια· τὸ δὲ ἄγνος καὶ ἁγνὸς καὶ ἀργὸς καὶ 41
Ἄργος ἕτερα. ποικίλη δὲ καὶ ἡ κατὰ τὴν ὁμοιότητα τῆς λέξεως ἀπάτη,
οἷον ἐπὶ τῶν ῥημάτων· ἢ γὰρ ἐνεργητικῶς μὲν προφέρονται, πάθος δὲ
σημαίνουσιν, ὡς τὸ ὁρᾶν καὶ ἀκούειν, ἢ τὸ ἀνάπαλιν, ὡς ἀγωνίζεσθαι,
5 μέμφεσθαι. ἔτι δὲ τὸ κινεῖν καὶ τὸ νοσεῖν ὅμοια μὲν τῇ προφορᾷ, ὥσπερ
καὶ τὸ τύπτεσθαι καὶ λοιδορεῖσθαι, ἕτερα δὲ τῷ σημαινομένῳ· τὸ μὲν
γὰρ ἐνέργειαν ἐν ἀμφοτέροις τὸ δὲ πάθος παριστάνει. ὅταν γοῦν ἁπλῶς 42
τὰ τῇ προφορᾷ ταὐτὰ καὶ τῷ πράγματι θήσομεν, ἀπατώμεθα· χαλεπὸν γὰρ
ἐν τούτοις διελεῖν, ποῖα ὡσαύτως καὶ ποῖα ὡς ἑτέρως λέγεται· σχεδὸν γὰρ
10 ὁ τοῦτο δυνάμενος ποιεῖν ἐγγύς ἐστι τοῦ θεωρεῖν τὸ ἀληθές. μάλιστα δὲ
ἐπίσταται συνεπινεύειν καὶ συμπείθειν ταὐτὰ τὰ ἕτερα οἴεσθαι οὐ μόνον
τὸ ἀδυνατεῖν διαιρεῖν ἀπ' ἀλλήλων τὰ ἐνεργοῦντα ἢ πάσχοντα, ἀλλὰ καὶ 10
τὸ ὑπολαμβάνειν τὸ καθόλου ταὐτὸν εἶναι τῷ μερικῷ· ἄνθρωπος γὰρ ὅ τε
καθόλου καὶ ὁ Σωκράτης ὁμοίως ἑνικῶς προφέρονται. ὅταν γάρ τι κατά
15 τινος κατηγορῆται, ὑπολαμβάνομεν ἐν τῷ σχήματι τῆς προσηγορίας τόδε τι
εἶναι καὶ ἑνιαῖον καὶ μερικὸν καὶ τῷ ἀριθμῷ ἕν. οὐχ οὕτω δὲ ἐν πᾶσιν
ἔχει, ἀλλὰ τῇ μὲν μερικῇ καὶ ἀτόμῳ οὐσίᾳ τοῦτο κἂν δοίη τις (ταύτῃ γὰρ
δοκεῖ μάλιστα παρέπεσθαι τὸ τόδε τι καὶ τὸ ὡρισμένον καὶ μοναδικὸν ὄν),
ταῖς μέντοι καθόλου καὶ ἁπλῶς, τοῖς γένεσι καὶ τοῖς εἴδεσιν, οὐ τὸ τόδε 20
20 μᾶλλον ἢ τὸ τοιόνδε προσήκει· ποιὰν γάρ τινα πλήθους ἀφορίζεται σχέσιν.
τάττεται δὲ ὁ παρὰ τὸ σχῆμα τρόπος ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι.
πρῶτον μὲν οὖν ἐν τούτοις ἡ ἀπάτη γίνεται μετ' ἄλλων σκοπουμένοις ἢ
καθ' αὑτούς· ἡ μὲν γὰρ μετ' ἄλλου σκέψις διὰ λόγων καὶ ὀνομάτων, ἡ δὲ
καθ' αὑτὸν οὐχ ἧττόν δι' αὐτοῦ τοῦ πράγματος. συμβαίη δ' ἄν ποτε καὶ
25 καθ' αὑτὸν ἀπατηθῆναι, ὅταν πρὸς τὸν λόγον ἢ τὰ ὀνόματα | τὴν σκέψιν 43
ποιῆται. δεύτερον δὲ ὅτι ἡ μὲν ἀπάτη ἐκ τῆς ὁμοιότητος, ἡ δὲ ὁμοιότης
ἐκ τῆς λέξεως. τῶν δὲ παρὰ τὸ συμβεβηκὸς καὶ ἐκτὸς τῆς λέξεως διὰ τὸ
μὴ δύνασθαι διακρίνειν τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ ἓν καὶ πολλά, μηδὲ
ποῖα τῶν κατηγορημάτων τῷ τε κατηγορουμένῳ καὶ τῷ ὑποκειμένῳ ταυτί-
30 ζεται, ποῖα δ' οὔ· οὐ γὰρ ἓν τὸ ἐν κύκνῳ λευκὸν καὶ ὁ κύκνος οὐδὲ
ταὐτόν, εἰ καὶ τὸ ὑποκείμενον ἓν ὥσπερ ἀνάβασις καὶ κατάβασις. ὁμοίως 10
δὲ καὶ τῶν παρὰ τὸ ἑπόμενον. ὅτι γὰρ ἐπὶ πολλῶν φαίνεται τὸ ἑπόμενον
ἀντιστρέφειν. ὡς ἐπί τε τῶν ἰδίων καὶ τῶν εἰδῶν καὶ τῶν ὁρισμῶν καὶ
ὁριστῶν, καὶ ἐπὶ πάντων οὕτως ἔχειν ἀξιοῦται. οὐκ ἔστι δέ· οὐ γάρ, εἰ
35 τόδε ἀπὸ τοῦδε μὴ χωρίζεται, οὐδὲ θάτερον ἀπὸ θατέρου, οἷον εἴπερ τὸ
μέλι τοῦ ξανθοῦ ἐκτὸς οὐχ εὑρίσκεται, καὶ τὸ ξανθὸν ἤδη τοῦ μέλιτος
ἀχώριστον. τῶν δὲ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου καὶ τῶν παρὰ τὸ πῇ

8 πράγματι θήσομεν L: πράγματι θῶμεν M: πρᾶγμα τιθῶμεν N 10 τούτου M
13 ταὐτὸν εἶναι τὸ καθόλου MN 14 προφέρονται ex προφέροντος corr. N 15 κατηγορεῖται N 22 πρῶτον μὲν ὅτι Aristoteles; cf. v. 26 ἡ ἀπάτη] μᾶλλον ἡ ἀπάτη Aristoteles 29 καὶ τὸ L 29. 30 ταυκτίζεται M 30 τὸ ex τῶ corr. N
32 ὅτι γὰρ δὲ M 34 ἀξιοῦνται LN 36 μέρι N τοῦ (ante μέλιτος) om. M

καὶ ἁπλῶς ἐν τῷ παρὰ μικρὸν ἡ ἀπάτη· ὡς γὰρ οὐδὲν προσσημαῖνον τὸ 43
τὶ ἢ πῇ ἢ τὸ ἁπλῶς ἢ τὸ πῶς ἢ τὸ νῦν καθόλου συγχωροῦμεν. ὁμοίως 21
δὲ καὶ ἐπὶ τῶν τὸ ἐν ἀρχῇ λαμβανόντων καὶ τῶν ἀναιτίων, καὶ ὅσοι τὰ
πλείω ἐρωτήματα ὡς ἓν ποιοῦσιν· ἐν ἅπασι γὰρ ἡ ἀπάτη διὰ τὸ παρὰ
5 μικρόν. οὐ γὰρ ἀκριβοῦμεν οὔτε τῆς προτάσεως οὔτε τοῦ συλλογισμοῦ τὸν
ὅρον τῷ μηδὲν ὑφορᾶσθαι ἀπαντή|σειν τῇ βραχύτητι τοῦ παροφθέντος καὶ 44
τῷ μᾶλλον συγκεχύσθαι ἐν ταῖς μετ' ἄλλου σκέψεσιν.

8. Ἐπεὶ δ' ἔχομεν παρ' ὅσα γίνονται οἱ φαινόμενοι συλλογισμοί,
ἔχομεν καὶ παρ' ὁπόσα οἱ σοφιστικοί· ταὐτὸν γὰρ ἄμφω. ἢ μικρὸν τὸ
10 διάφορον. παρὰ δὲ τοὺς τρισκαίδεκα τρόπους ἐκεῖνοι· παρὰ τοσούτους καὶ
οὗτοι. καλῶ δὲ σοφιστικὸν καὶ φαινόμενον ἔλεγχον οὐ μόνον τὸν ἁμαρτόντα
τοῦ εἴδους τοῦ συλλογιστικοῦ, ὡς ἂν ἐκ δύο μερικῶν ἢ ἀποφατικῶν ἔν τινι 10
τῶν σχημάτων ἢ ἐξ ἄλλων καταφατικῶν ἐν τῷ μέσῳ πλεκόμενον, ἀλλὰ καὶ
τὸν ὁμαίνοντα μὲν ἐν τούτῳ, φαινόμενον δὲ καὶ οἰκεῖον τοῦ πράγματος ὡς
15 ἂν ἐκ τῶν ἀρχῶν τῆς προκειμένης ἐπιστήμης ἀγόμενον, μὴ μέντοι διὰ
τέλους τοῦτο φυλάττοντα, ἀλλὰ τοῖς ἀληθέσιν ἔξω ψευδῆ παρενείροντα.
εἰσὶ δ' οὗτοι οὓς καὶ πειραστικοὺς ἐν τοῖς κατ' ἀρχὰς ὡριζόμεθα. τὸ γὰρ
δεικνύειν τὴν μίαν τοῦ τριγώνου πλευρὰν μείζονα τῶν λοιπῶν ἐναντίον ἢ
τὸ ἀληθὲς ἔχει· παντὸς γὰρ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές 20
20 εἰσι πάντη μεταλαμβανόμεναι. πῶς μὲν γεωμετρικὸς ὁ λόγος, τῷ ἁπλῶς
τρίγωνα λαμβάνειν καὶ γραμμὰς ἐκτείνειν καὶ κύκλους περιάγειν, τῷ δ' οὐ
ἄγειν μὴ ὡς ἂν ἀχθεῖεν, καὶ γράφειν μὴ ὡς ἂν γραφεῖεν οὐ γεωμετρικός.
ὅθεν συνθλίβει μὲν ὁ πειραστικὸς εἰς ἀντιφάσεις τὸν προσποιούμενόν του
ἐπιστήμονα εἶναι καὶ ἐπ' ὠφελείᾳ ἔστιν οἷς (ἀφαιρεῖται γὰρ | αὐτῶν τὴν 45
25 ματαίαν δοξοσοφίαν). φαινόμενος δέ, ὥς γε εἴρηται, οἰκεῖος τοῦ πράγματος
πάντῃ οὐκ ἔστιν· οὐ γὰρ ἂν ἴσχυσεν ἐλέγξαι τοιοῦτος ὁ παρὰ Πλάτωνι
Πολιτίκοις καὶ Γοργίᾳ. ἐπεὶ δὲ ἡ διαλεκτικὴ ἐκ τῶν κοινοτάτων ἀρχῶν
καὶ ἐνδόξων λαμβάνει, ἐδείχθη δὲ καὶ ἡ πειραστικὴ ἐκ τῶν προσεχῶν τῇ
κατὰ μέρος ἐπιστήμῃ καὶ ἰδίων, εἴη ἄν τις ἐν ταύταις κοινωνία, καὶ ἔστιν
30 ἡ πειραστικὴ μέρος τῆς διαλεκτικῆς, καὶ δύναται ψεῦδος συλλογίζεσθαι δι' 10
ἄγνοιαν τοῦ διδόντος τὸν λόγον. διαφέρουσι δὲ ἀμφότεραι τῆς σοφιστικῆς
ὡς αἱ μὲν δῆλον ποιοῦσιν ἀντίφασιν συλλογιζόμεναι τῆς τοῦ ἀποκρινομένου
θέσεως (οὐ γὰρ ἐρωτῶσιν ὁμώνυμα καὶ ἀμφίβολα καὶ τοιαῦτά τινα), οἱ
μέντοι σοφισταὶ ἄν ποτε καὶ συλλογίζονται τὴν ἀντίφασιν. οὐ ποιοῦσι δῆλον
35 εἰ ἀγνοεῖ ὁ προσδιαλεγόμενος· καὶ γὰρ τὸν εἰδότα ἐμποδίζουσι τούτοις τοῖς
λόγοις· ὁμώνυμα γὰρ ἐρωτώντων καὶ ἀμφίβολα οὐδεὶς οὐδὲ τῶν ἀκουσμένων. 20
εἰ τὴν ἀντίφασιν συνάγουσι.

---

1 ὥσπερ οὐδὲν M προσημαίνει L 4 ὡς om. M 6 τῷ] τὸ M παραφθέντος MN 7 τὸ M 9 ταὐτὰ MN 9. 10 τι διάφορον MN 11 ἁμαρτάνοντα M 12 συλλογισμοῦ M μερικὸν N 12. 13 ἕν τινι τῷ σχήματι M 13 καταφατικῶν ex καταφατικὸν corr. N 14 τὸν] τῶν N τοῦτο N 18 δεικνύναι MN 21 ἐκτείνων L 24 ἀπ' N αὐτὸν L 26 τοιοῦτος] fort. τοιούτως 29 μετὰ μέρος M ἐν ex ἀν corr. L: κἀν N: κἂν M 34 συλλογίζωνται MN

Τοσαῦτα γοῦν παρειπόντες πάλιν ἀνιόντες λέγομεν. ὅτι μὲν οὖν ἔχο- 45
μεν πάντας τοὺς ἐριστικοὺς τρόπους τῇ αὐτῇ μεθόδῳ δῆλον. ἔτι δὲ καὶ
ἐντεῦθεν· παρ' ὅσα γὰρ φαίνεται τοῖς ἀκούουσιν ὡς ἠρωτημένα συλλελογί-
σθαι καλῶς, παρὰ ταῦτα κἂν τῷ ἀποκρινομένῳ δόξει. ἀπατηθήσεται δὲ ὁ
ἀκροατὴς ἢ διὰ τὴν ὁμωνυμίαν ἢ ἀμφιβολίαν ἢ ἄλλο τι τῶν | ἀπηριθμη- 46
μένων, καὶ ὁ ἀποκρινόμενος παρά τι τούτων κατασεσοφίσθαι δόξει· ὃ γὰρ
μὴ ἐρωτώμενός τις ἔνδοθεν καὶ σιγῶν καλῶς ἠρωτῆσθαι ἐνόμισε καὶ
συνένευσε, κἂν ἐρωτηθεὶς θείῃ, καὶ ἄλλῳ ἐρωτωμένῳ μὴ δοῦναι δυσχεραν εἰ.
οἱ γὰρ ἀκροαταὶ ἐν ταῖς διαλέξεσι κριταὶ τῆς νίκης τοῖς ἀγωνιζομένοις κά-
θηνται· ὡς γοῦν οὗτοι διατεθῶσι, τοῖς λόγοις τὸ κῦρος ἕπεται. πλὴν ἐπί
τινων διὰ τὸ πρόδηλον, οἷον ἐν τοῖς παρὰ τὴν λέξιν καὶ τὸν σολοικισμὸν 10
συμπεραινομένου τοῦ σοφιστοῦ οὐκ ἄφωνοι μένουσιν οὔθ' οἱ ἀκροαταὶ οὔθ'
οἱ ἀποκρινόμενοι. ἀλλ' ἅμα συμβαίνει προσερωτᾶν αὐτοὺς τὸ ἐνδεὲς καὶ τὸ
ψεῦδος ἐμφανίζειν, οἷον ὁ Σωκράτης καθήμενος βαδίζει (ἐλέγξει γάρ, ὡς
παρεύθη τὸ δύναται). καὶ ἔστιν ἄρα λίθος· οὔ φασιν. ἀλλ' ἔστι λίθος. εἰ
οὖν οἱ παραλογισμοὶ τῆς ἀντιφάσεως παρὰ τὸν φαινόμενον ἔλεγχόν εἰσι,
δῆλον ὅτι παρὰ τοσαῦτα ἂν καὶ τῶν ψευδῶν εἴησαν συλλογισμοί. ὁ δὲ
φαινόμενος ἔλεγχος παρὰ τὴν ἔκπτωσιν τῶν μορίων τοῦ ἀληθοῦς, καὶ εἴπερ 20
οὐκ ὄχλος τὰ αὐτὰ διὰ τὸ σαφὲς πολλάκις λέγειν, ἐπεὶ ἀληθὴς ἔλεγχός ἐστιν
ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ τἄλλα, φανείη ἂν ψευδὴς ἔλεγχος ἑκάστου
τῶν μορίων ἐκλείποντος τῶν κατὰ τὸν ἀληθῆ. οἷον ὁ παρὰ τὸ μὴ αἴτιον
τιθέμενος ὡς αἴτιον καὶ ἀπάγων εἰς τὸ ἀδύνατον οὐκ ἐκ τῶν κειμένων
ἤχθη οὐδὲ τῷ ταῦτα εἶναι συμβέβηκεν (ἔδει δέ), καὶ ὁ τὰς δύο ἐρωτήσεις 47
μίαν ποιῶν παρὰ τὴν πρότασιν, ὅ τε κατὰ συμβεβηκὸς παρὰ τὴν ἔλλειψιν τοῦ
καθ' αὑτό (τούτῳ συνυπήχθη καὶ ὁ παρὰ τὸ ἑπόμενον)· ἔτι τὸ μὴ ἐπὶ τοῦ
πράγματος ἀλλ' ἐπὶ ψιλοῦ τοῦ λόγου καὶ τοῦ ὀνόματος συνάγειν τὴν ἀντίφα-
σιν, ὡς ἐπὶ τῶν ὁμωνύμων καὶ ὁμοιοσχημόνων καὶ ἀμφιβόλων καὶ τῶν παρὰ
προσῳδίαν, ὅ τε κατὰ σύνθεσιν καὶ διαίρεσιν παρά τε τὸ ἐνδεῆ ληφθῆναι
[τὸν] ἐν τῷ συμπεράσματι (τὸ) κατηγορούμενον τῆς πρότης θέσεως καὶ τὸ 10
φύρειν τὸ δυνάμει καὶ ἐνεργείᾳ. παρὰ τὴν ἔλλειψιν δὲ καὶ τοῦ τῆς προτά-
σεως ὅρου καὶ τοῦ συλλογισμοῦ ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς· οὐ γὰρ ἐκ
τῶν δοθέντων. πῇ γὰρ ἢ ποῦ ἢ πρός τι ἢ ποτὲ δοθέντος εἶναι ἢ μὴ εἶναι
ἁπλῶς ἐπάγει, ἢ τὸ ἔμπαλιν, καὶ κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτό. ἔτι
παρὰ τὸ μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ ὁ τὸ ἐν ἀρχῇ λαμβάνων. ὥστ'
ἔχομεν. παρ' ὅσα μὲν γίνονται οἱ παραλογισμοί· παρὰ πλείω δὲ οὐκ ἂν 20
εἴεν. παρὰ δὲ τὰ εἰρημένα ἔσονται πάντες.

Ὑπὲρ ἁπάντων δὲ κοινῶς ἀποφαινόμενοι λέγομεν ὡς πᾶς σοφιστικὸς ἔλεγχος ἢ συλλογισμὸς οὐχ ἁπλῶς ἐστι συλλογισμὸς ἢ ἔλεγχος, ἀλλὰ πρός

1 ὅτι—ἔχομεν om. M: οὖν om. N 4 κἂν L δόξειε L: δόξειεν MN δὲ om. M
10 γοῦν] ἂν οὖν MN 11 τὴν om. MN 17 συλλογισμοί] παρ' ὅσα καὶ ὁ φαινόμενος
ἔλεγχος add. Aristoteles 23 ἔδει δέ om. M 29 τὸν delevi, cf. p. 7, 16: τῶν N
τὸ addidi 30 φέρειν N 33 ἀπάγοι N 34 συναριθμούμενον M ὁ—ἀρχῇ
om. N 35 μὲν om. MN γὰρ οὐκ MN

τινα· πρὸς γὰρ τὸν μὴ καλῶς ἀποκρινόμενον. ἂν γὰρ μὴ λάβοι ὁ περιέργως 47
ἐρωτῶν ὅ τε παρὰ τὸ ὁμώνυμον ἓν σημαίνειν καὶ ὁ παρὰ τὴν ὁμοιοσχη-
μοσύνην ὅτι ταὐτὸν τὸ δεικνύειν καὶ δακρύειν καὶ οἱ ἄλλοι ὡσαύτως, οὔτ' 48
ἔλεγχοι οὔτε συλλογισμοὶ οὔθ' ἁπλῶς οὔτε πρὸς τὸν ἐρωτώμενον. ἂν δὲ
λάβωσι, πρὸς μὲν τὸν ἐρωτώμενον ἔσονται, ἁπλῶς δ' οὐκ ἔσονται· οὐ γὰρ
ἐν τῇ ἀληθείᾳ σημαίνειν εἰλήφασιν, ἀλλὰ φαινόμενον καὶ παρὰ τοῦδε.

9. Οἱ μὲν οὖν ψευδεῖς ἔλεγχοι καὶ συλλογισμοὶ τοσοῦτοι τῷ ἀριθμῷ
καὶ τοιοίδε· ἔχομεν δὲ καὶ τὴν διδασκαλικὴν αὐτῶν μέθοδον. τῶν μέντοι 10
ἀληθινῶν ἐλέγχων οὔτ' ἐπιστήμη τις εὕρηται ἕως νῦν, οὔτε καθ' ὅσους
10 τρόπους διῄρηνται. τὸ δὲ αἴτιον, ὡς ἐν τοῖς προοιμίοις ἐλέγετο· παρὰ
τοσούτοις γὰρ οἱ ἀληθεῖς ἔλεγχοι, παρ' ὅσοις αἱ ἀποδείξεις. πᾶσαν γὰρ
ἀπόδειξιν κατ' εὐθεῖαν ἔστι καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς περᾶναι. ἣν
δηπου καὶ ἀληθινὸν ἐτίθεμεν ἔλεγχον· οἷον εἰ σύμμετρον ἔφησεν τὴν πλευρὰν
τῇ διαμέτρῳ, ἀποδείξει ὅτι ἀσύμμετρος. καὶ ἐπὶ σαφεστέρων, ὁ ἄνθρωπος
15 λογικόν, τὸ λογικὸν ζῶον, ὁ ἄνθρωπος ἄρα ζῶον· τοῦτο ἀπόδειξις. εἴ τις 20
γοῦν ἐνίσταιτο μὴ ἀληθὲς λέγων τὸ συμπέρασμα, ἐλέγχοντες αὐτὸν τὸ τοῦ
συμπεράσματος λαμβάνομεν ἀντικείμενον, ὅπερ καὶ τίθεται, τὸ οὐ πᾶς ἄν-
θρωπος ζῶον. καὶ μίαν τῶν κειμένων προτάσεων τὴν ἄνθρωπος λογικόν,
καὶ συνάγομεν ἐν τρίτῳ σχήματι ἀδύνατόν τι καὶ ἄτοπον· ἀναιροῦμεν γάρ
20 τι τῶν ὁμολογουμένως ἀληθῶν. εἰ γὰρ οὐ πᾶς ἄνθρωπος ζῶον, πᾶς δὲ
ἄνθρωπος λογικόν, οὐ πᾶν λογικὸν ζῶον. ἀλλὰ | μὴν ὑπέκειτο καὶ πᾶν. 49
οὐκ ἄρα ἀληθὴς ἡ ἔνστασις ἡ οὐ πᾶς ἄνθρωπος ζῶον· παρ' ἐκείνην γὰρ
τὸ ἀδύνατον. ἀληθὲς ἄρα τὸ πᾶς ἄνθρωπος ζῶον, ὅπερ ἐξ ἀρχῆς ἦν. εἰσὶ
μὲν οὖν οἱ ἀληθεῖς ἔλεγχοι κατὰ τὰς ἀποδείξεις, αἱ δὲ κατὰ τὰς ἐπιστήμας,
25 καὶ παμπληθεῖς ἐν ἑκάστῃ. πολλαὶ δὲ αἱ ἐπιστῆμαι καὶ οὔπω πεπέρανται·
ὅσαι γὰρ ἐν τῷ λείποντι τοῦ χρόνου φανήσονται, προσθήκη ταῖς οὔσαις
ἔσονται. χρόνος γὰρ ἐκ περιττοῦ, καὶ ἐν ἑκάστῳ γένοιτ' ἂν καὶ ἐν τῷ 10
παντί, ἥ τε τῶν πραγμάτων τοῦτο προσαναγκάζει φύσις ἀνεξάλειπτον ἔχουσα
καὶ τὴν φθορὰν καὶ τὴν γένεσιν. ὥστε οὐ δεῖ πειρᾶσθαι ἀφωρισμένως
30 λαμβάνειν, παρ' ὁπόσα ἐλέγχονται οἱ ἀληθῶς ἐλεγχόμενοι, ἄνευ τῆς τῶν
ὄντων ἐπιστήμης ἁπάντων. τοῦτο δ' οὐδεμιᾶς ἐστι τέχνης, οὐδέ τις οἶδε
τά τε ὄντα τά τ' ἐσόμενα τὰ προσόντα τε, θεὸς δ' ἂν τοῦτο μόνος ἔχοι τὸ
γέρας. εἰ οὖν μὴ οἷόν τε πάντα τὸν αὐτὸν εἰδέναι ἄνθρωπον, παρὰ δὲ
τὰς ἐν ἑκάστῃ ἐπιστημονικὰς οἱ ἀληθεῖς ἔλεγχοι (ἄλλοι μὲν γὰρ παρὰ τὰς 20
35 ἐν γεωμετρίᾳ ἀρχάς, καὶ παρὰ τὰς ἐν ἰατρικῇ ἕτεροι καὶ παρ' ἄλλας ἄλλοι),
οὐδὲ κοινήν τινα μέθοδον αὐτῶν ἀποδοῦναι δυνατόν. καὶ τί δεῖ ἐπὶ τούτων
προσαπορεῖν; μικροῦ δεῖν οὐδ' οἱ ψευδεῖς ἐν ὡρισμένοις· ἐν ἀπείροις γὰρ
καὶ οὗτοι. οἱ γὰρ πειραστικοὶ καὶ κατὰ μέρος ἄπειροι τῷ καθ' ἑκάστην

---

1 ἂν δὲ MN λάβῃ M: λάβει N 2 ὁ παρὰ — δεικνύειν καὶ (3) om. L 10 διήφηνται M 11 τοσούτους M ὅσους M 13 ἀληθῆ MN 13. 14 τῇ διαμέτρῳ τὴν πλευρὰν MN 14 ἐπισαφέστερον L 17 τὸ ἀντικείμενον L 20 ὁμολογουμένων M 24 οἱ om. MN 29 γένεσι N ἀφωρισμένον M 32 ἐσσόμενα M πρό τ' ὄντα MN, cf. Hom. Il. I, 70 ἔχοι ex ἔχει corr. N 33 οἷον] οἱ L 34 ἐπιστημονικὰς] ἐπιστήμῃ ἀρχὰς Spengel, cf. v. 35 35 ἑτέρα MN ἄλλη MN

τέχνην δύνασθαι καὶ ψευδῆ συλλογίζεσθαι. οἷον κατὰ γεωμετρίαν γεωμετρι- 50
κῶς, καὶ κατὰ τὴν ἰατρικὴν ἰατρικῶς· λέγω δὲ κατὰ τέχνην τὸ κατὰ τὰς
ἐκείνης ἀρχάς. δῆλον οὖν ὡς οὐ πάντων τῶν ἐλέγχων, ὡς ἂν καὶ τῶν
ἀληθινῶν καὶ τῶν πειραστικῶν, ἀλλὰ τῶν παρὰ τὴν διαλεκτικὴν μόνον
5 ληπτέον τοὺς τόπους, οὓς καλοῦμεν σοφιστικούς· οὗτοι γὰρ κοινοὶ πρὸς
ἅπασαν τέχνην καὶ δύναμιν. ὑποδύεται γὰρ ἡ σοφιστικὴ τὴν διαλεκτικὴν
ὥσπερ ἐκείνη τὴν πρώτην φιλοσοφίαν. τοῦ γὰρ πρώτου φιλοσόφου ἐπαγ- 10
γελλομένου καθ' αὑτὸ τὰς κοινὰς τῶν ἐπιστημῶν καὶ ἀνωτάτω εἰδέναι ἀρχὰς
καὶ τὰς ἀποδείξεις συγγενεῖς ἐπάγοντος. ὁ διαλεκτικὸς τούτων μὲν ὑφεῖται.
10 περὶ μέντοι τὰ πιθανὰ καὶ κοινὰ διατρίβων καὶ ἀληθῶς ἔνδοξα τοῦ πρώτου
καὶ ὑπὲρ αὐτὸν ἀντιποιεῖται σχήματος. κατὰ τὰ αὐτὰ δήπου καὶ ὁ σοφιστής.
τοῦ διαλεκτικοῦ ἐκ τῶν ἀληθῶς ἐνδόξων συνάγοντος τὴν ἀντίφασιν, αὐτὸς
ἔκ τινων κοινῶν καὶ φαινομένων ἐνδόξων, ψευδῶν μέντοι τοῦτο ποιῶν τὸ 20
τοῦ διαλεκτικοῦ ποιεῖν ἔργον δοκεῖ. ὥστε τὸν μὲν καθ' ἑκάστην ἐπιστήμην
15 ἔλεγχον τοῦ κατὰ τοῦτο τὸ μέρος ἐπιστήμονός ἐστι θεωρεῖν, εἴ γε μὴ ὧν
φαίνοιτο, εἴ τ' ἔστι, διὰ τί ἐστι· τὸν δὲ κοινὸν καὶ ὑπ' οὐδεμίαν τέχνην
τῶν διαλεκτικῶν. εἰ γὰρ ἔχομεν διὰ τῶν Τοπικῶν, ἐξ ὧν οἱ ἔνδοξοι συλ-
λογισμοὶ περὶ ὁτιοῦν, ἔχομεν καὶ ἐξ ὧν οἱ φαινόμενοι ἔλεγχοι καὶ σοφιστικοί.
ὁ δὲ ἔλεγχός | ἐστιν, ὡς πολλάκις ἐλέχθη, ἀντιφάσεως συλλογισμός, τοῦτο 51
20 δὲ ἢ δι' ἑνὸς ποιεῖ συλλογισμοῦ, ὃ καὶ σπάνιον (εὐφώρατον γάρ), ἢ διὰ
δύο, ὃ καὶ πλεῖστον, ὡς ἐν τοῖς Ἀναλυτικοῖς λέγεται. καὶ ὅταν μὲν ἐν ἑνὶ
συλλογισμῷ, δεῖ τὴν ἀντίφασιν ἔχειν τὴν μείζω πρότασιν ὡς ἐκεῖνα 'ὁ
ἄνθρωπος ζῶον, τὸ ζῶον καὶ λευκὸν καὶ οὐ λευκόν, καὶ ὁ ἄνθρωπος οὕτω·
καὶ ἡ ἰατρικὴ ὑπόληψις καὶ οὐχ ὑπόληψις. ὅτι καὶ ἡ ἐπιστήμη, ὑφ' ἣν ὡς
25 εἶδος.' δι' ἄλλου δὲ καὶ ἄλλου, ὡς ἡ ἀνδρεία καὶ ἀγαθὸν καὶ κακόν, τὸ 10
μὲν ὅτι ἀρετὴ τὸ δὲ ὅτι τραυμάτων καὶ σφαγῆς αἰτία. ἔχομεν ἄρα παρ'
ὁπόσα πάντες εἰσὶν οἱ τοιοῦτοι. εἰ δὲ τοῦτ' ἔχομεν, καὶ τὰς λύσεις ἔχομεν·
αἱ γὰρ τούτων ἐνστάσεις λύσεις εἰσίν. ἃ γὰρ ἐνιστάμενοι προφέρομεν τοῖς
ὁλακτεῖν τὸν ἐν θαλάσσῃ κύνα συνάξασιν, ὡς οὐκ ἐπ' αὐτοῦ σημαινομένου
30 τὸ ὁλακτεῖν δεδώκαμεν ἀλλ' ἐπὶ τοῦ χερσαίου, καὶ ἐν τοῖς ἄλλοις ὁμοίως,
τούτοις αὐτοῖς καὶ τὸ σόφισμα λύομεν. ἄνω δὲ καὶ κάτω φαινομένους 20
ἐλέγχους λέγομεν οὐχ ὁτῳοῦν· οὐ γὰρ τῷ τυχόντι καὶ ἰδιώτῃ ἀλλὰ τοῖς
τοιοῖσδε τοῖς ἐν φιλοσοφίᾳ καὶ ἐπιστήμοσιν. ὁ γὰρ μὴ εἰδὼς ἐξ ὧν ἀπα-
τηθήσεται, ἄπειρα ἕξει τὰ ἀπατήσοντα· ἀόριστα γάρ ἐστιν, ἐάν τις σκοπῇ,
35 παρ' ὁπόσα φαίνονται τοῖς τυχοῦσιν· οἱ μέντοι ἐπιστήμονες οἴδασι, κατὰ
τίνα τῶν τρόπων τόδε προέβη τὸ σόφισμα. ὥστε φανε|ρὸν ὡς ὁ διαλεκτι- 52
κὸς μόνος δύναται λαβεῖν καὶ γνῶναι, κατὰ τίνας αἰτίας καὶ πόσας γίνονται
διὰ τῶν κοινῶν ἀρχῶν, καὶ μόνος οὗτος τόν τε ὄντα ἔλεγχον διακρινεῖ καὶ
φαινόμενον καὶ τὸν διαλεκτικὸν ἢ φαινόμενον διαλεκτικὸν ἢ πειραστικόν.

7 τοῦ δὲ M 17 τόπων MN 20 συλλογισμοῦ Spengel: συλλογισμὸν libri 21 ἐν τοῖς Ἀναλυτικοῖς] Anal. pr. B 15 p. 64b17 sqq. 22 ὁ om. MN 23 καὶ ὃν M 24 ὑπόληψις (ante καὶ) om. M 25 ἄλλον utrobique M δὲ om. L ἀνδρία MN 35 εἴσασι N: ἴσασι M 38 διακρίνει MN

10. Καὶ ἡμεῖς μὲν οὕτω τοὺς τῶν σοφιστῶν ἐλέγχους κατ' εἴδη καὶ 52
κατὰ γένος διῃρήκαμέν τε καὶ ἐδιδάξαμεν καὶ πρώτην αὐτῶν ἐκείνην καὶ
κοινοτάτην διαίρεσιν πεποιήμεθα. καὶ τοὺς μὲν αὐτῶν παρὰ τὴν λέξιν τοὺς 10
δὲ ἐκτὸς τῆς λέξεως ὠνομάκαμεν. ἀλλ' εἰσὶν οἱ τούτοις μὲν οὐ στοιχοῦσιν.
ἑτέραν δὲ παρ' αὐτῶν καὶ καινοτέραν τὴν ἀνωτάτω ποιοῦνται διαφοράν·
τοὺς μὲν γάρ φασιν εἶναι πρὸς τοὔνομα τοὺς δὲ παρὰ τὴν διάνοιαν. ταῦτα
δὲ εἰ μὴ ταὐτὰ ἀλλ' ἕτερα, καὶ εἰ πάσας ἔχει τὰς ἀποδεδομένας τῶν σο-
φισμάτων ἰδέας, καὶ ἐπὶ πᾶσιν εἰ καλῶς οὕτω λέγεται καὶ διῄρηται, ἐπι-
σκεψώμεθα λογικώτερον. καὶ πρῶτον μὲν ἄτοπον τὸ ὑπολαμβάνειν ἄλλους
10 μὲν εἶναι πρὸς τοὔνομα λόγους, ἑτέρους δὲ παρὰ τὴν διάνοιαν, ἀλλ' οὐ τοὺς 20
αὐτούς. τί γάρ ἐστι τὸ μὴ πρὸς τὴν διάνοιαν ἀλλ' ἢ ὅταν μὴ χρῆται τῷ
ὀνόματι ὁ ἐρωτῶν ἐπὶ τῇ ἐννοίᾳ ἐκείνῃ καὶ ἐφ' ᾧ σημαινομένῳ ὁ ἐρωτη-
θεὶς διανοούμενος ἔδωκεν: τὸ δ' αὐτὸ τοῦτό ἐστι καὶ πρὸς τοὔνομα· ψιλὸν
γὰρ ὥσπερ περιστρέφει τὸ ὄνομα διαφόροις ἐφαρμόττων πράγμασιν. ὡς ἂν
15 δὲ σαφέστερα ἃ λέγομεν γένοιτο, ἐπὶ τῶν ὁμωνύμων γυμνάσωμεν. πρὸς 53
γὰρ τὸν ἐρωτήσαντα 'ἆρά γε ὁ κύων ὑλακτεῖ;' ἢ 'ὁ ἀετὸς πτηνόν;' εἴ
τις δώσει οἰόμενος ἐρωτᾶσθαι περὶ τοῦ χερσαίου ἢ τοῦ ἐν ἀέρι, ὁ δὲ μὴ
ἐπὶ τούτοις χρῆται ἀλλὰ μεταφέρει τὸ ὄνομα ἐπὶ τοὺς θαλαττίους, εἶτα
δεικνύει τὸν ἀποκριθέντα ψευδόμενον, εἰς ἓν τὰ εἰρημένα συνάγεται· ἥ τε
20 γὰρ διάνοια ἑκατέρων διάφορος καὶ οὐ πρὸς τὸ αὐτό, καὶ τὸ μεταπίπτον
διὰ τὸ πλεῖστα σημαίνειν τὸ ὄνομα τῆς πλάνης αἴτιον. εἰ δὲ μὴ τὸ ὄνομα 10
σημαίνει πλείω, ἢ καὶ σημαῖνον ὡς ἓν δηλοῦν ὑπὸ τοῦ ἐρωτῶντος καὶ
ἀποκρινομένου ὑπολαμβάνεται, ἀπάτη μὲν οὐκ ἔσται, πάλιν δὲ ταὐτὸν ἔσται
ἄμφω· οἷον τὸ ἓν καὶ τὸ ὂν ἴσως πολλὰ σημαίνει, ὁ μέντοι Παρμενίδης
25 καὶ Ζήνων ἓν ἄμφω καὶ καθ' ἑνὸς σημαινομένου τιθέμενοι εἰ ἕτερος ὑφ'
ἑτέρου προσηρωτᾶτο, εἰ ἓν τὸ ὂν καὶ μονοειδές. καὶ ὁ διδοὺς ἓν εἶναι
Ζήνων καὶ ὁ λαμβάνων Παρμενίδης ἀμφότεροι καὶ πρὸς τοὔνομα καὶ πρὸς 20
τὴν διάνοιαν ἀλλήλων διειλεγμένοι εἴησαν. εἰ δέ τις πολλὰ οἴεται σημαίνειν
καὶ ἐρωτήσει, οὐ πρὸς τὴν διάνοιαν αὐτοῦ δῆλον ὅτι ἀπηντηκὼς ἔσται ὁ
30 ἀποκριθεὶς ἕν, ὥς γε εἴρηται. καὶ τοῦτο μὲν οὕτως. ἔπειτα δὲ τὸ πρὸς
τοὔνομα καὶ παρὰ τὴν διάνοιαν οὐκ ἐπὶ πάντας φθάνει τοὺς παραλογισμούς,
ἀλλὰ περὶ μόνους τούτους ὅσοι πλείω σημαίνουσιν. εἶεν δ' ἂν τῶν ἐντὸς
τῆς λέξεως μόνοι οἱ κατὰ τὸ ὁμώνυμον καὶ ἀμφίβολον οἵ τε παρὰ προσ-
ῳδίαν καὶ κατὰ τὴν ὁμοιο|σχημοσύνην. ἄλλως τε οὐδ' ἐν τούτοις αὐτοῖς 54
35 ἀεὶ τὸ αἴτιον ἐν τῇ λέξει, ἵν' ᾖ πρὸς τοὔνομα καὶ παρὰ τὴν διάνοιαν, ἀλλ'
ἔστιν ὅτε πρὸς τὸ ποιὸν εἶναι τὸν ἐρωτῶντα ἢ ἀποκρινόμενον. οἰηθείη γὰρ
ἄν τις τό τε μονοειδὲς πολύσημον καὶ τὸ ἔμπαλιν, ὡς δὲ ἔχει, καὶ δώσει
καὶ ἀπολήψεται. ἔτι εἰ ἀποδέδεικται τοὺς αὐτοὺς εἶναι τοὺς παρὰ τὴν
διάνοιαν τοῖς πρὸς τοὔνομα, πάντας δὲ ἐκεῖνοι τῇ διαιρέσει συνέχειν ᾤοντο,

11 ἀλλ' ἢ N 11. 12 τῶν ὀνομάτων N 12 καὶ om. MN σημαίνω L ὁ om. N 17 γερσαίου L 21 πλεῖστα] sic libri: πλείω recte Spengel τὸ (post σημαίνειν) om. L 23 ἀποκριναμένου L 29 ὁ] μὴ MN 34 καὶ οἱ κατὰ MN

ἔσονται πάντες πρὸς ἓν τοῦτο συγκεκλεισμένοι τὸ κατὰ τὸ ὄνομα. ἀλλὰ 54
μὴν τοῦτο ἐν τοῖς ἐντὸς τῆς λέξεως παραλογισμοῖς ἐθεωρεῖτο μόνοις καὶ 11
τούτοις οὐ πᾶσι. λείπεται ἄρα τούς τε ἐκτὸς τῆς λέξεως ἅπαντας καὶ τοὺς
παρὰ σύνθεσιν καὶ διαίρεσιν ἐκτὸς πίπτειν τῆς εἰσηγημένης παρ' αὐτῶν
5 διαιρέσεως. ἣν δὲ μὴ ἄφυκτον διαίρεσιν ἐν τοῖς λόγοις ἐκκαίζομεν πρότερον,
τοιαύτη τίς ἐστι. κἀκεῖνο δὲ αὐτοῖς ἔγκλημα τὸ παρόραμα· ὅλως γὰρ
ἄτοπον αὐτόθεν τὸ περὶ ἐλέγχων σοφιστικῶν διαλέγεσθαι μὴ πρότερον 20
διαλαβόντας περὶ συλλογισμοῦ· ὁ γὰρ ἔλεγχος συλλογισμός τις. ἔδει οὖν
ζητῆσαι περὶ τοῦ ἁπλῶς συλλογισμοῦ πρότερον, εἶτα περὶ τοῦ ἀληθοῦς
10 ἐλέγχου, εὑρόντας δὲ τί ἐστιν ἔλεγχος, ἢ τοσάσδε τὰς τῶν σοφισμάτων
ἀρχὰς τίθεσθαι ὅσας καὶ ἡμεῖς, ἢ πάντας ἀνάγειν εἰς τὴν τοῦ ἀληθοῦς
ἐλέγχου ἄγνοιαν. ἐχρῆν οὖν περὶ συλλογισμοῦ ἐσκέφθαι πρότερον ἢ περὶ
ψευδοῦς ἐλέγχου· ἔστι γὰρ ὁ τοιοῦτος ἔλεγχος φαινόμενος συλλογισμὸς
ἀντιφάσεως. διὸ καὶ εἰ μέλλει γενήσεσθαι, δεῖ τὸ αἴτιον τῆς ἀπάτης ἢ ἐν 30
15 τῷ | συλλογισμῷ μόνῳ εἶναι (λέγω δὲ τοῦτο, ὅταν ἐν τῷ συμπεράσματι), 55
ἢ ἐν τῇ ἐρωτήσει τῇ κατ' ἀντίφασιν προτεινομένῃ καὶ τῇ πλοκῇ τῶν
προτάσεων τῷ διττὸν ἢ ἀμφίβολον εἶναι τὸ δοθὲν ἐν προτάσεσιν, ἢ ἐν
ἀμφοῖν· ὁ δ' ἐν μηδετέρῳ ἀληθὴς συλλογισμός. τὸ μὲν οὖν Σωκράτην
βαδίζειν νῦν καθήμενον ἐν τῷ συμπεράσματι τῷ ἐλλεῖψαι· αἱ γὰρ προτά-
20 σεις ἄληπτοι· τὸ δὲ σιγῶντα λέγειν ἐν τῇ τῆς ἐρωτήσεως ἀντιφάσει καὶ 10
τῷ ἀμφίβολον λαβέσθαι πρότασιν, τὸ μέντοι συμπέρασμα ἀληθὲς τὸ ἔστιν
ἄρα σιγῶντα λέγειν. τὸ δ' ὅτι ἡ Ὁμήρου ποίησις σχῆμα, διότι κύκλος,
καὶ ὃ μὴ ἔχει δοίη τις, ἐν ἀμφοῖν· ὅ τε γὰρ κύκλος διπλοῦν, ἥ τε ποίησις
ὡς περὶ τὰ αὐτὰ στρεφομένη καὶ τὸ παρὰ γεωμέτραις σχῆμα, καὶ τὸ
25 συμπέρασμα ὅτι ἡ ποίησις σχῆμα ἐπίπεδον ψευδές. πάλιν, ἆρ' ὃ μὴ ἔχει
τις, δοίη ἄν; οὔ· τί δέ; ὃ μὴ ἔχει τις ταχέως, δοίη ἂν ταχέως; ναί.
ἆρ' οὖν ὃ μὴ ἔχει τις, δοίη ἄν. οὕτω δὲ ἔδει συμπεραῖναι 'ὃ ἄρα μὴ 20
ἔχει τις ταχέως, δοίη ἂν ταχέως', καὶ οὕτως ἔδει ἐρωτῆσαι 'ἆρ' ὃ ἔχει τις,
δοίη ἂν ὡς οὐκ ἔχει, ἢ οὔ;' ἀλλ' οὐχὶ ὃ μὴ ἔχει τις δοίη ἄν.

30 Ἀλλὰ δὴ ὅθεν ἦλθεν ὁ λόγος, ἐπανιτέον, καὶ ἔτι προσωτέρω τοὺς
ἐλέγχους ἀγάγωμεν τὴν τῶν οὕτω διαιρούντων ἐπὶ πλέον δόξαν εὐθύνοντες.
πότερον οἱ ἐν τοῖς μαθήμασι παραλογισμοί, οἳ καὶ πειραστικοὶ λέγονται,
κατὰ τὴν τοῦ ἐρωτωμένου εἰσὶ διάνοιαν ἢ οὔ; ἀλλὰ πῶς ἂν εἶεν; εἰ γάρ 30
τις καίπερ εἰδὼς ὡς τὸ τρίγω|νον σημαίνει πολλά, τό τε σκαληνὸν καὶ 56
35 ἰσοσκελὲς καὶ ἰσόπλευρον, εἶτα ἐρωτηθεὶς εἰ παντὸς τριγώνου αἱ πρὸς τῇ
βάσει γωνίαι ἴσαι ἀλλήλαις, καταφήσει βλέπων πρὸς μόνον τὸ ἰσοσκελές, ὁ
μέντοι σοφιστὴς συμπεράνῃ ἐπὶ τοῦ σκαληνοῦ τὴν ἀντίφασιν (τούτου γὰρ
οὐκ ἴσαι), οὐκ ἂν εἴη διειλεγμένος ὁ ἐρωτήσας κατὰ τὴν τοῦ ἀποκρινομένου
διάνοιαν. καὶ ἔτι μᾶλλον, εἰ πολλὰ σημαίνει τοὔνομα, ὁ δὲ μὴ νοεῖ μηδ'

1 παρὰ τὴν σύνθεσιν MN εἰσηγμένης MN 10 τὰς om. MN 11 ἀληθοῦς om. MN 13 ἔστι δὲ M 18 post ἀμφοῖν add. ἢ ἐν θατέρῳ MN 20 ἄλληπτοι N 26 τις (ante ταχέως) om. M 27 ἄρα ὃ MN 37 συμπεραναῖ MN 38 διηλεγμένος LN

οἴεται, οἷον τὸ κύων, καὶ δοίη κατὰ πάντων τὸ ὁλακτεῖν, εἶτα συκοφαντεῖται 56
ὡς τὸν ἀστέρα ὁλακτεῖν εἴποι, πῶς οὗτος ἐλεγχόμενος ἔσται ἢ διειλεγμένος 11
ἐκεῖνος; ἆρ' οὐ παρὰ τὴν διάνοιαν; οὐ γὰρ ὃν οὗτος τῇ διανοίᾳ κύνα
ἀπέδωκε. συνῆξεν ἐκεῖνος. ἀλλὰ μὴν ταῦτα δοκεῖ καὶ πρὸς τοὔνομα εἶναι.
5 ὥστ' ἐκ πάντων συνάγεται μὴ ἑτέρους ἀλλήλων εἶναι.

Καὶ τοσούτων εἰρημένων ἔτι ἐνίστανται φάσκοντες ὡς ἔστιν ἀναλῦσαι
τοὺς ἐλέγχους ὡς εἰς ἀρχὰς κοινὰς εἰς ταῦτα, εἴπερ κατὰ διαίρεσιν αἱ
ἐρωτήσεις προτείνοιντο. ἔσται δὲ τοῦτο οὕτως· ἆρ' ἔστι σιγῶντα λέγειν 20
ἢ οὔ; ἢ ἔστι μὲν ὡς οὔ, ἔστι δ' ὡς ναί; ἁπλῶς μὲν γὰρ ὁ σιγῶν οὐ
10 λέγει, τρόπον δὲ ἄλλον ἔστι σιγῶντα λέγειν τὰ ἄφωνα δήπου καὶ ἄψυχα
πράγματα. ἀλλὰ καὶ πάλιν οὐδ' οὕτως ἔσται ἃ λέγουσιν· οὔτε γὰρ δια-
φορὰν αὐτοῖς τὰ τῆς διαιρέσεως ἕξουσιν, οὔτε τοὺς τρόπους τῶν σοφισμάτων
κατὰ κοινόν τι συνέξουσιν. εἰ γὰρ καὶ μετὰ διαιρέσεως ὁ λόγος προβαίη
καὶ ὁ μὲν μηδαμῶς δοίη τὸν σιγῶντα λέγειν, ὁ δὲ συνάξει ὡς δυνατόν, 30
15 ἁπλῶς | μὲν ὁ λόγος ἔσται πρὸς τοὔνομα, ὁ μέντοι ἐρωτήσας πάλιν ἔσται 57
διειλεγμένος παρὰ τὴν τοῦ ἐρωτωμένου διάνοιαν. οὐκ ἄρα οὐδ' ἐντεῦθεν
ἔστι τι γένος λόγων τὸ παρὰ τὴν διάνοιαν, ἀλλά τινες τῶν παρὰ τὴν λέξιν
ἔσονται καὶ κατὰ τοὔνομα καὶ παρὰ τὴν διάνοιαν, οἱ πλεῖστοι δ' οὔ, ὡς
πολλάκις εἴρηται. οὐδεὶς δὲ τῶν ἐκτὸς οὔθ' ὁ παρὰ σύνθεσιν καὶ διαίρεσιν.
20 Ἔπειτα καὶ τὸ ἀξιοῦν οὕτως ἐρωτῶντας διαιρεῖν πῶς ἂν ἔχοι καλῶς;
πρῶτον μὲν γὰρ ἔστιν ὅτε ὁ ἐρωτῶν οὐκ οἶδε, ποσαχῶς ἔχει τὸ ἐρωτώμενον· 10
ὃ δὲ μὴ οἶδε, πῶς ἂν διέλοι; εἶτα καὶ χωρίς ἐστι τὸ διδάσκειν τοῦ διαλέ-
γεσθαι, καὶ τὸ μὲν τοῦ καθαρῶς φιλοσοφοῦντος καὶ τὴν ἀχλὺν τῆς ἀγνοίας
ἀπὸ τῆς ψυχῆς αἴροντος τῷ ἀνακαθαίρειν καὶ διαρθροῦν τὰ προσπίπτοντα,
25 τὸ δὲ τοῦ διαλεκτικοῦ, ὃς οὐ διδάσκει ἀλλ' ἐρωτᾷ· προσποιεῖται γὰρ μὴ
εἰδέναι. τὸ γοῦν ἐγκελεύειν τοῖς διαλεγομένοις διαιρεῖν φύρειν ἐστὶ τὴν
τάξιν καὶ τῶν πραγμάτων συγχεῖν τὴν διαφοράν. ὃ δ' ἂν μὴ τῷ διαλεκτικῷ 20
δοίη τις, σχολῇ γ' ἂν τῷ σοφιστῇ, ὃς εἰ μὴ καὶ τὰ δῆλα κρύψει καὶ πρὸς
πᾶν ἀγνῶτι τῷ προσδιαλεγομένῳ χρήσαιτο, λήσεται διεφθορὼς τὴν τέχνην.
30 τὸ γὰρ κεφάλαιον τῆς ἐπιστήμης αὐτῷ νικῆσαι πρὸς ἀπάτην ἐστί, διαιρῶν
μέντοι φανερὸν ποιήσει ὡς ἔχει τὸ πρᾶγμα τῷ μήτ' ἐσκεμμένῳ μήτε εἰδότι
μήθ' ὑπολαμβάνοντι, ὅτι ἄλλως λέγεται. ἀλλ' ἡμεῖς μὲν οὕτω, οἱ δὲ
τοσοῦτον πρόσκεινται ὡς προσαναγ|κάζειν καὶ τὰ μὴ διπλᾶ, ἀλλ' ἑνὸς ὄντα 58
σημαντικὰ καὶ ταῦτα προάγειν κατὰ διαίρεσιν. τί γὰρ κωλύει ταῦτα, φασί,
35 τοῦτο παθεῖν; ὡς ἐπ' ἐκείνων τῶν προβλημάτων 'ἆρα ἴσαι αἱ τέσσαρες
μονάδες ταῖς δυσὶ δυάσιν ἢ οὔ;' καὶ ὁμώνυμον μὲν ἐν τούτοις οὐδέν, οὐδὲν
δ' ἧττον, φασί, διαίρεσις ἔσται· ὧδι μὲν γὰρ ἔσονται ἴσαι, ὧδι δ' οὔ.
ἁπλῶς μὲν γὰρ αἱ τέσσαρες μονάδες ὡς ὅλον ταῖς δυσὶ δυάσιν, ἢ ἑκατέρα
τῶν δυάδων ταῖς τέσσαρσι μονάσι καθάπαξ οὐκ ἴσαι. καὶ πάλιν, ἆρα τῶν 10

2. 16 διηλεγμένος MN 11 ὃ λέγουσιν N 13 προβάσῃ N 15 μέντοι] μέν τι N
17 τὴν λέξιν — παρὰ (18) om. MN 19 οὐδεὶς γὰρ N παρὰ τὴν σύνθεσιν MN
21 αἴροντος ἀπὸ τῆς ψυχῆς M: αἴροντες ἀπὸ τῆς ψυχῆς N 28 γ' ἂν] δ' ἂν M 31 ποιήσεις N 35 ἐκκείνων N ἴσαι om. M 38 δυσὶ — ταῖς (39) om. M ἑκάτερα L

ἐναντίων μία ἐπιστήμη ἢ οὔ; καὶ ἡ διαίρεσις 'ἔστι δὲ τῶν ἐναντίων τὰ 58
μὲν γνωστὰ τὰ δ' ἄγνωστα.' ὃ δ' ἀνωτέρω περὶ τούτων διετεινάμην. κἀν-
ταῦθα λέγω· ἐμοὶ γὰρ δοκεῖ ὁ τοῦτ' ἀξιῶν ἀγνοεῖν ὡς ἕτερον τὸ διδάσκειν
τοῦ διαλέγεσθαι, καὶ ὡς δεῖ τὸν μὲν διδάσκοντα μὴ ἐρωτᾶν, αὐτὸν δ' ἀφ'
5 αὑτοῦ λαμβάνοντα δῆλα ποιεῖν τῷ μαθητῇ, τὸν δὲ ἐρωτῶντα μὴ διαιρεῖν,
καὶ τὸν σοφιστὴν εἰς ἄδηλον συνελαύνειν ἅπαντα· περὶ γὰρ τὸ μὴ ὂν
διατρίβων κατὰ τὸν Πλάτωνα εἰς παντάπασι σκοτεινότατον τόπον κατα- 20
δέδυκε.

11. Καὶ πρὸς τούτοις, εἰ τὸ φάναι καὶ ἀποφάναι ἀξιοῦμεν τοῦ ἀπο-
10 δεικνύντος εἶναι καὶ διδάσκοντος, τί ποτε δώσομεν τῷ διαλεγομένῳ καὶ
πεῖραν λαμβάνοντι: δεῖ γὰρ διαφέρειν· ἔστι γὰρ ἡ πειραστικὴ διαλεκτική
τις, ὡς εἴρηται, διὸ περὶ πάντων ἐπισκοπεῖ καὶ θεωρεῖ οὐ τὸν εἰδότα τὴν |
ἐπιστήμην καὶ ἀκριβῶς ἔχοντα. ἐξ ἧς τὸ πρόβλημα. ἀλλὰ τὸν ἀγνοοῦντα 59
μὲν προσποιούμενον δέ. εἰ δὲ δεῖ περὶ τούτων καὶ πλέον εἰπεῖν, ὁ μὲν
15 κατὰ τὰ κοινὰ τὸ πρᾶγμα θεωρῶν καὶ ἀληθῶς ἔνδοξα (κοινὰ δὲ ἢ τὰ δο-
κοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς) διαλεκτικός, ὁ δὲ τοῦτο
φαινομένως ποιῶν σοφιστικὸς καὶ ἐριστικός. διττὸς δὲ οὗτος, ὅ τε βεβλαμ-
μένος τῷ σχήματι καὶ μὴ σώζων τὸ εἶδος, ὃς καὶ κυρίως ἐριστικός, κἂν
ἀληθὲς ᾖ τὸ συμπέρασμα (τοῦ γὰρ διὰ τί ἀπατητικός ἐστιν, ὥσπερ ὁ 10
20 Καινεὺς ἐποίει συνάγων τὸ πῦρ ἐν πολλαπλασίονι ἀναλογίᾳ δύο καταφάσεις
λαβὼν ἐν δευτέρῳ σχήματι, ἢ ἐν τρίτῳ τὸ πάντα σοφὸν σπουδαῖον εἶναι,
ὅτι ὁ Πιττακὸς ἄμφω), καὶ δεύτερος ὁ μὴ ὢν κατὰ τὴν ἑκάστου μέθοδον
παραλογισμὸς ὅμως δοκῶν εἶναι τοῖς ἀπειροτέροις ἐκ τῶν οἰκείων τῆς τέχνης
ἀρχῶν. τὰ γὰρ ψευδογραφήματα παραλογισμοὶ μέν εἰσιν, οὐκ ἐριστικοὶ δέ,
25 εἴπερ δεῖ τηρεῖν τὴν διαφοράν· οὐ γὰρ ὅ τι ἐστὶ ψευδόγραφημα περὶ 20
ἀληθές τι, τοῦτο ἐριστικόν ἐστιν, ἀλλὰ κατὰ τὸ κοινὸν ἔσται παραλόγισμα,
τὴν μέντοι κατ' εἶδος οὐκ ἀπολέσει διαφοράν. τοιοῦτοι δὲ οἷον τὸ τοῦ
Ἱπποκράτους τοῦ Χίου ψευδογράφημα ἐπὶ τὸν τοῦ κύκλου τετραγωνισμὸν
καὶ τὸ τοῦ Ἀντιφῶντος. ὁ μὲν γὰρ ἐν κύκλῳ περιγράψας τετράγωνον τὰ
30 μέσα ἐμβαδὰ τῶν τετραγωνικῶν πλευρῶν καὶ τῆς τοῦ κύκλου περιφερείας
καταναλῶσαι ᾤετο | διὰ γραφῆς τριγώνων ἰσοσκελῶν, ὡς ἂν τοῦτο λαβὼν 60
ἕξει καὶ τὸ ἐπίλοιπον τοῦ τετραγώνου (τοῦτο δ' ἦν ὁ κύκλος) τῷ ὡς ἓν
ἀμφότερα τὸ ὅλον εἶναι τετράγωνον. ἀλλὰ τοῦτο ἀδύνατον τῷ τὸ μέγεθος
εἰς ἄπειρα εἶναι διαιρετόν. ὁ μέντοι Ἀντιφῶν ἐπεχείρει διὰ τῶν μηνίσκων
35 ἑτέρως· ἐπεὶ δὲ πραγματειωδεστάτη ἡ τοιαύτη ἀπόδειξις τοῖς ἀγεωμετρήτως
ὁμῶν ἐντυγχάνουσιν, παρεῖται. ὅμως μέντοι ἀμφότεροι ὡς ἁπλῶς ἐκ γεω- 10
μετρίας τοὺς λόγους ποιούμενοι οὐκ ἐριστικοὶ ἀλλὰ τὸ ὅλον τοῦτο πειραστικοί.
ὁ δέ γε Βρύσων κατὰ κοινόν τι τετραγωνίζειν ἐπιχειρῶν καὶ οὐ κατὰ τὸ

3 ἑτέρου τοῦ διδάσκει N 7 κατὰ τὸν Πλάτωνα] Soph. p. 254A 9 εἰ] εἰς N καὶ ἀποφάναι om. N 15 κατὰ τὸ πρᾶγμα θεωρῶν τὰ κοινὰ Aristoteles 17. 18 βεβλαμένος N 18 ὃς] ὡς M 19 ᾖ τὸ] εἰ L 24 τὰ δὲ MN 25 δεῖ] δὴ N 26 τὸ om. MN 28 τοῦ κίου L: τοῦ χρ N ἐπὶ] ἐπεὶ N 32 ἕξοι M 34 Ἀντιφῶν] Ἱπποκράτης MN; recte quidem, si rem ipsam spectes, sed cf. p. 30,36 Alex. f. 30b

πρᾶγμα τὸ ὑποκείμενον μᾶλλον ἂν εἴη ἐριστικός· τετράγωνα γὰρ ἐκθέμενος 60
ἐν κύκλῳ τρία, ὧν τὸ μὲν ἐγγράψας τὸ δὲ περιγράψας τὸ δὲ μεταξὺ διαγράψας, κοινοῖς ἔπειτα χρῆται λόγοις πρὸς τὴν ἀπόδειξιν οὐ μᾶλλον γεωμέτρῃ ἢ φυσικῷ ἢ ἑτέρῳ τῳ τῶν ἐπιστημόνων προσήκουσιν. ἐπειδὴ γάρ, φησί,
5 τὸ μέσον τετράγωνον καὶ ὁ κύκλος τῶν παρ' ἑκάτερα τετραγώνων ἄμφω 20
τοῦ μὲν μείζονα τοῦ δ' ἐλάττονα, τὰ δὲ τῶν αὐτῶν μείζονα καὶ ἐλάττονα ἴσα ἀλλήλοις ἐστίν, ἴσος ἔσται καὶ ὁ κύκλος τῷ μέσῳ τετραγώνῳ. ἔστι δὲ ψεῦδος· τὰ γὰρ ὀκτὼ καὶ ἐννέα τῶν μὲν δέκα ἐλάττω τῶν δὲ ἑπτὰ μείζω, οὐκ ἤδη δὲ καὶ ἀλλήλοις ἴσα. καὶ οὐ μᾶλλον ἐν τούτοις ὁ λόγος
10 ἢ ἐπὶ χρόνων καὶ τόπων καὶ σωμάτων ἐφαρμόσει στερεῶν, ὥς γε εἴρηται.
ἦν μὲν οὖν ἄν τις ἐπίδοι | διαφορὰν ἐνοῦσαν ἀμφοῖν τοῖν παραλογισμοῖν, 61
τοιαύτη τις ἦν· ἡμεῖς δὲ ἀμφοτέρους εἰς ἓν κεφαλαιούμενοι κατὰ κοινόν τι ἐριστικοὺς καὶ φαινομένους συλλογισμοὺς ὀνομάζομεν καὶ τοὺς βεβλαμμένους τῷ σχήματι καὶ τοὺς ψευδογραφοῦντας. ἔοικε δὲ ὁ κατὰ τὸ πρᾶγμα παρα-
15 λογισμὸς τῇ ἐν τῇ ἀγωνίᾳ ἀδικίᾳ· ὡς γὰρ ἐκείνη εἶδός τι ἔχει καὶ καλεῖται ἀδικομαχία, οὕτως ἐν ἀντιλογίᾳ ἀδικομαχία τίς ἐστιν ἡ ἐριστική· ἐκεῖ τε γὰρ οἱ πάντα νικᾶν προαιρούμενοι πάντων ἅπτονται καὶ τρέχοντες ἀλλήλοις 10
προσπταίουσι κατέχοντες καὶ σκῶλα τοῖς ποσὶν ὑπορρίπτοντες, καὶ ἐνταῦθα οἱ ἐριστικοὶ τὸν δρόμον τοῦ λόγου ἀνακόπτουσι τοῖς ὁμωνύμοις καὶ ἀμφι-
20 βόλοις. οἱ μὲν οὖν τῆς νίκης αὐτῆς χάριν τοιοῦτοι ἐριστικοὶ ἄνθρωποι καὶ φιλέριδες εἶναι δοκοῦσιν, οἱ δὲ δόξης χάριν τῆς εἰς χρηματισμὸν σοφιστικοί· ἡ γὰρ σοφιστική ἐστιν, ὡς εἴπομεν, χρηματιστική τις ἀπὸ σοφίας φαινομένης· διὸ φαινομένης ἀποδείξεως ἐφίενται. καὶ τῶν αὐτῶν μὲν λόγων εἰσὶν οἱ 20
φιλέριδες καὶ οἱ σοφισταί, ἀλλ' οὐ τῶν αὐτῶν ἕνεκεν, ἀλλ' ἢ μὲν νίκης
25 φαινομένης, ἐριστικοί, ἢ δὲ σοφίας, σοφιστικοί. καὶ γὰρ ἡ σοφιστική ἐστι φαινομένη σοφία ἀλλ' οὐκ οὖσα.

Τούτων οὕτω διαιτηθέντων πάλιν ὡς ἓν τὸν ἐριστικὸν λαμβάνοντες καὶ σοφιστικὸν ζητοῦμεν ἰδεῖν, πῶς ποτε πρὸς τὸν διαλεκτικὸν ἔχει. ἔχει δὲ ὡς ὁ ψευδογράφος πρὸς τὸν γεωμέτρην ὁ ἐριστικὸς καὶ σοφιστικὸς πρὸς τὸν
30 διαλεκτικόν· ἐκ γὰρ τῶν αὐτῶν τῇ διαλεκτικῇ παραλογίζεται, κα|θάπερ ὁ 62
ψευδογράφος τὸν γεωμέτρην ἐκ τῶν γεωμετρικῶν. φθάνει δὲ ὁ ἐριστικὸς κἂν τοῖς μαθήμασιν ἄλλον τρόπον ἢ ὁ πειραστικός. ὁ γὰρ ψευδογράφος εἰ μὲν ἐκ τῶν ἀρχῶν πρόεισι τῶν γεωμετρικῶν, τὸ ὅλον τοῦτο πειραστικὸς συλλογισμὸς ἐν μαθήμασιν· εἰ δὲ ἀπό τινων κοινοτέρων καὶ ὑπερβαινόντων
35 καὶ πολλοῖς ἁρμοζόντων γένεσιν, ἐριστικός· σώζει γὰρ τὸ πρόσχημα. ὥστε ὁ μὲν διὰ τῶν μηνίσκων τοῦ Ἀντιφῶντος τετραγωνισμὸς καὶ ὁ τοῦ Ἱπποκράτους οὐκ ἐριστικοὶ ἐν τούτῳ, ὁ δὲ τοῦ Βρύσωνος πάντως, καὶ τοὺς μὲν οὐκ ἔστι μετενεγκεῖν ἄλλῃ ἢ πρὸς μόνην γεωμετρίαν διὰ τὸ ἐκ τῶν ἰδίων ἀρχῶν, τὸν δὲ πρὸς πολλά· ᾧ γὰρ χρῆται ὡς ἀξιώματι, φθάνει καὶ ἐν τοῖς 10

6 τὸ δὲ M 13 συλλογισμοὺς om. MN 15 εἶδος τις N 17 post γὰρ add. καὶ M 20 τῆς] τοῖς N ἐριστικὴ N 23 διὸ φαινομένης om. N 29 γεωμετρικὸν MN 32 κἂν M 37 ἐριστικὸς MN 38. 39 ἰδίων εἶναι ἀρχῶν Aristoteles 39 ὧδε γὰρ M

ἑτερογενέσιν. ἐπὶ τὰ αὐτὰ δὲ κἀκεῖνο ἀποχρήσει ῥηθέν, οἷον εἴ τις φαίη 62
μὴ βέλτιον εἶναι ἀπὸ δείπνου περιπατεῖν, ὅτι οὐκ ἔστι κίνησις κατὰ Ζήνωνα·
ἕτερος δὲ δεικνύει μὴ δεῖν ἀπὸ δείπνου περιπατεῖν, ἵνα μὴ ἄπεπτα τὰ 20
βρώματα ὑπὸ τῶν φλεβῶν ἕλκωνται· ἡ γὰρ κίνησις θερμότητα ποιεῖ, ἡ δὲ
5 ἕλκει. τούτων ὁ μὲν πρότερος οὐκ ἰατρικός (ἔστι γὰρ καὶ ἐπ' ἄλλα τὴν
αὐτὴν αἰτίαν εἰπεῖν, οἷον οὐ συμφέρει βαδίσαι εἰς ἀγορὰν ἢ εἰς διδασκαλεῖον,
ἐπεὶ οὐκ ἔστι κίνησις), ὁ δὲ δεύτερος ἰατρικός· οἱ γὰρ ἀποδεδομένοι λόγοι
μόνης ἰατρικῆς. εἰ μὲν οὖν πάντη ὁμοίως εἶχεν ὁ ἐριστικὸς πρὸς τὸν
διαλεκτικὸν ὡς ὁ ψευδογράφος πρὸς τὸν γεωμέτρην καὶ πρός τινας οἰκείας 63
10 καὶ ὡρισμένας ἠρτᾶτο κἀκεῖνος ἀρχάς, οὐκ ἂν ἦν ἴδιος ὁ περὶ τὰ μαθή-
ματα παραλογισμός, ἀλλ' ἔφθανεν ὁ διαλεκτικός· νῦν δ' οὐκ ἔστιν ὁ δια-
λεκτικὸς περί τι γένος ὡρισμένον οὐδὲ δεικτικὸς οὐδενός, οὐδὲ τοιοῦτος οἷος
ὁ καθόλου καὶ πρῶτος. εἰ γὰρ καὶ περὶ τὰ αὐτὰ ἀναστρέφεται, ἐφ' ἃ καὶ
ὁ θεολόγος (περὶ γὰρ τὰ ὄντα πάντα ἀμφότεροι καὶ οὐ περί τι ἀφωρισμένον, 10
15 ὥσπερ αἱ ἄλλαι τῶν ἐπιστημῶν περὶ μὲν γραμμὰς γεωμετρία, περὶ δὲ
ἀριθμοὺς λογιστικὴ καὶ ἀριθμητικὴ καὶ περὶ ἄλλο τι ἄλλη), ἀλλ' οὖν ὁ μὲν
συλλογίζεται ἐκ τῶν κοινῶν ἀρχῶν καὶ ἀποδείκνυσιν ἐκ τῶν ἀνωτάτω καὶ
καθ' αὑτό, ὁ δὲ ἐκ τῶν ἐνδόξων, καὶ οὐκ ἀποδείκνυσί τι ἀλλ' ἐρωτᾷ, καὶ
εἰ μὴ λάβοι, ἵσταται· οὐ γάρ ἐστιν αὐτοῦ ὠνομασμένον τὸ ὑποκείμενον,
20 τῷ τε μὴ πάντα ἑνὶ συναιρεῖσθαι γένει ὡς ἄν τις εἴποι τῷ ὄντι, εἴ τε καὶ 20
εἴη, τῷ μὴ οἷόν τε εἶναι ὑπὸ τὰς αὐτὰς ἀρχὰς εἶναι τὰ ὄντα. οὐδὲν γὰρ
ἧττον τὰ δέκα γένη, εἰς ἃ τὸ ὂν τέμνεται, ἀρχαὶ δέκα πρῶται ἀλλήλων
ἀποδιεστάμεναι. δῆλον δὲ καὶ ἐκ τοῦ μηδεμίαν τέχνην τῶν δεικνυουσῶν
τινα φύσιν ἐρωτητικὴν εἶναι. οὐ γὰρ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων
25 δοῦναι τῆς ἀντιφάσεως, τῷ μὴ συλλογισμὸν γίνεσθαι ἐξ ἀμφοῖν· οὐ γὰρ
δυνατὸν ἀποδεῖξαι τῷ γεωμέτρῃ τὰς τοῦ τριγώνου τρεῖς γωνίας δυσὶν ὀρθαῖς
ἴσας, εἴπερ εἴη δεδειγμένον | δυοῖν ὀρθαῖν ἐλάττονας. ἡ μέντοι διαλεκτικὴ 64
ἐρωτητική τίς ἐστιν ἐξ ἑκατέρων συλλογιζομένη μερῶν· ἐρωτῶσα γὰρ εἰ
ἡ ψυχὴ ἀθάνατος πρὸς ὁποτερονοῦν τῶν δοθέντων ἀπαντῆσαι παρεσκεύασται
30 καὶ κατασκευάσαι τὸ ἀντικείμενον. εἰ δὲ δεικτική τις ἦν, εἰ καὶ μὴ πάντα,
τὰ γοῦν πρῶτα καὶ τὰς οἰκείας ἀρχὰς οὐκ ἂν ἠρώτα· μὴ διδόντος γὰρ
οὐκ ἂν εἶχεν ἐπαναβεβηκυίας, ἐξ ὧν διαλέξεται πρὸς τὴν ἔνστασιν. ἐν μὲν
γὰρ τοῖς κατόπιν θεωρήμασιν ἐκ τῶν προτέρων καὶ ὑπὲρ αὐτῶν ὁ γεω- 10
μετρικὸς πρὸς τὸν ἐνιστάμενον διαλέξεται, ἐν ἐκείνοις δὲ ἐκ τῶν ὅρων καὶ
35 τῶν κοινῶν ἐννοιῶν· ὅταν δὲ περὶ αὐτῶν τούτων ἀπαιτῆται λόγον, ἐκ τίνων;
ἔστι δὲ ἡ πειραστικὴ καὶ ἐριστικὴ ταὐτὸν τῇ διαλεκτικῇ τῷ μὴ ἐφ' ὡρι-
σμένου βαίνειν. πειραστικὴν δὲ ἐνταῦθά φαμεν οὐχ ἣν πρόσθεν ἐλέγομεν
τὴν ὑπὸ τῇ γεωμετρικῇ καὶ τοῖς συζύγοις μαθήμασιν, ἀλλ' ἑτέραν κοινήν

3 δεικνύοι M ex δεικνύει corr. N 4 ἕλκονται L 5 οὐκ ἰατρικός om. M 6 διδασκαλῖον N 7 ἀποδεχομένοι (sic) L 8 εἰ] οἱ N εἶχον N 14 τι ἄμφω ὡρισμένον MN 18 post τι add. καθ' αὑτὸ MN 21 εἶναι (post ἀρχὰς) om. MN 29 παρασκευάσθαι N 32 ἐπαναβεβηκέναι M 34 τὸν om. N 36 μὴ] μὲν M

τινα καὶ ἁπλουστέραν, ἣν ἂν ἔχοι καὶ μὴ εἰδώς τις. ἔνεστι γὰρ καὶ τὸν 64
μὴ εἰδότα τὴν ἀντίφασιν ἀπόπειραν λαβεῖν τοῦ μὴ εἰδότος μὲν αὐτὴν προσ- 20
ποιουμένου δέ, ἐπεὶ καὶ δίδωσιν οὐκ ἐξ ὧν οἶδεν ὡς ἐπιστήμην ἔχων καὶ
ἐκ τῶν οἰκείων τῇ ἐπιστήμῃ, ἀλλ' ἐκ τῶν κοινῶν καὶ συνήθων τοῖς πᾶσιν,
5 ἃ εἰδώς τις οὐκ ἀναγκαῖον ἔχει εἰδέναι τὴν τέχνην. οὐδὲν γὰρ κωλύει
τὸν εἰδότα τὰ ἑπόμενα τῷ πράγματι, οὗ τὴν πεῖραν λαμβάνει, τὴν τέχνην
ἀγνοεῖν. ὥστε φανερὸν ὡς οὐδενὸς ὡρισμένου γένους ἐστὶν ἣν νῦν πειρα- 65
στικὴν παραδίδομεν. διὸ καὶ περὶ πάντων ἐστί· πᾶσαι γὰρ τέχναι χρῶνται
καὶ κοινοῖς τισιν. ὅθεν καὶ οἱ ἰδιῶται τρόπον τινὰ χρῶνται τῇ διαλεκτικῇ
10 καὶ τῇ τοιαύτῃ πειραστικῇ, καὶ μέχρι τινὸς ἀνακρίνειν ἐπιχειροῦσι τοὺς
τὰ τοιάδε ἐπαγγελλομένους διὰ τῶν κοινῶν· ταῦτα γὰρ οὐδὲν ἧττον τῶν
ἐπιστημόνων ἴσασιν αὐτοί, κἂν δοκῶσι λίαν ἔξω λέγειν. ἐλέγχουσιν οὖν
ἅπαντες καὶ μετέχουσιν ἀτέχνως τούτου, οὗ ἐντέχνως ὁ διαλεκτικός. ἐπεὶ 10
δέ ἐστι πολλὰ μὲν ταὐτὰ κατὰ πάντων, οἷον τὰ κοινὰ ἀξιώματα, οὐ τοιαῦτα
15 δὲ ὥστε φύσιν τινὰ εἶναι καὶ γένος, ἀλλ' ἄοριστα καὶ οἷον αἱ ἀποφάσεις
τῶν ὀνομάτων, τὸ οὐχ ἵππος, οὐκ ἄνθρωπος, τὰ δ' οὐ τοιαῦτα, ἀλλὰ ἴδια
τέχνης τινὸς καὶ ὡρισμένα, ἐκ μὲν τῶν ἰδίων οὐκ ἂν εἴη ἄλλη παρὰ τὴν
ὁρισθεῖσαν, ἐκ δὲ τῶν κοινῶν ἐνδέχεται περὶ ἁπάντων πεῖραν λαμβάνειν
καὶ εἶναι τέχνην τινά, καὶ μὴ τοιαύτην οἵαν αἱ δεικνύουσαι. διόπερ ὁ 20
20 ἐριστικὸς οὐκ ἔστιν οὕτως ἔχων πάντη ὡς ὁ ψευδογράφος· οὐ γάρ ἐστι
παραλογιστικὸς ἐξ ὡρισμένων ἀρχῶν ἑνός τινος γένους, ἀλλὰ περὶ πᾶν ἔσται
ἐριστικός.

Τρόποι μὲν οὖν οὗτοι τῶν σοφιστικῶν ἐλέγχων· ὅτι δ' ἐστὶ τοῦ διαλεκτικοῦ θεωρῆσαι περὶ τούτων καὶ γνῶναι, ὅθεν καὶ ὅπως γίνονται, καὶ
25 αὐτὸν δύνασθαι ποιεῖν καὶ ἐλέγχειν καὶ ἀπατᾶν, οὐ χαλεπὸν ἰδεῖν. ἡ γὰρ
περὶ τὰς προτάσεις | μέθοδος ἅπασαν ἔχει ταύτην τὴν θεωρίαν· τῷ γὰρ 66
τὰς ἀληθῶς ἐνδόξους εἰδέναι ἕπεται καὶ τὰς φαινομένας.

12. Καὶ περὶ μὲν τῶν ἐλέγχων εἴρηται τῶν φαινομένων, τὸ δὲ ψευδόμενόν τι δεῖξαι καὶ τὸν λόγον εἰς ἄδοξόν τι ἀγαγεῖν (τοῦτο γὰρ ἦν
30 δεύτερον τῆς σοφιστικῆς προαιρέσεως) γίνεται κατὰ τόπους ἢ τρόπους δέκα.
καὶ πρῶτος μὲν ὁ ἐκ τοῦ συνιθάνεσθαί πως καὶ διὰ τῆς ἐρωτήσεως συμ- 10
βαίνων μάλιστα. τὸ γὰρ πειρᾶσθαι συσκιάζειν τὰ πολλὰ καὶ πρὸς κρύψιν
ἄγειν ὡς ἐπὶ τὸ πολὺ τοῦτο ποιεῖν ἐστιν.

Δεύτερος ὁ ἀόριστος· τὸ γὰρ πρὸς μηδὲν ὁρίσαντα κείμενον πρόβλημα
35 ἐρωτᾶν θηρευτικόν ἐστι τούτου· εἰκῇ γὰρ λέγοντες ἁμαρτάνουσι μᾶλλον,
εἰκῇ δὲ λέγουσιν, ὅταν μηδὲν ἔχωσι προκείμενον, εἰς ὃ ποιοῦνται τοὺς

1 ἔχοι ex ἔχει corr. N 2 ἀποπειρᾶν M εἰδότος ex εἰδότας corr. N 7 γένους ὡρισμένου MN 11 τὸν κοινῶν N 13 ἀτεχνῶς L οὗ ἀτέχνως M 14 τὰ αὐτὰ N: ταῦτα M 19 post τινά add. εἰ MN οἷαν L, ut p. 172b1 libri omnes Bekkeri: οἷαι MN 21 ἑνός τι L 22 ὁ ἐριστικός MN 25 αὐτὸν] οὐ τὸν M ἁπαντᾶν MN 26 τὸ γὰρ MN 27 ἕπεται] ἕτερον MN 28 Περὶ τοῦ ψεύδεσθαι καὶ παραδοξολογεῖν marg. L 31 ἐκ] διὰ MN 33 ἀνάγειν M

λόγους. ἀλλ' ὁ μὲν σοφιστὴς ἔχων παρ' ἑαυτῷ οὐκ ἀποκαλύπτει. ἀναγκάζει 66
δὲ ἐπ' ἀδήλοις λαμβάνειν λόγους· οἷον βουλόμενος λαβεῖν ὡς καλόν ἐστι 20
τὸ ἐν ἱερῷ ἐσθίειν, ὅπερ ἄδοξον, οὐκ εὐθὺς προτείνει, ἀλλ' ἐρωτᾷ 'ὃ τῇ
φύσει χρειῶδες, τοῦτο καλόν;' ναί. 'τὸ ἐσθίειν οὐ δοκεῖ τῇ φύσει χρειῶδες;
5 τὸ ἐν ἱερῷ ἄρα ἐσθίειν καλόν.' ἢ μᾶλλον ἐπ' ἐκείνου 'ἆρά γε ὃ ἁπλῶς
ἐστι καλόν, οὐκ ἔστι τοῦτο καὶ πῇ καλόν; τὸ δὲ γυναικὶ συγγίνεσθαι ἁπλῶς
ὂν καλόν. ἔσται ἄρα καὶ πῇ καλόν, ὥστε καὶ ἐν ἀγορᾷ.'

Τρίτος τὸ ἐρωτᾶν πολλὰ καὶ πλείω τῶν ἀναγκαίων καὶ ἱκανῶν, κἂν 67
ὡρισμένον ᾖ, πρὸς ὃ διαλέγεται. οὐδὲν γὰρ ἧττον καὶ οὕτως ἄξει εἰς ἄδοξον
10 τῷ ἐκκρούεσθαι τῷ πλήθει τὸν ἐρωτώμενον καὶ μὴ ἔχειν, πρὸς ὅπερ φυ-
λάξεται. οἷον εἰ πρόκειται λαβεῖν ὡς οὐκ ἔστι χρόνος, ἐρωτᾷ 'ἆρ' ἔστι
κίνησις;' καὶ τοῦτο λαβὼν ἐπάξει λοιπόν 'καὶ ἐξ Ἀθηνῶν εἰς Θήβας κινη-
θήσεταί τις, ὁ δὲ κινούμενος διάστημά τι κινεῖται. τοιγαροῦν ὁ κινούμενος 10
εἰς Θήβας πρῶτον τὸ ἥμισυ τοῦ διαστήματος κινηθήσεται καὶ τὸ τοῦ
15 ἡμίσεος ἥμισυ καὶ τούτου δ' αὖ πάλιν τὸ ἥμισυ. καὶ οὕτω δὴ προβαίνων
ἔσται. ἀλλὰ μὴν τὰ τοῦ διαστήματος ἡμίση ἄπειρα, τὰ δὲ ἄπειρα ἀδιεξί-
τητα. οὐκ ἔστιν ἄρα ἐξ Ἀθηνῶν εἰς Θήβας ἐλθεῖν. ὥστε οὐδὲ κίνησις ἔσται,
καὶ εἰ τοῦτο, οὐδὲ χρόνος· ὁ γὰρ χρόνος μέτρον κινήσεως.'

Τέταρτος τὸ τὰ δοκοῦντα λέγειν ἀξιοῦν ποιεῖ τινα εὐπορίαν τοῦ εἰς
20 ἄδοξον ἀγαγεῖν ἢ εἰς ψεῦδος, ἐάν τε ἐρωτώμενος φῇ ἢ ἀποφῇ τι τούτων, 20
ἄγειν πρὸς ἃ εὐπορεῖ ἐπιχειρήματος. οἷον ἐπεὶ δοκεῖ ὁ πλούσιος τοῖς πολλοῖς
εὐδαίμων, ἐρωτᾷ ὁ σοφιστής 'ἆρ' οὐχ ὁ πλούσιος εὐδαίμων;' ναί. οὕτω
γὰρ δοκεῖ τοῖς πολλοῖς. 'τί δέ; Ἀρχέλαος ὁ Περδίκκα ὁ τύραννος οὐ πλού-
σιος;' ναί. 'εὐδαίμων ἄρα. ἀλλὰ μὴν καὶ δυστυχέστατος πάντων ἀνθρώπων·
25 τοὺς γὰρ γονεῖς καὶ τοὺς ἀδελφοὺς ἀπέκτεινεν ἐπὶ τῇ προσλήψει τῆς τυραν-
νίδος.' καὶ καταφήσας μὲν οὕτω παραλελόγισται ἄξαντος τοῦ σοφιστοῦ ἐπὶ 68
τὸν Ἀρχέλαον, ἐν ᾧ ἐπιχειρημάτων εὐπόρησε· μὴ δόντος δὲ περιστήσεται
ἐπισείων τὴν τῶν πολλῶν δόξαν τε καὶ συνήθειαν εὐδαίμονα τιθεμένην τὸν
πλούσιον. πλὴν ἧττον δύνανται κακουργεῖν ἐνταῦθα οἱ σοφισταί, ὅταν ᾖ
30 ὡρισμένον, πρὸς ὃ διαλέγεται, ἢ ὅταν ἄόριστον. εἰ μή τι ἄλλο, ἐν τούτοις
γοῦν ἐπὶ τέλει συμπεραναμένου τοῦ σοφιστοῦ συνιεὶς ὁ παραλογισθεὶς δύνα-
ται ἀπαιτῆσαι, τί τοῦτο πρὸς τὸ προκείμενον, καὶ τί συμβάλλεται πρὸς τὸ 10
ἐν ἀρχῇ.

Πέμπτος τόπος καὶ στοιχεῖον τοῦ τυχεῖν ψεύδους ἤ τινος ἀδόξου τὸ
35 μηδεμίαν εὐθὺς ἐρωτᾶν θέσιν μηδὲ δῆλον ποιεῖν τὸ βούλημα ὡς ἐπηρεάσων
εἴη, ἀλλὰ μᾶλλον σκήπτεσθαι ἀγνοεῖν καὶ ἐρωτᾶν χάριν τοῦ μαθεῖν. χώραν
οὖν ἐπιχειρήματος ἡ σκῆψις ποιεῖ· ἀσκεπτότερον γὰρ οὕτω καὶ προχειρότερον
ὁ ἐρωτώμενος δώσει.

---

1 παρ' ἑαυτοῦ M 2 ἀδήλους M βουλόμενον M 4 χειρῶδες utrobique M
ante ἐσθίειν add. δὲ MN 5 ὃ om. M 7 ἔστιν MN 12 λαβὸν N καὶ om. N
13 κινῆται N 14 τοῦ διαστήματος—ἡμίσεος ἥμισυ (15) om. M τὸ τοῦ] τοῦτο N
15 τούτου] τοῦτο M 18 ὁ δὲ χρόνος M 20 ἐὰν γὰρ MN 21 ἄγει MN
23 οὐ] ὁ N 24 ἀλλὰ μὴ M 30 πρὸς ἃ M 35 θέσιν] θεῖναι M
36 σκέπτεσθαι MN 37 σκέψις MN 38 δώσει ὁ ἐρωτώμενος MN

Ἕκτος, ὃ δὴ καὶ μόνοις τοῖς σοφισταῖς, τὸ ἄγειν εἰς τοιαῦτα πρὸς ἃ 68
εὐπορεῖ λόγων. ἔστι δὲ τοῦτο ποιεῖν καὶ καλῶς καὶ μὴ καλῶς, ὡς ἐλέχθη 21
πρότερον ἐν τοῖς Τοπικοῖς. τὸ γὰρ ἐξίστασθαί τινα τοῦ προκειμένου καὶ
ἐπ' ἄλλα διατρίβειν καλῶς μὲν γένοιτ' ἄν, ὅταν μὴ συγχωρῆταί τις πρότασις
5 ἐρωτωμένη ἀναγκαία οὖσα καὶ συντελοῦσα πρὸς τὴν ἀπόδειξιν· τότε γὰρ
ἐξίστασθαι μὲν ἀνάγκη, σπεύδειν δὲ πρὸς κατασκευὴν | τῆς προτάσεως. 69
οἷον προκειμένου ὡς ἡ ἡδονὴ οὐκ ἀγαθόν, σπεύδων ὁ ἐρωτῶν δεῖξαι τοὐναν-
τίον ὅτι ἀγαθὸν ἐρωτήσει 'ἆρα ἡ ἡδονὴ οἰκεῖον;' μὴ δόντος δὲ τοῦ ἀπο-
κρινομένου ἀναγκάζεται ἐκστῆναι τοῦ προκειμένου καὶ τοῦ κατασκευάζειν
10 τὴν ἡδονὴν ἀγαθὸν εἶναι, καὶ ἐρωτᾷ τὰ πρὸς σύστασιν τῆς εἰρημένης
προτάσεως, οἷον 'ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν;' ναί. 'τὸ δὲ κατὰ φύσιν
οἰκεῖον;' ναί. 'ἡ ἡδονὴ ἄρα οἰκεῖον. τὸ δὲ οἰκεῖον ἀγαθόν, ὥστε καὶ ἡ 10
ἡδονή.' οὐ καλῶς δ' ἂν γένοιτο, εἴ τις διὰ μακροῦ δεικνύει τὸ δι' ὀλίγων
δεικνυσθαι πεφυκὸς μὴ οὔσης ἀνάγκης, ὥσπερ ὁ μέλλων δεῖξαι τὴν ψυχὴν
15 καὶ λογικὴν καὶ ἄλογον οὕτω· 'ἆρα οὐχ ἡ ψυχὴ γινώσκει τὸν ἥλιον καὶ
σφαιροειδῆ τὸν οὐρανόν; τί δέ; οὐ πέμπτον σῶμά ἐστιν ὁ οὐρανός; τί δέ;
ὁ ἥλιος οὐ κινεῖται κύκλῳ; ἄρα τὸ γινώσκειν ταῦτα πάντα καὶ λογίζεσθαι
λογικῆς ἐστι.' 'πάλιν οὐκ ἔστιν ὀρεκτόν, οὗ ἡ ψυχὴ ὀρέγεται;' ναί. 'τὸ δὲ
ὀρεκτὸν οὐ κινεῖ τοιάνδε κίνησιν;' ναί. 'ὀρέξεις δὲ ἐν τῇ ψυχῇ οὐχὶ θυμὸς 20
20 καὶ ἐπιθυμία, αἳ καὶ ἐν ἀλόγοις;' ναί. 'ἡ ψυχὴ ἄρα καὶ λογικὴ καὶ ἄλογος.'
ταῦτα διὰ μακροῦ καὶ ἀσυντελῆ τὰ πλείω. ἦν γὰρ τοῦτο καὶ ἄλλως δεῖξαι
καὶ μᾶλλον ἐγγυτέρως τῷ τὰ διὰ μακροῦ ἐν βραχεῖ συναιρῆσαι· 'πότερον
ἡ ψυχὴ λογίζεται;' ναί. 'τί δέ; οὐχὶ καὶ τὰ τῶν ἀλόγων ἔχει πάθη τὸ
θυμοῦσθαι καὶ ἐπιθυμεῖν;' ναί. 'ἡ ψυχὴ ἄρα καὶ λογικὴ καὶ ἄλογος.' καὶ
25 ταῦτα μὲν ἐν τούτοις· ἡμεῖς δὲ φθάνομεν κἂν τοῖς Τοπικοῖς διελόντες. 70
καθ' ὅσα τοῦ προκειμένου ἐξίστασθαι δεῖ· ἢ γὰρ ὄγκου χάριν ἢ ἐπαγωγῆς
καὶ τοῦ δοθῆναι τὸ καθόλου ἢ πρὸς τὸ σαφέστερον γενέσθαι τὸν λόγον ἢ
μὴν πρὸς κρύψιν καὶ τὸ λαθεῖν.

Ἕβδομος τόπος πρὸς τὸ παράδοξα λέγειν ὁ ἀπὸ τῶν αἱρέσεων, τὸ
30 σκοπεῖν, ἐκ τίνος γένους καὶ ποίας αἱρέσεως ὁ προσδιαλεγόμενός ἐστι, καὶ
ἐπεὶ ἑκάστη ἴδιόν τι πρεσβεύει παρὰ τὰς ἄλλας καὶ ἔστιν ὃ διαφέρει (τοῖς 10
τε γὰρ Πλατωνικοῖς αἱ ἰδέαι καὶ τοῖς Ἀριστοτελικοῖς τὸ πέμπτον σῶμα
καὶ ἄλλοις ἄλλο τι ἀφωρισμένως ἐδογματίζετο), ἐρωτᾶν ὃ τοῖς πολλοῖς οὗτοι
λέγουσιν ἄδοξον (ἔστι γὰρ ἑκάστοις τὸ ἴδιον). οἷον τοὺς Περιπατητικούς, εἰ
35 ἐκ τεσσάρων στοιχείων ὁ οὐρανός· εἰ γὰρ μὴ ὁμολογοῖεν, † ἔσονται λέγειν
παρὰ τὴν δόξαν τῶν πολλῶν. στοιχεῖον δὲ πρὸς ταῦτα καὶ μέθοδος τὸ
τὰς ἑκάστων εἰληφέναι θέσεις ἐν ταῖς προτάσεσι. λύσις δὲ τὸ ἐμφανίζειν 20
ὡς οὐ διὰ τὸν λόγον συμβαίνει τὸ ἄδοξον· οὐ γὰρ δι' αὐτὸ τὸ πέμπτον

---

1 ὃς δὴ MN 3 ἐν τοῖς Τοπικοῖς] B 5 4 ἄλλα om. M 6 ἀνάγκης L 11 ναί om. L δὲ om. M 14 δεῖξειν MN 15 οὐχ ἡ] οὐχὶ L 17 κινῆται N 18 οὗ] οὐ M 19 οὐ θυμὸς MN 22 ἐγγυτέρως] sic libri 23 ἀλόγων ex ἄλλων corr. N 25 κἂν τοῖς Τοπικοῖς] Θ 1 p. 155ᵇ21 28 τὸ] τοῦ L λαβεῖν MN 31 ἔστιν ᾧ MN 34 τῆς περιπατητικοῖς L 35 ἔσονται λέγοντες Spengel 38 δι' αὐτὸ ex διὰ τὸ corr. N

εἶναι σῶμα τὸν οὐρανὸν ἀντιλέγεται, φαίη ἂν Περιπατητικὸς ἀνήρ, ἀλλὰ 70
διὰ τὸ προκατεσχῆσθαι ἑτέρως ἐν δόξῃ τοὺς πολλούς. τοῦτο δὲ καὶ βού-
λεται πᾶς ἀγωνιζόμενος.

Ὄγδοος δὲ τρόπος ὁ ἐκ τῶν βουλήσεων καὶ τῶν φανερῶν δοξῶν. οὐ
γὰρ ταὐτὰ βούλονταί τε καὶ φασίν, ἀλλὰ λέγουσι μὲν τοὺς εὐσχημονεστά- 71
τους τῶν λόγων. βούλονται δὲ τὰ φαινόμενα λυσιτελεῖν. οἷον τὸ τεθνάναι
καλῶς μᾶλλον δεῖν φασιν ἢ τὸ ζῆν ἡδέως, καὶ πένεσθαι δικαίως ἢ πλουτεῖν
αἰσχρῶς, βούλονται δὲ τἀναντία. τὸν μὲν οὖν λέγοντα κατὰ τὰς βουλήσεις
εἰς τὰς φανερὰς δόξας ἀκτέον, τὸν δὲ κατὰ ταύτας εἰς τὰς ἀποκεκρυμμένας·
ἀμφοτέρως γὰρ ἀναγκαῖον παράδοξα λέγειν· ἢ γὰρ πρὸς τὰς φανερὰς δόξας 10
ἢ πρὸς τὰς ἀφανεῖς ἐροῦσιν ὑπεναντίον.

Ἔννατος, ὃς δὴ καὶ πλεῖστος καὶ ἰσχυρότατος ⟨εἰς⟩ τὸ ποιεῖν παράδοξα
λέγειν, τὸ ἐπιχειρεῖν ἀπὸ τοῦ κατὰ φύσιν καὶ κατὰ νόμον, ὅπερ ὁ Καλλικλῆς
ἐν τῷ Γοργίᾳ γέγραπται ποιῶν τῷ Πλατωνικῷ διαλόγῳ περὶ τῆς δικαιοσύνης
πρὸς τὸν Σωκράτην, καὶ οἱ ἀρχαῖοι δὲ πάντες ᾤοντο. δεῖ οὖν πρὸς μὲν
τὸν εἰπόντα κατὰ φύσιν κατὰ νόμον ἀπαντᾶν, πρὸς δὲ τὸν κατὰ νόμον ἐπὶ
τὴν φύσιν ἄγειν· ἀμφοτέρως γὰρ λέγειν εἶναι παράδοξα. ἦν δὲ τὸ μὲν 20
κατὰ φύσιν αὐτοῖς τὸ ἀληθές, τὸ δὲ κατὰ νόμον τὸ τοῖς πολλοῖς δοκοῦν.
ὥστε δῆλον ὅτι καὶ οἱ πάλαι ὥσπερ καὶ οἱ νῦν ἢ ἐλέγχειν ἢ παράδοξα
λέγειν τὸν ἀποκρινόμενον ἐπεχείρουν ποιεῖν. κατεσκεύαζε δὲ ὁ Καλλικλῆς
τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν καλόν, ὅτι πρεσβύτερον. τοῦτο δὲ ὅτι κατὰ
φύσιν, τῷ τὴν ἰσχύν, ὑφ' ἧς ἀδικοῦσι λέων καὶ λύκος καὶ ἱέραξ καὶ ὅσα
ἄλλα τῶν ζώων ἁρπακτικὰ καὶ | σαρκοβόρα, ὑπὸ φύσεως ἔχειν, τά τε αὖ 72
ἀσθενῆ φύσει τὸ κακῶς πάσχειν ἔχειν, τῷ μὴ ἑαυτοῖς ἀρκεῖν. ἡ μέντοι
γε δικαιοσύνη κατὰ νόμον καλὸν καὶ δεύτερον τῆς ἀδικίας, ὥστε καὶ τὸν
νόμον δειλῶν ἀνθρώπων ἔλεγεν εὕρημα.

Δέκατος τὸ ὥσπερ ἀντιφατικῶς ἐρωτᾶν. ἔνια γὰρ τῶν ἐρωτημάτων
ἔχει τὸ ἀμφοτέρως ἄδοξον εἶναι τὴν ἀπόκρισιν, οἷον πότερον τοῖς σοφοῖς ἢ
τῷ πατρὶ πείθεσθαι δεῖ, καὶ τὰ συμφέροντα πράττειν ἢ τὰ δίκαια, καὶ 10
πότερον τὸ ἀδικεῖσθαι αἱρετώτερον ἢ τὸ βλάπτειν καὶ ἀδικεῖν· τούτων γὰρ
τὰ μὲν δοκεῖν τοῖς πολλοῖς τὰ δὲ τοῖς σοφοῖς, ὥστ' εἰ μὲν ὁ ἐρωτώμενος
ἀποδοίη, ὡς οἱ περὶ λόγους ἀρέσκονται, εἰς τὰ τοῖς πολλοῖς ἄγειν, ἐὰν δ'
ὡς οἱ πολλοί, ἐπὶ τὰ τοῖς σοφοῖς. φασὶ γὰρ οἱ μὲν ἐξ ἀνάγκης τὸν εὐδαί-
μονα δίκαιον εἶναι, τοῖς δὲ πολλοῖς ἄδοξον τὸ βασιλέα μὴ εὐδαιμονεῖν. ἔστι
δὲ τὸ εἰς τὰ οὕτως ἄδοξα συνάγειν τὸ αὐτὸ τῷ πρὸ αὐτοῦ τῷ ἄγειν εἰς 20
τὴν κατὰ φύσιν καὶ κατὰ νόμον ὑπεναντίωσιν· ὁ μὲν γὰρ νόμος δόξα τῶν
πολλῶν, οἱ δὲ σοφοὶ κατὰ φύσιν καὶ κατ' ἀλήθειαν λέγουσι.

2 τὸ om. M τοῦτο δὴ L 4 τρόπος] sic libri: τόπος Spengel τῶν (post καὶ) om. M 7 πένθεσθαι M 12 εἰς ex Alex. f. 33v addidi: τοῦ ποιεῖν Spengel 14 ἐν τῷ Γοργίᾳ] c. 38 sqq. 16 ἀπατᾶν M 17 γὰρ] δὲ M 19 ὥστε φανερὸν MN παλαιοὶ M 20 post δὲ add. καὶ MN 21 καὶ] κατὰ M ὅτι πρεσβύτερον om. N 31 πολλοῖς — σοφοῖς] σοφοῖς — πολλοῖς MN 34 δίκαιον om. M

13. Καὶ τὰ μὲν παράδοξα ἐκ τούτων δεῖ ζητεῖν τῶν τόπων, περὶ δὲ 72
τοῦ ποιῆσαι ἀδολεσχεῖν τόποι δύο. ὃ μέντοι λέγομεν τὸ ἀδολεσχεῖν, εἰρή-
καμεν ἤδη· ἔστι γὰρ τὸ ἀναγκάζεσθαι πολλάκις λέγειν τὸ αὐτό. πάντες
δὲ οἱ μετὰ μικρὸν ῥηθησόμενοι λόγοι τοῦτο βούλονται ποιεῖν. καὶ στοιχεῖον
5 μὲν ὥσπερ κοινὸν πάσης ἀδολεσχίας τὸ οἴεσθαι ἐλάχιστον ἢ μηδὲν διαφέρειν 73
τὸ ὄνομα ἢ τὸν λόγον εἰπεῖν· τὸ δὲ ἔστι μὲν ὡς ἔστι δ' ὡς οὔ, καὶ τὸ
μὲν ἐνεργείᾳ τὸ δὲ δυνάμει. διπλάσιον γὰρ καὶ διπλάσιον ἡμίσεος ταὐτό·
λόγος γὰρ τοῦ διπλασίου τὸ εἶναι ἡμίσεος. ὥστε εἴ τις τὸ διπλάσιον ἡμίσεος
εἴποι διπλάσιον, ἠδολέσχησε· δυνάμει γὰρ οὕτως εἶπεν. ὡς τὸ διπλάσιον
10 ἡμίσεος ἡμίσεος. καὶ ἐπὶ συλλογισμοῦ· τὸ μέγεθος τόδε τοῦδε διπλάσιον,
τὸ διπλάσιον ἡμίσεος διπλάσιον, ἄρα τὸ μέγεθος τόδε τοῦδε διπλάσιον 10
ἡμίσεος ἡμίσεος ἡμίσεος. ὁ γὰρ διπλάσιον εἰπὼν δυνάμει καὶ τὸ ἥμισυ
λέγει τῷ τὰ πρός τι λεγόμενα ἢ νοούμενα συνεισάγειν καὶ τὰ πρὸς ἃ λέ-
γεται. ὥστε ὁσάκις ἐρρέθη τὸ διπλάσιον, τοσαυτάκις καὶ τὸ ἥμισυ. δὶς
15 δὲ εἴρηται τὸ διπλάσιον ἐν τῇ μείζονι προτάσει· τοσαυτάκις ἄρα καὶ τὸ
ἥμισυ καὶ νοηθήσεται καὶ λεχθήσεται. κεῖται δὲ καὶ ἐνεργείᾳ ἅπαξ, καὶ
συναφθὲν τρὶς ἔσται εἰρημένον. πάλιν ἡ ἐπιθυμία ἔφεσις, τοῦτο δὲ ὄρεξις 20
ἡδέος. ἔστιν ἄρα ἡ ἐπιθυμία ὄρεξις ἡδέος ἡδέος ἡδέος. ὡς ἐν γένει μέντοι
ἡ ἐπιθυμία τῇ ὀρέξει, ἄμφω δὲ πρός τι, καὶ ὁ εἰπὼν ἐπιθυμίαν ἢ ὄρεξιν
20 δυνάμει λέγει καὶ τὸ ἡδέος· κεῖται δὲ καὶ ἐνεργείᾳ, ὥστε τρὶς τὸ ἡδὺ
ῥηθήσεται ἐν τῷ συμπεράσματι.

Εἰσὶ δὲ πάντες οἱ τοιοῦτοι τῶν λόγων ἔν τε τοῖς πρός τι, ὅσα μὴ
μόνον τὰ γένη ἀλλὰ καὶ τὰ εἴδη πρός τι λέγεται καὶ πρὸς τὸ αὐτὸ καὶ
ἓν | ἀποδίδοται ὄνομά τε καὶ πτῶσιν, οἷον ἥ τε ὄρεξις τινὸς ὄρεξις, καὶ ἡ 74
25 ἐπιθυμία τινὸς ἐπιθυμία (τοῦ γὰρ ἡδέος ἄμφω), καὶ τὸ διπλάσιον τινὸς
διπλάσιον (ἡμίσεος γάρ)· ἀλλὰ καὶ ἐν ἐκείνοις, ὧν μὴ ὄντων πρός τι
κατηγορουμένων δὲ κατ' οὐσίας τινός, ἧς καί εἰσι ταῦτα πάθη καὶ ἕξεις,
παραλαμβάνεται ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ ὑποκειμένη αὐτοῖς οὐσία· οἷον ἡ
σιμότης καὶ τὸ περιττὸν οὐ πρός τι, πάθη μέντοι τινὰ καὶ ἕξεις τῶν ὑπο- 10
30 κειμένων, ἡ μὲν τῆς ῥινός, τὸ δὲ τοῦ ἀριθμοῦ. ἐν γοῦν τοῖς αὐτῶν ὁρισμοῖς
λαμβάνομεν καὶ τὰ ὑποκείμενα· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί, καὶ
περιττὸν ἀριθμὸς μονάδι διαφέρων ἀρτίου. ὥστε ὁ ῥῖνα σιμὴν εἰπὼν ἢ
τὸν τρία περιττὸν ἀριθμὸν ἠδολέσχησε· δὶς γὰρ ἐν ἑκατέροις ἔφθεγκται τὸ
αὐτό. τῷ ἐνεῖναι δυνάμει κἀν τῷ σιμῷ τὴν ῥῖνα καὶ τῷ περιττῷ τὸν ἀριθμόν·
35 καὶ ὁ λέγων ἥδε ἡ ῥὶς σιμή, τοῦτο δὲ κοίλανσις ῥινός, συμπεραινεῖ 'ἔστιν ἄρα
ῥὶς ῥὶς κοίλη.' ἀπαντήσοι δ' ἄν τις κἀνταῦθα πρὸς ταῦτα, ὡς ἐρχῆν δήπου 20
τὸν σοφιστὴν προπυνθάνεσθαι τὸν προσδιαλεγόμενον, εἰ σημαίνειν οἴεταί τι
καθ' αὑτὸ τὸ διπλάσιον χωρὶς τοῦ ἡμίσεος ἢ μή, δόντος δὲ σημαίνειν προσ-
θεῖναι, πότερον τὸ αὐτὸ ὃ κἂν μετὰ τοῦ ἡμίσεος, ἢ ἕτερον, καὶ φήσαντος

1 περὶ δὲ] περὶ τοῦ ἀδολεσχεῖν marg. L 7 ἡμίσεως ubique M 8 ἡμίσεος (post εἶναι) ex ἡμίσεως corr. N 12 ἥμισυ] ἥμισει (sic) L 13 νοούμενα ἢ λεγόμενα MN 18 ἡδέος semel tantum repetit M 26 ὧν] ὡς L 27 οὐσίαν M 32 διαφέρων ex διαφέρον corr. N 34 κἂν M 37 προσπυνθάνεσθαι Aristoteles

ταὐτὸν ἐλέγχειν· ἀδολεσχεῖ γάρ· διελόντος δὲ ὡς τὸ μὲν ἐνεργείᾳ τὸ δὲ 74
δυνάμει, πῶς ἔσται ἀδολεσχῶν; ὧν οὐδὲν ποιῶν ἀλλὰ τῇ πρώτῃ ἐρωτήσει
τὸ | συμπέρασμα ἐπάγων δοκεῖ ποιεῖν ὃ σπουδάζει. 75

14. Εἰπόντας οὖν καὶ περὶ τούτων τοσαῦτα λείπεται λέγειν καὶ περὶ
5 σολοικισμοῦ· τοῦτο γὰρ ἦν ἔσχατον τῆς σοφιστικῆς προαιρέσεως. ὅπερ
οἷον μέν ἐστιν εἴρηται πρότερον, τὸ ποιῆσαι τῇ λέξει βαρβαρίζειν. ἔστι δὲ
τοῦτο καὶ ποιεῖν ἀληθῶς, ὡς ὅταν τις ἁμαρτάνῃ περὶ τὴν κλῆσιν ἢ τὰ
στοιχεῖα ἢ τὰς προσῳδίας, ἢ μὴ ποιῶν φαίνεται ποιεῖν, ὡς ἐπὶ τῶν σοφιστῶν,
ἢ ποιεῖ μέν, μὴ δοκεῖ δ' αὐτῷ, καθάπερ ὁ Πρωταγόρας τὸν μῆνιν οὐλόμενον 10
10 λέγων οὐκ ἐδόκει αὐτῷ σολοικίζειν, ἀλλὰ τοὺς λέγοντας τὴν μῆνιν καὶ τὴν
οὐλομένην. εἰ δὲ ταῦτα, κἂν τέχνῃ δύναταί τις τοῦτο ποιεῖν καὶ συλλο-
γισμῷ λαμβάνειν· διὸ πολλοὶ τῶν λόγων οὐ συλλογιζόμενοι σολοικισμὸν
φαίνονται συλλογίζεσθαι, καθάπερ ἐν τοῖς ἐλέγχοις.

Ἀρχὴ δὲ τῶν σολοικισμῶν καὶ ὥσπερ στοιχεῖον τῆς φαινομένης ἀπάτης
15 ἡ τῶν οὐδετέρων ὀνομάτων χρῆσις, καὶ τούτων τὰ εἰς ο̄ καὶ εἰς ον̄ μάλιστα 20
λήγοντα, ὡς τὸ ἄλλο, τοῦτο, ἐκεῖνο, καὶ τὰ ἐν ὑποτακτικοῖς ἰσοδυναμοῦντα
ἄρθροις, ὡς τὸ ὅ, ὅπερ, ἅ, ἅττα· μέσα γὰρ ὄντα τῆς τε τῶν ἀρρένων καὶ
θηλειῶν σημασίας, ἔτι δὲ καὶ τὴν αὐτὴν πτῶσιν ἔχοντα ὀρθὴν καὶ αἰτια-
τικὴν ἄδηλον ποιεῖ προφερόμενα ἐν τῇ συντάξει, ποίου γένους ἢ πτώσεως
20 τυγχάνει σημαντικά. τὸ μὲν γὰρ οὗτος ἄρρεν σημαίνει, τὸ δὲ αὕτη | θῆλυ. 76
τὸ δὲ τοῦτο τό τε μεταξὺ καὶ ἐκείνων ἑκάτερον. τί τοῦτο; Καλλιόπη,
ξύλον, Κορίσκος· ἐφήρμοσε γὰρ τοῖς τρισί. τοῦ μὲν οὖν ἄρρενος καὶ τοῦ
θήλεος διαφέρουσιν αἱ πτώσεις ἀλλήλων ἐν ἑκατέρῳ, καὶ ἰδίως ἑκάστη τῇ
προφορᾷ ἀφορίζεται. γενικὴ δοτικὴ καὶ αἰτιατική· ἐν μέντοι τοῖς οὐδετέροις
25 ἐκτὸς τῆς γενικῆς καὶ δοτικῆς αἱ ἄλλαι ταυτίζονται, ὅπερ δὴ καὶ αὐτὸ οὐ
μικρὰ συνδίδωσι πρὸς τὸ παραλογίσασθαι. ὡς γοῦν πολλάκις δοθέντος τοῦτο 10
συνελογίσθη τοῦτον, οὕτω κἀνταῦθα πάλιν τὸ προταθὲν κατ' εὐθεῖαν εἰς
αἰτιατικὴν ἐξελήφθη. ἔτι τοῦ ἔστι καὶ τοῦ εἶναι καὶ τῶν ἑκατέροις συστοίχων
ἡ τοιάδε χρῆσις καὶ σύνταξις πλεῖστον ὅσον συμβάλλεται πρὸς τὸ γενέσθαι
30 σολοικισμόν· τὸ μὲν γὰρ ὁριστικὸν εὐθείᾳ συντάσσεται, τὸ δὲ ἀπαρέμφατον
αἰτιατικῇ. οἷον ἔστι τοῦτο Κορίσκος, εἶναι τοῦτο Κορίσκον· ἀλλαττόμενα δὲ
σολοικίζει. καὶ ἐπὶ τῶν λεγομένων σκευῶν. ἐχόντων δὲ ἄρρενος ἢ θηλείας
κλῆσιν, ὡς ἀσκὸς καὶ κλίνη· οἰκεία γὰρ τῶν σκευῶν κατάληξις ἐν οὐδετέροις 20
ἡ εἰς ο̄ τυγχάνει καὶ ν̄, οἷον ξύλον, σχοινίον. καὶ τρόπον τινὰ ὅμοιός
35 ἐστιν ὁ σολοικισμὸς τοῖς παρὰ τὸ τὰ μὴ ὅμοια ὁμοίως λεγομένοις ἐλέγχοις.
οὓς καὶ παρὰ τὸ σχῆμα τῆς λέξεως ὀνομάζομεν. ὡς γὰρ ἐν ἐκείνοις ἐπὶ
τῶν πραγμάτων, τούτοις ἐπὶ τῶν ὀνομάτων συμπίπτει τὸ σολοικίζειν.
φανερὸν οὖν ὡς ὁ σολοικισμὸς ἐκ τῶν εἰρημένων πτώσεων συλλογίζεται.

---

4 εἰπόντας] εἰ πάντας M 8 φαίνεται scripsi: φαίνηται libri 9 ποιεῖ scripsi: ποιῇ libri δοκῇ N 10 τοῖς λέγουσι MN 11 δύναται L Alex.: δύναιτο MN ποιεῖν τοῦτο MN 14 τῆς ἀπάτης τῆς φαινομένης MN 18 ἔχων τα N 25 αὐτὸ om. MN 26 ante τοῦτο add. τοῦ MN 34 καὶ ν̄] τὸ ν̄ N 38 σολοικισμὸς] συλλογισμὸς MN

Ἤδη μὲν οὖν ταῦτα τῶν ἀγωνιστικῶν λόγων καὶ μέρη τῶν εἰδῶν καὶ 76
τρόποι οἱ εἰρημένοι. ὃ | δὲ ἐν τοῖς Τοπικοῖς εἴρηται, ὡς οὐ τὰς ἀρχὰς 77
τῶν ἐπιχειρημάτων εὑρεῖν καθάπαξ ἀρκεῖ, ἀλλὰ καὶ ἐρωτηματίσαι τοιῶσδε
μεγάλα συμβάλλεται πρὸς τὸ ῥᾷον τυχεῖν συμπεράσματος, τοῦτο δὴ κἀνταῦθα
5 λέγομεν· διαφέρει γὰρ οὐ μικρόν, ἐὰν ταχθῇ πως τὰ περὶ τὴν ἐρώτησιν
πρὸς τὸ λανθάνειν καὶ ἀπατᾶν τὸν ἐρωτώμενον. ὅθεν ἐφεξῆς τοῖς εἰρημένοις
περὶ τούτων ἂν εἴη λεκτέον πρῶτον.

15. Ἔστι δὲ πρὸς τὸ ἐλέγχειν καὶ παραλογίζεσθαι ἓν μὲν μῆκος· 10
χαλεπὸν γὰρ ἅμα πολλὰ συνορᾶν καὶ φυλάττεσθαι. εἰς δὲ τὸ μῆκος τοῖς
10 εἰρημένοις ἐν τοῖς Τοπικοῖς στοιχείοις χρηστέον τῷ τε μὴ μόνον τὰς
συνακτικὰς προτάσεις τοῦ συμπεράσματος καὶ ἀναγκαίας ἐρωτᾶν, ἀλλὰ καὶ
τὰς μὴ συμβαλλομένας παρεμβάλλειν καὶ καταποικίλλειν τὸν λόγον παρα-
βολαῖς τε καὶ παραδείγμασι. δεύτερον δὲ τάχος τῷ συνεχεῖς τὰς ἐρωτήσεις
καὶ συντόμους ποιεῖσθαι· ὑστερίζοντες γὰρ ἧττον προορῶσι. τρίτον ὀργὴ 20
15 καὶ φιλονεικία· ταραττόμενοι γὰρ ἧττον δύνανται φυλάττεσθαι πάντα. στοι-
χεῖα δὲ τῆς ὀργῆς τό τε φανερὸν ἑαυτὸν ποιεῖν βουλόμενον ἀδικεῖν καὶ τὸ
παρὰ πάντας ἀναισχυντεῖν. ἔτι τε τὸ ἐναλλὰξ τιθέναι τὰ ἐρωτήματα συμ-
βάλλεται πρὸς τὸ λαθεῖν. οὐ γὰρ τὰς ἀναγκαίας καὶ συνακτικὰς αὐτόθεν
τοῦ συμπεράσματος προτάσεις ἐφεξῆς ἢ | πρώτας θήσομεν, οὐδὲ τοὺς συλ- 78
20 λογισμοὺς κατὰ τάξιν συμπλέξομεν, ὥσπερ ἂν καὶ μηδενὸς ἐφεστῶτος, ἀλλ'
ἐπεμβαλοῦμεν καὶ τὸ συνεχὲς διακόψομεν καὶ πρὸς τὸ λυσιτελοῦν διαθήσομεν.
ἔτι συντελεῖ πρὸς ἀπάτην, ἐάν τις πρὸς τὸ αὐτὸ πλείους ἔχῃ λόγους καὶ
τοὺς ἐναντίους καὶ οὕτως καὶ οὐχ οὕτως κατασκευάζειν δυνατούς· ἅμα γὰρ
συμβαίνει τῷ ἀποκρινομένῳ ἢ πρὸς πλείω ἢ πρὸς τἀναντία ποιεῖσθαι τὴν
25 φυλακήν, λάθοι δ' ἂν δοὺς ἐν πλείοσι μεριζόμενος ὃ μὴ ἂν ἄλλως ἔχων. 10
δείξει γάρ τις τὴν ἡδονὴν ἀγαθόν, καὶ ὅτι κατὰ φύσιν, καὶ ὅτι πάντα
αὐτῆς ἐφίεται· καὶ αὖ ὅτι οὐκ ἀγαθὸν τῷ γένεσιν εἶναι εἰς φύσιν αἰσθητὴν
καὶ ἐμποδίζειν τῷ φρονεῖν. ὅλως δὲ πάντα τὰ πρὸς κρύψιν λεχθέντα
πρότερον χρήσιμα καὶ πρὸς τοὺς ἀγωνιστικοὺς λόγους καὶ σοφιστικούς· ἡ
30 γὰρ κρύψις τοῦ λαθεῖν χάριν, τὸ δὲ τῆς ἀπάτης.

Πρὸς δὲ τοὺς ἀνανεύοντας ἅττ' ἂν οἰηθῶσιν εἶναι πρὸς τὸν λόγον, ἐξ 20
ἀποφάσεως ἐρωτητέον ὡς τοὐναντίον βουλόμενον, (οἷον μὴ οὕτω 'ἆρά γε
ἡ ἡδονὴ κατὰ φύσιν;' ἀλλ' οὕτω 'ἆρ' οὐ δοκεῖ σοι ὡς οὐκ ἔστιν ἡ ἡδονὴ
κατὰ φύσιν;' εἴπερ γὰρ ἀνανεύσει τὴν κατάφασιν, τίθησιν ἣν ζητοῦμεν),
35 καὶ ἐξ ἴσου ποιοῦντα τὴν ἐρώτησιν· ἀδήλου γὰρ ὄντος τοῦ τί βούλεται
λαβεῖν ἧττον δυσκολαίνουσιν, οἷον 'ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν ἢ παρὰ
φύσιν;' ὅταν δὲ ἐπὶ τῶν μερῶν διδῷ τις | τὸ καθ' ἕκαστον, ἐπάγοντα τὸ 79
καθόλου πολλάκις οὐκ ἐρωτητέον, ἀλλ' ὡς δεδομένῳ χρηστέον· ἐνίοτε γὰρ
καὶ αὐτοὶ οἴονται δεδωκέναι καὶ τοῖς ἀκούουσι φαίνονται διὰ τὴν τῆς

2. 10 ἐν τοῖς Τοπικοῖς] Θ 1 4 ῥᾷον om. MN 6 ἀπαντᾶν M 15 πάντες Aristoteles 16 τῆς ex τοῖς corr. N 17 πάντων M ἔτι δὲ M 20 συμπλάζομεν M 21 τὸ utrobique om. M 22 ἔχῃ ex ἔχει corr. N 25 post ἔχων add. δοίη MN 26 εἰδονὴν N 27 αὖ] οὖν M 35 εἰδήλου N

ἐπαγωγῆς μνείαν, ὡς οὐκ ἂν ἠρωτημένα μάτην. οἷον εἰ πρόκειται λαβεῖν 79
τὸ πάντα ἄνθρωπον εἶναι λογικόν, οὕτως ἐρωτητέον 'ἆρά γε ὁ Σωκράτης
οὐκ ἔστι λογικὸς ἄνθρωπος ὤν; τί δέ; ὁ Πλάτων καὶ Ἀλκιβιάδης καὶ ὅδε
καὶ ὅδε οὐκ εἰσὶ λογικοὶ ἄνθρωποι ὄντες;' ναί φησιν. εἶτα ὡς ὁμολογούμενον 10
5 ἐπακτέον τὸ καθόλου χωρὶς ἐρωτήσεως 'πᾶς ἄρα ἄνθρωπος λογικός.' ἐν οἷς
τε μὴ ὀνόμασι σημαίνεται τὸ καθόλου, ἀλλὰ τῇ κατὰ μέρος ὁμοιότητι λόγῳ
τὸ κοινὸν θηρᾶται, χρηστέον πρὸς τὸ συμφέρον· οἷον ἐπεὶ τὸ κερασφόρον
μὴ ὄνομα ὂν ἀλλὰ λόγος τῷ εἶναι σύνθετον, καὶ ἐξ ὁμοιότητος ἐπὶ τὰ μὴ
τῶν ζώων ἀμφόδοντα εἴληπται. οἷον αἶγα. πρόβατον. βοῦν καὶ τὰ λοιπά.
10 χρηστέον ταῖς ἐπαγωγαῖς πρὸς τὸ συμφέρον. ὡς ἐπεὶ τὸ καὶ τὸ κερασφόρα 20
ὄντα οὐκ ἀμφόδοντα. καὶ πᾶν ἄρα· καὶ ἄλλου μὲν ἐπάγοντος αὐτὸν φέρειν
ἔνστασιν τὸν ὄνον τὸν Ἰνδικὸν ἀμφόδοντα ὄντα καὶ κερασφόρον, αὐτὸν δὲ
χρώμενον προσομολογεῖν οὕτως ἐπὶ πάντων. ἔτι χρησιμεύσει πρὸς τὸ λαβεῖν
τὴν ἀναγκαίαν πρότασιν καὶ τὸ πυνθάνεσθαι παραβάλλοντα τὸ ἐναντίον, οἷον
15 εἰ δέοι λαβεῖν ὅτι πάντα δεῖ πείθεσθαι τῷ πατρί. οὕτως ἐρωτητέον 'πότερον
πάντα δεῖ | πείθεσθαι τῷ πατρὶ ἢ πάντα ἀπειθεῖν;' καὶ πάλιν, εἰ δέοι λαβεῖν 80
τὸ ὅτι δεῖ πολλάκις πολλὰ πείθεσθαι, οὕτως 'πότερον πολλάκις πολλὰ πεί-
θεσθαι τῷ πατρὶ δεῖ ἢ ὀλίγα;' παρατιθεμένων γὰρ ἐγγὺς τῶν ἐναντίων καὶ
μείζω καὶ μικρὰ φαίνεται καὶ χείρω καὶ βελτίω τοῖς ἀνθρώποις.

20 Ἔτι δὲ σφόδρα πολλάκις ποιεῖ ἐλληλέγχθαι καὶ τὸ σοφιστικὸν συκοφάν-
τημα τῶν ἐρωτώντων, τὸ μηδὲν συλλογισαμένους μὴ ἐρώτημα ποιεῖν τὸ
τελευταῖον, ἀλλὰ συμπεραντικῶς καὶ ἀποφαντικῶς ἐπάγειν ὡς συλλελογι- 10
σμένους, οἷον οὐκ ἄρα τὸ καὶ τό, ὡς ποιεῖ Μέλισσος· τὸ παρὰ τὸ ὂν οὐκ
ὄν φησι, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν. τάς τε γὰρ προτάσεις ψευδεῖς
25 λαμβάνει (τὰ γὰρ ὄντα πολλὰ τῇ ἐναργείᾳ καὶ οὐκ ἔδει μοναδικῶς προφέρειν.
καὶ τὸ λευκὸν οὐκ ὂν μέν, ὅτι μὴ ποσόν, οὐχ ἧττον δὲ ὄν) καὶ ὃ μὴ συνε-
λογίσατο, συνεπέρανε.

Σοφιστικὸν καὶ τὸ κειμένου παραδόξου τὸ φαινόμενον ἀξιοῦν ἀποκρίνε-
σθαι προσκειμένου τοῦ δόξαντος ἐξ ἀρχῆς, καὶ τὴν ἐρώτησιν τοιούτων
30 οὕτω ποιεῖσθαι 'πότερόν σοι δοκεῖ τόδε, ἢ οὔ;' οἷον κειμένου παραδόξου
ὡς τὸ φονεύειν καὶ ἀδικεῖν εὐδαιμονεῖν ἐστιν, ἡμεῖς ἐρωτῶμεν ἐπὶ τὸν 20
Ἀρχέλαον, εἰ βασιλεὺς ὢν μὴ εὐδαίμων ἐστί, καὶ προσαναγκάζομεν τὸ δο-
κοῦν εἰπεῖν, καὶ καταφήσαντος μὲν τὸ κείμενον πρότερον συνεισάγεσθαι (ἐν
γὰρ τῷ Ἀρχελάῳ καὶ τὸ ἀδικεῖν καὶ εὐδαιμονεῖν φονεύσαντι τοὺς οἰκείους
35 καὶ πλουτοῦντι καὶ βασιλεύοντι), μὴ δόντος δὲ ἐπὶ τὴν δόξαν τῶν πολλῶν
ἀκτέον. ἀνάγκη γάρ, ἂν ᾖ τὸ ἐρώτημα ἐξ | ὧν ὁ συλλογισμός, ἢ ἔλεγχον 81
ἢ παράδοξον γίνεσθαι, δόντος μὲν ἔλεγχον, μὴ δόντος δὲ μηδὲ δοκεῖν φά-
σκοντος ἄδοξον, μὴ θαρρούντως δὲ ἀποφαινομένου ἀλλ' ἐνδοιάζοντος καὶ τὸ
ἴσως προστιθέντος καὶ τάχα ἐλεγχοειδές.

4 φησιν om. MN 15 δέει L πότερον om. MN 16 δέει L 20 ἐληλέχθαι libri 22 καὶ ἀποφαντικῶς om. M 25 ἐνεργείᾳ MN 28 τὸ φαινόμενον — παραδόξου (30) om. MN 29 τῶν τοιούτων Aristoteles 34 καὶ τὸ εὐδαιμονεῖν N 38 μὴ] μηδὲ MN 39 προστιθεμένου MN

Ὅτι καθάπερ ἐν τοῖς ῥητορικοῖς ἑκατέρως τοῖς λόγοις ἐπιχειροῦμεν καὶ 81
τὰ αὐτὰ κατασκευάζομεν καὶ ἀνασκευάζομεν, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως
τὰ ἐναντιώματα θεωρητέον ἢ πρὸς τὰ ὑφ' αὑτοῦ λεγόμενα ἢ πρὸς οὓς 10
ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν, ἔτι πειρᾶσθαι δεικνύναι τὸν προσδιαλε-
5 γόμενον ἐναντία τιθέμενον πρὸς τοὺς δοκοῦντας τοιούτους καὶ περὶ ἕκαστα
ἀγαθοὺς ἢ πρὸς τοὺς ὁμοίους ἢ πρὸς τοὺς πλείστους ἢ πρὸς πάντας· οἷον
εἰ ἰατρός, ὡς τοῖς ἀρίστοις τῶν ἰατρῶν ἀντιλέγει ἢ τοῖς φρονίμοις, ἢ ὧν
δοκεῖ πᾶσιν ἢ τοῖς πλείστοις. ἔτι ὥσπερ ἐν τοῖς καθ' ὁμωνυμίαν οἱ ἀπο-
κρινόμενοι ποιοῦσι πολλάκις ἐλεγχόμενοι (διαιροῦσι γὰρ ὕστερον συναισθό- 20
10 μενοι τῆς ἀπάτης τὸ διττόν, καὶ ὡς ἐπ' ἄλλου σημαινομένου δεδώκασιν ἢ
ὃ συνῆξεν ὁ ἐρωτῶν), οὕτω καὶ τοὺς ἐρωτῶντας χρηστέον ποτὲ τούτῳ πρὸς
τοὺς ἐνισταμένους τῶν ἐρωτωμένων ὡς οὐκ ἐλεγχομένους, ἂν ὧδὶ μὲν
συμβαίνῃ ὧδὶ δὲ μή, ὅτι οὕτως εἴληφε καὶ προέτεινεν ὃ συνήγαγεν, οἷον
ὁ Κλεοφῶν ποιεῖ ἐν τῷ Μανδροβούλῳ τῷ Πλατωνικῷ διαλόγῳ. ἐπεὶ δὲ
15 προϊόντος τοῦ λόγου πολλάκις οἱ ἐρωτώμενοι | ἐρωτῶντες γίνονται, εἰ 82
συναίσθοιντο πρότασιν ἀναγκαίαν ληφθῆναι καὶ πρὸς κατασκευὴν τοῦ προ-
βλήματος, καὶ ἐπιχειροῦσιν ἀνασκευάσαι, δεῖ τοὺς ἐρωτῶντας ἀφισταμένους
τοῦ λόγου τὰ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπιτέμνειν· εἰ δ' αἴσθοιντο δι' ὃ
γίνεται, προενίστασθαι καὶ προαγορεύειν, ὡς οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸν
20 καιρὸν καὶ τῷ μὴ τρίβεσθαι εἰς οὐδέν. ἐπιχειρητέον δὲ ἐνίοτε καὶ πρὸς
ἕτερα τοῦ κειμένου, ἐκεῖνο ἐκβαλόντας, ἐὰν μὴ ἔχωμεν πρὸς αὐτὸ ἐπιχειρεῖν. 10
ὅπερ ὁ Λυκόφρων ὁ σοφιστὴς πεποίηκε προβληθέντος αὐτῷ λύραν ἐγκω-
μιάζειν· ἐπεὶ μὴ εἶχεν, ὃ πρὸς τὴν ὀργανικὴν εἴπῃ, ἀνέδραμε πρὸς τὴν
ἐν οὐρανῷ καὶ τὴν λυρικὴν μετελάβετο ποίησιν, ἐν ᾧ πολλοὺς ἐπαίνων
25 λόγους ἐφεύρηκεν. καὶ ὁ Ἰσοκράτης ἐπαινῶν τὴν Ἑλένην ἐπὶ τοὺς ἐραστὰς
αὐτῆς ἔκλινε καὶ δι' ἐκείνων ἐθαύμασεν· οὐ γὰρ εἶχεν ἐκ τῶν κατ' αὐτήν.
καὶ ὁ Πρωταγόρας ἐν τῷ ὁμωνύμῳ διαλόγῳ ποτὲ μὲν μύθους διέξεισι ποτὲ 20
δὲ περὶ ποιημάτων, ἐν οἷς εὐπορεῖν ἐπιχειρημάτων ἠδύνατο. καὶ ἐπ' ἐκείνου·
σπεύδοντες γὰρ πρὸς ἀνασκευὴν τοῦ τὸν φιλόσοφον πολυπράγμονα εἶναι ἀντὶ
30 τούτου τὸ φιλοπράγμονα εἶναι μεταλαμβάνομεν, ἐπεὶ μὴ ἐκεῖθεν εὐπορεῖν ἦν,
καὶ οὕτω συντίθεμεν 'ὁ φιλόσοφος πολυπράγμων, οὗτος δὲ φιλοπράγμων, ὁ
δὲ φιλίως καὶ σχετικῶς πρός τε τὴν ὕλην | καὶ τὰ πράγματα διακείσεται· 83
ὁ φιλόσοφος ἄρα πρὸς τὰ τῇδε συνίσχεται. ἀλλὰ μὴν τοῦτο ψεῦδος· ψεῦδος
ἄρα καὶ τὸ πολυπράγμονα εἶναι, ἤγουν ζητητικὸν καὶ τῶν ὄντων ἐρευνητήν.'
35 ἐπεὶ δὲ πολλάκις οἱ ἀποκρινόμενοι μήτε παντελῶς ἀπαρνούμενοι τὰ προτει-
νόμενα μήτε διδόντες ἀπαιτοῦσι τὸν ἐρωτῶντα ἀποδεῖξαι ἣν ἠρώτησε πρό-
τασιν, καὶ δοκεῖ καὶ τοῖς ἀκροαταῖς δεῖν ἀποδιδόναι τὴν αἰτίαν, δεῖ μὴ ἐπὶ
τὸ καθόλου τὸν ἔλεγχον ἄγειν, ἀλλὰ περὶ τὰ καθ' ἕκαστα διατρίβειν· τὸ 10

---

1 ἑκατέροις MN 2 καὶ ἀνασκευάζομεν om. N 6 ante πάντας add. τοὺς MN
7 ἀντιλέγειν M ὧν L, cf. Alex. f. 37: ἃ MN 13 συμβαίνῃ ex συμβαίνει corr. L
δ] ἢ MN 14 ποιεῖν N μανδραβούλῳ libri τῷ Πλατωνικῷ διαλόγῳ] cf. I. Bywater
Journal of Philol. XII 25 16 καὶ om. MN 20 τὸ MN 21 ἐκλαβόντας
Aristoteles 23 εἴποι MN 29 ἀνασκευεῖν N 32 φιλίας καὶ σχετικῆς M
καὶ πρὸς τὰ MN 37 τοῖς ex ταῖς corr. N

γὰρ καθόλου ἀεὶ ἔνστασιν ἔχει. ὅθεν ἐπὶ τῶν μερικῶν δεῖ συνάξαι τὴν 83
ἀντίφασιν, οἷον εἰ ὑγιεινοῦ καὶ νοσώδους τὴν αὐτὴν εἶναι ἐπιστήμην ἀπαι-
τούμεθα λόγον, μὴ ὅτι καὶ πάντων τῶν ἐναντίων (ἐνσταίη γὰρ ὡς τοῦ
γνωστοῦ καὶ ἀγνώστου οὐχ ἡ αὐτή, οὐδὲ πεπερασμένου καὶ ἀπείρου ἢ ὄντος
5 καὶ μὴ ὄντος), ἀλλ' ὅτι εἰ μὴ τοῦτο, οὐδὲ ἀρτίου καὶ περιττοῦ μία, οὐδὲ
ἡρμοσμένου καὶ ἀναρμόστου. ἀλλὰ μὴν μία ἥ τε ἀριθμητικὴ καὶ ἡ μου- 20
σική· καὶ τοῦ ὑγιεινοῦ καὶ νοσώδους ἄρα μία ἡ ἰατρική. ὃ δὲ ἀνωτέρω
ἐρρέθη, καὶ νῦν λέγομεν, ὡς οὐ δεῖ τὸ συμπέρασμα προτακτικῶς ἐρωτᾶν
ἀλλ' ἀποφαντικῶς, ἐνίας δὲ τῶν προτάσεων καὶ διαφερόντως τὰς μείζους
10 οὐδὲ ἐρωτητέον, ἀλλ' ὡς ὁμολογουμέναις χρηστέον.

16. Ἐξ ὧν μὲν οὖν αἱ ἐρωτήσεις καὶ πῶς ἐρωτητέον ἐν ταῖς
ἀγωνιστικαῖς διατριβαῖς καὶ | σοφιστικαῖς, εἴρηται· περὶ δὲ ἀποκρίσεως 84
καὶ πῶς χρὴ λύειν καὶ τί, καὶ πρὸς τίνα χρῆσιν οἱ τοιοῦτοι τῶν λόγων
ὠφέλιμοι, μετὰ ταῦτα λεκτέον.

15 Χρήσιμοι οὖν εἰσι πρὸς φιλοσοφίαν διὰ δύο. πρῶτον μὲν γὰρ ὡς
ἐπὶ τὸ πολὺ γινομένους περὶ τὴν λέξιν ἐντριβεῖς ἄμεινον ἔχειν ποιοῦσι πρὸς
τὸ ποσαχῶς ἕκαστον λέγεται, καὶ ποῖα ὁμοίως καὶ ποῖα ἑτέρως ἐπί τε τῶν
ὀνομάτων καὶ τῶν πραγμάτων συμβαίνει. δεύτερον δὲ πρὸς τὰς καθ' 10
ἑαυτὸν ζητήσεις, ὡς κἀν τοῖς προοιμίοις εἴρηται· ὁ γὰρ ὑφ' ἑτέρου παρα-
20 λογιζόμενος ῥᾳδίως καὶ τοῦτο μὴ διαισθανόμενος κἂν αὐτὸς ὑφ' αὑτοῦ τοῦτο
πάθοι πολλάκις. τρίτον δὲ καὶ τὸ λοιπὸν ἔτι πρὸς δόξαν, τὸ περὶ πάντα
γεγυμνάσθαι δοκεῖν καὶ μηδενὸς ἀπείρως ἔχειν. τὸ γὰρ κοινωνοῦντα λόγων
ψέγειν λόγους μηδὲν ἔχοντα διορίζειν περὶ τῆς φαυλότητος αὐτῶν ὑποψίαν
δίδωσι τοῦ δοκεῖν δυσχεραίνειν οὐ διὰ τὸ ἀληθὲς ἀλλὰ διὰ τὴν ἀπειρίαν. 20
25 Ἀποκρινόμενον δὲ πῶς ἀπαντητέον πρὸς τοὺς τοιούτους λόγους, φανερόν,
εἴπερ ὀρθῶς εἰρήκαμεν πρότερον, ἐξ ὧν εἰσιν οἱ παραλογισμοί, καὶ τὰς ἐν
τῷ πυνθάνεσθαι πλεονεξίας ἱκανῶς διείλομεν. οὐ ταὐτὸ δέ ἐστι λαβόντα
τὸν λόγον κατὰ σχολὴν ἰδίᾳ καὶ καθ' αὑτὸν ἰδεῖν καὶ λῦσαι τὴν μοχθηρίαν,
καὶ ἐρωτώμενον αὖφνης ἁπαντᾶν δύνασθαι ταχέως. ὃ γὰρ ἴσμεν, πολλάκις 85
30 μετατιθέμενον ἀγνοοῦμεν. ἔτι δ' ὥσπερ ἐν τοῖς ἄλλοις τὸ θᾶττον καὶ τὸ
βραδύτερον ἐκ τοῦ γεγυμνάσθαι γίνεται μᾶλλον, οὕτω καὶ ἐπὶ τῶν λόγων
ἔχει, ὥστε, ἂν δῆλον μὲν ἡμῖν ᾖ, ἀμελέτητοι δ' ὦμεν, ὑστεροῦμεν τῶν
καιρῶν πολλάκις. ἔτι συμβαίνει ποτέ, καθάπερ ἐν τοῖς διαγράμμασι, καὶ
ἐν τοῖς λόγοις. καὶ γὰρ ἐκεῖ ἀναλύσαντες καὶ τὰς προτάσεις εὑρόντες τὰς
35 τοῦ θεωρήματος δεικτικὰς συνθεῖναι πάλιν καὶ εἰς σχῆμα ἀγαγεῖν ἀδυνα- 10
τοῦμεν· οὐ γὰρ ἔχομεν εὐπετῶς ἰδεῖν ποῖα μείζων ἢ ἐλάττων διὰ τὴν ἀπει-
ρίαν. καὶ ἐπὶ τῶν λόγων δὲ πλείονας ἁμαρτίας ἔστιν ὅτε τοῦ σοφίσματος
ἔχοντος ἀποροῦμεν ἰδεῖν, ὅθεν ὁ ἔλεγχος. διὰ τοῦτο αἵ τε πρὸς ἄλλους
συνεχεῖς διαλέξεις καὶ γυμνασίαι καὶ αἱ καθ' αὑτοὺς ζητήσεις ἰδίᾳ περὶ
40 τῶν εἰς ἑκάτερα λόγων τοῦ τοιοῦδε προβλήματος μεγάλην ἐν τοῖς τοιούτοις

1 μερίστων MN 3 λόγον] λέγειν Spengel 9 διαφερόντων N 12 εἴρηται om. N
15 ante οὖν add. μὲν MN 21 πάθοι ex πάθη corr. N 30 θᾶττον] θάτερον L
τὸ (post καὶ) om. L 36. 37 ἀπορίαν M

παρέχουσι τὴν ῥοπήν· αὔξουσι γὰρ τὴν ῥώμην καὶ τὴν ἐν ἡμῖν λογικὴν 85
ἕξιν τρέφουσι. κἂν τοῖς ἀγῶσι δὲ τοῦ κράτους πρόξενοι. 20

17. Πρῶτον οὖν, ὥσπερ συλλογίζεσθαί φαμεν ἐνδόξως ποτὲ μᾶλλον
ἢ ἀληθῶς προαιρεῖσθαι δεῖν (ὅταν γὰρ μὴ ταῖς ἀληθέσι τῶν προτάσεων
τὸν προσδιαλεγόμενον ἑπόμενον ἔχωμεν, καὶ ἐκ τῶν οἰκείων δοξῶν χειρώ-
σασθαι ἐπειγόμεθα). οὕτω καὶ λυτέον ποτὲ μᾶλλον ἐνδόξως ἢ κατὰ τὸ
ἀληθές, καὶ πρὸς τὸν ἀκροατὴν ἢ κατὰ τὸ πρᾶγμα. ὅλως γὰρ πρὸς τοὺς
ἐριστικοὺς μαχητέον | οὐχ ὡς ἐλέγχοντας ἀλλ' ὡς φαινομένους· οὐ γάρ 86
φαμεν συλλογίζεσθαί γε ἢ ἐλέγχειν αὐτούς· ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν
διορθωτέον. εἰ γάρ ἐστιν ὁ κυρίως ἔλεγχος ἀντίφασις μὴ ὁμώνυμος ἔκ
τινων προτάσεων ἀληθῶν συναγόμενος, ὁ μὴ τοιοῦτος κενὸς ἂν εἴη δήπου,
καὶ παροπτέος ὡς μὴ ἔχων ὑπόστασιν. ὁ δὲ σοφιστικὸς τοιοῦτος· οὐκ
ἔδει γοῦν πράγματ' ἔχειν ἡμᾶς διαιροῦντας αὐτοῦ τὰ ἀμφίβολα καὶ ὁμώνυμα,
καθάπαξ ἀποβαλόντας, ὡς καὶ μὴ ὄντα συλλογισμόν. ἐπεὶ δὲ οὐ τὴν ἡμε- 10
τέραν κρίσιν περὶ τοῦ πράγματος ἐν τοῖς τοιούτοις ἐκφάναι ἐπισκοποῦμεν,
ἀλλ' ἣν ἕτεροι περὶ ἡμᾶς εὐλαβούμεθα, διὰ τοῦτο καὶ διαιρετέον καὶ διαλυτέον οὐδενὸς ἄλλου χάριν ἢ ὅτι τὸ συμπέρασμα φαίνεται ἐλεγχοειδὲς κἂν τοῖς ἀπειροτέροις ἐληλέγχθαι δόξαιμεν. οὔκουν τοῦ ἐλεγχθῆναι ἐν τοῖς τοιούτοις φροντιστέον ἀλλὰ τοῦ δοκεῖν, ἐπεὶ τό γε ἐρωτᾶν ἀμφίβολα καὶ
τὰ παρὰ τὴν ὁμωνυμίαν, ὅσαι τε ἄλλαι παρακρούσεις, καὶ τὸν ἀληθινὸν 20
ἔλεγχον ἀφανίζει καὶ τὸν ἐλεγχόμενον ἄδηλον ποιεῖ. εἰ μὲν οὖν ὁ ἐρωτῶν πρῶτον διελὼν τὸ ὁμώνυμον ἢ τὸ ἀμφίβολον, εἶθ' οὕτω προήνεγκε τὴν ἐρώτησιν, οὐκ ἂν ἄδηλος ἦν ὁ ἔλεγχος, εἴτε ὢν εἴτε δοκῶν· νυνὶ δὲ ὡς ἐν τὰ πολλὰ προτείνας καὶ ὃ μὴ ἔλαβε συμπεραίνων ἄδηλον τίθησιν, οὐδ'
ἂν ἐπὶ τοῦ δοθέντος συνάγει τὴν ἀντίφασιν. ὁμώνυμον δὲ ᾖ, ἀληθὴς ἔλεγχος
οὗ|τος ἔσται· φθείρεται γὰρ κἀν τούτῳ ἡ τάξις τοῦ διαλέγεσθαι. ἀλλ' ἐπεὶ 87
ἔξεστιν ἐπὶ τέλει τῷ ἀποκρινομένῳ συμπεραινομένου τοῦ σοφιστοῦ λέγειν καταφῆσαι μὴ ὅπερ ἀποφάσκειν ἄρτι τὸν σοφιστήν, ἔνστασις αὐτόθεν ἔσται καὶ λύσις τοῦ παρακρούσματος. ἔτι εἰ διήρει ἐρωτῶν ὁ σοφιστὴς τὰ
ὁμώνυμα, ἐγίνετ' ἂν ἕτερόν τι, ὃ ἐπιζητοῦσιν οἱ διαλεγόμενοι νῦν μὲν ἧττον, 10
πρότερον δὲ μᾶλλον, τὸ δὲ ἦν τὸ μοναχῶς ἀποκρίνεσθαι τὸ ναὶ ἢ τὸ οὔ, ἀλλὰ μὴ ἄμφω. ἢ καὶ ἐνδοιάζειν λέγοντας τάχα, ἴσως, δοκεῖ. νῦν δὲ διὰ τὸ μὴ καλῶς ἐρωτᾶν τοὺς πυνθανομένους μηδὲ διαστέλλειν τὰ σημαινόμενα ἀνάγκη προσαποκρίνεσθαί τι τὸν ἐρωτώμενον καὶ μὴ μέρος ἀλλ' ὅλην τὴν
ἀντίφασιν ἀποδιδόναι μετ' ἐνδοιασμοῦ 'ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ', διορθοῦντα τὴν μοχθηρίαν τῆς πτώσεως· ἐπεὶ διελομένου γε ἱκανῶς τίς φθόνος μὴ τὸ ναὶ ἢ τὸ οὔ λέγειν τὸν ἀποκρινόμενον.

Καὶ ἡμεῖς μὲν οὕτω περὶ τούτων διαγινώσκομεν τὸ μηδένα τῷ ὄντι 20
ἔλεγχον εἶναι σοφιστικὸν ἢ τῷ δόξαι· εἰ δέ τις ἑτέρως ἔχει καὶ ὑπολαμβάνει

3 συλλογίζεσθαι ex συλλογίζεται corr. N 6 ἐπειγόμεθα om. N 7 ἢ om. M
13 διαιροῦντα L 15 ἐκφῆναι MN 18 ἐληλέχθαι libri 21 ἐμφανίζει MN
25 συνάγη M corr. N 28 ἀπέφασκεν Spengel 30 ἐπιζητοῦμεν MN 31 μοναχὸς N

τὸν καθ' ὁμωνυμίαν ἢ καθ' ἑτέραν τινὰ σοφιστικὴν συζυγίαν ἔλεγχον εἶναι, 87
οὐκ ἔσται διαφυγεῖν τὸ ἐλέγχεσθαι τὸν ἀποκρινόμενον, κἂν ὁποῖος γένοιτο· οὐ γὰρ ἐπιλείψει τοῖς σοφισταῖς τόπος εἰς ἀπάτην, κἂν διὰ πάντων ἀποκρουσθῶσι, συκοφαντήσουσιν. αὐτίκα γὰρ ἐπὶ τῶνδε τῶν ὁρατῶν καὶ κατ-
5 ἐνέργειαν αἰσθητῶν ὀλίγον παραλ|λάξασι τοῖς σοφισταῖς ἐλέγξαι δυνατὸν καὶ 88
προσαναγκάζειν ὃ ἀπέφησεν ὄνομα καταφῆσαι. ἐπεὶ γὰρ τὸ ἅπαν αἰσθητόν, εἴτε πόρρω τῆς αἰσθήσεως γένοιτο εἴτε ὂν ἐγγὺς κρύπτοιτο, τὴν αἰσθητικὴν ὑποφεύγει κατάληψιν, τόνδε τὸν Κορίσκον, ὃν μουσικὸν γινώσκομεν, περικεκαλυμμένον λαμβάνοντες καὶ εἰς τὸ μέσον παράγοντες ἐρωτῶσι περὶ αὐτοῦ
10 'ἆρ' οἶδας τοῦτον; καὶ πότερον μουσικός ἐστιν ἢ ἄμουσος;' ἀποφησάντων δέ (οὐ γὰρ οἴδαμεν τὸν κρυπτόμενον) ἀποκαλύφαντες προσεπερωτῶσιν, εἰ 10
ὅστις εἰπεῖν ἔχοιμεν. γνωρίσασι δὲ Κορίσκον τὸν μουσικὸν ἐπεγκαλοῦσιν ὡς ὃ ἀπεφήσαμεν καταφάσκομεν, καὶ τὸν αὐτὸν εἰδέναι καὶ ἀγνοεῖν ὁμολογοῦμεν. οὐκ ἔστι δέ, ἀλλὰ παρὰ τὸ συμβεβηκὸς τὸ σόφισμα· οὐ γάρ,
15 εἰ τὸν κεκαλυμμένον ἀγνοῶ, συμβέβηκε δὲ τὸ κεκαλύφθαι τῷ Κορίσκῳ, ἤδη καὶ Κορίσκον ἀγνοῶ. ὥσπερ οὐδ' ἂν τὸ δισύλλαβον ὑπάρχει τῷ λευκῷ. τὸ δὲ τῷ Ἀλκιβιάδῃ συμβέβηκεν. ἀνάγκη εἶναι καὶ τὸν Ἀλκιβιάδην δισύλ- 20
λαβον. ὡς γὰρ διορθοῦνταί τινες δῆθεν τὸ σόφισμα λύοντες, οὐδὲν ὄφελος· οὐ γὰρ Κορίσκον φασὶν εἶναι μουσικὸν καὶ ἄμουσον οὐδὲ ἐπ' αὐτοῦ καὶ
20 ἑνὸς συμπίπτειν τὴν ἀντίφασιν, ἀλλ' ἐφ' ἑτέρου καὶ ἑτέρου, καὶ δύο προτάσεις τὴν μίαν τίθενται, καὶ ὡς ἕτερον τὸν μουσικὸν Κορίσκον τοῦ κεκαλυμμένου καὶ ἀμούσου σκοποῦσιν. οὐχ οὕτω δὲ ἔχει· οὐ γὰρ τῷ ὑποκειμένῳ ἀλλὰ τῷ λόγῳ ταῦτα διάφορα, ὥσπερ ὁ ἁπλῶς Σωκράτης καὶ λευκὸς Σωκράτης. εἰ δὲ τῷ μέν, | ἤγουν ταῖς προτάσεσι, τὸ ἁπλῶς λέγειν 89
25 Κορίσκον ἀποδώσει τις, οἷον 'ἆρ' ὁ Κορίσκος μουσικός ἐστι;' τῷ δέ, εἴτ' οὖν ἐν τῷ συμπεράσματι, προσθήσει τὸν τινὰ ἢ τόνδε, τόνδε λέγων τὸν Κορίσκον τὸν κεκαλυμμένον μὴ μουσικὸν εἶναι, ἄτοπον καὶ παρὰ τὴν συλλογιστικὴν μέθοδον. δεῖ γὰρ ἢ ἐν ἀμφοτέροις ἢ ἐν μηδενί, ταῖς τε προτάσεσι λέγω καὶ συμπεράσματι. τήν τε πρόσθεσιν καὶ τὴν ὑφαίρεσιν γίνεσθαι. οὐδὲν
30 δὲ διαφέρει, εἴτε ὁμώνυμον ἐλήφθη παράδειγμα πρὸς τὴν τοῦ προτεθέντος 10
ἀπόδειξιν τοῦ ὡς πανταχόθεν εὔπορον τοῖς κακουργεῖν ἐθέλουσιν, ἢ ᾧ κεχρήμεθα παρὰ τὸ συμβεβηκός· κἂν τούτοις γὰρ πλείω ἐδείχθη τὰ σημαινόμενα.

Ἐπεὶ δὲ ἄδηλος μέν ἐστιν ὁ ἐρωτώμενος ὁμώνυμόν τι ἢ ἀμφίβολον
35 καὶ μὴ διορισάμενος, πότερον ἐλήλεγκται ἢ οὐκ ἐλήλεγκται, δέδοται δὲ ἐν τοῖς λόγοις τὸ διελεῖν, φανερὸν ὅτι τὸ μὴ διελόντα δοῦναι τὴν ἐρώτησιν ἀλλ' ἁπλῶς ἁμάρτημά ἐστι· ὥστε κἂν μὴ αὐτὸς ὁ ἐρωτώμενος ἐλήλεγκται 20
κατὰ νοῦν, ἀλλ' ὅ γε λόγος αὐτῷ ἐληλεγμένῳ ἔοικε. καὶ φάσκων ἀγνοεῖν δόξει τοῖς ἀκροαταῖς διὰ τὸ μὴ διαιρῆσαι πρότερον. ὥστε λύσις ἡ κυριωτάτη

1 συζυγίαν σοφιστικὴν MN 4 συκοφαντίσουσιν N 16 ὑπάρχῃ MN 19 οὐ γὰρ] οὐδὲ M 20 ἑνὸς] ἓν L 26 τὸν τινὰ] sic libri: τὸ τινὰ Aristoteles τινὰς L, qui tamen in marg. corr. τινὰ 29 τήν τε] τήνδε M 30 δὲ om. L 31. 32 κεχρήμεθα] καὶ χρώμεθα M 35. 37 ἐλήλεκται libri

καὶ κοινοτάτη ἐπὶ τῶν ὁμωνύμων καὶ ἀμφιβόλων ἡ τῶν σημαινομένων παρὰ 89
τοῦ ἀποκρινομένου ἔκθεσις καὶ διαίρεσις. συμβαίνει μέντοι πολλάκις ὁρῶντας
τὴν ἀμφιβολίαν ὀκνεῖν διαιρεῖσθαι διὰ τὴν πυκνότητα τῶν τοιαῦτα προτει- 90
νομένων, ὅπως μὴ πρὸς ἅπαν δοκῶσι δυσκολαίνειν· εἶτα οὐκ ἂν οἰηθέντων
5 παρὰ τοῦτο γενέσθαι τινὰ κατὰ τὸν λόγον ἀπάτην, πολλάκις ἀπήντησε
παράδοξον. ὥστε ἐπεὶ δέδοται διαιρεῖν, οὐκ ὀκνητέον, καθάπερ ἐλέχθη
πρότερον.

Εἰ δὲ τὰ δύο ἐρωτήματα καὶ τρία καὶ πολλὰ μὴ ἓν ἐποίει τις ἐρώτημα
ἑνὶ συγκλείων ὀνόματι, οὐδ' ἂν ὁ παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν 10
10 ἐγίνετο παραλογισμός, ἀλλ' ἢ ἔλεγχος ἀληθὴς ἢ οὐδέν. τί γὰρ διαφέρει
ἐρωτῆσαι, εἰ Καλλίας καὶ Θεμιστοκλῆς μουσικοί εἰσιν, ἢ εἰ ἀμφοτέροις ἓν
ὄνομα ἦν ἑτέροις οὖσιν, ὅπερ πάσχουσι τὰ ὁμώνυμα; εἰ γὰρ πλείω δηλοῖ
τοῦ ἑνὸς πράγματα τὸ ἓν ὄνομα, πλείω καὶ ἠρώτησεν. εἰ οὖν μὴ ὀρθὸν
πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν ἀξιοῦν λαμβάνειν ἁπλῶς, φανερὸν ὅτι
15 οὐδενὶ προσήκει τῶν ὁμωνύμων ἀποκρίνεσθαι ἁπλῶς, οὐδ' εἰ κατὰ πάντων
ἀληθὲς τὸ προτεινόμενον, εἰς ὃ καὶ ἀξιοῦσί τινες δεῖν τῶν τῆς ἀντιφάσεως 20
τὸ ἓν ἀποκρίνεσθαι. ἡ γὰρ διαλεκτικὴ ἐρώτησις ἀποκρίσεώς ἐστιν αἴτησις
ὡς μία πρὸς μίαν, ὥστε οὐκ αὐτόθεν καταφήσαιμεν ἢ ἀποφήσαιμεν πρὸς
τὸν ἐρωτῶντα, εἰ Αἴας καὶ Ἀγαμέμνων καὶ Διομήδης ἐπὶ Τροίαν ἐστρά-
20 τευσαν· οὔτε γὰρ ἓν τὸ ἐρώτημα, κἂν ἀληθὲς δέ, οὐ δοτέον διὰ τὸν
συνεθισμόν. ὁμοίως δὲ καὶ εἴ τις ἤρετο, ὁ Κορίσκος καὶ ὁ Καλλίας πότερον
οἶκοι εἰσὶν ἢ οὐκ | οἶκοι, εἴτε παρόντων ἀμφοῖν εἴτε μὴ παρόντων· ἀμφο- 91
τέρως γὰρ πλείους αἱ προτάσεις· οὐ γὰρ εἰ ἀληθὲς εἰπεῖν, διὰ τοῦτο μία
ἐρώτησις. ἐγχωρεῖ γὰρ καὶ μυρία ἕτερα ἐρωτηθέντα ἐρωτήματα ἅπαντα
25 ἢ ναὶ ἢ οὐ ἀληθὲς εἶναι λέγειν, ἀλλ' ὅμως οὐκ ἀποκριτέον μιᾷ ἀποκρίσει·
ἀναιρεῖται γὰρ τὸ διαλέγεσθαι. τούτοις γοῦν ὅμοιον ὡς εἰ καὶ τεθείη τὸ
αὐτὸ ὄνομα τοῖς ἑτέροις. εἰ γοῦν τὸ πολλάκις ῥηθὲν εὖ ἔχει καὶ μὴ δεῖ
πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν διδόναι, φανερὸν ὡς οὐδὲ ἐπὶ τῶν 10
ὁμωνύμων τὸ ναὶ ἢ τὸ οὐ λεκτέον· οὐδὲ γὰρ ὁ εἰπὼν ἀποκέκριται ἀλλὰ
30 μάτην ἄλλως εἴρηκεν. ὅμως μέντοι νομίζονται ἐν τοῖς διαλεγομένοις καὶ
τοῖς ἀπειροτέροις τῶν ἀκροατῶν τὸ ναὶ ἢ τὸ οὐ ὄντως δεδωκέναι διὰ τὸ
λανθάνειν τὸ συμβαῖνον ἐν τοῖς ὁμωνύμοις.

Ὡς γοῦν οὐκ ὄντες ἔλεγχοί τινες δοκοῦσιν εἶναι (τὸ γὰρ ἅπαν ἐνταῦθα
συνάγομεν κατὰ τὸν αὐτὸν τρόπον), καὶ λύσεις δόξουσιν εἶναί τινες οὐκ 20
35 οὖσαι λύσεις, ἃς δή φαμεν ἐνίοτε δεῖν φέρειν ἢ τὰς ἀληθεῖς ἐν τοῖς ἀγω-
νιστικοῖς λόγοις καὶ ἐριστικοῖς καὶ τῇ πρὸς τὸ διττὸν ἀπαντήσει. ἀποκριτέον
δὲ ἐπὶ μὲν τῶν δοκούντων τὸ ἔστω λέγοντα, καὶ δὴ οὕτως ἥκιστ' ἂν γένοιτο
παρεξέλεγχος. ἐὰν δέ τι παράδοξον ἀναγκάζηται λέγειν, ἐνταῦθα μάλιστα
προσθετέον τὸ δοκεῖν· οὕτω γὰρ οὔτ' ἔλεγχος οὔτε παράδοξον γίνεσθαι

3 ταῦτα M 4 μὴ] μοι N 5 περὶ τοῦτο M 6 ἐπιδέδοται L 12 τὰ om. M
13 ἐρώτησεν LM 19 αἴαν M διομήδης καὶ ἀγαμέμνων MN 20 οὔτε δὲ M
δέ] ἐστὶ N 22. 23 ἀμφοτέρους N 23 εἰ om. MN: supra add. L 25 ἢ ναὶ] τὸ ναὶ MN
26 τούτοις] τοῦτο Aristoteles 27 ἔχοι LN 35 δεῖν] μᾶλλον δεῖν Aristoteles

δόξειεν. ἐπεὶ δὲ δῆλον ὅπως αἰτεῖται τὸ ἐν ἀρ|χῇ (ἢ γὰρ αὐτῷ πρὸς τὴν 92
οἰκείαν ἀπόδειξιν χρώμεθα τοῦ ζητουμένου, εἴπερ τι εἴη συνώνυμον ὁποτέρῳ τῶν ὅρων, ἤ τινι τῶν αὐτοῦ καὶ ὅλως σύνεγγυς). οὐ δεῖ πρὸς τὸν ἐρωτῶντα πρότερον ἀποκρίνεσθαι, πρὶν ἀναιρῆσαι τὸ ἐν ἀρχῇ προτεινόμενον. ὅταν δὲ τοιοῦτον ἀξιοῖ τις συμπεραινόμενος δ' ἀναγκαῖον μὲν συμβαίνειν ὡς ἐκ τῶν κειμένων προτάσεων συναγόμενον, ᾖ δὲ ψεῦδος ἄλλως καὶ ἄδοξον, ῥητέον ὡς πολὺ πρότερον ψευδῆ καὶ ἄδοξα τὰ ἐξ ὧν. τὰ δὲ ἐξ ἀνάγκης συμβαί- 10
νοντα τῆς αὐτῆς εἶναι δοκεῖ θέσεως, καὶ τὰ συμπεράσματα ἀκολουθεῖ ταῖς προτάσεσιν. ἔτι ὅταν τὸ καθόλου μὴ ὀνόματι ἀλλὰ παραβολῇ ληφθῇ, λεκτέον ὅτι οὐχ ὡς ἐδόθη οὐδ' ὡς προὔτεινε λαμβάνει· καὶ γὰρ παρὰ τοῦτο γίνεται πολλάκις ἔλεγχος. ἓν δὲ τῶν πρὸς κρύψιν παρεισαγομένων καὶ ἡ παραβολὴ ἐν τοῖς Τοπικοῖς εἴρηται· λαβεῖν γὰρ ἐθέλοντες ὡς ἡ ἐγκράτεια ἀρετή, οὐκ αὐτόθεν τοῦτο προτείνομεν, ἀλλὰ πλαγίως οὕτω καὶ 20
παραβολικῶς ἐρωτῶμεν, καὶ οὐ δι' αὐτὸ ἀλλ' ἄλλου χάριν 'ἆρ' ὥσπερ ἡ ἐγκράτεια ἀρετή, οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία καὶ ἡ φρόνησις;' ναί. εἴληπται γὰρ ἐν τούτοις λεληθότως τὸ τὴν ἐγκράτειαν ἀρετὴν εἶναι. παραβολὴ δ' ἂν κἀκεῖνο καλοῖτο, ὅταν λόγῳ τὸ κοινὸν τῇ τῶν κατὰ μέρος ἐπαγωγῇ ἀλλ' οὐκ ὀνόματι ἀφορίζηται, ὡς δή, ἐπεὶ αἴξ καὶ ἔλαφος καὶ βοῦς καὶ πρόβατον τετράποδα ὄντα διχῇλεῖ. καὶ πᾶν ἄρα. ὃ ἂν ᾖ τοιοῦτον, δύο χηλὰς ἕξει. ψεῦδος | δέ· ἵππος γὰρ καὶ ὄνος τῶν τετραπόδων καὶ 93
μώνυχα.

Ἐξειργομένῳ δέ σοι παρὰ τοῦ ἐρωτῶντος ἁπάντων καὶ ἀποκλειομένῳ τῷ πανταχόθεν ἠσφαλίσθαι καὶ πεφράχθαι ἐκεῖνον προσρώμενον τὰς εἰσόδους ὡς ἔμπειρον πολλῶν ὄντα λόγων καὶ διαλέξεων πορευτέον ἐπ' ἐκεῖνο ὃ κατα- λέλειπται, καὶ ὅτι μὴ καλῶς δέδοικεν ἰσχυριῇ ἁπαντῶν κατὰ τὸν προειρη- μένον περὶ τῶν ὁμωνύμων διορισμόν. 10

Ἐν μὲν οὖν τοῖς κυρίως λεγομένοις ῥήμασιν, οἷον κύων, ἵππος, ἄν- θρωπος (οὐδὲν γὰρ τούτων τοῖς ὑποκειμένοις αὐτῶν οἰκειότερον) ἀνάγκη ἀποκρίνεσθαι τὸ ναὶ ἢ τὸ οὔ, ἢ ἁπλῶς καὶ ἀδιαιρέτως ἢ μετὰ διαιρέσεως, εἴπερ εἴη ὁμώνυμον. ἃ δὲ μὴ αὐτοτελῶς προάγομεν ἀλλὰ συνεπινοοῦντες τίθεμεν καὶ ἀπὸ κοινοῦ λαμβάνομεν, οἷον ὅσα μὴ σαφῶς ἀλλὰ κολοβῶς ἐρωτᾶται, ἐν τούτοις παρὰ τοῦτο συμβαίνει ὁ ἔλεγχος δηλαδὴ τὴν ἔλλειψιν, 20
οἷον 'ἆρα ὃ ἂν ᾖ Ἀθηναίων κτῆμα Ἀθηναίων; καὶ ὃ Λακώνων κτῆμα Λακώνων;' ναί. ἀλλὰ μὴν ὁ ἄνθρωπός ἐστι τῶν ζώων. τί οὖν; κτῆμα ὁ ἄνθρωπος τῶν ζώων; τὸν γὰρ ἄνθρωπον τοῦ ζώου λέγομεν, οὐχ ὅτι κτῆμα, ἀλλ' ὅτι εἶδος· καὶ Λύσανδρον τῶν Λακώνων, ὅτι Λάκων. εἰ δὲ 'ὃ Ἀθηναίων κτῆμα, κτῆμα Ἀθηναίων ἐστίν' ἠρωτᾶτο, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὐδὲν ἂν συνέβαινεν ἄτοπον.

---

1 ἡ γὰρ N 2 τῷ ζητουμένου L 6 καὶ ἄλλως MN 10 ἐδόθει N 12 ἐν τοῖς Τοπικοῖς] Θ 1 p. 156b25 15 ἀνδρία MN 18 ἐπειδὴ MN 23 ἐκεῖνον Spengel: ἐκεῖνο libri 25 τὸν ex τῶν corr. N 26 διορισμένον L 28 ἀποκειμένοις M 31 ἀποκεινοῦ N 33 ὃ (ante Λακώνων) om. MN 34 τί—ζώων (35) om. N 36 λύσανδρος N 38 ἂν om. L

Ὅταν δὲ ἐπὶ γένους καὶ εἴδους καὶ ἡγουμέ|νου καὶ ἑπομένου αἵρεσις 94
προτεθείη ὁπότερον ἀποκρίνεσθαι, τὸ μερικώτερον καὶ ἔλαττον δοῦναι μᾶλλον
ἂν συμβουλεύσαιμι· χαλεπώτερον γὰρ ἐκ τῶν μερικῶν συλλογίσασθαι, ὅσῳ
ῥᾷστον ἐκ τῶν καθόλου. ὁ γὰρ τὰ κοινὰ λαβὼν καὶ τὰ μέρη ἔχει· δυοῖν
5 γὰρ ὄντοιν θατέρου μὲν ὄντος ἐξ ἀνάγκης καὶ θάτερον εἶναι δοκεῖ, θατέρου
δὲ τοῦτο μὴ ἐξ ἀνάγκης. ἀπαντητέον δὲ καὶ τοῦτο πρὸς τὸν ἐρωτῶντα,
ὅταν αὖ ἐπὶ τῶν αὐτῶν ὁ λόγος εἴη· δόντος γὰρ τοῦ ἀποκρινομένου τὴν 10
ψυχὴν εἶδος ὡς εἰπεῖν ἁρμονίας, ἐὰν ἐπιχειρῇ ἀνασκευάσαι ὅτι τῷ μέν
ἐστιν ἐναντίον τῷ δ' οὐκ ἔστι (τῇ γὰρ ἁρμονίᾳ ἡ ἀναρμοστία ἀντίκειται,
10 τῇ δὲ ψυχῇ οὐδὲν οὐσίᾳ οὔσῃ), κἂν ὁ λόγος ἀληθὴς ᾖ, ὅμως ἐνστατέον
εἶναι κἂν τῇ ψυχῇ ἐναντίον, μὴ ὠνομάσθαι δέ.

Ἐπεὶ δ' ἔνια μὲν ὧν λέγουσιν οἱ πολλοὶ τὸν μὴ συγχωροῦντα ψεύδε-
σθαι ἂν φαῖεν (ταῦτα δὲ τὰ ἐναργῆ καὶ ἐγγύτερα πρὸς τὴν αἴσθησιν) ἔνια
δ' οὔ, οἷον ὅσα διὰ τὸ ἀδηλότερον ἀμφιδοξοῦσι (πότερον γὰρ φθαρτὴ ἢ 20
15 ἀθάνατος ἡ ψυχὴ τῶν ζώων οὐ διώρισται τοῖς πολλοῖς), ἐν τούτοις οὖν εἰ
συνορᾶν ἔχεις ὃ βούλεται ὁ ἐρωτῶν, αὐτὸς δὲ τὸ ἕτερον, ἐκεῖνόν τε ἐμπο-
δίσεις βλάψας εἰς τὸ συμπέρασμα, καὶ ἔγκλημά σοι οὐδὲν ἐπὶ τῶν ἀμφιβόλων
ὃ βούλει λαμβάνοντι. ἔτι ἐν τοῖς αὐτοῖς ἐπεὶ ἄδηλον ὁποτέρως εἴωθε λέ-
γεσθαι τὸ προτεινόμενον, πότερον ὡς αἱ γνῶμαι (καλοῦσι γὰρ | γνώμας 95
20 καὶ τὰς ἀληθεῖς δόξας καὶ δοκούσας ἢ τοῖς πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς
σοφοῖς καὶ τὰς καθόλου ἀποφάσεις, ὡς ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ),
κἂν μὴ τὸ ναὶ ἢ τὸ οὔ ἀφωρισμένως ἀποδοίη τις ἀλλ' ὡς περὶ ἀδήλου
καὶ αὐτὸς σκέπτοιτο, οὐδεὶς ἐπείξει λόγος πρὸς τὴν ἀπόκρισιν. ἔτι ἔνθα
τὸ ἀληθὲς ἀμφιδοξεῖται, μεταφέρων ἄν τις ἐπὶ τὸ ἐναργέστερον καὶ ἐν ᾧ
25 οὐδὲν ἧττον τὸ προκείμενον ἕψεται, λάθῃ περὶ τούτων τῇ ἀμείψει τῶν 10
ὀνομάτων ὁράσας ὃ προὔθετο. διὰ μὲν γὰρ τὸ ἄδηλον εἶναι ὁποτέρως ἔχει
τὸ ἀληθές, οὐ δόξει σοφίζεσθαι, διὰ δὲ τὸ ἀμφιδοξεῖν οὐ δόξει ψεύδεσθαι.
ἡ γὰρ μεταφορὰ ποιήσει τὸν λόγον ἀνεξέλεγκτον, οἷον ἐπεὶ περὶ ψυχῆς τὸ
αὐτοκίνητον ἀληθὲς μέν, ἀμφιδοξεῖται δέ, εἴ τις μεταλάβοι ἀντὶ τούτου τὸ
30 ἀεικίνητον, τὸ εἰρημένον ἐποίησεν. ἐναργέστερον γὰρ καὶ μᾶλλον συγκε-
χώρηται, οὐδὲν δ' ἧττον ἐν τούτῳ καὶ τὸ αὐτοκίνητον καὶ ἀθάνατον συν-
εκφαίνεται. 20

Ἔτι ὅσα ἄν τις ἀμφιδοξοῦντα προαισθάνοιτο τῶν ἐρωτημάτων προεν-
στατέον καὶ προαγορευτέον, ὡς οὐχ οὕτως ἔχει ὡς αὐτὸς βούλει· οὕτω
35 γὰρ ἂν τὸν πυνθανόμενον μάλιστα συμπεραῖναι κωλύσειε μόνον οὐ δεσμὸν
τοῖς χείλεσιν ἐπιθέμενος.

18. Ἤδη δὲ καὶ τὴν τῆς λύσεως μέθοδον τῶν σοφισμάτων παραδοῦναι
προτεθυμήμεθα, καίτοι κἀν ταῖς ἀρχαῖς ἐκθέμενοι καὶ ἕκαστον παραδι-
δόν|τες τῶν τρόπων τὴν αἰτίαν ὅθεν τὸ ψεῦδος ἐφερμηνεύομεν· τοῦτο δὲ 96

5 μὲν—θατέρου om. N 6 τὸν om. M 8 τὸ μὲν N · 11 κἂν τῇ] κἀντῇ N: πάντῃ M 16 ἕτερον] λαμβάνεις add. Spengel 16. 17 ἐμποδίζεις M 18 ὃ] ἢ N: ἡ M 25 λάθῃ L: λάθοι MN 28 ἀνεξέλεκτον N 29 μέν om. MN 35 κωλύσεις N: κωλύσης M 37 καὶ om. M 39 fort. ἐφηρμηνεύομεν

αὐτόθεν καὶ λύσις ἦν. κοινότερον γοῦν ἐνταῦθα καὶ πληρέστερον πάλιν τὰ 96
περὶ αὐτῶν ἐπεξίωμεν. ἐπεὶ γὰρ πᾶς συλλογισμὸς σοφιστικὸς ἢ παρὰ τὴν
ὅλην ἡμάρτηται καὶ ἔψευσται τὰς προτάσεις. ἢ παρὰ τὸ σχῆμα καὶ τὴν
συλλογιστικὴν συζυγίαν, λύσεις μὲν τὸν πρότερον ὀρθῶς μίαν τῶν προτάσεων
5 παρ' ἣν τὸ ψεῦδος ἀνῃρηκώς, καὶ μάλιστα τὴν μείζω (αὕτη γὰρ κἂν τοῖς 10
ἀληθέσι τὸ κῦρος ἔχει), ἢ καὶ ἀμφοτέρας, εἰ καὶ ἄμφω ψευδεῖς· τὸν δὲ
δεύτερον ἐμφανίσας ἐν τίνι τῶν παρατετηρημένων ἐλλέλοιπε καὶ κατὰ τί
ἐξέκλινε τὴν παράδοσιν. ὥστε συμβαίνει τοὺς ψευδεῖς τῶν λόγων τοὺς
μὲν συλλελογισμένους ἀνελόντα παρ' ὁποίαν ἐρώτησιν συμβαίνει τὸ ψεῦδος
10 λύειν, τοὺς δὲ φαινομένους καὶ τὸ εἶδος ἡμαρτημένους διελόντα. πάλιν δὲ
ἐπεὶ τῶν μὴ συλλελογισμένων λόγων οἱ μὲν ἀληθὲς οἱ δὲ ψευδὲς ἔχουσι
τὸ συμπέρασμα, τοὺς μὲν κατὰ τὸ συμπέρασμα ψευδεῖς διχῶς ἐνδέχεται 20
λύειν· καὶ γὰρ τῷ ἀνελεῖν τι τῶν ἠρωτημένων καὶ τῷ δεῖξαι τὸ συμπέ-
ρασμα ἔχον οὐχ οὕτως· τοὺς δὲ κατὰ τὰς προτάσεις τῷ ἀνελεῖν τι μόνον·
15 τὸ γὰρ συμπέρασμα ἀληθές. οὐ γὰρ ἀεί, εἰ αἱ προτάσεις ψεύδονται, καὶ
τὸ συμπέρασμα· ἔστι γὰρ καὶ ἐκ ψευδῶν ἀληθὲς συλλογίσασθαι· εἰ μέντοι
τὸ συμπέρασμα, καὶ αἱ προτάσεις πάντως. ὥστε τοῖς βουλομένοις λύειν 97
λόγον σοφιστικὸν πρῶτον μὲν σκεπτέον εἰ συλλελόγισται ἢ μή, εἶτα πότερον
ἀληθὲς τὸ συμπέρασμα ἢ ψεῦδος, ὅπως διαιροῦντες ἢ ἀναιροῦντες λύωμεν
20 τὰ ψευδῆ ἢ ὧδε ἢ ὧδε, καθάπερ ἐλέχθη πρότερον, διαιροῦντες μὲν εἰς
τὰς προτάσεις καὶ ἀναλύοντες τὸν ἀσυλλόγιστον καὶ δεικνύντες ὡς ἐκ δύο
μερικῶν ἢ ἀποφατικῶν συνιστάμενον, ἀναιροῦντες δὲ τὸν κατὰ τὴν ὅλην
ἡμαρτημένον. διαφέρει δὲ πλεῖστον ἐρωτώμενόν τε καὶ μὴ λύειν τὸν λόγον. 10
τὸ μὲν γὰρ προϊδεῖν εὐθὺς χαλεπόν, τὸ δὲ κατὰ σχολὴν ἰδεῖν ῥᾷον.

25 19. Τεσσάρων δ' ὄντων τρόπων, ἐξ ὧν τὰ πολλαχῶς λεγόμενα
συνίστασθαι εἴωθεν (ἢ γὰρ ὁ λόγος ἢ τοὔνομα δηλοῖ πλείονα, ἢ ὅταν
οὕτως εἰωθότες ὦμεν λέγειν, ἔτι ὅταν συντεθὲν μὲν πλείω σημαίνῃ ἀπολε-
λυμένον δ' οὔ, ὡς τὸ ἐπίσταται γράμματα, καὶ τέταρτον ὅταν τὸ ἀνάπαλιν,
οἷον νεκρὸς ἄνθρωπος), οἱ μὲν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν 20
30 ἔλεγχοι σφάλλουσιν, ὅτι περ οἱ μὲν ἔχουσι τῶν ὀνομάτων τι πλείω σημαῖνον,
πάντως δὲ δήπου διὰ τοῦτο καὶ τὸν λόγον, οἱ δὲ τὸν λόγον αὐτόθεν πολ-
λαχῶς σημαίνοντα· τό τε γὰρ κύων πορεύεται ὁμώνυμον καὶ πολλὰ σημαίνει
(δηλοῖ γὰρ καὶ τὸν νηχόμενον καὶ τὸν βαδίζοντα), τό τε σιγῶντα λέγειν
ἰδίως ὁ λόγος ἅπας διττὸς καὶ ἀμφίβολος. ὅμοιον καὶ τὸ συμπέρασμα
35 ἐκείνου τοῦ προβλήματος τὸ μὴ συνεπίστασθαι τὸν ἐπιστάμενον· οὐδὲν γὰρ
ἐν τούτῳ τῶν ὀνομάτων πολύσημον, ἀλλ' ἓν τῶν | ἠρωτημένων ἀμφίβολον. 98
ἠρωτᾶτο δὲ τὸ σόφισμα ἐπὶ παιδὸς ἢ ἰδιώτου οὕτως 'ἆρ' ὁ ἐπιστάμενος
λέγειν συνεπίσταται ἃ λέγει;' ναί φησιν· ἀληθὲς γὰρ ἐπὶ τῶν ἐπιστημόνων.

---

2 ἐπεξίωμεν LN ἐπεὶ μὲν γὰρ M 3 ἔψεσται N: ἔψεται corr. N ἢ τὴν M
5 ἀνῃρηκὼς post προτάσεων (4) transponunt MN 9 ἐνελόντα M 11 ἐπὶ τῶν M
13 ἠρωτημένων] ἡμμάτων N καὶ τὸ M 18 ἦτα N 24 γὰρ om. L
27 σημαίνῃ ex σημαίνει corr. LN 33 τὸν utrobique ex τὸ corr. N 38 ἃ λέ-
γειν N ἐπιστημένων M

'ἀλλὰ μὴν ὁ παῖς ὅδε ἀπαγγέλλων τὸ "μῆνιν ἄειδε" οὐκ ἐπίσταται. ὁ ἐπι- 98
στάμενος ἄρα ἃ συνεπίσταται ἀγνοεῖ.' καὶ τὸ ἐν τούτῳ διττὸν καὶ ἀμφίβολον
τὸ μέν ἐστιν ὂν καὶ ἀληθὲς τῷ σημαινομένῳ, ὅταν ἐπὶ τοῦ ἐπιστήμονος
φέρηται, τὸ δὲ οὐκ ὂν οὐδὲ ἀληθές, ὅταν ἐπὶ τοῦ ἀνεπιστήμονος. ἐν ὅσοις 10
5 δὲ τῶν παραλογισμῶν ἐν τῷ τέλει καὶ πρὸς τὸ συμπέρασμα τὸ διττόν,
ἀνάγκη δεῖν προλαμβάνειν τὴν ἀντίφασιν ἐν τῇ τῶν προτάσεων μείζονι·
οὐ γὰρ ἄλλως ἐγχωρεῖ ἐν ἑνὶ συλλογισμῷ συνάγεσθαι τὰ ἀντικείμενα,
ὥσπερ εἴρηται, οἷον ἐν ἐκείνῳ 'ἆρ' ἔστι τυφλὸν ὁρᾶν;' οὔ. 'τί δέ, ὅταν
τυφλὸν ὁρᾷς, οὐ τυφλὸν ὁρᾷς;' ναί. 'ἔστιν ἄρα τυφλὸν ὁρᾶν.' ἀμφίβολον
10 γὰρ τὸ ἔστι τυφλὸν ὁρᾶν. ἔστι γὰρ καὶ τὸ τυφλὸν ὁρᾶν καὶ μὴ ὁρᾶν. ἐν
τούτοις γοῦν τοῖς ἀμφιβόλως προτεινομένοις οὐχ ἑτοίμως ἀποφαίνεσθαι χρὴ 20
τὸ ναὶ ἢ τὸ οὔ, ἀλλ' ἐπιλέγειν τὸ δοκεῖν καὶ ἐνδοιάζειν· ὅταν δὲ πρόδηλος
εἴη ψευδὴς καὶ μονομερὴς ἡ ἐρωτηθεῖσα πρότασις, εὐθὺς ἀποφάσκειν, οἷον
'ἆρ' ὁ Αἴας ἐμονομάχησε τῷ Θερσίτῃ;' οὔ· οὐδέτερος γάρ. οὐ γὰρ πρὸς
15 τοῦτο ἀλλὰ διὰ τοῦτο ὁ λόγος. ἔλαττον γὰρ ἡμῖν μέλει τὸ πρότερον προ-
τεινόμενον ὅπως ἔχει. ἀκριβολογούμεθα δὲ διὰ τὸ συμπέρασμα· ἐκεῖνο γὰρ
συνάγει τὸν ἔλεγχον. ὥστε ἐν ἀρχῇ μὲν πρὸς τὸ | διπλοῦν καὶ ὄνομα καὶ 99
λόγον οὕτως ἀποκριτέον, ὅτι ἔστιν ὡς, ἔστι δ' ὡς οὔ, ὥσπερ τὸ σιγῶντα
λέγειν ἔστιν ὡς, ἔστι δ' ὡς οὔ, καὶ τὰ δέοντα πρακτέον ἔστιν ἃ, ἔστι δ' ἃ
20 οὔ· τὰ γὰρ δέοντα λέγεται πολλαχῶς, καὶ τὰ μὲν ἀναγκαῖα καὶ ὠφέλιμα
δεῖ πράττειν, τὰ δὲ κακὰ κἂν συμφέροντα οὔ. ἐὰν δὲ λάθωμεν ἐν ταῖς
ἀρχαῖς φυλάξασθαι τῷ ἐνδοιασμῷ τὴν ἀμφίβολον πρότασιν, ὅμως ἐπὶ τῷ
τέλει καὶ τῷ συμπεράσματι τοῦ συλλογισμοῦ μικρόν τι προστιθέντας τῇ 10
ἐρωτήσει διορθωτέον· οἷον εἰ 'ἆρ' ἔστι σιγῶντα λέγειν' προτείναντος ἡμεῖς
25 μὴ ὡς ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὐ ἀπαντήσωμεν, ἀλλ' ἀπερισκέπτως εὐθὺς
τὸ ἕτερον μονοειδῶς ἀποφήσωμεν τῆς ἀντιφάσεως, οὐκ ἄδηλον ὡς ἐλεγχθη-
σόμεθα· πλὴν μέντοι ἀπείρξομεν εἰ προλαβόντες αὐτοῦ μικρὸν τὸ συμπέ-
ρασμα ἐνσταίημεν τόνδε τὸν ἑστῶτα καὶ σιγῶντα Σωκράτην μὴ λέγειν
παραγαγόντες. ὡσαύτως δὲ κἂν συμπεράνῃ τις τὸ οὐκ ἄρα συνεπίστανται
30 ὃ ἐπίστανται, ἀληθὲς μὲν ἐπὶ τῶν παίδων, ἐπὶ δὲ τῶν ἐπιστημόνων οὔ. 20
καὶ ἐν ἅπασι δὲ τοῖς παραλογισμοῖς τοῖς ἔχουσι τὸ διττὸν ἐν προτάσεσι
τοῦτο δεῖ ποιεῖν. ὅλως τε μαχητέον, ἂν καὶ ἁπλῶς συλλογίζηται, ὅτι οὐχ
ὃ ἔφησεν ἀπέφησε πρᾶγμα ἀλλ' ὄνομα, ὥστ' οὐκ ἔλεγχος.

20. Καὶ περὶ μὲν τῆς ἐν ὁμωνύμοις καὶ ἀμφιβόλοις λύσεως ἀρκεῖ
35 τοσαῦτα· φανερὸν δὲ ἐκ τούτων καὶ σύνθεσιν καὶ διαίρεσιν ὅπως λυτέον
τὰ ἐκείνων ἑξῆς· εἰ γὰρ καὶ τρόπος ἴδιος ὁ παρὰ διαίρεσιν ἀφώρισταί |
τις, ἀλλ' οὐδὲν ἧττον ὁ παρὰ σύνθεσιν καὶ παρὰ διαίρεσίν ἐστι. τὸ γὰρ 100
αὐτὸ συντιθέμενον τῷδε διῄρηται ἀπὸ τοῦδε, οἷον ὁ Σωκράτης κάθηται, ὁ

3 τῷ om. M 6 παραλαμβάνειν MN 7 οὐδὲ ἄλλως M 8 οὔ] ὂν M
11 οὖν MN 12 τὸ (ante οὔ) om. M 29 τὸ om. MN 30 ὃ ἐπίστανται
om. M τῶν (post δὲ) om. M 31 δὲ] ἐστὶ N: δὲ marg. N 32 ὅλως
om. M 35 ὅπως — παρὰ διαίρεσιν (36) om. M 36 ἀφώρισται — διαίρεσιν (37) om. N
37 τὸ δὲ M

καθήμενος δύναται βαδίζειν. ὁ Σωκράτης ἄρα βαδίζει· τὸ γὰρ βαδίζει 100
διήρηται μὲν τοῦ δύναται, μόνον δὲ συντέθειται τῷ Σωκράτει. ἐν γοῦν
τοῖς τοιούτοις ἂν διαιρούμενος καὶ συντιθέμενος ὁ λόγος ἕτερον σημαίνῃ,
συμπεραινομένου τοῦ ἐρωτῶντος τοὐναντίον λεκτέον· οὐ γὰρ ἁπλῶς ὁ
5 Σωκράτης κάθηται νῦν ἀλλὰ δύναται. εἰσὶ δὲ πάντες οἱ τοιοῖδε λόγοι παρὰ
σύνθεσιν καὶ διαίρεσιν 'ἆρ' ᾧ εἶδες σὺ τοῦτον τυπτόμενον, τούτῳ οὗτος 10
ἐτύπτετο;' ναί. 'εἶδες δὲ αὐτὸν τῷ ὀφθαλμῷ τυπτόμενον. τῷ ὀφθαλμῷ
ἄρα ἐτύπτετο, ἀλλ' οὐ μάστιγι.' ψεῦδος δέ· οὕτω γὰρ ἔδει συμπεραῖναι
'τῷ ὀφθαλμῷ ἄρα σὺ εἶδες τοῦτον τυπτόμενον.' γέγονε δὲ ὁ παραλογισμὸς
10 παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν τῷ διελεῖν τὸ τοῦτον τυπτόμενον ἀπὸ τοῦ
εἶδες καὶ προσθεῖναι τῷ ὀφθαλμῷ. καὶ πάλιν 'ἆρ' ᾧ ἐτύπτετο, τούτῳ
εἶδες αὐτὸν τυπτόμενον;' ναί. 'ῥάβδῳ δὲ ἐτύπτετο· ῥάβδῳ ἄρα εἶδες καὶ 20
οὐκ ὀφθαλμῷ. ὁρῶμεν δὲ ὀφθαλμῷ ἀλλ' οὐ ῥάβδῳ.' οὕτω γὰρ μᾶλλον
ὤφειλεν 'εἶδες ἄρα τυπτόμενον αὐτὸν [ἐν] ῥάβδῳ.' νυνὶ δὲ τὸ διαιρῆσαι
15 τὸ εἶδες ἀπὸ τοῦ αὐτὸν τυπτόμενον καὶ προσθεῖναι τῇ ῥάβδῳ τὴν ἀπάτην
ἤνεγκεν. ἔχει μὲν οὖν τι κἀκ τῶν ἀμφιβόλων ἐρωτημάτων τοῦτο τὸ πρό-
βλημα (τὸ γὰρ τούτῳ οὗτος ἐτύπτετο διττὸν ἢ τῇ μάστιγι δήπουθεν ἢ τῷ
ὀφθαλμῷ), νικᾷ δὲ παρὰ τὴν σύνθεσιν εἶναι ἢ παρὰ τὴν ἀμφιβολίαν. 101
οὐ γάρ ἐστι διττὸν παρὰ τὴν διαίρεσιν· οὐ γὰρ ὁ αὐτὸς λόγος γίνεται
20 διαιρούμενος καὶ συντιθέμενος, εἴπερ μὴ καὶ τὸ ὅρος καὶ ὅρος τῇ αὐτῇ
προσῳδίᾳ λεχθὲν ἐσήμαινεν ἕτερον καὶ ἕτερον· ἀλλ' ὥσπερ ἐκεῖ τῇ διαφορᾷ
τῶν πνευμάτων ἡ τῆς σημασίας ἐπηκολούθησεν. οὕτω κἀνταῦθα ἡ διπλόη
παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν. ἔτι ἐν τοῖς γεγραμμένοις τὸ αὐτὸ ὄνομα
ὅταν ἐκ τῶν αὐτῶν στοιχείων καὶ συλλαβῶν καὶ προσῳδιῶν ᾖ, καὶ κατὰ 10
25 γένος ὡσαύτως καὶ πτῶσιν καὶ ἀριθμόν, οὐκ ἔχει τὸ διττόν· εἰ μέντοι
παραλλάξαι δέοι. ἤδη δ' εὐθὺς καὶ παράσημα ποιοῦνται ἢ στοιχεῖον ἢ
προσῳδίαν ἀμείψαντες. τὰ γὰρ φθεγγόμενα οὐ τὰ αὐτά· τὸ γὰρ † κλῆσι
μαθεῖν τῇ τῶν στοιχείων διαφορᾷ ὁτὲ μὲν τὸ φυτὸν ὁτὲ δὲ τὸ μέρος
ἐσήμανεν. ὥστ' οὐ διττὸν κατὰ τὴν ἀμφιβολίαν τὸ προειρημένον σόφισμα,
30 ἀλλὰ παρὰ τὴν διαίρεσιν. ἅμα δὲ καὶ φανερὸν ὡς οὐ πάντες οἱ ἔλεγχοι
παρὰ τὸ διττόν, καθάπερ τινές φασιν· ὁ γὰρ κατὰ σύνθεσιν τὸ διττὸν 20
οὐκ ἔχει.

Τούτων οὕτως ἐχόντων ἐπείπερ οἱ ῥηθέντες παραλογισμοὶ παρὰ σύν-
θεσιν καὶ διαίρεσιν, διαιρετέον τῷ ἀποκρινομένῳ τόδε ἀπὸ τοῦδε καὶ προσ-
35 θετέον τῷδε, ἐναντίως ἢ ὡς ὁ σοφιστὴς πέπραχεν, ἢ καὶ συνημμένον ἐχέτω
καθάπαξ καὶ ἀδιαίρετον κἂν τῷ τέλει ὡς ἐν ἀρχαῖς, καὶ ἔσται λύσας. οὐ
γὰρ ταὐτὸν εἰσάπαν τὸ φάναι ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον· ἡ γὰρ

---

2 μόνω MN 3 ἂν—τοὐναντίον (4) om. MN σημαίνῃ ex σημαίνει corr. L
10 τοῦτο M 11 εἶδες] εἴδους MN 14 ἐν del. Spengel 20 καὶ (ante τὸ) om. M τὸ om. N 24 στοιχείων ex συστοίχων corr. L 26 δέοι L 27. 28 κλῆσι μαθεῖν] ὥσπερ ἐπὶ τοῦ κλῆμα καὶ κλίμα. τὸ μὲν γὰρ διὰ τοῦ η σημαίνει τὴν ἅμαξαν, τὸ δὲ διὰ τοῦ ι τὸ τμῆμα τῆς γῆς Alex. f. 46 30 οὐ om. N 31 τὸ (post σύνθεσιν) om. MN 37 ἡ δὲ M

διαστολὴ τῷ ἰδεῖν | ἢ τοῖς ὀφθαλμοῖς προστιθεμένη ποιήσει διαφοράν, 102
ἐκείνως μὲν ὡς τύπτει ἀντὶ ῥάβδου τοῖς ὀφθαλμοῖς, οὕτως δὲ ὡς διὰ τῶν
ὀφθαλμῶν ὁρᾷ τυπτόμενον. καὶ ὁ Εὐθυδήμου λόγος τοῦ αὐτοῦ εἴχετο
τόπου, οἷον 'οἶδας σὺ νῦν οὔσας ἐν Πειραιεῖ τριήρεις ἐν Σικελίᾳ ὤν;' ἡ δὲ
5 ἀγωγὴ τοῦ σοφίσματος οὕτως 'πότερον σὺ νῦν ἐν Πειραιεῖ εἶ;' ναί. 'ἐν
τούτῳ δ' ὢν οἶδας τὰς ἐν Σικελίᾳ τριήρεις;' ναί. 'ἐν Πειραιεῖ ἄρα ὢν ἐν
Σικελίᾳ εἶ.' ἡ γὰρ μετάθεσις τῶν ὀνομάτων τῷ ἀμεῖψαι τὰς χώρας τό τε 10
διαιρεθῆναι ἀπ' ἀλλήλων καὶ ἄλλοις συντεθεῖσθαι τὸν παραλογισμὸν ἤνεγκεν·
εἰσάγει γὰρ τὸν ὄντα ἐν Πειραιεῖ νῦν καὶ ἐν Σικελίᾳ εἶναι καὶ τὰς ἐν Σικελίᾳ
10 νῦν τῶν Ἀθηναίων ἅμα καὶ ἐν Πειραιεῖ εἶναι. καὶ πάλιν 'ἆρ' ὁ Σίμων
ἀγαθός ἐστι;' ναί. 'τί δέ; ὁ αὐτὸς καὶ σκυτεὺς μοχθηρός ἐστιν.' ἢ τοῦτο
μὲν καὶ παρεῖται ὡς ἔγγιον μᾶλλον τοῖς παρὰ τὸ πῇ καὶ ἁπλῶς καὶ τῆς
ἐκεῖθεν τευξόμενον λύσεως· οὕτω δὲ προσβιβάζειν ἐστὶν οἰκειότερον 'ἆρ' 20
ἔστιν ἀγαθὸν μὲν εἶναί τινα σκυτέα, μοχθηρὸν δὲ ἄνθρωπον; ἔστι δέ τις
15 ἕτερος ἀγαθὸς μὲν ἄνθρωπος, πονηρὸς δὲ σκυτεύς; ὥστε ἔσται τις ἀγαθὸς
σκυτεὺς μοχθηρός.' ἔκειτο δὲ οὐχ οὕτως. καὶ ἔτι 'ἆρ' ὧν αἱ ἐπιστῆμαι
σπουδαῖαι, σπουδαῖα τὰ μαθήματα;' ναί. 'τοῦ δὲ κακοῦ σπουδαῖα τὰ μα-
θήματα· οὐδὲν γὰρ κωλύει φαῦλον ὄντα τινὰ γεωμετρικὸν εἶναι ἢ ἀριθμη-
τικόν, ἃ δήπουθεν ἀγαθά.' καὶ τὸ συμπέρασμα διττόν, τό τε ἀπὸ τῶν
20 κειμένων ὡς τοῦ κακοῦ σπουδαία ἡ ἐπιστήμη, | ὅπερ ἀληθές. καὶ ὃ τοῖς 103
σοφισταῖς προσυφάνθη, ὡς ἄρα σπουδαῖον μάθημα τὸ κακόν. ὑπερβαίνοντες
δὲ καὶ τοῦτο ὡς ἧττον συμβαῖνον τοῖς προκειμένοις (φιλοτιμούμενοι γὰρ ἐν
τοῖς παραδείγμασιν ἔστιν οἷς οὐκ ἀκριβολογούμεθα) ἐκεῖνο προστίθεμεν
'ἆρα σὺ γέγονας;' ναί. 'τί δέ; ἀληθὲς εἰπεῖν νῦν ὅτι σὺ γέγονας;' ναί. 'σὺ
25 ἄρα γέγονας νῦν.' ἢ ἄλλο σημαίνει διαιρεθὲν τὸ νῦν ἀπὸ τοῦ γέγονεν·
ἀληθὲς μὲν γὰρ εἰπεῖν ὅτι σὺ γέγονας ἀλλ' οὐχὶ νῦν γέγονας. πάλιν 'ἆρ'
ὡς δύνασαι καὶ ἃ δύνασαι, οὕτω καὶ ποιήσαις ἄν.' ναί. 'σὺ μὴ κιθαρίζων 10
ἔχεις δύναμιν τοῦ κιθαρίζειν. πᾶς δὲ ὁ δύναμιν τοῦ κιθαρίζειν ἔχων καὶ
κιθαρίσαι ἄν. σὺ ἄρα μὴ κιθαρίζων νῦν κιθαρίσαις ἂν νῦν.' ἢ οὐκ ἔχει
30 δύναμιν τούτου· οὐ γὰρ ἅμα ἐν οἷς οὐ κιθαρίζει δύναμιν ἔχει τότε κιθα-
ρίσαι, ἀλλ' ὕστερον καὶ μετὰ τοῦτο. καὶ ἀληθὴς μὲν λύσις αὕτη, λύουσι
δέ τινες ταῦτα καὶ ἄλλως. εἰ γὰρ ἔδωκε, φασίν, ὡς δύναται ποιεῖν καὶ
κιθαρίζειν, καὶ δυνατὸν μὴ τὸ τῷ ἀναγκαίῳ, ἀλλὰ τὸ τῷ ἐνδεχομένῳ
σύστοιχον ἔλαβεν, οὐ συμβαίνειν ἄτοπον τὸ ἅμα μὴ κιθαρίζοντα κιθαρίζειν. 20
35 τὸ γὰρ ἐνδεχόμενον γενέσθαι ὕστερον καὶ μετὰ ταῦτα· οὐκ ἐξ ἀνάγκης
οὖν πάντως τὸ ὡς δύναται ποιεῖν δέδοται, τῷ μὴ ταὐτὸν εἶναι τῷ ἁπλῶς
δύνασθαι τὸ ἐξ ἀνάγκης δύνασθαι. ἀλλὰ τότε ἂν ἔλεγον καλῶς, εἰ ἐπὶ

---

4 πειρεαῖ N 6 τὰς—ὢν om. L 7 εἶ] ὢν L post τῷ add. τε MN τῷ τε MN
8 ἀπ' ἄλλων MN 9 καὶ (ante ἐν) om. MN 14. 15 δ' ἕτερός τις MN 15 ὥστε
ἔσται] ἔστιν ἄρα MN 16 αἱ] εἰσὶν MN 17 ναί—μαθήματα (18) om. N 20 δ]
ὁ N 24 τί δὲ—ναί om. N 26 μὲν om. N 27 ὡς] οἷς MN ἐποίησας MN
29 ἢ—τούτου (30) om. MN 30 τότε] τὸ M 31 λύσεις N 33 καὶ δυνατὸν—ἐνδε-
χομένῳ om. M 34 συμβαίνει MN 36 τὸ ἁπλῶς N

πᾶσιν ἡ αὐτὴ ἥρκει λύσις τοῖς κατὰ τὸ αὐτὸ εἶδος παραλογισμοῖς· τῶν 103
γὰρ παρὰ ταὐτὸ λόγων ἡ αὐτὴ λύσις, οἷον | τοῖς κατὰ τὴν ὁμωνυμίαν μία 104
ἐπὶ πᾶσιν ἀπέχρησε καὶ κοινή. οὐχ ἁρμόττει δὲ πᾶσι τοῖς παρὰ σύνθεσιν
καὶ διαίρεσιν, ἀλλ' ἐν οἷς μόνοις τὸ δύναται πρόσκειται. φανερὸν ἄρα ὡς
5 οὐ καλῶς λύουσιν· ἔστιν οὖν πρὸς τὸν ἐρωτῶντα μᾶλλον ἢ πρὸς τὸν λόγον
καὶ τὴν ἀλήθειαν.

21. Παρὰ δὲ προσῳδίαν λόγοι μὲν οὐκ εἰσὶν οὔτε τῶν γεγραμμένων
οὔτε τῶν λεγομένων, πλὴν εἴ τινες ὀλίγοι γένοιντ' ἄν, οἷον οὗτος 'πότερον 10
οὐ καταλύεις οἰκία;' ναί. 'οὐκοῦν τὸ οὐ καταλύεις τοῦ καταλύεις ἀπόφασίς
10 ἐστιν; ἡ οἰκία ἄρα ἀπόφασις.' ὡς δὴ λυτέον, δῆλον· οὐ γὰρ τὸ αὐτὸ σημαίνει τὸ μὲν ὀξύτερον τὸ δὲ βραδύτερον ῥηθὲν καὶ μετὰ τόνου καὶ χωρίς.

22. Δῆλον δὴ καὶ πρὸς τοὺς παρὰ τὸ ὡσαύτως λέγοντας τὰ μὴ ταὐτά, οὓς δὴ καὶ παρὰ τὸ σχῆμα τῆς λέξεως ὀνομάζομεν, πῶς ἀπαντητέον, ἐπείπερ ἔχομεν ὡρισμένα τὰ γένη τῶν κατηγοριῶν τὰ πρῶτα καὶ ἀνωτάτω·
15 τῷ γὰρ ταῦτα φύρειν εἰς ἄλληλα ὁ παραλογισμὸς γίνεται. ὁ μὲν γὰρ ὡς 20
εἰπεῖν ἔδωκεν ἐρωτηθεὶς μὴ ὑπάρχειν τι τῶν ἐννέα μηδ' ὅλως συμβεβηκὸς ὅσα τί ἐστι σημαίνει καὶ δηλοῖ οὐσίαν, ὁ δὲ ἔδειξεν αὐτὸ τοῦτο ὑπάρχειν τι τῶν πρός τι ἢ ποσῶν διὰ τὴν λέξιν καὶ τὴν κατὰ τὴν προφορὰν ὁμοιότητα· οἷον 'πότερον τὸ ζῶον καὶ τὸ φυτὸν οὐσία;' ναί. 'τί δέ, οὐχὶ καὶ οὐδέτερα;'
20 ναί. 'καὶ τὸ ποσὸν δὴ καὶ τὸ ποιὸν καὶ τὸ διπλάσιον οὐδέτερα καὶ συμβεβηκότα.' πάλιν 'ἆρ' ἐνδέχεται τὸ αὐτὸ ἅμα ποιεῖν τε καὶ πεποιηκέναι;' οὔ. 30
'ἀλλὰ μὴν ὁρᾶν γέ | τι ἅμα καὶ ἑωρακέναι τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ 105
ἐνδέχεται. τί γὰρ κωλύει ὃν χθὲς Σωκράτην τεθέαμαι, καὶ νῦν τὸν αὐτὸν ὁρᾶν κατ' εἶδος καὶ ἀριθμόν; ποιεῖν δὲ τὸ ὁρᾶν, πεποιηκέναι δὲ τὸ ἑωρα-
25 κέναι ὡς κατὰ τὴν προφοράν. εἰ δὲ ταῦτα, κἀκεῖνα.' ψεῦδος δέ· ὁρᾶν μὲν γὰρ καὶ ἑωρακέναι δυνατὸν καὶ διὰ τὴν ἄχρονον προσβολὴν τῆς αἰσθήσεως (ἅμα γὰρ ἥσθετο καὶ αἰσθάνεται) καὶ διὰ τὸ εἰρημένον, ποιεῖν δὲ καὶ πεποιηκέναι πῶς ἐγχωρεῖ; δυνατὸν μὲν γὰρ καὶ χθὲς πεποιηκέναι 10
με ἅμαξαν καὶ νῦν ποιεῖν, ἀλλ' οὐ τὴν αὐτὴν ἢ κατὰ ταὐτό. πάλιν 'ἆρ'
30 ἐστὶ τῶν πάσχειν ποιεῖν τι;' οὔ. 'τί δέ; οὐ τὸ τέμνεται, καίεται, αἰσθάνεται ὁμοίως λέγεται καὶ πάντα πάσχειν τι σημαίνει;' ναί. 'καὶ τὸ τέμνειν καὶ καίειν καὶ ὁρᾶν ὁμοίως λεγόμενα εἴη ἂν καὶ τῆς αὐτῆς διαθέσεως. ἀλλὰ μὴν τό γε ὁρᾶν αἰσθάνεσθαί τί ἐστιν, ὥστε καὶ πάσχειν· πάθος γὰρ ἡ αἴσθησις· ἐλέγομεν δὲ αὐτὸ καὶ ποιεῖν. ἔσται ἄρα τι τῶν πάσχειν ποιεῖν.' 20
35 εἰ δή τις ἐκεῖ δοὺς μὴ ἐνδέχεσθαι ἅμα τὸ αὐτὸ ποιεῖν καὶ πεποιηκέναι τὸ ὁρᾶν δὲ καὶ ἑωρακέναι φαίη ἐγχωρεῖν, οὔπω ἐλήλεγκται, εἰ μὴ λέγοι τὸ ὁρᾶν ποιεῖν τι ἀλλὰ πάσχειν· προσδεῖται γὰρ τούτου τοῦ ἐρωτήματος πρὸς τὸ γενέσθαι ἔλεγχον. οὐ γὰρ εἰ ἀμαθῶς ὑπὸ τοῦ ἀκούοντος ὑπολαμβάνεται

---

1 post εἶδος add. τοῖς N 3 ἁρμόττοι N 9 τοῦ καταλύεις om. M 10 δὴ δὲ MN 12 λέγεσθαι Aristoteles 15 φέρειν N 15. 16 ἔδωκεν ὡς εἰπεῖν MN 18 ποσῶν] δοκούντων δὲ τί ἐστι σημαίνειν add. Aristoteles 21 τε om. M 23 σωκράτη MN 30 ἐστί τι Aristoteles 31 post τέμνειν add. ἄρα MN 35 δοὺς] δὴ MN 36 οὔπως N ἐλήλεκται LN

δεδωκέναι, ὅτε τὸ τέμνειν ποιεῖν τι καὶ τὸ τετμηκέναι πεποιηκέναι ἔδωκε, | 105
καὶ ὅσα ἄλλα ὁμοίως λέγεται, ἀποχρώντως νομιοῦμεν· ἴσως μὲν γὰρ 106
ἐκεῖνος τὸ ὁρᾶν ποιεῖν πρὸς τὴν ἐκφώνησιν ἔδωκεν, οὐ πρὸς τὸ σημαινόμενον, ὁ δέ γε ἀκροατὴς καὶ πρὸς τὸ πρᾶγμα ὁμοίως λέγεσθαι συνενόησεν.
5 τὸ δὲ νοεῖται μὲν οὐχ ὁμοίως, φαίνεται δὲ διὰ τὴν λέξιν. καὶ ταὐτὸ συμβαίνει κἀνταῦθα, ὅπερ ἐν ταῖς ὁμωνυμίαις. οἴεται γὰρ κἀκεῖ ὁ τῶν λόγων ἀγνὼς τὸν ἐρωτώμενον ὃ ἔφησεν ἀποφῆσαι πρᾶγμα, οὐκ ὄνομα· τῷ δὲ ἔτι 10
προσδεῖ ἐρωτήματος, εἰ μὴ ὁμώνυμον ᾤετο, καὶ εἰ ἐφ' ἓν καὶ ὃ συνῆξεν ὁ σοφιστὴς δέδωκεν· εἰ γὰρ ταῦτα ὁμολογήσειεν, ὄντως ἐλήλεγκται. καὶ
10 ἐν τοῖς παρὰ τὸ σχῆμα τῆς λέξεως ὡσαύτως διορισθήσεται, εἰ τὰ κατὰ προφορὰν ταὐτὰ καὶ ἐν πράγμασι δέδωκεν.

Ὅμοιοι δὲ καὶ οἷδε οἱ λόγοι τούτοις, οἷον 'ἆρ' ὅ τις ἔχων πρότερον ὕστερον μὴ ἔχει, ἀπέβαλε;' ναί. 'ὁ δέκα ἀστραγάλους ἔχων καὶ ἀποβαλὼν ἕνα οὐχ ἕξει δέκα· τοσούτους ἄρα ἀπέβαλεν.' ψεῦδος ⟨δέ⟩· ποιὸν γὰρ 20
15 δοὺς ποσὸν συνεπέρανεν· ποιὸν γάρ τι τὸ εἶδος, εἴδη δὲ οἱ ἀριθμοί. τὸ μὲν οὖν εἶδος αὐτὸ τῆς δεκάδος. ὃ καὶ προέτεινεν ὁ σοφιστής. ἔφθαρται ἀποβληθέντος τοῦ ἑνὸς ἀστραγάλου (ἕτερος γὰρ ἀριθμὸς καταλέλειπται), τὸ μέντοι ποσὸν οὐχ ἅπαν· μεμένηκε γὰρ ἐννέα. ὥστε ὃ μὲν μὴ ἔχει πρότερον ἔχων, ἀποβέβληκεν, αὐτὸ δηλαδὴ τὸ τῆς δεκάδος εἶδος· ὅσα δὲ μὴ ἔχει ἢ 30
20 ὅσα, οὐκ ἀνάγκη τοσαῦτα ἀποβαλεῖν. ἐρωτήσας οὖν 'ὃ ἔχει' συνάγει ἐπὶ τοῦ ὅσα· τὰ γὰρ δέκα ποσά. εἰ δὲ ἤρετο ¹ ἐξ ἀρχῆς 'εἴ τις μὴ ἔχει 107
ὕστερον ὅσα εἶχε πρότερον, ἆρά γε ἀποβέβληκε τοσαῦτα;' οὐδεὶς ἂν ἔδωκεν ἀλλ' ἢ τοσαῦτα ἢ τούτων τι. τρία τυχὸν ἢ ἓν ἀπὸ τῶν δέκα. πάλιν ἐπὶ τῶν αὐτῶν 'δοίη ἄν τις ὃ μὴ ἔχει;' οὔ. 'τί δέ; ὁ δοὺς ἕνα ἀστράγαλον
25 δέκα ἔχων οὐ δέδωκεν, ὃ μὴ εἶχεν; οὐ γὰρ εἶχεν ἕνα μόνον. ἢ οὐ δέδωκεν ὃ οὐκ εἶχεν, ἀλλ' ὡς οὐκ εἶχεν· μὴ γὰρ ἔχων ἕνα μόνον δέδωκεν ἕνα. τὸ δὲ μόνον οὔτ' οὐσίαν ἢ ποσὸν ἢ ποιὸν σημαίνει, ἀλλ' ὡς ἔχει 10
πρός τι, οἷον ὅτι οὐ μετ' ἄλλου, καὶ τρόπος τίς ἐστιν. ὥσπερ οὖν εἰ ἤρετο 'ἆρ' ὃ μή τις ἔχει δοίη ἄν;' μὴ φάντος δὲ προσθείη 'εἰ δοίη ἄν τις ταχέως,
30 ὥστε καὶ δοίη ἄν τις ὃ μὴ ἔχει', φανερὸν ἦν ὅτι οὐ συνελογίζετο (τὸ γὰρ ταχέως οὐ τόδε διδόναι ἀλλ' ὧδε διδόναι ἐστίν), οὕτω κἀκεῖ· ὡς δὲ μὴ ἔχει, δοίη ἄν τις, οἷον ἡδέως ἔχων δοίη ἂν λυπηρῶς.

Παρὰ τὸ σχῆμα τῆς λέξεως καὶ οἱ τοιοῖδε πάντες· 'ἆρ' ᾗ μὴ ἔχει 20
χειρὶ τύπτοι ἄν; καὶ ᾧ μὴ ἔχει ὀφθαλμῷ ἴδοι ἄν;' οὔ. 'τί δὲ ὁ διπλᾶ
35 ἔχων χρώμενος δὲ τῷ παρ' ἑκατέροις ἑνί; ὥστε ᾗ μὴ ἔχει χειρί (οὐ γὰρ μίαν ἔχει μόνον) καὶ ᾧ μὴ ἔχει ὀφθαλμῷ (οὐ γὰρ ἕνα μόνον) τύπτει καὶ ὁρᾷ.' ψεῦδος δέ· οὐ γὰρ ᾧ οὐκ ἔχει, ἀλλ' ὡς οὐκ ἔχει. πάλιν 'ἆρ' ἔχει τις ὃ οὐκ ἔλαβεν;' οὔ. 'ὁ μίαν παρά του ψῆφον λαβὼν ἔχων δὲ σὺν αὐτῇ

---

1 τὸ μὴ τετμηκέναι L 6 γὰρ] δὲ M 11 ταῦτα MN 14 ἄρα om. N δὲ addidi 15 δοὺς L: δὴ λαβὼν MN γάρ τοι M 19 ἢ] ἢ L 21 πόσα L 24 δοὺς] μὴ MN 25 post δέκα add. δὲ MN 29 ἔχοι N 30 συλλογίζεται M: σιλογίζεται N 31 οὐ om. M ὧδε] ὅδι M 34. 35 χειρὴ N 34 ἴδοι] δοίη MN 36 τύπτοι N

καὶ ἑτέραν ἔχει ὃ οὐκ ἔλαβεν, δύο ἀντὶ μιᾶς.' ἢ | οὐκ ἔχει ὃ οὐκ ἔλαβεν, 108
ἀλλ' ὡς οὐκ ἔλαβε· μίαν γὰρ λαβὼν ἔχει δύο. ἀλλ' αἱ μὲν ἀληθεῖς τῶνδε
τῶν σοφισμάτων λύσεις αὗται. ὡς μέντοι γε ἕτεροι λύουσι, γελοίως ἔχει.
τύπτει γάρ τις, φασίν, οὐχ ᾗ μὴ ἔχει χειρὶ ἀλλ' ᾗ ἔχει, καὶ ὁρᾷ οὐχ ᾧ
5 μὴ ἔχει ὀφθαλμῷ ἀλλ' ᾧ ἔχει· οἷς γὰρ χρῆταί τις ἐνεργῶν, ταῦτα καὶ
ἔχει πρὸς τὴν ἐνέργειαν, ἣν νῦν ἐνεργεῖ. ὅ τε πλείους ψήφους ἔχων ἔχει
καὶ μίαν, ἣν ἐκ τῆς λήψεως ἔλαβεν. καὶ τούτων οἱ μὲν πρὸς τὸ συμπέ- 10
ρασμα ἐνίστανται, μίαν αὐτὸν λέγοντες ἔχειν τὴν ἐνεργοῦσαν, οἱ δ' εὐθὺς
καὶ τὴν πρώτην ἐρώτησιν ἀναιροῦσιν, ὡς ἐνδέχεται ὃ μὴ ἔλαβεν ἔχειν, οἷον
10 οἶνον λαβόντα ἡδὺν διαφθορέντα ἐν τῇ λήψει ἔχειν ἡδύν. ἀλλ' ὅπερ ἐλέχθη
καὶ πρότερον, οὗτοι πάντες οὐ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὸν ἄνθρωπον
λύουσιν. εἰ γὰρ κυρίως ἔλυον, δόντας καθάπαξ τὸ ἀντικείμενον οὐχ οἷόντε
λύειν, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων. παντὸς γὰρ ψευδοῦς τὸ ἀντικείμενον 20
ἀληθές, τοῦτο δὲ ἄλυτον· νυνὶ δὲ καὶ τούτου δοθέντος πάλιν ἀνασκευάζεται.
15 εἰ γὰρ τὸ μὴ τύπτειν ᾗ οὐκ ἔχει χειρὶ ψεῦδος κατ' ἐκείνους, ἀληθὲς ἄρα
τὸ τύπτειν ᾗ ⟨οὐκ⟩ ἔχει χειρί· τοῦτο γὰρ ἀντικείμενον· ὅπερ εἰ ἀληθές, οὐ
λύσιμον. λύεται δέ· ἐρεῖ γὰρ ὁ ἐρωτώμενος πρὸς τὸν σοφιστήν, ὡς δέ-
δωκα ᾗ οὐκ ἔχει χειρὶ τύπτειν ὑποσημαίνων τὴν λαιάν, ἣν ὡδὶ μὲν οὐκ
ἔχει ὡς δεξιάν, ὡδὶ δὲ ἔχει ὡς ἀριστεράν. ὥστε | οὐ λύσις τῶν σοφισμά- 109
20 των ἣν ἐπῆγον ἐκεῖνοι, ἀλλ' ἣν ἡμεῖς.

Ἔτι δ' εἰσὶ καὶ οἵδε τῶν λόγων τοῦ αὐτοῦ σχήματος· 'ἆρ' ὃ γέγραπται
γεγραφέ τις;' ναί. 'γέγραπται δὲ λόγος ὅτι νῦν σὺ κάθησαι ψευδής. ἦν
δὲ ἀληθὴς ὅτε ἐγράφετο· ἅμα ἄρα ἐγράφετο ψευδὴς καὶ ἀληθής.' ἢ τὴν
μὲν πρότασιν ἠρώτησεν ἐπὶ ποσοῦ, ἐπὶ λόγου λέξεις ἔχοντος καὶ συλλαβὰς
25 ὄντα ποσά, καὶ ἥντινα συλλαβὴν ἢ λέξιν γέγραφέ τις καὶ γέγραπται· τὸ δὲ 10
συμπέρασμα συνῆξεν ἐπὶ ποιοῦ· τὸ γὰρ εἶναι ψευδῆ ἢ ἀληθῆ λόγον ἢ
δόξαν οὐ τοσόνδε ἀλλὰ τοιόνδε· ὁ γὰρ αὐτὸς λόγος καὶ ἐπὶ τῆς δόξης.
πάλιν 'ὃ μανθάνει ὁ μανθάνων, τοῦτό ἐστιν ὃ μανθάνει;' ναί. 'μανθάνει
δέ τις τὸ βραδὺ ταχύ· τὸ βραδὺ ἄρα ταχύ.' λύσις ὅτι οὐχ ὃ μανθάνει
30 ἀλλ' ὡς μανθάνει εἴρηκεν. καὶ οὐ τὸ πρᾶγμα αὐτὸ ἠρώτηκεν. ἀλλὰ τὸν
τρόπον ὅπως. καὶ 'ἆρ' ὃ βαδίζει τις, πατεῖ;' ναί. 'βαδίζει δέ τις ὅλην τὴν
ἡμέραν· τὴν ἡμέραν ἄρα πατεῖ.' ἢ οὐχ ὃ βαδίζει ἡ πρώτη πρότασις ἔλεγεν 20
(οὐ γὰρ πρόσκειται τὸ διάστημα), ἀλλ' ὅτε βαδίζει, καὶ τὸν καιρὸν ἐδήλου
καθ' ὅν. πάλιν 'ἆρ' ὃ πέπωκέ τις, ἐκεῖνο πέπωκε;' ναί. 'πέπωκε δέ τις
35 κύλικα· κύλικα ἄρα ὅδε πέπωκεν.' ἢ οὐ πέπωκε τὸ σκεῦος ἢ τὴν κύλικα
ἀλλ' ἐκ τῆς κύλικος. ἔτι 'πότερον ὅ τις οἶδεν ἢ μαθὼν ἢ εὑρὼν οἶδε;' ναί.
'ὁ Πλάτων δὲ ὢν οἶδε, τὸ μὲν | εὗρε τὸ δὲ ἔμαθεν. ἃ δέ τις μήθ' εὕρε 110

---

4 τις om. M 12 κυρίως M (ον) ἔλυεν M 13 παντῶς N γὰρ] δὲ M 15 μὴ supra add. L: om. MN ψεύδους N 16 οὐκ addidi ὅπερ om. L 19 λύσις N (δε)
20 ὑμεῖς N 22 post δὲ add. νῦν MN 23 ὅτι MN 27 ποσόν L ὁ δὲ M
29 τὸ (post τις) om. M 35 alterum κύλικα om. M 36 μαθὸν N 37 δὲ (post Πλάτων) om. L εἶδε N

μήτ' ἔμαθεν, οὐδὲ οἶδεν ὅλως· ἕτερος γὰρ τρόπος οὐχ ὑπολέλειπται γνώσεως. 110
ὁ Ἑκάτων ἄρα οὐκ οἶδεν ἃ οἶδεν.' λύεται δὲ ὅτι μὴ ὃ ἔδωκε συνεπέρανεν,
ἀλλὰ ποιὸν δοὺς ἰδιαζόντως, τὸ μάθημα καὶ τὸ εὕρεμα, ἐπὶ ποσοῦ συνάγει
συνάπτων ἀμφότερα· ποσὰ γὰρ τὰ δύο. παρὰ τὸ σχῆμα τῆς προσηγορίας
καὶ τὸ τὴν κίνησιν μὴ ἐν τῷ κινουμένῳ ἀλλ' ἐν τῷ κινοῦντι τίθεσθαι· ἡ
ὄρεξις γάρ, φησίν, οὐκ ἐν τῷ ὁρωμένῳ ἀλλ' ἐν τῷ ὁρῶντι. πάσχουσι δὲ 10
αἱ αἰσθήσεις, οὐκ ἐνεργοῦσι. πάλιν 'ὅ εἰμι ἐγώ, σὺ οὐκ εἶ· ἄνθρωπος δὲ
ἐγώ· σὺ ἄρα ἄνθρωπος οὐκ εἶ.' τὸ γὰρ ἐγὼ καὶ σύ, ὄντα ἐπὶ τῶν ἀτόμων
καὶ μερικά, συνεῖξαν καὶ τὸ κοινόν, καὶ ὡς τόδε τι σημαίνειν τὸν ἁπλῶς
δεδώκασιν ἄνθρωπον. τούτοις σύναπτε καὶ τὸν τοῖς σοφισταῖς θρυλούμενον
τρίτον ἄνθρωπον, ἕτερον ὄντα παρὰ τὴν ἰδέαν καὶ τοὺς καθ' ἕκαστα. οὕτω
γὰρ προφέρουσιν· ὅταν, φασίν, ἄνθρωπον περιπατεῖν λέγομεν, οὔτε τὴν 20
ἰδέαν εἰ' οὖν τὸν αὐτοάνθρωπον τοῖς λόγοις συνείρομεν (ἀκίνητος γάρ) οὔτε
τινὰ τῶν μερικῶν καὶ καθ' ἕκαστα· τὸ μὲν γὰρ ἄνθρωπον περιπατεῖν γι-
νώσκομεν, τίς δὲ ἀπὸ τῶν καθ' ἕκαστα ὁ περιπατῶν ἀγνοοῦμεν. ἔσται ἄρα
τρίτος ἄνθρωπος παρὰ τούτους, καθ' οὗ τὸ περιπατεῖν κατηγοροῦμεν. ἢ ὁ
μὲν ἄνθρωπος καὶ ἁπλῶς τὸ κοινὸν ἅπαν οὐ τόδε τι σημαίνει καὶ ἄτομον, |
ὡς ἂν τὸ σχῆμα τῆς προσηγορίας προσαναγκάζει καὶ οἱ σοφισταὶ βούλονται, 111
ἀλλὰ τοιόνδε τι ἢ ποσὸν ἢ πρός τι ἢ ἕτερόν τι τῶν τοιούτων· ἃ πάντα ἐπὶ
τοῦ προκειμένου συμβέβηκεν. ὁ γὰρ εἰδικὸς ἄνθρωπος οὐχ ἕν τι ἀφωρι-
σμένον ἔσται καὶ τόδε, ἀλλ' ὡς τὸ ἐκ πάντων σημαῖνον ἄθροισμα πλῆθός
τι ἔσται καὶ διὰ τοῦτο ποσόν, ὡς δὲ τῶν ἄλλων ἀφορίζον τὰ ὑποκείμενα
καὶ μορφὴ ὂν ποιόν, ὡς δὲ εἶδος γένους πρός τι. πῶς οὖν τὸ τοιοῦτον ἢ 10
οὐσία τις ἔσται μοναδικὴ καὶ καθ' αὑτὴν ὑφεστῶσα ἢ τρίτος ἄνθρωπος;
ὥσπερ γὰρ ὁ μουσικὸς Κορίσκος ἕτερος μὲν ἂν ῥηθείη τοῦ ἁπλῶς Κορίσκου,
οὐ τῇ ὑποστάσει μέντοι καὶ τῷ ὑποκειμένῳ ἀλλ' ἢ τῷ λόγῳ μόνῳ (οὐ
γάρ ἐστι μουσικὸς ἔξω τοῦ Κορίσκου), οὕτως οὐδέ τις κοινὸς ἄνθρωπος
αὐθυπόστατος ἔσται καὶ ἴδιος τῶν ἐν μέρει χωρὶς ἀλλ' ἢ λόγῳ καὶ ἐννοή-
ματι, καὶ οὐ τὸ ἐκτίθεσθαι ἐν ἀπαριθμήσει τοὺς καθ' ἕκαστα ἀνθρώπους
καὶ ἕτερον ἐκείνων λέγειν ποιεῖ τὸν τρίτον ἄνθρωπον, ἀλλὰ τὸ συγχωρεῖν 20
τὴν ἄνθρωπος φωνὴν τόδε τι εἶναι καὶ ἄτομον· οὐ γάρ ἐστιν ὅμοιον ὅπερ
Καλλίας καὶ ὅπερ ἄνθρωπος. οὔτ' οὖ εἰ καί τις μὴ τόδε τι καὶ οὐσίαν
τὸ ἐκτιθέμενον λέγει, τίθεται δὲ ποιόν, ἐκτὸς θεωρήσει τῶν πολλῶν
καὶ καθ' ἕκαστα, ἀλλ' εἴ τι δὲν περὶ αὐτοῦ ἢ ἐνιαῖον ἢ ὑποστατικὸν
φθέγξαιτο, τοῖς πολλοῖς συγχρήσεται. φανερὸν οὖν ὅτι οὐ δοτέον | τόδε τι 112
τὸ κοινῇ κατηγορούμενον ἐπὶ πᾶσιν ἀλλ' ἤτοι ποιὸν ἢ ποσὸν ἢ πρός τι ἢ
τῶν τοιούτων τι σημαίνειν, ὡς εἴρηται.

---

1 ὑπολείπεται MN 2 ὁ om. M 3 ἰδιαζόντος N 4 post παρὰ add. δὲ M
9 καὶ (ante τὸ) om. M 10 θρυλλούμενον libri 11 τοὺς] τὸν MN 12 φη-
σὶν M λέγομεν MN 18 προσαναγκάζῃ MN βούλωνται MN 19 τῶν]
τὸν N ante ἐπὶ add. καὶ MN 22 τῶν] τὴν N 23 ὂν om. MN 31 ὅμοιον]
[illegible] N 35 οὐδετέον N 36 τὸ] τὸν N post πᾶσιν add. εἶναι MN
ποιὸν ἢ ποιὸν MN

23. Ὅλως δὲ ἐν τοῖς παρὰ τὴν λέξιν λόγοις ἀεὶ κατὰ τὸ ἀντικείμενον 112
ἔσται ἡ λύσις ἢ παρ' ὅ ἐστι ὁ λόγος· οἷον εἰ παρὰ σύνθεσίν ἐστιν ὁ λόγος,
διελόντι, εἰ δὲ παρὰ διαίρεσιν, συνθέντι· εἰ παρὰ προσῳδίαν ὀξεῖαν, ἡ
περισπωμένη λύσις, καὶ εἰ παρὰ ψιλήν, ἡ δασεῖα, καὶ ὅλως εἰ παρὰ τόνον, 10
5 τὸ ἄνευ τόνου. εἰ δὲ παρ' ὁμωνυμίαν, τὸ ἀντικείμενον ὄνομα εἰπόντα λύειν·
οἷον εἰ ἔμψυχον συμβαίνει συνάγειν τὸν σοφιστὴν ἐξ ὧν ἠρώτησεν ὁμωνύμων,
λύειν ἀποφήσαντα μὴ τοιοῦτον δεδωκέναι ἀλλ' ἄψυχον, καὶ τὸ ἔμπαλιν,
ὡς εἴπερ ἐπὶ τοῦ διδάσκοντος ὁ λόγος εἴη τοῦ τε Πλάτωνος καὶ τοῦ βιβλίου·
ἄμφω γὰρ διδάσκει, ὧν τὸ μὲν ἔμψυχον τὸ δὲ ἄψυχον. καὶ ἐπὶ τῆς
10 ἀμφιβολίας δὲ καὶ ἐπὶ τῆς λέξεως ὁμοιότητος τὸ ἀντικείμενον ἔσται λύσις.
οἷον 'ἆρ' ὃ μὴ ἔχει, δοίη ἄν τις;' ἢ οὐχ ὃ μὴ ἔχει ἀλλ' ὡς οὐκ ἔχει, οἷον 20
ἕνα μόνον ἀστράγαλον· τοῦτο γὰρ καὶ ἀντίκειται. καὶ ὃ ἐπίσταται, μαθὼν
ἢ εὑρὼν ἐκεῖνο καὶ οἶδεν ὡς ἐφ' ἑνὸς ἀκουόμενον, ἀλλ' οὐχ ἃ ἐπίσταται.
καὶ πατεῖ οὐχ ὅτε βαδίζει χρόνον, ἀλλ' ὃ βαδίζει διάστημα.

15 24. Πρὸς δὲ τοὺς παρὰ τὸ συμβεβηκὸς ἅπαντας μίαν καὶ κοινὴν λύσιν
ἐπάξομεν καὶ οὐχ ὥσπερ ἕτεροι διαφόρους καὶ ἀσυμφώνους. ἐπεὶ γὰρ 113
ἀδιόριστον καὶ οὐκ ἀκριβῶς ἔγνωσται, πότε τὸ τῷ κατηγορουμένῳ ὑπάρχον
ὑπάρχει καὶ τῷ ὑποκειμένῳ πράγματι, ἀλλ' ἐπ' ἐνίων μὲν δοκεῖ καὶ φασί
(τὰ γὰρ οὐσιωδῶς τοῖς κατηγορουμένοις ἐνόντα καὶ καθ' αὑτὸ καὶ ἐπὶ τῶν
20 ὑποκειμένων διαβαίνει) τὰ δ' ἄλλως ἔχοντα οὔ, τοῦτο δὴ καὶ πρὸς λύσιν
ἐπάγειν ἀρκεῖ, ὡς οὐκ ἀναγκαῖον καὶ τῷ πράγματι συμβαίνειν ἅπαν ὃ καὶ
τῷ κατηγορουμένῳ, ἀλλὰ τὰ μὲν τὰ δ' οὔ, ὥς γε εἴρηται. συμβαλεῖται 10
δὲ πρὸς λύσιν καὶ τὸ οἷον ἢ ὁποῖον ἀντερωτώμενον· ἐρωτῶντος γὰρ εἰ ὁ
Σωκράτης λευκόν, ἵνα συναγάγῃ ὅτι χρῶμα, ἐπειδὴ τὸ λευκὸν διττὸν τό τε
25 λελευκωμένον σῶμα καὶ ἡ λευκότης αὐτή, καὶ τὸ μὲν δοῦναι ἀληθὲς τὸ
δὲ ψεῦδος, εἰ ἀντερωτήσαις οἷον λευκὸν αἰτεῖ λαβεῖν, ἐσεῖται συνειλημμένος
ἀμφοῖν καὶ οὐ προβήσεται πεφωραμένα τὰ τῆς τέχνης αὐτῷ. εἰσὶ δὲ πάντες
οἱ τοιοῖδε τῶν λόγων παρὰ τὸ συμβεβηκός· 'ἆρ' οἶδας ὃ μέλλω σε ἐρωτᾶν;'
οὔ. 'ἆρ' οἶδας ὅτι ἡ ἀρετὴ ἀγαθόν;' ναί. 'τοῦτο δὲ μέλλω σε ἐρωτᾶν, 20
30 ὥστ' οἶδας ὃ μέλλω σε ἐρωτᾶν.' πάλιν 'ἆρ' οἶδας τὸν προσιόντα κεκαλυμ-
μένον;' οὔ. ἀποκαλύψαντες δὲ δεικνύουσι τὸν Κορίσκον καὶ συνάγουσι τὸν
αὐτὸν εἰδέναι καὶ μή. πάλιν 'ὁ ἀνδριὰς ἔργον ἐστί;' ναί. 'τί δέ. καὶ σός;'
ναί. 'σὸν ἄρα ὁ ἀνδριὰς ἔργον. ἀλλὰ μὴν καὶ οὐ σός· τοῦ Φειδίου γάρ.'
πάλιν 'τὰ ὀλιγάκις ὀλίγα ὀλίγα;' ναί. 'ἀλλὰ μὴν τὰ ἑκατὸν πρὸς τὰ δεκα-
35 κισμύρια ὀλιγάκις ὀλίγα. τὰ ἑκατὸν | ἄρα ὀλίγα. ἀλλὰ μὴν καὶ πολλά. 114
φανερὸν ἐν ἅπασι τούτοις ὅτι οὐκ ἀνάγκη ἅπαν τὸ τῷ κατηγορουμένῳ
ὑπάρχον καὶ κατὰ τοῦ ὑποκειμένου πράγματος ἀληθεύεσθαι. ἐν μόνοις γὰρ
τοῖς κατὰ τὴν οὐσίαν ἀδιαφόροις καὶ ἓν οὖσιν ἅπαντα δοκεῖ ταὐτὰ ὑπάρχειν·
τῷ δ' ἀγαθῷ οὐ ταὐτόν ἐστιν ἀγαθῷ τε εἶναι καὶ μέλλοντι ἐρωτᾶσθαι.
40 οὐδὲ τῷ προσιόντι ἢ κεκαλυμμένῳ προσιόντι τε εἶναι καὶ Κορίσκῳ. ὥστε

---

3 διελόντι] διῃρόντι M 4 καὶ εἰ] καὶ ἡ N δασεῖα M 6 τονάγω N 8 ὁμωνυμ N
16 γὰρ] δὲ M 20 τοῦτο δὲ M 22 τὸ κατηγορουμένῳ N 23 ἐρωτῶντας LM
29 οὔ om. L 31 τὸν (ante αὐτὸν) om. MN 36 ἐν] οὖν M: οὖν ἐν N

οὐκ εἰ οἶδα τὸν Κορίσκον, ἀγνοῶ τὸν προσιόντα, τὸν αὐτὸν οἶδα καὶ ἀγνοῶ· 114
οὐδ' εἰ τοῦτό ἐστιν ἐμόν, ἔστι δὲ ἔργον, ἐμόν ἐστιν ἔργον, ἀλλ' ἢ κτῆμα 11
ἢ πρᾶγμα ἢ ἄλλο τι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων.

Καὶ παρ' ἡμῶν μὲν τὰ τοιάδε σοφίσματα οὕτω δήπου ἐκτεθειμένα λέλυνται, λύουσι δέ τινες καὶ ἑτέρως ἀναιροῦντες τὴν ἐρώτησιν τῷ δέχεσθαι ἀληθεύειν τὸ συμπέρασμα· φασὶ γὰρ ἐνδέχεσθαι τὸ αὐτὸ πρᾶγμα καὶ εἰδέναι καὶ ἀγνοεῖν, ἀλλὰ μὴ κατὰ ταὐτό. τὸν οὖν προσιόντα οὐκ εἰδότες, τὸν δὲ 20 Κορίσκον εἰδότες τὸ αὐτὸ εἰδέναι καὶ ἀγνοεῖν φασιν, ἀλλ' οὐ κατὰ ταὐτό. καίτοι πρῶτον μέν, καθάπερ ἤδη εἴπομεν, δεῖ τῶν παρὰ ταὐτὸ πάντων καὶ ἐφ' ἑνὸς εἴδους παραλογισμῶν τὴν αὐτὴν καὶ μίαν εἶναι διόρθωσιν· ἣν δὲ λέγουσιν, οὐκ ἐφαρμόττει πᾶσι τοῖς παρὰ τὸ συμβεβηκὸς σοφίσμασιν, ἀλλ' οἷς μόνοις τὸ εἰδέναι πρόσκειται, ὡς ἐπὶ τῶν εἰρημένων, ἐπὶ δὲ τῶν ἄλλων οὔ, οἷον ἐπὶ τοῦ εἶναι ἤ πως ἔχειν ἐστίν. οὐδὲν δὲ κωλύει τὸν αὐτὸν λόγον πλείους μοχθηρίας ἔχειν. ἀλλ' οὐχ ἡ πάσης μοχθηρίας ἐμφάνισις 115
λύσις. ἐγχωρεῖ γὰρ ὅτι μὲν ψευδῆ συλλελόγισται δεῖξαί τινα, παρ' ὃ δὲ μὴ δεῖξαι, οἷον τὸν Ζήνωνος λόγον, ὅτι οὐκ ἔστι κινηθῆναι, ἐλέγξειεν ἄν τις καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς οὕτως ἐπιχειρῶν· εἰ μὴ ἔστι κίνησις, οὐδ' ἔσται τὸ ποθὲν ποῖ. εἰ μὴ τοῦτο, οὐδ' ὁ ἥλιος ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς κινηθήσεται. ἔνθεν οὐδὲ ἡμέραι καὶ νύκτες ἔσονται. τοῦτο δὲ 10 ἀδύνατον· ψεῦδος ἄρα τὸ μὴ εἶναι κίνησιν. ἀλλὰ κἂν μυριάκις οὕτως ἐλέγχων συλλελογισμένος ᾖ, οὔτε λύει καὶ ἁμαρτάνει· ἦν γὰρ ἡ λύσις ἐμφάνισις ψευδοῦς συλλογισμοῦ, παρ' ὃ ψευδής· ὁ δὲ τὸ μὲν αἴτιον τῆς ἀπάτης παρῆκεν εἰπεῖν καὶ διὸ ἔψευσται (ἦν δὲ τὸ λαμβάνειν ἐνεργείᾳ τὰ ἡμίση τοῦ διαστήματος, ἃ δήπουθεν ἄπειρα καὶ ἀδιεξίτητα), εἶτα ἐλέγχειν οἴεται τῷ συνάγειν τὰ ἀντικείμενα. καὶ ὅστις γοῦν ἰσχύσας μὴ συλλελογίσθαι δείξει τὸ σόφισμα τῷ κατά τι τὴν συλλογιστικὴν ἐκκλίνειν παράδοσιν, 20 τελεώτατα λέλυκε, κἄνπερ ἀληθὲς ἢ ψεῦδος ἐπιχειρῇ συνάγειν. ἴσως δὲ καὶ τοῦτο ἐπ' ἐνίων οὐδὲν κωλύει συμβαίνειν· ἐν πλείστοις γὰρ ἤρκεσε τὸ συναγαγεῖν τὸ ἀδύνατον, πλὴν ἐπὶ τῶν Ζήνωνος λόγων δεῖ καὶ παρ' ὅθεν εἰπεῖν. μεταφέροντες δὲ καὶ ἐπὶ τῶν προκειμένων λέγομεν ὡς ἐπ' ἄλλων μὲν τοῦτο ἀληθεῦον δόξειεν ἂν τὸ κατ' ἄλλο μὲν εἰδέναι κατ' ἄλλο δὲ ἀγνοεῖν, οἷον τόδε ὅτι μὲν λευκὸν εἰδέναι, ὅτι δὲ μουσικὸν μὴ γνω- 116
ρίζειν, καὶ μὴ κατὰ ταὐτό· ἐπὶ δὲ τοῦ προσιόντος Κορίσκου οὔ· τό τε γὰρ προσιὸν οἶδεν ὅτι πρόσεισι καὶ τὸν Κορίσκον, εἰ καὶ μὴ ταὐτὰ μηδ' ὡς ἕν.

Ὁμοίως δὲ ἁμαρτάνουσι καὶ οἱ τὸ ἕτερον σόφισμα λύοντες, τὸ συνάγον τὰ ἑκατὸν καὶ πολλὰ καὶ ὀλίγα, τῷ λέγειν ἅπας ἀριθμὸς καὶ πολὺς καὶ ὀλίγος πρὸς ἕτερον καὶ ἕτερον. δέον γὰρ λύειν καὶ ἀνθίστασθαι πρὸς τὸν ἐρίζοντα ὡς οὐκ ἀληθῶς συνεπέρανε, μᾶλλον συγχωροῦσιν. 10

---

1 εἰ εἰδὼς MN εἶδα N 2 ἀλλ' ἢ] ἀλλὰ MN 5 ἑτέραις N τὸ δέχεσθαι L 11 οὐχ ἁρμόττει MN 12 μόνον MN 13 πῶς ex πρὸς corr. N οὐδὲν γὰρ MN 18 ποῖ] πῇ L 27 ἐπιχειρῇ] ἐπέχει L 31 δόξειεν ex δείξειεν corr. L 32 μὴ om. N 37 τὸ λέγειν M

Ἔνιοι δὲ καὶ τῷ διττῷ λύουσιν ὥσπερ δὴ τὰ ὁμώνυμα. τὴν γὰρ ὅτι 116
σός ἐστιν οὗτος πολλαπλῆν τίθενται πρότασιν· ἢ γάρ, φασίν, υἱὸς ἢ πατὴρ
ἢ κτῆμα ἢ δοῦλος. ὑπόθου δὲ παρ' εἰδόσι προβαίνειν τὸ πρόβλημα. ἀλλ'
εἰ μὲν παρὰ τὸ πολλαχῶς λέγεσθαι καὶ μὴ κατὰ συμβεβηκὸς ὁ τοιοῦτος
5 ἔλεγχος ἦν, φανερὸν ὡς ἔδει τοὔνομα ἢ τὸν λόγον πλείονα σημαίνειν· οὕτω
γὰρ εἶχεν ἐπὶ τῶν ὁμωνύμων. νυνὶ δὲ οὐχ οὕτω· τὸ γὰρ εἶναι τόνδε τόδε 20
τέκνον ὄντα δοῦλον οὐ διὰ τὸ πολύσημον, ἀλλὰ παρὰ τὴν τοιάνδε συμπέπτω-
κεν ἀγωγὴν τοῦ σοφίσματος, οἷον 'ἆρ' ἐστὶ τοῦτο σόν;' ναί. 'ἔστι δὲ τοῦτο
τέκνον;' ναί. 'σὸν ἄρα τοῦτο τέκνον.' οὐκ ἔστι δέ· συμβέβηκε γὰρ εἶναι
10 καὶ σὸν καὶ τέκνον, ἀλλ' οὐ σὸν τέκνον.

Παραπλήσιον κἀκεῖνο τὸ συνάγον τῶν κακῶν τι εἶναι ἀγαθόν· ἡ γὰρ
φρόνησίς ἐστιν ἐπιστήμη τῶν κακῶν τῷ τὸν φρόνιμον ἐπίστασθαι καὶ τὰ
κακά. οὔκουν εἴ τις τὸ τοῦτο τούτων εἶναι ἢ τὸ οὗτος τούτου πολλαχῶς 117
λέγεσθαι θείη, * * ὅτι καὶ ὁ λόγος ὁ τὸν ἄνθρωπον εἶναι τῶν ζώων λέγων
15 ἕν τι δηλοῖ, ὅτι ζῶον ἀλλ' οὐ κτῆμα, ὅ τε τὸν Πειραιᾶ τυχὸν ἢ Τάναγραν
τῶν Ἀθηναίων λέγων οὐ πολλὰ σημαίνει, ἀλλ' ὅτι κτῆμα. οὕτως οὐδ' ὃς
τὴν φρόνησιν τῶν κακῶν εἴποι, πολλὰ σημαίνει ἀλλ' ὅτι ἐπιστήμη. ἐπεὶ
δὲ μεγάλην διαφορὰν πρὸς τὰ σημαινόμενα κἀν ταῖς συντάξεσιν αἱ ἀποδόσεις
τῶν πτώσεων φέρουσι, φθάνομεν δὲ πρὸς γενικὴν ἀποδεδωκέναι τὴν φρό- 10
20 νησιν τῶν κακῶν αὐτὴν φάμενοι, ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς ἀνέκυψε παρα-
λογισμός· πῇ γὰρ δεδωκότων καὶ ὡς ἐπιστήμην ἁπλῶς τοῖς κακοῖς συνέταξον.
καὶ ἐνταῦθα μὲν πάνυ ἐξίτηλον τὸ τοῦ παραλογισμοῦ φάντασμα, ἐν ἑτέροις
δὲ ἴσως ἐνδέχεταί τι ἀγαθὸν τῶν κακῶν εἶναι. ἡ γὰρ ἀνδρεία καλὸν μὲν
ὡς εὐκλείας ποιητική, δοκεῖ δέ τισι κακὸν διὰ τὰς ἐν πολέμῳ πληγάς. καὶ
25 ἔτι μᾶλλον ἡ τῆς διττότητος ἐμφάνισις ἐπ' ἐκείνου τοῦ ἀμφιβόλου τοῦ 20
δοῦλον ἀγαθὸν μοχθηροῦ. τὸ γὰρ ἀγαθὸν ἢ ὡς ὄνομα ἐκλήθη κύριον ἢ
ἐπὶ τρόπου θείης, καὶ τὸ μοχθηροῦ ὡσαύτως ἢ δεσπότου μοχθηροῦ ἢ
τρόπου. ἴσως δέ σοι ἀκριβῶς σκεπτομένῳ οὐδ' ἐνταῦθα ἡ διπλόη φανήσε-
ται· οὐ γὰρ εἰ ἀγαθὸν καὶ τούτου, ἀγαθὸν τούτου ἅμα· δοῦλος γὰρ ὢν
30 ἀγαθὸς μοχθηροῦ δεσπότου δηλαδή, ἀλλ' οὐ τρόπου πονηροῦ· πρὸς γὰρ
τὸν δεσπότην ὁ δοῦλος λέγεται. τὸ δὲ ἀγαθὸς ἀποκοπὲν καθ' αὑτὸ πρὸς
οὐδὲν ἀλλ' | ἢ ὡς ποιὸν νοεῖται. ὥστ' οὐδὲ τὸ τὸν ἄνθρωπον φάναι τῶν 118
ζώων εἶναι λέγεται πολλαχῶς, ἢ τὴν φρόνησιν τῶν κακῶν, ἢ κοινότερον
εἰπεῖν τὸ τοῦτο τούτων· οὐ γάρ εἴ ποτέ τι σημαίνομεν ἀφελόντες, τοῦτο
35 πολλαχῶς λέγεται. οὐ γὰρ πᾶν τὸ καθ' αὑτὸ ἀπολῃφθὲν καὶ ὡρισμένον
καὶ γνώριμον καὶ τούτου ἢ τούτων λεγόμενον πολλὰ σημαίνει. εἰ γὰρ τοῦτο
ἦν, ἐπειδὴ τὸ 'μῆνιν ἄειδε θεά' ἀφελόντες ὡρισμένως οἴδαμεν, ὅτι ἥμισυ
στίχου ἐστὶ καὶ οὐ τῆς Ἰλιάδος, ὁ λέγων ὅτι δός μοι τὸ 'μῆνιν ἄειδε θεά' 10

---

2 πολλαπλῆν corr. L: διπλῆν MN 6 τὸ δὲ M 9 ἆρα L 12 τῶν τὸ φρόνιμον N 13 post οὔκουν add. ὥσπερ MN 14 lacunam indicavi; deest καλῶς ἂν λέγοι vel tale aliquid, cf. Alex. f. 52v 17 εἴποι ἂν MN 19 φαίρουσι N 21 τοῖς ex τῆς corr. N 26 δοῦλον ἀγαθοῦ L 27 θήσεις MN τὸ μοχθηρὸν L 31 καθ' αὑτὸν M 34 τούτων — τοῦτο om. M 34. 35 τούτου πολλαχῶς L 38 στίχον M

τὸ ἥμισυ τούτου τοῦ ἔπους διττὸς ἂν ἦν λέγων καὶ ἐσήμαινε τό τε ἥμισυ 118
τῆς Ἰλιάδος καὶ τοῦ στίχου. ἀλλὰ μὴν οὐ διττός· καθ' αὑτὸ γὰρ ληφθὲν
δῆλον γέγονεν τίνος ἐστὶν ἥμισυ· ἔστι δὲ μεταλαμβανόμενα τὸ μὲν ἥμισυ
τοῦτο, τὸ δὲ τοῦ ἔπους τούτου. κατὰ ταὐτὰ μέντοι οὐδ' ὁ λέγων 'ἆρα ὅδε
5 σός;' ἐστὶ λόγος διττός· δῆλον γάρ ἐστιν ὅπως οὗτος τούτου ἐστίν· ὁ γὰρ
τὸν Πλάτωνα καὶ Ἀρίστωνα καθ' αὑτοὺς λαβὼν καὶ ἐρωτῶν 'ἆρά γε οὗτος
τούτου ἐστί;' ταὐτὸν λέγει ⟨τῷ⟩ 'ἆρα ὁ Πλάτων υἱὸς Ἀρίστωνος;' καὶ ⟨οὐ⟩ 20
διπλοῦν ἐνταῦθα τὸ ἐρώτημα διὰ τὸ τὰ ληφθέντα γνώριμα τυγχάνειν, ὅπως
ἀλλήλων εἰσίν.

10 25. Τοὺς δὲ παρὰ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς παραλογισμοὺς λυτέον
σκοποῦντι τὸ συμπέρασμα πρὸς τὴν ἀντίφασιν, εἰ ἐνδέχεται τούτων τι πε-
πονθέναι. τὰ γὰρ ἐναντία καὶ τὰ ἀντικείμενα καὶ ἀπόφασιν καὶ φάσιν ἁπλῶς
μὲν ἀδύνατον | ὑπάρχειν τῷ αὐτῷ· πῇ μέντοι ἑκάτερον ἢ ποῦ ἢ πῶς, ἢ 119
τὸ μὲν πῇ τὸ δὲ ἁπλῶς, οὐδὲν κωλύει. ὥστ' εἰ τόδε μὲν ἁπλῶς τόδε δὲ
15 πῇ, οὔπω ἔλεγχος, ὥσπερ ὁ Αἰθίοψ καὶ λευκὸς καὶ μέλας, τὸ μὲν ἁπλῶς
καὶ κατὰ τὴν ἐπιφάνειαν, τὸ δὲ πῇ καὶ κατὰ τοὺς ὀδόντας. τό τε τοὺς
γονεῖς θύειν καλόν που ἢ ἔν τισιν (ἐν Τριβαλλοῖς γάρ), οὐχ ἁπλῶς δέ.
καὶ ἡ νόσος ἀγαθὸν καὶ κακόν, τὸ μὲν πρὸς τὸν ἐπιεικῆ, τὸ δὲ πρὸς τὸν
κακοῦργον.

20 Καὶ ἔτι οἱ τοιοίδε λόγοι τοῦτ' ἔχουσιν. 'ἆρ' ἐνδέχεται τὸ μὴ ὂν εἶναι;' 10
οὔ. 'τί δέ, οὐ δοξαστόν ἐστιν; ἔστιν ἄρα τὸ μὴ ὄν.' ὁμοίως δὲ καὶ τὸ ὂν
οὐκ ἔσται· οὐ γάρ ἐστί τι τῶν ὄντων. ἄμφω δὲ ψευδῆ. οὔτε γὰρ ἁπλῶς
ὂν τὸ μὴ ὄν, ἀλλ' ὡς δοξαστὸν τῷ ὄντι προσήρτηται, οὔτ' εἰ μὴ βοῦς ἢ
ἵππος ἢ ἄλλο τι τῶν εἰδῶν, αὐτὸ τὸ ὂν ἤδη καὶ ἁπλῶς οὐκ ὄν, ἀλλὰ πῇ.
25 πάλιν 'ἆρ' ἐνδέχεται τὸν αὐτὸν ἅμα ἐπιορκεῖν καὶ εὐορκεῖν;' οὔ. 'τί δέ; ὁ
ὀμόσας ἐπιορκήσειν καὶ ἐπιορκήσας οὐκ εὐώρκησεν;' ὡσαύτως 'ἆρ' ἐνδέ- 20
χεται τὸν αὐτὸν ἅμα πείθεσθαι καὶ ἀπειθεῖν;' ἀλλ' οὔτε ἁπλῶς ὁ ἐπιορκῶν
εὐορκεῖ, ἀλλὰ κατά τι καὶ πῇ, οὐδ' ὁ ἀπειθῶν πείθεται ἀλλὰ τὶ πείθεται.
ὅμοιος δὲ ὁ λόγος καὶ περὶ τοῦ ψεύδεσθαι τὸν αὐτὸν ἅμα καὶ ἀληθεύειν,
30 οἷον ὁ Δίων λέγει τὸν ὀφθαλμὸν καὶ λευκὸν καὶ μέλανα, τοῦτο δὲ καὶ
ψευδὲς καὶ ἀληθές· οὔτε γὰρ ἅπας λευκὸς οὔθ' ἅπας μέλας. πάλιν 'ἐγὼ
ψευδόμενος λέγω ἀλη|θῆ λόγον, ὅτι ἐγὼ ψεύδομαι·' ἅμα γάρ, εἰ καὶ μὴ 120
πρὸς τὸ αὐτό, καὶ ἀληθεύω καὶ ψεύδομαι. καὶ διὰ τὸ μὴ εἶναι εὐθεώρητον,
ποτέρως ἄν τις ἀποδοίη τὸ ἁπλῶς ἀληθεύειν ἢ ψεύδεσθαι, καὶ μάλιστα ἐν
35 οἷς τὰ ἀντικείμενα ὁμοίως ὑπάρχει, ὡς ἐπὶ τοῦ ὀφθαλμοῦ, διελέσθαι δύσκολον
φαίνεται. κωλύει δὲ αὐτὸν οὐδὲν ἁπλῶς μὲν εἶναι ψευδῆ, πῇ δὲ ἀληθῆ ἢ
τινός, ἢ εἶναι ἀληθῆ τινά, ἀληθῆ δὲ μή. ὁμοίως δὲ ἐπὶ τῶν πρός τι καὶ
ποῦ καὶ ποτέ· πάντες γὰρ οἱ τοιοῦτοι λόγοι παρὰ τοῦτο συμβαίνουσιν, οἷον 10
'ἆρ' ὑγεία καὶ ὁ πλοῦτος τό τ' ἐν πόλει δύνασθαι οὐκ ἀγαθά;' ναί. 'ἀλλ'

---

1. 2 διττὸς L, cf. Alex. f. 53: διττὸν MN 5 οὗτος om. MN 7 τῷ ex Alex. addidi οὐ ex Alex. addidi 8 τυγχάνει M 12 καὶ φάσιν om. M 13 ἕτερον LM 18 ὁ νόσος M 21 ἐστιν] fort. ὄν L 35 ante ὁμοίως add. μὴ MN

ἔστιν ὅτε οὐ βέλτιον τῷ ἀδίκως πολιτευομένῳ. τὰ αὐτὰ ἄρα ἀγαθὰ καὶ κακά.' ἀλλ' οὐ πρὸς τοὺς αὐτούς· οὐδὲν γὰρ κωλύει ἁπλῶς ὂν ἀγαθὸν τῷδε μὴ εἶναι, καὶ τῷδε μὲν ἀλλ' οὐ νῦν, οὐδ' ὧδε. πάλιν 'ἆρ' ὁ μὴ βούλοιτ' ἂν ὁ φρόνιμος, κακόν;' ναί. 'ἀποβαλεῖν δ' οὐ βούλεται τὸ ἀγαθόν· κακὸν ἄρα τὸ ἀγαθόν.' ἢ οὐ ταὐτὸν εἰπεῖν τὸ ἀγαθὸν εἶναι κακὸν καὶ τὸ ἀποβαλεῖν τὸ ἀγαθόν· εἰ δὲ μὴ τοῦτο, οὐδὲ τὸ ἀγαθὸν λέγειν κακὸν συλλελόγισται. ὅμοιος δὲ καὶ ὁ τοῦ κλέπτου λόγος τῷ βούλεσθαι τὰ ἀλλότρια λάθρα λαμβάνειν, τὸ δὲ κακόν, ὥστε βούλεταί τις τὸ ἑαυτοῦ κακόν, ὅπερ οὐ δέδοται· πᾶσα γὰρ βούλησις καὶ ἔφεσις ἀγαθοῦ. ἢ οὐχὶ εἰ κακόν ἐστιν ὁ κλέπτης, καὶ τὸ λαβεῖν ἐστι κακόν. οὔκουν τὸ κακὸν βούλεται ἀλλὰ τὸ ἀγαθόν. οὐ γὰρ | ἐφίεταί τις, ὡς ἀγαθοῦ ἐφίεται, κἂν κακὸν ᾖ. ὥστε τὸ 121
λαβεῖν αὐτῷ ἀγαθόν. καὶ τὸ νοσεῖν μὲν κακόν, ἀποβαλεῖν δὲ νόσον ἀγαθόν. πάλιν 'πότερον τὸ δίκαιον τοῦ ἀδίκου καὶ τὸ δικαίως τοῦ ἀδίκως αἱρετώτερον;' ναί. 'ἀλλ' ἀποθανεῖν ἀδίκως αἱρετώτερον ἢ δικαίως. ἀδίκως μὲν γὰρ Σωκράτης τέθνηκε, δικαίως δὲ λῃσταὶ καὶ συμβωμολοχοι· τὸ ἀδίκως ἄρα τοῦ δικαίως καὶ τοῦ δικαίου τὸ ἄδικον αἱρετώτερον.' ἀλλ' οὐχὶ εἰ παθεῖν τι ἀδίκως αἱρετόν, καὶ καθάπαξ τὸ ἀδίκως αἱρετώτερον τοῦ δικαίως· ἀλλ' ἁπλῶς μὲν τὸ δικαίως, τοδὶ μέντοι καὶ πῇ οὐδὲν κωλύει ἀδίκως μᾶλλον ἢ δικαίως. πάλιν 'ἐπεὶ τὸ δίκαιον τριττόν, φύσει, νόμῳ καὶ τὸ κατὰ κρίσιν προβαῖνον τῶν δικαστῶν, τὸ λαβεῖν τινα ἀλλότρια χρήματα ψήφῳ δικαστῶν δίκαιόν ἐστιν. ἃ γὰρ ἄν τις κρίνοι τῶν δικαστῶν, κἂν ψευδῆ ᾖ, κατὰ δόξαν τὴν αὐτοῦ δίκαιά ἐστι διὰ τὸν Ἀθήνησι νόμον τὸν τὸ δοκοῦν τοῖς δικασταῖς ἡγούμενον κύριον. ἀλλὰ μὴν τοῦτο νόμῳ καὶ φύσει ἄδικον· τὸ αὐτὸ ἄρα δίκαιον καὶ ἄδικον.' ἢ τὸ ἔχειν τινὰ τὰ ἑαυτοῦ δίκαιον, τὸ δὲ τὰ ἀλλότρια οὐ δίκαιον· κρίσιν μέντοι τοιαύτην εἶναι οὐδὲν κωλύει, οἷον ἂν ᾖ κατὰ δόξαν τοῦ κρίναντος, ὡς εἴρηται. οὐ γὰρ εἰ δίκαιον τοδὶ ἢ ὡδί, καὶ ἁπλῶς δίκαιον. πάλιν 'πότερον δεῖ κατακρίνειν τὸν τὰ δίκαια λέγοντα ἢ τὸν τὰ ἄδικα;' τὸν τὰ ἄδικα. 'ἀλλὰ μὴν καὶ τὸν ἀδικούμενον δίκαιόν ἐστιν ἱκανῶς λέγειν ἃ ἔπαθεν, ὕβρεις καὶ πληγάς· ταῦτα δ' ἦν ἄδικα.' ἢ οὐδὲν κωλύει λέγειν γε αὐτὰ δίκαιον εἶναι, ἄλλως | δ' οὔ. οὐ γὰρ εἰ λέγειν δίκαιον, 122
ἀνάγκη δίκαια εἶναι, ὥσπερ οὐδ' εἰ ὠφέλιμον λέγειν καὶ διδάσκειν περὶ νόσων καὶ δηλητηρίων, ἤδη καὶ ταῦτα ὠφέλιμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν δικαίων· οὐ γὰρ εἰ ὁ ὑβρίσας λέγει μὴ ὑβρικέναι, τοῦτο δὲ δίκαιον, ἀνάγκη αὐτὸν καὶ δίκαια λέγειν ψευδόμενον. ὥστ' οὐδ' ὁ παθὼν εἰ λέγων ἃ ἔπαθεν ἄδικα νικᾷ, ἤδη καὶ πᾶς ὁ ἄδικα λέγων νικᾷ· λέγει γὰρ ἃ λέγειν ἐστὶ δίκαια, ἁπλῶς δὲ καὶ παθεῖν ἄδικα.

26. Τοῖς δὲ παρὰ τὸν ὁρισμὸν γινομένοις τοῦ ἐλέγχου, καθάπερ ὑπεγράφη πρότερον, ἀπαντητέον σκοποῦσι τὸ συμπέρασμα τὸ πρὸς τὴν ἀντίφασιν, ὅπως ἔσται, εἰ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ

1 τῷ] τὸ N πολιτευομένων N 3 τῷ δὲ μὴ L 6. 7 συλλελογίσθαι pr. L
9 ante οὐχὶ add. οὐ M 10 οὔκουν] οὐκ ο αυτὸ M 14. 15 ὁ Σωκράτης M
21 κρίνῃ MN 22 δίκαιόν ἐστι MN 26 οὐ γὰρ] οὐδὲ M 39 τὰ αὐτὰ MN

χρόνῳ. ἐὰν γὰρ ἐν ἀρχῇ σέ τις προσέρηται, 'ἆρά γε ἀδύνατον τὸ αὐτὸ 122
εἶναι διπλάσιον καὶ μὴ διπλάσιον;' οὐχ ὁμολογητέον ὡς ἀδύνατον, ἀλλὰ
συνθετέον, μὴ μέντοι ὡδὶ μηδὲ πρὸς τὸ αὐτό (τοῦτο γάρ ἐστιν ὁ κυρίως
ἔλεγχος, ὅπερ εὐλαβητέον). ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο. εἰσὶ δὲ πάντες οἷδ' 20
5 οἱ λόγοι παρὰ τὸ τοιοῦτον εἶδος τῶν παραλογισμῶν· 'ἆρ' ὁ εἰδὼς ἕκαστον
ὅτι ἕκαστον οἶδε τὸ πρᾶγμα, καὶ ὁ ἀγνοῶν ὡσαύτως;' ναί. 'εἰδὼς δέ τις
τὸν Κορίσκον ὅτι Κορίσκος, ἀγνοεῖ ὅτι μουσικός· ὥστε τὸ αὐτὸ ἐπίσταται 123
καὶ ἀγνοεῖ.' ἀλλ' οὐ κατὰ ταὐτό. πάλιν 'ἆρα τὸ τετράπηχυ τοῦ τριπήχεος
μεῖζον;' ναί. 'γένοιτο δ' ἄν τι ἐκ τριπήχεος τετράπηχυ κατὰ τὸ μῆκος·
10 τὸ δὲ μεῖζον ἐλάττονος μεῖζον· αὐτὸ ἄρα αὐτοῦ κατὰ ταὐτὸ μεῖζον καὶ
ἔλαττον.' ἀλλ' οὐχ ἅμα οὐδ' ὡσαύτως, ἀλλὰ τὸ μὲν δυνάμει τὸ δὲ
ἐνεργείᾳ.

27. Τοὺς δὲ παρὰ τὸ αἰτεῖσθαι καὶ λαμβάνειν τὸ ἐν ἀρχῇ πυνθανο-
μένῳ μέν, ἂν ᾖ δῆλον, οὐ δοτέον, οὐδ' ἂν ἔνδοξον ᾖ, λέγοντα τἀληθές, 10
15 οἷον εἰ δέοι λαβεῖν ἄψυχόν τι ζῶον καὶ ἐρωτᾷ, εἰ τὸ βιβλίον διδάσκει, οὐ
δεῖ σε συγχωρεῖν τὴν ἀρχήν· λαβὼν γὰρ συμπεραινεῖ, εἴπερ τὸ διδάσκον
ἔμψυχον καὶ ἄνθρωπος· ἢ ἡ ψυχὴ ἀθάνατος, ὅτι ἄφθαρτος. ἀλλ' εἰ μὲν
ᾖ δῆλον, οὕτως ἀποκρίνεσθαι χρή· ἂν δὲ λαβὼν τὸ ἐν ἀρχῇ συλλογίσηται
τὴν ἀντίφασιν διὰ τὴν μοχθηρίαν τῶν τοιούτων λόγων, εἰς τὸν ἐρωτῶντα
20 μεταστρεπτέον τὴν μέμψιν ὡς οὐ καλῶς διειλεγμένον· ὁ γὰρ ἔλεγχος ἄνευ 20
τοῦ ἐξ ἀρχῆς. ἔτι ῥητέον ὡς δέδοται οὐχ ὡς τούτῳ χρησομένου, ἀλλ'
ὡς πρὸς τοῦτο συλλογιουμένου τοὐναντίον ἢ ἐπὶ τῶν παρεξελέγχων ἔχει.

28. Καὶ τοὺς διὰ τοῦ παρεπομένου συμβιβάζοντας ἐπ' αὐτοῦ τοῦ
λόγου δεικτέον, ὡς παρὰ τὸ τὰ μὴ ἀντιστρέφοντα ὡς ἀντιστρέφοντα λαμ-
25 βάνειν τὸ σόφισμα προβέβηκεν· οὐ γὰρ εἰ τόδε τῷδε ἕπεται, καὶ τῷδε
τόδε ἕπεσθαι ἀνάγκη. ἔστι δὲ διττὴ τῶν | ἑπομένων ἡ ἀκολούθησις. ἢ 124
γὰρ ὡς ἐν τῷ μέρει τὸ καθόλου, οἷον ἀνθρώπῳ ζῶον, ἢ κατὰ τὰς ἀντι-
θέσεις. ὡς εἴρηται· εἰ γὰρ τόδε τῷδε ἀκολουθεῖ, καὶ τῷ ἀντικειμένῳ τὸ
ἀντικείμενον, οἷον εἰ τὸ πῦρ θερμόν, τὸ μὴ θερμὸν οὐδὲ πῦρ. παρ' ὃ καὶ
30 τὸν τοῦ Μελίσσου λόγον εὐθύνομεν ἁμαρτάνοντα· εἰ γὰρ τὸ γεγονὸς ἔχει
ἀρχήν, φησί, τὸ ἀγένητον οὐχ ἕξει· ὥστ' εἰ ἀγένητος ὁ οὐρανός, καὶ
ἄπειρος. τὸ δ' οὐκ ἔστιν· ἀνάπαλιν γὰρ ἐχρῆν οὕτωσί πως 'εἰ τὸ γεγονὸς 10
ἀρχὴν ἔχει, τὸ μὴ ἀρχὴν ἔχον οὐδὲ γέγονεν.'

29. Ὅσοι τε παρὰ τὸ προστιθέναι τι συλλογίζονται, οὓς καὶ μὴ παρὰ
τοῦτο προσονομάζομεν, σκοπεῖν δεῖ εἰ ἀφαιρουμένου συμβαίνει μηδὲν ἧττον
τὸ ἀδύνατον, κἄπειτα τοῦτο ἐμφανιστέον καὶ λεκτέον, ὡς ἔδωκα οὐχ ὡς
δοκοῦν ἀλλ' ὡς πρὸς τὸν λόγον καὶ τῷ μὴ δόξαι δυσκολαίνειν, καὶ πρὸς
τούτοις οὐδὲ συντελεῖ τι πρὸς τὸν λόγον· οὐ γὰρ παρὰ τοῦτο ὁ ἔλεγχος.

---

1 γάρ ex δὲ corr. M 6 ὅτι ἕκαστον om. M 10 αὐτοῦ] sic LN, cf. 10,32
15 δέει L βυβλίον MN 18 εἴη MN 21 χρησομένω M 22 προεξελέγχων M
25 τῷδε (post καὶ) om. M 25. 26 τόδε τῶδε N 26 ἕπεσθαι ex ἕπεται corr. L
27 ἐν τῷ] sic libri: τῷ ἐν Aristoteles ἀνθρώπων M 28 τῷ ex τὸ corr. L
32 ἀνάπαλιν repetit N οὕτω δι' πως L

30. Πρὸς δὲ τοὺς τὰ πλείω ἐρωτήματα ἓν ποιοῦντας εὐθὺς ἐν ἀρχῇ 124
διοριστέον. ἐρώτησις γὰρ μία πρὸς ἣν μία ἀπόκρισίς ἐστιν, ὥστε οὔτε 21
πλείω καθ' ἑνὸς οὔτε ἓν κατὰ πολλῶν ἀλλ' ἓν καθ' ἑνὸς φατέον ἢ ἀπο-
φατέον, ὥσπερ δὴ καὶ ἐπὶ τῶν ὁμωνύμων ἐσημειούμεθα. καίτοι κἀκεῖ
5 ποτὲ ἀμφοῖν ποτὲ δ' οὐδετέρῳ ὑπῆρχε· τὸ μὲν γὰρ ἐπὶ Τροίαν στρατεῦσαι
καὶ ἀμφοτέροις τοῖς Αἴασι, τὸ δὲ μονομαχῆσαι Θερσίτῃ οὐδενί· ὥστε
συμβαίη κἀνταῦθα πολλάκις καὶ μὴ ἁπλοῦ ὄντος τοῦ ἐρωτήματος τοῖς ἁπλῶς 125
ἀποκρινομένοις μηδὲν ἀπαντᾶν ἐκ τοῦ παραυτίκα ὑπεναντίωμα, καίπερ ἄλλως
ἐκκλίνουσι τὴν παράδοσιν καὶ τὰ προδιωρισμένα ἡμῖν. ὅταν μὲν γὰρ ἢ ἓν
10 κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνὸς ἀληθῶς ἔστι κατηγορεῖν, τῷ ἁπλῶς δόντι
τὸ ναὶ ἢ τὸ οὔ ὁ λόγος εὐώδωται (οὐ γὰρ ἐλέγχεται τό γε), πλὴν ὅσον οὐ
διαλεκτικῶς· ὅταν δὲ τὸ κατὰ πολλῶν ἓν τῷ μὲν ὑπάρχῃ τῷ δὲ μή, ἢ 10
πλείω κατὰ πλειόνων, καὶ τὰ μὲν τοῖσδε τὰ δὲ τοῖσδε, ἀμφότερα δὲ ἀμφο-
τέροις οὐχ ὑπάρχῃ, τότε δὴ εὐλαβητέον τὴν προχείρως ἀπόκρισιν καὶ τὴν
15 ἁπλῶς καὶ ἀνενδοίαστον· τοῦ ναὶ ἢ τοῦ οὔ πρόεσιν. παραδείγματα δὲ οἱ
τοιοίδε λόγοι· τὸ γὰρ μονομαχῆσαι τῷ μὲν τῶν Αἰάντων τῷ δ' οὔ· καὶ
τὸ μέν ἐστιν ἀγαθὸν τὸ δὲ κακόν, οἷον ἀνδρεία καὶ δειλία· τῷ ἐρωτῶντι
πότερον ἡ ἀνδρεία καὶ δειλία ἀγαθὸν ἢ κακόν, καὶ ἄμφω δοῦναι ἀληθὲς
καὶ οὐδέτερον· τὸ ἓν δὲ κατ' ἀμφοτέρων ἢ τὰ δύο καθ' ἑνὸς καταφῆσαι ἢ 20
20 ἀποφῆσαι ψεῦδος· οὐ γάρ ἐστιν ἑκατέρου ἑκάτερον, οὐδὲ ἡ ἀνδρεία τῇ
δειλίᾳ ταυτίζεται, ἵν' ἁπλοῦν ᾖ τὸ ἀγαθὸν ἢ κακὸν εἰσάπαξ καταφασκόμενον
ἢ ἀποφασκόμενον. νυνὶ δὲ τῷ ἕτερα εἶναι, ὡς περὶ ἑνὸς δὲ κατηγορεῖν
τὰ διάφορα τὸ ἄτοπον ἕπεται· τὸ γὰρ αὐτὸ ἀγαθὸν καὶ κακὸν γίνεται καὶ
αὖ οὔτ' ἀγαθὸν οὔτε κακὸν τῇ μεταμείψει τῶν κατηγορημάτων καὶ περι-
25 χωρήσει πρὸς ἄλληλα. ἔτι ἐπεὶ ἕκαστον | τῶν ὄντων αὐτὸ ἑαυτῷ ταὐτόν, 126
ἄλλου δὲ ἕτερον, ἡ ἀνδρεία αὐτὴ ἑαυτῇ ταὐτὸν οὖσα ἔσται καὶ ἕτερον
ἑαυτῆς, εἴπερ καὶ ἀγαθὸν καὶ κακὸν κατὰ τὴν ὑπόθεσιν, ταῦτα δὲ ἀλλήλων
ἕτερα. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ δειλίας. ἔτι εἰ τὸ μὲν ἀγαθὸν κακὸν
οὐ γίνεται σῶζον τὴν φύσιν, οὔτ' αὖ τὸ ἔμπαλιν, ἐνταῦθα δὲ τὸ κακὸν καὶ
30 ἀγαθόν ἐστι, δύο τὸ ἓν γένοιτ' ἄν· ἡ γὰρ δειλία κακὸν καὶ ἀγαθόν, τὸ μὲν
τῇ φύσει τὸ δὲ τῇ κατηγορίᾳ. καὶ ἐπ' ἀνδρείας ὁμοίως πλὴν ἀντικειμένως. 10
διπλᾶ γοῦν ἀνθ' ἁπλῶν ἀμφότερα ἔσται. ἔτι εἰ περὶ δύο μεγεθῶν ἀνίσων
ὁ λόγος εἴη, ἐρωτῷη δέ τις πότερον τὸ δίπηχυ καὶ τὸ τρίπηχυ ἴσα ἐστὶν
ἢ ἄνισα, τῷ ἁπλῶς δόντι τὸ τῆς ἀντιφάσεως ἕτερον συμβαίνει ἐξ ἀνάγκης
35 ψεύδεσθαι· ἴσα ⟨γὰρ⟩ ταυτὶ καὶ ἄνισα, τὸ μὲν ἑαυτοῖς τὸ δὲ πρὸς ἄλληλα.

Ἐμπεσοῦνται μέντοι τὰ εἰρημένα, εἴ τις προσβιβάζει, καὶ εἰς ἑτέρας λύσεις. ἕλξει γὰρ ἄν τις καὶ πρὸς τὴν ἀμφιβολίαν, καὶ κατὰ τὰς ἐκεῖ διορθώσεις ἐξετασθήσονται· τὸ γὰρ ἄμφω καὶ τὸ ἅπαντα ἴσως πλείω ση- 20
μαίνει. οὐκοῦν οὐδὲ ἐν τούτοις τὸ αὐτὸ συμβαίνει φῆσαι καὶ ἀποφῆσαι

---

5 οὐτέρῳ N 6 οὐδενί] sic libri 7 συμβαίη ἂν M: συμβαίοι ἂν N 8 ἀπατᾶν M
11 τόγε—οὐ om. MN 15 ἀνενδοιάστως MN πρόρρησιν MN 17. 18 ἀνδρία MN
23 τὸ δὲ M 34 τὸ ἁπλῶς L 35 γὰρ addidi 36 προβιβάζει M
30 οὐδὲ] δὲ L

πρᾶγμα, ἀλλὰ μόνον ὄνομα· τοῦτο δ' οὐκ ἦν ἔλεγχος. καὶ φανερὸν ὅτι 126
μὴ μιᾶς ἐρωτήσεως τῶν πλειόνων γινομένων ἀλλ' ἓν καθ' ἑνὸς φάντος ἢ
ἀποφάντος οὐκ ἔσται τι ἀδύνατον.

31. Καὶ τὰ μὲν περὶ τῶν ἐλέγχων πεπέρανται, καὶ περὶ τοῦ παρά-
δοξα λέγειν ἱκανῶς ἐν τοῖς | οἰκείοις εἴρηται τόποις· περὶ δὲ τῶν ἀπαγόν- 127
των εἰς τὸ τὸ αὐτὸ πολλάκις λέγειν, ὃ καὶ ἀδολεσχεῖν ἐκαλοῦμεν καὶ τρίτον
εἶδος τῆς σοφιστικῆς πραγματείας ἐτίθεμεν. φανερὸν ὅπως λυτέον. ἐπεὶ
γὰρ ὡς ἐπὶ πολὺ ἀπὸ τῶν πρός τι προὔβαινεν, οὐ δοτέον τῶν πρός τι
λεγομένων αὐτὸ καθ' αὑτὸ σημαίνειν τι ἐνεργείᾳ ἄνευ τοῦ συζύγου καὶ πρὸς
ὃ λέγεται. ὥσπερ εἴρηται. οὐδ' ὅλως τὰς κατηγορίας χωριζομένας καθ' αὑτάς·
τὸ μὲν γὰρ λέγειν διπλάσιον ἡμίσεος καὶ λέξει καὶ νοήματι τέλειον, τὸ δ' 10
ἁπλῶς διπλάσιον οὐδὲν σημαίνει. εἰ γὰρ καὶ ἐμφαίνεταί πως συνεπινοούμενον ἐν τῷ διπλασίῳ τὸ ἥμισυ, ἀλλ' οὖν οὐχ ὅμοιον τό τε κεῖσθαι ἐνεργείᾳ καὶ τὸ νοεῖσθαι δυνάμει. καὶ γὰρ τὰ δέκα ἐν τοῖς ἑνὸς δέουσι δέκα ἐμφαίνεται καὶ συνεπινοεῖται καὶ τὸ ποιῆσαι ἐν τῷ μὴ ποιῆσαι καὶ ὅλως ἐν τῇ ἀποφάσει ἡ φάσις· ἀλλ' ὅμως οὔτε τὰ ἐννέα δέκα ἢ ὅλως τὰ οὐ δέκα δέκα, ὥσπερ οὐδ' οὐκ ἄνθρωπος ἄνθρωπος, ἢ λευκὸν τὸ μὴ λευκόν, 20
κἄνπερ αἱ ἕξεις ἐν ταῖς στερήσεσι καὶ αἱ καταφάσεις ἐν ταῖς ἀποφάσεσιν· οὔτε τὸ διπλάσιον ἕξει καθάπαξ καὶ τὸ ἥμισυ, ὡς μηδὲν διαφέρειν προσκεῖσθαι ἢ ἐλλείπειν, ἀλλὰ διοίσει τῷ παντὶ καὶ τῷ ὅλῳ. οὐδὲν γὰρ ἴσως αὐτὸ καθ' αὑτὸ σημαίνει, ὥσπερ οὐδὲ τὸ ἥμισυ κεχωρισμένον. εἰ δ' ἄρα τι καὶ σημαίνει ἑκάτερον ἰδίως, ἀλλ' οὐ ταὐτόν, ὥσπερ ὅταν ᾖ συνημμένον· ὡς γὰρ ἡ ἐπιστήμη πρός τι οὖσα οὐ σημαίνεται ἐν τῷ | εἴδει μὴ προσ- 128
κειμένη. οἷον ἐν τῇ ἰατρικῇ (καίτοι τὰ γένη ἐν τοῖς εἴδεσιν εἶναι δοκεῖ),
τῷ τὴν μὲν τινὸς λέγεσθαι (τοῦ γὰρ ἐπιστητοῦ), τὰς δὲ κατὰ μέρος οὔ,
οὕτω τοι καὶ ὁ διπλάσιον εἰπὼν ἢ μεῖζον ἢ μέγα ἢ ἕτερόν τι τῶν πρός τι
οὐ λέγει καὶ τὸ ἀντικείμενον ἀποχρώντως. καὶ τὴν μὲν φαινομένην ἐκ
τῶν πρός τι ἀδολεσχίαν οὕτω λύσομεν· τὴν δὲ ἐφ' ὧν τὸ ὑποκείμενον εἰς
τὸν ὁρισμὸν τοῦ κατηγορουμένου λαμβάνεται, ὥσπερ λέγομεν σιμότης κοιλότης 10
ἐν ῥινί, τοῦτο λεκτέον ὡς οὐ τὸ αὐτὸ σημαίνει κἀνταῦθα χωρὶς λεγόμενον καὶ ἐν τῷ λόγῳ. τὸ γὰρ κοῖλον κοινῇ μὲν καὶ ἀδιορίστως οὐ μᾶλλον τὸ σιμὸν ἢ τὸ ῥαιβὸν δηλοῖ, προστιθέμενον δὲ τῇ ῥινὶ ἢ τῷ σκέλει οὐδὲν κωλύει ὡρισμένως τὸ σιμὸν σημαίνειν ἢ τὸ ῥαιβόν, καὶ διαφέρει οὐδὲν ῥὶς εἰπεῖν σιμὴ ἢ κοίλη. ἔτι οὐ δοτέον τὴν λέξιν κατ' εὐθύ· ψεῦδος γὰρ τῷ μὴ εἶναι τὸ σιμὸν ῥῖνα κοίλην, ἀλλὰ ῥινὸς τοδὶ οἷον πάθος, ὥστε οὐδὲν ἄτοπον εἰ ἡ ῥὶς σιμὴ ῥίς ἐστιν ἔχουσα κοιλότητα ῥινός· οὐ γὰρ δὶς τὸ 20
αὐτὸ κατὰ ταὐτὸ λέγει.

32. Περὶ δὲ τῶν σολοικισμῶν παρ' ὅ τι μὲν φαίνονται συμβαίνειν, εἴπομεν πρότερον· παρὰ γὰρ τὸ τόδε καὶ τοῦτο· ταῦτα γὰρ κἂν ἐπ' εὐθείας

---

2 μὴ om. pr. N post μιᾶς add. ὑποθέσεως μᾶλλον rursusque expungit N 2. 3 ἢ ἀποφάντος om. M 6 alterum τὸ om. L 7. 8 ἐπεὶ δὲ M 10 ὅλος N
11 μὲν om. MN 13 τῷ ἥμισυ L ἀλλ' οὐ N 15 ἐν (ante τῇ) om. MN
17 ante οὐκ add. ὁ N 19 καθάπαξ scripsi: καθάπερ libri 25 τὴν] τὰς MN
28 λύσωμεν M 37 λέγειν N

καὶ αἰτιατικῆς ὁμοίως ληφθείη. ὡς δὲ λυτέον, ἐπ' αὐτῶν τῶν λόγων ἔσται 128
φανερόν. ἅπαντες γὰρ οἱ τοιοῦδε λόγοι τοῦτο βούλονται κατασκευάζειν·
εὐθεῖαν γὰρ ἐν ταῖς προτάσεσι δόντες αἰτιατικὴν ἐπάγουσιν ἐν τῷ συμπε-
ράσματι ἢ τὸ ἀνάπαλιν, καὶ πρὸς τὸ λαθεῖν ὡς κἀν τοῖς | ἄλλοις τῇ 129
5 μεταξυλογίᾳ χρῶνται. οἷον 'πότερον ὃ λέγεις ἀληθῶς, καὶ ἔστι τοῦτο ἀλη-
θῶς;' ναί. 'φῆς δὲ εἶναί τι λίθον· ἔστιν ἄρα λίθον.' ἢ τὸ λέγειν λίθον
οὐκ ἔστι λέγειν ὃ καὶ ἐπ' εὐθείας, ἀλλ' ὄν, οὐδὲ τοῦτο οὐδετέρως ἀλλὰ
τοῦτον ἀρρενικῶς. εἰ δὲ μὴ διὰ μακροῦ τὴν ἀπόδοσιν ἐποιεῖτο, ἀλλ' ἐκ
τοῦ σύνεγγυς, οὐκ ἂν ἔλαθε σολοικίσας, οἷον εἰ οὕτως ἤρετο 'ἆρ' ὅπερ
10 ἀληθῶς λέγεις, ἔστι τοῦτον;' οὐκ ἄν τις ἔδωκε διὰ τὸ εὐφώρατον· πρόδηλον 10
γὰρ ὡς οὐχ ἑλληνίζει οὕτω λέγων. ὥσπερ κἂν εἴ τις ἔροιτο 'ἆρ' ἣν λέγεις
εἶναι, φύσιν τυχόν, ἔστιν οὗτος; ξύλον δέ ἐστιν οὗτος· ἔστιν ἄρα ξύλον
ταύτην.' καταφανὴς γὰρ ὁ σολοικισμὸς ἐνταῦθα τῇ τε ἐγγύτητι καὶ τῇ τῶν
γενῶν ὑπαλλαγῇ καὶ τῶν πτώσεων· ὤφειλε γὰρ εἰπεῖν 'ἔστιν ἄρα ξύλον
15 αὕτη.' ἐπὶ μὲν οὖν τῶν ἀρσενικῶν καὶ θηλυκῶν πάμπολυ διέστηκε τὸ ὃ
τοῦ αὕτη ἢ οὗτος, ὁμοίως δὲ καὶ τὸ τοῦτο· ἐπὶ δὲ τῶν οὐδετέρων καὶ ὅσα
μήτε θῆλυ μήτε ἄρρεν σημαίνει, οὐδὲν διαφέρει. διὸ καὶ οὐ γίνεται σολοι- 20
κισμὸς ἐνταῦθα διὰ τὸ ὁμοίως ἐπ' εὐθείας καὶ αἰτιατικῆς ἐκφέρεσθαι· οἷον
εἰ ἔροιτό τις 'ἆρ' ὃ λέγεις εἶναι ἔστι τοῦτο;' ναί. 'ξύλον δὲ λέγεις εἶναι·
20 ἔστιν ἄρα ξύλον' οὐδὲν ἀπαντήσει δυσχερές. καὶ αὖθις 'ἆρ' οὗτός ἐστιν
αὕτη;' (ἤγουν ἡ φαινομένη θεὰ ὅδε ἐστίν.) ναί. 'τί δέ; οὐχ οὗτός ἐστι
Κορίσκος;' εἶτα συμπεραίνει 'ἄρα οὗτος αὕτη'· οὐ συλλελόγισται τὸν σολοι-
κισμόν· ἄμφω γὰρ εὐθεῖαι. οὐδ' εἰ τὸ Κορίσκος σημαίνει ὅπερ αὕτη, 130
μὴ δίδωσι δὲ ἀποκρινόμενος, οὐ συλλελόγισται τὸν σολοικισμόν, ἀλλὰ δεῖ
25 ἐρωτῆσαι τὸν ἀποκρινόμενον· καὶ εἰ δίδωσι, οὐ λέγεται δέ, γίνεται μὲν
σολοικισμός, ἀλλ' οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὸν ἀποκρινόμενον· εἰ δὲ μήτ'
ἐστὶ μήτε δίδωσιν, οὐ συλλελόγισται οὔτε τῷ ὄντι οὔτε πρὸς τὸν ἐρωτώ-
μενον. ὁμοίως οὖν δοκεῖ κἀκεῖ προσερωτηθῆναι, εἰ δίδωσι τὸν λίθον ση-
μαίνειν οὗτος. εἰ δ' οὖν, οὐ λεκτέον τὸ συμπέρασμα, ὡς ἄρα οὗτός ἐστι 10
30 λίθον. φαίνεται μέντοι τὸ 'οὗτος ἄρα αὕτη' μὴ σολοικισμὸς εἶναι διὰ τὸ
τὴν ἀνόμοιον τῷ γένει πτῶσιν τοῦ ὀνόματος ὁμοίαν φαίνεσθαι· ἄμφω γὰρ
εὐθεῖαι. ὅμοια τοῖς εἰρημένοις κἀκεῖνά ἐστιν 'ἆρα ἀληθὲς εἰπεῖν ὅτι ἔστιν
αὕτη, ὅπερ εἶναι φῆς αὐτήν; εἶναι δὲ φῆς ἀσπίδα· ἔστιν ἄρα αὕτη ἀσπίδα.'
ἢ οὐκ ἀνάγκη οὕτω. εἰ μὴ ὁ ἐρωτώμενος τὸ αὕτη ἀσπίδα σημαίνειν, ἀλλὰ
35 μὴ ἀσπὶς δέδωκεν. πάλιν 'ἆρ' ὃ φῆς εἶναι τοῦτον, ἔστιν οὗτος; φῆς δὲ 20
εἶναι Κλέωνα· ἔστιν ἄρα οὗτος Κλέωνα.' οὐδὲ τοῦτο καλῶς· εἴρηκα γὰρ
'ὅ φημι εἶναι τοῦτον, ἔστιν οὗτος', ἀλλ' οὐ τοῦτον· οὐ γὰρ ἐξελληνίζει οὕτω
τὸ ἐρώτημα λεχθέν 'ἔστι τοῦτον'. ἔτι 'πότερον ἐπίστασαι τοῦτο; τοῦτο δέ
ἐστι λίθος· ἐπίστασαι ἄρα λίθος.' ἢ ἐν μὲν τῷ πρώτῳ τοῦτον, ἐν δὲ τῷ

---

6 ἢ τὸν N 7 λέγειν ὃ] ὅς MN 10 ἔστι τοῦτ' M 12 ἔστιν οὗτος] αὕτη superscr. L 15 ἐπὶ] ἐπεὶ N θυλικῶν N 19 ναί om. MN 22 συμπεραινεῖ MN 25 οὐ λέγεται δέ marg. L Alex. f. 59: om. MN 35 εἶναι τοῦτο M 36 οὗτος om. MN 37 οὐ γὰρ] οὐδὲ MN

ὑστέρῳ οὗτος ἐκδέδοται. πάλιν 'ἆρ' οὗ ἐπιστήμην ἔχεις, ἐπίστασαι τοῦτο; 130
ἐπιστήμην δὲ ἔχεις λίθου, ἐπίστασαι ἄρα λίθου.' | ἢ τὸ μὲν οὗ λίθου λέγει, 131
τὸ δὲ τοῦτο λίθον· ἐδόθη δ' οὗ ἐπιστήμην ἔχεις, ἐπίστασαι οὐ τούτου
ἀλλὰ * * τοῦτον· ὥστε οὐ τοῦ λίθου ἀλλὰ τὸν λίθον.

Ὅτι μὲν οὖν οἱ τοιοῦτοι τῶν λόγων οὐ συλλογίζονται σολοικισμόν, ἀλλὰ φαίνονται, καὶ διὰ τί φαίνονται καὶ πῶς ἀπαντητέον πρὸς αὐτούς, φανερὸν ἐκ τῶν εἰρημένων· ἣν γὰρ ἐν τοῖς κατὰ μέρος σολοικοφανέσι λύσιν ἐπήγομεν, ταύτῃ καὶ κοινῶς χρῆσθαι παρεγγυώμεθα.

33. Δεῖ δὲ κατανοεῖν ὅτι πάντων τῶν σοφιστικῶν λόγων οἱ μέν εἰσι ῥᾴους κατιδεῖν παρά τί καὶ ἐν τίνι εἴδει τῶν παραδεδομένων τρόπων παραλογίζονται τὸν ἀκούοντα, οἱ δὲ χαλεπώτεροι τοῦτο μαθεῖν, καὶ ταῦτα πολλάκις ὄντες οἱ αὐτοὶ ἐκείνοις. τὸ γὰρ παρὰ τὸ αὐτὸ εἶδος τυχὸν τῆς ὁμωνυμίας τοὺς μὲν εὐχερὲς καὶ φωρᾶσαι καὶ λῦσαι τοὺς δὲ οὔ. καλοῦμεν δὲ λόγους τοὺς αὐτοὺς τοὺς ὑφ' ἓν εἶδος πίπτοντας. ἔτι ὁ αὐτὸς λόγος τοῖς μὲν ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι, τοῖς δὲ ἐν τοῖς ἐκτός, ἄλλοις δὲ παρ' ἕτερόν τι δόξειεν εἶναι, τῷ μὴ τὸ συμπέρασμα ὁμοίως εἶναι δῆλον. ὥσπερ οὖν ἐν τοῖς παρὰ τὴν ὁμωνυμίαν τὰ μὲν καὶ τοῖς τυχοῦσίν ἐστι δῆλα, τὰ δὲ καὶ τοὺς ἐμπειροτέρους διαλανθάνει, καὶ ἐν τούτοις. ἐκεῖ γὰρ οἱ λόγοι σχεδὸν οἱ γελοῖοι πάντες εἰσὶ παρὰ τὴν λέξιν, οἷον 'ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον·' ὁμώνυμον γὰρ τὸ ἐφέρε|το ἢ ὅτι ἐκομίζετο ἐπὶ 132
δίφρον ἢ ὅτι ἅρμα ἤλαυνεν. ἄγεται δὲ τοῦτο καὶ πρὸς τὴν ὁμοιοσχημοσύνην, τισὶ δὲ καὶ πρὸς τὴν ἀμφιβολίαν. καὶ πάλιν 'ὅπου στέλλεσθε; πρὸς τὴν κεραίαν.' τὸ δὲ στέλλεσθαι πέμπεσθαί ἐστι· πρὸς τὴν κεραίαν ἄρα πέμπεσθε. διττὸν γὰρ τὸ στέλλεσθαι τό τε πέμπεσθαι καὶ τὸ συνάγειν τό ἱστίον χαλώμενον ἐπὶ τὴν κεραίαν. πάλιν 'ποτέρα τῶν βοῶν ἔμπροσθεν τέξεται; οὐδετέρα, ἀλλ' ὄπισθεν ἄμφω.' καὶ 'καθαρὸς ὁ βορέας; οὐ δῆτα· ἀπέκτεινε γὰρ τὸν πτωχὸν καὶ τὸν ὠνούμενον.' τό τε γὰρ ἔμπροσθεν καὶ ἐπὶ τοῦ χρόνου καὶ ἐπὶ τοῦ μέρους τοῦ σώματος λέγεται, καὶ καθαρὸν τόν τε ὑγιεινὸν καὶ τὸν ἀμόλυντον λέγομεν. καὶ 'ἆρ' Εὔαρχος οὗτος; οὐ δῆτα, ἀλλ' Ἀπολλωνίδης·' τόν τε γὰρ εὖ ἄρχοντα εὔαρχον ἔλεγον καὶ τὸν Ἀπολλωνίδην. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἄλλων σχεδὸν οἱ πλεῖστοι. σημεῖον δὲ τούτων καὶ ὡς λανθάνουσι καὶ τοὺς ἐπιστήμονας τῶν παρὰ τὴν ὁμωνυμίαν τινές, ὅτι μάχονται πολλάκις περὶ τῶν ὀνομάτων, οἷον πότερον ταὐτὸ σημαίνει κατὰ πάντων τὸ ὂν καὶ τὸ ἓν ἢ ἕτερον. τοῖς μὲν γὰρ δοκεῖ ταὐτὸ σημαίνειν ἄμφω, οἱ δὲ τὸν Ζήνωνος λόγον καὶ Παρμενίδου λύουσι διὰ τὸ πολλαχῶς φάναι τὸ ὂν λέγεσθαι καὶ τὸ ἕν. οὐ μόνον οὖν ἐπὶ τῶν ὁμωνύμων τοῦτο συμβαίνει, ὡς εἴρηται, ἀλλὰ καὶ ἐφ' ἑκάστου τῶν ἄλλων· οἱ μὲν γὰρ ἔσονται ῥᾴους ἰδεῖν οἱ δὲ χαλεπώτεροι τῶν λόγων, καὶ λαβεῖν

---

2 ἔχεις λίθον M ἄρα λίθον LM ἢ] ἢ L 4 lacunam indicavi: ἀλλὰ τοῦτο, τὸ δὲ τοῦτο ὡς ἴσον τῷ τοῦτον δέδοται Alex. f. 59 10 παραδομένων N 11 μαθεῖν τοῦτο libri: ποθεῖν libri 14 τοιούτοις libri 18 διαλανθάνειν N 20 ὁμώνυμον—δίφρον (21) om. N ἐπὶ] ἐπὶ τοῦ ὤμου Alex. f. 59 23 ἄρα om. M 28 τοῦ μέρους L, cf. Alex. f. 59: om. MN 35 σημαίνει N 36 ἓν—ὂν MN

ἐν τίνι γένει καὶ πότερον ἔλεγχος ἢ οὐκ ἔλεγχος οὐ ῥᾴδιον εἰπεῖν, καὶ περὶ 132
πάντων οὕτω.

Ἔστι δὲ δριμὺς λόγος ὅστις ἀπορεῖν ποιεῖ μάλιστα· δάκνει γὰρ οὗτος 133
μάλιστα καὶ θορυβεῖ, ὡς τὰ ἐπιχειρήματα τό τε πέμπτον καὶ τέταρτον τοῦ
5 ἐν τῷ Περὶ ἑρμηνείας τελευταίου τμήματος καὶ ὁ ἐν τοῖς Φυσικοῖς τὸν
χρόνον ἀναιρῶν λόγος δριμύτατος τῷ δεικνύειν μηδὲν τῶν μερῶν αὐτοῦ
μένειν· τὸ μὲν γάρ, φησί, παρῴχηκε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει καὶ
οὔπω, τὸ δὲ νῦν ἀμερές· ὥστ' εἰ μὴ τῶν μερῶν τι, οὐδὲ τὸ ὅλον.
ἀπορία δέ ἐστι διττή. ἡ μὲν ἐν τοῖς διαλεκτικοῖς, ὅτε ἀποροῦμεν, ποίαν 10
10 τῶν προτάσεων ἀναιρετέον, ὡς καὶ τὸ συναχθὲν συναναιρῆσαι ψεῦδος,
καὶ εἰ ἀμφοτέρας, εἴπερ ἐπ' ἴσης ἔνδοξοι· ἡ δὲ ἐν τοῖς ἐριστικοῖς,
πῶς εἴποι τις τὸ προταθὲν καὶ ὅπως φυλάξεται τὸν ὀχλοῦντα σοφιστήν.
παράδειγμα τοῦ μὲν προτέρου 'τὸ βιβλίον διδάσκει, τὸ διδάσκον ἔμψυχον·
τὸ βιβλίον ἄρα ἔμψυχον.' πάλιν 'εἰ μηδεὶς τοῖχος ἀναπνεῖ ὅτι μὴ ζῶον,
15 κἂν εἴ τι ζῶον, ἀναπνεῖ.' ἀλλὰ μὴν μύρμηκες καὶ μέλιτται καὶ τὰ ἕτερα 20
ἔντομα καὶ ζῶα καὶ οὐκ ἀναπνεῖ. οὐκ ἄρα ὁ τοῖχος ὅτι οὐ ζῶον οὐκ
ἀναπνεῖ, ἀλλ' ὅτι οὐκ ἔχει πνεύμονα· τοῦτο γὰρ ἐγγύτερον. τοῦ δὲ δευ-
τέρου. ὡς εἴ τις ἐρωτῴη 'ὅσα τις μὴ ἔχει ἔχων πρότερον, ἆρα ἀποβέβληκε
τοσαῦτα;' πῶς οὖν ἄν τις ἐνταῦθα ἀποκριθῇ καὶ μὴ ἐλεγχθῇ, ἔχει ἀπορίαν.
20 ὅθεν ἐν τοῖς διαλεκτικοῖς οἱ δριμύτεροι λόγοι μᾶλλον ζητεῖν ποιοῦσιν. ὡς
ἂν δὲ περὶ | αὐτῶν σαφέστερον εἴποιμεν. ἔστι διαλεκτικὸς λόγος δριμύτατος 134
πρῶτος μὲν ὃς ἂν ἐξ ὅτι μάλιστα δοκούντων ὅτι μάλιστα ἔνδοξον ἀναιρῇ.
εἷς γὰρ ὢν ὁ τὴν ἀντίφασιν συνάγων συλλογισμὸς καὶ τὸ μὴ ἀγαθὸν ἀγαθὸν
λέγων μετατιθεμένης τῆς ἀντιφάσεως ἅπαντας ὁμοίους ἕξει τοὺς συλλογι-
25 σμούς· ἀεὶ γὰρ ἐξ ἐνδόξων ὁμοίως ἔνδοξον ἀναιρήσει ἢ κατασκευάσει, διόπερ
ἀπορεῖν ἀναγκαῖον. μάλιστα μὲν οὖν ὁ τοιοῦτος δριμύτατος ὡς ἐξ ἴσου τὸ 10
συμπέρασμα ποιῶν τοῖς ἐρωτήμασιν κατὰ τὴν δόξαν καὶ δυσφορώτατος, ὡς
ὁ τοῦ Καλλικλέους ἐν τῷ Γοργίᾳ μᾶλλον τὴν ἀδικίαν τῆς δικαιοσύνης
αἱρετωτέραν τιθέμενος τῷ τὴν μὲν φύσει εἶναι καὶ πρεσβυτέραν καὶ παρὰ
30 τοῖς ἀλόγοις τὸ γενναῖον αὐτῆς ἐκλάμπειν, τὴν δὲ ὑστέραν τὴν δικαιοσύνην
καὶ θέσει· θέσις γὰρ ὁ νόμος. καὶ ὁ ἐν τῷ Φαίδωνι τὴν ψυχὴν κατα-
σκευάζων ἀθάνατον διὰ τὴν παλιγγενεσίαν καὶ τὸ ἐκ τῶν νεκρῶν τοὺς ζῶντας
γίνεσθαι, τὸ δὲ ὅτι τὰ ἐναντία ἐκ τῶν ἐναντίων. δεύτερος δὲ ὁ ἐκ προτά- 20
σεων μὲν ὁμοίως ἐνδόξων, τὸ μέντοι συμπέρασμα ἔχων ἐνδοξότερον, ὃ δὴ
35 καὶ ἀπαγωγὴν ἐκαλοῦμεν, ὡς ἡ ἀρετὴ διδακτόν, εἴπερ καὶ ἐπιστήμη. οὗτος
γοῦν ὁμοίως ποιήσει ἀπορεῖν, ὁποῖον τῶν ἐρωτημάτων ἀναιρετέον. τοῦτο
δὲ τῶν ἄλλων χαλεπόν. ὅτι μὲν γὰρ ἀναιρετέον, δῆλον· ὁπότερον δέ,

4 τὸ τέταρτον καὶ ἕκτον ἐπιχείρημα Alex. f. 60, cf. Arist. de Interpr. 14 p. 23b25 sqq., Ammon. de Interpr. f. 210v sqq. τό τε πέμπτον καὶ τέταρτον post τμήματος transponunt MN 5 ἐν τοῖς Φυσικοῖς Phys. Δ 10 8 οὔπω ἔστιν Phys. p. 217b34 εἰ μὴ τῶν] εἰπὼν M 13. 14 βυβλίον MN 14 ἄρα om. L καὶ πάλιν MN 16 οὐ om. MN 19 ἀποκριθῇ ex ἀποκριθείη corr. L 21 εἴπομεν M 28 τοῦ] τοὺς N ἐν τῷ Γοργίᾳ] c. 38 sqq., cf. p. 35,20 sqq. 31 θέσει γὰρ MN ἐν τῷ Φαίδωνι] cap. 15 35 ἀπαγωγὴν] παραγωγὴν Alex. f. 60

εὑρεῖν οὐκ εὔπορον. πλῆρες δὲ τῶν τοιού|των συλλογισμῶν τὸ δεύτερον 135
τῶν Μετὰ τὰ φυσικά. τῶν δὲ ἐριστικῶν δριμύτατος μὲν ὁ πρῶτον εὐθὺς
ἄδηλος, πότερον συλλελόγισται ἢ οὔ, ὡς ὁ Παρμενίδειος (τὸ γὰρ εἶναι τὸ
ὂν ἓν οὐκ ἐκ τῶν κειμένων, ἀλλ' ἔτι προσδεῖται ἔξωθεν, οἷον τὸ παρὰ τὸ
5 ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν· τὸ γὰρ † οὐδὲν ἓν παρῆκεν
εἰπεῖν)· καὶ ἔτι πότερον παρὰ τὸ τὸ ψευδὲς ἀναιρῆσαι συμπέρασμα ἡ λύσις
ἐστὶν ἢ παρὰ τὸ μίαν τῶν προτάσεων. δεύτερος δὲ ὁ δῆλος μὲν ὅτι παρὰ 10
τὴν τῆς προτάσεως ἀναίρεσιν ἡ λύσις ἐστίν, μὴ φανερὸς δ' ὤν, διὰ τίνος
ἀναίρεσιν τῶν ἠρωτημένων λυτέος ἐστίν.

10 Ἐνίοτε μὲν οὖν ὁ μὴ συλλογισθεὶς λόγος εὐήθης ἐστίν, ἐὰν ᾖ λίαν
ἄδοξα ἢ ψευδῆ τὰ λήμματα· ἐνίοτε δ' οὐκ ἄξιος καταφρονεῖσθαι. ὅταν
μὲν γὰρ ἐλλείπῃ τι τῶν τοιούτων ἐρωτημάτων, περὶ οὗ ὁ λόγος, καὶ μὴ
πάσας τὰς κατασκευαστικὰς προτάσεις ἔχῃ μηδὲ πλῆρες συλλογισάμενος, 20
εὐήθης ἐστὶν ὁ συλλογισμός· ὅταν δὲ τῶν ἔξωθεν, οὐκ εὐκαταφρόνητος
15 οὐδαμῶς, ἀλλ' ὁ μὲν λόγος ἐπιεικής, ὁ δὲ ἐρωτῶν ἠρώτησεν οὐ καλῶς.

Ἔστι τε, ὥσπερ λύειν ὁτὲ μὲν πρὸς τὸν λόγον ὁτὲ δὲ πρὸς τὸν ἐρω-
τῶντα καὶ τὴν ἐρώτησιν ὁτὲ δὲ πρὸς οὐδέτερον τούτων, ὁμοίως καὶ ἐρωτᾶν
ἔστι καὶ συλλογίζεσθαι καὶ πρὸς τὴν θέσιν καὶ πρὸς τὸν ἀποκρινόμενον καὶ
πρὸς τὸν χρόνον παραιτούμενον, ὅταν ᾖ πλείονος δεομένη ἡ λύσις χρόνου
20 ἢ τοῦ παρόντος. | 30

34. Ἐκ πόσων μὲν οὖν καὶ ποίων γίνονται τοῖς διαλεγομένοις οἱ 136
παραλογισμοί, καὶ πῶς δείξομεν ψευδόμενόν τε καὶ παράδοξα λέγειν ποιή-
σομεν, ἔτι δὲ πρὸ τούτων ἐκ τίνων συμβαίνει ὁ διαλεκτικὸς συλλογισμὸς
καὶ πῶς ἐρωτητέον καὶ τίς ἡ τάξις τῶν ἐρωτημάτων, ἔτι δὲ πρὸς τί χρή-
25 σιμοι πάντες εἰσὶν οἱ τοιοῦτοι λόγοι, καὶ ὡς οἱ μὲν διαλεκτικοὶ πρὸς 10
εὕρεσιν τῆς ἀληθείας, οἱ δὲ σοφιστικοὶ πρὸς τὸ μὴ ἀπατᾶσθαι, καὶ περὶ
ἀποκρίσεως ἁπλῶς τε πάσης καὶ πῶς λυτέον τοὺς λόγους καὶ τοὺς συλλο-
γισμούς, εἰρήσθω περὶ ἁπάντων ἡμῖν ταῦτα. λοιπὸν δὲ περὶ τῆς ἐξ ἀρχῆς
προθέσεως ἀναμνήσασιν εἰπεῖν τι βραχὺ περὶ αὐτῆς καὶ τέλος ἐπιθεῖναι
30 τοῖς εἰρημένοις.

Προειλόμεθα οὖν δύναμίν τινα εὑρεῖν συλλογιστικὴν περὶ τοῦ προβλη-
θέντος ἐκ τῶν ὑπαρχόντων ὡς ἐνδοξοτάτων· τοῦτο γὰρ ἔργον τῆς δια-
λεκτικῆς καθ' αὑτὴν καὶ πειραστικῆς. ἐπεὶ δὲ προκατασκευάζεται πρὸς 20
αὐτὴν ἡ πειραστικὴ διὰ τὴν τῆς σοφιστικῆς γειτνίασιν, ὡς οὐ μόνον πεῖραν
35 δύναται λαβεῖν διαλεκτικῶς ἀλλὰ καὶ ὡς εἰδώς, διὰ τοῦτο οὐ μόνον τὸ
λεχθὲν ἔργον ὑπεθέμεθα τῆς πραγματείας, τὸ λόγον δύνασθαι λαβεῖν, ἀλλὰ
καὶ ὅπως λόγον ὑπέχοντες καὶ ἐρωτώμενοι ὄντες φυλάξωμεν τὴν θέσιν ὡς
δι' ἐνδοξοτάτων. τὴν δὲ αἰτίαν εἰρήκαμεν τούτων· ὁ | γὰρ διαλεκτικὸς 137
ὥσπερ μὴ εἰδὼς ἐρωτᾷ. διὰ τοῦτο Σωκράτης διαλεκτικὸς ἄκρος ὢν

5 fort. οὐδὲν τὸ μὴ ἓν 6 παρὰ τὸ τὸ scripsi: τὸ παρὰ τὸ libri ψεῦδος MN
13 post πλῆρες add. ᾖ MN 16 ἔστι δὲ M 33 πειραστικῆς—ἡ (34) om. N
προκατασκευάζεται LM Alex. f. 61: προσκατασκευάζεται N Aristoteles 34 πειραστικὴ
ex πειραστικῆς corr. N 39 ἄκρως M

ἠρώτα, ἀλλ' οὐκ ἀπεκρίνατο· ὡμολόγει γὰρ οὐκ εἰδέναι. ὁ μέντοι σοφι- 137
στικὸς πάντα εἰδέναι ἐπαγγέλλεται πάντως καὶ ἃ δήποθεν ἐρωτᾷ. οὐ
προηγουμένως οὖν τῆς διαλεκτικῆς ἔργον περὶ ἀποκρίσεως πραγματεύεσθαι,
ἀλλ' ἢ διὰ τὴν τῆς σοφιστικῆς γειτνίασιν. δεδήλωται δὲ ἐν τοῖς πρότερον
5 καὶ πρὸς πόσα καὶ ἐκ πόσων τοῦτο ὅστι (τέσσαρα γὰρ τὰ προβλήματα). 10
καὶ πόθεν εὐπορήσομεν τούτων (οἱ δὲ ἦσαν οἱ τόποι οὓς ἐκδεδώκαμεν).
ἔτι δὲ πῶς ἐρωτητέον ἢ τακτέον τὴν ἐρώτησιν πᾶσαν καὶ περί τε ἀπο-
κρίσεων καὶ λύσεων τῶν πρὸς τοὺς συλλογισμούς. δεδήλωται δὲ καὶ περὶ
τῶν ἄλλων, ὅσα τῆς αὐτῆς μεθόδου τῶν λόγων ἐστί. πρὸς δὲ τούτοις
10 περὶ τῶν παραλογισμῶν διεληλύθαμεν, ὡς ἤδη εἰρήκαμεν. ὅτι μὲν οὖν
ἔχει τέλος ἱκανῶς ἃ προειλόμεθα, φανερόν· δεῖ δὲ ὑμᾶς μὴ λεληθέναι τὸ
συμβεβηκὸς περὶ ταύτην τὴν πραγματείαν. τῶν γὰρ εὑρισκομένων ἁπάντων 20
τὰ μὲν παρ' ἑτέρων ληφθέντα πρότερον πεπονημένα κατὰ μέρος ἐπιδέδωκεν
ὑπὸ τῶν παραλαβόντων ὕστερον· τὰ δὲ ἐξ ἀρχῆς εὑρισκόμενα μικρὰν τὸ
15 πρῶτον ἐπίδοσιν λαμβάνειν εἴωθεν, χρησιμωτέραν μέντοι πολλῷ τῆς ὕστερον
ἐκ τούτων αὐξήσεως. μέγιστον γὰρ ἴσως ἀρχὴ παντός, ὥσπερ καὶ λέγεται·
διὸ καὶ χαλεπώτατον. ὅσον γὰρ κράτιστον τῇ δυνάμει, τοσοῦτον μικρὸν
ὂν τῷ μεγέθει χαλεπόν ἐστιν ὀφθῆναι. ταύτης δ' εὑρημένης ῥᾷον προστι- 30
θέναι καὶ συναύξειν τὸ λοιπόν ἐστιν· ὅπερ καὶ περὶ τοὺς ῥητορικοὺς λό- 138
20 γους συμβέβηκε, σχεδὸν δὲ καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας. οἱ μὲν
γὰρ τὰς ἀρχὰς εὑρόντες παντελῶς ἐς μικρόν τι προήγαγον· οἱ δὲ νῦν
εὐδοκιμοῦντες παραλαβόντες παρὰ πολλῶν οἷον ἐκ διαδοχῆς κατὰ μέρος
προσαγόντων οὕτως ηὐξήκασι, Τισίας μὲν μετὰ τοὺς πρώτους, Θρασύμαχος
δὲ μετὰ Τισίαν, Θεόδωρος δὲ μετὰ τοῦτον, καὶ πολλοὶ πολλὰ συνενηνόχασι
25 μέρη· διόπερ οὐδὲν θαυμαστὸν πλῆθός τι ἔχειν τὴν τέχνην. ταύτης δὲ 10
τῆς ὅλης λογικῆς πραγματείας οὐ τὸ μὲν ἦν τὸ δ' οὐκ ἦν προεξειργασμένον.
ἀλλ' οὐδὲν παντελῶς ὑπῆρχεν. καὶ γὰρ τῶν περὶ τοὺς ἐριστικοὺς λόγους
μισθαρνούντων ὁμοία τις ἦν ἡ παίδευσις τῇ Γοργίου πραγματείᾳ· λόγους
γὰρ οἱ μὲν ῥητορικοὺς οἱ δὲ ἐρωτηματικοὺς ἐδίδασκον ἐκμανθάνειν, εἰς οὓς
30 πλειστάκις ᾠήθησαν ἑκάτεροι τοὺς ἀλλήλων ἐμπίπτειν λόγους. διόπερ ταχεῖα μὲν ἄτεχνος δ' ἦν ἡ διδασκαλία τοῖς μανθάνουσι παρ' αὐτῶν· οὐ 20
γὰρ τέχνην ἀλλὰ τὰ ἀπὸ τῆς τέχνης διδόντες παιδεύειν ὑπελάμβανον,
ὥσπερ ἄν τις ἐπιστήμην φάσκων παραδώσειν ἐπὶ τῷ μηδὲν πονεῖν τοὺς
πόδας εἶτα σκυτοτομικὴν μὲν μὴ διδάσκῃ μηδ' ὅθεν δυνήσεται πορίζεσθαι
35 τὰ τοιαῦτα, δοίη δὲ πολλὰ γένη παντοδαπῶν ὑποδημάτων. οὗτος βεβοή-
θηκε μὲν πρὸς τὴν χρείαν, τέχνην δὲ οὐ παρέδωκε. καὶ περὶ μὲν | τῶν 139
ῥητορικῶν ὑπῆρχε πολλὰ καὶ παλαιὰ τὰ λεγόμενα, περὶ δὲ τοῦ συλλογίζεσθαι
παντελῶς οὐδὲν εἴχομεν πρότερον ἄλλο λέγειν ἀλλ' ἢ τριβῇ ζητοῦντες πολὺν
χρόνον ἐπονοῦμεν. εἰ δὲ φαίνεται θεασαμένοις ὑμῖν ὡς ἐκ τοιούτων ἐξ

1 ἀπεκρίνετο MN 3 προηγουμένους N περὶ om. N 11 ἡμᾶς MN
17 διὸ καὶ] καὶ διὰ τοῦτο MN 23 προσαγόντων] sic libri, idemque legisse videtur Alex.: προαγόντων Spengel, cf. vs. 21 39 εἰ δὲ—ὑμῖν om. M ἡμῖν N

ἀρχῆς ὑπαρχόντων ἔχειν ἡ μέθοδος ἱκανῶς παρὰ τὰς ἄλλας πραγματείας 139
τὰς ἐκ παραδόσεως ηὐξημένας, λοιπὸν ἂν εἴη πάντων ὑμῶν ἢ τῶν ἀκροω-
μένων ἔργον τοῖς μὲν παραλελειμμένοις τῆς μεθόδου συγγνώμην τοῖς δ' 10
εὑρημένοις πολλὴν ἔχειν χάριν.

---

2 ηὐξαμένας N ἡμῶν MN 3 τῆς ex τοῖς corr. N

INDICES

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis.

Ἄγειν κύκλους 22,22 σοφίσματα 10,29
ἀγένητος 60,31
*ἀγεωμετρήτως 29,35
ἄγνοια τοῦ ἀληθοῦς ἐλέγχου 17,29 18,20 10,15 13,18 19,5. 9. 18 20,8. 13 27,12
ἄγνος 21,1
ἁγνός 21,1
ἀγωγή. ἀγωγαὶ αἱ τῶν σοφισμάτων 6,6 sq. 32 7,20 9,15 50,5 57,8
ἀγωνία 30,15
ἀγωνίζεσθαι 20,27 23,9
ἀγωνιστικός. ἀ. λόγοι 38,1 coni. ἐριστικοί, σοφιστικοί 4,29 38,29 44,35 sq. ἀ. διατριβαί 41,12
ἄδειν τὸν λόγον 8,16
ἀδιαίρετος 49,36 — ἀδιαιρέτως 45,29
ἀδιάφορος 55,38
ἀδιεξίτητος 33,16 56,24
ἀδικία 17,10 30,15 35,21 65,28
ἀδικομαχία 30,16
ἀδιόριστος 55,17 — ἀδιορίστως 62,31
ἀδολεσχεῖν 5,1. 11 36,2 sqq. 9. 33 37,1 sq. τὸ ἀδολεσχεῖν τί ἐστι 5,2 36,3 πῶς λυτέον 62,6 sqq.
ἀδολεσχία 36,5 62,28
ἄδοξος. ἄδοξον 33,3. 9. 20. 34 34,34. 38 35,28. 34 sq. 39,38 45,7 66,11 εἰς ἄδοξον ἄγειν 32,29 33,9. 20
ἀδύνατος coni. ἄτοπος 1,22 24,19 εἰς τὸ ἀδύνατον ἀπάγειν 23,22 ἡ εἰς τὸ ἀδύνατον (ἀδυνάτου) ἀπαγωγή 1,19 24,12 ἀπόδειξις εἰς ἀ. 2,1 οἱ εἰς τὸ ἀ. συλλογισμοί 16,4
ἀεικίνητος 46,30
ἀετὸς κυρίως σημαίνει πλείω 7,2 sq. 26,16
ἀθάνατος 14,2 sq. 19 46,15. 31 60,17 65,31
ἀθόρυβος 15,19
ἄθροισμα 54,21
αἵρεσις. αἱρέσεις *scholae philosophorum* 34, 29. 30
αἱρετός 59,13 sqq. 65,29
αἴσθησις 43,7 46,13 51,27. 34 αἱ αἰσθήσεις 54,7
αἰσθητικὴ κατάληψις 43,7. 8
αἰσθητός. τὰ αἰσθητά 43,5
αἴτησις ἡ τοῦ ἐν ἀρχῇ 19,22
αἰτιατική (πτῶσις) 6,11. 28 37,18. 24. 28. 31 63,1. 3. 18
αἴτιος. τὸ φυσικὸν αἴτιον opp. τὸ δημιουργικόν 12,28. 29 τὸ μὴ αἴτιον (ἀναίτιον) τιθέναι ὡς αἴτιον 10,17 13,36 16,1 19, 17 23,21 sq.
αἰτιώδης 3,36
ἀκατάτακτος coni. κοινός 10,35
ἀκολασία 17,10
ἀκολούθησις 15,5 ἡ τῶν ἑπομένων 60,26
ἀκόλουθος 15,39
ἀκριβολογεῖσθαι 48,16 50,23
ἀκριβοῦν 22,5
ἀκροᾶσθαι 68,2. 3
ἀκροατής 40,37 42,7 43,39 44,31 52,4
ἄλαλος 7,8
ἀλήθεια ἡ ἐν τοῖς οὖσιν 1,14. 15 εὕρεσις ἀληθείας 66,26
ἄληπτος 27,20
ἄλογος ψυχή 34,15. 20. 24 τὰ ἄλογα 65,30
ἄλυτος 53,14

ἄμειψις ἡ τῶν ὀνομάτων 46,25
ἀμελέτητος 41,32
ἀμόλυντος 64,29
ἄμουσος 43,10. 19. 22
ἀμφιβάλλειν 6,27
ἀμφιβολία 5,14 6,9. 15 7,1 9,28 17,38 44,3. 9 47,29 49,18. 29 61,37 64,22 all.
ἀμφίβολος. τὰ ἀμφίβολα 6,17. 26 8,14 20,23 22,36 23,27 42,13. 19. 22 44,1 46,17 47,36 48,2. 22. 34 49,16 57,25 all.
ἀμφιδοξεῖν 46,14. 24. 27. 29. 33
ἀμφόδους 39,9. 11 sq.
ἄν om. 10,5 ἂν c. coni. absolute 46,25, c. ind. praes. 37,11 c. ind. fut. 10,23 16,11. 12 23,4 — ἂν (ἐάν) c. ind. 20,10 22,34 42,25 43,16 c. opt. 24,1 67,35 — ὅταν c. ind. 17,4 21,7. 8 54,12 c. opt. 4,9 14,20. 21 15,3. 4 46,1 sq. 7 48,12 sq. — ὡς ἂν c. ind. praes. 54,18 c. ind. fut. 29,31
ἀνάγειν 17,28. 33 18,20 19,4 27,11
ἀναιρεῖν 16,4. 19 47,9. 13. 14. 22 53,9 56,5 65,6. 10. 22. 36 sq. 66,6
ἀναίρεσις 15,24 sq. 66,8 sq.
ἀναίτιος. τὸ ἀναίτιον 16,2 19,17. 21 22,3
ἀνακαθαίρειν 28,24
ἀνακύπτειν 57,20
ἀναλογία 29,20
ἀναλύειν 28,6 41,34 47,21
ἀνανεύειν 38,31. 34
ἀναπνεῖν 65,14 sqq.
ἀναρμοστία 46,9
ἀνάρμοστος 41,6
ἀνασκευάζειν 40,2. 17 46,8 53,14
ἀνασκευή 40,29
ἀνατρέχειν πρός τι 40,23
ἀνδρεία 25,25 45,15 57,23 61,17 sqq.
ἀνειμένως opp. ὀξυτόνως 8,23
ἀνενδοίαστος 61,15
ἀνεξάλειπτος 24,28
ἀνεξέλεγκτος 46,28
ἀνεπίσκεπτος 12,27
ἀνεπιστήμων 5,19 18,37 48,4
ἄνθρωπος ὁ εἰδικός 54,20 ὁ τρίτος 54,11. 16. 24. 30
ἀντέναι (opp. ἐπιτείνειν) τὸν λόγον 20,36
ἀντερωτᾶν 55,23. 26
ἀντίθεσις 15,23. 33 60,27. 28
ἀντικεῖσθαι 46,9 55,12 τὸ ἀντικείμενον 1,21 16,9 55,1. 10 60,28 62,27 τὰ ἀντικείμενα 13,10 14,22 48,7 56,25 58,12 — ἀντικειμένως 61,31
ἀντιλογία 30,16
ἀντίρροπος 2,10
ἀντιστρέφειν 14,37 15,4. 5. 12 19,26 21,33 60,24
ἀντιστροφὴ ἡ σὺν ἀντιθέσει 15,23. 34
ἀντίφασις 1,18 3,38 11,28. 30. 35 13,19 17,8. 36 18,24 22,32. 34 25,19. 22 27,14 31,25 41,2 42,10. 35 43,20 44,16 48,6 58,11 59,39 60,19 61,34 all. φαινομένη ἀντίφασις 20,17 εἰς ἀντίφασιν περιαγαγεῖν 13,24
ἀντιφατικῶς 16,9 35,27
ἀνώλεθρος 14,19
ἀξιοῦν 14,22. 26. 29 20,6 21,34 all.
ἀξίωμα 30,39 τὰ κοινὰ ἀξιώματα 32,14
ἀόριστος 32,15. 34 33,30
ἀπάγειν εἰς τὸ ἀδύνατον 23,22
ἀπαγωγή 65,35 ἡ εἰς τὸ ἀδύνατον 1,19 ἀδυνάτου 24,12 56,17
ἀπαρέμφατος. τὸ ἀπαρέμφατον 6,12 37,30
ἀπαρίθμησις 54,29
ἀπάτη 1,11 sq. 3,14 4,32 5,38 8,35 13,3 17,32 20,31. 35 21,22. 26 22,1 26,23 27,14 28,30 38,30 40,10 44,5 49,15 56,23 all. αἱ ἐκ τῆς αἰσθήσεως ἀπάται 15,7 ἡ περὶ τὰς φωνάς 9,24
ἀπατητικός 29,19
ἀπειρία 2,21 41,24. 36
ἄπειρος *infinitus* 2,36 15,27 sqq. 33,16 41,4 56,24 60,32 ἄπειροι αἱ ἀποδείξεις 2,1 ἄπ. τὸ ψεῦδος 2,8 — *imperitus* 2,21 3,4 29,23 44,31 — ἀπείρως *infinite* 2,8 *imperite* 41,22
ἄπεπτος 31,3
ἀπερισκέπτως 48,25
ἁπλῶς. οἱ παρὰ τὸ ἁπλῶς καὶ πῇ (μὴ ἁπλῶς) παραλογισμοί (ἔλεγχοι) 10,14 11,6 sqq. 19,4 21,37 22,1 58,10 sqq.
ἀποδεικτικός. ἀ. λόγοι, συλλογισμοί 3,29. 33 4,27 — ἀποδεικτικῶς 1,20
ἀπόδειξις 1,15. 16. 23 18,33 24,11 sqq. 25,9 29,35 30,23 34,5 45,2 — ἀποδείξεις κατ' εὐθεῖαν opp. εἰς ἀδύνατον 1,23 2,1 αἱ κατὰ σημεῖον ἀποδείξεις 15,11
ἀπόδοσις. αἱ ἀποδόσεις τῶν πτώσεων 57,18 sq. τὴν ἀπόδοσιν ποιεῖσθαι 63,8
ἀποκόπτειν 57,31

ἀποκρίνεσθαι 17,3 22,32 23,4 sq. 24,1 26,19. 23 sq. 34,8 35,20 38,24 40,8. 9 44,15. 17 45,4 49,34 all.
ἀπόκρισις 16,38 17,1 35,28 41,12 44,14. 17. 25 46,23 61,2 66,27 67,3. 7 sq. ἀπόκρισιν διδόναι 17,1 44,28 ποιεῖσθαι 20,10
ἀποκρούεσθαι 1,13
ἀπολύειν 47,27. 28
ἀπόπειρα 32,2
ἀποστοματίζειν 5,17
ἀποφάναι 18,21 29,9 33,20 43,6. 10. 13 44,18 55,7 61,3. 4. 20. 39 62,3 all.
ἀποφαντικῶς 39,22 41,9
ἀπόφασις 8,36 9,2 19,5. 7 46,21 51,9 58,12 62,16. 18 αἱ ἀποφάσεις τῶν ὀνομάτων 32,15 ἐξ ἀποφάσεως ἐρωτᾶν 38,32
ἀποφάσκειν 20,3 42,28 48,13 61,22
ἀποφατικός 4,17 22,12 47,22 — ἀποφατικῶς 8,23 12,19
ἀργός 21,1
ἄρθρον ὑποτακτικόν 37,16. 17
ἀριθμητικός 50,18 ἀριθμητική 31,16 41,6
ἁρμονία 46,8 sq.
ἁρπακτικὰ ζῶα 35,23
ἄρρην. τὸ ἄρρεν 9,6 37,17. 20. 22. 32 63, 17
ἀρσενικός 63,15 — ἀρρενικῶς 63,8
ἄρτιος 7,33 sq. 36,32 41,5
ἀρχή. μέγιστον ἀρχὴ παντός 67,16 ἀρχὴν ἔχειν 60,31. 33 ἀρχαί (ἐπιστημῶν) αἱ κοιναί 25,38 31,17 coni. αἱ ἀνωτάτω 25,8 αἱ κοινότατα 22,27 αἱ οἰκεῖαι 29, 23. 24 31,31 coni. ὡρισμέναι 31,9. 10 ἴδιαι 30,39 αἱ ἐν γεωμετρίᾳ (γεωμετρικαί) 24,35 30,33 — αἱ τῶν σοφισμάτων ἀρχαί 27,10 αἱ τῶν ἐπιχειρημάτων 38,2 sq. — ἐξ ἀρχῆς εἶναι 24,23 τὸ ἐξ ἀρχῆς 19,22 τὸ ἐν ἀρχῇ 13,21 sq. 35 33,32 sq. τὸ ἐν ἀρχῇ αἰτεῖν (αἰτεῖσθαι) 10,16 13,36 14, 3. 13 45,1 λαμβάνειν 19,17 22,3 23,34 coni. 60,13
ἄσκεπτος 33,37
ἀστήρ 28,2
ἀστράγαλος 52,13. 17. 24 55,12
ἀσυλλόγιστος 16,33. 34 17,33 47,21
ἀσύμμετρος 14,32 46,21
ἀσύμφωνος 55,16
ἀσυντελής 34,21
ἀσύστατος. τὸ ἀσύστατον 19,38
ἀσχημάτιστος 8,3
ἀσώματος 10,24 11,2
ἄτεχνος 67,31 — ἀτέχνως 32,13
ἄτομος οὐσία 21,17 τὰ ἄτομα 10,37 54,8 τόδε τί καὶ ἄτομον 54,17. 31
ἄτοπος 7,31 8,10. 21 10,23 16,12 43,27 45,38 50,34 61,23
αὐθυπόστατος 54,28
αὐτοάνθρωπος 54,13
αὐτοκίνητος 46,29. 31
αὐτόπιστος 3,36
αὐτός. ὁ αὐτός (ταὐτόν) γένει, εἴδει, ἀριθμῷ 29,29 sq. 51,23. 24
αὐτοτελῶς 45,30
ἄφθαρτος 14,2 sq. 60,17
ἄφωνος 23,12 28,10
ἄχλυς τῆς ἀγνοίας 28,23
ἄχρονος 51,26
ἀχώριστος 21,37
ἄψυχος 28,10 55,7. 9 60,15

Βαίνειν ἐπί τινος *constare, versari in alq. r.* 31,37
βαρβαρίζειν 5,9. 10 37,6
βάσις (τριγώνου) 27,36
βιβλίον 60,15 65,13. 14
βορέας 64,26
βούλησις 59,9 βουλήσεις opp. φανεραὶ δόξαι 35,4. 8 sq.
βροτός 14,19

Γάλα 17,17
γειτνίασις ἡ τῆς σοφιστικῆς 66,34 67,4
γελοῖος 64,19 — γελοίως 53,3
γένεσις 16,21 sqq. γένεσις εἰς φύσιν αἰσθητή (scil. ἡ ἡδονή) 38,27
γενική (πτῶσις) 37,24. 25 57,19
γένος 32,7. 21 46,1 coni. φύσις 32,15 τὰ γένη 11,28 coni. τὰ εἴδη 15,2 21,19 τὰ δέκα γένη (τοῦ ὄντος), τὰ πρῶτα καὶ ἀνωτάτω 9,8 20,29 31,22 51,14 — γένος gramm. 37,19 49,25 63,14 μεταλλαγὴ γένους 5,10 — ἐπὶ τοῦ χρυσοῦ (σιδήροῦ) γένους 12,34 sq.
γεωμέτρης 27,24 30,3. 29 31,9. 26
γεωμετρία 24,35 25,1 29,36 30,38
γεωμετρικός 22,22 τὰ γεωμετρικά 30,31 ὁ γεωμετρικός 31,33 sq. 50,18 — γεωμετρικῶς 25,1

γνώμη. γνώμας τί καλοῦσιν 46,19 sqq.
γνῶσις 54,1
γραμμή 22,21
γράφειν (γραμμάς) 22,22
γραφὴ τριγώνων 29,31
γωνία 27,36 31,26

Δασύνειν 9,1 18,5. 7
δεικτικός 31,12. 30 41,35
δειλία 61,17
δεῖν. ἀνάγκη δεῖν 48,6 δεῖ c. inf. fut. 4,33 — τὸ δέον διττόν 5,24 τὰ δέοντα λέγεται πολλαχῶς 48,20
δηλητήριον 1,8 59,32
δημιουργικός dist φυσικός 12,29
διάγραμμα 41,33
διαγράφειν τετράγωνον 30,2
διαδοχή. ἐκ διαδοχῆς 67,22
διάθεσις *genus verbi* 10,10 51,32
διαιρεῖν 48,38 49,2 sq. 10. 14. 20 50,8. 25 55,3
διαίρεσις 5,14 18,3 28,37 48,35 sqq. (σοφίσματα) παρὰ (κατὰ) τὴν διαίρεσιν 7,33 9,32 55,3 coni. παρὰ τὴν σύνθεσιν 20,31 49,33 πῶς λυτέον 48,34 sqq. — κατὰ διαίρεσιν προτείνειν (προάγειν) τὰς ἐρωτήσεις 28,7. 34
διαιτᾶν 30,27
διακόπτειν τὸ συνεχές (τοῦ λόγου) 38,21
διακριτικός (ὄψεως) 17,16. 17
διαλέγεσθαι 3,15
διαλεκτικός 2,11 17,12 29,16 διαλεκτικοὶ συλλογισμοί (λόγοι) 3,30. 37 4,29 65, 9. 20 66,23. 26 διαλεκτικὴ ἐρώτησις τί ἐστι 44,17 — ἡ διαλεκτική 2,7 22,27. 30 25,4. 6 31,27. 36 66,32 sq. 67,3 dist. σοφιστική 22,31 sq. — ὁ διαλεκτικός 4,5 25,9 sqq. 28,25. 27 30,28 31,9 32,13. 23 66,38 — διαλεκτικῶς 13,16 61,12 66,35
διάλεξις 23,9 41,39 αἱ ἄγραφοι διαλέξεις 8,35 διαλέξεις coni. συνουσίαι 3,14
διάμετρος 14,31 sq. 24,14 46,21
διάνοια. ἔλεγχοι παρὰ τὴν διάνοιαν opp. πρὸς τοὔνομα 26,6 sqq.
διαρθροῦν 20,1
διαστέλλειν 42,33
διάστημα 33,13 sqq. 53,33 55,14 56,24
διαστολή 12,12. 13 50,1
διατείνεσθαι 29,2
διατρίβειν ἐπί τι 34,4
διατριβή. ἀγωνιστικαὶ καὶ σοφιστικαὶ διατριβαί 41,12
διαφιλονεικεῖν 4,38
διδασκαλικὴ μέθοδος 24,8 διδασκαλικοὶ συλλογισμοί 3,29. 33
διδόναι *concedere* 18,7. 11 19,3. 7 20,11 23,8 25,30 26,17. 26. 37 33,27. 38 34,8 36,38 38,25 39,35. 37 40,36 43, 36 46,7 51,16 all. neglegentius dicitur de eo qui interrogat 18,7. 11 52,15 54, 3. 10 63,3
διῃρημένως 11,29
δίκαιος. τὸ δίκαιον τριττόν 59,19
δικαιοσύνη 17,10 35,14. 25 65,28
δικαστής 59,20 sq.
διορισμός 45,26 ὁ τοῦ ἐλέγχου 17,30. 35 19,11. 24 20,16
διορθοῦν 8,20
διόρθωσις παραλογισμῶν 56,10
διπλάσιος. τὸ διπλάσιον 36,7 sqq. 25 sq. 38 60,2 62,11 sqq.
διπλόη 49,22 57,28
διπλοῦς i. q. διττός 28,33 48,17
διστάζειν 20,12
δισύλλαβος 43,16 sqq.
διττός 6,30 27,17 49,17 55,24 58,1. 2 τὸ διττόν (τῆς σημασίας, τῶν σημαινομένων) 5,30 6,12. 16 10,2 40,10 44,36 48,2. 31 49,25 57,1 all. τὰ παρὰ τὸ διττὸν σοφίσματα 17,37
*διττότης 57,25
διχηλεῖν 45,19
δογματίζειν 34,33
δοξαστός 12,2. 3. 15 58,21. 23
δοξοσοφία 22,25
δοτική (πτῶσις) 37,24. 25
δριμὺς λόγος 65,3. 6. 20. 21. 26 66,2
δρόμος. δρόμον τοῦ λόγου ἀνακόπτειν 30,19
δυάς 28,36. 38 sq.
δύναμις *vis verborum* 14,17 opp. σχῆμα 9,14 — *facultas* 50,28 sqq. δύναμις συλλογιστική 66,31 τὸ δυνάμει 14,7 20,29 23,30
δυνατός. τὸ τῷ ἀναγκαίῳ (opp. τὸ τῷ ἐνδεχομένῳ) σύστοιχον δυνατόν 50,33
δυσκολαίνειν 38,36 44,4 60,37
δύσκολος 58,35
δυσχεραίνειν 41,24

Ἐγγράφειν τετράγωνον 30,2
ἐγκελεύειν 28,26
ἐγκράτεια 45,13 sqq.
εἰδικὸς ἄνθρωπος 54,20
εἶδος τὸ συλλογιστικόν 22,12 47,10 — εἶδος τῶν παραλογισμῶν 60,5 τῆς σοφιστικῆς πραγματείας 62,7 τὰ εἴδη 11,27 15,2 21,19 — ποιόν τι τὸ εἶδος 52,15
εἶναι. τὸ ὄν 15,27 sqq. 20,28 sq. 31,22 τὸ ὂν καὶ τὸ ἓν πότερον ταὐτὸ σημαίνει ἢ ἕτερον 64,33 sqq. cf. 66,3 sq. τὰ γένη τοῦ ὄντος 9,8
εἴπερ interrog. 14,18 18,13
ἔκθεσις coni. διαίρεσις 44,2
ἐκκλίνειν 4,16. 34 14,10 18,12 47,8 56, 26 61,9
ἐκλείπειν 23,21
ἔκπτωσις 23,18
ἐκτείνειν γραμμάς 22,21
ἐκτιθέναι 54,29. 33 56,4
ἐκφώνησις 52,3
ἐλεγκτικός 40,2
ἐλεγχοειδής 39,39 42,17
ἔλεγχος def. 13,19 sqq. dist. συλλογισμός 4,21 sqq. ἔλ. συλλογισμὸς ἀντιφάσεως 2,26 18,25 25,29 cf. 23,19 sq. 42,10 ἔλ. ἀληθής (ἀληθινός) 1,16 2,3 14,9 17,13. 36 18,1 24,9. 11. 13. 34 42,20 sq. ὁ ὢν ἔλεγχος opp. ὁ φαινόμενος 25,38. 39 ὁ κυρίως ἔλ. 42,10 60,3. 4 ἔλ. ψευδής 14, 10 23,20 24,7 φαινόμενος 3,7 17,25 23,16 sq. 32,28 διαλεκτικός, φαινόμενος διαλεκτικός, πειραστικός 25,38. 39 ἔλ. σοφιστικός 23,37 27,7 42,39 coni. φαινόμενος 2,5 22,11 25,18 ἔλεγχος κατὰ τὴν λέξιν opp. ἔξω τῆς λέξεως 5,12 sq. κατὰ τὸ συμβεβηκός 18,36 21,27 23,24 55,15
ἐλλείπειν 27,19 66,12
ἔλλειψις λέξεως 6,13 τὰ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου (σοφίσματα) 19,12. 15. 19 21, 37 cf. 23,30
ἑλληνίζειν 63,11
ἐμβαδόν 29,30
ἐμφάνισις 56,14. 22 57,25
ἔμψυχος 55,6. 9 60,17 65,13
ἐναλλάξ 38,17
ἐναντίος. τὸ ἐναντίον παραβάλλειν (ἐρωτῶντα) 39,14. 18 τὰ ἐναντία 14,21 sqq. 29,1 41,3 58,12
ἐναντίωμα 40,3
ἐναντίωσις 11,23
ἐνάργεια 39,25
ἐναργής 46,13. 30
ἐνδοιάζειν 39,38 42,32 48,12
ἐνδοιασμός 42,35 48,22
ἔνδοξος 65,22. 25 66,32. 38 ἔνδοξα ἀρχαί 22,28 31,18 προτάσεις 32,27 65,11. 34 συλλογισμοί 25,17 τὰ ἔνδοξα 3,37 τὰ ἀληθῶς ἔνδοξα 25,10. 12 29,15 opp. τὰ φαινόμενα ἔνδοξα 25,13 — ἐνδόξως 42, 3. 6
ἐνέργεια 10,11 τὸ ἐνεργείᾳ 14,7 20,29 23,30
ἐνεργητικῶς 21,3
ἐνιαῖος 21,16 54,34
ἐνικῶς 21,14
ἐνίστασθαι 1,20 24,16 25,28 28,6 31,34 40,12 41,3 53,8 all.
ἐννόημα 54,28. 29
ἔννοια 26,12 αἱ κοιναὶ ἔννοιαι 31,35
ἐνοῦν opp. διαιρεῖν 20,34
ἐνόχλησις. αἱ σοφιστικαὶ ἐνοχλήσεις 4,34
ἔνστασις 24,22 25,28 31,32 39,12 41,1 42,28 all.
ἔντευξις. αἱ ἐντεύξεις τῶν σοφιστῶν 6,33
ἐντέχνως 32,13
ἐντριβής περὶ τὴν λέξιν 41,16
ἐξαπάτη 16,6
ἐξελληνίζειν 63,37
ἕξις 2,14 ἕξις λογική 20,27 42,1. 2 ἕξεις coni. πάθη 36,27. 29 καθ' ἕξιν coni. κατὰ δύναμιν 14,19
ἐξισάζειν opp. ἐπὶ πλέον κατηγορεῖσθαι 15,4
ἐξίτηλος 57,22
ἐπάγειν 23,33 33,12 37,3 39,5. 11. 22 53,20 55,16. 21 64,8 all.
ἐπαγωγή 9,23 34,26 39,1. 10 45,18
(ἐπαναβαίνειν) ἐπαναβεβηκυῖαι ἀρχαί 31, 32
ἐπεμβάλλειν 38,21
ἕπεσθαι 14,32 46,25 ἕπεσθαί τί τινι διττῶς λέγεται 15,22 cf. 60,26 sqq. τὸ ἑπόμενον opp. τὸ ἡγούμενον 15,24 sqq. 46,1 τὰ ἑπόμενα ἀλλήλοις ἐξ ἀνάγκης 14,30 ὁ παρὰ τὸ ἑπόμενον ἔλεγχος 14,37 sqq. 23, 25 19,23 cf. 10,15 21,32
ἐπηρεάζειν 33,35
ἐπίδοσις 67,15
ἐπιθυμία 34,20 36,17 sqq.
ἐπιορκεῖν 13,6. 7 58,25 sqq.

ἐπιστήμη 14,21. 25 22,15 25,14. 24 29,1 41,2 57,12. 17 ἡ τῶν ὄντων ἐπιστήμη 1,9 ἐπιστῆμαι 2,1 sqq. 24,24 sqq. 50, 16 ἡ ἐπιστήμη πρός τι οὖσα 62,23
ἐπιστημονικῶς 3,15
ἐπιτείνειν (opp. ἀνιέναι) τὸν λόγον 20,36
ἐπιχειρεῖν 35,13 40,1. 20 sqq. 56,17 all.
ἐπιχείρημα 33,21. 27. 37 38,3 40,18. 28 65,4
ἐρευνητὴς τῶν ὄντων 40,34
ἐριστικός 29,37 coni. σοφιστικός 29,17 ἐριστικοὶ λόγοι (συλλογισμοί, ἔλεγχοι) 3,30 4,12 sqq. 30 30,13 44,36 65,11 οἱ ἐριστικοὶ τρόποι 23,2 — ἡ ἐριστική 31,36 — ὁ ἐριστικός 30,27 sqq. 31,8 32,20 42,8 ἐριστικοί dist. σοφιστικοί 30,20 sqq.
ἑρμηνεύειν 5,17
ἐρωτᾶν 17,3. 6 19,3 20,36 22,33. 36 23, 3 sqq. 24,2. 4 sq. 26,12. 16. 22 33,36. 38 34,5. 7. 33 35,27. 31 38,6. 11 40, 11. 36 51,16 52,7 53,24 all.
ἐρώτημα 16,5 35,27 38,17 39,21 44,20. 24 49,16 66,12 ἐρωτήματα τὰ δύο ἢ πλείω ἓν ποιεῖν 10,17 16,37 20,1 22,4 44,8 61,1 sqq.
ἐρωτηματίζειν 38,3
ἐρωτηματικοὶ λόγοι 67,29
ἐρώτησις 18,13 20,6. 10 23,23 27,16. 20 32,31 37,2 38,5. 13 42,23 44,14 61, 2 all.
ἐρωτητικός 31,24. 28
ἑτερογενής. τὰ ἑτερογενῆ 31,1
εὔαρχος 64,30
εὐήθης 66,10. 14
εὐθεώρητος 58,33
εὐθύνειν 27,31
εὐθύς. εὐθεῖα (πτῶσις) 6,27 37,27. 30 62, 39 63,3. 7. 18. 32 ἀποδείξεις κατ' εὐθεῖαν opp. εἰς ἀδύνατον 1,23
εὐκαταφρόνητος 66,14
εὐνοῦχος 11,31
εὐοδοῦν τὸν λόγον 61,11
εὐορκεῖν 13,6. 7 58,25 sqq.
εὐπορεῖν 67,6
εὐσχήμων 35,5
εὐφυής 2,29
εὐφώρατος 6,36 63,10
ἐφερμηνεύειν 46,39
ἕξις 36,17 59,9

Ζητητικός 40,34
ζωή 16,19 sqq.
ζῶον 10,20 13,33 sq. 16,8 sqq. 24,15 sqq. 45,34 sqq. 51,19 60,15

Ἡγεῖσθαι. τὸ ἡγούμενον 15,24 sqq. 46,1
ἡδονή 34,7 sqq. 38,26. 33. 36
ἥλιος 34,15. 17 56,18
ἥμισυς. τὸ ἥμισυ 36,7 sqq. 38 sq. 62,11 sqq. τὰ ἡμίση 56,24
ἡνωμένως 11,29

Θάνατος 16,23. 28. 32 sq.
θεολόγος 31,14
θέσις 22,33 23,29 33,35 34,37 45,8 66, 18. 37 — θέσει opp. φύσει 65,31 θέσις ὁ νόμος ibid.
θεώρημα 31,33 41,35
θεωρία 32,26
θηλυκός 63,15
θῆλυς 37,32 τὸ θῆλυ 9,6. 16 37,20. 23 63,17
θυμός 34,19
θυμοῦσθαι 34,24

Ἰατρικός 31,5. 7 ἡ ἰατρική 1,4 14,29 24, 35 25,2 31,8 41,7 62,24 — ἰατρικῶς 25,2
ἰατρός 40,7
ἰδέαι αἱ τῶν σοφισμάτων 26,8 — ἡ ἰδέα, αἱ ἰδέαι sensu Platonico 34,32 54,11. 13
ἰδιαζόντως 54,3
ἰδιώτης 32,9
ἱμάτιον 18,11. 13. 16 sqq.
ἵνα pro ὥστε 26,35 61,21
ἰσάζειν 19,37
ἰσοδυναμεῖν 37,16
ἰσόπλευρον τρίγωνον 27,35
ἰσοσκελὲς τρίγωνον 27,35. 36 29,31

Καθαρὸς ὀιχῶς λέγεται 64,28 — καθαρῶς φιλοσοφεῖν 28,23
καθολικός 11,25 15,22
καθόλου 14,24 21,14 τὸ (τὰ) καθόλου 14, 20 21,13 39,5. 6 40,38 41,1 45,9 46,4
κακία τῆς λέξεως 9,37
καλλωπίζεσθαι 15,14

καλλωπιστής 15,13
κασσιτέρινος 2,19
κατάληψις ἡ αἰσθητική 43,8
καταποικίλλειν 38,12
κατασκευάζειν 15,29. 33 31,30 34,9 35, 20 38,23 40,2 65,31. 32
κατασκευαστικός 66,13
κατασκευὴ προβλήματος 40,16 προτάσεως 34,6
κατασοφίζεσθαι 23,6
καταφάναι 17,11 18,21 33,26 39,33 42, 28 43,6 44,18 61,19
κατάφασις 19,5. 39 29,20 38,34 62,18
καταφάσκειν 43,13 61,21
καταφατικός 9,16 22,13
καταχρηστικῶς 17,23
κατηγορεῖν 20,2 τὸ κατηγορούμενον *praedicatum* 10,19. 25 13,26 21,29 23,29
κατηγόρημα 21,29 61,24
κατηγορία 11,8 14,38 62,10 τὰ γένη τῶν κατηγοριῶν τὰ πρῶτα 51,14
καύσων 18,15
κέντρον 15,38
κεραία 64,23. 25
κερασφόρος 39,7. 10. 12
κεφάλαιον ἐπιστήμης 28,30
κιθαρίζειν 50,29 sqq.
κίνησις 33,12. 17 sq. 54,5 56,17. 20
κίων 17,19
κλέπτης 15,12. 15 ὁ τοῦ κλέπτου λόγος 59,7 sqq.
κλῆσις 37,7
κοίλανσις ῥινός 36,35
κοῖλος 62,31
κοιλότης ἐν ῥινί (ῥινός) 62,29. 36
κολοβῶς 45,31
κομμοῦν 2,16
κοράκιον 7,7
κόραξ πλείονα σημαίνει 7,6 sq.
κριτής 23,9
κρύος 18,14
κρύψις 32,32 34,28 38,28. 30 45,11
κύκλος 22,21 29,28 ὁ κύκλος διπλοῦν 27, 23 sq.
κύκνος 11,1 17,17 18,29 19,29 sq. 21,30
κύλιξ 53,35 sq.
κύριος. ὀνόματα κύρια 21,1 57,26
κῦρος 23,10
κύων κυρίως σημαίνει πλείονα 7,3 cf. 13,31 sq. 17,39 20,18. 25 25,29 sq. 26,16 28,1

Λαμβάνειν 19,8. 27. 30 26,27 33,11 sq. 42,24 all. λαμβάνειν (τὸν) λόγον 3,19 41,27 66,36 λόγους 33,2 λαμβάνειν τὸ ἐν ἀρχῇ 19,17 22,3 23,34
λέξις 12,24 37,6 41,16 51,18 52,5 coni. νόημα 62,11 λέξεις 53,24 τὰ παρὰ (περὶ) τὴν λέξιν (ἐν τῇ λέξει, ἐντὸς τῆς λέξεως) σοφίσματα (παραλογισμοί) 14,12 17,26 18, 19 19,11 20,15. 22 21,21 26,32 27,2 55,1 64,15 opp. τὰ ἐκτὸς τῆς λέξεως 18,22 19,16 26,3 27,3 opp. τὰ παρὰ τὰ πράγματα 17,26
λῆμμα 4,10 6,34 66,11
λῃστής 59,15
λιθαργύρινος 2,18
λογικός 39,2 λογικὴ ψυχή 34,15. 18. 20 ἕξις 20,27 42,1. 2 πραγματεία 67,26 — λογικώτερον ἐπισκέψασθαι 26,9
λογιστικός. ἐν τοῖς λογιστικοῖς (fort. συλλογιστικοῖς) 15,21 ἡ λογιστική 3,2 31,16
λόγος opp. πρᾶγμα 2,34 sqq. λόγον λαμβάνειν 66,36 opp. δοῦναι 3,19 ὑπέχειν 66, 37 — οἱ κοινοὶ λόγοι (coni. ὑπολήψεις) 4,6 — λόγος *demonstratio, ratio* 15,21 34,38 λόγος (λόγοι) ἀγωνιστικός, σοφιστικός, ἐριστικός 38,29 44,36 sq. 47,18 65,11 all. λόγοι ἐρωτηματικοί 67,29 ῥητορικοί 67, 19. 20. 29 — λόγῳ dist. ὑποκειμένῳ 43, 22 sq. 54,26 οἱ περὶ λόγους opp. οἱ πολλοί 35,32
λύειν (σόφισμα) 41,13. 28 43,18 47,10. 13. 17. 23 all. λύειν πρὸς τὸν ἄνθρωπον (opp. πρὸς τὸν λόγον, τὴν ἀλήθειαν) 51,5. 6 53,11. 12
λύρα ἡ ὀργανική, ἡ ἐν οὐρανῷ 40,22 sq.
λυρικὴ ποίησις 40,24
λύσιμος 53,17
λύσις (σοφίσματος) 25,27 sq. 34,37 42,29 43,39 44,34 sqq. 47,1 48,34 50,13. 31 51,1 sq. 53,3 55,2 66,6. 8 all. ἡ τῆς λύσεως μέθοδος 46,37 sqq.
λώπιον 18,11. 16 sqq.

Μάθημα. τὰ μαθήματα *mathematica* 30,32. 34 31,10
μανθάνειν. τὸ μανθάνειν ὁμώνυμον 5,22
μέθοδος 29,22 34,36 67,9 ἡ διδασκαλική μέθοδος (τῶν ψευδῶν ἐλέγχων) 24,8 ἡ περὶ τὰς προτάσεις 32,26 ἡ συλλογιστική

43,27 sq. ἡ τῆς λύσεως μέθοδος τῶν σοφισμάτων 46,37 sqq.
μέλι 15,8 21,36
μερικός 4,17 10,34 11,25. 28 15,4. 23 21, 13. 16 22,12 41,1 46,2. 3 47,22 54,14 μερική (coni. ἄτομος) οὐσία 21,17
μετάθεσις ἡ τῶν ὀνομάτων 50,7
μετάμειψις 61,24
μεταξυλογία 63,5
μεταποίησις 19,27
μεταφέρειν 56,30
μεταφορά 46,28
μῆκος ἐλέγχου 38,8. 9
μῆνις. τὸν μῆνιν οὐλόμενον λέγει Πρωταγόρας 37,9
μηνίσκος. ὁ διὰ τῶν μηνίσκων τετραγωνισμός 29,34 30,36
μισθαρνεῖν 67,28
μοιχεία 15,14
μοιχός 15,12
μοναδικός 21,18 54,24 — μοναδικῶς 39, 25
μονάς 28,36. 38 sq.
μονοειδής 26,26. 37 — μονοειδῶς 48,26
μονόκωλος σύμφρασις 6,11
μονομαχεῖν 48,14 61,6. 16
μονομερής 48,13
μορφή 54,23
μουσικός 43,8 sqq. 44,11 54,25 60,7 ἡ μουσική 14,26 41,6
μοχθηρία (λόγου) 41,28 56,14 60,19 ἡ μοχθηρία τῆς πτώσεως 42,36
μῶνυξ 45,21

Νήχεσθαι 47,33
νόημα 62,11
νόμος δειλῶν ἀνδρῶν εὕρημα 35,26 κατὰ νόμον opp. κατὰ φύσιν 35,13 sqq. 36
νυκτερίς 11,31

Ὄγκος 34,26
ὅδε. τὸ τόδε dist. τὸ τοιόνδε 21,19 sq.
ὁλότης 15,38
ὁμοιοσχημοσύνη 17,38 24,2 64,21
ὁμοιοσχήμων 4,18 23,27
ὁμοιότης 39,6. 8 τῆς λέξεως 21,2. 26 55, 10 κατὰ τὴν προφορὰν 51,18
ὁμοτίμως 10,22
ὁμωνυμία 5,14. 16 7,1 sqq. 9,27 11,10 17,38 20,23 40,8 42,20 44,9 47,29 55,5 all.
ὁμώνυμος. τὰ ὁμώνυμα 11,12 13,30. 32 22,36 23,27 26,15 42,13. 22. 30 43,34 44,1. 12. 15. 29. 32 48,34 55,6 57,1. 6 all.
ὄνομα opp. πρᾶγμα 2,31 sqq. 11,30 sqq. 13,20. 28 sq. 21,23 sq. 23,26 37,37 41, 18 44,13 48,33 52,7 opp. λόγος 11,29 36,6 39,6. 8 45,18 ὄνομα κύριον 21,1 57,26 — ἔλεγχοι πρὸς τοὔνομα opp. παρὰ τὴν διάνοιαν 26,6 sqq.
ὄνος ὁ Ἰνδικός 39,12
ὀξυτόνως 8,23
ὅρασις 54,6
ὁρατός. τὰ ὁρατά 43,4
ὀργανικός 40,23
ὀργή 38,14. 16
ὀρεκτός. τὸ ὀρεκτόν 34,19
ὄρεξις 36,17 sqq. ὀρέξεις 34,19
ὀρθοποδεῖν 14,10
ὀρθός. ὀρθὴ πτῶσις 37,18 γωνία 31,26
ὁρισμός 10,26 14,39 18,23 19,13 20,34 21,33 36,30 62,29 οἱ παρὰ τὸν τοῦ συλλογισμοῦ ὁρισμὸν ἔλεγχοι 20,19 sq. 59,37 sqq.
ὁριστικός. τὸ ὁριστικόν *indicativus* 37,30
ὅρος 18,5. 7 49,20 — ὅροι (συλλογισμοῦ) 20,3 31,34 45,3
ὅρος 18,8 49,20
οὐδέτερα ὀνόματα 37,15. 24. 33 51,19 sq. 63,16 — οὐδετέρως 63,7
οὐράνια σώματα 15,37
οὐρανός 34,16. 35 35,1 60,31
οὐσία 10,24 54,32 ἄτομος (coni. μερική) οὐσία 21,17 μοναδική 54,24 ἡ ὑποκειμένη 36,28 — κατ' οὐσίαν 11,36
οὐσιώδης 10,26 — οὐσιωδῶς 10,36 11,22 55,19
ὀχλεῖν 65,12

Πάθος 21,3. 7 πάθη coni. ἕξεις 36,27. 29
παίδευσις 67,28
παλιγγενεσία 65,32
παραβολή 38,12 45,9. 12. 17
παραβολικῶς 45,14
παράδειγμα 38,13 43,30 61,15 65,13 66,22

παράδοξος. τὸ παράδοξον 5,1. 7 34,29 35,10. 12 39,28. 30. 37 44,6. 38 sq. 62, 4. 5
παράδοσις (ἡ συλλογιστική) 4,16 18,12 47,8 56,26 61,9 — ἐκ παραδόσεως 68,2
παράκρουσις 42,20
*παράκρουσμα 12,27 42,29
παραλογίζεσθαι 3,5 30,30 33,26. 31 37, 26 38,8 41,19. 20 64,10. 11
παραλογισμός 2,6 6,26 9,5 10,12 14,11 18,19. 22 19,10. 38 20,15 23,35 29, 23. 24 30,11 31,11 41,26 44,10 48,5. 31 66,22 67,10 et saepe. οἱ παραλογισμοὶ τῆς ἀντιφάσεως 23,16 οἱ ἐν τοῖς μαθήμασι παραλογισμοί 27,32
παραλογιστικός 32,21
παραποιεῖν 12,38
παράσημον 49,26
παρατηρεῖν 47,7
παρεισάγειν 45,11
παρεμβάλλειν (προτάσεις) 38,12
παρενείρειν ψευδῆ τοῖς ἀληθέσιν 22,16
παρεξέλεγχος 44,38 60,22
παρέπεσθαι. τὸ παρεπόμενον 60,23
παρόραμα 27,6
πατήρ *deus* 12,28. 31
πεῖρα. πεῖραν λαμβάνειν 29,11 32,6. 18 66,34. 35 προσάγειν 4,4
πειραστικός 4,11 22,17. 23 24,38 25,4 29,37 πειραστικοὶ συλλογισμοί (λόγοι) 3, 30 4,1 sqq. 11. 29 30,33 ἡ πειραστική 4,12 22,28. 30 29,11 31,36 sq. 32,7. 10 66,33 dist. σοφιστική 22,31 sq.
περαίνειν 19,25 62,4 med. 1,18
περιάγειν κύκλους 22,21
περιγράφειν τετράγωνον 29,29 30,2
περιέργως 24,1
περισπᾶν 9,1
περισπωμένως 8,22
περιττός 7,33 sq. 41,5 τὸ περιττὸν τί ἐστι 36,32
περιφέρεια ἡ τοῦ κύκλου 29,30
περιχώρησις coni. μετάμειψις 61,24. 25
πῆ. οἱ παρὰ τὸ πῆ καὶ ἁπλῶς παραλογισμοί 19,4 21,37 50,12 57,20 πῶς λυτέον 58, 10 sqq.
πήρωσις 17,22
πιθανός 3,37 coni. ἔνδοξος ibid. 32
πλαγίως coni. παραβολικῶς 45,13
πλάνη 26,21
πλέκειν ἔλεγχον 22,13
πλεονεξία 35,21 πλεονεξίαι αἱ ἐν τῷ πυνθάνεσθαι 41,27
πλευρά 22,18. 19 24,13 29,30 46,21
πλοκὴ τῶν προτάσεων 27,16
πνεῦμα 8,17 9,34 20,38 49,22
πνεύμων 65,17
ποίημα 40,28
ποίησις ἡ λυρική 40,24
πολλαπλασίων ἀναλογία 29,20
πολυπράγμων dist. φιλοπράγμων 40,29 sqq.
πολύσημος 47,36 57,7
πολυώνυμος. τὰ πολυώνυμα 14,17 15,1
πραγματειώδης 29,35
πρεσβεύειν τι 34,31
προαίρεσις ἡ σοφιστική 32,30
πρόβλημα 14,28 28,35 29,13 32,34 40, 16. 17 41,40 47,35 49,16. 17 57,3 67,5
προενίστασθαι 40,19 46,33
προεξεργάζεσθαι 67,26
πρόεσις 61,15
προηγουμένως 67,3
πρόθεσις 66,29
προκατασκευάζειν 66,33
πρόξενος τοῦ κράτους 42,2
προοίμιον. ἐν τοῖς προοιμίοις 24,10 41,19
πρός. τὰ πρός τι 36,13. 19. 22. 26 62, 8 sqq.
προσαποκρίνεσθαι 42,34
προσβιβάζειν 50,13 61,36
προσβολὴ ἡ τῆς αἰσθήσεως 51,26
προσδιαλέγεσθαι 34,30 36,37 40,4 42,5
προσδιορισμός 13,25
προσεπερωτᾶν 43,11
προσεπηρεάζειν 4,11
προσερωτᾶν 18,17 23,13 26,26 63,28
προσεχής 22,28
προσηγορία 21,15 54,4
προσσημαίνειν 22,1
προσυφαίνειν 50,21
προσφιλοσοφεῖν τῇ θεωρίᾳ 15,18
πρόσχημα 30,35
προσῳδία 5,15 18,3 37,8 49,21. 24. 27 ἡ ὀξεῖα, περισπωμένη, ψιλή, δασεῖα 55,3. 4 τὰ παρὰ προσῳδίαν σοφίσματα 8,15 sqq. 9,35 20,35 51,7
προτακτικῶς 41,8
πρότασις 1,21 2,24 3,36 18,2. 11 19,20 20,2 sqq. 23,30 24,18 27,19. 21 32,26 34,4. 6. 11. 37 38,11. 19 39,14. 24 43, 24. 28 45,9 53,24. 32 66,7 ἡ μείζων

πρότασις 5,38 6,21 7,16. 30 25,22 36, 15 41,9 47,5 48,6 ἡ ἐλάττων 6,22 10, 33
προτείνειν 6,34 27,16 28,8 33,3 37,27 40,13 42,24 52,16 65,12 med. 3,18 17, 15 44,3
προφορά 37,24 51,18. 25 52,11 opp. τὸ σημαινόμενον 21,5. 8
πρῶτος φιλόσοφος πρώτη φιλοσοφία 25,7
πτῶσις 5,10 37,18. 19. 23. 38 42,36 49, 25 57,19 63,14. 31

Ῥαιβός 62,32 sq.
ῥῆμα 9,19 45,27
ῥητορικοὶ λόγοι 67,19. 29
ῥίς 36,30. 32. 34 sqq. 62,30. 32 sqq.
ῥοπή 42,1

Σαρκοβόρος 35,23
σημαντικός τινος 37,20
σημασία 5,30 20,39 37,18 49,22
σημεῖον. αἱ κατὰ σημεῖον ἀποδείξεις 15,11
σημειοῦσθαι 61,4
σιμός 36,32. 34 62,32 sqq.
σιμότης 36,29. 31 62,29
σκαληνὸν τρίγωνον 27,34. 37
σκεῦος. τὰ λεγόμενα σκεύη 37,32. 33
σκυλάκιον 11,5 17,22
σκυτεύς 50,11. 14
σκῶλον 30,18
σολοικίζειν 5,8 37,10. 32. 37 63,9
σολοικισμός 5,1. 8 sqq. 23,11 37,5 sqq. 64,5 σολοικισμὸν πῶς λυτέον 62,38 sqq.
σολοικοφανής 64,7
σοφία τί ἐστι 1,14
σοφίζεσθαι 12,30 46,27
σόφισμα 4,31 5,34 6,7. 32 7,21. 31 8,4 9,3. 15. 33. 37 10,4 17,37 19,14 20,22 21,21 25,31. 36 41,37 43,18 47,37 50,5 53,3 56,26. 36 60,25 all.
σοφιστεύειν 3,21
σοφιστής 2,27 3,9. 25 7,35 10,10. 27 12, 12. 37 20,9. 10 25,11 28,28 29,6 36, 37 42,27 sqq. 43,3. 5 53,17 65,12 all.
σοφιστικός dist. ἐριστικός 30,20 sq. σ. ἔλεγχοι 2,5 23,37 25,18 27,7 32,23 42,12. 39 συλλογισμοί 22,9 47,2 λόγοι 3,26 38,29 47,18 64,9 66,26 τόποι 25,5 σ. συζυγία 43,1 προαίρεσις 32,30 37,5 πραγματεία 62,7 σ. διατριβαί 41,12 ἐνοχλήσεις 4,34 συκοφάντημα 39,20 — ὁ σοφιστικός 30,28 sqq. 67,1. 2 ἡ σοφιστική 1,2 3,9 22,31 25,6 30,22. 25 66,34 — σοφιστικῶς 4,35
στέλλεσθαι. διττὸν τὸ στέλλεσθαι 64,24
στέρησις 9,2 62,18
στιγμή 6,12
στίζειν 8,14
στίχος 57,38
στοιχεῖν 26,4
στοιχεῖον. τὰ τέσσαρα στοιχεῖα 34,35 τὰ (εἴκοσι καὶ τέσσαρα) στοιχεῖα 2,35 14,16 37,8 49,24. 26. 28 — στοιχεῖον τοῦ τυχεῖν ψεύδους 33,34 στοιχεῖον ἀπάτης 37,14 ἀδολεσχίας 36,4. 5 ὀργῆς 38,15 εἰς τὸ μῆκος 38,10 στοιχεῖον coni. μέθοδος 34,36
συγκατάθεσις 6,35
συγκατατάσσειν 10,33
συγχεῖν 22,7
συζήτησις 41,39
συζυγία συλλογιστική 47,4 σοφιστική 43,1
σύζυγος 31,38 62,9
συκοφαντεῖν 43,4
συκοφάντημα σοφιστικόν 39,20
συλλαβή 14,16 49,24 53,24. 25
συλλογίζεσθαι 18,8. 17 22,30. 32 23,3 37,13 39,21 sqq. 52,30 56,15. 21 63,22. 24 all.
συλλογισμός 2,12. 20 6,15 18,7 22,24 27,8. 13 def. 2,22 sq. συλλογισμῶν εἴδη τέσσαρα 3,29 sqq. ὁ ἁπλῶς συλλογισμός 27,9 σ. ἔνδοξοι 25,17 φαινόμενοι 17,25 27,13 22,8 σοφιστικοί 3,7 22,9 47,2
συλλογιστικὴ μέθοδος 43,27 sq. σ. εἶδος 4,14 sq. 22,12 σ. συζυγία 47,4 παράδοσις 56,26 δύναμις 66,31
συμβαίνειν *convenire* 50,22 *accidere* 18,30 43,15 52,5. 6 55,6 61,34. 39 all. *effici* 17,34 32,31 50,34 62,38 τὸ συμβεβηκός 18,26 19,23 τὰ συμβεβηκότα 15,2 οἱ παρὰ τὸ συμβεβηκὸς παραλογισμοί (ἔλεγχοι, σοφίσματα) 10,13. 18 18,21 sqq. 21,27 23,24 43,14 πῶς λυτέον 55,15
σύμβολον 2,32
σύμμετρος 24,13
συμπεραίνειν 3,36 6,32 12,23 13,37 27, 27 36,35 39,27 42,24 49,8 60,16 med. 18,11 23,12 33,31 42,27 45,5 49,4

συμπεραντικῶς 39,22
συμπέρασμα 1,21 2,25 sqq. 4,24 7,16. 30 16,6 17,34 19,19 23,29 24,17 27,21. 25 36,21 38,4. 11. 19 41,8 42,17 43, 26. 29 45,8 47,12. 15 50,19 53,7. 8. 26 58,11 59,38 64,16 66,6 all.
συμπλέκειν (συλλογισμόν) 38,20
σύμφρασις 6,11
συνάγειν 1,20. 22 2,26 18,8. 10. 12 20, 16 22,37 23,26 24,19 25,12 26,19 28, 4. 5. 14 40,11. 13 41,1 42,25 44,34 45,6 48,17 52,8 53,26 55,6 65,10 all.
συναισθάνεσθαι 40,9. 16
συνακτικός. προτάσεις συνακτικαὶ ἀντιφάσεως 3,38 συμπεράσματος 38,11. 18
συναληθεύειν 20,18
συναναιρεῖν 15,24 65,10
συναριθμεῖν 13,21. 35 19,21
συνεθισμός 44,21
συνεισάγειν 1,23 36,13 39,33
συνεκφαίνεσθαι 46,31. 32
συνεπινεύειν 21,11
συνεπινοεῖν 45,30 62,12. 15
συνεπίστασθαι 47,35. 38 48,2. 29
συνήθεια coni. δόξα 33,28
συνημμένως 12,29
σύνθεσις 5,14 18,3 οἱ παρά (περί, κατά) τὴν σύνθεσιν (καὶ διαίρεσιν) παραλογισμοί 7,14 9,30 20,31 23,28 27,4 28,19 48, 35 sqq.
συνουσία. συνουσίαι coni. διαλέξεις 3,14
συντιθέναι 48,38 49,2 sq. 20 50,8 55,3
συνυπάγειν 23,25
συνώνυμος 13,20. 33 sq.
συσκιάζειν 32,32
σύστασις προτάσεως 34,10
σύστοιχος 1,17 37,28 50,34
σφαιροειδής 34,16
σχέσις 21,20
σχετικῶς 40,32
σχῆμα τὸ παρὰ γεωμέτραις 18,31. 34 27, 22. 24 sq. — σχῆμα τῆς λέξεως 5,15 9, 36 τῆς προσηγορίας 54,4. 18 οἱ παρὰ τὸ σχῆμα τῆς λέξεως παραλογισμοί 9,5 sqq. 21,21 37,36 πῶς λυτέον 51,13 sqq. — σχῆμα (συλλογισμοῦ) 29,18 30,14 47,3 εἰς σχῆμα ἀγαγεῖν 41,35 τὸ πρῶτον σχῆμα 6,8. 32 7,21 τὸ δεύτερον 4,18 9,15 19, 39 29,21 τὸ μέσον 22,13 τὸ τρίτον 11,3 24,19 29,21 σχῆμα (ἐλέγχου) 53,21 — σχῆμα τὸ πρῶτον (φιλοσοφίας) 25,11
σχηματισμὸς τῆς λέξεως 9,35
σῶμα τὸ πέμπτον 34,16. 32. 39 35,1
σωφρονισμός 5,27
σωφροσύνη 17,10 45,15

Ταυτίζεσθαι 21,29 37,25 61,21
ταυτότης 13,29
τάγος (ἐν τῷ ποιεῖσθαι τὰς ἐρωτήσεις) 38, 13
τετραγωνίζειν (κύκλον) 29,38
τετραγωνικός 29,30
τετραγωνισμός 29,28 30,36
τετράγωνον 29,29. 32 30,1
τετράπους 45,19. 20
τεῦξις ἡ τοῦ ἀληθοῦς 1,10
τοῖχος 65,14 sqq.
τόνος 9,33 20,38 51,11 55,4. 5
τόποι οἱ σοφιστικοί 25,5
τραγέλαφος 12,17
τριβή 67,38
τρίγωνον 18,30. 34 22,18 sqq. 29,31 31. 26 τρίγωνον σκαληνόν, ἰσοσκελές, ἰσόπλευρον 27,34 sqq.
τρόπος (σχήματος συλλογιστικοῦ) 6,8 — τρόποι οἱ ἐριστικοί 23,2 οἱ τῶν σοφιστικῶν ἐλέγχων 32,23 cf. 22,10 28,12 τρόποι ἢ τόποι τοῦ εἰς ἄδοξον ἀγαγεῖν 32,29 sqq. τρόποι ἐξ ὧν τὰ πολλαχῶς λεγόμενα συνίσταται 47,25 sqq.
τυμβωρύχος 59,15
τυφλός 48,8 sqq.

Ὑγιὴς πρότασις 18,2
ὕειν 15,9 sq.
υἱός (θεοῦ) 12,28. 31
ὕλη 40,32 ὕλη (συλλογισμοῦ) opp. σχῆμα 47,3
ὑπαλλαγὴ γενῶν καὶ πτώσεων 63,14
ὕπαρξις. ἐν ὑπάρξει εἶναι 6,30
ὑπεναντίος 35,11
ὑπεναντίωμα 61,8
ὑπεναντίωσις 35,36
ὑπερβαίνειν 19,12
ὑπέρβασις λέξεως 6,12
ὑπόδημα 67,35
ὑποδύεσθαι (ἐπιστήμην) 2,7 25,6
ὑπόθεσις 61,27

ὑποκεῖσθαι. τὸ ὑποκείμενον (ἡ ὑποκειμένη οὐσία) 36,28 sqq. 62,28 τὸ ὑποκείμενον πρᾶγμα 55,18. 37 ὑποκειμένῳ dist. λόγῳ 43,22 sq. 54,26 — τὸ ὑποκείμενον (ἐπιστήμη) 31,19 — ὑποκείμενον *subiectum gramm.* 10,19. 25 12,8 13,25 21, 29 all.
ὑπόληψις 4,6 25,24
ὑπόστασις 42,12 54,26
ὑποστατικός 54,34
ὑποτακτικὸν ἄρθρον 37,16
ὑφεῖσθαι *inferiorem esse* 25,9

φαινομένως 29,17
φαντασία ἡ τῆς ἀπάτης 19,13 τὸ διπλοῦν φαντασίᾳ 10,3. 9 sq.
φάντασμα τὸ τοῦ παραλογισμοῦ 57,22
φάσις 58,12 62,16
φαυλότης (λόγων) 41,23
φέρειν. τὸ ἐφέρετο ὁμώνυμον 64,20
φθάνειν ἔν τινι 30,39 ἐπί τι 26,31
φθορά 16,21 sqq.
φθοροποιός 1,8
φίλερις 30,21. 24
φιλονεικία 38,15
φιλοπράγμων dist. πολυπράγμων 40,31
φιλοσοφία 41,15 ἡ πρώτη 25,7
φιλόσοφος 40,29 sqq. ὁ πρῶτος 25,7
φιλοτιμεῖσθαι 50,22
φλέψ 31,4
φρόνησις 45,15 57,12. 19. 33
φυλετικῶς 2,15
φυρειν 9,9 23,30 51,15
φυσᾶν 2,15
φυσικός opp. δημιουργικός 12,29 — ὁ φυσικός 30,4
φύσις 31,24 32,15 38,27 κατὰ φύσιν (φύσει) 34,11 38,26. 33 61,31 65,29 opp. κατὰ νόμον 35,13 sqq. 36
φυτόν 49,28 51,19
φωνή αἱ ἁπλαῖ φωναί 9,26. 30
φωρᾶν 55,27 64,13

Χεῖλος. δεσμὸν τοῖς χείλεσιν ἐπιθέσθαι 46, 36
χηλή 45,20
χιών 17,17
χολή 15,8
χολοβάφινος 2,19
χρηματιστική 30,22
χρησιμεύειν 39,13
χρόνος 33,11. 18 65,6
χωρίζειν 21,35

Ψεύδεσθαι 32,29 46,27 58,32 sqq. 59,34 61,35 all.
ψευδογραφεῖν 30,14
ψευδογράφημα 29,24 sq.
ψευδογράφος 30,29 sqq. 31,9 32,20
ψεῦδος 1,3. 11 2,8 5,1. 5 7,20 17,8 sq. 22,30 23,14 30,8 40,33 46,39 47,9 49,8 52,14 et saepe.
ψηφηφορικός 2,39
ψηφολογεῖν 2,38
ψῆφος 2,33. 38 52,38 53,6
ψιλός 23,26 26,13 ψιλή (προσῳδία) 9,2
ψιλοῦν 18,6. 8
ψυχή 14,2 16,19 sqq. 31,29 34,14 sqq. 46,8 sqq. 15. 28 60,17 65,31

Ὠλέκρανον 7,7

II INDEX NOMINUM

Ea nomina, quibus nihil addidi, tantummodo exempli causa a scriptore usurpantur

Ἀγαμέμνων 44,19 τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος 8,33
Ἀθῆναι 33,12. 17 Ἀθήνησι 59,22 — Ἀθηναῖοι 45,33. 37 50,10 57,16
Αἴας 44,19 48,14 ἀμφότεροι οἱ Αἴαντες 61, 6. 16
Αἰθίοψ 11,21 58,15
Ἀλκιβιάδης 7,28 39,3 43 17
Ἀντίλοχος. ὁ Νέστωρ ὑποτιθέμενος τῷ παιδὶ Ἀντιλόχῳ 8,24
Ἀντιφῶν. τὸ τοῦ Ἀντιφῶντος ψευδογράφημα ἐπὶ τὸν τοῦ κύκλου τετραγωνισμόν 29,29. 34 sqq. (ubi v. notam) 30,36
Ἀπολλωνίδης 64,30
Ἄργος 21,2
(Ἀριστοτέλης) Aristotelis libri respiciuntur hi: De interpr. (14 p. 23ᵇ25 sqq.) 65,4. 5 Anal. pr. (B 15 p. 64ᵇ17) 25,21 Anal. poster. 4,28 Topica (univ.) 4,29 25, 17 (B 5) 34,3 (Θ 1) 34,25 38,2. 10 45, 12 (Θ 13) 14,14 Phys. (Δ 10) 65,5 sqq. Metaphys. (B) 66,1. 2 — Ἀριστοτελικοί. τοῖς Ἀριστοτελικοῖς τὸ πέμπτον σῶμα (ἐδογματίζετο) 34,32
Ἀρίστων 58,6. 7
Ἀρχέλαος ὁ Περδίκκα 33,23. 27 39,32. 34
Ἀχιλλεύς 6,13 8,13
Βρύσων πῶς τετραγωνίζειν ἐπεχείρησε 29,38 30,1 sqq. ὁ Βρύσωνος τετραγωνισμὸς ἐριστικός 30,37
Γοργίας 3,10 ἡ Γοργίου πραγματεία 67,28 Γοργίας ὁ παρὰ Πλάτωνι 22,27 — Καλλικλῆς ἐν τῷ Γοργίᾳ τῷ Πλατωνικῷ διαλόγῳ 35 14
Δημόκριτος 15,15. 16
Διομήδης 44,19
Δίων. ὁ Δίων λέγει τὸν ὀφθαλμὸν καὶ λευκὸν καὶ μέλανα, τοῦτο δὲ καὶ ψευδὲς καὶ ἀληθές 58,30
Ἑλένη. Ἰσοκράτης ἐπαινῶν τὴν Ἑλένην 40, 25
Ἑλληνικός. κατὰ τοὺς Ἑλληνικοὺς λόγους 15,37
Εὔαρχος 64,29
Εὐθύδημος. ὁ Εὐθυδήμου λόγος 50,3 sqq.
Εὐθύφρων ὁ παρὰ τῷ Πλάτωνι 22,27
Εὐνόμιος. τὸ παρ' Εὐνομίῳ πρὸς τἀληθὲς παράκρουσμα 12,27 sqq.
Ζεύς (ἐν τῷ ἐνυπνίῳ τοῦ Ἀγαμέμνονος) 8,33 sq.
Ζήνων ἐν τὸ ὂν καὶ τὸ ἓν τιθέμενος 26, 25 sqq. τὸν Ζήνωνος λόγον (ὅτι τὸ ὂν καὶ τὸ ἓν ταὐτό) πῶς λύουσί τινες 64,35 οὐκ ἔστι κίνησις κατὰ Ζήνωνα 31,2 Ζήνωνος λόγον ὅτι οὐκ ἔστι κινηθῆναι ἐλέγξειεν ἄν τις καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς 56, 16 sqq.
Θαλῆς 20,39
Θεαίτητος 19,35
Θεμιστοκλῆς 44,11
Θεόδωρος τοὺς ῥητορικοὺς λόγους ἠύξηκε 67, 24
Θερσίτης 48,14 61,6
Θῆβαι 33,12. 14. 17
Θρασύμαχος ηὔξηκε τοὺς ῥητορικοὺς λόγους 67,23
Ἰλιάς 57,38 58,2
Ἰνδός 12,32 — Ἰνδικὸς ὄνος ἀμφόδους ὢν καὶ κερασφόρος 39,12

Ἱππίας (ὁ Ἠλεῖος) 3,10 Ἱππίας ὁ Θάσιος τὸν Ὅμηρον διορθοῦται 8,21
Ἱπποκράτης. τὸ τοῦ Ἱπποκράτους τοῦ Χίου ψευδογράφημα ἐπὶ τὸν τοῦ κύκλου τετραγωνισμόν 29,28 sqq. 30,36
Ἰσοκράτης ἐπαινῶν τὴν Ἑλένην ἐπὶ τοὺς ἐραστὰς αὐτῆς ἔκλινε 40,25 sq.
Κατνεὺς συνῆγε τὸ πῦρ ἐν πολλαπλασίονι ἀναλογίᾳ δύο καταφάσεις λαβὼν ἐν δευτέρῳ σχήματι 29,20 sq.
Καλλίας 44,11. 21 54,32
Καλλικλῆς ἐν τῷ Γοργίᾳ τῷ Πλατωνικῷ διαλόγῳ (ἐπιχειρῶν ἀπὸ τοῦ κατὰ φύσιν καὶ κατὰ νόμον) κατεσκεύαζε τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν καλόν 35,13 sq. 20 sqq. cf. 65,28
Καλλιόπη 37,21
Κλεοφῶν ἐν τῷ Μανδροβούλῳ τῷ Πλατωνικῷ διαλόγῳ 40,14
Κλέων 63,36
Κορίσκος 10,27. 30 sqq. 37,22. 31 43,8. 12 54,25. 27 56,1. 8. 33 sq. 60,7 63,22
Λάκων. Λάκωνες 45,33 sqq.
Λυκόφρων ὁ σοφιστὴς προβληθέντος αὐτῷ λύραν ἐγκωμιάζειν ἀνέδραμε πρὸς τὴν ἐν οὐρανῷ 40,22 sqq.
Λύσανδρος 45,36
Μανδρόβουλος ὁ Πλατωνικὸς διάλογος 40, 14
Μέλισσος. ὁ Μελίσσου λόγος (ὅτι τὸ ὂν ἓν καὶ ἄπειρον) ἁμαρτάνει περὶ τὸ ἑπόμενον 15,21. 24 sqq. 60,30 τὸ αὐτὸ εἶναι λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν 19, 30 sqq. τάς τε προτάσεις ψευδεῖς λαμβάνει καὶ ὃ μὴ συνελογίσατο, συνεπέρανε 39,23 sqq.
Νέστωρ ὑποτιθέμενος τῷ παιδὶ Ἀντιλόχῳ 8,24
Ὅμηρος 11,36 12,1. 18 sq. τὸν Ὅμηρον ἔνιοι διορθοῦνται (cf. Il. XXIII, 326 sqq.) 8,20 ἡ Ὁμήρου ποίησις 27,22
Παρμενίδης ἓν τὸ ἓν καὶ τὸ ὂν τιθέμενος 26,24 τὸν Παρμενίδου λόγον πῶς λύουσί τινες 64,35 sq. — ὁ Παρμενίδειος λόγος οὐ συλλελόγισται ἐκ τῶν κειμένων 66,3 sqq.
Πάτροκλος (v. Il. IX, 219) 6,10 ἐπὶ τῷ Πατρόκλου ἱππικῷ 8,24
Πειραιεύς 50,4 sqq. 47,15
Περδίκκας 33,23
Περιπατητικός. τοὺς Περιπατητικούς (εἰς ἄδοξον ἄγειν ἐρωτῶντα) εἰ ἐκ τεσσάρων στοιχείων ὁ οὐρανός 34,34 sq. 35,1 sq.
Πιττακός 29,22
Πλάτων 7,24 13,26 39,3 53,37 54,2 55,8 58,6. 7 Platonis dialogi respiciuntur hi: Phaedo (c. 15) 65,31 Soph. (39 p. 254 A) 29,7 Protag. (v. s. Πρωταγόρας) 40,27 Gorg. (c. 38 sqq.) 35,14 sqq. 65,28 — Πλατωνικὸς διάλογος 35,14 40,14 — Πλατωνικοί. τοῖς Πλατωνικοῖς αἱ ἰδέαι ἐδογματίζοντο 34,32
Πρόδικος 3,11
Πρωταγόρας 3,11 ἐν τῷ ὁμωνύμῳ διαλόγῳ ποτὲ μὲν μύθους διέξεισι, ποτὲ δὲ περὶ ποιημάτων 40,27 sq. ὁ Πρωταγόρας τὸν μῆνιν οὐλόμενον λέγων οὐκ ἐδόκει αὐτῷ σολοικίζειν 37,9 sq.
Σικελία 50,4. 6 sqq.
Σίμων ὁ σκυτεύς 11,16 sq. 12,6. 10 50,10
Σωκράτης 7,21 sqq. 10,28 sqq. 11,26 13, 26 sq. 19,35 23,14 27,18 35,15 39,2 43,23 sq. 48,28. 38 51,23 55,24 Σωκράτης διαλεκτικὸς ἄκρος ὢν ἠρώτα ἀλλ' οὐκ ἀπεκρίνατο 66,39 67,1
Τάναγρα 57,15
Τισίας ἠδέκε τοὺς ῥητορικοὺς λόγους 67, 23 sq.
Τριβαλλοί. ἐν Τριβαλλοῖς καλὸν τὸ τοὺς γονεῖς θύειν 12,35 58,17
Τροία 44,19 61,5
Φειδίας 55,33

CORRIGENDUM

P. 18 nota ad vss. 7. 11 delenda est.

BINDING SECT. NOV 3 1980

35

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY

PA
3902
A25
1882
v.23
pars.1-4

Commentaria in Aristotelem
graeca